This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

UC-NRLF
$B 296 639

LIBRARY
OF THE
University of California.

No. 4157
Division
Range
Shelf
Received Sept. 15, 1872



Digitized by Google

LIBRARY

OF THE

University of California.

No. 4152

Division

Range

Shelf

Received Oct 15, 1872

Digitized by Google



Digitized by Google

Digitized by Google

Digitized by Google

FLAVII IOSEPHI

OPERA OMNIA

AB

IMMANUELE BEKKERO

RECOGNITA.

VOLUMEN QUARTUM.

LIPSIAE.
SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.
MDCCCLVI.

Digitized by Google

DS116
J2
1855
v.4-6

Digitized by Google

PRAEFATIO.

P. 2 v. 10. οὗτοι?* 4 12. γε*: τε 13. ἑαυτὸν*: τὸν αὐτὸν 18. κἂν*: καὶ 17 20. ἐναργείας*: ἐνεργείας 28. ποιοῦνται*: ποιῶνται 19 12. αὐτῶν*: αὐτὸν 24 13. θεραπεύοι τὸ*: θεραπεύοιτο 27 22. adde numerum segmenti (8) 28 12. ἔξω χρείας καὶ?* 32 21. προέπεσεν*: προσέπεσεν 35 31. ἀντιμετατεθείσης*: ἀντιμεταθείσης 37 15. γινόμενοι*: γενόμενοι 38 14. παρησίας] προπετείας? an διαθέσεως?* 41 31. διαλλάξοντος*: διελλάξαντος 44 15. προήγαγεν*: προσήγαγεν 50 12. ἄτερος*: ἕτερος 52 7. συμφέρειν*: συμφέρον 53 21. ...] ποήσασθαι Ἡρώδην, ἀλλὰ?* 65 15. πολιτεύειν] τολυπεύειν Dindorfius 69 24. αὐτοῖς*: οἷς 70 22. τοσαύτην ἀιμίαν αὐτοῦ?* 23. ἐκ φύσεως] ἐμφύλιον Havercampius 28. οὐδὲ δεήσει Dindorfius: οὐ δεήσει οὐδὲ. an οὐ δεηθέντα? 29. τοιαύτην?* 71 8. δὲ*: τε 73 23. περιβαλεῖν*: δώσειν περιβαλεῖν 77 14. ὑπέσχητο*: ὑπέσχετο 79 17. ἐπαγαγόντι?* 80 14. κολαστὴν δὲ*: κολαστήν τε 82 11. ἐπισφάζων*: ἐπισφάζειν 12. ἣν αὐτὸς δίκην?* 30. ἐκείνων?* i. e. τῶν ἑρπετῶν 86 19. ἔκφυα?* 89 18. δὲ deerat* 90 2. ὀνήσοντος*: ὀνήσαντος 9. εἰ] τί? 22. ἦ] ἢ? 91 5. ποιεῖσθαι*: τε ποιεῖσθαι 13. τὸ μέρος?* 92 26. τελευτῶντα? 93 23. ἁμαρτήσεσθαι*: ἁμαρτήσαντας 94 18. προῖουσῶν Dindorfius: περιουσῶν 20. περιλέψαντι idem: περιλήψαντι 25. αὖθις] εὐθὺς?* 96 11. ἥδε*: ἥδη 99 3. τάχος] ἦ τάχος?* 100 21. περιστάντες*: παραστάν-

Digitized by Google

τες 25. ἀνακόψαντι*: ἀνακόψοντι 102 22. προετίθει τὰ αὐτοῦ*: προσετίθει τε αὐτοῦ 103 5. τετολμημένα*: ἐπιτετολμημένα 11. μηδενὶ?* 13. τε*: δὲ 105 4. τοὺς γὰρ τοῦ ὑβριοῦντος κωλυτὰς παραγενομένους καιρίως Ἀρχελάου πεπομφότος*: τοὺς γὰρ ὑβριοῦντας, κωλύτας παραγενομένους καὶ ὑπ' Ἀρχελάου πεπομφότας 29. γε*: τε 107 17. τοσῶνδε*: τοιῶνδε 109 26. χρόνῳ*: χρόνου 110 3. μὲν] μὲν γὰρ?* 113 27. ἐντετελευτηκότων*: συντετελευτηκότων 115 29. τὰ] τοῦ?* 31. οἷους οὐχ ἱστορῆσαι (vel ἱστορῆσθαι)*: ὅσους οὐχ ἱστορήσειν 116 23. ἐπάξειν ἂν] ἐπιδεῖξαι?* 119 14. μὲν*: δὲ 120 26. ἐπισκληρότερον*: ἐπὶ σκληρότερον 125 22. οἷων*: οἷον 23. ἀποστερήσεσι*: ἀποστέρησιν 126 5. μέν τι?* 30. αἷς*: οἷς 127 28. ἀπολαύει*: ἀπολαύοι 128 6. ἐμφερεῖς ὄντες*: ἐμφέροντες 9. δυσνίκητος*: δυσκίνητος 32. ἀνῆκεν αὐτὴν αὐτοκράτορι Dindorfius 129 17. εἶξαν*: εἴρξαντο 130 23. μηδὲ*: μήτε 26. τέλεσι τοῖς αὐτοῦ?* ἐπιδόσει*: ἀποδόσει 131 20. ἐλέγετο?* 21. μύσος τὸν τῆς μητρὸς ἔρωτα*: τὸ μύσος τῆς μητρὸς ἔρωτος 30. ὄντα Dindorfius: ἦν δ' ἂν 132 11. dativos Epiphanius dedit 12. ἀπηξίουν pro οὐκ ηξίουν idem cum Cocceio 135 19. γεγονυίᾳ?* 20. εὐπρεπεῖ?* 31. ἐπεψηφίζετο*: ἐπεψήφιζε τὸ 137 4. οὐκ addidit Jo. Clericus 138 7. δὲ?* 141 18. ἀνίεσθαι?* 145 2. ἔδοξεν*: δόξαν 148 19. κατέλεξα μενόντων*: κατελέξαμεν ὄντων 149 2. γινομένην? an γενομένην ἂν?* 150 31. ἐκείνης δικαίᾳ?* 152 6. τῷ εἰσπραξομένῳ?* 153 12. ἕτερος*: ἑτέρων 154 18. ἐξαποστέλλων?* 156 13. πεπραξόμενα Dindorfius: πραξόμενα vel πρασσόμενα, unus πραχθησόμενα 161 14. εἰσηγησομένων*: εἰσηγησαμένων 16. συγγενοῦς μὴ*: μὴ συγγενοῦς 162 20. ἀφανίζει*: ἀφανίζοι 163 20. τῷδε*: τῶνδε 165 20. οὖν*: δ' οὖν 166 12. οὐδαμοῖς Dindorfius: οὐδαμινοῖς 170 14. τῇ*: τε τῇ

Digitized by Google

172 8. ἅψεσθαι*: ἅψασθαι 11. δ' οὖν*: γοῦν 174 16 et 183 11. ἀνὴρ?* 174 19. παρακαλῇ*: παρακαλῶ 176 1. ἐν ὀλίγῳ] ἐν ὀλίγῳ ποιούμενος?* 29. ὑποστάντι*: ὑποστάντα 179 7. ant τὸν — βασιλέα ant τοῦ — βασιλέως 23. οἷος] οἷος ἂν?* 25. ἡμᾶς*: ὡς ἡμᾶς 30. εἶ*: εἶναι 180 9. ἀπολαμβάνων Dindorfius: ἀπολαμβάνοι 181 16. Βαβυλωνίαν ⟨παράξαι⟩?* 183 1. ἐκπεσόντες?* 184 19. οὔτε] οὐδὲ μετὰ τῶν?* 26. νικωμένῳ*: νικηθέντος 188 17. μετὰ] μεθ' ὃ?* omisso 20. δὲ 194 12. φειδοῦς χρῄζειν?* 196 18. παρὸν] οἵ γε παρὸν?* 197 14. διαλογισμῷ Dindorfius: διὰ λογισμῶν 198 22. δίδως*: διδῷς 25. θαρσύνοιεν?* 200 19. φευκτὸν?* 20. ἐντολὰς*: ἐπιστολὰς 22. χρήσασθαι] σώσασθαι Havercampius. immo περιγενέσθαι 201 15. ταράξαιεν*: ταράξοιεν 16. αὐτῇ*: αὐτοῖς 17. ποιήσαιεν addidit Havercampius 202 5. τὸ ἔτι μέλλον?* 9. τῇ*: τοῦ 13. καλοῖς Havercampius 26. ὁμόσε idem: ὁμοῦ 204 13. μανθάνει] συμβαίνει?* 14. ληστῶν Havercampius: ληφθεὶς 205 29. ἐπίσκοτον*: ἐπὶ τόπον 207 31. συνημμένην δὲ ἐκείνην*: συνημμένη δὲ ἐκείνη 210 8. ἡ deerat* 19. οὐδεὶς*: αὖθις 211 11. βουλευθέντων*: βουληθέντων 212 24. ἐπερίσσευεν?* 213 15. ἀνθεῖν Havercampius: ἐλθεῖν 215 1. τὰ*: τῶν 217 1. διοχλουμένου*: διοχλουμένων 5. κἂν ἐκεῖνοι*: κἀκεῖνοι 25. ὑπομένομεν?* 218 20. ἐπέστρεψεν addidit Epiphanius 219 14. ἤ τε*: τε 19. δούσῃ*: δοῦσαν 221 13. ποτὲ Havercampius: τότε 14. καὶ ἐπ' ἐλαχίστοις idem: τῆς ἐλαχίστης 24. εἰς ὑποδοχὴν Dindorfius: ἐν ὑποδοχῇ 223 14. αὐτὸ*: αὐτὸν 224 9. αὐτῷ*: αὐτῶν 226 18. τοῦ περὶ αὐτῷ φόβου*: τῷ περὶ αὐτοῦ φόβῳ 24. περιέσπε*: περιέπεσε 227 19. εἰ deerat* 21. τε*: δὲ 228 32. τῇ*: τὸ 230 25. παρακαθίζει δὲ αὐτῷ?* 231 7. ᾔρητο*: ᾠρεῖτο 232 32. διάταγμα*: διάγραμμα

Digitized by Google

249 13. ἀλλ' ἢ τῷ*: ἀλλ' ἤτοι 252 2. καταλιπεῖν*: καταλιπεῖν ἄπεισι 6. δύνασθαι*: δυνάμενον 8. γὰρ deerat* 28. αὐτὸς*: αὐτὸν vel αὐτοῖς 254 1. σφοδροτάτης ἀνάγκης?* 13. μὲν*: δὲ vel δὴ 256 16. δὲ*: τε 274 20. ὑπό*: ἀπό 32. τοῦτο*: ταῦτα

P. 287 6. εἰκοσιτεσσάρων· πολλὴ δὲ κἀν τούτῳ διαφορά. καὶ τῶν ἐν ταύτῃ δὲ φυλῶν ἐκ τῆς ἀρίστης ὑπάρχω καὶ τοῦ — ita lege cum codice B, cuius me paenitet aliquantisper neglecti 12. ἦν ἐμοὶ] ἡμῶν B 238 14. περὶ τὸ τεσσαρεσκαιδέκατον B 26. ἔρημον B 289 21. μάλιστα*: κάλλιστα 30. ποιησαμένους?* 31. μόνον B 32. εὐτυχίαν ἅπαντες ἐλαττοῦνται B 290 1. πατράσι B 7. γοῦν B 24. τῶν om B 292 2. καὶ post ὅτι om B 27. πόλις ἀεὶ τῆς Γαλιλαίας ἄρξειεν ἐπί τε τῶν B 32. προεσταμένου B 293 6. κατὰ τοῦ βασιλέως B 7. ἀπόστασιν B 27. τοιούτοις B 294 7. ἔθνεσι κατὰ κράτος ἐνίκησε, τὰ δὲ B 11 et 315 15. Ἰωακίμου B 295 3. κομίσαντα B 4. ψευδές B 14. μαρτυρίας B 296 21. διεδέδοτο Havercampius: διεδέχετο 29. αὐτόν*: πρὸς αὐτόν 297 24. ἡμᾶς B 298 17. ποτ' ἐφρόνει B 300 6. τε*: δὲ 9. ἐπ' deerat* 29. ἐπεστέναξαν B 301 19. βραδύνοντος B 24. τῇ om B 302 1 et 15. Θρυγκοῦ 15. ἀφαλόμενος*: ἀφαλλόμενος 31. ἐδαφοποιήσαντα 303 2. τῆς om B 7. ἀπολέσαι B 304 6. δ' ἐμοῦ B 305 19 et 306 4. μεθορίῳ B 306 9. scribe ἡμῖν 21. ἐγενόμην B 30. νομίζων om B καὶ] δὲ καὶ B 307 14. τὸν om B 21. φυγεῖν B 308 5. τὰ ἡρπασμένα om B 28. μὴ] μὴ καὶ B 31. μισοπονηρεύσαντες B 309 8. ὑφ' B 9. δὴ ἐλθεῖν B 16. βρέχων B 310 1. ἡμετέρας B 9. τῶν] με τῶν B ἐπειδὴ δ' B 22. τὰς τῆς οἰκίας θύρας B 26. αὐτῶν, εἰς — παρασύρας, καὶ μάστιξιν αἰκισάμενος, τὴν B 31. τοιαῦτα B 311 2. ἐξέφυγον B 10. δ' ἐγὼ περὶ τούτων B

Digitized by Google

31. δ' εἶναι] δὴ B 312 1. ὁ βασιλεὺς B 7. δ' ἐμὲ B 14. σταδίους B 17. ἐπαίνων om B, addito εὐφήμους post 18. φωνάς 313 5. ἀφικομένην B 7. χρήσασθαι B 314 11. προελθόντι B 14. προελθεῖν B 21. ἀσμένως B 315 5. ἢ ἐμὲ B τοῦ σώφρονος B 16. Γαμάλαν B 17. μεθιστᾶναι B, i. e. μεθεστάναι 316 5. γενέσθαι B 8. ποιήσειν B δ' ὁ*: δὲ 317 2. παντὸς B 4. ὁπλίτας τε B 18. τῆς αὐτῆς στάσεως ἐκείνοις?* 319 13. τῶν et 21. περὶ om B 27. δοκεῖ B 320 20. νομίσας B 321 28. τῆς Γαλιλαίας B 322 8. μόνον*: μόνων 19. τὸ ἀργύριον B 323 6. πιστὸν B, recte, si ὁπλίτην scribas 18. ὑπηντίασε B 324 14. σύμμαχος αὐτῷ καὶ B 17. καθίσαντες B 25. εὐνοϊκῶς B 31. δὴ δεῖν B 326 30. αὐτὸς] ὡς αὐτοὺς B 328 13. τῆς φρουρᾶς 329 10. πορευσομένους*: πορευομένους 330 3. μὲν οὖν ἐπὶ B 15. τέ μου B πολιτῶν ὄντων. δικ — B 28. σημαίνουσιν B 30. πύθωνται B 31. οἴκημα καὶ πολὺν B 331 3. δὲ ὁ B 13. ἐπιβουλὴν B 18. αὐτοῖς ἡ σύνοδος B 332 31. γνώμην εἰσῆγε B 333 1. ἐκέλευεν B 10. εὐθύς με B 11. ἅπερ ἔχει B 22. δ' ἐμὲ μετὰ B 23. πρὸς B 28. εἶπον B 334 13. φανερὰν ἔργῳ δ. B 27. αὐτῷ B 335 3. τῷ Ἰωάννῃ προσιόντι B 26. με ταύτης π. B 337 32. παραφυλαξόντων B 338 6. ἠσπαζόμην τε φ. B 31. εἰς τὴν T. B 339 18. εἰς τοὐμφανὲς B 27. συντεθεικόσι B 30. πράξεις τῶν πολέμων B, ut legendum esse videatur τοῦτον ἐπιχ. πρ. τὸν πόλεμον 340 30. παραστῆσαι*: παραστῆναι 341 6. αὐτὸν B 8. ἀσφαλεῖς εἶεν B 29. παντὸς B 30. τε post τῷ B 342 13. οὐχὶ δὲ καὶ B 347 4. τε*: δὲ 348 5. Κρίσπον ὡς ἀσφ. B . 18. προσέβαλον*: προσέβαλλον 350 32. ὑπὲρ?* 353 29. μέντοι] μέν μοι?* 354 2. Τίτον B

Digitized by Google

Digitized by Google

ΙΟΥΔΑΪΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΒΙΒΛΟΣ ΕΚΚΑΙΔΕΚΑΤΗ.

Ἐν δὲ τῇ διοικήσει τῶν ὅλων πραγμάτων ἐσπου- 1
δακὼς ὁ βασιλεὺς τὰς κατὰ μέρος ἀδικίας ἀναστεῖλαι
τῶν περὶ τὴν πόλιν καὶ τὴν χώραν ἁμαρτανομένων, τί-
θησι νόμον οὐδὲν ἐοικότα τοῖς πρώτοις, ὃν αὐτὸς ἐβε-
βαίου, τοὺς τοιχωρύχους ἀποδιδόμενος ἐπ' ἐξαγωγῇ τῆς
βασιλείας, ὅπερ ἦν οὐκ εἰς τιμωρίαν μόνον τῶν πα-
ρόντων φορτικόν, ἀλλὰ καὶ κατάλυσιν περιεῖχε τῶν
πατρίων ἐθῶν. τὸ γὰρ ἀλλοφύλοις καὶ μὴ τὴν αὐτὴν
ἔχουσι δίαιταν τοῦ ζῆν δουλεύειν, καὶ βιάζεσθαι πάνθ'
ὅσα προσέταττον ἐκεῖνοι ἐξ ἀνάγκης ποιεῖν, ἁμαρτία
πρὸς τὴν θρησκείαν ἦν, οὐ κόλασις τῶν ἁλισκομένων,
πεφυλαγμένης ἐν τοῖς πρώτοις τῆς τοιαύτης τιμωρίας.
ἐκέλευον γὰρ οἱ νόμοι τετραπλάσιον καταβαλεῖν τὸν
κλέπτην, οὐκ ἔχοντα δὲ πιπράσκεσθαι μέν, ἀλλ' οὔτι
γε τοῖς ἀλλοφύλοις, οὐδ' ὥστε διηνεκῆ τὴν δουλείαν
ὑπομένειν· ἔδει γὰρ ἀφεῖσθαι μετὰ ἓξαετίαν. τὸ δ',
ὅπερ ὡρίσθη τότε, χαλεπὴν καὶ παράνομον γενέσθαι
τὴν κόλασιν ὑπερηφανίας ἐδόκει μέρος, οὐ βασιλικῶς
ἀλλὰ τυραννικῶς αὐτοῦ καὶ πρὸς τὰ κοινὰ τῶν ἀρχο-
μένων ὀλιγώρως θεῖναι τὴν τιμωρίαν νενοηκότος.

ταῦτα μὲν οὖν καθ' ὁμοιότητα τοῦ λοιποῦ τρόπου 2
γινόμενα μέρος ἦν τῶν διαβολῶν καὶ τῆς ἐπ' αὐτῷ
δυσνοίας· ἐν δὲ τούτῳ τῷ καιρῷ καὶ τὸν εἰς τὴν Ἰταλίαν
πλοῦν ἐποιήσατο, Καίσαρί τε συντυχεῖν ὁρμηθεὶς καὶ

Digitized by Google

θεάσασθαι τοὺς παῖδας ἐν τῇ Ῥώμῃ διατρίβοντας. Καῖσαρ δὲ τά τε ἄλλα φιλοφρόνως αὐτὸν ἐδέξατο, καὶ τοὺς παῖδας, ὡς ἤδη τελειωθέντας ἐν τοῖς μαθήμασιν, ἀπέδωκεν ἄγειν εἰς τὴν οἰκείαν. ὡς δ' ἦκον ἀπὸ τῆς Ἰταλίας, σπουδὴ περὶ τὰ μειράκια τῶν ὄχλων ἦν, καὶ περίοπτοι πᾶσιν ἐγεγόνεισαν, τῷ τε μεγέθει τῆς περὶ αὐτοὺς τύχης κοσμούμενοι, καὶ βασιλικοῦ κατὰ τὰς μορφὰς ἀξιώματος οὐκ ἀποδέοντες. ἐπίφθονοί τε εὐθὺς ἐδόκουν Σαλώμῃ τε τῇ τοῦ βασιλέως ἀδελφῇ καὶ τοῖς Μαριάμμην ταῖς διαβολαῖς κατηγωνισμένοις· οὕτω γὰρ ᾤοντο δυναστευόντων αὐτῶν δίκην δώσειν τῶν εἰς τὴν μητέρα τὴν ἐκείνων παρανομηθέντων. τὴν αὐτὴν οὖν ταύτην ὑπόθεσιν τοῦ δέους εἰς τὴν κατ' ἐκείνων διαβολὴν μετέφερον, λογοποιοῦντες οὐ καθ' ἡδονὰς συνεῖναι τῷ πατρὶ διὰ τὸν τῆς μητρὸς θάνατον, ὡς μηδὲ ὅσιον εἶναι δοκεῖν ἐπὶ ταὐτὸν συνεῖναι τῷ τῆς τεκούσης φονεῖ. ταῦτα γὰρ ἀπὸ τῆς ἀληθείας ἐπὶ τὸ πιθανὸν τῆς αἰτίας φέροντες κακοῦν ἐδύναντο, καὶ τῆς εὐνοίας ἧς εἶχεν εἰς τοὺς παῖδας ἀφαιρεῖν. οὐδὲ γὰρ πρὸς αὐτὸν ἄντικρυς ἔλεγον, ἀλλ' εἰς τὸ λοιπὸν πλῆθος ἐσκόρπιζον τοὺς τοιούτους λόγους, ἐξ οὗ πρὸς Ἡρῴδην ἀναφερομένων ὑποκατεσκευάζετο μῖσος, οὐδ' αὐτῇ τῇ φύσει χρόνῳ νικώμενον. ἐν μέντοι τῷ τότε πάσης ὑποψίας καὶ διαβολῆς μείζονι χρώμενος ὁ βασιλεὺς τῇ τοῦ γεγεννηκέναι φιλοστοργίᾳ, καὶ τιμῆς ἧς ἔδει μετεδίδου καὶ γυναῖκας ἐν ἡλικίᾳ γεγονόσιν ἐξεύγνυεν, Ἀριστοβούλῳ μὲν τὴν Σαλώμης θυγατέρα Βερενίκην, Ἀλεξάνδρῳ δὲ τὴν Ἀρχελάου τοῦ Καππαδόκων βασιλέως Γλαφύραν.

2 ταῦτα διοικήσας, ἐπειδὴ καὶ Μάρκον Ἀγρίππαν ἐπύθετο καταπεπλευκέναι πάλιν ἐκ τῆς Ἰταλίας εἰς τὴν Ἀσίαν, ἐπειχθεὶς πρὸς αὐτὸν ἠξίωσεν εἴς τε τὴν

Digitized by Google

βασιλείαν αὐτοῦ παρελθεῖν καὶ τυχεῖν ὧν ἔδει παρὰ ἀνδρὸς ξένου καὶ φίλου. κἀκεῖνος μὲν εἴξας λιπαρῶς ἐπειμένου ἦκεν εἰς τὴν Ἰουδαίαν· Ἡρώδης δ' οὐδὲν ἀρεσκείας ἀπέλειπεν, ἔν τε ταῖς νεοκτίστοις πόλεσιν ὑποδεχόμενος αὐτόν, καὶ μετὰ τοῦ τὰς κατασκευὰς ἐπιδεικνύναι πᾶσαν ἀπόλαυσιν διαίτης καὶ πολυτελείας ἀλλάττων αὐτῷ καὶ τοῖς φίλοις, ἔν τε τῇ Σεβαστῇ καὶ Καισαρείᾳ περὶ τὸν λιμένα τὸν ὑπ' αὐτοῦ κατεσκευασμένον, κἀν τοῖς ἐρύμασιν, ἃ πολλαῖς δαπάναις ἐξῳκοδόμησεν, τό τε Ἀλεξάνδρειον καὶ Ἡρώδειον καὶ τὴν Τρκανίαν. ἦγε δὲ καὶ εἰς τὴν πόλιν τῶν Ἱεροσολυμιτῶν, ὑπαντῶντός τε τοῦ δήμου παντὸς ἐν ἑορτώδει στολῇ καὶ δεχομένου τὸν ἄνδρα σὺν εὐφημίαις. Ἀγρίππας δὲ τῷ θεῷ μὲν ἑκατόμβην κατέθυσεν, εἰστία δὲ τὸν δῆμον, οὐδενὸς τῶν μεγίστων πλήθει λειπόμενος. αὐτὸς δέ, ὅσον ἐπὶ τῷ καθ' ἡδονὴν κἂν ἔτι πλείους ἐπιμείνας ἡμέρας, διὰ τὸν καιρὸν ἠπείγετο· τὸν γὰρ πλοῦν, ἐπιβαίνοντος τοῦ χειμῶνος, οὐκ ἐνόμιζεν ἀσφαλῆ κομιζομένῳ πάλιν ἐξ ἀνάγκης εἰς τὴν Ἰωνίαν.

ἐκεῖνος μὲν οὖν ἀπέπλει, πολλαῖς αὐτὸν δωρεαῖς 2
τετιμηκότος Ἡρώδου καὶ σὺν αὐτῷ τοὺς ἐπισημοτάτους· ὁ δὲ βασιλεὺς χειμάσας ἐν τοῖς οἰκείοις, ἕως ἠπείγετο συντυχεῖν αὐτῷ, τὴν εἰς Βόσπορον εἰδὼς στρατείαν προηρημένον. καὶ πλεύσας διὰ Ῥόδου καὶ Κῶ προσέσχεν περὶ Λέσβον, οἰόμενος ἐκεῖ καταλήψεσθαι τὸν Ἀγρίππαν. ἐκεῖ δὲ αὐτὸν ἀπολαμβάνει πνεῦμα βόρειον, εἶργον τὴν ἀναγωγὴν τῶν νεῶν. ὃ δ' ἐπιδιέτριβεν ἡμέρας πλείους ἐν τῇ Χίῳ, καὶ πολλοὺς μὲν τῶν προσιόντων αὐτῷ δεξιούμενος ἀνελάμβανε βασιλικαῖς δωρεαῖς, αὐτῆς δὲ τῆς πόλεως ἰδὼν πεπτωκυῖαν στοάν, ἣν ἐν τῷ Μιθριδατικῷ πολέμῳ καθαιρεθεῖσαν

Digitized by Google

οὐχ ὥσπερ τὰ ἄλλα διὰ μέγεθος καὶ κάλλος ἀναστῆναι ῥᾴδιον ἦν, χρήματα δοὺς ὅσον μὴ μόνον ἐπαρκεῖν ἀλλὰ καὶ περιττεύειν ἐδύνατο πρὸς τὴν συντέλειαν τοῦ κατασκευάσματος, ἐνετέλλετο μὴ περιορᾶν ἀλλὰ θᾶττον ἐγείρειν, ἀποκαθιστάντας τῇ πόλει τὸν ἴδιον κόσμον. αὐτὸς δὲ λήξαντος τοῦ πνεύματος εἰς Μιτυλήνην κἀκεῖθεν εἰς Βυζάντιον παρακομισθείς, ὡς ἤκουσεν ἐντὸς Κυανεῶν ἤδη πεπλευκέναι τὸν Ἀγρίππαν, μετέσπευδεν ὡς ἐνῆν. καὶ περὶ Σινώπην τὴν ἐν Πόντῳ καταλαβὼν ἀπροσδόκητος μὲν ὤφθη ταῖς ναυσὶν προσπλέων, ἀσμένως δὲ ἐφάνη, πολλαί τε φιλοφρονήσεις ἦσαν, ὥς γε καὶ μεγίστην πίστιν εἰληφέναι δοκοῦντος εὐνοίας καὶ φιλοστοργίας τῆς εἰς ἑαυτὸν Ἀγρίππα, τοσοῦτον μὲν πλοῦν ἀνύσαντος τοῦ βασιλέως, οὐκ ἀπολειφθέντος δὲ τῆς ἐκείνου χρείας, ἣν μετὰ τοῦ καταλιπεῖν ἀρχὴν καὶ διοίκησιν οἰκείων πραγμάτων προυργιαιτέραν ἔθετο. πᾶν γοῦν ἦν αὐτῷ κατὰ τὴν στρατείαν Ηρῴδης, ἔν τε τοῖς πραγματικοῖς συναγωνιστὴς κἂν τοῖς κατὰ μέρος σύμβουλος, ἡδὺς δὲ κἂν ταῖς ἀνέσεσι, καὶ μόνος ἁπάντων κοινωνός, ὀχληρῶν μὲν διὰ τὴν εὔνοιαν, ἡδέων δὲ διὰ τὴν τιμήν. ὡς δ' αὐτοῖς κατείργαστο καὶ τὰ περὶ τὸν Πόντον, ὧν ἕνεκεν Ἀγρίππας ἐστάλη, τὴν ἀνακομιδὴν οὐκέτ' ἐδόκει ποιεῖσθαι πλέουσιν, ἀλλὰ διαμειψάμενοι τήν τε Παφλαγονίαν καὶ Καππαδοκίαν, κἀκεῖθεν ἐπὶ τῆς μεγάλης Φρυγίας ὁδεύσαντες εἰς Ἔφεσον ἀφίκοντο, πάλιν δὲ ἐξ Ἐφέσου διέπλευσαν εἰς Σάμον. πολλαὶ μὲν οὖν καὶ καθ' ἑκάστην πόλιν εὐεργεσίαι τῷ βασιλεῖ κατὰ τὰς χρείας τῶν ἐντυγχανόντων ἐγένοντο. καὶ γὰρ αὐτὸς ὅσα διὰ χρημάτων ἦν ἢ δεξιώσεως οὐ παρέλειπεν, ἐξ αὐτοῦ τὰς δαπάνας ποιούμενος· καὶ τῶν παρ' Ἀγρίππα τισὶν ἐπιζητουμένων μεσίτης ἦν, καὶ διεπράττετο μηδενὸς ἀτυχῆσαι

Digitized by Google

τοὺς δεομένους. ὄντος δὲ κἀκείνου χρηστοῦ καὶ μεγαλοψύχου πρὸς τὸ παρέχειν ὅσα τοῖς ἠξιωκόσιν ὠφέλιμα ὄντα μηδένα τῶν ἄλλων ἐλύπει, πλεῖστον ἡ τοῦ βασιλέως ἐποίει ῥοπή, προτρέπουσα πρὸς τὰς εὐεργεσίας οὐ βραδύνοντα τὸν Ἀγρίππαν. Ἰλιεῦσι μὲν γὰρ αὐτὸν διήλλαξεν ὀργιζόμενον, διέλυσε δὲ Χίοις τὰ πρὸς τοὺς Καίσαρος ἐπιτρόπους χρήματα καὶ τῶν εἰσφορῶν ἀπήλλαξε, τοῖς δὲ ἄλλοις καθὸ θεηθεῖεν ἑκάστοις παρίστατο.

τότε δὲ περὶ τὴν Ἰωνίαν αὐτῶν γενομένων, πολὺ 3 πλῆθος Ἰουδαίων, οἳ τὰς πόλεις ᾤκει, προσῄει καιροῦ καὶ παρρησίας ἐπειλημμένοι, καὶ τὰς ἐπηρείας ἔλεγον ἃς ἐπηρεάζοντο, μήτε νόμοις οἰκείοις ἐώμενοι χρῆσθαι, δίκας τε ἀναγκαζόμενοι διδόναι κατ' ἐπήρειαν τῶν εὐθυνόντων ἐν ἱεραῖς ἡμέραις, καὶ ὡς τῶν εἰς Ἱεροσόλυμα χρημάτων ἀνατιθεμένων ἀφαιροῖντο, στρατειῶν καὶ λειτουργιῶν ἀναγκαζόμενοι κοινωνεῖν καὶ πρὸς ταῦτα δαπανᾶν τῶν ἱερῶν χρημάτων, ὧν ἀφείθησαν ἀεὶ Ῥωμαίων αὐτοῖς ἐπιτρεψάντων κατὰ τοὺς οἰκείους ζῆν νόμους. τοιαῦτα καταβοώντων παρῆτήσατο μὲν ὁ βασιλεὺς ἀκοῦσαι τὸν Ἀγρίππαν αὐτῶν δικαιολογουμένων, Νικόλαον δέ τινα τῶν αὐτοῦ φίλων ἔδωκεν εἰπεῖν ὑπὲρ αὐτῶν τὰ δίκαια. τοῦ δὲ Ἀγρίππα Ῥωμαίων τε τοὺς ἐν τέλει καὶ βασιλέων καὶ δυναστῶν τοὺς παρόντας αὐτῷ συνέδρους ποιησαμένου, καταστὰς ὁ Νικόλαος ὑπὲρ τῶν Ἰουδαίων ἔλεξεν.

"Ἅπασι μέν, ὦ μέγιστε Ἀγρίππα, τοῖς ἐν χρείᾳ 4 γεγενημένοις ἀνάγκη καταφεύγειν ἐπὶ τοὺς ἀφελέσθαι τὰς ἐπηρείας αὐτῶν δυνησομένους, τοῖς δὲ νῦν ἐντυγχάνουσι καὶ παρρησία. τυχόντες γὰρ πρότερον ὑμῶν οἵους ηὔξαντο πολλάκις, τὸ μὴ τὰς χάριτας ἀφαιρεῖσθαι δι' ὑμῶν αἰτοῦνται τῶν δεδωκότων, καὶ ταῦτα

Digitized by Google

εἰληφότες μὲν αὐτὰς παρὰ τούτων οἷς μόνοις διδόναι δύναμις, ἀφαιρούμενοι δ' ὑπ' οὐδενὸς κρείττονος, ἀλλ' οὓς ἴσον ἔχειν αὐτοῖς ἀρχομένους ὁμοίως ὑμῖν ἴσασιν. καίτοι γε εἰ μεγάλων ἠξιώθησαν, ἔπαινός ἐστι τῶν τετυχηκότων ὅτι τοσούτων παρέσχον αὐτοὺς ἀξίους· εἰ δὲ μικρῶν, αἰσχρὸν μὴ καὶ ταῦτα βεβαιοῦν τοὺς δεδωκότας. οἵ γε μὴν ἐμποδὼν ὄντες καὶ πρὸς ἐπήρειαν χρώμενοι Ἰουδαίοις εὔδηλον ὡς ἄμφω ἀδικοῦσι, τούς τε εἰληφότας, εἰ μὴ νομίζοιεν ἀγαθοὺς οἷς οἱ κράτιστοι ἐμαρτύρησαν ἐν τῷ καὶ τοιαῦτα δεδωκέναι, καὶ τοὺς δεδωκότας, εἰ τὰς χάριτας αὐτῶν ἀβεβαίους ἀξιοῦσι γενέσθαι. εἰ δέ τις αὐτοὺς ἔροιτο δύο τούτων πότερον ἐθέλοιεν ἂν ἀφαιρεθῆναι, τὸ ζῆν ἢ τὰ πάτρια ἔθη, τὰς πομπάς, τὰς θυσίας, τὰς ἑορτάς, ἃς τοῖς νομιζομένοις προσάγουσι θεοῖς, εὖ οἶδ' ὅτι πάντα μᾶλλον αἱρήσονται παθεῖν ἢ καταλῦσαί τι τῶν πατρίων. καὶ γὰρ τοὺς πολέμους οἱ πολλοὶ διὰ ταῦτα αἱροῦνται, φυλαττόμενοι τὸ μὴ παραβαίνειν αὐτά, καὶ τὴν εὐδαιμονίαν, ἣν νῦν τὸ σύμπαν τῶν ἀνθρώπων γένος δι' ὑμᾶς ἔχει, τούτῳ μετροῦμεν, τῷ ἐξεῖναι κατὰ χώραν ἑκάστοις τὰ οἰκεῖα τιμῶσιν ἄγειν καὶ διαζῆν. τοῦτο μὲν οὖν ὃ οὐκ ἂν αὐτοὶ παθεῖν ἐθέλοιεν βιάζονται δρᾶν κατ' ἄλλων, ὥσπερ οὐχ ὁμοίως ἀσεβοῦντες εἴτε τῶν οἰκείων εἰς θεοὺς ὁσίων ἀμελοῖεν εἴτε τὰ οἰκεῖά τισιν ἀνοσίως καταλύοιεν. τὸ δ' ἕτερον ἤδη σκοπήσωμεν. ἔστι τις δῆμος ἢ πόλις ἢ κοινὸν ἔθνος ἀνθρώπων, οἷς οὐ μέγιστον ἀγαθὸν πέφηνεν ἡ προστασία τῆς ὑμετέρας ἀρχῆς καὶ τὸ Ῥωμαϊκὸν κράτος; ἐθέλοι δ' ἄν τις ἀκύρους τὰς ἐντεῦθεν εἶναι χάριτας; οὐδεὶς οὐδὲ μαινόμενος· οὐδὲ γὰρ εἰσὶν οἱ μὴ μετέχοντες αὐτῶν ἰδίᾳ καὶ κοινῇ. καὶ μὴν οἵ τινα ὧν ὑμεῖς ἔδοτε παραιρούμενοι, βέ-

Digitized by Google

βαιον οὐδ' αὐτοῖς οὐδὲν ὧν δι' ὑμᾶς ἔχουσιν ὑπολείπονται. καίτοι τὰς μὲν τούτων χάριτας οὐδὲ μετρῆσαι δυνατόν ἐστιν· εἰ γὰρ ἐκλογίσαιντο τὴν πάλαι βασιλείαν καὶ τὴν νῦν ἀρχήν, πολλῶν ὄντων ὅσα πρὸς εὐδαιμονίαν αὐτοῖς ἐπέδωκεν, ἕνι κατὰ πάντων ἀρκεῖ τὸ μηκέτι δούλους ἀλλ' ἐλευθέρους φαίνεσθαι. τὰ δ' ἡμέτερα καὶ λαμπρῶς πραττόντων οὐκ ἔστιν ἐπίφθονα. δι' ὑμᾶς γὰρ καὶ μετὰ πάντων εὐτυχοῦμεν, καὶ τούτου μόνου μετέχειν ἠξιώσαμεν, ἀκωλύτως τὴν πάτριον εὐσέβειαν διαφυλάττειν, ὃ καὶ καθ' αὑτὸ δόξειεν οὐκ ἐπίφθονον καὶ πρὸς τῶν συγχωρούντων εἶναι· τὸ γὰρ θεῖον εἰ χαίρει τιμώμενον, χαίρει τοῖς ἐπιτρέπουσι τιμᾶν. ἐθῶν τε τῶν ἡμετέρων ἀπάνθρωπον μὲν οὐθέν ἐστιν, εὐσεβῆ δὲ πάντα καὶ τῇ σωζούσῃ δικαιοσύνῃ συγκαθωσιωμένα· καὶ οὔτ' ἀποκρυπτόμεθα τὰ παραγγέλματα οἷς χρώμεθα πρὸς τὸν βίον ὑπομνήμασι τῆς εὐσεβείας καὶ τῶν ἀνθρωπίνων ἐπιτηδευμάτων, τήν τε ἑβδόμην τῶν ἡμερῶν ἀνίεμεν τῇ μαθήσει τῶν ἡμετέρων ἐθῶν καὶ νόμων, μελέτην ὥσπερ ἄλλου τινὸς καὶ τούτων ἀξιοῦντες εἶναι δι' ὧν οὐχ ἁμαρτησόμεθα. καλὰ μὲν οὖν, ἐὰν ἐξετάζῃ τις, καὶ καθ' αὑτὰ τὰ ἔθη, παλαιὰ δὲ ἡμῖν, κἂν μή τισι δοκῇ· ὥστ' αὐτῶν καὶ τὸ τοῦ χρόνου τιμητὸν δυσαποδίδατον εἶναι τοῖς ὁσίως παρειληφόσι καὶ διαφυλάττουσιν. τούτων ἡμᾶς ἀφαιροῦνται κατ' ἐπήρειαν, χρήματα μὲν ἃ τῷ θεῷ συμφέρομεν ἐπώνυμα διαπάζοντες καὶ φανερῶς ἱεροσυλοῦντες, τέλη δὲ ἐπιτιθέντες, κἂν ταῖς ἑορταῖς ἄγοντες ἐπὶ δικαστήρια καὶ πραγματείας ἄλλας, οὐ κατὰ χρείαν τῶν συναλλαγμάτων ἀλλὰ κατ' ἐπήρειαν τῆς θρησκείας ἣν συνίσασιν ἡμῖν, μῖσος οὐ δίκαιον οὐδ' αὐτεξούσιον αὐτοῖς πεπονθότες· ἡ γὰρ ὑμετέρα κατὰ πάντων ἀρχὴ γενομένη μία τὴν

Digitized by Google

μὲν εὔνοιαν ἐνεργὸν τὴν δὲ δύσνοιαν ἀργὸν ποιεῖ τοῖς τοιοῦτον ἀντ' ἐκείνου προαιρουμένοις. ταῦτ' οὖν ἀξιοῦμεν, ὦ μέγιστε Ἀγρίππα, μὴ κακῶς πάσχειν, μηδὲ ἐπηρεάζεσθαι, μηδὲ κωλύεσθαι τοῖς ἔθεσι χρῆσθαι τοῖς ἡμετέροις, μηδ' ἀφαιρεῖσθαι τῶν ὄντων, μηδ' ἃ μὴ βιαζόμεθα τούτους, ὑπὸ τούτων βιάζεσθαι. καὶ γὰρ οὐ δίκαια μόνον ἐστίν, ἀλλὰ καὶ ὑφ' ὑμῶν δεδομένα πρότερόν [ἐστι]· καὶ δυναίμεθ' ἂν καὶ πολλὰ δόγματα τῆς συγκλήτου καὶ τὰς ἐν τῷ Καπετωλίῳ κειμένας δέλτους ὑπὲρ τούτων ἀναγινώσκειν, ἃ δῆλον μὲν ὡς μετὰ πεῖραν τῆς ἡμετέρας εἰς ὑμᾶς πίστεως ἐδόθη, κύρια δὲ κἂν εἰ μηδενὸς ὑπάρξαντος ἐχαρίσασθε. σχεδὸν γὰρ οὐ μόνοις ἡμῖν ἀλλὰ πᾶσιν ἀνθρώποις τὰ μὲν ὄντα φυλάξαντες, μείζω δὲ τῶν ἐλπισθέντων προσθέντες εὐεργετεῖτε τῷ κρατεῖν· καὶ δύναιτ' ἄν τις ἐπεξιὼν τὰς ἑκάστων εὐτυχίας, ἃς δι' ὑμῶν ἔχουσιν, ἀπερίληπτον ποιῆσαι τὸν λόγον. ἵνα μέντοι καὶ δικαίως ἁπάντων αὐτῶν τυγχάνοντας ἑαυτοὺς ἐπιδείξωμεν, ἀρκεῖ πρὸς παρρησίαν ἡμῖν, τὰ πρότερον σιωπήσασι, τὸν βασιλεύοντα νῦν ἡμῶν καὶ σοὶ παρακαθεζόμενον εἰπεῖν. ποία μὲν εὔνοια πρὸς τὸν ὑμέτερον οἶκον παραλέλειπται, ποία δὲ πίστις ἐνδεής ἐστιν; τίς δὲ οὐ νενόηται τιμή; ποία δὲ χρεία μὴ εἰς πρῶτον ὁρᾷ; τί δὴ κωλύει καὶ τὰς ὑμετέρας χάριτας τῶν εἰς τοσοῦτον εὐεργεσιῶν ἀριθμὸν εἶναι; καλὸν δ' ἴσως μηδὲ τὴν τοῦ πατρὸς Ἀντιπάτρου παραλιπεῖν ἀνδραγαθίαν ἀμνημόνευτον, ὃς εἰς Αἴγυπτον εἰσβεβληκότος Καίσαρος δισχιλίοις ὁπλίταις βοηθήσας, οὔτ' ἐν τοῖς κατὰ γῆν ἀγῶσιν οὔθ' ὅτε νεῶν ἔδει δεύτερος ἐξητάζετο. καὶ τί δεῖ λέγειν ὅσην ἐκεῖνοι παρέσχον ὁρμὴν τῷ τότε καιρῷ, καὶ πόσων καὶ τίνων δωρεῶν ὑπὸ Καίσαρος ἠξιώθησαν, ἄνωθεν δέον ἀναμνῆσαι

Digitized by Google

τῶν ἐπιστολῶν ἃς ἔγραψε τότε Καῖσαρ τῇ συγκλήτῳ, καὶ ὡς δημοσίᾳ τιμὰς καὶ πολιτείαν ἔλαβεν Ἀντίπατρος. ἀρκέσει γὰρ ταῦτα τὰ τεκμήρια τοῦ καὶ τὰς χάριτας ἡμᾶς κατ' ἀξίαν ἔχειν καὶ παρὰ σοῦ τὸ βέβαιον αὐτῶν αἰτεῖν, παρ' οὗ καὶ πρότερον μὴ δοθείσας ἦν ἐλπίσαι, τὴν τοῦ βασιλέως πρὸς ὑμᾶς διάθεσιν καὶ τὴν ὑμετέραν πρὸς αὐτὸν ὁρῶσιν. ἀπαγγέλλεται δὲ ἡμῖν ὑπὸ τῶν ἐκεῖ Ἰουδαίων ὡς μὲν ἐπέβης τῆς χώρας εὐμενής, ὡς δὲ ἀπέδωκας τῷ θεῷ τέλεια θύματα, τιμῶν αὐτὸν ἐπὶ τελείαις εὐχαῖς, ὡς δὲ τὸν δῆμον εἱστίασας καὶ τὰ παρ' αὐτοῦ ἐκείνου ξένια προσήκω. ταῦτα γὰρ πάντα καὶ ἐν ἔθνει καὶ πόλει πρὸς ἄνδρα τοσούτων ἐπιστατοῦντα πραγμάτων δεξιώματα καὶ σύμβολα φιλίας χρὴ δοκεῖν, ἣν ἀπέδωκας τῷ Ἰουδαίων ἔθνει, τῆς Ἡρῴδου προξενούσης αὐτὴν ἑστίας. τούτων ὑπομιμνήσκοντές σε, καὶ αὐτοῦ τοῦ παρόντος καὶ συγπαθεζομένου βασιλέως, ἠξιώκαμεν περιττὸν οὐδέν, ἃ δ' αὐτοὶ δεδώκατε, ταῦθ' ὑπ' ἄλλων μὴ περιιδεῖν ἀφαιρουμένους."

τοιαῦτα δὲ τοῦ Νικολάου διελθόντος ἐγένετο μὲν οὐδεμία τῶν Ἑλλήνων ἀντικατάστασις· οὐδὲ γὰρ ὡς ἐν δικαστηρίῳ περὶ τῶν προκειμένων διελάμβανον, ἀλλ' ἦν ἔντευξις ὧν ἐβιάζοντο, κἀκείνων ἀπολογία μὲν οὐδεμία τοῦ μὴ ταῦτα ποιεῖν, πρόφασις δὲ ὡς τὴν χώραν αὐτῶν νεμόμενοι πάντα νῦν ἀδικοῖεν. οἱ δὲ ἐγγενεῖς τε αὐτοὺς ἐδείκνυσαν, κἂν τῷ τὰ οἰκεῖα τιμᾶν μηδὲν λυποῦντες οἰκεῖν. συνιδὼν οὖν Ἀγρίππας βιαζομένους ἀπεκρίνατο ταῦτα, διὰ μὲν δὴ Ἡρῴδου πρὸς αὐτὸν εὔνοιάν τε καὶ φιλίαν ἕτοιμος εἶναι πᾶν ὁτιοῦν χαρίζεσθαι Ἰουδαίοις, ἃ δ' ἀξιοῦσι, καὶ καθ' αὑτὰ δίκαια δοκεῖν, ὥστ' εἰ μὲν ἐδέοντο καὶ πλειόνων, οὐκ ἂν ὀκνῆσαι τά γε μὴ λυποῦντα τὴν Ῥωμαίων ἀρχὴν

Digitized by Google

παρασχεῖν· ἐπεὶ δὲ ἃ καὶ πρότερον εἰλήφασιν, ἄκυρα μὴ γενέσθαι, βεβαιοῦν αὐτοῖς ἀνεπηρεάστους ἐν τοῖς οἰκείοις διατελεῖν ἔθεσι. τοιαῦτα εἰπὼν διέλυε τὸν σύλλογον, Ἡρώδης δὲ προσεστὼς κατησπάζετο καὶ τῆς πρὸς αὐτὸν διαθέσεως ὡμολόγει χάριν. ὃ δὲ καὶ εἰς ταῦτα φιλοφρονούμενος ἴσον αὐτὸν παρεῖχεν, ἀντεμπλεκόμενος καὶ κατασπαζόμενος. καὶ τότε μὲν ἀνεχώρησεν ἀπὸ Λέσβου, ἀπὸ δὲ Σάμου πλεῖν ὁ βασιλεὺς ἐπ' οἶκου διέγνω, καὶ τὸν Ἀγρίππαν παραιτησάμενος ἀνήχθη. κατάγεται δὲ εἰς Καισάρειαν οὐ πολλαῖς ὕστερον ἡμέραις, πνευμάτων ἐπιτηδείων τυχών. κἀκεῖθεν ἐλθὼν εἰς Ἱεροσόλυμα συνήγαγεν ἐκκλησίαν πάνδημον· ἦν δὲ πολὺς κἀκ τῆς χώρας ὄχλος. ὃ δὲ παρελθὼν ἀπολογισμόν τε τῆς ὅλης ἀποδημίας ἐποιήσατο, καὶ τὰ περὶ τοὺς Ἰουδαίους ὅσοι κατὰ τὴν Ἀσίαν ἦσαν, ὡς δι' αὐτὸν ἀνεπηρεάστως εἰς τὸ λοιπὸν ἔξουσι, διηγήσατο. τό τε σύμπαν ἐπὶ ταῖς εὐτυχίαις καὶ τῇ διοικήσει τῆς ἀρχῆς, ὡς οὐδὲν παραλίποι τῶν ἐκείνοις συμφερόντων, ἀγαλλόμενος τὸ τέταρτον τῶν φόρων ἀφίησιν αὐτοῖς τοῦ παρεληλυθότος ἔτους. οἳ δὲ καὶ τῇ χάριτι καὶ τῷ λόγῳ δεδημαγωγημένοι μετὰ πλείστης ἀπῄεσαν χαρᾶς, πολλὰ ἀγαθὰ συνευχόμενοι τῷ βασιλεῖ.

3 προύβαινε δὲ ἀεὶ τὰ κατὰ τὴν στάσιν τῆς οἰκίας καὶ χαλεπωτέραν ἐλάμβανε τὴν ἐπίδοσιν, ἀντιμεταλαβούσης μὲν ὥσπερ ἐκ κληρονομίας τὸ κατὰ τῶν νεανίσκων μῖσος τῆς Σαλώμης, καὶ πᾶν ὅσον εὐδοκιμήκει κατὰ τῆς μητρὸς αὐτῶν εἰς ἀπόνοιαν καὶ θράσος λαμβανούσης, μηδένα τῶν ἐξ ἐκείνης καταλιπεῖν ὃς δυνήσεται τιμωρῆσαι τῷ θανάτῳ τῆς δι' αὐτὴν ἀνῃρημένης, ἐχόντων δέ τι καὶ τῶν νεανίσκων θρασὺ καὶ θύσνουν εἰς τὸν γεγεννηκότα μνήμη τε τῆς μητρὸς οἷα πάθοι παρὰ τὴν ἀξίαν καὶ τῇ τοῦ κρατεῖν ἐπιθυμίᾳ. πάλιν τε

Digitized by Google

τὸ καπὸν ὅμοιον ἐγεγόνει τοῖς πρώτοις, βλασφημίαι μὲν ἐξ ἐκείνων εἷς τε τὴν Σαλώμην καὶ τὸν Φερώραν, κακοήθειαι δὲ τούτων εἰς τὰ μειράκια καὶ μετὰ πραγματείας ἐπιβουλή. τὸ μὲν γὰρ μῖσος ἴσον ἦν ἐξ ἀλλήλων, ὁ δὲ τρόπος τοῦ μισεῖν οὐχ ὅμοιος, ἀλλ' οἱ μὲν ἐν τῷ φανερῷ λοιδορηθῆναι καὶ προσονειδίσαι προπετεῖς, εὐγενὲς ὑπὸ τῆς ἀπειρίας οἰόμενοι τὸ τῆς ὀργῆς ἀνυπόστολον, οἱ δ' οὐ τὸν αὐτὸν τρόπον ἀλλὰ πραγματικῶς καὶ κακοήθως ἐχρῶντο ταῖς διαβολαῖς, προέλκοντες ἀεὶ τὰ μειράκια, καὶ τὸ θρασὺ καταλογιζόμενοι βίαιον ἔσεσθαι πρὸς τὸν γεγεννηκότα· τὸ γὰρ οὐκ αἰδεῖσθαι ταῖς τῆς μητρὸς ἁμαρτίαις, οὐδ' οἴεσθαι δίκαια παθεῖν ἐκείνην, ἄσχετον εἶναι πρὸς τὸ μὴ τὸν αἴτιον δοκοῦντα τιμωρήσασθαι καὶ δι' αὐτοχειρίας. τέλος οὖν ἀνεπλήσθη πᾶσα ἡ πόλις τῶν τοιούτων λόγων, καὶ καθάπερ ἐν τοῖς ἀγωνίσμασιν, ἠλείπτο μὲν ἡ τῶν μειρακίων ἀπειρία, κατίσχυε δ' ἡ τῆς Σαλώμης ἐπιμέλεια, καὶ παρ' αὐτῶν ἐκείνων τὰς ἀφορμὰς τοῦ μὴ ψευδῆ λέγειν ἐλάμβανεν. οἱ γὰρ οὕτως ἀχθόμενοι τῷ θανάτῳ τῆς μητρός, ἐπειδὴ κἀκείνην καὶ σφᾶς αὐτοὺς κακῶς ἔλεγον, ἐφιλονείκουν ἐλεεινὴν μέν, ὥσπερ ἦν, ἀποφαίνειν τὴν καταστροφὴν τῆς μητρός, ἐλεεινοὺς δὲ αὐτούς, οἷς τῆς ἐκείνης φονεῦσιν ἀναγκάζονται συζῆν καὶ τῶν αὐτῶν μεταλαμβάνειν.

ταῦτα προῆει μειζόνως, καιρὸν ἐχούσης τῆς στά- 2
σεως ἐν ἀποθημίᾳ τοῦ βασιλέως. ὡς δ' ἐπανῆλθεν Ἡρώδης καὶ τῷ πλήθει διελέξατο, καθὼς προειρήκαμεν, προσέπιπτον εὐθὺς οἱ λόγοι παρά τε τοῦ Φερώρα καὶ τῆς Σαλώμης, μέγαν αὐτῷ τὸν κίνδυνον εἶναι τὸν παρὰ τῶν νεανίσκων, ἀναφανδὸν διαπειλουμένων ὡς οὐκ ἀνέξονται μὴ τισάμενοι τῆς μητρὸς τὸν φόνον. προσετίθεσαν δ' ἔτι καὶ ὡς ταῖς παρ' Ἀρχελάου τοῦ Καπ-

Digitized by Google

πάδοκος ἐλπίσιν ἐπανέχοιεν ὡς δι' ἐκείνου πρός τε Καίσαρα ἀφιξόμενοι καὶ κατηγορήσοντες τοῦ πατρός. Ἡρώδης δὲ τετάρακτο μὲν εὐθὺς ἀκούσας τοιούτων, ἐξεπέπληκτο δὲ μᾶλλον ὅτι καὶ τῶν ἄλλων τινὲς ἀπήγγελλον. ἀνέκαμπτε δὲ τῇ συμφορᾷ τά τε πρῶτα κατα- λογιζόμενος, ὡς οὔτε τῶν φιλτάτων οὔτε τῆς στεργομέ- νης αὐτῷ γυναικὸς ὤνατο διὰ τὰς ἐγγενομένας ταραχὰς κατὰ τὴν οἰκίαν, τό τε μέλλον τοῦ προσπεπτωκότος ἤδη βαρύτερον καὶ μεῖζον ἔσεσθαι ὑπολαμβάνων ἐν συγχύ- σει τῆς ψυχῆς ἦν. τῷ γὰρ ὄντι πλεῖστα μὲν τῶν ἔξω- θεν καὶ παρ' ἐλπίδας εἰς εὐτυχίαν αὐτῷ τὸ δαιμόνιον προσετίθει, μέγιστα δὲ τῶν οἰκοι καὶ μηδὲ προσδοκώ- μενα δυστυχεῖν αὐτῷ συνέβαινεν, ἑκατέρου προϊόντος ὡς οὐκ ἄν τις ᾠήθη, καὶ παρέχοντος ἀμφήριστον τὴν ὑπερβολήν, εἰ δέον τὴν τοσαύτην εὐτυχίαν τῶν ἔξωθεν πραγμάτων ἀλλάξασθαι τῶν οἰκοι κακῶν, ἢ τοιοῦτο μέ- γεθος τῶν περὶ τοὺς οἰκείους συμφορῶν διαφυγεῖν ἐν τῷ μηδὲ τὰ τῆς βασιλείας θαυμαζόμενα κεκτῆσθαι.

3 ταρασσόμενος δὴ καὶ διακείμενος τὸν τρόπον τοῦ- τον, ἐπὶ καθαιρέσει τῶν μειρακίων ἕτερον αὐτῷ γενό- μενον ἰδιωτεύοντι παῖδα προσήγετο, καὶ τοῦτον ἐδόκει τιμᾶν (ἐκαλεῖτο δὲ Ἀντίπατρος), οὐχ ὥσπερ ἐν ὑστέρῳ καὶ τελέως ἡττηθεὶς αὐτοῦ καὶ πάντ' εἰς ἐκεῖ- νον ἀναφέρων, οἰόμενος δὲ παραιρεῖσθαι τοῦ θράσους τοὺς ἐκ Μαριάμμης, καὶ μᾶλλον εἰς νουθεσίαν τὴν ἐκεί- νων οἰκονομῶν αὐτό· τὸ γὰρ αὖθαδες οὐκ ἂν εἴη παρ' αὐτοῖς, εἰ τοῦτο πεισθεῖεν, ὅτι μὴ μόνοις μηδὲ ἐξ ἀνάγ- κης ἡ διαδοχὴ τῆς βασιλείας ὀφείλεται. διὸ καὶ κα- θάπερ ἔφεδρόν τινα τὸν Ἀντίπατρον εἰσῆγεν, οἰόμενος ὀρθῶς προνοεῖν, καὶ κατασταλέντων τῶν μειρακίων ἐξεῖναι εὐκαίρως χρῆσθαι βελτίοσιν. τὸ δ' οὐχ ὥσπερ ἐνόησεν ἀπέβη. τοῖς τε γὰρ παισὶν οὐ μετρίως ἐδόκει

Digitized by Google

κεχρῆσθαι τῇ πρὸς αὐτοὺς ἐπηρείᾳ, καὶ δεινὸς ὢν τον τρόπον Ἀντίπατρος, ἐπειδὴ παρρησίας τινὸς ἔκ τῆς οὐ πρότερον οὔσης ἐλπίδος ἀντεποιήσατο, μίαν ἔσχεν ὑπόθεσιν, κακοῦν τοὺς ἀδελφοὺς καὶ μὴ παραχωρεῖν τῶν πρωτείων, ἀλλ' ἔχεσθαι τοῦ πατρός, ἤδη μὲν ἠλλοτριωμένου ταῖς διαβολαῖς, εὐμεταχειρίστου δ' ὄντος εἰς ὅπερ ἐσπουδάκει, πολὺ χαλεπώτερον ἀεὶ γενέσθαι τοῖς διαβεβλημένοις. ἦσαν οὖν οὗτοι παρ' αὐτοῦ μόνου οἱ λόγοι, φυλαττομένου δι' αὐτοῦ δόξαι τὰ τοιαῦτα καταμηνύειν, ἀλλὰ μᾶλλον ἐχρῆτο συνεργοῖς τοῖς ἀνυπόπτοις καὶ διὰ τὴν εὔνοιαν τὴν πρὸς τὸν βασιλέα πιστευθησομένοις αὐτὸ ποιεῖν. ἤδη δὲ πλείους ἐγεγόνεισαν οἱ κἀκεῖνον ἐφ' οἷς ἠλπίκει θεραπεύοντες καὶ τὸν Ἡρώδην ἐκ τοῦ δοκεῖν κατ' εὔνοιαν τὰ τοιαῦτα λέγειν ὑπαγόμενοι. καὶ τούτων πολυπροσώπως καὶ πιστῶς ἀλλήλοις συναγωνιζομένων, ἔτι καὶ μᾶλλον αἱ παρὰ τῶν μειρακίων ἀφορμαὶ προσεγίνοντο· καὶ γὰρ καὶ δάκρυα πολλάκις ἦν κατ' ἐπήρειαν ὧν ἠτιμάζοντο καὶ τῆς μητρὸς ἀνακλήσεις, καὶ τὸν πατέρα φανερῶς ἤδη πρὸς τοὺς φίλους οὐ δίκαιον ἐλέγχειν ἐπετήδευον. ἅπερ ἅπαντα κακοήθως ὑπὸ τῶν περὶ τὸν Ἀντίπατρον καιροφυλακτούμενα καὶ μειζόνως πρὸς τὸν Ἡρώδην ἐξαγγελλόμενα προύβαινεν οὐ μικρὰν ἀπεργαζόμενα τὴν τῆς οἰκίας στάσιν. ἀχθόμενος γὰρ ὁ βασιλεὺς ταῖς διαβολαῖς, καὶ ταπεινῶσαι βουλόμενος τοὺς ἐκ τῆς Μαριάμμης, μείζονα ἀεὶ πρὸς τιμὴν Ἀντιπάτρῳ παρεῖχεν, καὶ τέλος ἡττηθεὶς ἐπεισήγαγε τὴν ἐκείνου μητέρα· Καίσαρι δὲ πολλάκις γράφων ὑπὲρ αὐτοῦ καὶ ἰδίᾳ συνίστη σπουδαιότερον. Ἀγρίππᾳ γε μὴν ἀνιόντι εἰς τὴν Ῥώμην μετὰ τὴν διοίκησιν τῶν ἐπὶ τῆς Ἀσίας δεκαετῆ γεγενημένην, πλεύσας ἀπὸ τῆς Ἰουδαίας καὶ συντυγχάνων μόνον τε τὸν Ἀντίπατρον

Digitized by Google

ἐπηγάγετο καὶ παρέδωκεν εἰς Ῥώμην ἀνάγειν μετὰ πολλῶν δώρων, Καίσαρι φίλον ἐσόμενον, ὥστε ἤδη πάντα δοκεῖν ἐπ' ἐκείνῳ καὶ παρεῶσθαι παντάπασιν ἐκ τῆς ἀρχῆς τὰ μειράκια.

4 πρὸς μὲν οὖν τιμὴν καὶ τὸ πρῶτον εἶναι δοκεῖν Ἀντιπάτρῳ προυχώρει τὰ κατὰ τὴν ἀποδημίαν· καὶ γὰρ ἐν τῇ Ῥώμῃ, πᾶσιν ἐπεσταλκότος Ἡρώδου τοῖς φίλοις, διάσημος ἦν. ἤχθετο δὲ τῷ μὴ παρεῖναι μηδὲ ἔχειν ἐξ εὐκαίρου διαβάλλειν ἀεὶ τοὺς ἀδελφούς, καὶ μᾶλλον ἐδεδοίκει μεταβολὴν τοῦ πατρός, εἴ τι καὶ καθ' αὑτὸν ἀξιώσειεν ἐπιεικέστερον εἰς τοὺς ἐκ τῆς Μαριάμμης φρονεῖν. ταῦτα δὲ δι' ἔννοιας ἔχων οὐκ ἀφίστατο τῆς ἑαυτοῦ προαιρέσεως, ἀλλὰ κἀκεῖθεν, ὅ τι ἀνιάσειν καὶ παροξυνεῖν ἤλπιζε τὸν πατέρα κατὰ τῶν ἀδελφῶν, συνεχῶς ἐπέστελλεν, πρόφασιν μὲν ὡς ὑπεραγωνιῶν αὐτοῦ, τὸ δὲ ἀληθές, ἀφ' ἧς εἶχεν ἐν φύσει κακοηθείας, τὴν ἐλπίδα μεγάλην καθ' ἑαυτὴν οὖσαν ἐμπορευόμενος, ἕως εἰς τοῦτο προήγαγε τὸν Ἡρώδην ὀργῆς καὶ δυσθυμίας ὡς ἤδη μὲν ἔχειν δυσμενῶς τοῖς μειρακίοις, ἓν δὲ κατοκνεῖν εἰς τοιοῦτον ἐμβῆναι πάθος. ὡς δὲ μήτ' ἀμελῶν μήτ' ἐκ προπετείας ἁμαρτάνοι, κρεῖττον ἡγήσατο πλεύσας εἰς Ῥώμην ἐκεῖ τῶν παίδων κατηγορεῖν παρὰ Καίσαρι, καὶ μηδὲν αὐτῷ τοιοῦτον ἐπιτρέπειν ὃ καὶ διὰ μέγεθος τῆς ἀσεβείας ὕποπτον ἦν. ὡς δὲ ἀνῆλθεν εἰς τὴν Ῥώμην, ἐγένετο μὲν μέχρι τῆς Ἀκυληίας πόλεως Καίσαρι συντυγχεῖν ἐπειγόμενος· ἐλθὼν δ' εἰς λόγους, καὶ καιρὸν αἰτησάμενος ἐπὶ μεγάλοις οἷς ἐδόκει δυστυχεῖν, παρεστήσατο μὲν τοὺς παῖδας, ἠτιᾶτο δὲ τῆς ἀπονοίας καὶ τῆς ἐπιχειρήσεως, ὡς ἐχθρῶς ἔχουσιν ἅπαντα τρόπον ἐσπουδακότες μισεῖν τὸν ἑαυτῶν πατέρα, ὥστε διαχειρίσασθαι αὐτὸν καὶ τὴν βασιλείαν ὠμοτάτῳ τρόπῳ παραλαβεῖν, ὃ δ' οὐδὲ θνήσκων

Digitized by Google

ἐξ ἀνάγκης μᾶλλον ἢ κρίσει παραδοῦναι τῷ θιαμείναντι πρὸς αὐτὸν εὐσεβεστέρῳ παρὰ Καίσαρος ἐξουσίαν ἔχοι. τοῖς δ' οὐχ ὑπὲρ τῆς ἀρχῆς τὸ πλέον, ἀλλ' εἰ καὶ ταύτης στεροῖντο καὶ τοῦ ζῆν ἐλάττων λόγος, εἰ μόνον ἀποκτεῖναι τὸν πατέρα δυνηθεῖεν· οὕτως ἄγριόν τι καὶ μαρὸν ἐντετηκέναι ταῖς ψυχαῖς αὐτῶν μῖσος. καὶ ταύτην τὴν ἀτυχίαν αὐτὸς ἐκ μακροῦ φέρων ἀναγκασθῆναι νῦν ἐξηγεῖσθαι Καίσαρι, καὶ μιαίνειν αὐτοῦ τὰς ἀκοὰς τοιούτοις λόγοις. καίτοι τί μὲν εἴρηται πάθόντες ἐξ αὐτοῦ δυσχερές; ἐπὶ τίνι δὲ μέμφονται βαρὺν ὄντα; πῶς δ' οἴονται καὶ δίκαιον, ἣν αὐτὸς ἐκτήσατο πολλοῖς χρόνοις καὶ κινδύνοις ἀρχήν, ταύτης οὐκ ἐᾶν κύριον εἶναι, κρατεῖν τε καὶ διδόναι τῷ κατ' ἀξίαν; ὡς τοῦτό γε μετὰ τῶν ἄλλων ἄθλων εὐσεβείας ἐκτίθεται τῷ μέλλοντι πρὸς τὸν ποτὲ γενήσεσθαι τοιούτῳ τὴν ἐπιμέλειαν, ἅτε καὶ τῆς ἀμοιβῆς τοσῆσδε οὔσης ἐπιτυγχάνειν. ὅτι δὲ μηδὲ εὐσεβὲς αὐτοῖς ὑπὲρ τούτου πολυπραγμονεῖν, εὔδηλον· ὁ γὰρ ἀεί τι περὶ τῆς βασιλείας ἐνθυμούμενος συγκαταλογίζεται τὸν θάνατον τοῦ γεγεννηκότος, μεθ' ὃν ἄλλως οὐκ ἔστι τὴν ἀρχὴν παραλαβεῖν. αὐτὸς δ' ὅσα βασιλευομένοις καὶ βασιλέως παισὶν οὐχ ὑστέρησε μέχρι νῦν ἀποδιδούς, οὐ κόσμον, οὐχ ὑπηρεσίαν, οὐ τρυφήν, ἀλλὰ καὶ γάμους τοὺς ἐπισημοτάτους παρεσχῆσθαι, τῷ μὲν ἐκ τῆς ἀδελφῆς, Ἀλεξάνδρῳ δὲ τὴν Ἀρχελάου τοῦ βασιλέως θυγατέρα συνοικίσας. τὸ δὲ μέγιστον, οὐδ' ἐπὶ τοιούτοις, ἣν εἶχεν ἐξουσίαν, ταύτῃ κατ' αὐτῶν χρησάμενος ἀγαγεῖν ἐπὶ τὸν κοινὸν εὐεργέτην Καίσαρα, καὶ παρελόμενος αὐτοῦ πᾶν ὅσον ἢ πατὴρ ἀσεβούμενος ἢ βασιλεὺς ἐπιβουλευόμενος δύναται, κρίσεως ἰσοτιμίᾳ παρεστακέναι. δεήσειν μέντοι μὴ παντάπασιν αὐτὸν ἀτιμώρητον γενέσθαι, μηδ' ἐν τοῖς μεγίστοις φόβοις καταζῆν, οὐδ' ἐκείνοις

Digitized by Google

λυσιτελοῦντος ἐφ' οἷς ἐνεθυμήθησαν ὁρᾶν τὸν ἥλιον, εἰ νῦν διαφεύγοιεν, ἔργων μέγιστα τῶν ἀνθρωπίνων καὶ δράσαντας καὶ πεισομένους.

2 ταῦτα μὲν Ἡρώδης ἐμπαθῶς ἠτιάσατο παρὰ Καίσαρι τοὺς αὐτοῦ παῖδας· τῶν δὲ νεανίσκων ἤδη μὲν καὶ λέγοντος δάκρυα καὶ σύγχυσις ἦν, μᾶλλον δ' ἐπεὶ κατέπαυσεν Ἡρώδης τὸν λόγον. τὸ μὲν γὰρ ἔξω τῆς τοιαύτης ἀσεβείας γενέσθαι, τὸν λόγον πιστὸν εἶδον ἐν τῷ συνειδότι, τὸ δ' ἐκ τοῦ πατρὸς ἐπιφέρεσθαι τὰς διαβολὰς δυσαπολόγητον, ὥσπερ ἦν, ἤδεσαν, οὐκ εὐσχημονοῦντος οὐδὲ τοῦ κατὰ παρρησίαν λόγου τοῦ πρὸς τὸν καιρόν, εἰ μέλλοιεν ἐκ βίας ἀεὶ καὶ κατὰ σπουδὴν ἐλέγχειν πεπλανημένον. ἦν οὖν ἀπορία τοῦ δύνασθαι λέγειν καὶ δάκρυα καὶ τέλος οἰμωγὴ συμπαθεστέρα, δεδοικότων μὲν ὡς, εἰ σιγῷεν, δόξουσιν ἐκ τοῦ συνειδότος ἡπορῆσθαι, ῥᾳδίαν δ' οὐχ εὑρισκομένων τὴν ἀπολογίαν ὑπὸ νεότητος καὶ ταραχῆς ἧς ἐπεπόνθεισαν. οὐ μὴν ὅ γε Καῖσαρ, ἐπιβλέπων αὐτοὺς ὡς εἶχον, ἀσύνετον ἐποιεῖτο τὸ μὴ κατὰ συνείδησιν ἀτοπωτέραν ἀλλ' ἐξ ἀπειρίας καὶ μετριότητος ὀκνεῖν. ἐλεεινοί τε ἐγένεισαν τοῖς παροῦσιν, ἰδίᾳ δὲ καὶ τὸν πατέρα διεκίνησαν ἀληθινῷ τῷ πάθει συνεχόμενον.

3 ἐπεὶ δὲ συνεῖδον εὐμένειάν τινα καὶ παρ' ἐκείνου καὶ παρὰ τοῦ Καίσαρος, καὶ τῶν ἄλλων δὲ ἕκαστον τοὺς μὲν συνδακρύοντας ἅπαντας δὲ συναλγοῦντας, θάτερος αὐτῶν Ἀλέξανδρος, ἐπικαλεσάμενος αὐτόν, ἐπεχείρει διαλύειν τὰς αἰτίας, καί "πάτερ" εἶπεν, "ἡ μὲν σὴ πρὸς ἡμᾶς εὔνοια δήλη καὶ παρ' αὐτὴν τὴν κρίσιν· οὐκ ἂν γάρ, εἴ τι δυσχερὲς ἐνενόεις ἐφ' ἡμῖν, ἐπὶ τὸν πάντας σώζοντα προήγαγες. καὶ γὰρ ἐξῆν, παρούσης μὲν ἐξουσίας ὡς βασιλεῖ παρούσης δὲ ὡς πατρί, τοὺς ἀδικοῦντας ἐπεξιέναι· τὸ δ' εἰς Ῥώμην ἄγειν καὶ

Digitized by Google

τοῦτον ποιεῖσθαι μάρτυρα σώζοντος ἦν· οὐδεὶς γὰρ ἀποκτεῖναί τινα προαιρούμενος εἰς ἱερὰ καὶ ναοὺς ἄγει. τὸ δ' ἡμέτερον ἤδη χεῖρον· οὐ γὰρ ἂν ὑπομείναιμεν ἔτι ζῆν εἰ τοιοῦτον ἠδικηκέναι πατέρα πεπιστεύμεθα. καὶ μήποτε τοῦτο ἐκείνου χεῖρον, ἀντὶ τοῦ τεθνάναι μηδὲν ἀδικοῦντας τὸ ζῆν ἀδικεῖν ὑποπτευομένους. εἰ μὲν οὖν εὕροι λόγον τῆς ἀληθείας ἡ παρρησία, μακάριον καὶ σὲ πεῖσαι καὶ τὸν κίνδυνον διαφυγεῖν· εἰ δ' οὕτως ἡ διαβολὴ κρατεῖ, περιττὸς ἡμῖν ὁ νῦν ἥλιος, ὃν τί δεῖ βλέπειν μετὰ τῆς ὑποψίας; τὸ μὲν οὖν φάναι βασιλείας ἐπιθυμεῖν εὔκαιρος εἰς νέους αἰτία, καὶ τὸ προστιθέναι τὴν τῆς ἀθλίας μητρὸς ἱκανὸν ἐκ τῆς πρώτης τὴν νῦν ἀτυχίαν ἐξεργάζεσθαι· βλέφον δὲ εἰ μὴ κοινὰ ταῦτα καὶ πᾶσιν ὁμοίως λέγεσθαι δυνησόμενα. κωλύσει γὰρ οὐδὲν τῷ βασιλεύοντι, παῖδες εἰ εἰσὶ νέοι καὶ μήτηρ αὐτῶν ἀποθανοῦσα, πάντας ὑπόπτους εἶναι τοῦ πατρὸς ἐπιβούλους δοκεῖν. ἀλλ' οὐ τὸ ὕποπτον πρὸς τοιαύτην ἀσέβειαν ἱκετόν. εἰπάτω δή τις ἡμῖν εἰ τετόλμηται τοιοῦτον ᾧ καὶ τὰ μὴ πιστὰ πίστιν εἴωθεν ὑπ' ἐναργείας λαμβάνειν. φαρμάκου παρασκευὴν ἐλέγχειν δύναταί τις, ἢ συνωμοσίαν ἡλικιωτῶν, ἢ διαφθορὰν οἰκετῶν, ἢ γράμματα κατὰ σοῦ γεγραμμένα; καίτοι τούτων ἕκαστον ἔσθ' ὅπῃ καὶ μὴ γενόμενον ἐκ διαβολῆς ἐπλάσθη. χαλεπὸν γὰρ οὐχ ὁμονοῶν οἶκος ἐν βασιλείᾳ· καὶ τὴν ἀρχήν, ἣν σὺ φῂς ἔπαθλον εὐσεβείας, συμβαίνει πολλάκις αἰτίαν γίνεσθαι τοῖς πονηροτάτοις ἐλπίδων, δι' ἃς οὐδεμίαν ὑποστολὴν ποιοῦνται κακοηθείας. ἀδίκημα μὲν οὖν οὐδεὶς ἐρεῖ καθ' ἡμῶν· τὰς δὲ διαβολὰς πῶς ἂν λύσειεν ὁ ἀκούειν μὴ θέλων; ἐλαλήσαμέν τι μετὰ παρρησίας; οὐκ εἰς σέ, τοῦτο γὰρ ἦν ἄδικον, ἀλλ' εἰς τοὺς οὐδ' ὅ τι λελάληται μὴ σιω-

Digitized by Google

πῶντας. τὴν μητέρα τις ἡμῶν ἔκλαυσεν; οὐχ ὅτι τέθνηκεν, ἀλλ' ὅτι καὶ νεκρὰ κακῶς ἤκουσεν ὑπὸ τῶν οὐκ ἀξίων. ἀρχῆς ἐπιθυμοῦμεν ἧς ἴσμεν ἔχοντα τὸν πατέρα; τί καὶ θέλοντες; εἰ μὲν εἰσὶν ἡμῖν τιμαὶ βασιλέων, ὥσπερ εἰσίν, οὐ νεκροσπουδοῦμεν· εἰ δὲ οὐκ εἰσίν, οὐκ ἐλπίζομεν; ἢ σὲ διαχειρισάμενοι κρατήσειν τὴν βασιλείαν προσεδοκήσαμεν, οἷς οὔτε γῆ βάσιμος οὔτε πλωτὴ θάλαττα μετὰ τοιοῦτον ἔργον; ἡ δὲ τῶν ἀρχομένων εὐσέβεια καὶ θρησκεία τοῦ παντὸς ἔθνους ἠνέσχετο ἂν πατροκτόνους ἐπὶ τῶν πραγμάτων εἶναι καὶ εἰς τὸν ἁγιώτατον ὑπὸ σοῦ κατασκευασθέντα ναὸν εἰσιέναι; τί δ'; εἰ καὶ τῶν ἄλλων κατεφρονήσαμεν, ἐδύνατό τις φονεύσας ἀτιμώρητος μένειν ζῶντος Καίσαρος; οὔτ' ἀσεβεῖς οὕτως ἐγέννησας οὔτε ἀλογίστους, ἀτυχεστέρους δ' ἴσως ἢ σοὶ καλῶς εἶχεν. εἰ δὲ μήτ' αἰτίας ἔχεις μήτ' ἐπιβουλὰς εὑρίσκεις, τί σοι πρὸς πίστιν αὐτάρκες τοιαύτης δυσσεβείας; ἡ μήτηρ τέθνηκεν. ἀλλά τοι τὰ κατ' ἐκείνην οὐ παροξύνειν ἡμᾶς ἀλλὰ νουθετεῖν ἠδύνατο. πλείω μὲν ἀπολογεῖσθαι βουλόμεθα, λόγον δ' οὐκ ἐπιδέχεται τὰ μὴ γενόμενα. διόπερ ἐπὶ τῷ πάντων δεσπότῃ Καίσαρι μεσιτεύοντι τὸν παρόντα καιρὸν συντιθέμεθα ταύτην τὴν συνθήκην. εἰ μὲν ἀνύποπτον ἐξ αὐτῆς τῆς ἀληθείας τὴν πρὸς ἡμᾶς διάθεσιν ἀπολαμβάνεις, ὦ πάτερ, ζήσωμεν, οὐδ' οὕτω μὲν εὐτυχῶς· δεινὸν γὰρ τῶν μεγάλων κακῶν καὶ ψευδὴς αἰτία· παρούσης δέ τινος ὀρρωδίας σὺ μὲν ἐν τῇ κατὰ σαυτὸν εὐλαβείᾳ μένε, δώσομεν δὲ λόγον ἡμεῖς ἑαυτοῖς. οὐχ οὕτως ὁ βίος ἡμῖν τίριος ὡς ἔχειν αὐτὸν ἐπ' ἀδικίᾳ τοῦ δεδωκότος."

4 τοιαῦτα δὲ λέγοντος ὅ τε Καῖσαρ, οὐδὲ πρότερον πιστεύων τῷ μεγέθει τῆς διαβολῆς, ἔτι μᾶλλον ἐξηλ-

Digitized by Google

λάττετο, καὶ συνεχὲς εἰς τὸν Ἡρώδην ἀπέβλεπεν, ὁρῶν κἀκεῖνον ὑποσυγκεχυμένον· ἀγωνία τε τοῖς παροῦσιν ἐνεπεπτώκει, καὶ περὶ τὴν αὐλὴν ὁ λόγος διαδοθεὶς ἐκίφθονον ἐποίει τὸν βασιλέα. τὸ γὰρ ἄπιστον τῆς διαβολῆς καὶ τὸ περὶ τοὺς νεανίσκους ἐν ἀκμῇ καὶ κάλλει σωμάτων ἐλεεινὸν ἐπεσπᾶτο βοήθειαν, ἔτι δὲ μᾶλλον ἐπειδὴ καὶ τῷ λόγῳ δεξιῶς καὶ μετὰ φρονήσεως ἀπήντησεν Ἀλέξανδρος. ἦν δ' οὐδ' ἐκείνοις ἔτι ταὐτὸν σχῆμα, κλαίουσι μὲν ὅμως καὶ σὺν κατηφείᾳ πρὸς τὴν γῆν νενευκόσιν· ἡ δ' ἐλπὶς ἀμείνων ὑπεφαίνετο, καὶ δόξας ὁ βασιλεὺς ἐξ ὧν αὐτὸν ἔπειθεν εὔλογα κατηγορηπέναι, διὰ τὸ μηδὲν αὐτῶν ἐξελέγχειν ἀπολογίας τινὸς ἐδεῖτο. Καῖσαρ δὲ μικρὸν ἐπισχὼν τοὺς μὲν νεανίσκους, εἰ καὶ πόρρω τῆς ἐπ' αὐτοῖς διαβολῆς δοκοῦσιν, αὐτό γε τοῦτο ἁμαρτεῖν ἔφη, τὸ μὴ τοιούτους αὑτοὺς παρασχεῖν τῷ πατρὶ ὡς μηδὲ γενέσθαι τὸν ἐπ' αὐτοῖς λόγον, Ἡρώδην δὲ παρεκάλει πᾶσαν ὑπόνοιαν ἀφελόντα διαλλάττεσθαι τοῖς παισίν· οὐ γὰρ εἶναι δίκαιον οὐδὲ πιστεύειν τὰ τοιαῦτα κατὰ τῶν ἐξ αὐτοῦ· δύνασθαι δὲ τὴν μετάνοιαν ἀμφοτέροις οὐ μόνον ἰάσασθαι τὰ συμβεβηκότα, παροξῦναι δὲ τὴν εὔνοιαν, ἐν ᾧ τὸ προπετὲς ἑκάτεροι τῆς ὑποψίας ἀπολογούμενοι σπουδῇ πλείονι περὶ ἀλλήλους ἀξιώσουσι κεχρῆσθαι. τοιαῦτα νουθετῶν ἔνευσε τοῖς νεανίσκοις· ἐκείνων δὲ βουλομένων ὑποπεσεῖν ἐπὶ δεήσει, παραναλαβὼν αὐτοὺς ὁ πατὴρ δακρύοντας ἠσπάζετο, παρ' ἕκαστον ἐν μέρει περιπτύσσων, ὡς μηδένα τῶν παρατυγχανόντων, ἐλεύθερον ἢ δοῦλον, ἀπαθῆ γενέσθαι.

τότε μὲν οὖν εὐχαριστήσαντες Καίσαρι μετ' ἀλλήλων ἀπῆεσαν, καὶ σὺν αὐτοῖς Ἀντίπατρος ὑποκρινόμενος ἐφήδεσθαι ταῖς διαλλαγαῖς· ἐν δὲ ταῖς ὑστέραις ἡμέραις Ἡρώδης μὲν ἐδωρεῖτο Καίσαρα τριακοσίοις τα-

Digitized by Google

λάντοις, θέας τε καὶ διανομὰς ποιούμενον τῷ Ῥωμαίων δήμῳ, Καῖσαρ δὲ αὐτῷ τοῦ μετάλλου τοῦ Κυπρίων χαλκοῦ τὴν ἡμίσειαν πρόσοδον καὶ τῆς ἡμισείας τὴν ἐπιμέλειαν ἔδωκεν, καὶ τἆλλα ξενίαις καὶ καταγωγαῖς ἐτίμησε, καὶ περὶ τῆς βασιλείας αὐτῷ τὴν ἐξουσίαν ἐφῆκεν ὃν ἂν αἱρῆται τῶν παίδων διάδοχον καθιστάνειν, ἢ καὶ διανέμειν μέρος ἑκάστῳ τῆς τιμῆς εἰς πάντας διελευσομένης. ἐκείνου δὲ ἤδη θέλοντος αὐτὸ ποιεῖν, οὐκ ἐπιτρέψειν ἔφη ζῶντι μὴ καὶ τῆς βασιλείας καὶ τῶν παίδων κρατεῖν.

6 ἐπὶ τούτοις ἐπανῄει πάλιν εἰς τὴν Ἰουδαίαν. ἀποδημοῦντος δὲ οὐ μικρὸν μέρος ἀπέστη τῆς ἀρχῆς, τὸ περὶ τὸν Τράχωνα· καὶ τούτους οἱ καταλειφθέντες στρατηγοὶ χειρωσάμενοι πάλιν ὑπακούειν ἠνάγκασαν. Ἡρώδης δὲ πλέων σὺν τοῖς παισὶν ὡς ἐγένετο κατὰ Κιλικίαν ἐν Ἐλαιούσῃ, τῇ μετωνομασμένῃ νῦν Σεβαστῇ, καταλαμβάνει τὸν βασιλέα τῆς Καππαδοκίας Ἀρχέλαον, ὃς αὐτὸν ἐκδέχεται φιλοφρόνως, ἡδόμενος ἐπὶ ταῖς τῶν παίδων διαλλαγαῖς καὶ τῷ τὸν Ἀλέξανδρον, ὃς εἶχεν αὐτοῦ τὴν θυγατέρα, τῆς αἰτίας ἀπολελύσθαι· δωρεάς τε ἀντέδοσαν ἀλλήλοις ἃς εἰκὸς βασιλεῖς. ἐντεῦθεν Ἡρώδης ἐπὶ Ἰουδαίας ἐλθὼν καὶ γενόμενος ἐν τῷ ἱερῷ περὶ τῶν πεπραγμένων κατὰ τὴν ἀποδημίαν διελέγετο, τὴν Καίσαρος εἰς αὐτὸν φιλοφροσύνην καὶ τἆλλα διεξιών, ὅσα κατὰ μέρος αὐτῷ πραχθέντα συμφέρειν ἡγεῖτο καὶ τοὺς ἄλλους εἰδέναι. τέλος ἐπὶ νουθεσίᾳ τῶν παίδων κατέστρεψε τὸν λόγον, τοὺς περὶ τὴν αὐλὴν καὶ τὸ λοιπὸν πλῆθος εἰς ὁμόνοιαν παρακαλῶν, καὶ τοὺς υἱοὺς μετ' αὐτὸν ἀποδεικνύων βασιλέας γενέσθαι, πρῶτον μὲν Ἀντίπατρον, εἶτα καὶ τοὺς ἐκ Μαριάμμης Ἀλέξανδρον καὶ Ἀριστόβουλον· ἐν δὲ τῷ τότε πάντας ἀποβλέπειν εἰς αὐτὸν ἀξιῶν, καὶ

Digitized by Google

βασιλέα καὶ δεσπότην ἁπάντων δοκεῖν, μήτε γήραι παραποδιζόμενον, ἐν ᾧτοῦ χρόνου τὸ πρὸς ἀρχὴν ἐμπειρότατον ἔχειν, οὔτε τοῖς ἄλλοις ἐπιτηδεύμασιν ἐλαττούμενον, ἃ δύναται καὶ βασιλείας κρατεῖν καὶ παίδων ἄρχειν· τούς τε ἡγεμόνας καὶ τὸ στρατιωτικόν, εἰ πρὸς ἕνα βλέποιεν αὐτόν, ἀτάραχον ἔφη τὸν βίον ἕξειν, καὶ πᾶσαν ἀφορμὴν εὐδαιμονίας ἐξ ἀλλήλων ἔσεσθαι. ταῦτ' εἰπὼν ἀφίησι τὴν ἐκπλησίαν, τοῖς πλείστοις μὲν ἀρεστὰ διειλεγμένος, ἐνίοις δ' οὐχ ὁμοίως· ἤδη γὰρ ὑπὸ τῆς ἀμίλλης καὶ τῶν ἐλπίδων, ἃς ἐδεδώκει τοῖς παισίν, νενεωτέριστο πολλά, καὶ νεωτέρων ἐφιέμενα.

περὶ δὲ τὸν χρόνον τοῦτον συντέλειαν ἔλαβεν ἡ Καισάρεια Σεβαστὴ ἣν ᾠκοδόμει, δεκάτῳ μὲν ἔτει πρὸς τέλος ἐλθούσης αὐτῷ τῆς ὅλης κατασκευῆς, ἐκπεσούσης δὲ τῆς προθεσμίας εἰς ὄγδοον καὶ εἰκοστὸν ἔτος τῆς ἀρχῆς, ἐπ' ὀλυμπιάδος δευτέρας καὶ ἐνενηκοστῆς πρὸς ταῖς ἑκατόν. ἦν οὖν εὐθὺς πρὸς τῇ καθιερώσει μείζων ἑορτὴ καὶ παρασκευαὶ πολυτελέσταται· κατηγγέλκει μὲν γὰρ ἀγῶνα μουσικῆς καὶ γυμνικῶν ἀθλημάτων, παρεσκευάκει δὲ πολὺ πλῆθος μονομάχων καὶ θηρίων, ἵππων τε δρόμον καὶ τὰ πολυτελέστερα τῶν ἐν τῇ Ῥώμῃ καὶ παρ' ἄλλοις τισὶν ἐπιτηδευμάτων. ἀνετίθει δὲ καὶ τοῦτον τὸν ἀγῶνα Καίσαρι, κατὰ πενταετηρίδα παρεσκευασμένος ἄγειν αὐτόν. ὃ δ' αὐτῷ πᾶσαν τὴν εἰς τὰ τοιαῦτα παρασκευὴν ἀπὸ τῶν οἰκείων διεπέμπετο, τὴν φιλοτιμίαν ἐπικοσμῶν· ἰδίᾳ δὲ καὶ ἡ γυνὴ Καίσαρος Ἰουλία τὰ πολλὰ τῶν ἐκεῖ πολυτελεστάτων ἀπέστειλεν, ὡς μηδὲν ὑστερεῖν τὰ πάντα συντιμώμενα ταλάντων πεντακοσίων. συνελθόντος δὲ εἰς τὴν πόλιν ὄχλου πλείονος κατὰ θεωρίαν καὶ πρέσβεων, οὓς ἔπεμπον οἱ δῆμοι δι' ἃς ἐπεπόνθεισαν εὐεργεσίας,

Digitized by Google

ἅπαντας ἐξεδέξατο καταγωγαῖς καὶ τραπέζαις καὶ διηνεκέσιν ἑορταῖς, τῆς πανηγύρεως ἐν μὲν ταῖς ἡμέραις ἐχούσης τὰς ἀπὸ τῶν θεαμάτων ψυχαγωγίας, ἐν δὲ ταῖς νυξὶ τὰς εὐφροσύνας καὶ τὴν εἰς τοῦτο πολυτέλειαν, ὡς ἐπίσημον γενέσθαι τὴν μεγαλοψυχίαν αὐτοῦ. εἰς πάντα γὰρ ἅπερ ἂν ἐπιτηδεύσειεν, ἐφιλονείκει τὴν τῶν ἤδη γεγενημένων ἐπίδειξιν ὑπερβάλλεσθαι. καί φασιν αὐτόν τε Καίσαρα καὶ Ἀγρίππαν πολλάκις εἰπεῖν ὡς ἀποδέοι τὰ τῆς ἀρχῆς Ἡρῴδῃ τῆς οὔσης ἐν αὐτῷ μεγαλοψυχίας· ἄξιον γὰρ εἶναι καὶ Συρίας ἁπάσης καὶ Αἰγύπτου τὴν βασιλείαν ἔχειν.

2 μετὰ δὲ τὴν πανήγυριν ταύτην καὶ τὰς ἑορτὰς πόλιν ἄλλην ἀνήγειρεν ἐν τῷ πεδίῳ τῷ λεγομένῳ Καφαρσαβᾶ, τόπον ἔνυδρον καὶ χώραν ἀρίστην φυτοῖς ἐκλέξας, ποταμοῦ τε περιρρέοντος τὴν πόλιν αὐτήν, καὶ καλλίστου κατὰ μέγεθος τῶν φυτῶν περιειληφότος ἄλσους. ταύτην ἀπὸ Ἀντιπάτρου τοῦ πατρὸς Ἀντιπατρίδα προσηγόρευσεν. ἐπώνυμον δὲ καὶ τῇ μητρὶ χωρίον ὑπὲρ Ἰεριχοῦντα οἰκοδομήσας, ἀσφαλείᾳ τε διάφορον καὶ καταγωγαῖς ἥδιστον, ἐκάλεσε Κύπρον. Φασαήλῳ τε τῷ ἀδελφῷ μνημεῖα διὰ τὴν γεγενημένην πρὸς αὐτὸν φιλοστοργίαν ἀνετίθει τὰ κάλλιστα, πύργον ἐπ' αὐτῆς τῆς πόλεως ἀναστήσας οὐδὲν ἐλάττω τοῦ κατὰ τὴν Φάρον, ὃν προσηγόρευσε Φασάηλον, ἀσφαλείας τε τῇ πόλει μέρος ὄντα καὶ μνήμης τῷ τετελευτηκότι διὰ τὴν προσηγορίαν. ὁμώνυμον δὲ αὐτῷ καὶ πόλιν περὶ τὸν αὐλῶνα τῆς Ἰεριχοῦντος ἔκτισεν, ἀπιόντων κατὰ βορρᾶν ἄνεμον, δι' ἧς καὶ τὴν πέριξ χώραν ἔρημον οὖσαν ἐνεργοτέραν ἐποίησε ταῖς ἐπιμελείαις τῶν οἰκητόρων. Φασαηλίδα καὶ ταύτην ἐκάλει.

3 τὰς δὲ ἄλλας εὐεργεσίας ἄπορον εἰπεῖν ὅσας ἀπέδωκε ταῖς πόλεσιν ἔν τε Συρίᾳ καὶ κατὰ τὴν Ἑλλάδα

Digitized by Google

καὶ παρ' οἷς ποτ' ἂν ἀποδημήσας τύχοι· καὶ γὰρ πλείους λειτουργίας καὶ δημοσίων ἔργων κατασκευὰς καὶ χρήματα τοῖς δεομένοις ἔργοις εἰς ἐπιτέλειαν, τῶν προτέρων ἐκλελοιπότων, ἄφθονα χαρίσασθαι δοκεῖ. τὰ δὲ μέγιστα καὶ διασημότατα τῶν πεπραγμένων αὐτῷ, Ῥοδίοις μὲν τό τε Πύθιον ἀνέστησεν οἰκείοις ἀναλώμασι καὶ παρέσχεν ἀργυρίου πολλὰ τάλαντα πρὸς ναυπηγίαν, Νικοπολίταις δὲ τοῖς ἐπ' Ἀκτίῳ κτισθεῖσιν ὑπὸ Καίσαρος τὰ πλεῖστα τῶν δημοσίων συγκατεσκεύασεν, Ἀντιοχεῦσι δὲ τοῖς ἐν Συρίᾳ μεγίστην πόλιν οἰκοῦσιν, ἣ κατὰ μῆκος τέμνει πλατεῖα, ταύτην αὐτὴν στοαῖς παρ' ἑκάτερα, καὶ λίθῳ τὴν ὕπαιθρον ὁδὸν ξεστῷ καταστορέσας, πλεῖστον εἰς κόσμον καὶ τὴν τῶν οἰκούντων εὐχρηστίαν ὠφέλησεν. τόν γε μὴν Ὀλυμπίασιν ἀγῶνα πολὺ τῆς προσηγορίας ἀδοξότερον ὑπ' ἀχρηματίας διατεθειμένον, τιμιώτερον ἐποίει χρημάτων προσόδους καταστήσας, καὶ πρός τε θυσίας καὶ τὸν ἄλλον κόσμον ἐσεμνοποίησε τὴν πανήγυριν. διὰ δὴ ταύτην τὴν φιλοτιμίαν διηνεκὴς ἀγωνοθέτης παρὰ τοῖς πλείστοις ἀνεγράφη.

τοῖς μὲν οὖν ἄλλοις ἐπέρχεται θαυμάζειν τὸ διεστὸς τῆς ἐν τῇ φύσει προαιρέσεως. ὅταν μὲν γὰρ εἰς τὰς φιλοτιμίας καὶ τὰς εὐεργεσίας ἀπίδωμεν αἷς ἐκέχρητο πρὸς ἅπαντας ἀνθρώπους, οὐκ ἔστιν ὅπως [οὐκ] ἄν τις αὐτὸν καὶ τῶν ἧττον τετιμηκότων ἠρνήθη μὴ συνομολογεῖν εὐεργετικωτάτῃ κεχρῆσθαι τῇ φύσει· ὅταν δὲ εἰς τὰς τιμωρίας καὶ ἀδικίας ἃς εἰς τοὺς ἀρχομένους καὶ τοὺς οἰκειοτάτους ἐπεδείξατο βλέψῃ τις καὶ καταμάθῃ τὸ σκληρὸν καὶ τὸ δυσπαραίτητον τοῦ τρόπου, νικηθήσεται θηριώδη δοκεῖν καὶ πάσης μετριότητος ἀλλότριον· ἔνθεν καὶ διάφορόν τινα καὶ μαχομένην ἐπ' αὐτῷ νομίζουσι γενέσθαι τὴν προαίρεσιν. ἐγὼ δ' οὐχ οὕτως

Digitized by Google

ἔχων μίαν αἰτίαν ἀμφοτέρων τούτων ὑπολαμβάνω. φιλότιμος γὰρ ὢν καὶ τούτου τοῦ πάθους ἡττημένος ἰσχυρῶς προσήγετο μὲν εἰς μεγαλοψυχίαν, εἴ που μνήμης εἰσαῦθις ἢ κατὰ τὸ παρὸν εὐφημίας ἐλπὶς ἐμπέσοι· ταῖς δὲ δαπάναις ὑπὲρ δύναμιν χρώμενος ἠναγκάζετο χαλεπὸς εἶναι τοῖς ὑποτεταγμένοις. τὰ γὰρ εἰς οὓς ἐδαπάνα πολλὰ γινόμενα, κακὸν ποριστὴν ἐξ ὧν ἐλάμβανεν ἐποίει· καὶ συνειδὼς ἐφ' οἷς ἠδίκει τοὺς ὑποτεταγμένους μισούμενον ἑαυτόν, τὸ μὲν ἐπανορθοῦσθαι τὰς ἁμαρτίας οὐ ῥᾴδιον ἐνόμιζεν (οὐδὲ γὰρ εἰς τὰς προσόδους λυσιτελὲς ἦν), ἀντεφιλονείκει δὲ τὴν δύσνοιαν αὐτὴν εὐπορίας ἀφορμὴν ποιούμενος. περὶ μὲν οὖν τοὺς οἰκείους, εἴ τις λόγῳ μὴ θεραπεύοι τὸ δοῦλον ἐξομολογούμενος, ἢ δόξειεν εἰς τὴν ἀρχήν τι παρακινεῖν, οὐχ ἱκανὸς ἑαυτοῦ κρατεῖν ἐγίνετο, καὶ διεξῆλθεν ὁμοῦ συγγενεῖς καὶ φίλους ἴσα πολεμίοις τιμωρούμενος, ἐκ τοῦ μόνος θέλειν τετιμῆσθαι τὰς τοιαύτας ἁμαρτίας ἀναλαμβάνων. μαρτύριον δέ μοι τούτου τοῦ πάθους, ὅτι μέγιστον περὶ αὐτὸν ἦν, καὶ τὰ γινόμενα κατὰ τὰς Καίσαρος καὶ Ἀγρίππα καὶ τῶν ἄλλων φίλων τιμάς. οἷς γὰρ ἐθεράπευε τοὺς κρείττονας, τούτοις καὐτὸς ἠξίου θεραπεύεσθαι, καὶ τὸ κάλλιστον ὧν ᾤετο παρέχειν ἐν τῷ διδόναι τὴν τοῦ τυχεῖν τῶν ὁμοίων ἐπιθυμίαν ἐθήλου. τό γε μὴν Ἰουδαίων ἔθνος ἠλλοτρίωται νόμῳ πρὸς πάντα τὰ τοιαῦτα, καὶ συνείθισται τὸ δίκαιον ἀντὶ τοῦ πρὸς δόξαν ἠγαπηκέναι· διόπερ οὐκ ἦν αὐτῷ κεχαρισμένον, ὅτι μὴ δυνατὸν εἰκόσιν ἢ ναοῖς ἢ τοιούτοις ἐπιτηδεύμασι κολακεύειν τοῦ βασιλέως τὸ φιλότιμον. αἰτία μὲν αὕτη μοι δοκεῖ τῆς Ἡρώδου περὶ μὲν τοὺς οἰκείους καὶ συμβούλους ἁμαρτίας, περὶ δὲ τοὺς ἔξω καὶ μὴ προσήκοντας εὐεργεσίας.

Digitized by Google

τοὺς δὲ κατὰ τὴν Ἀσίαν Ἰουδαίους, καὶ ὅσους ἡ 6
πρὸς Κυρήνην Λιβύη κατέσχεν, ἐκάκουν αἱ πόλεις,
τῶν μὲν πρότερον βασιλέων ἰσονομίαν αὐτοῖς παρε-
σχημένων, ἐν δὲ τῷ τότε δι' ἐπηρείας ἐχόντων τῶν
Ἑλλήνων αὐτούς, ὡς καὶ χρημάτων ἱερῶν ἀφαίρεσιν
ποιεῖσθαι καὶ καταβλάπτειν ἐν τοῖς ἐπὶ μέρους. πά-
σχοντες δὲ κακῶς, καὶ πέρας οὐδὲν εὑρίσκοντες τῆς
τῶν Ἑλλήνων ἀπανθρωπίας, ἐπρεσβεύσαντο πρὸς Καί-
σαρα περὶ τούτων. ὁ δ' αὐτοῖς τὴν αὐτὴν ἰσοτέλειαν
ἔδωκεν, γράψας τοῖς κατὰ τὰς ἐπαρχίας· ὧν ὑπετάξαμεν
τὰ ἀντίγραφα μαρτύρια τῆς διαθέσεως ἣν ἔσχον ὑπὲρ
ἡμῶν ἄνωθεν οἱ κρατοῦντες.

"Καῖσαρ Σεβαστός, ἀρχιερεύς, δημαρχικῆς ἐξου- 2
σίας... λέγει. ἐπειδὴ τὸ ἔθνος τὸ τῶν Ἰουδαίων εὐ-
χάριστον εὑρέθη οὐ μόνον ἐν τῷ ἐνεστῶτι καιρῷ ἀλλὰ
καὶ ἐν τῷ προγεγενημένῳ, καὶ μάλιστα ἐπὶ τοῦ ἐμοῦ
πατρὸς αὐτοκράτορος Καίσαρος, πρὸς τὸν δῆμον τῶν
Ῥωμαίων, ὅ τε ἀρχιερεὺς αὐτῶν Ὑρκανός, ἔδοξέ μοι
καὶ τῷ ἐμῷ συμβουλίῳ μετὰ ὁρκωμοσίας, γνώμῃ δή-
μου Ῥωμαίων, τοὺς Ἰουδαίους χρῆσθαι τοῖς ἰδίοις θε-
σμοῖς κατὰ τὸν πάτριον αὐτῶν νόμον, καθὼς ἐχρῶντο
ἐπὶ Ὑρκανοῦ ἀρχιερέως θεοῦ ὑψίστου, τά τε ἱερὰ εἶ-
ναι ἐν ἀσυλίᾳ καὶ ἀναπέμπεσθαι εἰς Ἱεροσόλυμα, καὶ
ἀποδίδοσθαι αὐτὰ τοῖς ἀποδοχεῦσιν Ἱεροσολύμων, ἐγ-
γύας τε μὴ ὁμολογεῖν αὐτοὺς ἐν σάββασιν ἢ τῇ πρὸ
τούτης παρασκευῇ ἀπὸ ὥρας ἐνάτης. ἐὰν δέ τις φω-
ραθῇ κλέπτων τὰς ἱερὰς βίβλους αὐτῶν ἢ τὰ ἱερὰ
χρήματα ἔκ τε σαββατείου ἔκ τε ἀνδρῶνος, εἶναι αὐ-
τὸν ἱερόσυλον, καὶ τὸν βίον αὐτοῦ ἐνεχθῆναι εἰς τὸ
δημόσιον τῶν Ῥωμαίων. τὸ δὲ ψήφισμα τὸ δοθέν μοι
ὑπ' αὐτῶν ὑπὲρ τῆς ἐμῆς εὐσεβείας, ἧς ἔχω πρὸς
πάντας ἀνθρώπους, καὶ ὑπὲρ Γαΐου Μαρκίου Κηνσω-

Digitized by Google

ρίνου, καὶ τοῦτο τὸ διάταγμα κελεύω ἀνατεθῆναι ἐν ἐπισημοτάτῳ τόπῳ γενηθέντι μοι ὑπὸ τοῦ κοινοῦ τῆς Ἀσίας ἐν Ἀγκύρῃ. ἐὰν δέ τις παραβῇ τι τῶν προειρημένων, δώσει δίκην οὐχὶ μετρίαν." ἐστηλογραφήθη ἐν τῷ Καίσαρος ναῷ.

3 "Καῖσαρ Νωρβανῷ Φλάκκῳ χαίρειν. Ἰουδαῖοι, ὅσοι ποτ' οὖν εἰσὶν οἳ δι' ἀρχαίαν συνήθειαν εἰώθασι χρήματά τε ἱερὰ φέροντες ἀναπέμπειν εἰς Ἱεροσόλυμα, ἀκωλύτως τοῦτο ποιείτωσαν."

4 καὶ ταῦτα μὲν Καῖσαρ, Ἀγρίππας δὲ καὶ αὐτὸς ἔγραψεν ὑπὲρ τῶν Ἰουδαίων τὸν τρόπον τοῦτον. "Ἀγρίππας Ἐφεσίων ἄρχουσι βουλῇ δήμῳ χαίρειν. τῶν εἰς τὸ ἱερὸν τὸ ἐν Ἱεροσολύμοις ἀναφερομένων ἱερῶν χρημάτων τὴν ἐπιμέλειαν καὶ φυλακὴν βούλομαι τοὺς ἐν Ἀσίᾳ Ἰουδαίους ποιεῖσθαι κατὰ τὰ πάτρια· τούς τε κλέπτοντας ἱερὰ χρήματα τῶν Ἰουδαίων, καταφεύγοντάς τε εἰς τὰς ἀσυλίας, βούλομαι ἀποσπᾶσθαι καὶ παραδίδοσθαι τοῖς Ἰουδαίοις, ᾧ δικαίῳ ἀποσπῶνται οἱ ἱερόσυλοι. ἔγραψα δὲ καὶ Σιλανῷ τῷ στρατηγῷ ἵνα σάββασι μηδεὶς ἀναγκάζῃ Ἰουδαῖον ἐγγύας ὁμολογεῖν."

5 "Μάρκος Ἀγρίππας Κυρηναίων ἄρχουσι βουλῇ δήμῳ χαίρειν. οἱ ἐν Κυρήνῃ Ἰουδαῖοι, ὑπὲρ ὧν ἤδη ὁ Σεβαστὸς ἔπεμψε πρὸς τὸν ἐν Λιβύῃ στρατηγὸν τότε ὄντα Φλάβιον καὶ πρὸς τοὺς ἄλλους τοὺς τῆς ἐπαρχίας ἐπιμελουμένους, ἵνα ἀνεπικωλύτως ἀναπέμπηται τὰ ἱερὰ χρήματα εἰς Ἱεροσόλυμα, ὡς ἐστὶν αὐτοῖς πάτριον, ἐνέτυχόν μοι νῦν ὡς ὑπὸ τινῶν συκοφαντῶν ἐπηρεάζοιντο, καὶ ὡς ἐν προφάσει τελῶν μὴ ὀφειλομένων κωλύοιντο· οἷς ἀποκαθιστάνειν κατὰ μηδένα τρόπον ἐνοχλουμένοις, καὶ εἴ τινων ἱερὰ χρήματα ἀφῄρηνται τῶν πόλεων τοὺς εἰς ταῦτα ἀποκεκριμέ-

Digitized by Google

νους, καὶ ταῦτα διορθώσασθαι τοῖς ἐκεῖ Ἰουδαίοις πελεύω."

"Γάιος Νωρβανὸς Φλάκκος ἀνθύπατος Σαρδιανῶν 6
ἄρχουσι καὶ βουλῇ χαίρειν. Καῖσάρ μοι ἔγραψε κε-
λεύων μὴ κωλύεσθαι τοὺς Ἰουδαίους ὅσοι ἂν ὦσι κατὰ
τὸ πάτριον αὐτοῖς ἔθος συναγαγόντες χρήματα ἀνα-
πέμπειν εἰς Ἱεροσόλυμα. ἔγραψα οὖν ὑμῖν, ἵν' εἰδῆτε
ὅτι Καῖσαρ κἀγὼ οὕτω θέλομεν γίνεσθαι."

οὐδὲν ἧττον καὶ Ἰούλιος Ἀντώνιος ἀνθύπατος 7
ἔγραφεν "Ἐφεσίων ἄρχουσι βουλῇ δήμῳ χαίρειν. οἱ ἐν
τῇ Ἀσίᾳ κατοικοῦντες Ἰουδαῖοι εἰδοῖς Φεβρουαρίαις
δικαιοδοτοῦντί μοι ἐν Ἐφέσῳ ὑπέδειξαν Καίσαρα τὸν
Σεβαστὸν καὶ Ἀγρίππαν συγκεχωρηκέναι αὐτοῖς χρῆ-
σθαι τοῖς ἰδίοις νόμοις καὶ ἔθεσιν, ἀπαρχάς τε ἃς ἕκα-
στος αὐτῶν ἐκ τῆς ἰδίας προαιρέσεως εὐσεβείας ἕνεκα
τῆς πρὸς τὸ θεῖον ... ἀνακομιδῆς συμπορευομένους,
ποιεῖν ἀνεμποδίστως· ἤτουν τε ὅπως κἀγὼ ὁμοίως τοῖς
ὑπὸ τοῦ Σεβαστοῦ καὶ Ἀγρίππα δοθεῖσι τὴν ἐμὴν γνώ-
μην βεβαιώσω. ὑμᾶς οὖν βούλομαι εἰδέναι ἐμὲ τοῖς τοῦ
Σεβαστοῦ καὶ Ἀγρίππα βουλήμασι συνεπιτρέπειν αὐτοῖς
χρῆσθαι καὶ ποιεῖν κατὰ τὰ πάτρια χωρὶς ἐμποδισμοῦ."

ταῦτα μὲν οὖν παρεθέμην ἐξ ἀνάγκης, ἐπειδὴ 8
μέλλουσιν αἱ τῶν ἡμετέρων πράξεων ἀναγραφαὶ τὸ
πλέον εἰς τοὺς Ἕλληνας ἰέναι, δεικνὺς αὐτοῖς ὅτι πά-
σης τιμῆς ἄνωθεν ἐπιτυγχάνοντες οὐδὲν τῶν πατρίων
ἐκωλύθημεν ὑπὸ τῶν ἀρχόντων πράττειν, ἀλλὰ καὶ
συνεργούμεθα τὰ τῆς θρησκείας ἔχοντες καὶ τῶν εἰς
τὸ θεὸν τιμῶν. ποιοῦμαι δὲ πολλάκις αὐτῶν τὴν μνή-
μην ἐπιδιαλλάττων τὰ γένη, καὶ τὰς ἐμπεφυκυίας τοῖς
ἀλογίστοις ἡμῶν τε κἀκείνων μίσους αἰτίας ὑπεξαιρού-
μενος. ἔθεσι μὲν γὰρ οὐδέν ἐστι γένος ὃ τοῖς αὐτοῖς
οὐ χρῆται, καὶ κατὰ πόλεις ἔσθ' ὅπῃ πολλῆς ἐγγινο-

Digitized by Google

μένης τῆς διαφορᾶς· τὸ δίκαιον δὲ πᾶσιν ἀνθρώποις ὁμοίως ἐπιτηδεύεται λυσιτελέστατον ὂν Ἕλλησί τε καὶ βαρβάροις, οὗ πλεῖστον οἱ παρ' ἡμῖν νόμοι λόγον ἔχοντες ἅπασιν ἡμᾶς, εἰ καθαρῶς ἐμμένοιμεν αὐτοῖς, εὔνους καὶ φίλους ἀπεργάζονται. διὸ καὶ ταῦτα παρ' ἐκείνων ἡμῖν ἀπαιτητέον, καὶ δέον οὐκ ἐν τῇ διαφορᾷ τῶν ἐπιτηδευμάτων οἴεσθαι τὸ ἀλλότριον, ἀλλ' ἐν τῷ πρὸς καλοκαγαθίαν ἐπιτηδείως ἔχειν· τοῦτο γὰρ κοινὸν ἅπασι καὶ μόνον ἱκανὸν διασώζειν τὸν τῶν ἀνθρώπων βίον. ἐπάνειμι δὲ ἐπὶ τὰ συνεχῆ τῆς ἱστορίας.

7 ὁ γὰρ Ἡρώδης πολλοῖς τοῖς ἀναλώμασιν εἰς τε τὰς ἔξω καὶ [τὰς ἐν τῇ βασιλείᾳ χρώμενος, ἀκηκοὼς ἔτι τάχιον ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ βασιλεὺς ἀνοίξας τὸν Δαυίδου τάφον ἀργυρίου λάβοι τρισχίλια τάλαντα κειμένων πολὺ πλειόνων ἔτι καὶ δυναμένων εἰς ἅπαν ἐπαρκέσαι ταῖς χορηγίαις, ἐκ πλείονος μὲν δι' ἐννοίας εἶχε τὴν ἐπιχείρησιν, ἐν δὲ τῷ τότε νυκτὸς ἀνοίξας τὸν τάφον εἰσέρχεται πραγματευσάμενος ἥκιστα μὲν ἐν τῇ πόλει φανερὸς εἶναι, παρειληφὼς δὲ τοὺς πιστοτάτους τῶν φίλων. ἀποθέσιμα μὲν οὖν χρήματα, καθάπερ Ὑρκανός, οὐχ εὗρεν, κόσμον δὲ χρυσοῦ καὶ κειμηλίων πολύν, ὃν ἀνείλετο πάντα. σπουδὴν δ' εἶχεν, ἐπιμελεστέραν ποιούμενος τὴν ἔρευναν, ἐνδοτέρω τε χωρεῖν καὶ κατὰ τὰς θήκας ἐν αἷς ἦν τοῦ Δαυίδου καὶ τοῦ Σολομῶνος τὰ σώματα. καὶ δύο μὲν αὐτῷ τῶν δορυφόρων διεφθάρησαν, φλογὸς ἔνδοθεν εἰσιούσῃ ἀπαντώσης, ὡς ἐλέγετο· περίφοβος δ' αὐτὸς ἐξῆλθε καὶ τοῦ δέους ἱλαστήριον μνῆμα λευκῆς πέτρας ἐπὶ τῷ στομίῳ κατεσκευάσατο, πολυτελὲς τῇ δαπάνῃ. τούτου καὶ Νικόλαος ὁ κατ' αὐτὸν ἱστοριογράφος μέμνηται τοῦ κατασκευάσματος, οὐ μὴν ὅτι κατῆλθεν, οὐκ εὐπρεπῆ τὴν πρᾶξιν ἐπιστάμενος. διατελεῖ δὲ καὶ τὰ ἄλλα

Digitized by Google

τοῦτον τὸν τρόπον χρώμενος τῇ γραφῇ. ζῶν τε γὰρ ἐν τῇ βασιλείᾳ καὶ συνὼν αὐτῷ, κεχαρισμένως ἐκείνῳ καὶ καθ' ὑπηρεσίαν ἀνέγραφεν, μόνων ἀπτόμενος τῶν εὔκλειαν αὐτῷ φερόντων, πολλὰ δὲ καὶ τῶν ἐμφανῶς ἀδίκων ἀντικατασκευάζων καὶ μετὰ πάσης σπουδῆς ἐπικρυπτόμενος· ὅς γε καὶ τὸν Μαριάμμης θάνατον καὶ τῶν παίδων αὐτῆς οὕτως ὠμῶς τῷ βασιλεῖ πεπραγμένον εἰς εὐπρέπειαν ἀνάγειν βουλόμενος ἐκείνης τε ἀσέλγειαν καὶ τῶν νεανίσκων ἐπιβουλὰς καταψεύδεται, καὶ διατετέλεκε τῇ γραφῇ τὰ μὲν πεπραγμένα δικαίως τῷ βασιλεῖ περιττότερον ἐγκωμιάζων, ὑπὲρ δὲ τῶν παρανομηθέντων ἐσπουδασμένως ἀπολογούμενος. ἐκείνῳ μὲν οὖν πολλὴν ἄν τις, ὡς ἔφην, ἔχοι τὴν συγγνώμην· οὐ γὰρ ἱστορίαν τοῖς ἄλλοις ἀλλ' ὑπουργίαν τῷ βασιλεῖ ταύτην ἐποιεῖτο· ἡμεῖς δὲ καὶ γένους ὄντες ἀγχοῦ τῶν ἐξ Ἀσαμωναίου βασιλέων καὶ διὰ τοῦτο σὺν τιμῇ τὴν ἱερωσύνην ἔχοντες, τὸ ψεύσασθαί τι περὶ αὐτῶν οὐκ εὐπρεπὲς ὑπειληφότες καθαρῶς καὶ δικαίως ἐκτίθεμεν τὰς πράξεις, πολλοὺς μὲν τῶν ἐκγόνων τῶν ἐκείνου βασιλεύοντας ἔτι δι' ἐντροπῆς ἔχοντες, τὴν δ' ἀλήθειαν πρὸ ἐκείνων τετιμηκότες, ἥν, ὅτε δικαίως ἐγίνετο . . . συνέβη δὲ παρ' αὐτοῖς ἐκείνοις ὀργῆς τυγχάνειν.

Ἡρώδης δὲ διὰ τὴν ἐπιχείρησιν ἣν ἐποιήσατο τῷ τάφῳ, χεῖρον ἐδόκει πράττειν ἐν τοῖς κατὰ τὴν οἰκίαν, εἴτε δὴ τοῦ μηνίματος ἐπιδόντος εἰς ἃ μάλιστα καὶ πρότερον ἐνόσει πλείω γενέσθαι καὶ πρὸς ἀνηκέστους ἐξελθεῖν συμφοράς, εἴτε καὶ τῆς τύχης ἐν ἐκείνοις τὴν ἐπίδεσιν ποιουμένης ἐν οἷς τὸ κατὰ τὴν αἰτίαν εὔκαιρον οὐ μικρὰν πίστιν παρεῖχε τοῦ διὰ τὴν ἀσέβειαν αὐτῷ τὰς συμφορὰς ἀπηντηκέναι. στάσις γὰρ ἦν ὥσπερ ἐμφυλίου πολέμου κατὰ τὴν αὐλὴν καὶ μίση

Digitized by Google

πρὸς ἀλλήλους ἀνθυπερβάλλομένων ταῖς διαβολαῖς. ἐστρατήγει δ' ἀεὶ κατὰ τῶν ἀδελφῶν Ἀντίπατρος, δεινὸς ὢν ἔξωθεν μὲν περιβάλλειν αὐτοὺς ταῖς αἰτίαις, αὐτὸς δὲ πολλάκις ἀκολογουμένου τόπον λαμβάνειν, ἵν' ᾖ τὸ δοκοῦν εὔνουν πιστὸν αὐτῷ πρὸς τὰς ἐπιχειρήσεις ὧν ἐδόκει. καὶ τούτῳ τῷ τρόπῳ ποικίλως ἐκπεριελήλυθει τὸν πατέρα, μόνος ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἅπαντα πράττειν αὐτὸς πεπιστευκώς. ὃ δὲ καὶ Πτολεμαῖον, ὃς ἦν αὐτῷ διοικητὴς τῶν τῆς βασιλείας πραγμάτων, Ἀντιπάτρῳ συνίστη, καὶ μετὰ τῆς ἐκείνου μητρὸς ὑπὲρ τῶν ἐπειγόντων ἐβουλεύετο. καὶ καθόλου τὰ πάντα ἦσαν οὗτοι, καὶ πράττειν ὅσα θέλοιεν, καὶ πρὸς δύσνοιαν ἄγειν τὸν βασιλέα τῶν ἔξωθεν ὅσοις ἐδόκει συμφέρειν. οἱ δ' ἐκ τῆς Μαριάμμης χαλεπώτερον ἀεὶ διετίθεντο, καὶ τὴν ἀτιμίαν ὑπ' εὐγενείας οὐκ ἔφερον παρεωσμένοι καὶ τάξιν ἀτιμοτέραν ἔχοντες. αἵ γε μὴν γυναῖκες, ἡ μὲν Ἀλεξάνδρῳ συνοικοῦσα, θυγάτηρ Ἀρχελάου Γλαφύρα, μῖσος εἶχεν εἰς τὴν Σαλώμην κατά τε τὴν πρὸς τὸν ἄνδρα διάθεσιν κἀκ τοῦ πρὸς τὴν ἐκείνης θυγατέρα δοκεῖν ὑπερηφανώτερον διακεῖσθαι· συνῴκει μὲν γὰρ Ἀριστοβούλῳ, τὴν δὲ ἰσοτιμίαν αὐτῆς ἀνηξιοπάθει Γλαφύρα.

3 δευτέρας οὖν ταύτης ἔριδος ἐμπεπτωκυίας οὐδ' ὁ τοῦ βασιλέως ἀδελφὸς Φερώρας ἔξω ταραχῆς ἦν. ἰδίαν δὲ ὑπόθεσιν ὑποψίας καὶ μίσους εἶχεν· ἐμπεπτώκει μὲν γὰρ εἰς ἔρωτα δουλευούσης αὐτῷ γυναικός, ἥττητο δὲ τῆς ἀνθρώπου μεμηνότως, ἐπὶ τοσοῦτον κρατούμενος ὥστ' αὐτῷ καὶ τῆς τοῦ βασιλέως ἐγγυηθείσης θυγατρὸς τὴν μὲν ὑπερηφανῆσαι, πρὸς δὲ τὴν δούλην τὸν νοῦν εἶχεν. ἤχθετο δὲ ἀτιμασθεὶς Ἡρώδης τῷ πολλὰ μὲν εὐεργετῆσαι τὸν ἀδελφόν, δυνάμει δὲ καὶ κοινωνὸν ἔχειν τῆς βασιλείας, οὐχ ὅμοιον εἰς τὰς ἀμοιβὰς

Digitized by Google

ὁρῶν, κἂν τῷ προσώπῳ δυστυχεῖν ᾤετο. καὶ τὴν μὲν κόρην, μὴ τυχὼν Φερώρα δικαίου, παιδὶ Φασαήλου δίδωσιν, αὐτὸς δὲ χρόνου διελθόντος οἰόμενος ἤδη παρημακέναι τὴν ἐπιθυμίαν τἀδελφῷ, περί τε τῶν χρημάτων ἠτιᾶτο καὶ τὴν δευτέραν ἠξίου λαμβάνειν· Κύπρος δ' ἐκαλεῖτο. Φερώρᾳ δὲ συμβουλεύει Πτολεμαῖος ἤδη παυσαμένῳ τῆς εἰς τὸν ἀδελφὸν ἀτιμίας καταβαλεῖν τὸν ἔρωτα· καὶ γὰρ αἰσχρὸν εἶναι δούλης ἡττώμενον ἀποστερεῖν μὲν αὐτὸν τῆς εὐνοίας τῆς παρὰ βασιλέως, αἴτιον δὲ κἀκείνῳ ταραχῆς καὶ μίσους πρὸς αὐτὸν καθίστασθαι. ταῦτ' ἐκεῖνος εἰδὼς λυσιτελήσοντα τῷ καὶ πρότερον ἐν διαβολαῖς γενόμενος συνεγνῶσθαι, τὴν μὲν ἄνθρωπον, ἤδη καὶ παῖδα ἐξ αὐτῆς ἔχων, ἀποπέμπεται, βασιλεῖ δὲ ὡμολόγει λήψεσθαι τὴν δευτέραν αὐτοῦ θυγατέρα, καὶ τριακοστὴν ἡμέραν συνέθετο τοῦ γάμου, συνεπομνύμενος ὡς οὐδὲν ἔτι κοινώνημα πρὸς τὴν ἀποπεμφθεῖσαν ἔσται. διελθουσῶν δὲ τῶν τριάκοντα ἡμερῶν τοσοῦτον ἦν ἧττον τοῦ ἔρωτος ὥστε μηδὲν μὲν ἔτι ποιῆσαι τῶν ὡμολογημένων, πάλιν δὲ διατελεῖν ἐπὶ τῇ πρώτῃ. ταῦτα φανερῶς ἤδη τὸν Ἡρώδην ἐλύπει καὶ πρὸς ὀργὴν ἦγεν. ἦσαν οὖν λόγοι τινὲς ἀεὶ προσπίπτοντες παρ' αὐτοῦ, καὶ πολλοὶ τὴν ὀργὴν τοῦ βασιλέως ἀφορμὴν τῶν κατὰ Φερώρα διαβολῶν ἐποιοῦντο. διέλειπε δὲ οὐκ ἔσθ' ἥτις ἡμέρας οὐδ' ὥρα καθ' ἣν ἀτρεμεῖν αὐτῷ συνέβαινεν, ἀλλ' ἀεί τι προσέπιπτε καινὸν ἀγώνισμα τῶν συγγενῶν καὶ φιλτάτων εἰς ἀλλήλους πεποιημένων. τοῦτο μὲν γὰρ ἡ Σαλώμη χαλεπὴ καὶ δύσνους οὖσα τοῖς ἐκ Μαριάμμης, οὐδὲ τὴν ἑαυτῆς θυγατέρα συνοικοῦσαν Ἀριστοβούλῳ, θατέρῳ τῶν νεανίσκων, εἶα τῇ τοῦ γάμου πρὸς ἐκεῖνον εὐνοίᾳ χρῆσθαι, λέγειν εἴ τι λελήσειεν κατ' ἰδίαν ἀναπείθουσα καὶ μηνύειν ἑαυτῇ,

Digitized by Google

κἂν τοῖς προσκρούσμασιν, οἷα συμβαίνει, πολλὰς ὑποψίας εἰσάγουσα. δι' ὧν αὐτὴ μὲν ἅπαντα τὰ κατ' ἐκείνους ἐμάνθανε, δύσνουν δὲ τὴν παῖδα τῷ νεανίσκῳ πεποίηκε. χαριζομένη δ' ἐκείνη τῇ μητρὶ πολλάκις ἔλεγεν ὡς μέμνηνται μὲν ἰδιάζοντες ἐκεῖνοι τῆς Μαριάμμης, ἐστυγήκασι δὲ τὸν πατέρα, συνεχὲς δὲ διαπειλοῦσιν, εἰ τύχοιεν αὐτοί ποτε τῆς ἀρχῆς, τοὺς μὲν ἐκ τῶν ἄλλων γυναικῶν παῖδας Ἡρῴδῃ γεγενημένους κωμογραμματεῖς καταστήσειν (ἁρμόσειν γὰρ εἰς τοιαύτην χρείαν τὸ νῦν ἐπιμελὲς αὐτῶν καὶ πρὸς παιδείαν ἐσπουδασμένον), τὰς δὲ γυναῖκας, εἴ ποτε καὶ ταύτας ἴδοιεν τοῦ μητρῴου κόσμου μετειληφυίας, ἀντὶ τῆς παρούσης ἀβρότητος ἀπειλεῖν ὡς τριχίναις ἠμφιεσμέναις καθεδοῦνται μηδὲ τὸν ἥλιον βλέπουσαι. ταῦτ' εὐθὺς ἀπηγγέλλετο διὰ τῆς Σαλώμης τῷ βασιλεῖ, κἀκεῖνος ἤκουε μὲν ἀλγεινῶς, ἐπειρᾶτο δὲ διορθοῦν. ἐκακοῦτο δὲ ταῖς ὑποψίαις, καὶ χείρων ἀεὶ γινόμενος ἅπασι κατὰ πάντων ἐπίστευεν.

οὐ μὴν ἀλλὰ τότε μὲν ἐπιπλήξας τοῖς παισίν, ἀπολογησαμένων ῥᾳόων εἰς τὸν καιρὸν ἐγίνετο, ταῖς δ' ἑξῆς πολὺ χείρων προέπεσεν. ὁ γὰρ Φερώρας ἐλθὼν παρὰ τὸν Ἀλέξανδρον, ἔχοντα τὴν Ἀρχελάου θυγατέρα Γλαφύραν, ὡς ἐδηλώσαμεν, Σαλώμης ἔφη λεγούσης ἀκηκοέναι τὸν Ἡρῴδην ἡττῆσθαι τοῦ τῆς Γλαφύρας ἔρωτος καὶ δυσπαρηγόρητον αὐτῷ τὴν ἐπιθυμίαν εἶναι. τοῦτο οὖν ἐκεῖνος ἀκούσας ὑπό τε νεότητος καὶ ζηλοτυπίας ἐξεκαίετο, καὶ τὰ κατὰ τὴν τιμὴν εἰς τὴν παῖδα γινόμενα παρ' Ἡρῴδου (πολλάκις δὲ ἦσαν αἱ τοιαῦται φιλοφρονήσεις) ἐπὶ τὸ χεῖρον ἐλάμβανεν ἐξ ὑπονοιῶν διὰ τὸν ἐκπεσόντα λόγον. οὐκ ἐκαρτέρησέ τε τὴν ὀδύνην τοῦ πράγματος, ἀλλ' ἐλθὼν πρὸς τὸν πατέρα καταμηνύει τὰ ὑπὸ τοῦ Φερώρα ῥηθέντα μετὰ δακρύων.

Digitized by Google

Ἡρώδης δὲ πολὺ μᾶλλον ἐκπαθὴς γενόμενος καὶ τὸ σὺν αἰσχύνῃ τῆς διαβολῆς ἐψευσμένον οὐ φέρων ἐτετάρακτο, καὶ πολλάκις μὲν ὠδύρετο τὴν πονηρίαν τῶν οἰκείων, οἷος εἰς αὐτοὺς γενόμενος οἵων τυγχάνοι, μεταπέμπεται δὲ τὸν Φερώραν, καὶ προσονειδίσας "κάκιστε ἁπάντων" εἶπεν, "εἰς τοῦτο τῆς ἀμέτρου καὶ περιττῆς ἦλθες ἀχαριστίας ὡς τοιαῦτα μὲν περὶ ἡμῶν νοῆσαι τοιαῦτα δὲ λελεῖν; ἆρ' οὐχ ὁρῶ τὴν σὴν προαίρεσιν, ὡς οὐ βλασφημίας ἐστοχασμένος τοὺς τοιούτους λόγους τῷ παιδὶ προσήνεγκας, ἐπιβουλὴν δὲ καὶ φάρμακον αὐτοὺς ποιούμενος τῆς ἐμῆς ἀπωλείας; τίς γὰρ ἄν, εἰ μὴ δαιμόνων ἐναθῶν ἔτυχεν ὥσπερ οὗτος ὁ παῖς, ἠνέσχετο τὸν πατέρα μὴ τίσασθαι διὰ τοιαύτην ὑποψίαν; πότερον δὲ λόγον εἰς τὴν ψυχὴν ἢ ξίφος εἰς τὴν δεξιὰν ἐμβαλεῖν αὐτῷ δοκεῖς κατὰ τοῦ γεγεννηκότος; τί δέ σοι βούλεται τὸ μισοῦντά τε αὐτὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ πρὸς μόνην τὴν κατ' ἐμοῦ βλασφημίαν εὔνοιαν ὑποκρίνασθαι, καὶ περὶ τούτων λέγειν ἃ τῆς σῆς ἀσεβείας ἦν καὶ νοῆσαι καὶ διαβαλεῖν; ἔρρε, κάκιστος εἰς εὐεργέτην καὶ ἀδελφὸν γενόμενος, καὶ σοὶ μὲν ἡ συνείδησις αὕτη συζήσειεν, ἐγὼ δὲ νικῴην ἀεὶ τοὺς ἐμοὺς μήτε ἀμυνόμενος κατ' ἀξίαν καὶ μειζόνως εὐεργετῶν ἢ τυγχεῖν εἰσὶ δίκαιοι."

τοιαῦτα μὲν οὖν ὁ βασιλεύς, Φερώρας δὲ ἐπ' αὐτοφώρῳ τῇ μοχθηρίᾳ ἁλοὺς Σαλώμην ἔφη ταῦτα συνθεῖναι, καὶ παρ' ἐκείνης εἶναι τοὺς λόγους. ἡ δὲ ὡς μόνον ἤκουσεν (ἐτύγχανε δὲ παροῦσα) πιθανῶς ἀνεβόησεν ὡς οὐδὲν εἴη παρ' αὐτῆς τοιοῦτον, καὶ ὅτι διὰ σπουδῆς ἐστιν ἅπασιν εἰς μῖσος ἀγαγεῖν αὐτὴν τοῦ βασιλέως καὶ πάντα τρόπον ἀνελεῖν διὰ τὴν εὔνοιαν ἣν ἔχοι περὶ τὸν Ἡρώδην, ἀεὶ προγινώσκουσα τοὺς κινδύνους· ἐν δὲ τῷ παρόντι καὶ μᾶλλον ἐπιβουλεύεσθαι·

Digitized by Google

μόνη γὰρ ἀναπείθουσα τὸν ἀδελφὸν ἐκβαλεῖν τὴν ἔχει γυναῖκα, λαβεῖν δὲ θυγατέρα τὴν βασιλέως, εἰκότως ὑπ' ἐκείνου μεμισῆσθαι. τοιαῦτα λεγούσης, καὶ πολλάκις μὲν ἐπιδραττομένης τῶν τριχῶν πολλάκις δὲ τυπτούσης τὰ στέρνα, ἡ μὲν ὄψις εἶχέ τι πρὸς τὴν ἄρνησιν πιθανόν, ἡ δὲ κακοήθεια τοῦ τρόπου τὴν ἐν τοῖς γενομένοις ὑπόκρισιν ἀπεσήμαινεν. ὁ δὲ Φερώρας εἰς μέσον ἀπείληπτο, μηδὲν εὔσχημον εἰς ἀπολογίαν ἔχων, εἰπεῖν μὲν ὡμολογηκώς, ἀκοῦσαι δ' οὐ πιστευόμενός. ἐγένετο μὲν οὖν ἐπὶ πλεῖον ἥ τε σύγχυσις καὶ ἡ τῶν λόγων εἰς ἀλλήλους ἅμιλλα· τέλος δὲ ὁ βασιλεὺς τόν τε ἀδελφὸν καὶ τὴν ἀδελφὴν μεμισηκὼς ἀπεπέμπετο, καὶ τὸν υἱὸν ἐπαινέσας τῆς ἐγκρατείας καὶ τοῦ πρὸς αὐτὸν ἀνενεγκεῖν τοὺς λόγους, ὀψὲ τῆς ὥρας περὶ θεραπείαν τοῦ σώματος ἐγένετο. τοιαύτης δὲ τῆς μάχης ἐμπεσούσης κακῶς ἤκουσεν ἡ Σαλώμη (παρ' αὐτῆς γὰρ ἐδόκει κεκινῆσθαι τὰ περὶ τὴν διαβολήν) αἵ τε τοῦ βασιλέως γυναῖκες ἤχθοντο, φύσει δυσμεταστάτην εἰδυῖαι καὶ γινομένην ἄλλοτ' ἄλλην, κατὰ καιροὺς ἐχθρὰν καὶ φίλην. ἔλεγον οὖν ἀεί τι πρὸς τὸν Ἡρῴδην κατ' αὐτῆς, καί τι συμπεσὸν ἐπὶ μεῖζον ἤγαγε τὴν εἰς τοῦτο παρρησίαν.

6 ἦν μὲν γὰρ ὁ τῆς Ἀραβίας βασιλεὺς Ὀβόδας ἀπράγμων καὶ νωθὴς τὴν φύσιν, Συλλαῖος δ' αὐτῷ διῴκει τὰ πολλά, δεινὸς ἀνὴρ καὶ τὴν ἡλικίαν νέος ἔτι καὶ καλός. οὗτος ὑπὸ χρείας [οὖν] τινὸς ἐλθὼν ὡς τὸν Ἡρῴδην συνδειπνῶν εἶδε τὴν Σαλώμην, καὶ τὸν νοῦν ἔσχε πρὸς αὐτήν· γινώσκων δ' ὅτι καὶ χήρα τυγχάνοι, διελέγετο. Σαλώμη δὲ καὶ χεῖρον ἢ πάλαι φερομένη παρὰ τἀδελφῷ, καὶ τὸν νεανίσκον οὐκ ἀπαθῶς ὁρῶσα, πρὸς τὸν γάμον ὥρμητο· τοῖς τε μεταξὺ φοιτώντων ἐπὶ τὸ δεῖπνον ἐνεφαίνετο πλείω τε καὶ μὴ μέτρια τῆς

Digitized by Google

ἐκείνων ὁμολογίας. ταῦτα δὲ αἱ γυναῖκες ἀνέφερον τῷ βασιλεῖ, διαγελῶσαι τὴν ἀσχημοσύνην· Ἡρώδης δὲ καὶ παρὰ τοῦ Φερώρα προσεπυνθάνετο, καὶ τηρεῖν ἠξίου παρὰ τὸ δεῖπνον πῶς τὰ πρὸς ἀλλήλους ἐσχήκασιν. ἐκεῖνος δὲ ἀπήγγελλεν ὅτι καὶ νεύμασι καὶ βλέμμασιν οὐκ ἄθηλοι τῆς ὁρμῆς εἰσιν ἀμφότεροι. μετὰ τοῦτο ὁ μὲν Ἄραψ ὕποπτος ὢν ἀπῆει· διαλιπὼν δὲ δύο μῆνας ἢ τρεῖς ἔρχεται πάλιν ὡς ἐπ' αὐτὸ τοῦτο, καὶ λόγους Ἡρώδῃ προσέφερεν, ἀξιῶν αὐτῷ τὴν Σαλώμην δοθῆναι πρὸς γάμον· ἔσεσθαι γὰρ οὐκ ἀλυσιτελὲς τὸ κῆδος ἐπιμιξίᾳ τῆς τῶν Ἀράβων ἀρχῆς, ἣν αὐτῷ καὶ νῦν ἤδη παρεῖναι δυνάμει, καὶ μᾶλλον ὀφείλεσθαι. τοῦ δὲ Ἡρώδου τὸν λόγον ἀναφέροντος, καὶ πυνθανομένου τῆς ἀδελφῆς εἰ πρὸς γάμου ἑτοίμως ἔχει, ταχέως μὲν ἐκείνη προσήματο· Συλλαῖος δέ, ἀξιούντων αὐτὸν ἐγγραφῆναι τοῖς τῶν Ἰουδαίων ἔθεσι καὶ τότε γαμεῖν (ἄλλως γὰρ οὐκ εἶναι δυνατόν), οὐχ ὑπομείνας, ἀλλὰ καὶ καταλευσθήσεσθαι πρὸς τῶν Ἀράβων εἰκὼν εἰ τοῦτο πράξειεν, ἀπαλλάττεται. Σαλώμην οὖν ὅ τε Φερώρας ἤδη διέβαλλεν εἰς ἀκρασίαν, καὶ μᾶλλον αἱ γυναῖκες λέγουσαι κοινωνίαν αὐτῇ γενέσθαι πρὸς τὸν Ἄραβα. τὴν δὲ κόρην ην τἀδελφῷ κατενεγύησεν ὁ βασιλεύς, ἣν ὁ μὲν Φερώρας οὐκ ἔλαβεν, ὡς προεῖπον, ἡττημένος τῆς γυναικός, αἰτούσης Σαλώμης εἰς τὸν υἱὸν τὸν ἐκ Κοστοβάρου γενόμενον ὥρμητο μὲν ἐκείνῳ συνοικίσαι, μεταπείθεται δὲ ὑπὸ τοῦ Φερώρα, τὸν νεανίσκον οὐκ εὔνουν ἔσεσθαι λέγοντος διὰ τὴν ἀπώλειαν τοῦ πατρός, καὶ δικαιότερον εἶναι λαβεῖν τὸν αὐτοῦ παῖδα τῆς τετραρχίας ὄντα διάδοχον. οὕτω δὲ συγγνώμην ἠτεῖτο καὶ μετέπεσεν οὗτος.

ἐκείνη μὲν οὖν, ἀντιμετατεθείσης τῆς ἐγγύης, ἐγα-

Digitized by Google

μεῖτο τῷ Φερώρα μειρακίῳ, φέρνην ἐπιδόντος ἕκα-
8 τὸν τάλαντα τοῦ βασιλέως· οὐκ ἀνεῖτο δὲ τὰ κατὰ
τὴν οἰκίαν ἀεὶ καὶ μείζους τὰς ταραχὰς λαμβάνοντα.
καὶ συμπίπτει τι τοιοῦτον, ἐξ αἰτίας μὲν οὐκ εὐ-
προφανοῦς, χωρῆσαν δὲ πρόσω κατὰ δυσχέρειαν. ἦσαν
εὐνοῦχοι τῷ βασιλεῖ διὰ κάλλος οὐ μετρίως ἐσπου-
δασμένοι· τούτων ὃ μὲν οἰνοχοεῖν ὃ δὲ θεῖκνον
προσφέρειν ὃ δὲ κατακοιμίζειν τὸν βασιλέα πεπί-
στευτο, καὶ τὰ μέγιστα τῶν ἐν ταῖς ἀρχαῖς. καί τις
ἀναγγέλλει τῷ βασιλεῖ διαφθαρῆναι τούτους ὑπὸ
Ἀλεξάνδρου τοῦ παιδὸς ἐπὶ πολλοῖς χρήμασιν. ἀνακρί-
ναντι δὲ περὶ μὲν τῆς γεγενημένης πρὸς αὐτὸν κοινω-
νίας καὶ μίξεως ὡμολόγουν, ἄλλο δὲ οὐδὲν δυσχερὲς εἰς
τὸν πατέρα συνειδέναι. βασανιζόμενοι δὲ μᾶλλον καὶ
ἐν ταῖς ἀνάγκαις ὄντες, ἐπιτεινόντων ἀεὶ τῶν ὑπηρε-
τῶν καὶ χαριζομένων τῷ Ἀντιπάτρῳ τὸ τοιοῦτον, ἔλε-
γον ὡς εἴη δυσμένεια πρὸς τὸν πατέρα καὶ μῖσος ἔμ-
φυτον Ἀλεξάνδρῳ, παραινοίη δ' αὐτοῖς Ἡρώδην μὲν
ἀπεγνωκέναι περιττὸν ἤδη τετυχηκότα καὶ τῷ γήρᾳ
παρακάλυμμα τοῦ χρόνου ποιούμενον, μελαίνοντα τὰς
τρίχας καὶ κλέπτοντα τὸν ἔλεγχον τῆς ἡλικίας· εἰ δ'
αὐτῷ προσέχοιεν τὸν νοῦν, περιγενομένου τῆς βασιλείας,
ἣν καὶ μὴ βουλομένου τοῦ πατρὸς οὐκ ἄλλου τινὸς εἶναι,
ταχὺ τὸν πρῶτον ἕξειν ἐν αὐτῇ τόπον. οὐ γὰρ μόνον
διὰ τὸ γένος, ἀλλ' ἤδη καὶ ταῖς παρασκευαῖς ἕτοιμον
αὐτῷ τὸ κρατεῖν εἶναι· πολλοὶ μὲν γὰρ τῶν ἡγεμόνων
πολλοὶ δὲ τῶν φίλων συνεστᾶσιν, οὐχὶ πονηροὶ πᾶν
ὁτιοῦν καὶ δρᾶν καὶ πάσχειν.

2 τούτων τῶν λόγων ἀκούσας Ἡρώδης ὅλος ἐγένετο
τῆς ἐπηρείας καὶ τοῦ δέους, τὰ μὲν εἰς ὕβριν ῥηθέντα
καλεπῶς, τὰ δ' εἰς ὑπόνοιαν οὐκ ἀκινδύνως ἐκλαβών,
ὥστε καὶ μᾶλλον ἐξ ἀμφοτέρων ἠρεθίζετο, καὶ πικρὸς

Digitized by Google

ὧν ἐδεδοίκει μὴ καί τι ταῖς ἀληθείαις συνέστησεν ἐπ' αὐτὸν ἰσχυρότερον ἢ φυλάξασθαι πρὸς ἐκεῖνον τὸν καιρόν. ἔνθεν οὐδ' ἐκ φανεροῦ τὴν ἔρευναν ἐποιεῖτο, κατασκόπους δὲ τῶν ὑπονοουμένων διέπεμψεν· ὑποψία τε καὶ μίσει πρὸς ἅπαντας ἦν, καὶ τὴν ὑπόνοιαν ἐπ' ἀσφαλείᾳ λαμβάνων πολλήν, καὶ κατὰ τῶν οὐκ ἀξίων αὐτῇ χρώμενος διετέλει. πέρας τε οὐδὲν ἦν, ἀλλὰ μένειν οἱ νομιζόμενοι μᾶλλον, ὡς ἂν καὶ μᾶλλον ἰσχύοντες, ἐδόκουν αὐτῷ φοβεροί· τοὺς δ' οἷς οὐκ ἦν συνήθεια πλείων ὀνομάσαι μόνον ἔδει, καὶ μέρος εὐθὺς ἀσφαλείας ἐδόκουν ἀπολλύμενοι. τέλος τε οἱ περὶ αὐτόν, ἐν τῷ μηδὲν ἔχειν βέβαιον εἰς ἐλπίδα σωτηρίας, ἐπ' ἀλλήλους ἐτράπησαν, νομίζοντες μὲν εἰ φθάσας ἕτερος τὸν ἕτερον διαβάλοι, τοῦτ' αὐτῷ πρὸς σωτηρίαν φέρειν, ἐπίφθονοι δ' εἴ ποτε τύχοιεν ὢν ἠξίουν γινόμενοι, καὶ τὸ δικαίως αὐτοὶ παθεῖν ἐφ' οἷς ἀλλήλους ἠδίκησαν προσλαμβάνοντες μόνον. ἤδη οὖν οἰκείας τινὲς ἔχθρας ἐπεξῆσαν τῷ τοιούτῳ τρόπῳ, καὶ καταφωραθέντες ἐν τοῖς ὁμοίοις ἐγένοντο, τὸν καιρὸν ὥσπερ ὄργανον καὶ πάγην ἐπὶ τοὺς ἐχθροὺς νοοῦντες, καὶ συναλισκόμενοι τῇ πείρᾳ καθ' ἣν ἑτέροις ἐπεβούλευον. ἥ τε γὰρ μετάνοια τῷ βασιλεῖ ταχὺ διὰ τὸ μὴ προφανῶς ἁμαρτάνοντας ἀναιρεῖν ἐπεγίνετο, καὶ ταύτης τὸ χαλεπὸν οὐκ εἰς τὸ παύσασθαι τὰ ὅμοια δρᾶν ἀλλ' εἰς τὸ τιμωρήσασθαι τοῖς ἴσοις τοὺς ἐνδειξαμένους ἀπηρτίζετο.

τοιαύτη μὲν ἦν τῶν περὶ τὴν αὐλὴν ἡ ταραχή· 3
πολλοῖς δὲ τῶν φίλων ἤδη καὶ τοῦτ' αὐτὸ προεῖπεν ὡς οὔτ' ἐμφανίζεσθαι δέον αὐτῷ λοιπὸν οὔτ' εἰς τὸ βασίλειον εἰσιέναι. ταύτην δὲ τὴν παραγγελίαν ἐποιεῖτο, καθ' ὧν ἡ παρρησία ἐλάττονος ἢ πλείονος ἐντροπῆς μετειλήφει. καὶ γὰρ Ἀνδρόμαχον καὶ Γέμελλον, ἄνδρας

Digitized by Google

ἄνωθεν φίλους αὐτῷ, καὶ πολλὰ μὲν περὶ τὰς βασιλικὰς χείας ἐν τε πρεσβείαις καὶ συμβουλίαις ὠνήσαντας αὐτοῦ τὸν οἶκον, συμπαιδεύσαντας δὲ καὶ τοὺς υἱούς, καὶ τί γὰρ ἦ πρῶτον παρρησίας τόκον ἐσχηκότας, παρρησιάσατο τότε, τὸν μὲν ὅτι Δημήτριος ὁ παῖς αὐτοῦ συνήθης ἦν Ἀλεξάνδρῳ, Γέμελλον δὲ εὖνουν ἐπιστάμενος ἐκείνῳ· καὶ γὰρ ἐν ταῖς τροφαῖς καὶ τῇ παιδείᾳ παραγεγόνει, καὶ τὴν ἐν τῇ Ῥώμῃ συνδιέτριβεν ἀποδημίαν. παρρησιάσατο δὲ καὶ τούτους ἡδέως μὲν ἂν καὶ χεῖρον, ὑπὸ δὲ τοῦ μὴ κατ' ἀνδρῶν οὐκ ἀσήμων ἔχειν τὴν ἄχρι τοσούτων παρρησίαν, τήν τε τιμὴν καὶ τὸ δύνασθαι κωλύειν ἁμαρτάνοντα παραιρούμενος.

4 ἦν δὲ τούτων ἁπάντων αἴτιος Ἀντίπατρος, ὃς ἐπειδὴ τὸ νενοσηκὸς τῆς τοῦ πατρὸς παρρησίας κατέμαθεν, ἔκπαλαι συνεθρεύετο αὐτῷ προσέπεσε, καὶ μᾶλλον ἐδόκει τι περαίνειν, εἰ τῶν ἀντέχειν δυναμένων ἕκαστος ὑπεξαιρεθείη. τότε γοῦν τῶν περὶ τὸν Ἀνδρόμαχον ἀπελαθέντων λόγου καὶ παρρησίας, πρῶτον μὲν ὁ βασιλεύς, ὅσους ᾤετο πιστοὺς Ἀλεξάνδρῳ, βασάνοις ἀνέκρινεν εἴ τι κατ' αὐτοῦ τολμηθὲν εἰδείησαν. οἱ δὲ ἀπέθνησκον οὐδὲν ἔχοντες λέγειν. τῷ δ' ἦν φιλονεικίας αἴτιον, εἰ μή τι τοιοῦτον οἷον ἐνενόει κακῶς εὑρίσκοιτο· καὶ δεινὸς Ἀντίπατρος ἦν τὸν μὲν ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναίτιον εἰς ἐγκράτειαν καὶ πίστιν διαβαλεῖν, ἐπικαροξῆναι δὲ ζητεῖν ἐκ πλειόνων τὸ λανθάνον τῆς ἐπιχειρήσεως. καί τις ἐν πολλοῖς τοῖς βασανιζομένοις εἶπεν ὡς εἰδείη τὸν νεανίσκον λέγοντα πολλάκις, ὅτε ἐπαινούμενος αὐτὸς τύχοι τό τε σῶμα ὡς εἴη μέγας καὶ τὴν τοξικὴν εὔστοχος καὶ τἆλλα τὰ πρὸς ἀρετὴν ὑπὲρ ἅπαντας, ὅτι ταῦτα αὐτῷ κακὰ μᾶλλον ἢπερ ἀγαθὰ παρὰ τῆς φύσεως ἐστίν· ἄχθεσθαι γὰρ ἐπ' αὐτοῖς τὸν πατέρα καὶ φθονεῖν· αὐτός τε, ὅτε μὲν ἅμα

Digitized by Google

περιπατοίη, συστέλλειν αὐτὸν καὶ καθειρξεῖν ὡς μὴ μείζων ὁρᾶσθαι, τοξεύων δὲ ἐν τοῖς κυνηγεσίοις ἐκείνου παρόντος ἀπὸ σκοποῦ ῥίπτειν· τὴν γὰρ φιλοτιμίαν αἰδεῖσθαι τοῦ γεγεννηκότος κατὰ τῶν εὐδοκιμούντων. βασανιζομένῳ οὖν τῷ λύγῳ καὶ προσγινομένης ἀνέσεως τῷ σώματι, προσετίθει ὅτι καὶ συνεργὸν ἔχων τὸν ἀδελφὸν Ἀριστόβουλον βουλεύσαιτο ἐν κυνηγεσίῳ λοχήσας ἀνελεῖν τὸν πατέρα, καὶ φεύγειν εἰς Ῥώμην, ἐπειδὰν τοῦτ' αὐτῷ πραχθῇ, τὴν βασιλείαν αἰτησόμενος. εὑρέθη δὲ καὶ γράμματα τοῦ νεανίσκου πρὸς τὸν ἀδελφόν, ἐν οἷς ἐμέμφετο τὸν πατέρα μὴ δίκαια ποιεῖν, Ἀντιπάτρῳ χώραν ἀποκείμοντα πρόσοδον διακοσίων ταλάντων φέρουσαν. ἐπὶ τούτοις εὐθὺς μὲν ἔδοξέ τι πιστὸν ἔχειν Ἡρῴδης, ὡς ᾤετο, τῆς κατὰ τῶν παίδων ὑποψίας· καὶ συλλαβὼν ἔδησε τὸν Ἀλέξανδρον. αὖθις δὲ οὐκ ἀνίει ταλαπωρῶν, τὰ μὲν οὐδ' οἷς ἤκουσεν ἅπαν πεπιστευκώς (ἀναλογιζομένῳ γὰρ ἄξιον μὲν ἐπιβουλῆς ἐξ αὐτῶν οὐδὲν ἐφαίνετο, μέμψεις δὲ καὶ νεανικαὶ φιλοτιμίαι, καὶ τὸν πτείναντα φανερῶς εἰς τὴν Ῥώμην ὁρμᾶν ἀπίθανον· ἠξίου δὲ καὶ μεῖζόν τι λαβεῖν τῆς περὶ τὸν υἱὸν παρανομίας τεκμήριον, καὶ φιλόνεικος ἦν μὴ δόξαι προπετῶς τὰ δεσμὰ κατεγνωκέναι. τῶν δὲ φίλων τῶν Ἀλεξάνδρου βασανίζων τοὺς ἐν τέλει, διέφθειρεν αὐτῶν οὐκ ὀλίγους, οὐδὲν εἰπόντας ὧν ἐκεῖνος ᾤετο. πολλῆς δὲ τῆς εἰς τὸ τοιοῦτον ἑτοιμότητος οὔσης καὶ φόβου καὶ ταραχῆς περὶ τὸ βασίλειον, εἴς τις τῶν νεωτέρων, ὡς ἐν ταῖς ἀνάγκαις ἐγένετο, διαπέμπειν ἔφη τοῖς ἐν Ῥώμῃ φίλοις τὸν Ἀλέξανδρον, ἀξιοῦντα κληθῆναι θᾶττον ὑπὸ Καίσαρος· ἔχειν γὰρ αὐτῷ πρᾶξιν ἐπ' αὐτὸν συνεσκευασμένην μηνῦσαι, Μιθριδάτην τὸν βασιλέα Πάρθων τοῦ πατρὸς ἠρημένου καπὶ Ῥωμαίων φίλον· εἶναι δὲ αὐτῷ καὶ φάρμακον ἐν Ἀσκάλωνι κατεσκευασμένον.

Digitized by Google

τούτοις ἐπίστευσεν Ἡρώδης, καί τινα παραμυθίαν τῆς προπετείας εἴληφεν ἐν τοῖς κακοῖς ὑπὸ τῶν χειρόνων κολακευόμενος. καὶ τὸ μὲν φάρμακον εὐθὺς ἐσπουδακότι ζητεῖν οὐχ εὑρέθη, τὴν δ' ὑπερβολὴν τῶν κακῶν Ἀλέξανδρος ἐκ φιλονεικίας ἐπιρρῶσαι θέλων εἰς μὲν ἄρνησιν οὐκ ἐτράπετο, μετῄει δὲ τὴν προπέτειαν τοῦ πατρὸς ἁμαρτίᾳ μείζονι, τάχα δὲ καὶ διὰ τούτου δυσωπῆσαι βουλόμενος τὸ πρὸς τὰς διαβολὰς ἕτοιμον, οὐχ ἥκιστα δέ, εἰ καὶ ἔτυχε πιστευθείς, κακοῦν αὐτὸν καὶ πᾶσαν τὴν βασιλείαν προχρημένος. γράμματα γὰρ γράψας ἐν βίβλοις τέτταρσιν ἀπέστειλεν, ὡς οὐδὲν δεῖ βασανίζειν οὐδὲ περαιτέρω χωρεῖν· γενέσθαι γὰρ τὴν ἐπιβουλήν, καὶ ταύτῃ συλλαμβάνειν τόν τε Φερώραν καὶ τοὺς πιστοτάτους αὐτῷ τῶν φίλων, Σαλώμην δὲ καὶ νύκτωρ ἐπεισελθοῦσαν ἄκοντι μιγῆναι· καὶ πάντας ἐπὶ ταὐτὸν ἥκειν, τὸ θᾶττον ἐκεῖνον ἐκποδὼν ποιησαμένους ἄδειαν τῆς ἀεὶ προσδοκίας ἔχειν. ἐν τούτοις καὶ Πτολεμαῖος διεβέβλητο καὶ Σαπίννιος, οἱ πιστότατοι τῷ βασιλεῖ. καὶ τί γὰρ ἦ καθάπερ λύττης τινὸς ἐμπεσούσης κατ' ἀλλήλων οἱ πάλαι φίλτατοι τεθηρίωντο, μήτ' ἀπολογίας μήτ' ἐλέγχου τόπον ὡς ἀληθείας ἐχόντων, ἀλλ' ἀεὶ γινομένης ἀκρίτου τινὸς εἰς ἅπαντας ἀπωλείας· καὶ τῶν μὲν δεσμὰ τῶν δὲ θανάτους τῶν δὲ τὸ ταῦτα μέλλειν ἐπ' αὐτοῖς ὀδυρομένων, ἡσυχία τε καὶ κατήφεια τὸ βασίλειον ἀπεκόσμει τῆς πρώτης εὐδαιμονίας. καὶ χαλεπὸς ἦν Ἡρώδῃ πᾶς ὁ βίος ἐκτεταραγμένῳ καὶ τὸ μηδενὶ πιστεύειν μέγα τῆς προσδοκίας κολαστήριον ἔχοντι· πολλάκις γοῦν ὡς ἐπανιστάμενον αὐτῷ τὸν υἱὸν ἢ καὶ ξιφήρη παρεστῶτα διὰ φαντασίας ἐλάμβανεν. οὕτως ἡ ψυχὴ καὶ νύκτα καὶ ἡμέραν πρὸς τούτῳ γενομένη πάθος ἀναμάξατο μανίας καὶ ἀνοίας οὐχ ἧττον.

Digitized by Google

καὶ τὰ μὲν περὶ ἐκεῖνον εἶχεν οὕτως· Ἀρχέλαος δὲ 6
ὁ τῶν Καππαδόκων βασιλεὺς ὡς ἐπύθετο τὰ κατὰ τὸν
Ἡρώδην, ἀγανιῶν τε ὑπὲρ τῆς θυγατρὸς καὶ τοῦ νεα-
νίσκου καὶ συναλγῶν ἀνδρὶ φίλῳ τῆς ἐπὶ τοσόνδε τα-
ραχῆς, ἦκεν οὐκ ἐν παρέργῳ θέμενος τὰ πράγματα. καὶ
καταλαβὼν οὕτως ἔχοντα, τὸ μὲν ἐπιτιμᾶν ἢ φάναι γε-
νέσθαι τι προσῆκεν αὐτῷ τελέως ἀνοίκειον εἰς τὸν καιρὸν ἡγήσατο· φιλονεικήσειν γὰρ κεκακωμένον, καὶ
μᾶλλον ἀπολογεῖσθαι σπεύδοντα πλείονος ὀργῆς ἀνα-
πλησθήσεσθαι. μετῆει δὲ τάξιν ἑτέραν εἰς τὴν ἐπανόρθωσιν τῶν ἠτυχημένων, ὀργιζόμενος τῷ νεανίσκῳ,
κἀκεῖνον ἐπιεικῆ λέγων τῷ μηδὲν ἐκ προπετείας ἐργάσασθαι· τόν τε γάμον διαλύσειν ἔφη πρὸς τὸν Ἀλέξανδρον, καὶ μηδ' ἂν τῆς θυγατρὸς φείσασθαι, εἴ τι συνει-
δυῖα τούτῳ οὐ κατεμήνυσεν. τοιούτου δ' ὄντος Ἀρχε-
λάου οὐ κατὰ προσδοκίαν ὧν ὁ Ἡρώδης ᾤετο, τὸ δὲ
πλέον ὑπὲρ αὐτοῦ τὴν ὀργὴν ἐπιδεικνυμένου, μετέ-
πιπτεν ὁ βασιλεὺς τῆς χαλεπότητος, καὶ λαβὼν ἐκ τοῦ
δικαίου δοκεῖν τὰ πεπραγμένα πεποιηκέναι, κατὰ μι-
κρὸν εἰς τὸ τοῦ πατρὸς ἀντιμεθίστατο πάθος. οἰκτρὸς
δὲ ἦν ἐν ἀμφοτέροις, ὅτε μὲν ἀπελύοντό τινες τὰς τοῦ
νεανίσκου διαβολάς, εἰς ὀργὴν ἐκταραττόμενος, ἐπειδὴ
δὲ Ἀρχέλαος συγκατηγόρει, πρὸς δάκρυα καὶ λύπην
οὐκ ἀπαθῆ μεθιστάμενος· ἐδεῖτο γοῦν ἐκείνου μήτε
διαλύειν τὸν γάμον, ὀργῆς τε ἔλαττον ἔχειν ἐφ' οἷς ὁ
νεανίσκος ἠδίκηκεν. Ἀρχέλαος δὲ παραλαβὼν ἐπιεικέ-
στερον, εἴς τε τοὺς φίλους μετέφερε τὰς διαβολάς, ἐκεί-
νων εἶναι λέγων νέον ὄντα καὶ κακοηθείας ἀναίσθητον
διαφθεῖραι, τόν τε ἀδελφὸν αὐτῷ μᾶλλον εἰς ὑποψίαν
παθίστη. τοῦ γὰρ Ἡρώδου χαλεπῶς καὶ πρὸς τὸν Φε-
ρώραν ἔχοντος, ὃ μὲν ἀπορίᾳ τοῦ διαλλάξοντος, Ἀρχέ-
λαον ὁρῶν μάλιστα δυνάμενον, αὐτὸς τυχὼν πρὸς ἐκεῖ-

Digitized by Google

νον ἐτράπετο μελανείμων καὶ πάντα τὰ σημεῖα τῆς μετὰ μικρὸν ἀπωλείας ἔχων, Ἀρχέλαος δὲ οὔτε ὑπερεῖδε τὴν ἔπευξιν οὔτ' ἔφη δυνατὸς εἶναι ταχὺ μεταπεῖθειν οὕτως ἔχοντα τὸν βασιλέα· βέλτιον δὲ εἶναι αὐτῷ προσιέναι καὶ δείσθαι, τῶν πάντων αἴτιον αὑτὸν ὁμολογοῦντα· λαφήσειν γὰρ οὕτω τοῦ θυμοῦ τὸ περιττόν, αὐτὸς δὲ συλλήψεσθαι παρών. ταῦτα δὲ πεισθέντος αὐτοῦ συναμφότερον ἦν διακεπραγμένον, αἵ τε διαβολαὶ παρὰ δόξαν ἀφῃρηντο τοῦ νεανίσκου, καὶ Φερώρας Ἀρχέλαος διαλλάξας οὕτως εἰς Καππαδοκίαν ἀπῆλθε, κεχαρισμένος ὡς οὐκ ἄλλος ἐν τῇ τότε περιστάσει τῶν καιρῶν Ἡρῴδῃ γενόμενος· ὅθεν καὶ δώροις αὐτὸν ἐτίμησε πολυτελεστάτοις, κἀν τοῖς ἄλλοις μεγαλοπρεπῶς, ἐν τοῖς μάλιστα φίλτατον ἡγησάμενος. ἐποιήσατο δὲ καὶ συνθήκας εἰς Ῥώμην ἐλθεῖν, ἐπειδὴ περὶ τούτων ἐγέγραπτο Καίσαρι, καὶ μέχρις Ἀντιοχείας ἐπὶ τὸ αὐτὸ παρῆλθον. ἐκεῖ καὶ τὸν ἡγεμόνα Συρίας Τίτιον, ἐκ διαφορᾶς Ἀρχελάῳ κακῶς ἔχοντα, διήλλαξεν Ἡρῴδης, καὶ πάλιν εἰς Ἰουδαίαν ὑποστρέφει.

9 γενομένῳ δὲ ἐν τῇ Ῥώμῃ κἀκεῖθεν ἐπανήκοντι συνέστη πόλεμος πρὸς τοὺς Ἄραβας ἐξ αἰτίας τοιαύτης. οἱ κατοικοῦντες τὸν Τράχωνα, Καίσαρος ἀφελομένου Ζηνόδωρον καὶ προσθέντος Ἡρῴδῃ τὴν χώραν, ληστεύειν μὲν οὐκ εἶχον ἐξουσίαν ἔτι, γεωργεῖν δὲ καὶ ξῆν ἡμέρως ἠναγκάζοντο. τὸ δ' ἦν ἐκείνοις οὐχ αἱρετόν, οὐδὲ λυσιτέλειαν ἔφερεν ἡ γῆ πονούντων. ὅμως δὲ κατ' ἀρχὰς μέν, οὐκ ἐπιτρέποντος τοῦ βασιλέως, ἀπείχοντο τῶν εἰς τοὺς περιοίκους ἀδικημάτων, καὶ πολλὴ διὰ τοῦτο ἦν εὐδοξία τῆς ἐπιμελείας Ἡρῴδου· πλεύσαντος δὲ εἰς τὴν Ῥώμην, ὅτε καὶ τοῦ παιδὸς Ἀλεξάνδρου κατηγόρει καὶ παραθησόμενος Ἀντίπατρον τὸν υἱὸν παρελήλυθε Καίσαρι, λόγον ὡς ἀπολωλὼς εἴη διασπείροντες

Digitized by Google

οἱ τὸν Τράχωνα νεμόμενοι τῆς τε ἀρχῆς ἀπέστησαν καὶ πάλιν ἐπὶ τὰ συνήθη τοὺς πλησιοχώρους ἀδικεῖν ἐτράποντο. τότε μὲν οὖν αὐτοὺς οἱ στρατηγοὶ τοῦ βασιλέως ἀπόντος ἐχειρώσαντο· περὶ τετταράκοντα δέ τινες ἀρμίχηται κατὰ δέος τῶν ἡλωκότων ἐξέλιπον μὲν τὴν χώραν, εἰς δὲ τὴν Ἀραβίαν ἀφορμήσαντες Συλλαίου δεξαμένου μετὰ τὴν ἀποτυχίαν τοῦ Σαλώμης γάμου, τόπον τε ἐρυμνὸν ἐκείνου δόντος ᾤκησαν, καὶ κατατρέχοντες οὐ μόνον τὴν Ἰουδαίαν ἀλλὰ καὶ τὴν Κοίλην Συρίαν ἄπασαν ἐλήζοντο, παρέχοντος ὁρμητήρια τοῦ Συλλαίου καὶ πακῶς ποιοῦσιν ἄδειαν. Ἡρῴδης δὲ ἐπανελθὼν ἀπὸ τῆς Ῥώμης ἔγνω πολλὰ τῶν οἰκείων αὐτῷ πεπακωμένα· καὶ τῶν μὲν ληστῶν ἐγκρατὴς οὐ δυνάμενος γενέσθαι διὰ τὴν ἀσφάλειαν ἣν ἐκ τῆς τῶν Ἀράβων προστασίας ἐπορίσαντο, χαλεπῶς δὲ ἔχων αὐτὸς τῶν ἀδικημάτων, ἐπιπερισελθὼν τὸν Τράχωνα τοὺς οἰκείους αὐτῶν ἀπέσφαξεν. ἐντεῦθεν ἐκεῖνοι καὶ μᾶλλον πρὸς ὀργὰς ὧν ἐπεπόνθεισαν, ὄντος αὐτοῖς καὶ νόμου πάντα τρόπον ἐπεξιέναι τοὺς τῶν οἰκείων φονεῖς, ἀνυποτιμήτως τὴν Ἡρῴδου πᾶσαν ἄγοντες καὶ φέροντες διετέλουν. ἐκεῖνος δὲ διελέγετο περὶ τούτων τοῖς Καίσαρος ἡγεμόσι Σατουρνίνῳ τε καὶ Ὀλομνίῳ, ἐπὶ κολάσει τοὺς λῃστὰς ἐξαιτούμενος. ὅθεν ἔτι καὶ μᾶλλον ἰσχυρῶς ἐχόντων πλείους μὲν ἐγίνοντο, πάντα δὲ ἐτάραττον ἐπαναστάσει, τῆς Ἡρῴδου βασιλείας χωρία καὶ κώμας πορθοῦντες καὶ τοὺς λαμβανομένους τῶν ἀνθρώπων ἐπισφάττοντες, ὡς εἶναι πολέμῳ τὴν ἀδικίαν ἐοικυῖαν· ἐγεγόνεισαν γὰρ ἤδη περὶ χιλίους. ἐφ' οἷς ἀχθόμενος Ἡρῴδης τούς τε λῃστὰς ἐζήτει, καὶ χρέος ὃ διὰ Συλλαίου δανείσας ἔτυχεν Ὀβόδᾳ, τάλαντα ἑξήκοντα, παρηκούσης αὐτῷ τῆς προθεσμίας ἀπολαβεῖν ἠξίου. Συλλαῖος δὲ τὸν μὲν Ὀβόδαν παρωσάμενος, αὐτὸς δὲ ἅπαντα διοικῶν, τούς τε

Digitized by Google

λῃστὰς ἔξαρνος ἦν μὴ κατὰ τὴν Ἀραβίαν εἶναι, καὶ περὶ τῶν χρημάτων ἀνεβάλλετο, περὶ ὧν ἐπί τε Σατουρνίνου καὶ Ὁλομνίου τῶν Συρίας ἐπιστατούντων ἐγίνοντο λόγοι. τέλος δὲ συνέθετο δι' ἐκείνων ἐντὸς ἡμερῶν τριάκοντα τά τε χρήματα τὸν Ἡρώδην ἀπολαβεῖν καὶ τοὺς ἀλλήλων ἐν ἑκατέρᾳ τῇ βασιλείᾳ. καὶ παρὰ μὲν Ἡρώδῃ τῶν Ἀράβων οὐδεὶς εὑρέθη τὸ σύνολον οὔτε ἐπ' ἀδικίας οὔτε κατ' ἄλλον τρόπον, οἱ δ' Ἄραβες ἠλέγχοντο τοὺς λῃστὰς παρ' αὐτοῖς ἔχειν.

2 διελθούσης δὲ τῆς προθεσμίας ὁ Συλλαῖος οὐδὲν τῶν δικαίων πεποιηκὼς εἰς Ῥώμην ἀνέρχεται. ῥύσια δὲ τῶν χρημάτων καὶ τῶν παρ' ἐκείνοις λῃστῶν Ἡρώδης ἐποιεῖτο, καὶ τῶν περὶ τὸν Σατουρνῖνον καὶ Ὁλόμνιον ἐπιτρεπόντων ἀγνωμονοῦντας ἐπεξιέναι, στρατιάν τε ἔχων προήγαγεν εἰς τὴν Ἀραβίαν, τρισὶν ἡμέραις ἑπτὰ σταθμοὺς διανύσας. καὶ γενόμενος ἐπὶ τοῦ φρουρίου τοῦ τοὺς λῃστὰς ἔχοντος αἱρεῖ μὲν ἐξ ἐφόδου πάντας αὐτούς, κατασκάπτει δὲ τὸ χωρίον, Ῥάκκα καλούμενον· τῶν δὲ ἄλλων οὐδένα ἐλύπησεν. ἐκβοηθησάντων δὲ τῶν Ἀράβων ἡγουμένου Νακέβου μάχη γίνεται, καθ' ἣν ὀλίγοι μὲν τῶν Ἡρώδου, Νάκεβος δὲ ὁ τῶν Ἀράβων στρατηγὸς καὶ περὶ εἴκοσι πέντε τῶν σὺν αὐτῷ πίπτουσιν, οἱ δὲ ἄλλοι πρὸς φυγὴν ἐτράποντο. τισάμενος δὲ τούτους, τρισχιλίους Ἰδουμαίων ἐπὶ τῇ Τραχωνίτιδι κατοικίσας εἴργε λῃστὰς τοὺς ἐκεῖ, καὶ περὶ τούτων τοῖς 2 ἡγεμόσιν ἔπεμπε περὶ Φοινίκην οὖσιν, ἀποδεικνὺς ὅτι μηδὲν πλέον ὧν ἀγνωμονοῦντας ἐπεξελθεῖν ἔδει τοὺς Ἄραβας αὐτῷ πέπρακται. ταῦτα μὲν οὖν ἐκεῖνοι πολυ-
3 πραγμονοῦντες εὕρισκον οὐ ψευδάμενον· ἄγγελοι δὲ Συλλαίῳ καταταχήσαντες εἰς Ῥώμην τὰ πεπραγμένα διε- 3 σάφουν, εἰς μεῖζον, ὡς εἰκός, ἕκαστον τῶν γεγονότων αἴροντες. ὃ δὲ ἤδη μὲν ἐπεπραγμάτευτο γνώριμος εἶναι

Digitized by Google

Καίσαρι, τότε δὲ περὶ τὴν αὐλὴν ἀναστρεφόμενος, ὡς ἤκουσεν, εὐθὺς μεταμφιέννυται μέλαιναν ἐσθῆτα, καὶ παρελθὼν ἔλεγεν ὡς αὐτὸν ὅτι πολέμῳ τὰ περὶ τὴν Ἀραβίαν εἴη κεκακωμένα καὶ πᾶσα ἀνάστατος ἡ βασιλεία, στρατιᾷ πορθήσαντος αὐτὴν Ἡρώδου. δακρύων δὲ πεντακοσίους μὲν ἐπὶ δισχιλίοις Ἀράβων ἀπολωλέναι τοὺς πρώτους ἔλεγεν, ἀνηρῆσθαι δὲ καὶ τὸν στρατηγὸν αὐτῶν Νάκεβον, οἰκεῖον αὐτῷ καὶ συγγενῆ, πλοῦτον δὲ διηρπάσθαι τὸν ἐν Ῥαΐκτοις, καταπεφρονῆσθαι δὲ τὸν Ὀβόδαν, ὑπὸ ἀσθενείας οὐκ ἀρκέσαντα τῷ πολέμῳ διὰ τὸ μήτ' αὐτὸν μήτε τὴν Ἀραβικὴν δύναμιν παρεῖναι. τοιαῦτα τοῦ Συλλαίου λέγοντος, καὶ προστιθέντος ἐπιφθόνως ὡς οὐδ' ἂν αὐτὸς ἀπέλθοι τῆς χώρας μὴ πεπιστευκὼς ὅτι Καίσαρι μέλοι τὴν εἰρήνην ἅπασιν εἶναι κρὸς ἀλλήλους, μηδ', εἰ παρὼν ἐτύγχανεν ἐκεῖ, λυσιτελῆ ποιῆσαι τὸν πόλεμον Ἡρώδῃ, παροξυνθεὶς ἐπὶ τοῖς λεγομένοις ὁ Καῖσαρ ἀνέκρινε τῶν Ἡρώδου τοὺς παρόντας καὶ τῶν ἰδίων τοὺς ἀπὸ Συρίας ἥκοντας αὐτὸ μόνον, εἰ τὴν στρατιὰν Ἡρώδης ἐξαγάγοι. τῶν δὲ τοῦτο μὲν αὐτὸ λέγειν ἀνάγκην ἐχόντων, τὸ δὲ ἐφ' ὅτῳ καὶ πῶς οὐκ ἀκούοντος, ὀργή τε μείζων ἐγίνετο τῷ Καίσαρι, καὶ γράφει πρὸς τὸν Ἡρώδην τά τε ἄλλα χαλεπῶς καὶ τοῦτο τῆς ἐπιστολῆς τὸ κεφάλαιον, ὅτι πάλαι χρώμενος αὐτῷ φίλῳ, νῦν ὑπηκόῳ χρήσεται. γράφει δὲ καὶ Συλλαῖος ὑπὲρ τούτων τοῖς Ἄραψιν. οἱ δὲ ἐπαρθέντες οὔτε τῶν ληστῶν ὅσοι διέφυγον ἐξεδίδοσαν οὔτε τὰ χρήματα διευλύτουν, νομάς τε ἃς ἐκείνου μισθωσάμενοι διακατεῖχον, ἀμισθὶ ταύταις ἐχρῶντο, τεταπεινωμένου τοῦ τῶν Ἰουδαίων βασιλέως διὰ τὴν ὀργὴν τοῦ Καίσαρος. ἐπιτίθενται δὲ τῷ καιρῷ καὶ οἱ τὴν Τραχωνῖτιν ἔχοντες, τῆς τῶν Ἰδουμαίων φρουρᾶς κατέξαναστάντες καὶ λῃστηρίοις χρώμενοι μετὰ τῶν Ἀράβων, οἳ ἐλεηλάτουν

Digitized by Google

τὴν ἐκείνων χώραν, οὐκ ἀπ' ὠφελείας μόνον ἀλλὰ καὶ μνησικακίας χαλεπώτεροι τὰς ἀδικίας ὄντες.

4 Ἡρώδης δὲ ταῦτα πάντα φέρων ἠνείχετο, μεταβεβληκυίας αὐτῷ τῆς παρρησίας ἣν εἶχε διὰ Καίσαρα, καὶ τὸ μεῖζον ἀφῃρῆτο τοῦ φρονήματος· οὐδὲ γὰρ πέμψαντος αὐτοῦ πρεσβείαν ἀπολογησομένην ὁ Καῖσαρ ἠνέσχετο, πάλιν δὲ τοὺς συνελθόντας ἀπράκτους ἀπέπεμψεν. ἦν δ' οὖν ἐπὶ τούτοις ἀθυμία καὶ δέος, ὅ τε Συλλαῖος οὐ μετρίως ἐλύπει πιστευθείς τε καὶ παρὼν ἐν τῇ Ῥώμῃ, τότε δὲ καὶ μειζόνων ἐπτόμενος. ὁ μὲν γὰρ Ὀβόδας ἐτεθνήκει, παραλαμβάνει δὲ τὴν τῶν Ἀράβων ἀρχὴν Λύσιας ὁ μετονομασθεὶς αὖθις Ἀρέτας. τοῦτον γὰρ ἐπεχείρει διαβολαῖς παρασάμενος αὐτὸς ἀναλαμβάνειν τὴν ἀρχήν, χρήματα μὲν πολλὰ διδοὺς τοῖς περὶ τὴν αὐλήν, πολλὰ δὲ Καίσαρι δώσειν ὑπισχνούμενος. ὃ δὲ τῷ μὴ τὸν Ἀρέταν ἐπιστείλαντα πρότερον αὐτῷ βασιλεύειν ὠργίζετο. πέμπει δὲ κἀκεῖνος ἐπιστολὴν καὶ δῶρα τῷ Καίσαρι, στέφανόν τε χρυσοῦν ἀπὸ πολλῶν ταλάντων. ἡ δὲ ἐπιστολὴ κατηγόρει Συλλαίου ὄντα πονηρὸν δοῦλον Ὀβόδαν τε φαρμάκοις διαφθεῖραι καὶ ζῶντος ἔτι κρατεῖν αὐτόν, τάς τε τῶν Ἀράβων μοιχεύοντα γυναῖκας καὶ χρήματα δανειζόμενον, ὥστ' ἐξιδιώσασθαι τὴν ἀρχήν. προσέσχεν δὲ οὐδὲ τούτοις ὁ Καῖσαρ, ἀλλ' ἐκπέμπει μηδὲν τῶν δώρων λαβών. τὰ δὲ περὶ τὴν Ἰουδαίαν καὶ Ἀραβίαν ἀεὶ καὶ μᾶλλον ἐπεβίδου, τὰ μὲν εἰς ἀταξίαν, τὰ δ' ὡς καταφθειρομένων μηδένα προσστάναι. τῶν γὰρ βασιλέων ὃ μὲν οὔπω τὴν ἀρχὴν βεβαίαν ἔχων οὐχ ἱκανὸς ἦν κωλύειν τοὺς ἀδικοῦντας, Ἡρώδης δέ, ἐφ' οἷς ἠμύνατο τάχιον ὀργισθέντος αὐτῷ Καίσαρος, ἁπάσας τὰς εἰς αὐτὸν παρανομίας φέρειν· ἠναγκάζετο. πέρας δ' οὐδὲν ὁρῶν τῶν περιεστώτων κακῶν, ἔγνω πάλιν εἰς Ῥώμην ἀποστέλλειν, εἴ

Digitized by Google

τι δύναιτο μετριώτερον εὑρεῖν διά τε τῶν φίλων καὶ πρὸς αὐτὸν Καίσαρα τὴν ἐντυχίαν ποιησάμενος.

κἀκεῖ μὲν ὁ Δαμασκηνὸς ἀπῄει Νικόλαος, ἐξετετά- 10
ραχτο δὲ τὰ περὶ τὴν οἰκίαν καὶ τοὺς παῖδας αὐτῷ πολὺ
χεῖρον ἐσχηκότα κατὰ τὸν καιρὸν ἐκεῖνον. ὅλως μὲν γὰρ
οὐδὲ τὸν ἔμπροσθεν χρόνον ἀσύνοπτον ἦν ὡς τὸ μέγι-
στον καὶ δυσχερέστατον τῶν ἀνθρωπίνων παθῶν ἠσεί-
λητα τῇ βασιλείᾳ διὰ τῆς τύχης· ἐπέβαινε δὲ καὶ μᾶλ-
λον ἠὐξήθη τότε παρὰ τοιαύτην αἰτίαν. Εὐρυκλῆς ἀπὸ
Λακεδαίμονος, οὐκ ἄσημος τῶν ἐκεῖ, κακὸς δὲ τὴν ψυ-
χὴν ἄνθρωπος, καὶ περὶ τρυφὴν καὶ κολακείαν δεινὸς
ἑκατέραν αὐτῶν ἔχειν τε καὶ μὴ δοκεῖν, ἐπιδημήσας ὡς
τὸν Ἡρῴδην δῶρά τε δίδωσιν αὐτῷ καὶ πλείω παρ'
ἐκείνου λαβὼν ταῖς συκοφαίαις τῶν ἐντεύξεων ἐπραγμα-
τεύσατο φίλος ἐν τοῖς μάλιστα γενέσθαι βασιλέως. ἦν
δ' αὐτῷ καταγωγὴ μὲν ἐν τοῖς Ἀντιπάτρου, πρόσοδος
δὲ καὶ συνήθεια πρὸς τὸν Ἀλέξανδρον· Ἀρχελάῳ γὰρ
ἔλεγεν εἶναι τῷ Καππαδόκι διὰ σπουδῆς. ὅθεν καὶ τὴν
Γλαφύραν ὑπεκρίνατο τιμᾶν, καὶ πολὺς ἦν ἀφανῶς μὲν
ἐκθερεπεύων ἅπαντας, ἀεὶ δὲ τοῖς λαλουμένοις ἢ γινο-
μένοις προσέχων, ὡς ἐξ αὐτῶν ἀντιχαρίζεσθαι τὰς δια-
βολάς. τέλος δὲ τοιοῦτος ἑκάστῳ κατὰ τὰς συντυχίας
ἀπέβαινεν ὡς ἐκείνῳ μὲν εἶναι φίλος, τοῖς δὲ ἄλλοις
δοκεῖν κατὰ τὸ συμφέρον ἐκείνῳ προσιέναι. τὸν οὖν
Ἀλέξανδρον προσεκτήσατο νέον ὄντα, καὶ περὶ ὧν ἐπε-
πόνθει μηδενὶ μέν, πρὸς ἐκεῖνον δὲ μόνον ἀδεῶς πεπει-
σμένον ἐξεῖναι λέγειν· ἐνέφαινεν οὖν ἀχθόμενος ὡς ὁ
πατὴρ ἠλλοτρίωτο, καὶ τὰ περὶ τὴν μητέρα διηγεῖτο καὶ
τὸν Ἀντίπατρον, ὅτι παρωθούμενος αὐτοὺς τῆς τιμῆς
τὰ πάντα ἤδη δύναται. τούτων δὲ ἀνεκτὸν οὐδὲν ἔφη,
κατεσκευασμένου πρὸς μῖσος ἤδη τοῦ πατρός, μηδὲ
συμποσίοις μηδὲ συλλόγοις ἀνέχεσθαι λέγων. τοιαῦτα

Digitized by Google

μὲν ἐκεῖνος, ὡς εἰκός, ἐφ' οἷς ἦλγει· τοὺς δὲ λόγους Εὐρυκλῆς Ἀντιπάτρῳ τούτους ἀνέφερε, λέγων μὲν ὡς οὐχ ἕνεκα αὐτοῦ τοῦτ' αὐτὸ ποιεῖ, νικᾶσθαι δὲ ὑπὸ σοῦ τιμώμενος τῷ μεγέθει τοῦ πράγματος, καὶ φυλάττεσθαι παρακελευόμενος τὸν Ἀλέξανδρον· οὐ γὰρ ἀπαθῶς τούτων ἕκαστον λέγειν, ἀλλὰ τοῖς ῥήμασιν αὐτοῖς εἶναι τὴν αὐτοχειρίαν. Ἀντίπατρος μὲν οὖν εὖνουν ὑπολαμβάνων ἐκ τούτων μεγάλας αὐτῷ παρ' ἕκαστα δωρεὰς ἐδίδου, καὶ τέλος ἤδη πείθει πρὸς τὸν Ἡρώδην ἀναφέρειν τὸν λόγον. ὃ δ' οὐκ ἦν τὴν Ἀλεξάνδρου δύσνοιαν ἐξ ὧν ἔλεγεν ἀκηκοέναι διηγούμενος ἀπίθανος, ἀλλ' οὕτω διέθηκε τὸν βασιλέα, περιάγων ἀεὶ τοῖς ῥήμασι καὶ παροξύνων, ὡς ἀμετάγνωστον ποιῆσαι τὸ μῖσος. ἐδήλωσε δὲ καὶ πρὸς αὐτὸν τὸν καιρόν· εὐθὺς γὰρ Εὐρυκλεῖ δίδωσι πεντήκοντα τάλαντα δωρεάν. ὃ δὲ ταῦτα λαβών, καὶ πρὸς τὸν Ἀρχέλαον ἀναβὰς τὸν βασιλέα τῶν Καππαδόκων, τὸν Ἀλέξανδρον ἐπῄνει καὶ χρήσιμος ἔλεγεν αὐτῷ εἰς πολλὰ πρὸς τὰς διαλλαγὰς τὰς πρὸς τὸν πατέρα γεγενῆσθαι. χρηματισάμενος δὲ καὶ παρ' ἐκείνου, πρὶν καταφωραθῆναι τῆς κακοηθείας, ἀπῆρει.

Εὐρυκλῆς μὲν οὖν οὐδὲ ἐν τῇ Λακεδαίμονι παυσάμενος εἶναι μοχθηρός, ἐπὶ πολλοῖς ἀδικήμασιν ἀπεστε-
2 ρήθη τῆς πατρίδος· ὁ δὲ τῶν Ἰουδαίων βασιλεὺς οὐχ ὥσπερ πρότερον εἶχε πρός τε τὸν Ἀλέξανδρον καὶ τὸν Ἀριστόβουλον, ἀκούειν μόνον τὰς κατ' αὐτῶν διαβολάς, ἀλλ' ἤδη διὰ μίσους οἰκείου γεγενημένος αὐτός, εἰ καὶ μὴ λέγοι τις, ἐξειργάζετο, παρατηρῶν ἕκαστα καὶ πυνθανόμενος καὶ πᾶσιν ἐνδιδοὺς τοῖς βουλομένοις, εἴ τις ἔχοι τι κατ' ἐκείνων εἰπεῖν, Εὐάρατόν τε Κῶον Ἀλεξάνδρῳ συνειδέναι. καὶ τοῦτο μὲν οὖν καθ' ἡδονὴν τὸ πάντων ἥδιστον Ἡρώδης ἐλάμβανεν.

3 ἐπιγίνεται δὲ κατὰ τῶν νεανίσκων μεῖζόν τι, σκευω-

Digitized by Google

ρουμένης ἀεὶ τῆς κατ' αὐτῶν διαβολῆς, καὶ πᾶσιν ὡς εἰπεῖν ἄθλου τούτου προκειμένου λέγειν τι περὶ ἐκείνων δυσχερές, ὃ πρὸς τῆς τοῦ βασιλεύοντος ἐδόκει σωτηρίας. σωματοφύλακες ἦσαν Ἡρώδῃ δύο κατ' ἰσχὺν καὶ μέγεθος τιμώμενοι, Ἰούκουνδος καὶ Τύραννος. οὗτοι προσκρούσαντος αὐτοῖς τοῦ βασιλέως ἀπεωσμένοι τοῖς περὶ Ἀλέξανδρον ἦσαν συνιππαζόμενοι καὶ κατὰ γυμνασίαν τιμώμενοι, καί τι χρυσίον καὶ δωρεὰς ἄλλας ἐλάμβανον. εὐθὺς οὖν καὶ τούτους ὁ βασιλεὺς ἔχων ἐν ὑποψίᾳ ἐβασάνιζεν. οἳ δὲ διακαρτερήσαντες πολὺν χρόνον ὕστερον ἔλεγον ὅτι πείθοι φονεύειν αὐτοὺς Ἡρώδην Ἀλέξανδρος, ἐπεὶ περί τι κυνηγέσιον θηρίων διώκων προσβάλοι· δυνατὸν γὰρ εἶναι λέγειν ὡς ἀπὸ τοῦ ἵππου κατενεχθεὶς ἐμπαρείη ταῖς ἑαυτοῦ λόγχαις· καὶ γὰρ πρότερον αὐτῷ τοιοῦτον γενέσθαι πάθος. ἐπέδειξαν δὲ καὶ χρυσίον μὲν ἐν ἱππῶνι κατορωρυγμένον, καὶ τὸν ἀρχικύνηγον ἐξήλεγχον ὅτι καὶ λόγχας αὐτοῖς δοίη βασιλικὰς καὶ τοῖς Ἀλέξανδρον θεραπεύουσιν ὅπλα, κελεύοντος ἐκείνου.

μετὰ τούτους ὁ φρούραρχος Ἀλεξανδρείου ληφθεὶς 4
ἐβασανίζετο· καὶ γὰρ ἐκεῖνος αἰτίαν εἶχε δέξεσθαι τῇ φρουρᾷ καὶ παρέξειν τοῖς νεανίσκοις χρήματα ὑπεσχῆσθαι τὰ κείμενα τῶν βασιλικῶν κατ' ἐκεῖνο τὸ φρούριον. αὐτὸς μὲν οὖν οὐδὲν ὡμολόγησεν, υἱὸς δὲ αὐτοῦ παρελθὼν ταῦτα ἔφη γενέσθαι, καὶ γράμματα ἐπέδωκεν ὡς εἰκάσαι τῆς Ἀλεξάνδρου χειρός. "τελέσαντες, σὺν θεῷ εἰπεῖν, ἃ προεθέμεθα πάντα, ἥξομεν πρὸς ὑμᾶς. ἀλλὰ πειράθητε, καθὼς ὑπέσχησθε, δέξασθαι ἡμᾶς τῷ φρουρίῳ." μετὰ τοῦτο τὸ γραμματεῖον ὁ μὲν Ἡρώδης οὐκέτι ἐκδοιασίμως εἶχε περὶ τῆς τῶν παίδων εἰς αὐτὸν ἐπιβουλῆς, Ἀλέξανδρος δὲ Διόφαντον ἔφη τὸν γραμματέα μιμήσασθαι τὸν τύπον, καὶ δι' Ἀντιπάτρου κα-

Digitized by Google

κούργηθῆναι τὸ γραμματεῖδιον· ὁ γὰρ Διόφαντος ἐβόκει τὰ τοιαῦτα δεινός, ἐν ὑστέρῳ δὲ διελεγχθεὶς ἐπ' ἄλλοις οὕτως ἀπέθανε.

5 τοὺς δὲ βασανισθέντας ὁ βασιλεὺς καὶ εἰς τὸ πλῆθος προήγαγεν ἐν Ἱεριχοῦντι, κατηγοροῦντας τῶν παίδων. καὶ τούτους μὲν ἐκ χειρὸς οἱ πολλοὶ βάλλοντες ἔκτειναν· ὡρμημένων δὲ καὶ τοὺς περὶ Ἀλέξανδρον ὁμοίως κτεῖναι, τοῦτο μὲν ὁ βασιλεὺς παρητήσατο, διὰ Πτολεμαίου καὶ Φερώρα τὸ πλῆθος ἀναστείλας. ἦν δὲ φυλακὴ καὶ τήρησις αὐτῶν, καὶ προσῄει μὲν οὐδεὶς ἔτι, πάντα δὲ ἐπεσκοπεῖτο τὰ γινόμενα καὶ λαλούμενα, καὶ τί γὰρ ἦ καταδίκων εἶχον ἀδοξίαν καὶ δέος. ἄτερος δὲ αὐτῶν Ἀριστόβουλος ἐκ βαρυθυμίας ἐπαγόμενος καὶ τὴν ἑαυτοῦ τηθίδα καὶ πενθερὰν συναλγεῖν αὐτῷ ταῖς συμφοραῖς καὶ μισεῖν τὸν τὰ τοιαῦτα πειθόμενον, "οὐ γάρ" ἔφη "καὶ σοὶ κίνδυνος ἀπωλείας, διαβεβλημένῃ Συλλαίῳ κατ' ἐλπίδα γάμων ἅπαντα τἀνθάδε προμηνύειν;" τούτους ἐκείνη ταχὺ μάλα τἀδελφῷ προσφέρει τοὺς λόγους. ὃ δὲ οὐκέτι κατασχὼν αὐτὸν δῆσαί τε κελεύει καὶ διαστήσαντας ἀπ' ἀλλήλων, ὅσα κακῶς ἐποίησαν ἐπὶ τῷ πατρί, ταῦτα γραψαμένους Καίσαρι ἀποφέρειν. οἳ δέ, ἐπεὶ τοῦτο προσετέτακτο αὐτοῖς, ἐγγράφουσιν ἐπιβουλὴν μὲν οὔτ' ἐννοῆσαι κατὰ τοῦ γεγεννηκότος οὔτε συσκευάσασθαι, δρασμῷ δὲ ἐπιβαλέσθαι, καὶ τοῦτο δι' ἀνάγκην, ὑπόπτου καὶ δυσχεροῦς ὄντος αὐτοῖς τοῦ βίου.

6 κατὰ τοῦτον τὸν χρόνον ἥκοντος ἀπὸ Καππαδοκίας πρεσβευτοῦ παρὰ Ἀρχελάου Μήλα τινός, ὃς ἦν δυνάστης τῶν ἐκείνου, βουλόμενος Ἡρῴδῃ ἐνδείξασθαι τὴν δύσνοιαν Ἀρχελάου πρὸς αὐτόν, ἐπάλει τὸν Ἀλέξανδρον, ὡς ἦν ἐν τοῖς δεσμοῖς, καὶ πάλιν ἠρώτα περὶ τῆς φυγῆς, ὅπου καὶ πῶς ἐγνώκασιν ἀποχωρεῖν. ὁ δὲ Ἀλέ-

Digitized by Google

ξανδρος πρὸς Ἀρχέλαον ἔφη, ἐκεῖθεν εἰς Ῥώμην ὁμολογήσαντα διαπέμψειν· ἀλλ' οὐδὲν οὔτε ἄτοπον οὔτε δυσχερὲς ἐντεθυμῆσθαι κατὰ τοῦ πατρός, οὐδὲ ὅσα συνεσκεύασται κακοηθείᾳ τῶν ἐναντίων, ἀληθὲς εἶναί τι τούτων. βούλεσθαι δὲ ἂν ἔτι ζῆν καὶ τοὺς περὶ Τύραννον εἰς ἐξέτασιν ἀσφαλεστέραν, ἀλλὰ καὶ τούτους ἀπολέσθαι θᾶττον, Ἀντιπάτρου τῷ πλήθει τοὺς ἰδίους ἐγκαθίσαντος φίλους.

τοιαῦτα λέγοντος ἐκέλευσεν ἅμα τόν τε Μήλαν καὶ 7
τὸν Ἀλέξανδρον ἄγειν ὡς Γλαφύραν τὴν Ἀρχελάου, καὶ πυνθάνεσθαι παρ' αὐτῆς εἰ μηδὲν ἠγνόει τῶν εἰς ἐπιβουλὴν Ἡρώδου γινομένων. ὡς δὲ ἦκον, εὐθὺς μὲν ἡ Γλαφύρα, δεσμώτην ἰδοῦσα τὸν Ἀλέξανδρον, ἐπλήξατο τὴν κεφαλὴν καὶ καταπληξαμένη μέγα καὶ συμπαθὲς ἀνώμωξεν· ἦν δὲ καὶ τοῦ νεανίσκου θάκρυα καὶ τῶν παρόντων ὀδυνηρά τις θέα, μέχρι πλείονος οὐδὲ ἐφ' οἷς ἦκον εἰπεῖν ἢ πράττειν δυναμένων. ὀψὲ δὲ τοῦ Πτολεμαίου (τούτῳ γὰρ ἄγειν αὐτὸν ἐπετέτακτο) φράζειν κελεύσαντος εἴ τι τῶν πραττομένων ἡ γυνὴ σύνοιδεν αὐτῷ, "τί δὲ οὐκ ἄν" ἔφη "συνέγνω τῆς ψυχῆς ἐμοὶ στεργομένη πλέον καὶ κοινωνοῦσα τέκνων;" ἡ δὲ πρὸς ταῦτα μὲν ἀνεβόησεν ὡς συνειδείη μὲν οὐδὲν ἄτοπον· εἰ δὲ φέροι πρὸς σωτηρίαν τὴν ἐκείνου τὸ καὶ καθ' αὑτῆς τι ψεύσασθαι, πάντα ὁμολογεῖν. ὁ δὲ Ἀλέξανδρος "ἀσεβὲς μὲν οὐδέν" εἶπεν, "οὐδὲ ὧν ὑπονοοῦσιν οὓς ἥκιστα ἐχρῆν, οὔτε αὐτὸς ἐνενόησα οὔτε σὺ οὐδὲν οἶσθα, ἀλλ' ὅτι παρ' Ἀρχέλαον ἀποχωρεῖν ἐγνώκειμεν κἀκεῖθεν εἰς Ῥώμην." ταῦτα κἀκείνης ὁμολογούσης ὁ μὲν Ἡρώδης, Ἀρχέλαον ἐξεληλέγχθαι τῆς πρὸς αὐτὸν δυσνοίας ὑπολαβών, δίδωσιν Ὀλύμπῳ καὶ Βολομνίῳ γράμματα, κελεύσας ἐν παράπλῳ μὲν Ἐλαιούσῃ τῆς Κιλικίας προσσχόντας Ἀρχελάῳ τὸ περὶ τούτων ἀποδοῦ-

Digitized by Google

ναι, καὶ μεμψαμένους ὅτι τῆς ἐπιβουλῆς ἐφάψαιτο τοῖς παισὶν ἐκεῖθεν εἰς Ῥώμην πλεῖν, κἂν εὕρωσίν ἀνύσαντά τι Νικόλαον ὡς μηκέτι αὐτῷ δυσχεραίνειν Καίσαρα, διδόναι τὰς ἐπιστολὰς καὶ τοὺς ἐλέγχους, οὓς κατὰ τῶν νεανίσκων κατεσκευασμένους ἀπέστειλεν. Ἀρχέλαος μὲν οὖν ἀπελογείτο, δέξασθαι μὲν τοὺς νεανίσκους ὁμολογήσας διὰ τὸ συμφέρειν αὐτοῖς τε ἐκείνοις καὶ τῷ πατρὶ μὴ καὶ χαλεπώτερόν τι προστεθῆναι κατ' ὀργὴν ὧν ὑπόπτως ἔχοντες ἐστασίαζον, οὐ μὴν καὶ πρὸς Καίσαρα πέμψειν, οὐδὲ ἄλλο τι κατὰ δύσνοιαν τὴν πρὸς ἐκεῖνον ὁμολογῆσαι τοῖς νεανίσκοις.

8 εἰς δὲ τὴν Ῥώμην ἀποκομισθέντες ἔσχον [τε] καιρὸν ἀποδοῦναι τὰ γράμματα τῷ Καίσαρι, διηλλαγμένον εὑρόντες Ἡρῴδῃ. τὰ γὰρ περὶ τὴν Νικολάου πρεσβείαν ἀπέβη τοῦτον τὸν τρόπον. ὡς ἀνῆλθεν εἰς τὴν Ῥώμην καὶ περὶ τὴν αὐλὴν ἐγένετο, πρῶτον μὲν οὐκ ἐφ' οἷς ἐληλύθει μόνον, ἀλλὰ καὶ Συλλαίου κατηρορεῖν ἠξίου. καὶ δῆλοι πρὸ τῆς ἐντυχίας ἦσαν ἀλλήλους πολεμοῦντες. οἱ δὲ Ἄραβες ὑπονοστήσαντες ἐξ αὐτοῦ καὶ τῷ Νικολάῳ προσελθόντες τὰς ἀδικίας ἁπάσας ἐμήνυον, καὶ τῶν Ὀβόδου ὡς διαφθαρέντων πλείστων ἐκφανῆ τεκμήρια παρέχοντες· ἦν γὰρ καὶ τῶν γραμμάτων αὐτοῦ ἃ κατὰ τὴν ἀπόστασιν ὑφῃρημένοι διὰ τούτων ἤλεγχον. ὁ δὲ Νικόλαος εὐτυχίαν τινὰ ταύτην ὁρῶν αὐτῷ προσγεγενημένην, δι' αὐτῆς ἐπραγματεύετο τὸ μέλλον, ἐπειγων ἐλθεῖν εἰς διαλλαγὰς Ἡρῴδῃ ποιῆσαι Καίσαρα· σαφῶς γὰρ ἠπίστατο βουλομένῳ μὲν ἀπολογήσασθαι περὶ ὧν ἔπραξεν οὐκ ἔσεσθαι παρρησίαν, ἐθέλοντι δὲ κατηγορεῖν Συλλαίου γενήσεσθαι καιρὸν ὑπὲρ Ἡρῴδου λέγειν. συνεστώτων οὖν ἐπ' ἀλλήλους καὶ δοθείσης ἡμέρας, Νικόλαος, παρόντων αὐτῷ τῶν Ἀρέτα πρέσβεων, τά τε ἄλλα κατηγόρει τοῦ Συλλαίου, τήν τε τοῦ βασι-

Digitized by Google

λέως ἀπώλειαν λέγων καὶ πολλῶν Ἀράβων, χρήματά τε
ὡς εἴη δεδανεισμένος ἐπ' οὐδὲν ὑγιές, καὶ μοιχείας
ἐλέγχων οὐ τῶν ἐν Ἀραβίᾳ μόνον ἀλλὰ καὶ τῶν ἐν
Ῥώμῃ γυναικῶν· προσετίθει δὲ τὸ μέγιστον, ὡς ἐξανα-
στήσειε Καίσαρα, μηδὲν ἀληθὲς διδάξας ὑπὲρ τῶν
Ἡρῴδῃ πεπραγμένων. ὡς δὲ ἦκεν ἐπὶ τοῦτον τὸν τό-
πον, ὁ μὲν Καῖσαρ ἐξεῖργεν αὐτόν, τοῦτο μόνον ἀξιῶν
ὑπὲρ Ἡρῴδου λέγειν, εἰ μὴ στρατιὰν ἤγαγεν εἰς Ἀρα-
βίαν, μηδὲ δισχιλίους καὶ πεντακοσίους ἀπέκτεινε τῶν
ἐκεῖ, μηδὲ αἰχμαλώτους λάβοι τὴν χώραν διαρπάσας·
ὁ δὲ Νικόλαος ὑπὲρ τούτων ἔφη καὶ μάλιστα διδάξειν
ὅτι μηδὲν ἢ τὰ πλεῖστά γε αὐτῶν οὐ γέγονεν ὡς σὺ
ἀκήκοας, καὶ δίκαιον ἦν ἐπ' αὐτοῖς χαλεπῶς φέρειν.
πρὸς δὲ τὸ παράδοξον Καίσαρος ἐνδόντος αὐτὸν ἀκροα-
τήν, τὸ δάνειον εἰπὼν τῶν πεντακοσίων ταλάντων καὶ
τὴν συγγραφήν, ἐν ᾗ καὶ τοῦτο ἦν προσγεγραμμένον,
ἐξεῖναι τῆς προθεσμίας παρελθούσης ῥύσια λαμβάνειν
ἐξ ἁπάσης τῆς χώρας, τὴν μὲν στρατείαν οὐκ ἐπιστρα-
τείαν ἔλεγεν ἀλλὰ δικαίαν τῶν ἰδίων ἀπαίτησιν χρη-
μάτων· καὶ μηδὲ ταχὺ ταύτην μηδὲ ὡς ἐπέτρεπον αἱ
συγγραφαὶ . . . πολλάκις μὲν ἐπὶ Σατουρνῖνον ἐλθόντα
καὶ Ὀλόμνιον τοὺς τῆς Συρίας ἡγεμόνας, τελευταῖον
δὲ ἐν Βηρυτῷ τούτων ἐναντίον Συλλαίου τὴν σὴν τύ-
χην ἐπομόσαντος, ἢ μὴν ἐντὸς ἡμερῶν τριάκοντα παρέ-
ξειν τὰ χρήματα καὶ τοὺς ἐκ τῆς ἀρχῆς τῆς Ἡρῴδου πε-
φευγότας. ὧν οὐδὲν ποιήσαντος Συλλαίου πάλιν ἐπὶ
τοὺς ἡγεμόνας ἐλθεῖν Ἡρῴδην, κἀκείνων ἐφέντων αὐ-
τῷ λαμβάνειν τὰ ῥύσια, μόλις οὕτως ἐξελθεῖν σὺν τοῖς
περὶ αὐτόν. "ὁ μὲν δὴ πόλεμος, ὡς οὗτοι τραγῳδοῦν-
τες ἔλεγον, καὶ τὰ τῆς ἐπιστρατείας τοιαῦτα. καίτοι
κἂν εἰ πόλεμος, ἐπιτρεψάντων μὲν τῶν σῶν ἡγε-
μόνων, δεδωκυίας δὲ τῆς συνθήκης, ἠσεβημένου δὲ με-

Digitized by Google

τὰ τῶν ἄλλων θεῶν καὶ τοῦ σοῦ, Καῖσαρ, ὀνόματος; τὰ δὲ περὶ τοὺς αἰχμαλώτους ἑξῆς ἤδη λεκτέον. λῃσταὶ τῶν τὸν Τράχωνα κατοικούντων, τεσσαράκοντα τὸ πρῶτον, εἶτα αὖθις πλείονες, τὰς Ἡρώδου κολάσεις διαφεύγοντες ὁρμητήριον ἐποιήσαντο τὴν Ἀραβίαν. τούτους ὑπεδέξατο Συλλαῖος ἐπὶ πάντας ἀνθρώπους τρέφων, καὶ χώραν ἔδωκε νέμεσθαι, καὶ τὰ κέρδη τῶν λῃστῶν αὐτὸς ἐλάμβανεν. ὡμολόγησε δὲ καὶ τούτους ἐπὶ τοῖς ὅρκοις ἀποδώσειν κατὰ τὴν αὐτὴν τοῦ δανείου προθεσμίαν, καὶ δύναιτο ἂν οὐκ ἐπιδεῖξαι κατὰ τὸ παρὸν ἄλλον τινὰ τῆς Ἀράβων χώρας ἢ τούτους ἐξῃρημένους, οὐδὲ πάντας, ἀλλ' ὅσοι μὴ λαθεῖν ἴσχυσαν. οὕτως οὖν καὶ τοῦ τῆς αἰχμαλωσίας ἐπιφθόνου συκοφαντήματος πεφηνότος, μέγιστον, ὦ Καῖσαρ, κατάμαθε πλάσμα καὶ ψεῦσμα πρὸς τὴν σὴν ὀργὴν αὐτῷ ποιηθέν. φημὶ γάρ, ἐπελθούσης ἡμῖν τῆς τῶν Ἀράβων δυνάμεως καὶ τῶν περὶ Ἡρώδην πεσόντος ἑνὸς καὶ δευτέρου, τότε μόλις ἀμυνομένου Νάκεβον τὸν στρατηγὸν αὐτῶν καὶ περὶ πέντε καὶ εἴκοσι συνέβη πεσεῖν τοὺς πάντας, ὧν ἕκαστον αὐτὸς εἰς ἑκατὸν ἀναφέρων δισχιλίους καὶ πεντακοσίους τοὺς ἀπολωλότας ἔλεγε."

9 ταῦτα μᾶλλον ἐκίνει τὸν Καίσαρα, καὶ πρὸς τὸν Συλλαῖον ἐπιστραφεὶς ὀργῆς μεστὸς ἀνέκρινεν ὁπόσοι τεθνήκασι τῶν Ἀράβων. ἀπορουμένου δὲ αὐτοῦ καὶ πεπλανῆσθαι λέγοντος, αἵ τε συνθῆκαι τῶν δανείων ἀνεγινώσκοντο καὶ τὰ τῶν ἡγεμόνων γράμματα, πόλεις τε ὅσαι τὰ λῃστήρια κατῃτιῶντο. καὶ πέρας εἰς τοῦτο κατέστη Καῖσαρ ὡς τοῦ μὲν Συλλαίου καταγνῶναι θάνατον, Ἡρώδῃ δὲ διαλλάττεσθαι, μετάνοιαν ἐφ' οἷς ἐκ διαβολῆς πικρότερον ἔγραψεν αὐτῷ πεπονθώς, καί τι τοιοῦτον εἰπεῖν εἰς τὸν Συλλαῖον, ὡς ἀναγκάσειεν αὐτὸν ψευδεῖ λόγῳ πρὸς ἄνδρα φίλον ἀγνωμονῆσαι. τὸ

Digitized by Google

δὲ σύμπαν, ὁ μὲν Συλλαῖος ἀνεπέμπετο τὰς δίκας καὶ τὰ χρέα τοῖς δεδανεικόσιν ἀποδώσων, εἶτα οὕτω κολασθησόμενος. Ἀρέτᾳ δὲ οὐκ εὐμενὴς ἦν Καῖσαρ, ὅτι τὴν ἀρχὴν μὴ δι' ἐκείνου ἀλλὰ καθ' αὑτὸν ἔλαβεν. ἐγνώκει γὰρ καὶ τὴν Ἀραβίαν Ἡρῴδῃ διδόναι, διεκώλυσε δὲ τὰ παρ' ἐκείνου πεμφθέντα γράμματα. τοῖς γὰρ περὶ τὸν Ὄλυμπον καὶ Θολόμνιον, εὐμενῆ Καίσαρα πυνθανομένοις, εὐθὺς ἔδοξεν ἐξ ἐντολῆς Ἡρῴδου τὰ περὶ τῶν παίδων γράμματα καὶ τοὺς ἐλέγχους ἀναδιδόναι. Καῖσαρ δὲ ἀναγνοὺς τὸ μὲν ἀρχὴν ἄλλην προστιθέναι γέροντι καὶ κακῶς πράττοντι τὰ περὶ τοὺς παῖδας οὐκ ᾠήθη καλῶς ἔχειν, δεξάμενος δὲ τοὺς περὶ Ἀρέταν, καὶ τοῦτο μόνον ἐπιτιμήσας, ὡς προπετείᾳ χρήσαιτο τῷ μὴ παρ' αὐτοῦ τὴν βασιλείαν ἀναμεῖναι λαβεῖν, τά τε δῶρα προσήκατο καὶ τὴν ἀρχὴν ἐβεβαίωσεν.

Ἡρῴδῃ δὲ γράφει διηλλαγμένος, ἐπί τε τοῖς παισὶν 11
ἄχθεσθαι λέγων, καὶ δέον, εἰ μὲν ἀνοσιώτερόν τι τετολμήκασιν, ἐπεξιέναι πατραλόας ὄντας (αὐτῷ γὰρ ἐφεῖναι ταύτην τὴν ἐξουσίαν), εἰ δὲ δρασμὸν ἐνενοήσαν, ἄλλως νουθετήσαντα μηδὲν ἀνήκεστον διαπράττεσθαι· συμβουλεύειν δὲ ἔχειν αὐτῷ συνέδριον ἀποδείξαντα περὶ Βηρυτόν, ἐν ᾗ κατοικοῦσι Ῥωμαῖοι, καὶ παραλαβόντα τούς τε ἡγεμόνας καὶ τὸν βασιλέα τῶν Καππαδόκων Ἀρχέλαον, ὅσους τε τῶν ἄλλων οἴεται φιλίᾳ τε καὶ ἀξιώματι εἶναι ἐπιφανεῖς, μετὰ τῆς ἐκείνων γνώμης ὅ τι χρὴ διαλαμβάνειν. Καῖσαρ μὲν τοιαῦτα ἐπέστελλεν· ὁ δὲ Ἡρῴδης, τῶν γραμμάτων ὡς αὐτὸν ἀπενεχθέντων, περιχαρὴς μὲν εὐθὺς ἐπὶ ταῖς διαλλαγαῖς ἐγεγόνει, περιχαρὴς δὲ καὶ τῷ πάντα ἐξεῖναι κατὰ τῶν παίδων αὐτῷ. καί πως τὸ μὲν οὐκ εὖ πράττειν ἐν τῷ πρότερον χαλεπὸν μέν, ἀλλ' οὔτε θρασὺν οὔτε προ-

Digitized by Google

πετῆ πρὸς τὴν ἀπώλειαν τῶν τέκνων παρεῖχεν αὐτόν, ἐν δὲ τῷ τότε μεταβολῆς ἀμείνονος καὶ παρρησίας ἐπιλαβόμενος διὰ τὸ μῖσος ἐκαινοτόμει τὴν ἐξουσίαν. διέπεμπεν οὖν ὅσους ἐδόκει καλεῖν εἰς τὸ συνέδριον, Ἀρχελάου χωρίς· ἐκεῖνον γὰρ δι' ἔχθος οὐκ ἠξίου παρατυγχάνειν, ἢ καὶ τῇ προαιρέσει νομίζων ἐμποδὼν ἔσεσθαι.

2 γενομένων δὲ ἐν Βηρυτῷ τῶν τε ἡγεμόνων καὶ τῶν ἄλλων ὅσους ἀπὸ τῶν πόλεων ἐκάλεσε, τοὺς μὲν παῖδας (οὐ γὰρ ἠξίου παράγειν εἰς τὸ συνέδριον) ἐν κώμῃ τινὶ Σιδωνίων εἶχε, Πλατάνῃ καλουμένῃ, πλησίον τῆς πόλεως, ὡς ἔχειν, εἰ κληθεῖεν, παραστῆσαι· μόνος δὲ καθ' αὑτὸν εἰσελθών, ἑκατὸν καὶ πεντήκοντα συγκαθημένων ἀνδρῶν, κατηγόρει κατηγορίαν οὐκ ὀδυνηρὰν ὡς πρὸς ἀνάγκην ὧν ἠτύχει, πλεῖστον δὲ ἀπεικυῖαν ἢ πατὴρ ἐπὶ παισὶν εἰποι. βίαιος γὰρ ἦν καὶ περὶ τὴν ἀπόδειξιν τῆς αἰτίας ἐτετάρακτο, καὶ μέγιστα θυμοῦ καὶ ἀγριότητος ἐνεδίδου σημεῖα, τούς τε ἐλέγχους οὐκ ἐκείνοις ἐπιτρέπων καταμαθεῖν, ἀλλὰ συνηγορίαν αὐτοῖς προστιθεὶς πατρὶ κατὰ παίδων ἀσχήμονα, καὶ τὰ γραφέντα δι' αὐτῶν ἐκείνων ἀναγινώσκων, ἐν οἷς ἐπιβουλὴ μὲν ἤ τις ἐπίνοια δυσσεβείας οὐκ ἐγέγραπτο, μόνον δὲ ὡς φυγεῖν βουλεύοιντο, καὶ λοιδορίαι τινὲς εἰς αὐτὸν ὀνείδη περιέχουσαι διὰ τὴν δύσνοιαν. ἐφ' αἷς ἐκεῖνος ὡς ἐγένετο, μᾶλλόν τε ἐξεβόα καὶ τὸ πεῖσον εἰς ὁμολογίαν τῆς ἐπιβουλῆς δι' ἐκείνων ηὔξανε, ἐπομνύμενος ὡς ἥδιον ἂν στέροιτο τῆς ζωῆς ἢ τοιούτων ἀκούειν λόγων. τὸ δὲ τελευταῖον εἰπὼν ὅτι καὶ τῇ φύσει καὶ τῇ Καίσαρος δόσει τὴν ἐξουσίαν αὐτὸς ἔχοι, προσέθηκε καὶ πάτριον αὐτῷ νόμον, ὃς ἐκέλευεν, εἴ του κατηγορήσαντες οἱ γονεῖς ἐπιθεῖεν τῇ κεφαλῇ τὰς χεῖρας, ἐπάναγκες εἶναι τοῖς περιεστῶσι βάλλειν καὶ

Digitized by Google

τοῦτον ἀποκτείνειν τὸν τρόπον. ὅπερ ἕτοιμος ὢν αὐτὸς ἐν τῇ πατρίδι καὶ τῇ βασιλείᾳ ποιεῖν, ὅμως ἀναμεῖναι τὴν ἐκείνων κρίσιν. ἦκειν μέντοι δικαστὰς μὲν οὐχ οὕτως ἐπὶ φανεροῖς οἷς ἐκ τῶν παίδων ὀλίγου πάθοι, συνοργισθῆναι δὲ καιρὸν ἔχοντας, ὡς οὐδενὶ καὶ τῶν πόρρω γεγονότων ἀμελῆσαι τοιαύτης ἐπιβουλῆς ἄξιον.

ταῦτα τοῦ βασιλέως εἰπόντος, καὶ τῶν νεανίσκων 3
οὐδὲ ἕως τῆς ἀπολογίας παρηγμένων, συμφρονήσαντες οἱ κατὰ τὸ συνέδριον ὡς ἐπιεικείας καὶ διαλλαγῶν χεῖρον ἔχοιεν, τὴν ἐξουσίαν ἐβεβαίουν αὐτῷ. καὶ πρῶτος μὲν Σατουρνῖνος, ἀνὴρ ὑπατικὸς καὶ τῶν ἐπ' ἀξιώματος, ἀπεφήνατο γνώμην αἰδημονεστάτην, περιστάσει χρώμενος· ἔφη γὰρ καταδικάζειν μὲν τῶν Ἡρώδου παίδων, κτείνειν δὲ οὐκ οἴεσθαι δίκαιον, αὐτὸς παῖδας ἔχων, καὶ τοῦ πάθους μείζονος ὄντος, εἰ καὶ πάντα δι' αὐτοὺς δεδυστύχηκε. μετ' ἐκεῖνον οἱ Σατουρνίνου παῖδες (εἵποντο γὰρ αὐτῷ τρεῖς ὄντες πρεσβευταί) τὴν αὐτὴν γνώμην ἀπεφήναντο. Ὀλόμνιος δὲ ἄντικρυς ἔφη κολάζειν θανάτῳ τοὺς οὕτως ἀσεβήσαντας εἰς τὸν πατέρα. τὰ δὲ αὐτὰ καὶ τῶν ἑξῆς οἱ πλείους, ὥστε μηκέτι ἄλλο τι δοκεῖν ἢ καταδεδικάσθαι τὴν ἐπὶ θανάτῳ τοὺς νεανίσκους. κἀκεῖθεν μὲν εὐθὺς Ἡρώδης ἦκεν ἄγων αὐτοὺς εἰς Τύρον, καὶ τοῦ γε Νικολάου πλεῦσαντος ὡς αὐτὸν ἐκ τῆς Ῥώμης ἐπυνθάνετο, προδιηγησάμενος τὰ ἐν Βηρυτῷ, ἥντινα ἔχοιεν γνώμην περὶ τῶν παίδων αὐτοῦ καὶ οἱ ἐν τῇ Ῥώμῃ αὐτοῦ φίλοι. κἀκεῖνος εἶπεν ὅτι δοκεῖ μὲν ἀσεβῆ εἶναι τὰ ἐκείνοις περὶ σὲ ἐγνωσμένα, χρῆναι μέντοι αὐτοὺς καθείρξαντα δεσμώτας φυλάττειν. "καὶ εἰ μὲν ἑτέρως σοι δοκοίη κολάζειν αὐτούς, μὴ φαίνοιο ὀργῇ τὸ πλέον ἢ γνώμῃ κεχρῆσθαι· εἰ δὲ τἀναντία ἀπολύειν, μὴ ἀνεπανόρθωτον εἴη σοι τὸ ἁμάρτημα. τὰ αὐτὰ δὲ δοκεῖ καὶ ἐν Ῥώμῃ τοῖς πλείστοις

Digitized by Google

τῶν σῶν φίλων." καὶ ὃς σιωπήσας ἐν πολλῇ ἐγένετο συννοίᾳ, κἀκεῖνον ἐκέλευσε συμπλεῖν αὐτῷ.

4 ὡς δὲ ἦλθεν εἰς Καισάρειαν, γίνεται λόγος εὐθὺς ἅπασι τῶν παίδων, καὶ μετέωρος ἡ βασιλεία, ποῖ ποτὲ χωρήσειε τὰ κατ' αὐτοὺς ἐκδεχομένων. δεινὸν γὰρ ὑπῆει πάντας δέος ἐκ παλαιοῦ καταστασιαζομένους εἰς αὐτὸ τὸ πέρας ἐλθεῖν, καὶ τοῖς μὲν πάθεσιν ἐδύσχεραινον, οὐκ ἦν δὲ οὔτε εἰπεῖν τι προπετὲς οὔτε ἄλλου λέγοντος ἀκούειν ἀκίνδυνον, ἀλλ' ἐγκεκλεισμένοι τὸν ἕλεον ὀδυνηρῶς μὲν ἀναύδως δὲ τὴν ὑπερβολὴν τοῦ πάθους ἔφερον. εἷς δὲ αὐτῷ πάλαι στρατιώτης, ὄνομα Τήρων, υἱοῦ αὐτῷ καθ' ἡλικίαν ὄντος Ἀλεξάνδρου φίλου, πάντα, ὅσα καὶ τοῖς ἄλλοις ὑποδυόμενα δι' ἡσυχίας ἦν, αὐτὸς ὑπ' ἐλευθεριότητος ἐξελάλει, καὶ βοᾶν ἠναγκάζετο πολλάκις ἐν τοῖς πλήθεσιν, ἀπαρακαλύπτως λέγων ὡς ἀπόλοιτο μὲν ἡ ἀλήθεια, τὸ δὲ δίκαιον ἐκ τῶν ἀνθρώπων ἀνῃρημένον εἴη, κρατοίη δὲ τὰ ψεύσματα καὶ ἡ κακοήθεια, καὶ τοσοῦτον νέφος ἐπάγοι τοῖς πράγμασιν ὡς μηδὲ τὰ μέγιστα τῶν ἀνθρωπίνων παθῶν ὁρᾶσθαι τοῖς ἁμαρτάνουσιν. τοιοῦτος ὢν ἐδόκει μὲν οὐκ ἀκινδύνως παρρησιάζεσθαι· τὸ δὲ εὔλογον ἐκίνει πάντας, οὐκ ἀνάνδρως αὐτοῦ πρὸς τὸν καιρὸν ἱσταμένου. διὸ καὶ πάντα, ἅπερ αὐτὸς εἶπειεν ἕκαστος, ἡδέως ἤκουεν ὑπ' ἐκείνου λεγόμενα, καὶ τὸ καθ' αὐτοὺς ἀσφαλὲς ἐν τῷ σιγᾶν προορώμενοι τὴν ἐκείνου παρρησίαν ὅμως ἀπεδέχοντο· τὸ γὰρ προσδοκώμενον πάθος ἐβιάζετο πάντα ὀντιναοῦν ὑπὲρ αὐτοῦ λαλεῖν.

5 ὃ δὲ καὶ πρὸς τὸν βασιλέα μετὰ πάσης παρρησίας ὠσάμενος μόνος μόνῳ λέγειν ἠξίου, καὶ συγχωρήσαντος "οὐ δυνάμενος" εἶπεν, "ὦ βασιλεῦ, διακαρτερεῖν ἐπὶ τοιούτῳ πάθει, τὴν τολμηρὰν ταύτην παρρησίαν, ἀναγκαίαν δὲ σοὶ καὶ συμφέρουσαν, εἰ λάβοις τι χρήσιμον

Digitized by Google

ἐξ αὐτῆς, προύκρινα τῆς ἐμῆς ἀσφαλείας. ποῖ ποτὲ ᾤχοντό σου καὶ πεπτώκασιν ἐκ τῆς ψυχῆς αἱ φρένες; ποῖ δὲ καὶ ὁ περιττὸς ἐκεῖνος νοῦς, ᾧ πολλὰ καὶ μεγάλα κατώρθους; τίς δὲ ἡ τῶν φίλων καὶ συγγενῶν ἐρημία; κρίνω δὲ οὐδὲ παρόντας αὐτοὺς εἶναι συγγενεῖς ἢ φίλους, οἳ περιορῶσι τοιοῦτον μύσος ἐπὶ τῇ μακαριζομένῃ ποτὲ βασιλείᾳ. σὺ δὲ οὐ σκέψῃ τί πραττόμενον ἐστί; δύο νεανίσκους ἐκ βασιλίδος σοι γυναικὸς γεγεννημένους, εἰς πᾶσαν ἀρετὴν ἄκρους, ἀναιρήσεις, σεαυτὸν ἐν γήραι καταλιπὼν ἐφ' ἑνὶ παιδί, κακῶς οἰκονομήσαντι τὴν εἰς αὐτὸν ἐλπίδα, καὶ συγγένεσιν, ὧν αὐτὸς ἤδη τοσαυτάκις κατέγνως θάνατον; οὐκ ἐννοήσεις ὅτι καὶ τῶν ὅχλων ἡ σιωπὴ τὴν ἁμαρτίαν ὅμως ὁρᾷ καὶ μισεῖ τὸ πάθος, ἥ τε στρατιὰ πᾶσα, καὶ ταύτης οἱ πρωτεύοντες, ἔλεον μὲν τῶν ἀτυχούντων μῖσος δὲ τῶν ταῦτα διαπραττομένων ἐσχήκασιν;" ἤκουε τούτων ὁ βασιλεὺς ἐν ἀρχῇ μὲν οὐ παντάπασιν ἀγνωμόνως, ἀλλά, τί δεῖ καὶ λέγειν, διεκίνησεν αὐτὸν ἁψαμένου τοῦ Τήρωνος ἐναργῶς τοῦ τε πάθους καὶ τῆς περὶ τοὺς οἰκείους ἀπιστίας. αὖθις δὲ ὅ μὲν ἐπεδίδου κατὰ μικρὸν ἀμέτρῳ καὶ στρατιωτικῇ χρώμενος παρρησίᾳ (τὸ γὰρ ἀπαίδευτον ἐξέπιπτε τοῦ καιροῦ), ταραχῆς δὲ Ἡρώδης ἐνεπίμπλατο, καὶ μᾶλλον ἐνειδίζεσθαι δοκῶν ἢ πρὸς τὸ συμφέρον ἀκούειν τῶν λόγων, ἐπεὶ καὶ τοὺς διακειμένους στρατιώτας καὶ τοὺς ἀγανακτοῦντας ἡγεμόνας ἐπύθετο, προστάττει, τούς τε ὀνομαστὶ δηλωθέντας ἅπαντας καὶ τὸν Τήρωνα δήσαντας ἔχειν ἐν φυλακῇ.

τούτου γενηθέντος ἐπιτίθεται τῷ καιρῷ καὶ Τρύ- 6
φων τις κουρεὺς τοῦ βασιλέως, ὃς ἔφη προσελθὼν ὡς πείθοι πολλάκις ὁ Τήρων, ὁπόταν θεραπεύῃ τὸν βασιλέα, ξυρῷ τὸν λαιμὸν ἀποτεμεῖν· ἔσεσθαι γὰρ ἐν

Digitized by Google

πρώτοις τοῖς περὶ Ἀλέξανδρον καὶ μεγάλας λήψεσθαι δωρεάς. ταῦτα εἰπόντα συλλαμβάνειν κελεύει, καὶ μετὰ ταῦτα βάσανος ἦν τοῦ τε Τήρωνος καὶ τοῦ παιδὸς αὐτοῦ καὶ τοῦ κουρέως. διακαρτεροῦντός τε τοῦ Τήρωνος, ὁρῶν ὁ νεανίσκος τὸν πατέρα χαλεπῶς μὲν ἤδη διακείμενον, ἔχοντα δὲ οὐδεμίαν ἐλπίδα σωτηρίας, ἑαυτῷ τε τὸ μέλλον ἐκ τῆς περὶ τὸν πάσχοντα δυσχερείας προῦπτον, ἔφη μηνύσειν τῷ βασιλεῖ τὴν ἀλήθειαν, εἰ παραιτήσεται διὰ τοῦ φράσαι τῆς βασάνου καὶ τῆς αἰκίας αὐτόν τε καὶ τὸν πατέρα. δόντος δὲ πίστιν ἐπὶ τούτοις, ἔλεγεν ὡς εἴη συνθήκη τις ἐπιθέσθαι δι' αὐτοχειρίας βασιλεῖ τὸν Τήρωνα· προσελθεῖν γὰρ εὔπορον εἶναι μόνον μόνῳ, καὶ δράσαντα παθεῖν τι τῶν εἰκότων οὐκ ἀγεννὲς Ἀλεξάνδρῳ χαριζόμενον. ταῦτα μὲν οὖν ἐκεῖνος εἰπὼν ἐξαιρεῖται τὸν πατέρα τῆς ἀνάγκης, ἄδηλον εἴτε τὴν ἀλήθειαν ἐκβιασθεὶς φράζειν, εἴτε κἂν περιγραφὴν νοήσας τινὰ ταύτην τῶν
7 κακῶν αὐτῷ καὶ τῷ γεγεννηκότι· ὁ δὲ Ἡρώδης οὐδὲ εἴ τι πρότερον ἐνδοιάσιμον ἦν αὐτῷ περὶ τὴν τεκνοκτονίαν, τούτῳ τόπον ἢ χώραν καταλελοιπὼς ἐν τῇ ψυχῇ, ἀλλὰ πᾶν ἐξηρημένος τὸ δυνάμενον αὐτῷ ὑπόνοιαν ἀμείνονος λογισμοῦ παρασχεῖν, ἔσπευσεν ἤδη τέλος ἐπιθεῖναι τῇ προαιρέσει. καὶ προαγαγὼν εἰς ἐκκλησίαν τριακοσίους τε τῶν ἡγεμόνων τοὺς ἐν αἰτίᾳ γενομένους καὶ τὸν Τήρωνα σὺν τῷ παιδὶ καὶ τῷ ἐκείνους διελέγχοντι κουρεῖ, κατηγορίαν ἁπάντων αὐτῶν ἐποιήσατο· κἀκείνους μὲν τὸ πλῆθος ἀεὶ τοῖς παράτυχοῦσι βάλλοντες ἀπέκτειναν, Ἀλέξανδρος δὲ καὶ Ἀριστόβουλος ἀχθέντες εἰς Σεβαστὴν ἐπιτάξαντος τοῦ πατρὸς στραγγάλῃ κτείνονται, τὰ δὲ σώματα νύκτωρ εἰς Ἀλεξάνδρειον ἀπέθεντο, τοῦ τε μητροπάτορος ἐκεῖ καὶ τῶν πλείστων αὐτοῖς προγόνων κειμένων.

Digitized by Google

ἴσως μὲν οὖν οὐκ ἄλογον ἐνίοις καταφαίνεται τρε- 8
φόμενον ἐκ πολλοῦ τὸ μῖσος οὕτως αὐξηθῆναι, καὶ πε-
ραιτέρω προελθὸν ἀπονικῆσαι τὴν φύσιν· ἐπίστασις
δὲ γένοιτο ἂν εἰκότως, εἴτε εἰς τοὺς νεανίσκους ἀνοι-
στέον τὴν τοιαύτην αἰτίαν, πρὸς αἴτιον ὀργῆς ἀγαγόν-
τας τὸν πατέρα καὶ χρόνῳ παρασκευάσαντας ὑπὸ χα-
λεπότητος ἀνήκεστον αὐτοῖς, εἴτε καὶ πρὸς αὐτὸν ἐκεῖ-
νον ἀπαθῆ καὶ περιττὸν ὄντα περὶ τὴν ἐπιθυμίαν τῆς
ἀρχῆς καὶ τῆς ἄλλης εὐδοξίας, ὡς μηδένα οἴεσθαι πα-
ραλιπτέον ἐφ' ᾧ πᾶν τὸ βουλόμενον ἀκίνητον ἔχειν, ἢ
καὶ τὴν τύχην παντὸς εὐγνώμονος λογισμοῦ μείζω τὴν
δύναμιν ἐσχηκυῖαν, ὅθεν καὶ πειθόμεθα τὰς ἀνθρωπί-
νας πράξεις ὑπ' ἐκείνης προσκαθωσιῶσθαι τῇ τοῦ γε-
νέσθαι πάντως ἀνάγκῃ καὶ καλοῦμεν αὐτὴν εἱμαρμέ-
νην, ὡς οὐδενὸς ὄντος ὃ μὴ δι' αὐτὴν γίγνεται. τοῦ-
τον μὲν οὖν τὸν λόγον, ὡς νομίζω, πρὸς ἐκεῖνον ἀρκέ-
σει κρίνειν, ἡμῖν τε αὐτοῖς ἀποδιδόντας τι καὶ τὰς δια-
φθορὰς τῶν ἐπιτηδευμάτων οὐκ ἀνευθύνους ποιοῦν-
τας· ἃ πρὸ ἡμῶν ἤδη πεφιλοσόφηται καὶ τῷ νόμῳ.
τῶν δὲ ἄλλων δύο τὴν μὲν ἀπὸ τῶν παίδων μέμψαιτο
ἄν τις αἰτίαν, ὑπό τε αὐθαδείας νεωτεριπῆς καὶ βασι-
λικῆς οἰήσεως, ὅτι καὶ διαβολῶν ἠνείχοντο κατὰ τοῦ
πατρός, καὶ τῶν πραττομένων αὐτῷ κατὰ τὸν βίον οὐκ
εὐμενεῖς ἦσαν ἐξεταστάί, καὶ κακοήθεις μὲν ὑπονοεῖν
ἀκρατεῖς δὲ λέγειν, εὐάλωτοι δὲ δι' ἀμφότερα τοῖς ἐπι-
τηροῦσιν αὐτοὺς καὶ πρὸς χάριν καταμηνύουσιν. ὁ
μέντοι πατὴρ οὐδὲ ἐντροπῆς ἔοικεν ἄξιος φαίνεσθαι
τοῦ περὶ ἐκείνους ἀσεβήματος, ὃς οὔτε πίστιν ἐπιβου-
λῆς ἐναργῆ λαβὼν οὔτε παρασκευὴν ἐπιχειρήσεως ἐλέγ-
χων ἔχων ἐτόλμησεν ἀποκτεῖναι τοὺς ἐξ αὐτοῦ φύντας,
ἀρίστους μὲν τὰ σώματα καὶ περιποθήτους πᾶσι τοῖς
ἀλλοτρίοις, οὐκ ἀποδέοντας δὲ ἐν τοῖς ἐπιτηδεύμασιν,

Digitized by Google

εἴ που θηρᾶν ἢ γυμνάζεσθαι τὰ πολέμου ἢ λέγειν ὑπὲρ τῶν ἐμπεσόντων ἔδει· τούτων γὰρ ἁπάντων μετεῖχον, Ἀλέξανδρος δὲ καὶ μᾶλλον ὁ πρεσβύτερος. ἦρκει γάρ, εἰ καὶ κατέγνω, καὶ ζῶντας ὅμως ἐν δεσμοῖς ἢ ξενιτεύοντας ἀπὸ τῆς ἀρχῆς ἔχειν, μεγάλην ἀσφάλειαν αὐτῷ περιβεβλημένῳ τὴν Ῥωμαίων δύναμιν, δι' ἣν οὐδὲν οὔτε ἐξ ἐφόδου καὶ βίᾳ παθεῖν ἐδύνατο. τὸ δὲ ἀποκτεῖναι ταχὺ καὶ πρὸς ἡδονὴν τοῦ νικῶντος αὐτὸν πάθους, ἀσεβείας τεκμήριον ἀνυποτιμήτου, καὶ τῆς ἡλικίας οὔσης ἐν γήραι τοσοῦτον ἐξήμαρτεν. ἢ γε μὴν παρολκὴ καὶ τὸ χρονίζον οὐκ ἂν αὐτῷ συγγνώμην τινὰ φέροι. ταχὺ μὲν γὰρ ἐκπλαγέντα καὶ κεκινημένου χωρῆσαι πρός τι τῶν ἀτόπων, εἰ καὶ δυσχερές, ἀλλ' ἀεὶ συμβαῖνον· ἐν ἐπιστάσει δὲ καὶ μήκει, πολλάκις μὲν ὁρμηθέντα πολλάκις δὲ μελλήσαντα, τὸ τελευταῖον δὲ ὑποστῆναι καὶ διαπράξασθαι φονώσης καὶ δυσμετακινήτου ψυχῆς ἀπὸ τῶν χειρόνων. ἐδήλωσε δὲ καὶ τοῖς αὖθις, οὐκ ἀποσχόμενος οὐδὲ τῶν περιλοίπων ὅσους ἐδόκει φιλτάτους, ἐφ' οἷς τὸ μὲν δίκαιον ἔλαττον ἐποίει συμπαθεῖσθαι τοὺς ἀπολλυμένους, τὸ δὲ ὠμὸν ὅμοιον ἦν τῷ μηδὲ ἐκείνων φεισαμένῳ. διέξιμεν δὲ ὑπὲρ αὐτῶν ἑξῆς ἀφηγούμενοι.

ΒΙΒΛΟΣ ΕΠΤΑΚΑΙΔΕΚΑΤΗ.

1 Ἀντιπάτρῳ δὲ ἀραμένῳ τοὺς ἀδελφούς, ἀσεβείᾳ τε τῇ ὑστάτῃ καὶ ἀλαστορίᾳ τῶν ἐπ' αὐτοῖς τὸν πατέρα περιβεβληκότι, οὗ τι κατὰ γνώμην ἡ ἐλπὶς τοῦ αὖθις βίου ἦν. ἀπαλλαγεὶς γὰρ φόβου τοῦ ἐπὶ τῇ ἀρχῇ διὰ τὸ τῶν ἀδελφῶν μὴ ἐπικοινωνῆσον, ἐργωδέστερον καὶ

Digitized by Google

ἄπορον αὐτῷ εὗρισκε τὸ τῆς βασιλείας περιγίνεσθαι· τοσόνδ' ἐφύη τῷ ἔθνει μῖσος πρὸς αὐτόν. ὄντος δὲ αὐτῷ καὶ τοῦδε χαλεποῦ, πλειόνως παρελύπει τὸ στρατιωτικὸν ἀλλοτρίως ἔχον τῇ γνώμῃ πρὸς αὐτόν, εἰς οὓς τὰ πάντα ἦν τοῖς βασιλεῦσιν ἀνακείμενα τοῦ οἰκείου ἀσφαλοῦς, ὁπότε τύχοι τὸ ἔθνος νεωτέρων ὀριγνώμενον πραγμάτων. τοσόνδε κίνδυνον ἐμνήστευσεν αὐτῷ ὁ ὄλεθρος τῶν ἀδελφῶν. οὐ μὴν ἀλλὰ καὶ συνῆρχέ τε τῷ πατρί, οὐδὲν ἄλλο ἢ βασιλεὺς ὤν, καὶ ἐπιστεύετο παρ' αὐτῷ μειζόνως, ἐξ ὧν ἀπολωλέναι καλῶς εἶχεν εὐνοίας βεβαιώματα εὑρημένος, ὡς ἐπ' ἀσφαλείᾳ σωτηρίας τῆς Ἡρώδου τοὺς ἀδελφοὺς ἐνδεδειχώς, ἀλλ' οὐκ ἐχθρᾳ τῇ πρὸς ἐκείνους καὶ πρὸ αὐτῶν πρὸς τὸν πατέρα. τοιαῖδε αὐτὸν περιέσπευδον ἀραί. ἅπερ δὴ πάντα μηχαναὶ τῆς ἐπὶ τὸν Ἡρώδην ὁδοῦ ἵσταντο Ἀντιπάτρῳ, ἐρημοῦντι αὐτὸν μὲν κατηγόρων ἐφ' οἷς πράττειν διενοεῖτο, Ἡρώδην δὲ αὖ καταφυγῆς, οἳ βοηθοῖεν αὐτῷ τοῦ Ἀντιπάτρου φανερῶς πολεμίου καταστάντος. ὥστε μίσει μὲν τῷ πρὸς τὸν πατέρα ἔπραττε τὴν ἐπιβουλὴν τῶν ἀδελφῶν, τότε δὲ ἥπτετο μειζόνως τοῦ ἐκ χειρῶν μὴ ἀφίεσθαι τῆς πράξεως, ἀποθνήσκοντος μὲν Ἡρώδου βεβαίως αὐτῷ περιγενομένης τῆς ἀρχῆς, ἐξικνουμένου δὲ εἰς τὸ πλέον ἐπιζῆν κινδύνων ἀντιπεριστάντων, ἐξαγγελτοῦ γενομένης τῆς πράξεως ἧς συνθέτης γεγονὼς πολέμιον ἠνάγκαζε τὸν πατέρα καταστῆναι. καὶ διὰ τοῦτο χαρίζεσθαι πολυτελὴς ἦν τοῖς περὶ τὸν πατέρα, κέρδεσι μεγάλοις ἐκπλήσσων τὸ τῶν ἀνθρώπων μῖσος πρὸς αὐτόν, καὶ μάλιστα τοὺς ἐπὶ Ῥώμης φίλους πομπαῖς μεγάλων δωρεῶν εὔνους καθιστάμενος, πρὸ πάντων δὲ Σατουρνῖνον τὸν τῆς Συρίας ἐπιμελητήν. ὑπάξεσθαί τε ἦν ἐλπὶς αὐτῷ καὶ τὸν Σατουρνίνου ἀδελφὸν μεγέθει δώρων ἃ ἐδίδου, καὶ τὴν ἀδελφὴν

Digitized by Google

τοῦ βασιλέως, ἀνδρὶ πρώτῳ τῶν περὶ τὸν Ἡρώδην συνοικοῦσαν, τῷ αὐτῷ τρόπῳ χρώμενος. ψευσάμενός τε φιλίαν πρὸς τοὺς ὁμιλοῦντας δεινότατος ἦν πεπιστεῦσθαι, καὶ μῖσος ἀράμενος ἐφ' οὐστινασοῦν ἐπικρύψασθαι συνετώτατος. οὐ μὴν ἠπάτα γε τὴν τηθίδα, προκατανενοηκυῖαν ἐκ πλείονος αὐτὸν καὶ μηκέθ' οἵαν οὖσαν παραλογισθῆναι διὰ τὸ ἤδη παρασκευῇ τῇ πάσῃ ἀντιτετάχθαι αὐτοῦ πρὸς τὸ κακότροπον. καίτοι θυγατρὶ αὐτῆς συνῴκει θεῖος πρὸς μητρὸς Ἀντιπάτρου, προνοίᾳ τῇ ἐκείνου καὶ διαπράξει παραλαβὼν τὴν κόρην πρότερον Ἀριστοβούλῳ γεγαμημένην, τὴν δὲ ἑτέραν ὁ ἐκ τοῦ ἀνδρὸς αὐτῆς Καλλίας παῖς γυναῖκα εἶχεν· ἀλλ' οὐδὲν ἐπὶ τῷ μὴ κατανοεῖσθαι πονηρὸν ὄντα ἦν ἡ ἐπιγαμία τεῖχος, ὥσπερ οὐδ' ἡ πρότερον συγγένεια πρὸς τὸ οὐ μεμισῆσθαι. τὴν δὲ Σαλώμην Ἡρώδης, ἐσπουδακυῖαν Συλλαίῳ τῷ Ἄραβι γαμηθῆναι κατ' ἐρωτικὴν ἐπιθυμίαν, βιάζεται τῷ Ἀλεξᾷ συνοικεῖν, συμπρασσούσης αὐτῷ Ἰουλίας καὶ πειθούσης τὴν Σαλώμην μὴ ἀνήνασθαι τὸν γάμον, μὴ καὶ ἔχθρα καθίσταιτο αὐτοῖς προῦπτος, ὁμωμοκότος Ἡρώδου μὴ ἂν εὐνοήσειν Σαλώμῃ μὴ ἀποδεξαμένῃ τὸν Ἀλεξᾶ γάμον. καὶ ἐπείθετο Καίσαρός τε οὔσῃ γυναικὶ τῇ Ἰουλίᾳ καὶ ἄλλως συμβουλευούσῃ πάνυ συμφέροντα. ἐν τούτῳ δὲ καὶ τὴν Ἀρχελάου θυγατέρα τοῦ βασιλέως Ἡρώδης ὡς τὸν αὐτῆς πατέρα ἐξέπεμψεν Ἀλεξάνδρῳ συνῳκηκυῖαν, ἐκ τῶν αὐτοῦ τὴν προῖκα ἀποδούς, ὥστε ἀμφισβήτημα αὐτοῖς μηδὲν εἶναι.

2 ἀνέτρεφε δὲ αὐτὸς τῶν παίδων τὰ τέκνα πάνυ ἐπιμελῶς (ἦσαν γὰρ τῷ μὲν Ἀλεξάνδρῳ ἐκ Γλαφύρας ἄρσενες δύο, Ἀριστοβούλῳ δὲ ἐκ Βερενίκης τῆς Σαλώμης θυγατρὸς ἄρσενές τε τρεῖς καὶ θήλειαι δύο), καί ποτε παρόντων αὐτῷ τῶν φίλων παραστησάμενος τὰ παιδά-

Digitized by Google

ρια καὶ τῶν υἱέων ἀνακλαύσας τὴν τύχην, ηὔχετο μηδὲν τοιόνδε παισὶ τοῖς ἐκείνων συνελθεῖν, αὐξηθέντας δὲ ἀρετῇ καὶ συμφορᾷ τοῦ δικαίου τὰς τροφὰς ἀμείψασθαι ἃς ἐποιεῖτο. ἐνεγύητό τε εἰς γάμον, ὁπότε ἀφίκοιντο εἰς ὥραν τὴν ἐπ' αὐτῷ, τῷ μὲν πρεσβυτέρῳ τῶν Ἀλεξάνδρου παίδων Φερώρα θυγατέρα, τῷ δὲ Ἀριστοβούλου τὴν Ἀντιπάτρου, καὶ θυγατέρα τὴν Ἀριστοβούλου ἐπωνόμαζε παιδὶ τῷ Ἀντιπάτρου, τὴν δὲ ἑτέραν τῶν Ἀριστοβούλου θυγατέρων Ἡρώδῃ παιδὶ τῷ αὐτοῦ. γίνεται δὲ τῷ βασιλεῖ ἐκ τῆς τοῦ ἀρχιερέως θυγατρός· πάτριον γὰρ ἐν ταὐτῷ πλείοσιν ἡμῖν συνοικεῖν. ἔπρασσε δὲ τὰς μνηστείας τῶν παίδων ὁ βασιλεὺς ἐλέῳ τῶν ὀρφανῶν, εἰς εὔνοιαν αὐτῶν διὰ τὴν ἐπιχαρίαν τὸν Ἀντίπατρον προκαλούμενος. Ἀντίπατρος δὲ γνώμην τὴν πρὸς τοὺς ἀδελφοὺς πολιτεύειν οὐκ ἐνέλιπε καὶ πρὸς παῖδας αὐτοῖς γεγονότας, ἥ τε τοῦ πατρὸς σπουδὴ περὶ αὐτοὺς ἠρέθιζεν αὐτόν, μεῖζονας ἔσεσθαι τῶν ἀδελφῶν προσδεχόμενον, καὶ μάλιστα ὁπότε ἀνδρωθεῖεν, Ἀρχελάου συλληψομένου τοῖς θυγατριδοῖς, βασιλέως ἀνδρός, καὶ Φερώρα τῷ υἱῷ ληψομένου τὴν θυγατέρα· τετράρχης δὲ καὶ οὗτος ἦν. ἐπήγειρε δὲ αὐτὸν καὶ τὸ πᾶν πλῆθος ἐλέῳ μὲν τῷ πρὸς τοὺς ὀρφανοὺς χρώμενον, μίσει δὲ τῷ πρὸς αὐτὸν τὰ πάντα ἐξαγαγεῖν οὐκ ἀπηλλαγμένον κακοτροπίας τῆς ἐπὶ τοῖς ἀδελφοῖς. ἐμηχανᾶτο οὖν διάλυσιν τῶν τῷ πατρὶ ἐγνωσμένων, ἐν δεινῷ τιθέμενος εἰ προσλήψοιτο τοσῆσδε αὐτοὺς ὁμιλῆσαι δυνάμεως. καὶ μετέπιπτεν Ἡρώδης εἴκων δεήσει τῇ Ἀντιπάτρου, ὥστε αὐτὸν μὲν τὴν θυγατέρα Ἀριστοβούλου γαμεῖν, καὶ τὴν Φερώρα τὸν υἱὸν αὐτοῦ.

καὶ τὰ μὲν τῶν ὁμολογιῶν τοῦ γάμου τοῦτον κινεῖται τὸν τρόπον ἄκοντος τοῦ βασιλέως· Ἡρώδῃ δὲ

Digitized by Google

τῷ βασιλεῖ κατὰ τοῦτον τὸν χρόνον συνῴκουν ἐννέα γυναῖκες, ἥ τε Ἀντιπάτρου μήτηρ, καὶ ἡ θυγάτηρ τοῦ ἀρχιερέως, ἐξ ἧς καὶ ὁμώνυμος αὐτῷ παῖς ἐγεγόνει. ἦν δὲ καὶ ἀδελφοῦ παῖς αὐτῷ μία γεγαμημένη, καὶ ἀνεψιὰ σὺν αὐταῖς. καὶ ταῖσδε μὲν τέκνον οὐδὲν ἐφύη· ἦν δ' ἐν ταῖς γυναιξὶ κἀκ τοῦ Σαμαρέων ἔθνους μία, καὶ παῖδες αὐτῇ Ἀντίπας καὶ Ἀρχέλαος καὶ θυγάτηρ Ὀλυμπιάς· καὶ ταύτην μὲν ὕστερον Ἰώσηπος γαμεῖ, βασιλέως ἀδελφιδοῦς ὤν, Ἀρχέλαος δὲ καὶ Ἀντίπας ἐπὶ Ῥώμης παρά τινι ἰδιώτῃ τροφὰς εἶχον. Κλεοπάτρα τε Ἱεροσολυμῖτις ἐγεγάμητο αὐτῷ, καὶ παῖδες ἐξ αὐτῆς Ἡρώδης τε ἐγεγόνεισαν καὶ Φίλιππος, ὃς καὶ αὐτὸς ἐν Ῥώμῃ τροφὰς εἶχεν. καὶ Παλλὰς δὲ ἦν ἐν ταῖς γαμεταῖς, Φασάηλον πεποιημένη αὐτῷ παῖδα. πρός γε μὴν ταύταις Φαίδρα καὶ Ἐλπὶς ἦσαν, ἐξ ὧν θυγατέρες δύο ἦσαν, Ῥωξάνη καὶ Σαλώμη. τὰς δὲ πρεσβυτέρας αὐτοῦ θυγατέρας ὁμομητρίας τῶν περὶ Ἀλέξανδρον, ὧν περιεώρα Φερώρας τὸν γάμον, συνῴκισε τὴν μὲν Ἀντιπάτρῳ τοῦ βασιλέως ἀδελφῆς παιδὶ ὄντι, Φασαήλῳ δὲ τὴν ἑτέραν· καὶ οὗτος Ἡρώδου ἀδελφοῦ παῖς ἐγεγόνει.

2 καὶ τοῦτο μὲν Ἡρώδου τὸ γένος ἦν· τότε δὲ βουλόμενος πρὸς Τραχωνίτας ἀσφαλὴς εἶναι, κώμην πόλεως μέγεθος οὐκ ἀποδέουσαν ἔγνω Ἰουδαίοις κτίσαι ἐν μέσῳ, δυσέμβολόν τε ποιεῖν τὴν αὐτοῦ, καὶ τοῖς πολεμίοις ἐξ ἐγγίονος ὁρμώμενος ἐμβαλὼν ἐκ τοῦ ὀξέος κακουργεῖν. καὶ ἐπιστάμενος ἄνδρα Ἰουδαῖον ἐκ τῆς Βαβυλωνίας σὺν ἱππεῦσι πεντακοσίοις, ἱπποτοξόταις πᾶσι, καὶ συγγενῶν πλήθει εἰς ἑκατὸν ἀνδρῶν τὸν Εὐφράτην διαβεβηκότα κατὰ τύχας ἐν Ἀντιοχείᾳ τῇ ἐπὶ Δάφνῃ τῆς Συρίας διαιτᾶσθαι, Σατουρνίνου τοῦ τότε στρατηγοῦντος εἰς ἐνοίκησιν αὐτῷ δεδωκότος χωρίου

Digitized by Google

(Ὀαλαθὰ ὄνομα αὐτῷ), μετεπέμπετο τοῦτον σὺν τῷ πλήθει τῶν ἑπομένων, παρέξειν ὑπισχνούμενος γῆν ἐν τοπαρχίᾳ τῇ λεγομένῃ Βαταναία (ὡρίζετο δὲ αὐτὴ τῇ Τραχωνίτιδι), βουλόμενος πρόβλημα τὴν κατοίκησιν αὐτοῦ κτᾶσθαι, ἀτελῆ τε τὴν χώραν ἐπηγγέλλετο, καὶ αὐτοὺς εἰσφορῶν ἀπηλλαγμένους ἁπασῶν, αἳ εἰωθυῖαι . . . , ἐγκατοικιεῖν, τὴν γῆν ἄπρακτον παρασχόμενος.

τούτοις πεισθεὶς ὁ Βαβυλώνιος ἀφικνεῖται, καὶ λαβὼν τὴν γῆν φρούρια ᾠκοδομήσατο καὶ κώμην, Βαθυρὰν ὄνομα αὐτῇ θέμενος. πρόβλημά τε ἦν οὗτος ὁ ἀνὴρ καὶ τοῖς ἐγχωρίοις τὰ πρὸς τοὺς Τραχωνίτας καὶ Ἰουδαίων τοῖς ἐκ Βαβυλῶνος ἀφικνουμένοις διὰ θυσίας ἐπὶ Ἱεροσολύμων, τοῦ μὴ ληστείαις ὑπὸ τῶν Τραχωνιτῶν κακουργεῖσθαι· πολλοί τε ὡς αὐτὸν ἀφίκοντο καὶ ἁπανταχόθεν, οἷς τὰ Ἰουδαίων θεραπεύεται πάτρια. καὶ ἐγένετο ἡ χώρα σφόδρα πολυάνθρωπος ἀδεία τοῦ ἐπὶ πᾶσιν ἀτελοῦς. ἃ παρέμεινεν αὐτοῖς Ἡρῴδου ζῶντος· Φίλιππος δὲ δεύτερος ἐκείνου παραλαβὼν τὴν ἀρχὴν ὀλίγα τε καὶ ἐπ' ὀλίγον αὐτοὺς ἐπράξατο. Ἀγρίππας μέντοι γε ὁ μέγας καὶ ὁ παῖς αὐτοῦ καὶ ὁμώνυμος καὶ πάνυ ἐξετρύχωσαν αὐτούς, οὐ μέντοι τὰ τῆς ἐλευθερίας κινεῖν ἠθέλησαν. παρ' ὧν Ῥωμαῖοι δεξάμενοι τὴν ἀρχὴν τοῦ μὲν ἐλευθέρου καὶ αὐτοὶ τηροῦσι τὴν ἀξίωσιν, ἐπιβολαῖς δὲ τῶν φόρων εἰς τὸ πάμπαν ἐπίεσαν αὐτούς. 2

καὶ τάδε μὲν ἧ καιρὸς ἀκριβώσομαι προϊόντος τοῦ λόγου· τελευτᾷ δὲ Ζάμαρις ὁ Βαβυλώνιος, ὃς ἐπὶ κτήσει τῆσδε τῆς χώρας Ἡρῴδῃ προσποιεῖται, ζήσας μετ' ἀρετῆς καὶ παῖδας λιπὼν ἀγαθούς, Ἰάπειμον μέν, ὃς ἀνδρείᾳ γενόμενος ἐπιφανὴς ἱππεύειν συνεκρότησε τοὺς ὑφ' αὐτῷ Βαβυλωνίους, καὶ ἴλη τῶνδε τῶν ἀν- 3

Digitized by Google

δρῶν ἐδορυφόρει τούσδε τοὺς βασιλέας. καὶ Ἰάκειμος ἐν γήραι τελευτῶν Φίλιππον ἄνδρα χεῖρας ἀγαθὸν κατέλιπε τὸν υἱόν, καὶ τὰ ἄλλα ἀρετῇ χρῆσθαι παρ' ὀντιναοῦν ἀξιόλογον. διόπερ φιλία τε πιστὴ καὶ εὔνοια ἀσφαλὴς αὐτῷ πρὸς Ἀγρίππαν γίνεται τὸν βασιλέα· στρατιὰν δὲ ὁπόσην ὁ βασιλεὺς ἔτρεφεν, οὗτος ἀσκῶν διετέλει, καὶ ὅπῃ ἐξοδεύειν δεήσειεν ἡγούμενος.

4 Ἡρῴδου δ' ἐν οἷς εἶπον ὄντος, ἀφεώρα τὰ πάντα πράγματα εἰς Ἀντίπατρον, καὶ ἐφ' οἷς ἐθελήσειε κυροῦν οὐκ ἀπήλλακτο ἐξουσίας, ἐπικεχωρηκότος τε τοῦ πατρὸς ἐλπίδι εὐνοίας καὶ πίστεως, καὶ περαιτέρω κτᾶσθαι τὴν ἐπ' αὐτοῖς ἐξουσίαν τολμηρὸς καθιστάμενος διὰ τὸ ἄθηλος τῷ πατρὶ εἶναι κακουργῶν καὶ ἐφ' οἷς εἶπειε πιστότατος. ἦν τε πᾶσι φοβερὸς οὐχ οὕτως ἰσχύι τῆς ἐξουσίας ὡς τοῦ κακοτρόπου τῷ προμηθεῖ. μάλιστα δὲ αὐτὸν Φερώρας ἐθεράπευε, καὶ ἀντεθεραπεύετο δεινῶς, πάνυ τοῦ Ἀντιπάτρου περιστοιχίσαντος αὐτὸν καὶ τὴν γυναικωνῖτιν συνισταμένου τὰ πρὸς αὐτόν. ἐδεδούλωτο γὰρ Φερώρας γαμετῇ τε καὶ μητρὶ ταύτης καὶ ἀδελφῇ, καὶ ταῦτα μισῶν τὰς ἀνθρώπους ὕβρει θυγατέρων αὐτοῦ παρθένων· ἀλλ' ὅμως ἠνείχετο, πράσσειν τε οὐδὲν ἦν δίχα τῶν γυναικῶν ἐκπεριωδευκνιῶν τὸν ἄνθρωπον καὶ ἀλλήλαις εὐνοίᾳ συμπράσσειν τὰ πάντα μὴ ἀπηλλαγμένων, ὥστε παντοίως ὁ Ἀντίπατρος ὑπῆκτο αὐταῖς, καὶ δι' αὐτοῦ καὶ διὰ τῆς μητρός· ταὐτὸν γὰρ αἵδε αἱ τέσσαρες γυναῖκες ἔλεγον. Φερώρᾳ δὲ πρὸς Ἀντίπατρον ἐπ' οὐδαμινοῖς τισὶν αἱ γνῶμαι διήλλασσον· ἀντίσπασμα δ' ἦν αὐτοῖς βασιλέως ἀδελφή, περισκοποῦσά τ' ἐκ πλείονος τὰ πάντα, καὶ τὴν εὔνοιαν αὐτῶν ἐπὶ κακοῖς τοῖς Ἡρῴδου πρασσομένην εἰδυῖά τε καὶ μηνύειν οὐκ ἀποτετραμμένη. καὶ γνόντες ἐν ἀπεχθείᾳ βασιλεῖ τὴν εὔνοιαν αὐτῶν, ἐπινοοῦσιν

Digitized by Google

ὥστε φανερὰν μὲν μὴ εἶναι τὴν πρὸς ἀλλήλους αὐτῶν
σύνοδον, μίσους δὲ καὶ λοιδοριῶν οὖ καιρὸς προσποίη-
σιν, καὶ μάλιστα Ἡρώδου παρατυγχάνοντος ἢ εἴ τις
πρὸς αὐτὸν ἀπαγγέλλειν ἔμελλεν, κρυπτῶς δὲ τὰ τῆς
εὐνοίας ἐχυρώτερα καθίστασθαι. καὶ ἔπρασσον οὕτως.
ἐλάνθανε δὲ τὴν Σαλώμην οὔτε πρῶτον ἡ διάνοια
αὐτῶν ἐπὶ τοιοῖσδε ὡρμημένων, οὔτε ἐπειδὴ τοῖσδε
χρῆσθαι . . . οὐκ ἀπήλλακτο αὕτη, πάντα δὲ ἀνίχνευέ
τε καὶ πρὸς τὸν ἀδελφὸν μειζόνως ἐκδηλοῦσα ἀπεσή-
μαινεν, συνόδους τε κρυπτὰς καὶ πότους, βουλευτήριά
τε ἀφανῶς κατεσκευασμένα· ὧν μὴ ἐπ' ὀλέθρῳ τῷ ἐκεί-
νου συντιθεμένων κἂν πεφανερῶσθαι μὴ κεκωλῦσθαι·
νῦν δὲ τοὺς μὲν ἐκ τοῦ προύπτου διαφόρους καὶ τὰ
πάντα ἐπὶ βλάβῃ τῇ ἀλλήλων λέγοντας, εἰς δὲ τὸ ἀφανὲς
τοῖς πολλοῖς τὴν εὔνοιαν ἀνατιθεμένους, καὶ ὁπότε ἀλ-
λήλοις συμμονωθεῖεν φίλια πράσσειν μὴ ἀπηλλαγμέ-
νους, ὁμολογεῖν πολεμεῖν πρὸς οὓς λανθάνειν χρώμε-
νοι εὐνοίᾳ τῇ ἀλλήλων ἐσπουδάκοιεν. καὶ ἡ μὲν ταῦτα
ἀνίχνευέ τε καὶ ἀκριβῶς συντυγχάνουσα τῷ ἀδελφῷ
ἀνέφερε, συνιέντι μὲν ἤδη τὰ πολλὰ καὶ δι' ἑαυτοῦ,
εἰς δὲ τὸ θαρσεῖν . . . οὐ διὰ κενῆς ὑπονοιῶν καθιστα-
μένων διαβολαῖς τῆς ἀδελφῆς. καὶ ἦν γὰρ μόριόν τι
Ἰουδαϊκῶν ἀνθρώπων ἐπ' ἐξακριβώσει μέγα φρονοῦν
τοῦ πατρίου νόμου, αὐτοῖς χαίρειν τὸ θεῖον προσποιου-
μένων, οἷς ὑπῆκτο ἡ γυναικωνῖτις· Φαρισαῖοι καλοῦν-
ται, βασιλεῦσι δυνάμενοι μάλιστα ἀντιπράσσειν, προ-
μηθεῖς, κἀκ τοῦ προύπτου εἰς τὸ πολεμεῖν τε καὶ βλάπ-
τειν ἐπηρμένοι. παντὸς γοῦν τοῦ Ἰουδαϊκοῦ βεβαι-
ώσαντος δι' ὅρκων ἢ μὴν εὐνοῆσαι Καίσαρι καὶ τοῖς
βασιλέως πράγμασι, οἵδε οἱ ἄνδρες οὐκ ὤμοσάν, ὄντες
ὑπὲρ ἑξακισχίλιοι· καὶ αὐτοὺς βασιλέως ζημιώσαντος
χρήμασιν, ἡ Φερώρα γυνὴ τὴν ζημίαν ὑπὲρ αὐτῶν εἰσ-

Digitized by Google

φέρει. οἱ δὲ ἀμειβόμενοι τὴν εὔνοιαν αὐτῆς (πρόγνωσιν δὲ ἐπεπίστευντο ἐπιφοιτήσει τοῦ θεοῦ) προύλεγον ὡς Ἡρώδῃ μὲν καταπαύσεως ἀρχῆς ὑπὸ θεοῦ ἐψηφισμένης αὐτῷ τε καὶ γένει τῷ ἀπ' αὐτοῦ., τῆς δὲ βασιλείας εἰς τε ἐκείνην περιηξούσης καὶ Φερώραν παῖδάς τε οἱ εἶεν αὐτοῖς. καὶ τάδε (οὐ γὰρ ἐλάνθανε τὴν Σαλώμην) ἐξαγγελτὰ βασιλεῖ ἦν, καὶ ὅτι τῶν περὶ τὴν αὐλὴν διαφθείροιέν τινας· καὶ ὁ βασιλεὺς τῶν τε Φαρισαίων τοὺς αἰτιωτάτους ἀναιρεῖ καὶ Βαγώαν τὸν εὐνοῦχον Κάρόν τε τῶν τότε προύχοντα ἀρετῇ τοῦ εὐπρεποῦς καὶ παιδικὰ ὄντα αὐτοῦ. κτείνει δὲ καὶ πᾶν ὅ τι τοῦ οἰκείου συνειστήκει οἷς ὁ Φαρισαῖος ἔλεγεν. ἦρτο δὲ ὁ Βαγώας ὑπ' αὐτῶν ὡς πατήρ τε καὶ εὐεργέτης ὀνομασθησόμενος τοῦ ἐπικατασταθησομένου προρρήσει βασιλέως· κατὰ χεῖρα γὰρ ἐκείνῳ τὰ πάντα εἶναι, παρ- 15
ἑξοντος αὐτῷ γάμου τε ἰσχὺν καὶ τεκνώσεως παίδων γνησίων.

3 Ἡρώδης δὲ κολάσας τῶν Φαρισαίων τοὺς ἐπὶ τοῖσδε ἐληλεγμένους, συνέδριόν τε ποιεῖται τῶν φίλων καὶ κατηγορίαν τῆς Φερώρα γυναικός, τήν τε ὕβριν τῶν παρθένων τῇ τόλμῃ τῆς γυναικὸς ἀνατιθείς, καὶ ἔγκλημα ταύτην ἀτιμίαν αὐτῷ ποιούμενος, ὥστε ἀρωνοθετεῖν στάσιν αὐτῷ πρὸς τὸν ἀδελφὸν καὶ πόλεμον ἐκ φύσεως αὐτοῖς καὶ λόγῳ καὶ δι' ἔργων ὅσα δύναιτο, τήν τε διάλυσιν τῆς ζημίας τῆς ὑπ' αὐτοῦ ἐπιβληθείσης τέλεσι διαφευχθῆναι τοῖς ἐκείνης, τῶν τε νῦν πεπραγμένων οὐδὲν ὅ τι οὐ μετ' αὐτῆς. "ἀνθ' ὧν Φερώρα καλῶς εἶχεν, οὐδὲ δεήσει γνωμῶν εἰσηγήσεως τῶν ἐμῶν, αὐτοκέλευστον ἀποπέμπεσθαι γυναῖκα ταύτην ὡς πολέμου τοῦ πρός με σοὶ αἰτίαν ἐσομένην, καὶ νῦν, εἴπερ ἀντιποιῇ συγγενείας τῆς ἐμῆς, ἀπειπέσθαι τήνδε τὴν γαμετήν. μενεῖς γὰρ οὕτως ἀδελφός τε ἐμὸς καὶ στέργειν

Digitized by Google

οὐκ ἀπηλλαγμένος." Φερώρας δέ, καίπερ λόγων ἀρετῇ περιωθούμενος, οὔτε συγγενείας τῆς πρὸς τὸν ἀδελφὸν ἔλεγε κινήσειν δίκαιον οὐδὲν οὔτε τὴν πρὸς τὴν γαμετὴν εὔνοιαν, αἱρεῖσθαί τε πρότερον θανεῖν ἢ ζῶν τολμᾶν ἀπεστερῆσθαι γυναικὸς αὐτῷ κεχαρισμένης. Ἡρώδης δὲ Φερώρᾳ μὲν ὑπερεβάλλετο τὴν ἐπὶ τούτοις ὀργήν, καίπερ ἀνήδονον τιμωρίαν εἰσπεπραγμένος, Ἀντιπάτρῳ δὲ ἀπεῖπε καὶ μητρὶ τῇ ἐκείνου Φερώρᾳ τε μὴ ὁμιλεῖν καὶ τῶν γυναικῶν φυλάσσεσθαι τὸ εἰς ταὐτὸν συνεσόμενον. οἱ δ' ὡμολόγουν μέν, συνῆσαν δὲ ᾗ καιρὸς καὶ συνεκώμαζον Φερώρας καὶ Ἀντίπατρος. ἐφοίτα δὲ ὁ λόγος, ὁμιλεῖν καὶ Ἀντιπάτρῳ τὴν Φερώρα γυναῖκα, συμπρασσούσης αὐτοῖς τὰ εἰς τὴν σύνοδον τῆς Ἀντιπάτρου μητρός.

ὑφορώμενος δὲ τὸν πατέρα, καὶ δεδιὼς μὴ εἰς πλεῖον προχωροίη τὰ τοῦ μίσους ἐπ' αὐτῷ, γράφει πρὸς τοὺς ἐν Ῥώμῃ φίλους, κελεύων ἐπιστεῖλαι Ἡρώδῃ πέμπειν ᾗ τάχος Ἀντίπατρον ὡς Καίσαρα. οὗ γενομένου ἔπεμπεν Ἡρώδης Ἀντίπατρον, δῶρα συνεκπέμψας ἀξιολογώτατα, καὶ διαθήκην ἐν ᾗ μετ' αὐτὸν Ἀντίπατρον ἀπεδείκνυε βασιλέα, φθάσαντος δὲ τελευτᾶν, Ἡρώδην τὸν ἐκ τῆς τοῦ ἀρχιερέως θυγατρὸς υἱὸν αὐτῷ γεγεννημένον. συνεξορμᾷ δ' Ἀντιπάτρῳ καὶ Συλλαῖος ὁ Ἄραψ, μηδὲν ὧν προσέταξε Καῖσαρ διαπεπραγμένος· καὶ Ἀντίπατρος αὐτοῦ κατηγορεῖ ἐπὶ Καίσαρος περὶ ὧν πρότερον Νικόλαος. κατηγορεῖτο δὲ καὶ ὑπ' Ἀρέτα Συλλαῖος ὡς πολλοὺς ἀπεκτονὼς τῶν ἐν Πέτρᾳ ἀξιολόγων παρὰ γνώμην τὴν αὐτοῦ, καὶ μάλιστα Σόεμον, ἄνδρα τῇ εἰς πάντα ἀρετῇ τιμᾶσθαι δικαιότατον, ἀνῃρηκέναι δὲ καὶ Φάβατον Καίσαρος δοῦλον. καὶ Συλλαῖος αἰτίαν εἶχεν ἐκ τοιῶνδε ἐγκλημάτων. Κόρινθος ἦν Ἡρώδου σωματοφύλαξ τοῦ βασιλέως μάλιστα

Digitized by Google

πιστευόμενος ὑπ' αὐτοῦ. τοῦτον πείθει Συλλαῖος ἐπὶ χρήμασι μεγάλοις Ἡρώδην ἀποκτεῖναι, καὶ ὑπέσχετο. μαθὼν οὖν Φάβατος Συλλαίου πρὸς αὐτὸν εἰρηκότος, διηγεῖται πρὸς τὸν βασιλέα· ὃ δὲ Κόρινθον βασανίζει συλλαβών, καὶ πάντα ἀνάπυστα ἦν αὐτῷ. συλλαμβάνει δὲ καὶ δύο ἑτέρους Ἄραβας καταγορεύσει τῇ Κορίνθου πειθόμενος, τὸν μὲν φύλαρχον ὄντα τὸν δὲ Συλλαίου φίλον· οἳ καὶ αὐτοί (βασανίζει γὰρ αὐτοὺς ὁ βασιλεύς) ὡμολόγουν ὅτι παρεῖεν ἐξοτρύνοντες μὴ μαλακίζεσθαι Κόρινθον, καὶ εἴ που δεήσειε καὶ συγχειρουργήσοντες αὐτῷ τὸν φόνον. καὶ Σατουρνῖνος, δηλώσεως αὐτῷ πάντων ὑπὸ Ἡρώδου γενομένης, εἰς Ῥώμην ἐξέπεμψεν αὐτούς.

3 Φερώραν δὲ ἰσχυρῶς ἐμμένοντα εὐνοίᾳ τῆς γυναικός, ἀναχωρεῖν εἰς τὴν αὐτοῦ Ἡρώδης κελεύει. ὃ δὲ ἀσμένως ἐπὶ τὴν τετραρχίαν ἀπῆρεν, πολλὰ ὀμόσας οὐ πρότερον ἥξειν ἢ πύθοιτο Ἡρώδην τετελευτηκότα· ὥστε καὶ νοσήσαντος τοῦ βασιλέως ἀξιωθεὶς ἥκειν ἐπὶ τινῶν πιστεύσεσιν ἐντολῶν, εἰ μέλλοι τελευτᾶν, οὐχ ὑπήκουσεν ἐπὶ τιμῇ τοῦ ὅρκου. οὐ μὴν Ἡρώδης γε μιμεῖται τὴν ἐπὶ τοιοῖσδε ἐκείνου γνώμην, προαποφηνάμενος ἣν ἔχει, ἀλλ' ἧκεν ὡς τὸν Φερώραν, ἐπειδὴ ὕστερον ἄρχεται νοσεῖν, καὶ μετακλήσεως αὐτῷ μὴ γενομένης. θανόντα δὲ περιστείλας ἐπὶ Ἱεροσολύμων ἀγόμενος ταφῆς ἠξίου, καὶ πένθος μέγα ἐπ' αὐτῷ προέθετο.

τοῦτο Ἀντιπάτρῳ καίτοι γε ἐπὶ Ῥώμης πεπλευκότι κακῶν ἐγένετο ἀρχή, τῆς ἀδελφοκτονίας αὐτὸν τινυμένου τοῦ θεοῦ. διηγήσομαι δὲ τὸν πάντα περὶ αὐτοῦ λόγον, παράδειγμα τῷ ἀνθρωπίνῳ γένει ἐσόμενον τοῦ ἀρετῇ πολιτεύεσθαι ἐπὶ πᾶσιν.

4 ἐπειδὴ Φερώρας τελευτᾷ τἀφαί τε ἐγεγόνεισαν αὐ-

Digitized by Google

τῷ, ἀπελεύθεροι δύο τῶν Φερώρα τιμίων προσελθόντες Ἡρώδῃ ἠξίουν μὴ ἀνεκδίκητον καταλιπεῖν τοῦ ἀδελφοῦ τὸν νεκρόν, ἀλλὰ ζήτησιν ποιεῖσθαι τῆς ἀλόγου τε καὶ δυστυχοῦς μεταστάσεως. τοῦ δ' ἐπιστραφέντος τοῖς λόγοις (πιστὰ γὰρ ἐδόκει) δεικνῆσαι μὲν αὐτὸν ἔλεγον παρὰ τῇ γυναικὶ τῇ προτέρᾳ τῆς νόσου, φάρμακόν τε προσκομισθὲν ἐν βρώματι μὴ πρότερον εἰωθότι ἐμφαγόντα ὑπὸ τούτου τελευτῆσαι· κομιστὸν μέντοι γενέσθαι τὸ φάρμακον ὑπὸ γυναικὸς ἐκ τῆς Ἀραβίας, λόγῳ μὲν ἐπὶ προσποίησιν ἐρώτων (φίλτρον γὰρ δὴ ὄνομα αὐτῷ εἶναι), τὸ δ' ἀληθὲς ἐπὶ τῇ Φερώρα τελευτῇ. φαρμακιστόταται δ' εἰσὶ γυναικῶν αἱ ἐκ τῆς Ἀραβίας· ἧ δὲ ταῦτα ἐπεκάλουν, καὶ τῆς Συλλαίου ἐρωμένης ἐν ταῖς μάλιστα ὡμολόγητο εἶναι φίλη. πείσουσαί τε αὐτὴν ἐπὶ πράσει τοῦ φαρμάκου εἰς τοὺς τόπους ἐληλύθεισαν ἥ τε μήτηρ τῆς Φερώρα γυναικὸς καὶ ἡ ἀδελφή, καὶ ἐπανῆκον αὐτὴν ἀγόμεναι τοῦ δείπνου πρότερον ἡμέρᾳ μιᾷ. ὑπὸ τούτων ὁ βασιλεὺς τῶν λόγων παροξυνθεὶς δούλας τε ἐβασάνιζε τῶν γυναικῶν καί τινας ἐλευθέρας, καὶ ὄντος ἀφανοῦς τοῦ πράγματος διὰ τὸ ῥᾳδεμίαν ἐξειπεῖν, τελευταία τις, περιουσῶν αὐτῆς τῶν ἀληθόνων, ἄλλο μὲν ἔφη οὐδέν, θεὸν δὲ ἐπικαλεῖσθαι τοιαῖσδε αἰκίαις περιβαλεῖν τὴν Ἀντιπάτρου μητέρα, κακῶν τῶν ἐπεχόντων αἰτίαν πᾶσι γενομένην. ταῦτα εἰς ἐπίστασιν Ἡρώδην ἄγει, καὶ τὰ πάντα βασάνοις τῶν γυναικῶν ἀνάπυστα ἦν, οἵ τε κῶμοι καὶ αἱ κρυπταὶ σύνοδοι, καὶ δὴ καὶ λόγων πρὸς μόνον τὸν υἱὸν εἰρημένων ἐξοίσεις πρὸς τὰς Φερώρα γυναῖκας (ἦν δὲ ταλάντων ἑκατὸν δωρεὰν ἐπικρύπτεσθαι [φράζειν] πρὸς Φερώραν τῷ Ἀντιπάτρῳ κέλευσις ὑπὸ τοῦ πατρός), μῖσός τε πρὸς τὸν πατέρα, καὶ ὀλοφυρμοὶ πρὸς τὴν μητέρα ὡς ἐπὶ μήκιστον τοῦ πατρὸς βίου ἐξηγμένου, καὶ

Digitized by Google

αὐτῷ μηδὲν ἐλάσσονος τοῦ γήρως ἐπικειμένου, ὡς μηδ' ἂν ἐλθοῦσαν τὴν βασιλείαν ὁμοίως εὐφρᾶναί ποτ' αὐτόν. παρατρέφεσθαί τε πολλοὺς ἐπὶ τῇ βασιλείᾳ καὶ ἀδελφοὺς καὶ ἀδελφῶν παῖδας, οὐδαμῶς ἀδεῆ τὴν ἐλπίδα παρεχομένους τἀσφαλοῦς· καὶ γὰρ δὴ καὶ νῦν, εἴ τι πάσχειν αὐτὸν συμβαίη, ἀδελφῷ μᾶλλον ἢ παιδὶ τῷ αὐτοῦ κελεύειν τὴν ἀρχὴν δίδοσθαι. ὠμότητά τε πολλὴν κατηγόρει τοῦ βασιλέως, καὶ τὰς σφαγὰς τῶν υἱέων· φόβῳ τε μὴ καὶ αὐτῶν ἅπτοιτο ἤδη, τὸν μὲν ἐπὶ Ῥώμης ἄρασθαι τέχνην ἐπινοῆσαι, Φερώραν δ' ἐπὶ τῆς αὐτοῦ τετραρχίας.

2 ταῦτα δὲ συνῆδε τοῖς λόγοις τῆς ἀδελφῆς, καὶ πολὺ τοῦ μὴ ἀπιστίαν ἔτι ὑποπτεύεσθαι συνῆρεν αὐταῖς. ὁ δὲ βασιλεὺς κρατυνάμενος ἐπὶ κακίᾳ τοῦ Ἀντιπάτρου τὴν Δωρίδα τὴν μητέρα αὐτοῦ, πάντα τὸν περὶ αὐτὴν κόσμον ταλάντων πολλῶν ὄντα ἀφελόμενος ἔπειτα αὐτὴν ἀποπέμπεται, καὶ ταῖς Φερώρα γυναιξὶ φιλίαν ἐσπείσατο. μάλιστα δὲ ἐξώτρυνεν εἰς ὀργὴν κατὰ τοῦ παιδὸς τὸν βασιλέα Σαμαρείτης ἀνὴρ Ἀντίπατρος, ἐπιτροπεύων τὸν υἱὸν τοῦ βασιλέως Ἀντίπατρον, ἄλλα τε αὐτοῦ ἐν ταῖς βασάνοις κατειπὼν καὶ ὅτι παρασκευασάμενος φάρμακον θανάσιμον δοίη Φερώρᾳ, κελεύσας παρὰ τὴν ἀποδημίαν αὐτοῦ, ἵν' ὡς πλεῖστον ἀφεστήκοι τῶν ἐν τούτοις ὑποτοπασμῶν, τῷ πατρὶ δοῦναι· καὶ κομίσαι μὲν Ἀντίφιλον ἐξ Αἰγύπτου τὸ φάρμακον, ἕνα τῶν Ἀντιπάτρου φίλων, σταλῆναι δὲ ὡς Φερώραν διὰ Θευδίωνος ἀδελφοῦ τῆς μητρὸς Ἀντιπάτρου τοῦ βασιλέως παιδός, καὶ οὕτως ἐλθεῖν τὸ φάρμακον εἰς τὴν γυναῖκα τὴν Φερώρα, δόντος φυλάσσειν τοῦ ἀνδρὸς αὐτῆς. ἡ δὲ ὡμολόγει μὲν ἀνακρίναντος τοῦ βασιλέως, καὶ δραμοῦσα ὡς κομίσειε, ῥίπτει κατὰ τέγους αὐτήν, οὐ μὴν τελευτᾷ, ἐπὶ πόδας τῆς πτώσεως γενομένης.

Digitized by Google

καὶ οὕτως ἐπεὶ ἀνεκτήσατο αὐτήν, ἄδειάν τε αὐτῇ ὑπισχνούμενος καὶ τοῖς οἰκείοις μὴ ἐπ' ἀφανισμῷ τἀληθοῦς τρεπομένῃ, τρίψειν γε μὴν κακοῖς τοῖς ὑστάτοις ἀγνωμονεῖν προθεμένην, ὑπισχνεῖται καὶ ὤμοσεν ἢ μὴν ἐρεῖν τὰ πάντα ὃν ἐπράχθη τρόπον, λέγουσα μέν, ὡς ἔφασαν οἱ πολλοὶ τῶν ἀνθρώπων, ἀληθῆ τὰ πάντα. κεκομίσθαι τε γὰρ ἐκ τῆς Αἰγύπτου τὸ φάρμακον ὑπ' Ἀντιφίλου, ἀδελφός τε ἐκείνῳ ἰατρὸς ὢν ἐπόρισε· "καὶ Θευδίωνος ὡς ἡμᾶς κομίσαντος ἐφύλασσον αὐτή, παρὰ Φερώρα λαβοῦσα ἐπὶ σὲ ὑπ' Ἀντιπάτρου ἡτοιμασμένον. ἐπεὶ οὖν ἐνόσει Φερώρας καὶ ἐθεράπευες αὐτὸν ἀφικόμενος, ὁρῶν σου τὴν εὔνοιαν ᾗ περὶ αὐτὸν ἐχρῶ, ἐπεκλάσθη τε τῇ διανοίᾳ, καὶ μετακαλέσας με, ὦ γύναι, φησί, περιώδευσέ με Ἀντίπατρος ἐπὶ πατρὶ μὲν τῷ ἑαυτοῦ ἀδελφῷ δὲ τῷ ἐμῷ, θανάσιμόν τε γνώμην συνθεὶς καὶ φάρμακον ᾧ διακονήσει αὐτῇ πεπορισμένος. νῦν οὖν, ἐπειδὴ ὅ τε ἀδελφὸς οὐδὲν ἀρετῇ ᾗ πρότερον ἐχρῆτο περὶ ἐμὲ ὑφαιρῶν ὤπται, ἐμέ τε ἐλπὶς οὐκ εἰς μακρὰν ἀπέσεσθαι τοῦ βίου, φέρε, μὴ γνώμῃ ἀδελφοκτόνῳ ἀποτισαίμην προπάτορας τοὺς ἐμαυτοῦ, τὸ φάρμακον καίετε ἐμοῦ βλέποντος." κομίσασάν τε οὐδὲν εἰς ἀναβολὰς πράσσειν τοῦ ἀνδρὸς τὰς ἐντολάς, καὶ τὸ μὲν πλεῖστον καύσασαν τοῦ φαρμάκου τυχεῖν, ὑπολείπεσθαι δὲ ὀλίγον, ἵνα, εἰ Φερώρα μεταστάντος περιέποι κακῶς αὐτὴν ὁ βασιλεύς, μεθίστοιτο διάδρασιν ποιουμένη τῶν ἀναγκῶν. ταῦτα εἰποῦσα τό τε φάρμακον καὶ τὴν πυξίδα εἰς τὸ μέσον παρῆγεν. καὶ ἀδελφὸς δὲ Ἀντιφίλου ἕτερος καὶ μήτηρ αὐτοῦ ἀνάγκαις τε καὶ βασάνων σφοδρότητι ταὐτὰ ἔλεγον καὶ ἐγνώριζον τὴν πυξίδα. κατηγορεῖτο δὲ καὶ τοῦ ἀρχιερέως ἡ θυγάτηρ, γυνὴ δὲ τοῦ βασιλέως, ὡς πάντων τούτων ἴστωρ γενομένη, κρύπτειν τε προθυμηθεῖσα αὐτά. καὶ διὰ τάδε

Digitized by Google

Ἡρώδης ἐκείνην τε ἐξέβαλε καὶ τὸν υἱὸν αὐτῆς ἐξήλειψε τῶν διαθηκῶν, εἰς τὸ βασιλεῦσαι μεμνημένων ἐκείνου· καὶ τὸν πενθερὸν τὴν ἀρχιερωσύνην ἀφείλετο Σίμωνα τὸν τοῦ Βοηθοῦ, καθίστη δὲ Ματθίαν τὸν Θεοφίλου, Ἱεροσολυμίτην γένει.

3 ἐν τούτῳ δὲ καὶ Βάθυλλος ἐκ Ῥώμης, ἀπελεύθερος Ἀντιπάτρου, παρῆν, καὶ βασανισθεὶς εὑρίσκεται φάρμακον κομίζων, δώσειν τῇ τε αὐτοῦ μητρὶ καὶ Φερώρᾳ, ὡς εἰ τὸ πρότερον μὴ ἅπτοιτο τοῦ βασιλέως, τούτῳ γοῦν μεταχειρίζοιντο αὐτόν. ἀφίκετο δὲ γράμματα παρὰ τῶν ἐν Ῥώμῃ φίλων τῷ Ἡρώδῃ, γνώμῃ καὶ ὑπαγορεύσει Ἀντιπάτρου ἐπὶ κατηγορίᾳ Ἀρχελάου καὶ Φιλίππου συγκείμενα, ὡς δῆθεν διαβάλλοιέν τε τὸν πατέρα ἐπὶ σφαγῇ τῶν περὶ Ἀριστόβουλον καὶ Ἀλέξανδρον, δι' οἴκτου δὲ καὶ αὐτοὺς λαμβάνοιεν· ἤδη γὰρ καὶ καλεῖσθαι ὑπὸ τοῦ πατρός, οὐχ ὡς ἐφ' ἑτέροις ἀλλ' ἐπὶ τῷ κἀκείνους προσαπολωλέναι τῆς κατακλήσεως αὐτῶν γινομένης. ταῦτα δὲ μεγάλων μισθῶν οἱ φίλοι τῷ Ἀντιπάτρῳ συνέπρασσον. γράφει δὲ καὶ αὐτὸς Ἀντίπατρος τῷ πατρὶ περὶ αὐτῶν ἐπὶ μεγίσταις τῶν αἰτιῶν, καὶ παντελῶς ἀπαλλάσσει φάσκων αὐτὰ μειράκια, τῶν δὲ λόγων τῇ ἡλικίᾳ τὴν ἀνάθεσιν ποιούμενος. αὐτὸς δὲ τὰ περὶ Συλλαῖον ἠγωνίζετο, καὶ περὶ θεραπείαν τῶν πρώτων ἀνδρῶν ἐγεγόνει, κόσμους τε ἀξιοπρεπεῖς ταλάντων ἐώνητο διακοσίων. θαυμάσειε δ' ἄν τις ὅτι τοσῶνδε ἐν Ἰουδαίᾳ κατ' αὐτοῦ κεκινημένων μηδὲ πρότερον ἑπτὰ οὐδὲν αὐτῷ δῆλον γένοιτο. αἴτιον δ' ἦν ἥ τε ἀκρίβεια καὶ φυλακὴ τῶν ὁδῶν, καὶ μῖσος τῶν ἀνθρώπων τὸ πρὸς Ἀντίπατρον· οὐδεὶς γὰρ ἦν ὃς προθύμως κινδύνῳ τῷ αὐτοῦ πορισθεὶς τῶν ἐκείνου ἀσφαλειῶν καθίστατο.

5 Ἡρώδης δέ, Ἀντιπάτρου γεγραφότος πρὸς αὐτὸν

Digitized by Google

ὡς τὰ πάντα οὐ χρὴ διαπεπραγμένος τρόπον ἤξοι ἐν τάχει, ἐπικρυψάμενος τὴν ὀργὴν ἀντεπετίθει, κελεύων μὴ βραδύνειν εἰς τὴν ὁδόν, μὴ καί τι πάσχοι παρὰ τὴν ἐκθημίαν αὐτοῦ, καὶ ἅμα τῆς μητρὸς κατηγορῶν ὡς ὀλίγον, καταθήσεσθαι μέμψεις ἐπαγγελλόμενος τὰς πρὸς αὐτήν, ὁπότε ἐκεῖνος ἀφίκοιτο. παντί τε τρόπῳ φιλότητα τὴν πρὸς αὐτὸν ἐνδείκνυτο, δεδιὼς μὴ καί τι ὑποτοπήσας ὑπερβάλλοιτο μὲν ὁδοὺς τὰς πρὸς αὐτόν, τῇ δὲ Ῥώμῃ ἐνδιαιτώμενος ἐφεδρεύοι τῇ βασιλείᾳ καὶ διαπράσσοιτό τι αὐτῷ. τούτοις ἐν Κιλικίᾳ τοῖς γράμμασιν ἐπιτυγχάνει, τοῖς δὲ τὴν Φερώρα τελευτὴν διασαφοῦσιν ἐν Τάραντι πρότερον· δεινῶς τε ἤνεγκεν οὐκ εὐνοίᾳ τῇ Φερώρα, διότι δὲ τοῦ πατρὸς τὴν ἀναίρεσιν οὐ διαπραξάμενος, ὥσπερ ὑπέσχητο, ἀπέθανεν. περὶ δὲ Κελένδεριν τῆς Κιλικίας γενόμενος ἐνεδοίαζεν ἤδη περὶ τοῦ οἰκαδε πλοῦ, δεινῶς τῇ ἐκβολῇ τῆς μητρὸς λελυπημένος. καὶ τῶν φίλων οἳ μὲν ἐκέλευον αὐτὸν ταῦτά πῃ καραδοκοῦντα ἐπέχειν, οἳ δὲ μὴ διαμέλλειν τὸν οἰκαδε πλοῦν· λύσειν γὰρ παραγενόμενον αἰτίαν πᾶσαν, ὡς καὶ νῦν οὐχ ἑτέρωθεν ἀλλὰ διὰ τὴν ἐκείνου ἀπουσίαν ἰσχὺν τοῖς κατηγόροις ὑπογενέσθαι. τούτοις πεισθεὶς ἔπλει τε καὶ προσέσχε τῷ Σεβαστῷ λιμένι λεγομένῳ, ὃν κατασκευάσας Ἡρώδης πολλῶν χρημάτων ἐπὶ τιμῇ τῇ Καίσαρος καλεῖ Σεβαστόν. ἐν προύπτοις δ' ἦν Ἀντίπατρος ἤδη τοῖς κακοῖς, μήτε προσιόντος αὐτῷ μηδενὸς μήτε προσαγορεύοντος ὥσπερ ὅτε ἔξῄει μετ' εὐχῶν καὶ ἀγαθῶν ἐπιφημισμάτων· ταῖς δ' ἐναντιωτάταις ἀραῖς οὐκ ἐκωλύοντο αὐτὸν δέχεσθαι, κοινὴν τοῖς ἀδελφοῖς ἀποτίνειν ὑπειληφότες.

ἐτύγχανε δὲ ἐν Ἱεροσολύμοις κατὰ τοῦτον τὸν καιρὸν Οὖαρος Κυιντίλιος, διάδοχος μὲν Σατουρνίνῳ τῆς ἐν Συρίᾳ ἀρχῆς ἀπεσταλμένος, ἥκων δὲ αὐτός τε σύμ-

Digitized by Google

βουλος Ἡρώδῃ περὶ τῶν ἐνεστηκότων αὐτῷ δεηθέντι. καὶ αὐτῶν συνεδρευόντων παρῆν ὁ Ἀντίπατρος, οὐδενὸς αὐτῷ ἐκπύστου γεγονότος· εἴσεισι δὲ εἰς τὸ βασίλειον ἔτι πορφυρίδας ἀμπεχόμενος. καὶ αὐτὸν μὲν δέχονται οἱ ἐπὶ θύραις, ἀνείργουσι δὲ τοὺς φίλους. ἐθορυβεῖτο δὲ ἤδη σαφῶς οἷ ἐληλύθει κατανοῶν, ἐπειδὴ καὶ ὁ πατὴρ αὐτὸν προσιόντα ὡς ἀσπάσαιτο ἀπεώσατο, ἀδελφοκτονίαν τε ἐπικαλῶν καὶ βούλευσιν ὀλέθρου τοῦ ἐπ' αὐτῷ, πάντων τε ἀκροατὴν καὶ δικαστὴν ἔσεσθαι, Ὄαρον τῇ αὔριον. καὶ ὃ μὲν τοιούτου κακοῦ ἅμα τε ἀκροαθέντος καὶ παρόντος τῷ μεγέθει περιφερόμενος ᾤχετο, ὑπαντιάζουσι δ' αὐτῷ ἥ τε μήτηρ καὶ ἡ γυνή (αὕτη δὲ ἦν ἡ γενομένη Ἀντιγόνῳ παῖς τῷ πρὸ Ἡρώδου Ἰουδαίων βεβασιλευκότι), παρ' ὧν τὰ πάντα ἐκμαθὼν ἐν παρασκευαῖς τοῦ ἀγῶνος ἦν.

3 τῇ δ' ἑξῆς συνήδρευε μὲν Ὄαρός τε καὶ ὁ βασιλεύς, εἰσεκλήθησαν δὲ καὶ οἱ ἀμφοῖν φίλοι καὶ οἱ συγγενεῖς βασιλέως, Σαλώμη τε ἡ ἀδελφή, εἶτα εἴ τινες μηνύσειν ἔμελλον, καὶ ὧν βάσανοι γεγόνασιν, δοῦλοί τε μητρῷοι τοῦ Ἀντιπάτρου, μικρῷ πρότερον συνειλημμένοι ἢ ἐκεῖνον ἧκειν, ἐπιστολὴν φέροντες ἧς τὸ κεφάλαιον τῶν γεγραμμένων ἦν μὴ ἐπανιέναι, ὡς πάντων τῷ πατρὶ ἡκόντων εἰς πύστιν, μόνην τε ἂν καταφυγὴν αὐτῷ λιπέσθαι Καίσαρα, καὶ σὺν αὐτῇ τὸ μὴ τῷ πατρὶ ὑποχείριον γενέσθαι. Ἀντιπάτρου δὲ προσπεσόντος τῷ πατρὶ πρὸς τὰ γόνατα, καὶ ἱκετεύοντος μὴ προδιεγνωσμένην καταστῆσαι δίκην, ἀλλ' ἀκροάσεως αὐτοῦ γενομένης παρὰ τῷ πατρὶ ἀκεραίῳ μένειν δυναμένῳ, τοῦτον κελεύσας Ἡρώδης ἀπάγειν εἰς μέσον, αὐτὸς αὐτὸν ὡλοφύρατο τῶν παίδων τῆς ποιήσεως, ἣν ἐπὶ τοιαύταις αὐτῷ τύχαις γενομένην πρότερον ἐκ τῆς δυσμενείας ἀποσπάσασθαι τῶν πρότερον καὶ εἰς Ἀντίπατρον ἐμβαλεῖν αὐ-

Digitized by Google

τοῦ τὸ γῆρας, τροφάς τε καὶ παιδεύσεις ἃς ποιήσαιτο αὐτῶν ἐξηγούμενος, καὶ πλούτου εὐκαιρίαν ἐν καιροῖς ὡς ἐθελήσειαν προτεθεῖσαν εἰς πάντα· ὧν οὐδὲν ἐπ' ἐμποδίσματι γενέσθαι τοῦ μὴ οὐκ ἐπιβουλῇ τῇ ἐκείνων κινδυνεῦσαι τελευτᾶν, ὑπὲρ τοῦ θᾶσσον δυσσεβῶς τὴν βασιλείαν παραλαβεῖν ἢ φύσεως νόμῳ μεταστάντος εὐτῇ τε τοῦ πατρὸς καὶ δίκῃ. τόν τε Ἀντίπατρον θαυμάζειν, τίνων ἐλπίδι ἐπαρθεὶς θαρσήσειεν ἐπὶ τοιαῦτα χωρεῖν μὴ ἀποτραπῆναι. διάδυχον μὲν γὰρ ἀποφήνασθαι διὰ γραμμάτων τῆς ἀρχῆς, ζῶντος δὲ ἐπ' οὐδενὶ μειονεκτεῖν ἀξιώματός τε ἐπιφανείᾳ καὶ δυνάμει ἐξουσίας, πεντήκοντα μὲν τάλαντα ἐπέτειον πρόσοδον κομισάμενον, δωρεὰν δ' εἰληφότα ὁδοῦ τῆς εἰς Ῥώμην τριακοσίων ταλάντων ἀριθμόν. ἐπεκάλει δὲ καὶ τῶν ἀδελφῶν, εἰ μὲν πονηρῶν γεγονότων κατηγορίαν προθεμένῳ, μιμητῇ γεγονότι· εἰ δὲ μή, διὰ κενῆς τοιῶνδε ἐπαγωγὰς ἐπάγοντι αὐτῷ τῶν συγγενῶν. τὰ γὰρ πάντα οὐδαμόθεν ἀλλ' ἢ μηνύσει τῇ ἐκείνου μεμαθηκότα πρᾶξαι τὰ ἐπ' αὐτοῖς πεπραγμένα γνώμῃ τῇ ἐκείνου· οὓς ἀπολύειν κακοῦ παντὸς κληρονόμον τῆς πατροκτονίας αὐτοῖς καθιστάμενον.

ταῦθ' ἅμα λέγων εἰς δάκρυα τρέπεται, λέγειν τε ἄπορος ἦν. καὶ Νικόλαος ὁ Δαμασκηνὸς φίλος τε ὢν τοῦ βασιλέως καὶ τὰ πάντα συνδιαιτώμενος ἐκείνῳ, καὶ τοῖς πράγμασιν ὃν πραχθεῖεν τρόπον παρατετευχώς, δεηθέντι τῷ βασιλεῖ τὰ λοιπὰ εἰπεῖν, ἔλεγεν ὁπόσα ἀποδείξεών τε καὶ ἐλέγχων ἐχόμενα ἦν. καὶ τοῦ Ἀντιπάτρου κατὰ δικαιολογίαν πρὸς τὸν πατέρα τετραμμένου, καὶ ὁπόσα παραδείγματα τῆς εὐνοίας πρὸς αὐτὸν διεξιόντος, τὰς τιμὰς αἳ ὑπῆρχον αὐτῷ προφερόμενος, ἃς μὴ ἄν ποτε γενέσθαι μὴ οὐκ ἀρετῆς ἀξίῳ περὶ αὐτὸν γεγονότι· "καὶ γὰρ ὁπόσα προεῖδεν δεήσειε,

4

Digitized by Google

πάντων προβεβουλευκέναι σωφρόνως, εἴτε τινὰ ἐδεῖτο, χειρῶν πόνῳ τῷ αὐτοῦ ἐκπεπρᾶχθαι τὰ πάντα, εἰκός τε οὐκ εἶναι τῶν ἀλλαχόθεν ἐπιβουλῶν τὸν πατέρα ἐξελόμενον αὐτὸν ἐπιβουλευτὴν καταστῆναι, καὶ ἀφανίζοντα ἀρετὴν ἣν ἐπ' ἐκείνοις ἐμαρτυρεῖτο, κακίᾳ τῇ ἐπὶ τοῖσδε μελλούσῃ συνεῖναι. καίτοι γε τοῦ βασιλεύοντος διάδοχον προαποδεδεῖχθαι, καὶ τοῦ συναπολυσόμενον τιμῶν, αἳ εἰς τὸ παρὸν περιῆσαν, οὐκ ἐπικεκωλῦσθαι, εἰκός τε οὐκ εἶναι τῶν ἁπάντων ἀκινδύνως καὶ μετ' ἀρετῆς ἔχοντα τὴν ἡμίσειαν, μετὰ ψόγων καὶ κινδύνου ἐφίεσθαι τοῦ ὅλου, ἄδηλον εἰ δυνάμενον περιγενέσθαι, καὶ ταῦτα τεθεαμένον τὴν ζημίαν τῶν ἀδελφῶν, καὶ μηνυτὴν μὲν καὶ κατηγορητὴν γενόμενον λανθάνειν δυναμένων, κολαστὴν δέ, ἐπεὶ φανεροὶ κατέστησαν πονηροὶ τὰ πρὸς τὸν πατέρα ὄντες. καὶ τάδε μὲν αὐτῷ τῶν ἐνταῦθα ἠγωνισμένων παραδείγματα εἶναι, τῶν ἀκράτῳ εὐνοίᾳ πρὸς τὸν πατέρα πεπολιτευμένων· τῶν δ' ἐπὶ Ῥώμης μάρτυρα εἶναι Καίσαρα, ἐπ' ἴσης τῷ θεῷ ἀπατηθῆναι μὴ οἷόν τε ὄντα· ὧν πίστιν εἶναι τὰ ὑπ' ἐκείνου γράμματα ἐπεσταλμένα, ὧν οὐ καλῶς ἔχειν ἰσχυροτέρας εἶναι τὰς διαβολὰς τῶν στασιάζειν αὐτοὺς προθεμένων, τὰς πλείους ἀποδημίᾳ τῇ αὐτοῦ συντεθῆναι σχολῆς τοῖς ἐχθροῖς ἐγγενομένης, ἣν οὐκ ἂν αὐτοῖς ἐπιδημοῦντος παραγενέσθαι. διαβάλλοντος δὲ καὶ τὰς βασάνους εἰς ψευδολογίαν, ὡς τῆς ἀνάγκης φύσιν ἐχούσης διδάσκειν τοὺς ὑποπεσόντας ἡδονῇ τὰ πολλὰ τῶν ἐφεστηκότων λέγειν, καὶ παρέχοντος αὐτὸν εἰς βάσανον . . .

ἐπὶ τούτοις τροπῆς τοῦ συνεδρίου γενομένης (σφόδρα γὰρ ᾤκτειραν τὸν Ἀντίπατρον δάκρυσί τε καὶ αἰκίαις τοῦ προσώπου χρώμενον, ὥστε καὶ τοῖς ἐχθροῖς δι' οἴκτου καταστῆναι, φανερὸν δὲ ἤδη καὶ Ἡρῴδην

Digitized by Google

εἶναι καμπτόμενόν τι τῇ γνώμῃ, καίπερ μὴ βουλόμενον ἥδηλον εἶναι), Νικόλαος ἀρξάμενος οἷς τε ὁ βασιλεὺς κατήρξατο λόγοις παλιλλογεῖν μειζόνως ἐκδεινῶν, καὶ ὁπόσα ἐκ βασάνων ἢ μαρτυριῶν συνῆγε τὴν ἀπόδειξιν τοῦ ἐγκλήματος, μάλιστα δὲ τὴν ἀρετὴν ἐπὶ πολὺ ἐξηγεῖτο τοῦ βασιλέως, ᾗ περί τε τροφὰς καὶ παιδεύματα χρησάμενος τῶν υἱέων οὐδαμόθεν εὕροιτο ὀνησιφόρον αὐτήν, περιπταίων ἑτέροις ἀφ' ἑτέρων. καίτοι γε οὐχ οὕτω θαυμάξειν τῶν προτέρων τὴν ἀβουλίαν· νεωτέρους γὰρ καὶ κακίᾳ συμβούλων διεφθαρμένους ἀπαλεῖψαι τὰ τῆς φύσεως δικαιώματα, ἀρχῆς θᾶσσον ἢ χρὴν μεταποιεῖσθαι σπουδάσαντας· Ἀντιπάτρου δ' ἂν δικαίως τὴν μαρίαν καταπλαγῆναι, μὴ μόνον ὑπὸ τοῦ πατρὸς εὐεργετηθέντα τὸν λογισμὸν ὥσπερ τὰ ἰοβόλώτατα τῶν ἑρπετῶν μὴ μαλαχθέντος, καίτοι γε κἀκείνοις τινὸς ἐγγινομένης μαλακίας τοῦ ἀδικεῖν τοὺς εὐεργέτας, ἀλλὰ μηδὲ τὰς τύχας τῶν ἀδελφῶν πρὸς τὸ οὐ μιμητὴν αὐτῶν καταστῆναι τῆς ὠμότητος ἐμποδὼν στήσαντος. "καίτοι γε, ὦ Ἀντίπατρε, τῶν ἀδελφῶν μηνυτής τε ἦν τολμήσειαν αὐτὸς ἦς καὶ ἐρευνητὴς τῶν ἐλέγχων καὶ κολαστὴς πεφωραμένων, καὶ οὐ τοῦ ἐπ' ἐκείνοις ἐγκαλοῦμεν θυμῷ χρῆσθαι μὴ ἐλλείποντος, ἀλλὰ τοῦ μιμεῖσθαι τὴν ἀσέλγειαν αὐτῶν σπουδάσαντος ἐκπεπλήγμεθα, εὑρίσκοντες κἀκεῖνά σοι οὐκ ἐπ' ἀσφαλείᾳ τοῦ πατρὸς ἀλλ' ἐπ' ὀλέθρῳ τῶν ἀδελφῶν πεπραγμένα, ὅπως μισοπονηρίᾳ τῇ κατ' αὐτῶν φιλοπάτωρ εἶναι πεπιστευμένος ἀθεεστέραν ἐπ' αὐτῷ κακουργεῖν παραλάβοις δύναμιν. ὃ δὴ καὶ τοῖς ἔργοις παρέστησας· ἅμα γὰρ καὶ τοὺς ἀδελφοὺς ἀνῄρεις ἐφ' οἷς ἤλεγχες πονηροὺς γεγονότας, καὶ τοὺς ὁμοπραγήσαντας αὐτοῖς οὐχ ὑπεδίδους, φανερὸν τοῖς πᾶσι καθιστὰς ὡς καὶ συνθήκην πρὸς αὐτοὺς κακὰ τοῦ

Digitized by Google

πατρὸς ποιησάμενος ἐπανείλου πατηγορεῖν, βουλόμενός σοι τὴν ἐπιβουλὴν τῆς πατροκτονίας κερδαίνεσθαι κατὰ μόνας, καὶ δυοῖν ἀγώνοιν εὐφροσύνην καρπούμενος τρόπου τοῦ σοῦ ἀξίαν, φανερσῦ μὲν τοῦ κατὰ τῶν ἀδελφῶν, ᾧ καὶ ἠγάλλου ὡς ἐπὶ τοῖς μεγίστοις. καὶ ἦν ἄξιον οὕτω φρονεῖν· εἰ δὲ μή γε, σὺ χείρων ἦς κρυπτὸν δόλον κατὰ τοῦ πατρὸς συντιθείς, ἐκείνους μὲν οὐχ ὡς τῷ πατρὶ ἐπιβεβουλευκότας μισῶν (οὐ γὰρ ἂν ἐξώκειλας αὐτὸς ἐπὶ πρᾶξιν παραπλησίαν) ἀλλ' ὡς διαδόχους τῆς ἡγεμονίας σου δικαιότερον ἂν γενομένους, τὸν δὲ πατέρα ἐπισφάζων τοῖς ἀδελφοῖς, ἵνα θᾶσσον ὡς ἐκείνων ἐπικαταψεύσαιο μὴ ἐλεγχθῇς, καὶ ὧν αὐτὸς δίκας παρασχεῖν ἄξιος γένοιο, ταύτην παρὰ τοῦ δυστυχοῦς εἰσπράξαιο πατρός, ἐπινοῶν πατροκτονίαν οὐ κοινὴν. ἀλλ' οἵαν μέχρι νῦν οὐχ ἱστόρησεν ὁ βίος. οὐχ υἱὸς γὰρ μόνον πατρὶ ἐπεβούλευες, ἀλλὰ καὶ φιλοῦντι καὶ εὐηργετηκότι, κοινωνὸς τῆς βασιλείας ὢν τοῖς ἔργοις καὶ διάδοχος προφανθείς, καὶ τὴν μὲν ἡδονὴν τῆς ἐξουσίας ἤδη προλαμβάνειν μὴ ἐπικεκωλυμένος, ἐλπίδα δὲ τὴν εἰσαῦθις γνώμῃ τοῦ πατρὸς καὶ γράμμασι προησφαλισμένος. ἀλλ' οὐκ ἄρα τῇ Ἡρώδου ἀρετῇ τὰ πράγματα, γνώμῃ δὲ καὶ πονηρίᾳ ἔκρινες τῇ ἑαυτοῦ, βουλόμενος τοῦ πάντων σοι ὑπακούσαντος πατρὸς καὶ τὸ μέρος ἀφαιρεῖσθαι, καὶ ὃν προσεποίου τοῖς λόγοις σώζειν, τοῖς ἔργοις τοῦτον ἀφανίσαι ζητῶν, καὶ μὴ μόνον αὐτὸς πονηρὸς καθιστάμενος, ἀλλὰ καὶ τὴν μητέρα ὧν ἐπενόεις πιμπλάς, καὶ στασιοποιῶν τὴν εὔνοιαν τοῖς ἀδελφοῖς, καὶ τολμῶν θηρίον ἀποκαλεῖν τὸν πατέρα, παντὸς ἑρπετοῦ χαλεπωτέραν τὴν διάνοιαν κατεσκευασμένος, ᾗ τὸν ἐκεῖνον ἰὸν ἐπὶ τοὺς συγγενεστάτους καὶ τοὺς ἐπὶ τοσούτοις εὐεργέτας παρεκάλεις, ἐπὶ συμμαχίαις φυλάκων καὶ τέχναις ἀνδρῶν

Digitized by Google

καὶ γυναικῶν φρασσόμενος κατὰ τοῦ γέροντος, ὥσπερ οὐκ ἀρκούσης σοῦ τῆς διανοίας μῖσος τὸ ὑποικουροῦν παραστῆσαι. καὶ νῦν ἐλήλυθας μετὰ βασάνους ἐλευθέρων, οἰκετῶν, ἀνδράσι καὶ γυναιξὶ διὰ σὲ γεγονυίας, μηνύσεις τῶν συνωμοτῶν, ἀντιλέγειν τῇ ἀληθείᾳ σπεύδων, καὶ οὐχὶ μόνον τὸν πατέρα ἀναιρεῖν μεμελετηκὼς ἐκ τοῦ ἀνθρωπείου βίου, ἀλλ' ἤδη καὶ νόμον τὸν κατὰ σοῦ γεγραμμένον, καὶ τὴν ἀρετὴν τοῦ Ὄαρου, καὶ τοῦ δικαίου τὴν φύσιν. οὕτως ἄρα τῇ ἀναιδείᾳ πέποιθας ὥστε καὶ βασανίζεσθαι ἀξιοῖς, καὶ ψευδεῖς λέγων τὰς βασάνους τῶν προβεβασανισμένων, ἵν' οἱ μὲν ῥυόμενοί σου τὸν πατέρα ἐκκρουσθῶσι τοῦ ἠληθευκέναι, αἱ δὲ καὶ βάσανοι δοκῶσι πισταί. οὐ ῥύσῃ, Ὄαρε, τὸν βασιλέα τῆς ἐπηρείας τῶν συγγενῶν, οὐδὲ ἀπολεῖς πονηρὸν θηρίον, ἐπ' ὀλέθρῳ μὲν τῶν ἀδελφῶν εὔνοιαν προσποιούμενον τοῦ πατρός, ἔνθα δὲ μέλλοι κατὰ μόνας ταχέως ἀποίσεσθαι τὴν βασιλείαν, πάντων αὐτῷ θανασιμώτατον ἀναφαινόμενον, γνοὺς ὅτι πατροκτονία κοινὸν ἐστιν ἀδίκημα καὶ τῆς φύσεως καὶ τοῦ βίου, ἣν πεφηνυίαν οὐδὲν ἧσσον τοῦ βεβουλευμένου καὶ ὁ μὴ πολάζων ἀδικεῖ τὴν φύσιν."

προσετίθει δὲ ἤδη τὰ τῆς μητρὸς Ἀντιπάτρου, ὁ- 6
πόσα πρός τινας ἦν κουφολογίᾳ γυναικείῳ εἰρημένα, μαντείας τε καὶ θυσίας ἐπὶ τῷ βασιλεῖ γεγονυίας, καὶ ὁπόσα μετὰ τῶν Φερώρα γυναικῶν Ἀντιπάτρῳ ἠσέλγητο μετὰ οἴνου καὶ λύμης ἐρωτικῆς, τῶν τε βασάνων τὰς ἀνακρίσεις καὶ ὁπόσα μαρτυριῶν ἐχόμενα. πολλὰ δὲ καὶ παντοῖα ἦν τὰ μὲν προητοιμασμένα, τὰ δὲ πρὸς τοῦ ὀξέως ἀπαγγέλλεσθαί τε καὶ βεβαιοῦσθαι ἐφευρημένα. οἱ γὰρ ἄνθρωποι κἂν εἴ τι κατὰ φόβον τοῦ Ἀντιπάτρου, μὴ διαδρᾶς ἀμύνοιτο αὐτούς, σιγῇ παρεδίδοσαν, ὁρῶντες αὐτὸν ἐπιβατὸν ταῖς κατηγορίαις τῶν ἀρ-

Digitized by Google

ξάντων γεγονότα καὶ τήν ποτε πολλὴν αὐτῷ συστᾶσαν τύχην προφανῶς αὐτὸν τοῖς ἐχθροῖς παραδεδωκυῖαν, [οἳ] καὶ ἁπλήστως μίσους τοῦ πρὸς αὐτὸν ἐνεφοροῦντο. κατέσπευδε δὲ τοῦτο οὐ τοσοῦτον ἔχθρᾳ τῶν ἐπικειρηκότων κατηγορεῖν ὡς μεγέθει τόλμης ὧν ἐπενόησε κακιῶν, καὶ δυσμενείας τῆς πρὸς τὸν πατέρα καὶ τοὺς ἀδελφούς, στάσεως καὶ ἀλληλοφθοριῶν ἀναπεπληκως τὸν οἶκον, καὶ μήτε μίσει κατὰ δίκην μήτε φιλίᾳ δι' εὔνοιαν χρώμενος, ἀλλ' ὡς μελλήσοι αὐτῷ συμφέρειν. ὧν ἁπάντων ἐκ πλέονος αὐτοῖς οἱ πολλοὶ προανεσκοπημένδι, οἵπερ δὴ μάλιστα ἀρετῇ κρίνειν πεφύκασιν ἐπὶ τοῖς πράγμασι διὰ τὸ καὶ ὀργῆς ἀπηλλαγμένους ἐπιψηφίζειν τοῖς γιγνομένοις, καταβοὰς ἐν τοῖς πρὶν εἰρχθέντες ποιεῖσθαι, παραγενομένης ἀδείας ἐξέφερον εἰς μέσον ὁπόσα εἰδεῖεν. πολύτροποί τε κακιῶν ἀποδείξεις ἦσαν, σὺδαμόθεν ψεύδους αἰτίαν ἐγκαλεῖσθαι δυνάμεναι διὰ τὸ μήτε εὐνοίᾳ τῇ πρὸς Ἡρώδην λέγειν τοὺς πολλούς, μήτε ὑποψίᾳ κινδύνων σιγῆς ἐφ' οἷς ἔχοιεν εἰπεῖν ἐγκαλουμένης, ἀλλὰ τῷ πονηρά τε ἡγεῖσθαι τὰ πράγματα, καὶ τὸν Ἀντίπατρον οὐκ ἀσφαλείᾳ τῇ Ἡρώδου πονηρίᾳ δὲ τῇ αὐτοῦ πάσης ἄξιον τιμωρίας. πολλά τε ἦν καὶ παρὰ πολλῶν οἷς μὴ παρήγγελτο εἰπεῖν ἀγορευόμενα, ὥστε τὸν Ἀντίπατρον, καίπερ ἐπὶ πλεῖστον πάντα δεινότατον ὄντα ψεύσασθαι καὶ ἀπερυθριᾶσαι, μηδὲ ὅσον ἀπὸ φωνῆς ἐπ' ἀντιλέξει τὴν ἰσχὺν εἰσφέρεσθαι.

Νικολάου δὲ παυσαμένου τῶν τε λόγων καὶ τῶν ἐλέγχων, Βᾶρος ἐκέλευσεν Ἀντίπατρον ἐπ' ἀπολογίαν τῶν ἐγκλημάτων χωρεῖν, εἴ τινες αὐτῷ παρασπευαὶ τοῦ μὴ ἐνόχῳ τοῖς ἐπιφερομένοις εἶναι· καὶ γὰρ αὐτὸς εὔχεσθαι, καὶ τὸν πατέρα εἰδέναι τῶν ὁμοίων εὐχόμενον, μηδὲν αὐτὸν ἀδικοῦντα φωρᾶν. ὃ δ' ἐπὶ στόμα

Digitized by Google

κειτο ἀνατετραμμένος, τῷ τε θεῷ καὶ πᾶσι προστιθεὶς τὸ ἐπιμαρτυρῆσαι αὐτῷ μηδὲν ἀδικεῖν, ἢ τεκμηρίοις ἐμφανέσι παραστῆσαι μὴ οὐκ ἐπίβουλον αὐτὸν τοῦ πατρὸς γεγονέναι. εἰωθότες μὲν καὶ πάντες οἷς ἐπιλείπει ἀρετῆς, ὁπότε μὲν ἐγχειρηταὶ τινῶν κακῶν εἶεν, τοῦ θείου τὸ πᾶσι παρατυγχάνειν ἀφορίσαντες γνώμῃ τῇ αὐτῶν ἐπὶ τὰ ἔργα χωρεῖν, ὁπότε δὲ φωρώμενοι κινδυνεύοιεν δίκην ὑποσχεῖν, κατ' ἐπίκλησιν αὐτοῦ μαρτύρεῖν τὰ πάντα ἐκτρέπειν. ὃ δὴ καὶ τῷ Ἀντιπάτρῳ συμβεβήκει· τὰ πάντα γὰρ ὡς ἐν ἐρημίᾳ τοῦ θείου διακεπραγμένος, κατειργούσης αὐτὸν πανταχόθεν τῆς δίκης ἀπορίᾳ τῶν ἀλλαχόθεν δικαιωμάτων, οἷς ἀπολύσαιτο τὰ ἐγκεκλημένα, αὖθις ἐνεπαρῴνει τῇ ἀρετῇ τοῦ θείου, μαρτυρίαν ἐπισκήπτων αὐτῷ ὅτιπερ ἰσχύι τῇ ἐκείνου περισέσωστο, εἰς μέσους παραγαγόντος ὁπόσα περὶ τῷ πατρὶ πράσσειν τολμᾶν οὐκ ἐνέλιπεν.

ὁ δὲ Ὄθρος ἐπειδὴ πολλάκις ἀνακρίνων τὸν Ἀντίπατρον οὐδὲν εὑρίσκετο πλέον τῆς ἀνακλήσεως τοῦ θεοῦ, ὁρῶν ἀπέραντον ὂν τὸ γινόμενον, ἐκέλευσε τὸ φάρμακον εἰς μέσους ἐνεγκεῖν, ἵν' εἰδῇ τὴν περιοῦσαν αὐτῷ δύναμιν. καὶ κομισθέντος, τῶν ἐπὶ θανάτῳ τις ἐλαφοτόνων πίνει κελεύσαντος Ὄθρου, καὶ παραχρῆμα ἔθανε. τότε δ' ἐξαναστὰς ἀπῆει τοῦ συνεδρίου, καὶ τῇ ἑξῆς ἐπ' Ἀντιοχείας, οὗπερ δὴ καὶ τὸ πλεῖστον ἦσαν αὐτῷ αἱ διατριβαὶ διὰ τὸ Σύροις τοῦτο βασίλειον εἶναι. Ἡρῴδης δὲ παραχρῆμα μὲν ἔδησε τὸν υἱόν, ἄδηλοι δὲ τοῖς πολλοῖς ἦσαν αἱ Ὄθρου πρὸς αὐτὸν ὁμιλίαι καὶ τί εἰπὼν ἀπελήλυθει· εἰκάζετο δὲ τοῖς πολλοῖς γνώμῃ τῇ ἐκείνου πράσσειν ὁπόσα περὶ τὸν Ἀντίπατρον ἔπραξεν. δήσας δὲ αὐτόν, εἰς Ῥώμην ὡς Καίσαρα ἐκπέμπει γράμματα περὶ αὐτοῦ, καὶ τοὺς ἀπὸ γλώσσης διδάξοντας τὸν Καίσαρα τὴν κακίαν τοῦ Ἀντιπάτρου. ἀλίσκε-

Digitized by Google

ται δὲ ὑπὸ τὰς αὐτὰς ἡμέρας καὶ ἐπιστολὴ ὑπὸ Ἀντιφίλου πρὸς Ἀντίπατρον γεγραμμένη (ἐν Αἰγύπτῳ δὲ αὐτὸς διέτριβε), καὶ λυθεῖσα ὑπὸ τοῦ βασιλέως τάδε ἐδήλου. "Ἔπεμψά σοι τὴν παρ' Ἀκμῆς ἐπιστολήν, μὴ φεισάμενος τῆς ἐμῆς ψυχῆς· οἶσθα γὰρ ὅτι αὖθις κινδυνεύω ὑπὸ δύο οἰκιῶν εἰ γνωσθείην. σὺ δ' εὐτυχοίης περὶ τὸ πρᾶγμα." καὶ ἡ μὲν ἐπιστολὴ τάδε ἐδήλου, ἐζήτει δὲ ὁ βασιλεὺς καὶ τὴν ἑτέραν ἐπιστολήν· οὐ μὴν φανερά γε ἦν, καὶ ὁ τοῦ Ἀντιφίλου δοῦλος, ὃς τὴν ἀναγνωσθεῖσαν ἔφερεν, ἠρνεῖτο ἑτέραν παραλαβεῖν. ἀπορίας οὖν ἐχούσης τὸν βασιλέα, τῶν φίλων τις τῶν τοῦ Ἡρώδου θεώμενος ὑπερραμμένον τοῦ δούλου τὸν ἐντὸς χιτῶνα (ἐνεδεδύκει γὰρ δύο) εἰκασεν ἐντὸς τῆς ἐπιπτυχῆς κρύπτεσθαι τὰ γράμματα. καὶ ἦν δὲ οὕτως. λαμβάνουσιν οὖν τὴν ἐπιστολήν, ἐγγεγραμμένα τε ἦν ἐν αὐτῇ τάδε. "Ἀκμὴ Ἀντιπάτρῳ. ἔγραψα τῷ πατρί σου οἵαν ἤθελες ἐπιστολήν, καὶ ἀντίγραφον ποιήσασα τῇ πρὸς τὴν ἐμὴν κυρίαν ὡς παρὰ Σαλώμης ἔγραψα· ἣν ἀναγνοὺς οἶδ' ὅτι τιμωρήσεται Σαλώμην ὡς ἐπίβουλον." ἦν δὲ ἡ παρὰ τῆς Σαλώμης δοκοῦσα εἶναι πρὸς τὴν δέσποιναν αὐτῆς, ὑπ' Ἀντιπάτρου ἐπ' ὀνόματι τῷ Σαλώμης, ὅσα γοῦν ἡ διάνοια θέλοι, ὑπηγορευμένη, λέξει δὲ συνέκειτο αὐτῆς. τὰ δὲ γεγραμμένα ἦν τοιάδε. "Ἀκμὴ βασιλεῖ Ἡρώδῃ. ἐγὼ ἔργον ποιουμένη μηδέν σε λανθάνειν τῶν κατὰ σοῦ γινομένων, εὑροῦσα ἐπιστολὴν Σαλώμης πρὸς τὴν ἐμὴν κυρίαν κατὰ σοῦ γεγραμμένην ἐπικινδύνως ἐμαυτῇ σοὶ δὲ ὠφελίμως ἐξεγραψάμην καὶ ἀπέστειλά σοι. ταύτην δὲ ἐκείνη ἔγραψε γήμασθαι Συλλαίῳ θέλουσα. κατάσχισον οὖν τὴν ἐπιστολήν, ἵνα μὴ κἀγὼ τὸ ζῆν κινδυνεύσω." πρὸς δὲ αὐτὸν ἐγέγραπτο Ἀντίπατρον, διασαφούσης ὅτι διακονουμένη κελεύσματι τῷ ἐκείνου

Digitized by Google

αὐτή τε γράψειε πρὸς Ἡρώδην ὡς Σαλώμης ἐπιβουλῶς αὐτῷ πράσσειν ἐπειγομένης τὰ πάντα, καὶ ἀντίγραφον τῆς ὡς πρὸς δέσποιναν τὴν αὐτῆς πεμφθείσης ἐπιστολῆς ἀπὸ Σαλώμης ἀποπέμψειεν αὐτή. ἦν δὲ ἡ Ἄκμὴ Ἰουδαία μὲν τὸ γένος, ἐδούλευε δὲ Ἰουλίᾳ τῇ Καίσαρος γυναικί, καὶ ἔπρασσε ταῦτα φιλίᾳ τῇ Ἀντιπάτρου, ὠνηθεῖσα ὑπ' αὐτοῦ μεγάλῃ δόσει χρημάτων συγκακουργεῖν κατά τε τοῦ πατρὸς καὶ κατὰ τῆς τηθίδος.

Ἡρώδης δὲ ἐκπλαγεὶς μεγέθει τῆς Ἀντιπάτρου κα- 8
κίας, ὥρμησε μὲν καὶ παραχρῆμα αὐτὸν ἀνελεῖν ὡς πύκηθρον μεγάλων γεγονότα πραγμάτων, καὶ μὴ μόνον αὐτῷ ἀλλὰ καὶ τῇ ἀδελφῇ ἐπιβεβουλευκότα καὶ τοῦ Καίσαρος διεφθαρκότα τὴν οἰκίαν. ἐξώτρυνε δὲ αὐτὸν καὶ ἡ Σαλώμη, στερνοτυπουμένη καὶ κτείνειν αὐτὴν κελεύουσα, εἴ τινος ἐπὶ τοιοῖσδε πίστεως αἰτίαν ἀξιόχρεων οἷα τε παρασχεῖν γένοιτο. Ἡρώδης δὲ μεταπέμψας ἀνέκρινε τὸν υἱόν, κελεύων, εἴ τι ἀντειπεῖν ἔχει, λέγειν μηδὲν ὑπιδόμενον. ἐπεὶ δὲ ἀχανὴς ἦν, ἤρετο αὐτόν, ἐπειδὴ πανταχοῦ πεφώραται πονηρὸς ὤν, τοὺς γοῦν συγκακουργήσαντας αὐτῷ τὰ πράγματα μὴ μελλῆσαι κατειπεῖν. ὁ δὲ Ἀντιφίλῳ τὴν πάντων αἰτίαν ἀνετίθει, ἕτερον δ' οὐδένα προυτίθει. Ἡρώδης δὲ περιαλγῶν ὥρμησε μὲν πέμπειν ἐπὶ Ῥώμης τὸν υἱὸν ὡς Καίσαρα, λόγον ὑφέξοντα τῶν ἐπὶ τοῖσδε βουλευμάτων· ἔπειτα δείσας μὴ καὶ βοηθείᾳ τῶν φίλων εὑρίσκοιτο τοῦ κινδύνου διαφυγήν, αὐτὸν μὲν δέσμιον ὡς καὶ πρότερον ἐφύλασσεν, αὖθις δὲ πρέσβεις ἐξέπεμψε καὶ γράμματα ἐπὶ κατηγορίᾳ τοῦ υἱέος, ὁπόσα τε Ἄκμὴ συγκακουργήσειεν αὐτῷ, καὶ ἀντίγραφα τῶν ἐπιστολῶν.

καὶ οἱ μὲν πρέσβεις ἐπὶ τῆς Ῥώμης ἠπείγοντο, ὁ- 6

Digitized by Google

πόσα τε ἀνακρινομένους δεῆσοι λέγειν προσκιδαχθέντες καὶ τὰ γράμματα φέροντες· εἰς νόσον δὲ ὁ βασιλεὺς ἐμπεσὼν διαθήκας γράφει, τῷ νεωτάτῳ τῶν υἱῶν τὴν βασιλείαν διδοὺς μίσει τῷ πρὸς τὸν Ἀρχέλαον καὶ Φίλιππον ἐκ τῶν Ἀντιπάτρου διαβολῶν, Καίσαρί τε χρήματα ταλάντων χιλίων, καὶ γυναικὶ Ἰουλίᾳ τῇ Καίσαρος καὶ τέκνοις καὶ φίλοις καὶ ἀπελευθέροις Καίσαρος πεντακοσίων. ἔνεμε δὲ καὶ τοῖς υἱέσι χρήματα καὶ προσόδους καὶ ἀγροὺς καὶ υἱέσι τοῖς ἐκείνων· Σαλώμην τε ἐπὶ μέγα ἐπλούτιζε τὴν ἀδελφήν, εὔνουν τε αὐτῷ ἐν πᾶσι διαμεμενηκυῖαν καὶ μηδαμόθι θρασυνομένην κακουργεῖν. ἀπεγνωκὼς δὲ περιοίσειν (καὶ γὰρ περὶ ἔτος ἑβδομηκοστὸν ἦν) ἐξηγρίωτο ἀκράτῳ τῇ ὀργῇ καὶ πικρίᾳ εἰς πάντας χρώμενος· αἴτιον δὲ ἦν δόξα τοῦ καταφρονεῖσθαι καὶ ἡδονῇ τὰς τύχας αὐτοῦ τὸ ἔθνος φέρειν, ἄλλως τε ἐπειδή τινες τῶν δημοτικωτέρων ἀνθρώπων καὶ ἐπανέστησαν αὐτῷ διὰ τοιαύτην αἰτίαν.

2 ἦν Ἰούδας ὁ Σαριφαίου καὶ Ματθίας ὁ Μαργαλώθου Ἰουδαίων λογιώτατοι καὶ παρ' οὐστινασοῦν τῶν πατρίων ἐξηγηταὶ νόμων, ἄνδρες καὶ δήμῳ προσφιλεῖς διὰ παιδείαν τοῦ νεωτέρου (ὀσημέραι γὰρ διημέρευον αὐτοῖς πάντες οἷς προσποίησις ἀρετῆς ἐπετηδεύετο), οἳ τότε πυνθανόμενοι τοῦ βασιλέως τὴν νόσον θεραπεύειν ἄπορον οὖσαν, ἐξῆραν τὸ νεώτερον ὥστε, ὁπόσα παρὰ τὸν νόμον τὸν πάτριον κατεσκεύαστο ἔργα ὑπὸ τοῦ βασιλέως, ταῦτα καθελόντας εὐσεβείας ἀγωνίσματα παρὰ τῶν νόμων φέρεσθαι· καὶ γὰρ δὴ διὰ τὴν τόλμαν αὐτῶν, παρ' ἃ διηγόρευεν ὁ νόμος, τῆς ποιήσεως τά τε ἄλλα αὐτῷ συντυχεῖν οἷς παρὰ τὸ εἰωθὸς τοῦ ἀνθρώπου διετρίβη, καὶ δὴ καὶ τὴν νόσον. ἦν γὰρ τῷ Ἡρώδῃ τινὰ πραγματευθέντα παρὰ τὸν νόμον, ἃ

Digitized by Google

δὴ ἐπεκάλουν οἱ περὶ τὸν Ἰούδαν καὶ Ματθίαν. κατεσευάκει γὰρ ὁ βασιλεὺς ὑπὲρ τοῦ πυλῶνος τοῦ μεγάλου τοῦ ναοῦ ἀνάθημα καὶ λίαν πολυτελές, ἀετὸν χρύσεον μέγαν· κωλύει δὲ ὁ νόμος εἰκόνων τε ἀναστάσεις ἑαυτοῖν καὶ τινῶν ζῴων ἀναθέσεις ἐπιτηδεύεσθαι τοῖς βιοῦν κατ' αὐτὸν προῃρημένοις. ὥστε ἐκέλευον οἱ σοφισταὶ τὸν ἀετὸν κατασπᾶν· καὶ γὰρ εἴ τις ἂν γένοιτο κίνδυνος τῶν εἰς θάνατον ἀνακειμένων, πολὺ τῆς ἐν τῷ ζῆν ἡδονῆς λυσιτελεστέραν φαίνεσθαι τὴν προστιθεμένην ἀρετὴν ὑπ' αὐτοῦ τοῖς ἐπὶ σωτηρίᾳ καὶ φυλακῇ τοῦ πατρίου μελλήσουσι τελευτᾶν, διὰ τὸ ἀίδιον τοῦ ἐπαινεῖσθαι φήμην κατασκευασαμένους ἔν τε τοῖς νῦν ἐπαινεθήσεσθαι καὶ τοῖς ἐσομένοις ἀειμνημόνευτον καταλιπεῖν τὸν βίον. καίτοι γε τοῖς ἀκινδύνως διαιτωμένοις ἄφυκτον εἶναι τὴν συμφοράν, ὥστε καλῶς ἔχειν τοῖς ἀρετῆς ὀριγνωμένοις τὸ κατεψηφισμένον αὐτῶν μετ' ἐπαίνων καὶ τιμῶν δεχομένοις ἀπιέναι τοῦ βίου. φέρειν δὲ καὶ κούφισιν πολλὴν τὸ ἐπὶ καλοῖς ἔργοις, ὧν μνηστῆρα τὸν κίνδυνον εἶναι, τελευτᾶν, καὶ ἅμα υἱέσι τοῖς αὐτῶν, καὶ ὁπόσοι τοῦ συγγενοῦς καταλείποιντο ἄνδρες ἢ γυναῖκες, καὶ τοῖσδε περιποιῆσαι ὄφελος εὐκλείᾳ τῇ ἀπ' αὐτῶν.

καὶ οἱ μὲν τοιούτοις λόγοις ἐξῆραν τοὺς νέους, 3
ἀφικνεῖται δὲ λόγος εἰς αὐτοὺς τεθνάναι φράζων τὸν βασιλέα, καὶ συνέπραττε τοῖς σοφισταῖς. καὶ μέσης ἡμέρας ἀνελθόντες κατέσπων τε καὶ πελέκεσιν ἐξέκοπτον τὸν ἀετόν, πολλῶν ἐν τῷ ἱερῷ διατριβόντων. καὶ ὁ στρατηγὸς τοῦ βασιλέως (ἀγγέλλεται γὰρ ἡ ἐπιχείρησις πρὸς αὐτόν) ἀπὸ μείζονος διανοίας ἢ ἐπράσσετο ὑπολαβὼν ἄνεισι χεῖρα πολλὴν ἐπαγόμενος, ὁπόσοι ἀνθέξοιεν τῷ πλήθει τῶν πειρωμένων καθαιρεῖν τὸ ἀνάθημα· ἐπιπεσών τε μὴ προσδεχομένοις, ἀλλ' ὁποῖα

Digitized by Google

ὄχλος φιλεῖ, δόξῃ μᾶλλον ἀμαθεῖ ἢ προνοίᾳ ἀσφαλεῖ τετολμηκόσιν, ἀσυντάκτοις τε καὶ μηδὲν τοῦ ὀνήσοντος προνενοσκοπημένοις, τῶν τε νέων οὐκ ἐλάσσους τεσσαράκοντα ἀνδρῶν, οἳ θάρσει ἕμενον ἐπιόντα εἰς φυγὴν τοῦ λοιποῦ πλήθους καταστάντος, συλλαμβάνει, καὶ τοὺς εἰσηγητὰς τοῦ τολμήματος Ἰούδαν καὶ Ματθίαν, ἄδοξον ἡγουμένους ὑποχωρεῖν τὴν ἔφοδον αὐτοῦ, καὶ ἀνήγαγεν ἐπὶ τὸν βασιλέα. ἐρομένου δέ, ἐπεὶ ἀφίκοντο ἐπ' αὐτόν, τοῦ βασιλέως εἰ τολμήσειαν αὐτοῦ τὸ ἀνάθημα καθελεῖν, "ἀλλὰ καὶ πεφρόνηταί γε ἡμῖν τὰ φρονηθέντα καὶ πέπρακται τὰ πεπραγμένα μετ' ἀρετῆς ἀνδράσι πρεπωδεστάτης. τοῦ τε γὰρ θείου τῇ ἀξιώσει πεπιστευμένα βεβοήθηται ὑφ' ἡμῶν, καὶ τοῦ νόμου τῇ ἀκροάσει πεφροντισμένα· θαυμαστόν τε οὐδὲν εἰ τῶν σῶν δογμάτων ἀξιωτέρους τηρεῖσθαι ἡγήμεθα τοὺς νόμους, οὓς Μωϋσῆς ὑπαγορεύσει καὶ διδαχῇ τοῦ θεοῦ γραψάμενος κατέλιπεν. ἡδονῇ τε τὸν θάνατον οἴσομεν καὶ τιμωρίαν ἥντινα ἐπιβάλοις, διὰ τὸ μὴ ἐπ' ἀδίκοις ἔργοις ἀλλὰ φιλίᾳ τοῦ εὐσεβοῦς μέλλειν συνείσεσθαι τὸ ἐφομιλῆσαν αὐτοῦ." καὶ οἳ μὲν ταῦτα πάντες ἔλεγον, οὐδὲν ἐλλιπεστέρᾳ τῇ τόλμῃ τοῦ λόγου χρώμενοι, ἢ θαρσήσαντες τὸ ἔργον πράττειν οὐκ ἀπετράποντο· βασιλεὺς δὲ αὐτοὺς καταδήσας ἐξέπεμπεν εἰς Ἰεριχοῦντα, καλέσας Ἰουδαίων τοὺς ἐν τέλει. καὶ παραγενομένων ἐκκλησιάσας εἰς τὸ αὐτὸ θέατρον, ἐπὶ κλινιδίου κείμενος ἀδυναμίᾳ τοῦ στῆναι, τῶν ἀγωνιῶν τε ἐφ' ὅσον δή τινες ἦσαν ἐπ' αὐτοὺς γεγονυῖαι ἀνηριθμεῖτο, καὶ τοῦ ναοῦ τὴν κατασκευὴν ὡς μεγάλοις τέλεσι τοῖς αὐτοῦ γένοιτο, μὴ δυνηθέντων ἔτεσιν ἑκατὸν εἴκοσι πέντε τῶν Ἀσαμωναίου, ἐν οἷς ἐβασίλευον, τοιόνδε τι ἐπὶ τιμῇ πρᾶξαι τοῦ θεοῦ· κοσμῆσαι δὲ καὶ ἀναθήμασιν ἀξιολόγοις, ἀνθ' ὧν ἐλπίδα μὲν αὐτῷ γε-

Digitized by Google

νέσθαι κἂν μεθ' ὃ θάνοι καταλελείψεσθαι μνήμην τε αὐτοῦ καὶ εὔκλειαν. κατεβόα τε ἤδη διότι μηδὲ ζῶντα ὑβρίζειν ἀπόσχοιντο εἰς αὐτόν, ἀλλ' ἡμέρας τε καὶ ἐν ὄψει τῆς πληθύος ὕβρει χρωμένους ἄψασθαι τῶν ὑπ' αὐτοῦ ἀνακειμένων, καὶ καθαίρεσιν ὑβρίζοντας πεποιῆσθαι λόγῳ μὲν εἰς αὐτόν, ἀληθείᾳ δέ, εἴ τις ἐξετάζοι τὸ γεγονός, ἱεροσυλοῦντας.

οἳ δὲ διὰ τὴν ὠμότητα αὐτοῦ, μὴ δὴ καὶ κατ' αὐτῶν ἐξαγριώσας εἰσπράττοιτο τιμωρίαν, οὔτε γνώμῃ ἔφασαν αὐτὰ πεπρᾶχθαι τῇ αὐτῶν, φαίνεσθαί τε αὐτοῖς οὐκ ἀπηλλαγμένα κολάσεως αὐτὰ εἶναι. ὃ δὲ τοῖς μὲν ἄλλοις πραοτέρως ἔσχεν, Ματθίαν δὲ τὸν ἀρχιερέα παύσας ἱεράσθαι ὡς αἴτιον τοῦ μέρους τούτων γεγονότα, καθίστα Ἰώζαρον ἀρχιερέα, ἀδελφὸν γυναικὸς τῆς αὐτοῦ. ἐπὶ δὲ τοῦ Ματθίου τούτου ἱερωμένου συμβαίνει καὶ ἕτερον ἀρχιερέα καταστῆναι πρὸς μίαν ἡμέραν, ἣν Ἰουδαῖοι νηστείαν ἄγουσιν. αἰτία δέ ἐστιν ἥδε. ὁ Ματθίας ἱερώμενος ἐν νυκτὶ τῇ φερούσῃ εἰς ἡμέραν ἣ ἡ νηστεία ἐνίστατο, ἔδοξεν ἐν ὀνείρατι ὠμιληκέναι γυναικί· καὶ διὰ τόδε οὐ δυναμένου ἱερουργεῖν, Ἰώσηπος ὁ τοῦ Ἐλλήμου συνιεράσατο αὐτῷ, συγγενὴς ὤν. Ἡρῴδης δὲ τόν τε Ματθίαν ἐπεπαύκει τῆς ἀρχιερωσύνης, καὶ τὸν ἕτερον Ματθίαν, ὃς ἐγηγέρκει τὴν στάσιν, καὶ ἄνδρας ἐκ τῶν ἑταίρων αὐτοῦ ἔκαυσε ζῶντας. καὶ ἡ σελήνη δὲ τῇ αὐτῇ νυκτὶ ἐξέλιπεν. 4

Ἡρῴδῃ δὲ μειζόνως ἡ νόσος ἐνεπικραίνετο, δίκην ὧν παρανομήσειεν ἐκπρασσομένου τοῦ θεοῦ. πῦρ μὲν γὰρ μαλακὸν ἦν, οὐχ ὧδε πολλὴν ἀποσημαῖνον τοῖς ἐπαφωμένοις τὴν φλόγωσιν ὁπόσην τοῖς ἐντὸς προσείθει τὴν κάκωσιν, ἐπιθυμία δὲ δεινὴ τοῦ δέξασθαί τι ἀπ' αὐτοῦ· οὐ γὰρ ἦν μὴ οὐχ ὑπουργεῖν· καὶ ἑλκώσεις τῶν τε ἐντέρων, καὶ μάλιστα τοῦ κώλου δειναὶ 5

Digitized by Google

ἀλγηδόνες, καὶ φλέγμα ὑγρὸν περὶ τοὺς πόδας· καὶ διαυγές. παραπλησία δὲ καὶ περὶ τὸ ἧτρον κάκωσις ἦν, ναὶ μὴν καὶ τοῦ αἰδοίου σῆψις σκώληκας ἐμποιοῦσα, πνεύματός τε ὀρθία ἔντασις, καὶ αὕτη λίαν ἀηδὴς ἀχθηδόνι τε τῆς ἀποφορᾶς καὶ τῷ πυκνῷ τοῦ ἄσθματος. σπασμός τε περὶ πᾶν ἦν μέλος, ἰσχὺν οὐχ ὑπομενητὴν προστιθέμενος. ἐλέγετο οὖν ὑπὸ τῶν θειαζόντων, καὶ οἷς ταῦτα προαποφθέγγεσθαι σοφίᾳ προύκειτο, ποινὴν τοῦ πολλοῦ δυσσεβοῦς ταύτην ὁ θεὸς εἰσπράσσεσθαι παρὰ τοῦ βασιλέως. ὃ δέ, καίπερ δὴ μειζόνως ἢ ἀντίσχοι ἄν τις ταλαιπωρούμενος, ἐν ἐλπίδι τοῦ ἀνασφαλοῦντος ἦν, ἰατρούς τε μεταπέμπων, καὶ ὁπόσα ἀρωγὰ ὑπαγορεύσειαν χρῆσθαι μὴ ἀποτετραμμένος. ποταμόν τε περάσας Ἰορδάνην θερμοῖς τοῖς κατὰ Καλλιρρόην αὐτὸν παρεδίδου, ἅπερ σὺν τῇ ἐς πάντ' ἀρετῇ καὶ πότιμα ἐστίν· ἔξεισι δὲ τὸ ὕδωρ τοῦτο εἰς λίμνην τὴν ἀσφαλτοφόρον λεγομένην. κἀνταῦθα τοῖς ἰατροῖς δοκῆσαν ὥστε ἀναθάλπειν αὐτόν, καθεσθεὶς εἰς πύελον ἐλαίου πλέων δόξαν μεταστάσεως ἐνεποίησεν αὐτοῖς. τῶν δὲ οἰκετῶν οἰμωγῇ χρωμένων περιενεγκών, καὶ μηδ' ἥντινα ἀμφὶ τοῦ σωθησομένου ἐλπίδα ἔχων, τοῖς στρατιώταις ἀνὰ πεντήκοντα δραχμὰς ἑκάστῳ κελεύει νεμηθῆναι. πολλὰ δὲ καὶ τοῖς ἡγεμόσιν αὐτῶν καὶ φίλοις τοῖς αὐτοῦ ἐδωρεῖτο. καὶ παρῆν αὖθις ἐπὶ Ἱεριχοῦντος· μέλαινά τε χολὴ αὐτὸν ἦρει ἐπὶ πᾶσιν ἐξαγριαίνουσα, ὥστε ἤδη τελευτῶν πρᾶξιν τοιάνδε ἐπινοεῖν. ἀφικομένων προστάγματι τῷ αὐτοῦ Ἰουδαίων ἀνδρῶν παντὸς τοῦ ἔθνους ὅπου ποτὲ ἀξιολόγων (πολλοὶ δὲ ἐγένοντο ὡς τοῦ παντὸς ἔθνους κατακεκλημένου, καὶ πάντων ἀκροασαμένων τοῦ διατάγματος· εἰς γὰρ θάνατον ἦν ἀνακείμενα τοῖς ἀλογήσασι τῶν ἐντολῶν), ἐμμαινομένου πᾶσι τοῦ βασιλέως ὁμοίως τοῖς τε ἀναι-

Digitized by Google

τίοις καὶ παρεσχηκόσιν αἰτίαν, συγκλείσας αὐτοὺς πάντας ἐν τῷ ἱπποδρόμῳ, τήν τε ἀδελφὴν αὐτοῦ Σαλώμην καὶ τὸν ἄνδρα αὐτῆς Ἀλεξᾶν μεταπέμψας, τεθνήξεσθαι μὲν οὐ πόρρω ἔλεγεν, ἐπὶ τοσόνδε τῶν ἀλγηδόνων αὐ-
5 τὸν περιεχουσῶν, καὶ τόδε μὲν οἰστόν τε καὶ πᾶσι φίλον παρατυγχάνειν, τὸ δὲ ὁλοφυρμῶν τε ἄπειρον καὶ πένθους ἐνδεᾶ ὁποῖον ἐπὶ βασιλεῖ πράσσοιτο ἄν, μάλιστα αὐτῷ λυπηρὸν εἶναι. οὐ γὰρ ἀπὸ σκοποῦ τὴν Ἰουδαίων διάνοιαν, ὡς εὐκταῖος αὐτοῖς καὶ πάνυ κεχα-
10 ρισμένος ὁ θάνατος αὐτοῦ, διὰ τὸ καὶ ζῶντος ἐπὶ ἀποστάσει ἐπείγεσθαι καὶ ὕβρει τῶν ὑπ' αὐτοῦ προτιθεμένων. ἔργον δ' ἄρα ἐκείνων εἶναι κούφισίν τινα αὐτῷ ψηφίσασθαι τοῦ ἐπὶ τοιοῖσδε ἀλγεινοῦ. τὰ αὐτὰ γὰρ δὴ φρονῆσαι δόξῃ τῇ αὐτοῦ μὴ ἀπειπαμένων, μέγαν
15 αὐτοῦ τὸν ἐπιτάφιον γενήσεσθαι, καὶ ὁποῖος οὐδ' ἄλλοις βασιλέων, καὶ πένθος διὰ τοῦ ἔθνους ἅπαντος ἐκ ψυχῆς ὁλοφυραμένων ἐπὶ παιδιᾷ καὶ γέλωτι αὐτοῦ. ἐκὰν οὖν θεάσωνται τὴν ψυχὴν ἀφέντα αὐτόν, περισπάσαντες τῷ ἱπποδρόμῳ τὸ στρατιωτικὸν ἀγνοοῦν ἔτι
20 τὸν θάνατον αὐτοῦ (μὴ γὰρ πρότερον εἰς τοὺς πολλοὺς ἐξενεγκεῖν ἢ τάδε πραῦαι) κελεύειν ἀκοντίσαι τοὺς ἐγκαθειργμένους, καὶ πάντας τοῦτον ἀνελόντας τὸν τρόπον διχόθεν αὐτὸν οὐχ ἁμαρτήσεσθαι τοῦ εὐφρανοῦντος, κυρώσει τε ὧν ἐπιστείλειεν αὐτοῖς μέλλων τελευ-
25 τᾶν, καὶ τῷ πένθει ἀξιολόγῳ τετιμῆσθαι. καὶ ὃ μὲν μετὰ θακρύων ποτνιώμενος, καὶ τοῦ συγγενοῦς τὴν εὔνοιαν καὶ πίστιν τοῦ θείου προσκαλῶν, ἐπέσκηπτε μὴ ἠτιμῶσθαι ἀξιῶν, κἀκεῖνοι ὡμολόγουν οὐ παραβήσεσθαι· κατανοήσειε δ' ἄν τις τὴν διάνοιαν τοῦ ἀν- 6
30 θρώπου, καὶ ὅτῳ τὰ πρότερα ἤρεσκεν, ὡς ὑπὸ τοῦ φιλοζωεῖν πράξειε τὰ εἰς τοὺς συγγενεῖς πεπραγμένα, ἐκ γοῦν τῶν ἄρτι ἐντολῶν οὐδὲν ἀνθρώπειον εἰσφερομέ-

Digitized by Google

νην, εἴ γε καὶ ἀπιὼν τοῦ βίου πρόνοιαν εἶχεν ὡς ἐν πένθει καὶ ἐρημίᾳ τῶν φιλτάτων τὸ πᾶν καταστήσειεν ἔθνος, ἕνα ἀπὸ ἑκάστου οἴκου κελεύων μεταχειρίσαι, μηδὲν ἄδικον μήτε εἰς αὐτὸν δεδρακότας μήτε ἐφ' ἑτέροις ἐγκλήμασι κατηγορίας αὐτῶν γενομένης, εἰωθότων, οἷς προσποίησις ἀρετῆς, καὶ πρὸς τοὺς ἐν δίκῃ ἐχθροὺς γεγονότας ἐν τοιοῖσδε καιροῖς τὰ μίση κατατίθεσθαι.

7 ταῦτα δὲ ἐπιστέλλοντος αὐτοῦ πρὸς τοὺς συγγενεῖς, γράμματα παρῆν ὑπὸ τῶν εἰς Ῥώμην πρέσβεων ἀπεσταλμένων πρὸς Καίσαρα, καὶ ἀναγνωσθέντων τὸ κεφάλαιον ἦν ὡς τῆς τε Ἀκμῆς ὀργῇ τῇ Καίσαρος ἀνηρημένης ἐφ' οἷς Ἀντιπάτρῳ συγκακουργήσειεν, αὐτόν τε Ἀντίπατρον ὡς ἐπὶ γνώμῃ τῇ ἐκείνου ποιοῖτο ὡς πατρὸς καὶ βασιλέως, εἴτε φυγάδα ἐλαύνειν ἐθελήσειεν εἴτε καὶ κτιννύειν. τούτων ἀκροασάμενος Ἡρώδης βραχὺ μέν τι ἀνήνεγκεν ἡδονῇ τῶν γεγραμμένων, θανάτῳ τε τῆς Ἀκμῆς ἐπαιρόμενος καὶ ἐξουσίᾳ τῆς ἐπὶ τῷ παιδὶ τιμωρίας· προϊουσῶν δὲ εἰς μέγα τῶν ἀλγηδόνων παρεῖτο τεταλαιπωρημένος σιτίων, καὶ ᾔτησε μῆλον καὶ μαχαίριον· ἦν γὰρ ἐν ἔθει καὶ πρότερον αὐτῷ περιλέψαντι αὐτὸ δι' αὐτοῦ καὶ κατ' ὀλίγον τέμνοντι ἐσθίειν. λαβὼν δὲ καὶ περιβλεψάμενος γνώμην εἶχεν ὡς παίσων ἑαυτόν, κἂν ἐπεπράχει μὴ φθάσαντος αὐτοῦ καταλαβεῖν τὴν δεξιὰν Ἀχιάβου, ὃς ἀνεψιὸς ἦν αὐτοῦ. καὶ μέγα ἀνακραγόντος οἰμωγή τε αὖθις ἀνὰ τὸ βασίλειον ἦν καὶ θόρυβος μέγας ὡς οἰχομένου τοῦ βασιλέως. καὶ ὁ Ἀντίπατρος (πιστεύει γὰρ τέλος ἀληθῶς τὸν πατέρα ἔχειν) θάρσει τε ἐχρῆτο ἐπὶ τοῖς λόγοις, ὅλος ὡς ἤδη τῶν δεσμῶν ἀφειμένος καὶ τὴν βασιλείαν ἀκονιτὶ δεξόμενος εἰς χεῖρας, καὶ τῷ εἱρκτοφύλακι περὶ ἀφέσεως ἦν αὐτοῦ διάλογος, μεγάλα ὑπισχνουμένου εἰς τὸ παρὸν καὶ τὸ αὖθις, ὡς ἂν περὶ τοιόνδε τοῦ ἀγῶνος ἐνε-

Digitized by Google

στηκότος. ὃ δὲ οὐ μόνον ἀπειθὴς ἦν πράσσειν ἐφ' οἷς ἠξίου Ἀντίπατρος, ἀλλὰ καὶ τῷ βασιλεῖ ἀποσημαίνει διάνοιαν τὴν ἐκείνου, πολλαῖς καὶ προσεισφοραῖς παρ' αὐτοῦ χρώμενος. ὁ δὲ Ἡρώδης καὶ πρότερον οὐχ ἡσσώμενος εὐνοίᾳ τοῦ υἱέος, ἐπεὶ ἤκουσε τοῦ εἱρκτοφύλακος ταῦτα εἰρηκότος, ἀνεβόησέ τε ἀνατυψάμενος τὴν κεφαλήν, καίπερ ἐν τῷ ὑστάτῳ ὤν, καὶ ἐπὶ τὸν ἀγκῶνα περιάρας ἑαυτὸν κελεύει, πέμψας τινὰς τῶν δορυφόρων, μηδὲν εἰς ἀναβολὰς ἀλλ' ἐκ τοῦ ὀξέος κτείναντας αὐτὸν ἐν Τρκανίᾳ ταφὰς ἀσήμους ποιεῖσθαι.

τὰς δὲ διαθήκας αὖθις μεταγράφει μεταβολῆς αὐτῷ περὶ τὴν διάνοιαν γενομένης, Ἀντίπαν μέν, ᾧ τὴν βασιλείαν καταλελοίπει, τετράρχην καθιστὰς Γαλιλαίας τε καὶ Περαίας, Ἀρχελάῳ δὲ τὴν βασιλείαν χαριζόμενος, τήν τε Γαυλωνῖτιν καὶ Τραχωνῖτιν καὶ Βαταναίαν καὶ Πανιάδα Φιλίππῳ, παιδὶ μὲν τῷ αὐτοῦ Ἀρχελάου δὲ ἀδελφῷ γνησίῳ, τετραρχίαν εἶναι. Ἰάμνειαν δὲ καὶ Ἄζωτον καὶ Φασαηλίδα Σαλώμῃ τῇ ἀδελφῇ αὐτοῦ κατανέμει, καὶ ἀργυρίου ἐπισήμου μυριάδας πεντήκοντα. προυνόησε δὲ καὶ τῶν λοιπῶν, ὁπόσοι συγγενεῖς ἦσαν αὐτῷ, χρημάτων τε δόσεσι καὶ προσόδων ἀναφοραῖς, ἑκάστους ἐν εὐπορίᾳ καθιστάμενος. Καίσαρι δὲ ἀργυρίου μὲν ἐπισήμου μυριάδας χιλίας, χωρὶς δὲ σκεύη τὰ μὲν χρυσοῦ τὰ δ' ἀργύρου, καὶ ἐσθῆτα πάνυ πολυτελῆ, Ἰουλίᾳ δὲ τῇ Καίσαρος γυναικὶ καί τισιν ἑτέροις πεντακοσίας μυριάδας. ταῦτα πράξας ἡμέρᾳ πέμπτῃ μεθ' ὃν Ἀντίπατρον κτείνει τὸν υἱὸν τελευτᾷ, βασιλεύσας μεθ' ὃν μὲν ἀνεῖλεν Ἀντίγονον, ἔτη τέσσαρα καὶ τριάκοντα, μεθ' ὃν δὲ ὑπὸ Ῥωμαίων ἀπεδέδεικτο, ἑπτὰ καὶ τριάκοντα, ἀνὴρ ὠμὸς μὲν εἰς πάντας ὁμοίως, καὶ ὀργῆς μὲν ἧσσων, κρείσσων δὲ τοῦ δικαίου, τύχῃ δὲ εἰ καί τις ἕτερος κεχρημένος εὐμενεῖ (ἔκ τε γὰρ ἰδιώτου

Digitized by Google

βασιλεὺς κατασταὶς καὶ κινδύνοις περιστοιχιζόμενος μυρίοις, πάντων ποιεῖται διάδρασιν καὶ τοῦ ζῆν ἐπὶ μήκιστον ἐξίκετο), ὁπόσα δὲ τὰ κατ' οἶκον περὶ υἱεῖς τοὺς αὐτοῦ, ὅσα μὲν γνώμῃ τῇ ἐκείνου, καὶ πάνυ δεξιᾷ κεχρημένος διὰ τὸ κρίνας ἐχθροὺς κρατεῖν οὐχ ὑστερῆσαι, δοκεῖν δ' ἐμοὶ καὶ πάνυ δυστυχής.

2 Σαλώμη δὲ καὶ Ἀλεξᾶς, πρὶν ἔκπυστον γενέσθαι τὸν θάνατον τοῦ βασιλέως, τοὺς ἐπὶ τὸν ἱππόδρομον κατακεκλεισμένους ἐκπέμπονται ἐπὶ τὰ αὐτῶν, φάμενοι βασιλέα κελεύειν ἀπιοῦσιν αὐτοῖς ἐπὶ τοὺς ἀγροὺς νέμεσθαι τὰ οἰκεῖα. πράσσεταί τε αὐτοῖς ἥδε εὐεργεσία μεγίστη εἰς τὸ ἔθνος. ἐφανεροῦτο δ' ἤδη ὁ θάνατος τοῦ βασιλέως· καὶ Σαλώμη καὶ Ἀλεξᾶς συναγαγόντες τὸ στρατιωτικὸν εἰς τὸ ἀμφιθέατρον τὸ ἐν Ἱεριχοῦντι πρῶτον μὲν ἐπιστολὴν ἀνέγνωσαν πρὸς τοὺς στρατιώτας γεγραμμένην, ἐπί τε πίστεως εὐχαριστίᾳ καὶ εὐνοίας τῆς εἰς αὐτόν, καὶ παρακλήσει τῶν ὁμοίων παροκωχῆς Ἀρχελάῳ τῷ παιδὶ αὐτοῦ, ὃν βασιλέα καθίσταιτο. εἶτα μέντοι Πτολεμαῖος, τὸν σημαντῆρα τοῦ βασιλέως πεπιστευμένος, τὰς διαθήκας ἀνέλεγεν, αἳ λήψεσθαι κύρωσιν οὐκ ἄλλως ἔμελλον ἢ Καίσαρος ἐντυχόντος αὐταῖς. βοὴ οὖν εὐθὺς ἦν ἐκτιμώντων Ἀρχέλαον βασιλέα, καὶ οἱ στρατιῶται κατὰ στίφη τε αὐτοὶ καὶ οἱ ἡγεμόνες εὔνοιάν τε ὑπισχνοῦνται καὶ προθυμίαν τὴν αὐτήν, καὶ συλλήπτορα τὸν θεὸν παρεκάλουν.

3 ἐντεῦθεν δὲ τάφον ἡτοίμαζον τῷ βασιλεῖ, μελῆσαν Ἀρχελάῳ πολυτελεστάτην γενέσθαι τὴν ἐκκομιδὴν τοῦ πατρός, καὶ πάντα τὸν κόσμον προκομίσαντος εἰς ὃ συμπομπεύσειε τῷ νεκρῷ. ἐφέρετο δὲ ἐπὶ κλίνης χρυσέας λίθοις πολυτελέσι καὶ ποικίλοις διαπεπασμένης, στρωμνή τε ἦν ἁλουργής, καὶ ἠμπίσχετο πορφυρίσιν ὁ νεκρὸς διαθήματι ἠσκημένος, ὑπερκειμένου στεφάνου

Digitized by Google

χρυσέου, σκῆπτρόν τε τῇ δεξιᾷ παρακείμενον. περὶ δὲ τὴν κλίνην οἵ τε υἱεῖς καὶ τὸ πλῆθος ἦν τῶν συγγενῶν· ἐπὶ δὲ τούτοις τὸ στρατιωτικὸν κατὰ οἰκεῖα ἔθνη καὶ προσηγορίας διέκειντο, οὕτω νεμηθέντες, πρῶτοι μὲν οἱ δορυφόροι, μετὰ δὲ τὸ Θρᾴκιον, ἐπὶ δὲ τούτοις ὁπόσοι Γερμανοί, καὶ αὖ τὸ Γαλατικὸν μετ' αὐτούς, ἐν κόσμῳ πάντες τῷ πολεμιστηρίῳ. τούτων δὲ κατόπιν ἤδη πᾶς ὁ στρατὸς ὡς ἐς πόλεμον ἐξοδεύοντες, ὥσπερ ὑπὸ λοχαγῶν ἀγόμενοι καὶ τοῖς ταξιαρχοῦσιν αὐτῶν. τούτοις εἵποντο πεντακόσιοι τῶν οἰκετῶν ἁρωματοφόροι. ἦεσαν δὲ ἐπὶ Ἡρωδείου στάδια ὀκτώ· τῇδε γὰρ αὐτῷ ἐγένοντο αἱ ταφαὶ κελεύσματι τῷ αὐτοῦ.

Ἡρῴδης μὲν δὴ τοῦτον ἐτελεύτα τὸν τρόπον, Ἀρ- 4
τέλαος δὲ ἐπὶ μὲν ἑβδόμην ἡμέραν πένθος τὸ ἐπὶ τῷ πατρὶ τιμῶν διετέλει (τόσας γὰρ διαγορεύει τὸ νόμιμον τοῦ πατρίου), ἑστιάσας δὲ τοὺς ὁμίλους καὶ καταλύσας τὸ πένθος ἄνεισιν εἰς τὸ ἱερόν. ἦσαν δὲ εὐφημίαι καὶ ἔπαινοι καθ' οὕστινας ἴοι, ἑκάστων τὰ πρὸς ἀλλήλους φιλοτιμουμένων εἰς τὸ δοκεῖν μείζοσι χρῆσθαι ταῖς εὐφημίαις. ὃ δὲ εἰς ὑψηλὸν βῆμα πεποιημένον ἀνελθὼν καὶ ἱδρυθεὶς εἰς θρόνον χρυσοῦ πεποιημένον ἀντεδεξιοῦτο τοὺς ὁμίλους, χάρματι τῶν εὐφημιῶν τὴν εὔνοιαν αὐτῶν ἡδονῇ φέρων· χάριν τε ὡμολόγει διότι μηδὲν αὐτῷ μνησικακοῖεν ἀνθ' ὧν ὁ πατὴρ εἰς αὐτοὺς ὑβρίσειε, καὶ πειράσεσθαι μὴ ἐλλείψειν ἀμειβόμενον τὸ πρόθυμον αὐτῶν. ἄρτι μέντοι φειδὼ ποιεῖσθαι τοῦ βασιλείου ὀνόματος· τετιμῆσθαι γὰρ αὐτὸν τῇ ἀξιώσει, εἴπερ βεβαίως Καῖσαρ ἐπικυρώσειε τὰς διαθήκας αἳ ὑπὸ τοῦ πατρὸς ἐγράφησαν αὐτοῦ· δι' ἣν αἰτίαν οὐδὲ τοῦ στρατεύματος ἐν Ἰεριχοῦντι τὸ διάδημα αὐτῷ περιθέσθαι προθυμουμένου δέξασθαι τὸ περιμάχητον τῆς ἐνθένδε τιμῆς, διὰ τὸ μηδέπω τὸν κυρίως ἀποδώσοντα

Digitized by Google

φανερὸν εἶναι παρασχόμενον. περιιόντων μέν γε εἰς αὐτὸν τῶν πραγμάτων οὐ λείψειν ἀρετῆς τοῦ ἀμειφομένου τὴν εὔνοιαν αὐτῶν· σπουδάσειν γὰρ ἐν πᾶσι τὰ πρὸς αὐτοὺς φανεῖσθαι τοῦ πατρὸς ἀμείνων τὰ πάντα. οἱ δέ, οἷον ὄχλος φιλεῖ, νομίζοντες τὰς πρώτας τῶν ἡμερῶν τὰς διανοίας ἐμφανίζειν τῶν παριόντων ἐπὶ τοιάσδε ἀρχάς, ὅσῳ πράως καὶ θεραπευτικῶς ὁ Ἀρχέλαος διελέγετο αὐτοῖς, τοσῷδε μειζόνως τε ἐχρῶντο τοῖς ἐπαίνοις καὶ τὰς αἰτήσεις δωρεῶν ἐπεφέροντο, οἱ μὲν εἰσφορὰς ἃς ἐνιαυσίους φέροιεν ἐπικουφίζειν βοῇ χρώμενοι, οἱ δὲ αὖ δεσμωτῶν οἱ ὑφ' Ἡρώδου ἐδέδεντο (πολλοὶ δὲ ἦσαν καὶ πολλῶν χρόνων) ἀπόλυσιν· εἰσὶ δὲ οἳ ἄρσεις τῶν τελῶν, ἃ ἐπὶ πράσεσιν ἢ ὠναῖς δημοσίαις ἐπεβάλλετο πρασσόμενα πικρῶς, ἠτοῦντο, ἀντέλεγέ τε οὐδαμῶς Ἀρχέλαος, ἐπίηρα τοῦ ὁμίλου σπουδαῖος ὢν ποιεῖν πάντα, διὰ τὸ νομίζειν μέγα πρᾶγμα εἰς τήρησιν τῆς ἀρχῆς γενήσεσθαι τὴν εὔνοιαν αὐτῷ τῆς πληθύος. ἐντεῦθεν δὲ θύσας τῷ θεῷ κατ' εὐωχίαν τρέπεται μετὰ τῶν φίλων.

9 ἐν τούτῳ δέ τινες τῶν Ἰουδαίων, συνελθόντες νεωτέρων ἐπιθυμίᾳ πραγμάτων, ὠδύροντο Ματθίαν καὶ τοὺς σὺν αὐτῷ ὑφ' Ἡρώδου ἀποθανόντας, οἳ παραχρῆμα τῆς ἐκ τοῦ πεντεῖσθαι τιμῆς φόβῳ τῷ ἐκείνου ἀπεστέρηντο· ἦσαν δὲ τῶν ἐπὶ καθαιρέσει τοῦ χρυσοῦ ἀετοῦ δεδικαιωμένων. ἐπὶ μέγα τε τῇ βοῇ καὶ οἰμωγῇ χρώμενοι, καί τινα, ὡς κούφισιν φέροντα τοῖς τεθνεῶσιν, ἀπερρίπτουν εἰς τὸν βασιλέα. συνόδου τε αὐτοῖς γενομένης ἠξίουν τιμωρίαν αὐτοῖς ὑπ' Ἀρχελάου γενέσθαι κολάσεσι τῶν ὑπὸ Ἡρώδου τιμωμένων, καὶ πάντων γε καὶ πρῶτον καὶ ἐκδηλότατον τὸν ὑπ' αὐτοῦ ἀρχιερέα καθεστῶτα παύσαντα νομιμώτερόν τε ἅμα καὶ καθαρὸν ἀρχιεράσθαι ἄνδρα αἱρεῖσθαι. τούτοις Ἀρχέ-

Digitized by Google

λαος, καίπερ δεινῶς φέρων τὴν ὁρμὴν αὐτῶν, ἐπένευε, ἔχων τὴν ἐπὶ Ῥώμης ὁδὸν ἀνύεσθαι προκειμένην αὐτῷ τάχος ἐπὶ περισκοπήσει τῶν δοξάντων Καίσαρι. πέμψας δὲ τὸν στρατηγὸν πειθοῖ χρῆσθαι ἐκέλευεν, ὡς τῆς ἐπὶ τοιούτοις τιμωρίας ἀποστάντας σκοπεῖν θάνατόν τε, ὃς τοῖς φίλοις αὐτῶν συνέλθοι, μετὰ νόμων γεγονότα, καὶ τὰς αἰτήσεις ὡς ἐπὶ μέγα τοῦ ὑβρίζειν προΐοιεν, τούς τε καιροὺς οὐκ ἐν τοιοῖσδε εἶναι, μᾶλλον δὲ τοῦ ὁμονοεῖν, ἕως καταστησάμενος τὴν ἀρχὴν ἐπινεύσει τῇ Καίσαρος ἀφίκοιτο ὡς αὐτούς· τότε γὰρ κοινῇ βουλεύσειν περὶ ὧν ἀξιοῖεν σὺν αὐτοῖς, ἄρτι δὲ ἀνέχειν, μὴ καὶ στασιάζειν δοκοῖεν.

καὶ ὃ μὲν ταῦτα ὑπειπὼν καὶ διδάξας τὸν στρατηγὸν ἐκπέμπει πρὸς αὐτούς· οἳ δὲ βοῶντες λέγειν τε οὐκ εἶων, καὶ εἰς κίνδυνον τοῦ ἀπολουμένου ἐκείνου τε καθίστασαν καὶ τῶν ἄλλων ὅστις γε ἐπὶ σωφρονισμῷ καὶ ἀποτροπῇ τῶν τοιῶνδε ὀργυᾶσθαι [τολμήσειν] φθέγξασθαι φανερὸς ἦν, διὰ τὸ πάντα βουλήσει τῇ αὐτῶν μᾶλλον ἢ ἐξουσίᾳ τῶν ἐφεστηκότων συγχωρεῖν, δεινὸν ἡγούμενοι εἰ ζῶντός τε Ἡρώδου στερηθεῖεν τῶν φιλτάτων, καὶ τελευτῆς αὐτῷ γενομένης τιμωριῶν τῶν ἐπ' αὐτοῖς, ὠργηκότες ταῖς γνώμαις, κωλύοιντο, καὶ νόμιμόν τε καὶ δίκαιον ἡγούμενοι ὅ τι μελλήσοι ἡδονὴν αὐτοῖς φέρειν, κίνδυνόν τε τὸν ἀπ' αὐτοῦ προϊδέσθαι τε ἀμαθεῖς, καὶ εἴ τῳ ὑποπτευθείη, ὑπερβολῆς αὐτῷ γενομένης τῆς παραχρῆμα ἡδονῆς ἐκ τοῦ τιμωρήσασθαι τοὺς ἐχθίστους δοκοῦντας αὐτοῖς. πολλῶν δὲ ὑπὸ Ἀρχελάου πεμπομένων οἳ διαλέξοιντο αὐτοῖς, τῶν δὲ οὐχ ὡς ὑπ' ἐκείνου γνώμῃ δὲ τῇ αὐτῶν [δοκεῖν] παριόντων, ὅπως εἰς τὸ πρᾶϋτερον καταστήσονται αὐτούς, οὐδενὸς ἠνείχοντο εἰπεῖν. ἀνάστασίς τε ἦν λίαν ὀργῇ χρωμένων,

2

Digitized by Google

φανεροί τε ἦσαν ἐπὶ μέγα αὐξήσοντες τὴν στάσιν πλήθους ἐπισυρρυέντος αὐτοῖς.

3 ἐνστάσης δὲ κατὰ τόνδε τὸν καιρὸν ἑορτῆς, ἐν ᾗ Ἰουδαίοις ἄζυμα προτίθεσθαι πάτριον (φάσκα δὲ ἡ ἑορτὴ καλεῖται, ὑπόμνημα οὖσα τῆς ἐξ Αἰγύπτου ἀπάρσεως αὐτῶν γενομένης, καὶ θύουσιν αὐτὴν προθύμως, πλῆθός τε ἱερείων ὡς οὐκ ἐν ἄλλῃ κατακόπτειν ἐστὶν αὐτοῖς νόμιμον, κάτεισι δὲ πληθὺς ἀναρίθμητος ἐκ τῆς χώρας, ἤδη δὲ καὶ ἐκ τῆς ὑπερορίας, ἐπὶ θρησκείᾳ τοῦ θεοῦ), καὶ οἱ νεωτερισταὶ τοὺς περὶ τὸν Ἰούδαν καὶ Ματθίαν ἐξηγητὰς τῶν νόμων ὀδυρόμενοι συστάντες ἐν τῷ ἱερῷ τροφῆς ηὐποροῦντο, τοῖς στασιώταις οὐκ ὂν ἐν αἰσχύνῃ μεταιτεῖν αὐτήν. καὶ δείσας Ἀρχέλαος μὴ καί τι δεινὸν βλαστήσειεν αὐτῶν τῇ ἀπονοίᾳ, πέμπει σπεῖράν τε ὁπλιτῶν χιλίαρχόν τε τὴν ὁρμὴν τῶν στασιαζόντων κατασταθῆναι πρὸ τοῦ τὸν πάντα ὅμιλον τοῦ μανιώδους αὐτῶν πλέων καταστῆναι, καὶ εἴ τινες διάθηλοι πολὺ τῶν ἄλλων καθίσταιντο προθυμίᾳ τοῦ στασιάζειν, ἐπ' αὐτὸν ἀγαγεῖν. ἐπὶ τούτους οἱ στασιῶται τῶν ἐξηγητῶν καὶ τὸ πλῆθος ἐξηγρίωσαν, βοῇ καὶ διακελευσμῷ χρώμενοι, ὥρμησάν τε ἐπὶ τοὺς στρατιώτας, καὶ περιστάντες καταλεύουσι τοὺς πλείστους αὐτῶν· ὀλίγοι δέ τινες καὶ ὁ χιλίαρχος τραυματίαι διέφυγον. καὶ τοῖς μὲν ταῦτα πράξασι διὰ χειρῶν αὖθις ἡ θυσία ἦν, Ἀρχελάῳ δὲ ἄπορον ἐδόκει σώζεσθαι τὰ πάντα μὴ οὐκ ἀνακόψαντι τὴν ἐπὶ τοσόνδε ὁρμὴν τῆς πληθύος· ἐκπέμπει δὲ πᾶν τὸ στρατόπεδον καὶ τοὺς ἵππεις, οἳ τούς τε αὐτόθι ἐσκηνωκότας κωλύοιεν τοῖς κατὰ τὸ ἱερὸν βοηθεῖν, καὶ τοὺς ἐκπίπτοντας ὑπὸ τῶν πεζῶν δέχοιντο ἀντειλῆφθαι τοῦ ἀσφαλοῦς ἤδη πεπιστευκότας. καὶ εἰς μὲν τρισχιλίους ἄνδρας ἔκτειναν οἱ ἱππεῖς, τὸ δὲ λοιπὸν ᾤχετο ἐπὶ ὄρη τὰ πλησίον ἰόντες. ἐκήρυσσε δ' Ἀρχέλαος ἀναχωρεῖν

Digitized by Google

ἐπὶ τὰ αὐτῶν πᾶσιν. οἱ δὲ ἀπήεσαν τὴν ἑορτὴν καταλιπόντες, φόβῳ κακοῦ μείζονος, καίπερ θρασεῖς ὄντες διὰ τὸ ἀπαίδευτον. Ἀρχέλαος δ' ἐπὶ θαλάσσης κατῄει μετὰ τῆς μητρός, Νικόλαον καὶ Πτολεμαῖον καὶ πολλοὺς τῶν φίλων ἐπαγόμενος, Φιλίππῳ τἀδελφῷ τὰ πάντα ἐφεὶς καθίστασθαι τοῦ οἴκου καὶ τῆς ἀρχῆς. συνεξῄει δ' αὐτῷ καὶ Σαλώμη ἡ Ἡρώδου ἀδελφή, τὴν γενεὰν ἀγομένη τὴν αὐτῆς, πολλοί τε τῶν συγγενῶν, λόγῳ μὲν ὡς συναγωνιούμενοι τῷ Ἀρχελάῳ ἐπὶ κτήσει τῆς βασιλείας, ἔργῳ δὲ ἀντιπράξοντες, καὶ μάλιστα περὶ τῶν πεπραγμένων ἐν τῷ ἱερῷ ποιησόμενοι καταβοάς. ὑπαντιάζει δ' ἐν Καισαρείᾳ τὸν Ἀρχέλαον Σαβῖνος, Καίσαρος ἐπίτροπος τῶν ἐν Συρίᾳ πραγμάτων, εἰς Ἰουδαίαν ὡρμημένος ἐπὶ φυλακῇ τῶν Ἡρώδου χρημάτων. καὶ αὐτὸν τῆς ἐπὶ τοῖσδε ὁρμῆς ἐπέσχεν ὁ Οὖαρος παρελθών· διὰ γὰρ Πτολεμαίου μετάπεμπτος ὑπ' Ἀρχελάου παρῆν· καὶ Οὐάρῳ Σαβῖνος χαριζόμενος οὔτε τὰς ἄκρας ὅσαι γε ἐν τοῖς Ἰουδαίοις ἦσαν παρέλαβεν οὔτε τοὺς θησαυροὺς κατεσημήνατο, εἶα δ' ἔχειν Ἀρχέλαον μέχρι Καίσαρι δόξειέν τι περὶ αὐτῶν, καὶ ἔμενεν ἐν τῇ Καισαρείᾳ τοῦθ' ὑποσχόμενος. ἐπεὶ δ' ἐκπλεῖ μὲν ἐπὶ τῆς Ῥώμης Ἀρχέλαος, Οὐάρῳ δ' ἐπ' Ἀντιοχείας ἐγένοντο κομιδαί, Σαβῖνος ἐπὶ Ἱεροσολύμων χωρήσας παραλαμβάνει τὰ βασίλεια. μεταπέμψας δὲ τοὺς φρουράρχους καὶ ὁπόσοι διοικηταὶ τῶν πραγμάτων ἦσαν, λόγους τε ἀπαιτεῖν πρόθηλος ἦν, καὶ τὰς ἄκρας καθίστατο ᾗ αὐτῷ δοκοῖ. οὐ μὴν οἱ φύλακες ἐν ὀλίγῳ τὰς Ἀρχελάου ἐντολὰς ἐποιοῦντο, ἀλλ' ἔμενον σώζοντες τὰ πάντα ᾗ προσετέτακτο αὐτοῖς· Καίσαρι δὲ φυλάσσειν ἕκαστα ἦν προσποίησις αὐτοῖς.

πλεῖ δὲ κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ Ῥώμης καὶ Ἀντίπας, Ἡρώδου μὲν παῖς, ἐπὶ ἀντιποιήσει τῆς ἀρχῆς, 4

Digitized by Google

ὑποσχέσεσι Σαλώμης ἠρμένος ἐπὶ τῷ ἄρξειν, καὶ πολὺ δικαιότερον Ἀρχελάου παραλήψεσθαι τὰ πράγματα ἠξιωκὼς τῷ κατὰ τὰς προτέρας διαθήκας βασιλεὺς ἀποπεφάνθαι, ἃς ἀσφαλεστέρας εἶναι τῶν ἐπιγραφεισῶν. ἐπήγετο δὲ οὗτος τήν τε μητέρα καὶ τὸν ἀδελφὸν τὸν Νικολάου Πτολεμαῖον, φίλων τε Ἡρῴδῃ τιμιώτατον γεγενημένον καὶ αὐτῷ προσκείμενον. μάλιστα δὲ αὐτὸν ἐνῆγεν ἐπ' ἀντιποιήσει ⸗ῆς βασιλείας φρονεῖν Εἰρηναῖος, ῥήτωρ ἀνὴρ καὶ δόξῃ δεινότητος τῆς περὶ αὐτὸν κὴν βασιλείαν πεπιστευμένος. διὸ δὴ καὶ τῶν κελευόντων εἶκειν Ἀρχελάῳ πρεσβυτέρῳ ὄντι κἀν ταῖς ἐπιδιαθήκαις ὑπὸ τοῦ πατρὸς ἐγγεγραμμένῳ βασιλεῖ οὐκ ἠνείχετο. ἐπεὶ δ' εἰς τὴν Ῥώμην ἀφίκετο, καὶ πάντων τῶν συγγενῶν ἀπόστασις ἦν πρὸς αὐτόν, οὐκ εὐνοίᾳ τῇ ἐκείνου μίσει δὲ τῷ πρὸς Ἀρχέλαον, μάλιστα μὲν ἐπιθυμοῦντες ἐλευθερίας καὶ ὑπὸ Ῥωμαίων στρατηγῷ τετάχθαι· εἰ δ' ἄρα τι ἀντισταίη, λυσιτελέστερον Ἀρχελάου τὸν Ἀντίπαν λογιζόμενοι συνέπρασσον Ἀντίπᾳ τὴν βασιλείαν. καὶ Σαβῖνος κατηγόρει παρὰ Καίσαρι τοῦ Ἀρχελάου διὰ γραμμάτων.

Καίσαρι δὲ Ἀρχέλαος εἰσπέμψας γράμματα ἐν οἷς τὰ δικαιώματα προετίθει τὰ αὑτοῦ καὶ τὴν διαθήκην τοῦ πατρός, καὶ τοὺς λογισμοὺς τῶν Ἡρῴδου χρημάτων σὺν τῷ σημαντῆρι κομίζοντα Πτολεμαῖον, ἐκαραδόκει τὸ μέλλον. ὃ δὲ ταῦτά τε ἀναγνοὺς τὰ γράμματα καὶ τὰς τοῦ Βάρου καὶ Σαβίνου ἐπιστολάς, ὁπόσα τε χρήματα ἦν καὶ τί ἐπ' ἔτος ἐφοίτα, καὶ ὡς Ἀντίπας ἐπ' οἰκειώσει τῆς βασιλείας ἐπεπόμφει γράμματα, συνῆγεν ἐπὶ παροκωχῇ γνωμῶν τοὺς φίλους, σὺν οἷς καὶ Γάιον τὸν Ἀγρίππα μὲν καὶ Ἰουλίας τῆς αὐτοῦ θυγατρὸς υἱόν, ποιητὸν δὲ αὐτῷ γεγονότα πρῶτόν τε καθεδούμενον παρέλαβε, καὶ κελεύει λέγειν τοῖς βουλομένοις περὶ τῶν

Digitized by Google

ἐνεστηκότων. καὶ πρῶτος ὁ Σαλώμης υἱὸς Ἀντίπατρος, δεινότατός τε ὢν εἰπεῖν καὶ τῷ Ἀρχελάῳ ἐναντιώτατος, ἔλεγεν Ἀρχελάῳ παιδιὰν τὸν περὶ τῆς ἀρχῆς εἶναι λόγον, ἔργῳ τὴν δύναμιν αὐτῆς πρότερον ἢ Καίσαρα συγχωρῆσαι παρειληφότι, ἐπικαλῶν τὰ τετολμημένα ἐπὶ τοῖς ἀπολωλόσι κατὰ τὴν ἑορτήν, ὧν καὶ ἀδικούντων ἄλλως ἐχρῆν τὴν τιμωρίαν εἰς τοὺς ἐξουσίᾳ χρῆσθαι δυναμένους ἀνακειμένην εἶναι, καὶ μὴ ὑπ' ἀνδρὸς πεπρᾶχθαι, εἰ μὲν βασιλέως, ἀδικοῦντος τὸ οὐ Καίσαρος διαγνοίᾳ περὶ αὐτοῦ ἔτι χρώμενον, εἰ δὲ ἰδιώτου, πολὺ χειρόνως διὰ τὸ μηδεμιᾶς βασιλείας ἀντιποιουμένῳ καλῶς ἄν τι συγκεχωρῆσθαι, διὰ τὸ Καίσαρα τῆς ἐπ' αὐτοῖς ἐξουσίας ἀφαιρεῖσθαι. καθήπτετό τε αὐτοῦ ἡγεμόνων τινῶν ἐν τῷ στρατιωτικῷ μεταστάσεις ἐπικαλῶν, καὶ προκάθισιν ἐπὶ θρόνου βασιλείου, καὶ δικῶν διαλύσεις ὡς ὑπὸ βασιλέως γενομένας, κατανεύσεις τε αἰτήσεων τοῖς δημοσίᾳ αἰτουμένοις, καὶ πάντων διάπραξιν, ὧν οὐδὲν ἂν μειζόνως ἐπινοῆσαι καθιστάμενον ὑπὸ τοῦ Καίσαρος εἰς τὴν ἀρχήν. ἀνετίθει δὲ αὐτῷ καὶ τῶν ἐκ τοῦ ἱπποδρόμου δεσμωτῶν τὴν ἄφεσιν, καὶ πολλὰ τὰ μὲν γεγονότα, τὰ δὲ καὶ πιστεύεσθαι δυνάμενα διὰ τὸ φύσιν ἔχειν γίνεσθαι ὑπό τε νεωτέρων καὶ φιλοτιμίᾳ τοῦ ἄρχειν προλαμβανόντων τὴν ἐξουσίαν, πένθους τε τοῦ ἐπὶ τῷ πατρὶ ἀμελείας, καὶ κώμους αὐτοννυκτὶ τῇ ἐκείνου τελευτῇ γεγονότας· ἐφ' οἷς δὴ καὶ τὴν πληθὺν ἀρχὴν τοῦ στασιάζειν λαβεῖν, εἰ τοιαῦτα εὐεργετήσαντος αὐτὸν τοῦ πατρὸς καὶ οὕτω μεγάλων ἠξιωκότος τοιοῖσδε ἀμείβεσθαι τὸν νέκυν, ὥσπερ ἐπὶ σκηνῆς δακρύειν μὲν προσποιούμενον τὰς ἡμέρας, ἀπολαύοντα δὲ ἡδονῆς τῆς ἐπὶ τῆς ἀρχῆς ὅσαι νύκτες. φανεῖσθαί τε καὶ περὶ τὸν Καίσαρα τοιόνδε ὄντα Ἀρχέλαον συγχωροῦντα τὴν βασιλείαν, ὁποῖος γένοιτο καὶ περὶ τὸν πατέρα· χο-

Digitized by Google

ρεύειν γὰρ καὶ ᾄδειν ὥσπερ ἐχθροῦ πεσόντος, ἀλλ' οὐκ ἀνδρὸς οὕτω μὲν συγγενοῦς τηλικαῦτα δ' εὐεργετεῖν ἐξηγμένου. δεινότατόν τε πάντων ἀπέφηνε τὸ νῦν ἥκειν ἐπὶ Καίσαρα, κατανεύσει τῇ ἐκείνου χρησόμενον τῇ βασιλείᾳ, πάντων αὐτῷ προπεποιημένων ὁπόσα γένοιτο ἂν ὑπ' αὐτοῦ καὶ βεβαίως ἤδη τοῦ αὐτοκράτορος παρεσχηκότος πρασσόμενα. μάλιστα δὲ τὴν σφαγὴν τῶν περὶ τὸ ἱερὸν ἐδείνου τῷ λόγῳ καὶ τὴν δυσσέβειαν, ὡς ἑορτῆς τε ἐνεστηκυίας καὶ ἱερείων ἐν τρόπῳ σφαχθεῖεν, ἔνιοι μὲν ξένοι οἳ δὲ ἐγχώριοι, πλησθείη δὲ τὸ ἱερὸν νεκρῶν, οὐχ ὑπ' ἀλλοφύλου, ἀλλὰ καὶ μετὰ νομίμων ὀνομάτων τῆς βασιλείας ἐφιεμένου τῆς πράξεως, ὅπως δυνηθείη πληρῶσαι τῆς φύσει τυραννίδος τὴν πᾶσιν ἀνθρώποις μεμισημένην ἀδικίαν, δι' ἣν μηδὲ ὄναρ ποτὲ ὁρᾶσθαι τῆς βασιλείας αὐτῷ τὴν διαδοχὴν ἀρετῇ τοῦ πατρός· ἐπίστασθαι γὰρ αὐτοῦ τὸν τρόπον, καὶ τὸν ἐχθρὸν αὐτῷ ἐκ τῶν διαθηκῶν τῶν ἰσχυροτέρων Ἀντίπαν καθίστασθαι· κληθῆναι γὰρ ὑπὸ τοῦ πατρὸς ἐπὶ τὴν βασιλείαν οὐχὶ νοσοῦντος πρὸς τῷ σώματι καὶ τὴν ψυχήν, ἀλλὰ ἀκραιφνεῖ μὲν τῷ λογισμῷ χρωμένου, ἀλκῇ δὲ σώματος τοῖς πράγμασιν ἐφεστηκότος. εἰ δὲ καὶ πρότερον εἰς αὐτὸν ἐπ' ἴσης τοῖς νῦν διατεθεῖσθαι τὸν πατέρα, ἀποπεφάνθαι ποταπὸς ἂν γένοιτο βασιλεύς, τὸν μὲν κύριον παρασχεῖν τὴν βασιλείαν Καίσαρα ἀφῃρημένου τοῦ δοῦναι τὴν ἐξουσίαν, τοὺς δὲ πολίτας ἰδιώτην ὄντα ἀκμὴν σφάζειν ἐν ἱερῷ μὴ ἀποτετραμμένου.

6 καὶ Ἀντίπατρος μὲν τοιάδε εἰπών, καὶ μαρτύρων παραστάσεσι τὰ εἰρημένα κρατυνάμενος πολλοῖς τῶν συγγενῶν, παύεται τοῦ λέγειν· ἀνίσταται δὲ Νικόλαος ὑπὲρ Ἀρχελάου, καὶ ἔλεγε τὰ μὲν ἐν τῷ ἱερῷ γνώμῃ τῶν πεπονθότων ἀνατιθεὶς μᾶλλον ἢ ἐξουσίᾳ τοῦ Ἀρχελάου· τοὺς γὰρ ἐπὶ τοιοῖσδε ἄρχοντας οὐ μόνον τῷ

Digitized by Google

καθ' αὐτοὺς ὑβρίζοντι εἶναι πονηρούς, ἀλλὰ καὶ τῷ ἀναγκάζοντι εἰς τὴν ἄμυναν αὐτῶν εὐγνωμονεῖν προαιρουμένους. ὡς δὲ πολέμια ἔδρων λόγῳ μὲν κατ' Ἀρχελάου τὸ δὲ ἀληθὲς εἰς Καίσαρα, φανερὸν εἶναι· τοὺς γὰρ τοῦ ὑβριοῦντος κωλύτας παραγενομένους καιρίως Ἀρχελάου πεπομφότος κτεῖναι ἐπιτιθεμένους, οὔτε τοῦ θεοῦ οὔτε τοῦ νόμου τῆς ἑορτῆς ἐν φροντίδι γενομένους, ὧν Ἀντίπατρον οὐκ αἰσχύνεσθαι ἐκδικητὴν καθιστάμενον ἐπὶ θεραπείᾳ ἔχθρας τῆς αὐτοῦ πρὸς Ἀρχέλαον, ἢ μίσει τοῦ ἀρετῇ δικαίου. "οἱ παρελθόντες καὶ μὴ πρὸς διανοουμένους ἄρχοντες ἀδίκων ἔργων, οἵδε εἰσὶν οἱ βιαζόμενοι καὶ μὴ θέλοντας τοὺς ἀμυνομένους ἐφ' ὅπλα χωρεῖν." ἀνετίθει δὲ καὶ τὰ λοιπὰ πᾶσι τοῖς ἐν βουλῇ τῶν κατηγόρων· οὐδὲν γὰρ ὅ τι μὴ οὐ μετὰ γνώμης τῆς αὐτῶν γεγενημένον αἰτίᾳ τοῦ ἀδικεῖν ὑπάγεσθαι. οὐ τῇ φύσει δὲ οὕτως αὐτὰ γεγονότα πονηρὰ εἶναι, ἀλλὰ τῷ βλάψειν ἂν δοκεῖν Ἀρχέλαον· τοσήνδε αὐτοῖς εἶναι βουλὴν τοῦ ὑβριοῦντος εἰς ἄνδρα συγγενῆ καὶ πατρὸς μὲν εὐεργέτην, συνήθη δὲ αὐτοῖς καὶ διὰ παντὸς οἰκείως πεπολιτευμένον. τάς γε μὴν διαθήκας ὑπό τε σωφρονοῦντος γεγράφθαι τοῦ βασιλέως, καὶ κυριωτέρας εἶναι τῶν γεγραμμένων πρότερον διὰ τὸ Καίσαρα δεσπότην τῶν ὅλων καταλελεῖφθαι πρὸς τὴν κρίσιν τῶν ἐν αὐταῖς γεγραμμένων. μιμήσεσθαί τε οὐδαμῶς Καίσαρα τὴν ὕβριν αὐτῶν, οἳ τῆς Ἡρῴδου παντοίως ἀπολαύσαντες παρ' ὃν ἔζη καιρὸν δυνάμεως, τὰ πάντα ἐπὶ ὕβριν γνώμης ἐπείγοιντο αὐτοῦ, οὐδ' αὐτῶν περὶ τὸν συγγενῆ τοιούτων γεγονότων. οὔκουν Καίσαρά γε ἀνδρὸς ἐπ' αὐτῷ πεποιημένου τὰ πάντα καὶ φίλου καὶ συμμάχου καταλύσειν τὰς διαθήκας, ἐπὶ πίστει τῇ αὐτοῦ γεγραμμένας. οὐδὲ μιμήσεσθαι κακίαν τὴν ἐκείνων τὴν Καίσαρος ἀρετὴν καὶ πίστιν, πρὸς ἅπα-

Digitized by Google

σαν τὴν οἰκουμένην ἀνενδοίαστον γενομένην, καὶ μανίαν καὶ λογισμῶν ἔκστασιν κατακρινεῖν ἀνδρὸς βασιλέως, υἱεῖ μὲν ἀγαθῷ τὴν διαδοχὴν καταλελοιπότος, πίστει δὲ τῇ αὐτοῦ προσπεφευγότος· οὔτε ἁμαρτάνειν Ἡρῴδην ποτὲ περὶ κρίσιν τοῦ διαδόχου, σωφροσύνῃ κεχρημένον ἐπὶ τῇ Καίσαρος γνώμῃ τὰ πάντα ποιεῖσθαι.

7 καὶ Νικόλαος μὲν τοιάδε διελθὼν καταπαύει τὸν λόγον, Καῖσαρ δὲ Ἀρχέλαον προσπεσόντα αὐτῷ πρὸς τὰ γόνατα φιλοφρόνως τε ἀνίστη, φάμενος ἀξιώτατον εἶναι τῆς βασιλείας, πολλήν τε ἀπέφαινε τροπὴν γνώμης τῆς αὐτοῦ, οὐκ ἄλλα πράξων, ἀλλ' ὁπόσα αἵ τε διαθῆκαι ὑπηγόρευον καὶ Ἀρχελάῳ συνέφερεν. οὐ μέντοι γε ἐκεκύρωτο οὐδέν, ὡς ἂν ἐγεγγύῳ παραδείγματι χρώμενον ἐπ' ἀδείας Ἀρχέλαον εἶναι. καὶ διαλύσεως τῶν ἀνδρῶν γενομένης ἐσκοπεῖτο καθ' αὑτὸν εἴτε Ἀρχελάῳ τὴν βασιλείαν εἴη κυρωτέον, εἴτε νομὴν αὐτῆς ποιεῖσθαι παντὶ τῷ Ἡρῴδου γένει, καὶ τούτων πολλῆς ἐπικουρίας δεομένων.

10 πρότερον δὲ ἢ κύρωσίν τινα τούτων γενέσθαι, Μαλθάκη τε ἡ Ἀρχελάου μήτηρ νόσῳ τελευτᾷ, καὶ παρὰ Ὄαρου τοῦ Συρίας στρατηγοῦ παρῆν γράμματα τὴν Ἰουδαίων ἀπόστασιν διασαφοῦντα. τοῦ γὰρ Ἀρχελάου μετὰ τὸν ἔκπλουν ἐθορυβήθη τὸ πᾶν ἔθνος, καὶ Ὄαρος αὐτός, ἐπεὶ παρῆν, τοὺς αἰτίους τῆς κινήσεως τιμωρίᾳ περιβαλών, καὶ τοῦ πλείστου τῆς στάσεως ἐπίσχεσιν ποιησάμενος πολλῆς γενομένης, ἐπ' Ἀντιοχείας τὴν ἀναζυγὴν ἐποιεῖτο, τάγμα ἐν τῆς στρατιᾶς ἐν Ἱεροσολύμοις λειπόμενος, τὴν Ἰουδαίων νεωτεροποιίαν ἐπιστομιοῦντας. οὐ μὴν ἐπεραίνετό γε οὐδὲν ἐπὶ παύλῃ τοῦ μὴ οὐ στασιάσοντος αὐτῶν. ὅ τε γὰρ Ὄαρος ἀπῆει, καὶ Σαβῖνος ὁ ἐπίτροπος τοῦ Καίσαρος ὑπομείνας αὐτόθι

Digitized by Google

μεγάλως τοὺς Ἰουδαίους κατεπόνει, στρατείᾳ τε τῇ κατελελειμμένῃ πιστεύων ὡς καὶ περιέσοιτο αὐτῶν καὶ τῷ πλήθει. πολλοὺς γὰρ ὁπλίσας δορυφόρους ἐχρῆτο αὐτοῖς, ἐπείγων τοὺς Ἰουδαίους καὶ ἐκταράσσων ἐπὶ ἀποστάσει· τάς τε γὰρ ἄκρας ἐβιάζετο παραλαμβάνειν, καὶ τῶν βασιλικῶν χρημάτων ἐπ' ἐρεύνῃ προθύμως ὥρμητο [βίᾳ] διὰ κέρδη καὶ πλεονεξιῶν ἐπιθυμίας.

ἐνστάσης δὲ τῆς πεντηκοστῆς (ἑορτὴ δὲ ἡμῶν ἐστι πάτριος τοῦτο κεκλημένη) οὔτι κατὰ τὴν θρησκείαν μόνον παρῆσαν, ἀλλ' ὀργῇ φέροντες τὴν παροινίαν τῆς Σαβίνου ὕβρεως μυριάδες συνηθροίσθησαν ἀνθρώπων καὶ πάνυ πολλαί, Γαλιλαίων τε καὶ Ἰδουμαίων, Ἱεριχουντίων τε ἡ πληθύς, καὶ ὁπόσοι περάσαντες Ἰορδάνην ποταμὸν οἰκοῦσιν, αὐτῶν τε Ἰουδαίων πλῆθος ἦν, οἳ πρὸς πάντας συνειλέχατο, καὶ πολὺ προθυμότεροι τῶν ἄλλων ἐπὶ τιμωρίᾳ τοῦ Σαβίνου ὡρμήκεσαν. καὶ τρία μέρη νεμηθέντες ἐπὶ τοσῶνδε στρατοπεδεύονται χωρίων, οἳ μὲν τὸν ἱππόδρομον ἀπολαβόντες, καὶ τῶν δὲ λοιπῶν δύο μερῶν οἳ μὲν τῷ βορείῳ τοῦ ἱεροῦ πρὸς μεσημβρίαν τετραμμένοι τὴν ἑῴαν μοῖραν εἶχον, μοῖρα δὲ αὐτῶν ἡ τρίτη τὰ πρὸς δυόμενον ἥλιον, ἔνθα καὶ τὸ βασίλειον ἦν. ἐπράσσετο δὲ τὰ πάντα αὐτοῖς ἐπὶ πολιορκίᾳ τῶν Ῥωμαίων ἁπανταχόθεν αὐτοῖς ἀποκεκλεισμένων. καὶ Σαβῖνος (ἔδεισε γὰρ τό τε πλῆθος αὐτῶν καὶ τὰ φρονήματα ἀνδρῶν ἐν ὀλίγῳ τὸ θανεῖν ποιουμένων ὑπὸ τοῦ ἡττᾶσθαι μὴ ἐθέλειν ἐφ' οἷς ἀρετὴ κρίνοιτο ἂν τὸ νικᾶν) παραχρῆμά τε ὡς τὸν Ὄαρον ἔπεμπε γράμματα, καὶ τὸ σύνηθες, οὐκ ἀνίει κελεύων ἐκ τοῦ ὀξέος βοηθεῖν ὡς κινδύνου μεγίστου τὸ ἐγκαταλειφθὲν στράτευμα περιεσχηκότος, διὰ τὸ μὴ εἰς μακρὰν ἐλπίζειν κατακοπήσεσθαι ληφθέντας αὐτούς. αὐτὸς δὲ τοῦ φρουρίου τὸν ὑψηλότατον τῶν πύργων καταλαβόμενος

Digitized by Google

Φασάηλον, ἐπὶ τιμῇ τοῦ Ἡρώδου ἀδελφοῦ Φασαήλου ᾠκοδομημένον τε καὶ οὕτως εἰρημένον τελευτῆς ὑπὸ Παρθυαίων αὐτῷ γενομένης, κατέσειε τοῖς Ῥωμαίοις ἐπεξιέναι τοῖς Ἰουδαίοις, αὐτὸς μὲν οὐδ' εἰς τοὺς φίλους τολμῶν κατιέναι, τοὺς δ' ἄλλους προαποθνήσκειν αὐτοῦ τῆς πλεονεξίας δικαιῶν. τολμησάντων δ' εἰς τὴν ἔξοδον τῶν Ῥωμαίων, μάχη συνῆει καρτερὰ καὶ οἱ Ῥωμαῖοι τῶν πολεμίων ἔργῳ ἐκράτουν. οὐ μὴν τὰ φρονήματά γε τοῖς Ἰουδαίοις ἔκαμνε τῇ ὄψει τοῦ δεινοῦ, πολλῶν αὐτοῖς πεπτωκότων, περιοδεύσαντες δ' ἀνίασιν ἐπὶ τὰς στοὰς αἵπερ ἦσαν τοῦ ἱεροῦ τὸν ἔξωθεν περίβολον περιέχουσαι, καὶ πολλῆς μάχης γενομένης λίθους τε ἠφίεσαν, τοὺς μὲν ἐκ χειρὸς ὑπάραντες τοὺς δὲ σφενδονῶν, ἀθληταὶ τρόπου τοιαύτης μάχης ὄντες, καὶ οἱ τοξόται πάντες παρατεταγμένοι μεγάλα ἔβλαπτον τοὺς Ῥωμαίους διὰ τὸ ὑπερδέξιοί τε εἶναι καὶ ἐπιχειρεῖσθαι μὲν ἄποροι διὰ τὸ ἀνέφικτοι τοῖς εἰσακοντίζειν πειρωμένοις εἶναι, ῥᾴους δὲ κρατεῖσθαι τοὺς πολεμίους ἔχοντες. καὶ πολὺν μὲν χρόνον ἡ μάχη συνέστη τοιάδε οὖσα, ἔπειτα Ῥωμαῖοι δεινῶς φέροντες τοῖς δρωμένοις πῦρ ἐνιᾶσι ταῖς στοαῖς, λαθόντες Ἰουδαίων τοὺς ἀναβεβηκότας ἐπ' αὐτάς. καὶ τὸ πῦρ ὑπό τε πολλῶν προστιθέμενον καὶ μετὰ τῶν ἐγείρειν φλόγα δυναμένων ἥπτετο τοῦ ὀρόφου ᾗ τάχος. ἡ δὲ ξύλωσις παρέχουσα πίσσης τε καὶ κηροῦ πλέον, ἔτι δὲ κηρῷ χρυσὸν ἐπαληλιμμένον, εὐθέως εἶκεν· ἔργα τε μεγάλα ἐκεῖνα καὶ ἀξιολογώτατα ἠφανίζετο, καὶ τοὺς ὑπὲρ τῶν στοῶν ὄλεθρος οὗτος ἀπροσδόκητος κατέλαβεν. οἱ μὲν γὰρ τοῦ ὀρόφου καταρραγέντος συγκατεφέροντο αὐτῷ, τοὺς δὲ περισταδὸν ἔβαλλον οἱ πολέμιοι· πολλοὶ δὲ ἀπορίᾳ τε σωτηρίας καὶ ἐκπλήξει κακοῦ τοῦ περιεστηκότος οἱ μὲν εἰς τὸ πῦρ ἐπαφεῖσαν ἑαυτούς, οἱ δὲ καὶ τοῖς ξίφεσι χρώ-

Digitized by Google

μενοι διάδρασιν αὐτοῦ ἐποιοῦντο. ὁπόσοι δὲ εἰς τὸ κατάπαν χωρήσαντες ὁδῷ ᾗ ἀναβεβήκεσαν ἐσώζοντο, οἱ Ῥωμαῖοι πάντας ἔκτειναν γυμνούς τε ὄντας καὶ τὰ φορτήματα ἐκλελυμένους, οὐδὲν τῆς ἀπονοίας διὰ τὸ ἄνεπίλον βοηθεῖν δυναμένης. ἐσώθη δὲ τῶν ἀνελθόντων ἐπὶ τὸ τέγος οὐδ' ὁστισοῦν. καὶ οἱ Ῥωμαῖοι διὰ τοῦ πυρὸς ᾗ παρείκοι ὠσθέντες ἐκράτουν τοῦ θησαυροῦ, καθ' ὃν ἱερὰ ἦν χρήματα· καὶ διεκλάπη μὲν πολλὰ ὑπὸ τῶν στρατιωτῶν, Σαβῖνος δὲ περιεποίησεν εἰς τὸ φανερὸν τετρακόσια τάλαντα.

Ἰουδαίους δὲ ἐλύπει μὲν τὸ πάθος τῶν φίλων οἳ ἐν 3
τῇδε ἔκεσον τῇ μάχῃ, ἐλύπει δὲ καὶ τῶν ἀναθημάτων
ἡ ἀφαίρεσις. οὐ μὴν ἀλλ' ὅπερ αὐτῶν ἐτύγχανε συνεστραμμένον καὶ μαχιμώτατον, τούτῳ ἐμπεριέχοντες τὸ βασίλειον ἠπείλουν πῦρ τε ἐνήσειν αὐτῷ καὶ πάντας κτείνειν, κελεύοντες ᾗ τάχος ἀπιέναι, καὶ πειθομένοις ὑπισχνούμενοι ἄδειαν, καὶ Σαβίνῳ σὺν αὐτοῖς. καὶ τῶν βασιλικῶν τὸ πλεῖστον ηὐτομόλησαν πρὸς αὐτούς· Ῥοῦφος δὲ καὶ Γρᾶτος τρισχιλίους τὸ μαχιμώτατον τοῦ Ἡρώδου στρατεύματος ἔχοντες, ἄνδρας τοῖς σώμασι δραστηρίους, Ῥωμαίοις προστίθενται. καί τι καὶ ἱππικὸν ἦν ὑπὸ τῷ Ῥούφῳ τεταγμένον, ὃ καὶ αὐτὸ προσθήκη τῶν Ῥωμαίων ἐγεγόνει. Ἰουδαίοις δὲ οὐκ ἠμέλητο ἡ πολιορκία, ἀλλὰ καὶ τὰ τείχη μετήλλευον, καὶ τοῖς μεταβαλλομένοις ἐκέλευον μὴ ἐμποδισταῖς εἶναι τοῦ ἀπολήψομένου χρόνῳ παροῦσαν αὐτοῖς ἐλευθερίαν τὴν πάτριον. Σαβίνῳ μὲν οὖν εὐκτὸν ἦν ἀπιέναι μετὰ τῶν στρατιωτῶν, πιστεύειν δ' οὐχ οἷός τε ἦν διὰ τὰ πεπραγμένα, καὶ τὸ λίαν εὔγνωμον τῶν πολεμίων ἐπ' ἀποτροπῇ τοῦ κατασταθησομένου εἶχεν· ἅμα δὲ καὶ τὸν θάρσος ἥξειν προσδοκῶν ὑπέμενε τὴν πολιορκίαν.

ἐν τούτῳ δὲ καὶ ἕτερα μύρια θορύβων ἐχόμενα τὴν 4

Digitized by Google

Ἰουδαίαν κατελάμβανε, πολλῶν πολλαχόσε κατ᾽ οἰκείαν ἐλπίδας κερδῶν καὶ Ἰουδαίων ἔχθρας ἐπὶ τὸ πολεμεῖν ὡρμημένων. δισχίλιοι μὲν τῶν ὑφ᾽ Ἡρώδῃ ποτὲ στρατευσαμένων καὶ ἤδη καταλελυκότες ἐν αὐτῇ Ἰουδαίᾳ συστάντες προσεπολέμουν τοῖς βασιλικοῖς, ἀντιστατοῦντος αὐτοῖς Ἀχιάβου τοῦ Ἡρώδου ἀνεψιοῦ, καὶ τῶν μὲν πεδίων εἰς τὰ μετέωρα ἀνεωσμένου δι᾽ ἐμπειρίαν τὴν εἰς τὰ πολεμικὰ τῶν ἀνδρῶν, ταῖς δὲ δυσχωρίαις σώζον-
5 τος ὁπόσα δυνατά. Ἰούδας δὲ ἦν Ἐζεκίου τοῦ ἀρχιληστοῦ υἱός, ἐπὶ μέγα δυνηθέντος, ὑφ᾽ Ἡρώδου δὲ μεγάλοις ληφθέντος πόνοις. οὗτος οὖν ὁ Ἰούδας περὶ Σέπφωριν τῆς Γαλιλαίας συστησάμενος πλῆθος ἀνδρῶν ἀπονενοημένων ἐπιδρομὴν τῷ βασιλείῳ ποιεῖται, καὶ ὅπλων κρατήσας ὁπόσα αὐτόθι ἀπέκειτο, ὡπλίζε τοὺς περὶ αὐτὸν καθ᾽ ἕνα, καὶ ἀποφέρεται χρήματα ὁπόσα κατελείφθη αὐτόθι, φοβερός τε ἅπασιν ἦν ἄγων καὶ φέρων τοὺς προστυγχάνοντας, ἐπιθυμίᾳ μειζόνων πραγμάτων καὶ ζηλώσει βασιλείου τιμῆς, οὐκ ἀρετῆς ἐμπειρίᾳ τοῦ δὲ ὑβρίζειν περιουσίᾳ κτήσεσθαι προσδοκῶν γέρας τὸ ἐντεῦθεν.

6 ἦν δὲ καὶ Σίμων δοῦλος μὲν Ἡρώδου τοῦ βασιλέως, ἄλλως δὲ ἀνὴρ εὐπρεπὴς καὶ μεγέθει καὶ ῥώμῃ σώματος ἐπὶ μέγα προύχων τε καὶ πεπιστευμένος. οὗτος ἀρθεὶς τῇ ἀκρασίᾳ τῶν πραγμάτων διάδημά τε ἐτόλμησε περιθέσθαι, καί τινος πλήθους συστάντος καὶ αὐτὸς βασιλεὺς ἀναγγελθεὶς μανίᾳ τῇ ἐκείνων, καὶ εἶναι ἄξιος ἐλπίσας παρ᾽ ὁντινοῦν, τὸ ἐν Ἱεριχοῦντι βασίλειον πίμπρησι, δι᾽ ἁρπαγῆς ἄγων τὰ ἐγκαταλελειμμένα. πολλὰς δὲ καὶ ἄλλας τῶν βασιλικῶν οἰκήσεων πολλαχοῦ τῆς χώρας πῦρ ἐνιεὶς ἠφάνιζε, τοῖς συνεστηκόσι λείαν ἄγειν τὰ ἐγκαταλελειμμένα ἐπιτρέπων. ἐπέπρακτο δ᾽ ἂν τι μεῖζον ἀπ᾽ αὐτοῦ μὴ ταχείας ἐπιστροφῆς γενομένης· ὁ

Digitized by Google

γὰρ Γράτος, τῶν βασιλικῶν στρατιωτῶν Ῥωμαίοις προστεθειμένος, μεθ' ἧς εἶχε δυνάμεως ὑπαντιάζει τὸν Σίμωνα, καὶ μάχης αὐτοῖς μεγάλης ἐπὶ πολὺ γενομένης τό τε πολὺ τῶν Περαίων, ἀσύντακτοι ὄντες καὶ τόλμῃ μᾶλλον ἢ ἐπιστήμῃ μαχόμενοι, διεφθάρησαν, καὶ αὐτοῦ Σίμωνος, φυγῇ διά τινος φάραγγος σώζοντος αὐτόν, Γράτος ἐντυχὼν τὴν κεφαλὴν ἀποτέμνει. κατεπρήσθη δὲ καὶ τὰ ἐπὶ τῷ Ἰορδάνῃ ποταμῷ ἐν Ἀμαθοῖς βασίλεια ὑπὸ τινῶν συστάντων ἀνδρῶν Σίμωνι παραπλησίων. οὕτω πολλὴ ἀφροσύνη ἐνεπολίτευσε τῷ ἔθνει διὰ τὸ βασιλέα μὲν οἰκεῖον οὐκ εἶναι τὸν καθέξοντα τὸ πλῆθος ἀρετῇ, τοὺς δὲ ἀλλοφύλους ἐπελθόντας σωφρονιστὰς τοῦ στασιάσοντος τῶν ἀνθρώπων ὑπέκκαυμα αὐτῶν διά τε τοῦ ὑβρίζειν καὶ πλεονεκτεῖν γενέσθαι, ἐπεὶ καὶ 7
Ἀθρόγγης, ἀνὴρ οὔτε προγόνων ἐπιφανὴς ἀξιώματι οὔτε ἀρετῆς περιουσίᾳ ἢ τινῶν πλήθει χρημάτων, ποιμὴν δὲ καὶ ἀνεπιφανὴς τοῖς πᾶσιν εἰς τὰ πάντα ὤν, ἄλλως δὲ μεγέθει σώματος καὶ τῇ κατὰ χεῖρας ἀλκῇ διαπρέπων, ἐτόλμησεν ἐπὶ βασιλείᾳ φρονῆσαι, καὶ διὰ τὴν ἡδονὴν τοῦ πλέον ὑβρίσαι καὶ θνήσκων οὐκ ἐν μεγάλοις τίθεσθαι τῆς ψυχῆς τὸ ἐπὶ τοιοῖσδε ἀνάλωμα γενησόμενον. ἦσαν δὲ αὐτῷ καὶ ἀδελφοὶ τέσσαρες, μεγάλοι τε καὶ αὐτοὶ καὶ ἐπὶ μέγα προύχειν τῇ κατὰ χεῖρας ἀρετῇ πεπιστευμένοι, πρόβλημα εἶναι τῆς καθέξεως τῆς βασιλείας δοκοῦντες. λόχου τε αὐτῶν ἦρχεν ἕκαστος· συλλέγεται γὰρ μεγάλη πληθὺς πρὸς αὐτούς. καὶ οἱ μὲν στρατηγοὶ ἦσαν, καὶ ὑπεστρατήγουν αὐτῷ ὁπόσα εἰς τὰς μάχας φοιτῶντες δι' αὐτῶν· ὁ δὲ διάδημα περιθέμενος βουλευτήριόν τε ἦγεν ἐπὶ τοῖς ποιητέοις καὶ τὰ πάντα γνώμῃ ἀνακείμενα εἶχε τῇ αὐτοῦ. διέμενέ τε ἐπὶ πολὺ τῷδε τῷ ἀνδρὶ ἡ ἰσχύς, βασιλεῖ τε κεκλημένῳ καὶ ἃ πράσσειν ἐθέλοι μὴ ἀποστερουμένῳ. φόνῳ τε καὶ αὐ-

Digitized by Google

τὸς καὶ οἱ ἀδελφοὶ ἦσαν ἐπὶ μέγα προσκείμενοι Ῥωμαίων τε καὶ τῶν βασιλικῶν, μίσει πολιτεύοντες ὁμοίως πρὸς ἀμφοτέρους, τούτους μὲν ὕβρει ᾗ χρήσαιντο ἐπὶ τῆς Ἡρώδου ἀρχῆς, Ῥωμαίους δὲ ὧν εἰς τὸ παρὸν ἔδοξαν ἀδικεῖν. προϊόντος δὲ τοῦ χρόνου καὶ ἐπὶ πλεῖον ὁμοίως ἐξηγρίωσαν. διάζευξίς τε οὐκ ἦν τοῖς πᾶσιν ἐν πᾶσι, τὰ μὲν κέρδους ἐλπίδι, τὰ δὲ καὶ συνηθείᾳ τοῦ φονεύειν. ἐπιτίθενται δέ ποτε καὶ Ῥωμαίων λόχῳ κατὰ Ἔμμαοῦντα, οἳ σῖτόν τε καὶ ὅπλα τῆς στρατιᾶς ἔφερον· καὶ περιστάντες Ἄρειον μὲν τὸν ἑκατόνταρχον, ὃς ἡγεῖτο τοῦ τάγματος, καὶ τεσσαράκοντα τῶν περὶ αὐτὸν πεζῶν τοὺς κρατίστους κατηκόντισαν· οἱ δὲ λοιποὶ δείσαντες πρὸς τὸ πάθος αὐτῶν, Γράτου σὺν τοῖς βασιλικοῖς οἳ περὶ αὐτὸν ἦσαν σκέπης αὐτοῖς γενομένης, σώζονται τοὺς νεκροὺς καταλιπόντες. καὶ πολὺν μὲν χρόνον τοιουτοτρόποις χρώμενοι μάχαις, Ῥωμαίους τε παρελύπησαν οὐκ ὀλίγα καὶ τὸ ἔθνος ἐκάκωσαν ἐπὶ μέγα. χειροῦνται δ' οὖν χρόνῳ ὕστερον, ὃ μὲν Γράτῳ συμβαλὼν ὃ δὲ Πτολεμαίῳ· καὶ τὸν πρεσβύτατον Ἀρχελάου λαβόντος, ὁ τελευταῖος πάθει τε τῷ ἐκείνου λελυπημένος, καὶ ἄπορον ἐπὶ πλέον ὁρῶν τὴν σωτηρίαν ὑπὸ μονώσεως καὶ καμάτου πολλοῦ, ψιλωθεὶς τῆς δυνάμεως ἐπὶ δεξιαῖς καὶ πίστει τοῦ θείου Ἀρχελάῳ παραδίδωσιν αὐτόν.

8 καὶ τάδε μὲν ὕστερον γίνεται, λῃστηρίων δὲ ἡ Ἰουδαία ἔμπλεως ἦν, καὶ ὡς ἂν παρατύχοιέν τινι οἱ συστασιάσαντες αὐτῷ, βασιλεὺς προϊστάμενος ἐπ' ὀλέθρῳ τοῦ κοινοῦ ἠπείγετο, ὀλίγα μὲν καὶ ἐπ' ὀλίγοις Ῥωμαίοις λυπηροὶ καθιστάμενοι, τοῦ δὲ ὁμοφύλου φόνον ἐπὶ μήκιστον ἐμποιοῦντες.

9 Οὖαρος δὲ ἐπειδὴ τὸ πρῶτον πυνθάνεται τὰ πεπραγμένα Σαβίνου γράψαντος πρὸς αὐτόν, δείσας περὶ

Digitized by Google

τοῦ τάγματος, δύο τὰ λοιπὰ ἀναλαβών (τρία γὰρ ἐπὶ Συρίας τὰ πάντα ἦν) καὶ ἵλας ἱππέων τέσσαρας, ὁπόσα τε ἐπικουρικὰ ἢ βασιλεῖς ἢ τινες τετράρχαι τότε παρεῖχον, ἠπείγετο βοηθεῖν τοῖς ἐν Ἰουδαίᾳ τότε πολιορκουμένοις. εἴρητο δὲ πᾶσιν εἰς Πτολεμαΐδα ἐπείγεσθαι, ὁπόσοι προεξεπέμποντο. διδόασί τε αὐτῷ καὶ Βηρύτιοι, θυόντι αὐτῶν τὴν πόλιν, ἐπικούρους πεντακοσίους καὶ χιλίους. πέμπει δὲ καὶ Ἀρέτας ὁ Πετραῖος, ἔχθει τῷ Ἡρῴδου φιλίαν τὴν Ῥωμαίων κτώμενος, συμμαχίαν οὐκ ὀλίγην, χωρὶς πεζῶν τε καὶ ἱππέων. συναχθείσης δ' ἐν Πτολεμαΐδι πάσης ἤδη τῆς δυνάμεως, μέρος τι τούτης τῷ υἱῷ παραδοὺς καὶ ἑνὶ τῶν αὐτοῦ φίλων Γαλιλαίους ἐξέπεμπε πολεμεῖν, οἳ τὰ Πτολεμαΐδος ἐχόμενα κατοικοῦσιν· ὃς ἐμβαλὼν τούς τε ἀντικαταστάντας εἰς μάχην τρέπεται, καὶ Σέπφωριν ἑλὼν τοὺς μὲν οἰκήτορας ἠνδραποδίσατο τὴν δὲ πόλιν ἐνέπρησεν. αὐτὸς δὲ Θάρος ἐπὶ Σαμαρείας τῷ παντὶ στρατῷ προῆν τῆς μὲν πόλεως ἀπέσχε διὰ τὸ ἀνέγκλητον ἐπὶ τοῖς νεωτερισμοῖς εἶναι, στρατοπεδεύεται δὲ ἔν τινι κώμῃ Πτολεμαίου πήματι· Ἄρους ὄνομα αὐτῇ. καὶ οἱ Ἄραβες μίσει τῷ Ἡρῴδου ἐμπιπρᾶσιν αὐτήν, ἐχθρῶς καὶ πρὸς φίλους τοὺς ἐκείνου ἔχοντες. ἐκεῖθεν δὲ προϊόντες Σαμφὼ κώμην ἑτέραν διήρπασάν τε οἱ Ἄραβες καὶ ἔκαυσαν, πάνυ ἐρυμνὴν οὖσαν καὶ ὀχυράν. ἐν δὲ τῇ προόδῳ οὐδὲν αὐτοὺς διέφυγεν, ἀλλὰ πυρὸς καὶ φόνου τὰ πάντα μεστὰ ἦν. πέμπραται δὲ καὶ Ἐμμαοῦς, Θάρου κελεύσαντος ἐπ' ἐκδικίᾳ τῶν ἐντετελευτηκότων, προεκλειφθεῖσα ὑπὸ τῶν οἰκητόρων. ἐντεῦθεν δὲ καὶ Ἱεροσολύμοις ἤδη συνῆπτε, καὶ Ἰουδαίων οἱ κατὰ πολιορκίαν τοῦ τάγματος τῇδε στρατοπεδευόμενοι τὴν ὄψιν τῆς προσόδου τῶν στρατευμάτων οὐχ ὑπομείναντες ᾤχοντο, ἡμίεργον τὴν πολιορκίαν καταλιπόντες. οἱ δ' ἐν τοῖς Ἱεροσολύμοις

Digitized by Google

Ἰουδαῖοι, δεινῶς τοῦ Θάρου σφίσιν ἐγκαλοῦντος, ἀπελύοντο τὰς αἰτίας ὡς τῆς μὲν συνόδου τῆς πληθύος διὰ τὴν ἑορτὴν γενομένης, τοῦ δὲ πολέμου μηδαμῇ γνώμῃ τῇ αὐτῶν, τόλμῃ δὲ τῶν ἐπηλύδων, συνελθόντες αὐτοῖς καὶ συμπολιορκηθέντες Ῥωμαίοις μᾶλλον ἢ πολιορκεῖν προθυμίαν ἔχοντες. προαπηντήκασι δὲ τῷ Θάρῳ Ἰώσηπός τε ἀνεψιὸς Ἡρώδου βασιλέως, Γρᾶτός τε καὶ Ῥοῦφος τοὺς ὑπ' αὐτοῖς τῶν στρατιωτῶν ἄγοντες, καὶ τῶν Ῥωμαίων οἱ πολιορκούμενοι. Σαβῖνος δὲ οὐκ ἀφίκετο Θάρῳ εἰς ὄψιν, ἀλλ' ὑπεξῆλθε τῆς πόλεως ἐπὶ θάλασσαν.

10 Θᾶρος δὲ κατὰ τὴν χώραν πέμψας τοῦ στρατοῦ μέρος ἐπεζήτει τοὺς αἰτίους τῆς ἀποστάσεως, καὶ σημαινομένων τοὺς μὲν ἐκόλασεν ὡς αἰτιωτάτους, εἰσὶ δ' οὓς καὶ ἀφῆκεν. ἐγένοντο δὲ οἱ διὰ ταύτην τὴν αἰτίαν σταυρωθέντες δισχίλιοι. μετὰ δὲ τοῦτο τὴν μὲν αὐτοῦ στρατιὰν ἀποπέμπεται, χρήσιμον μὲν ὁρῶν ἐπ' οὐδαμοῖς οὖσαν πράγμασι· πολλὰ γὰρ ἠτέκτητο αὐτοῖς καὶ παρήκουστο τῶν δογμάτων καὶ ὧν ἠξίου Θᾶρος, ἐφέσει κερδῶν ἃ ἐκ τοῦ κακουργεῖν περιεγένοντο αὐτοῖς· αὐτὸς δὲ μυρίους Ἰουδαίους συνεστηκέναι πυνθανόμενος ἠπείγετο εἰς κατάληψιν αὐτῶν. οἱ δὲ οὐχ ἧκον εἰς χεῖρας, ἀλλὰ παρέδοσαν αὐτοὺς γνώμῃ τῇ Ἀχιάβου συνελθόντες. καὶ Θᾶρος τῷ πλήθει συγχωρῶν τὰς αἰτίας τῆς ἀποστάσεως, ἔπεμπεν ἐπὶ Καίσαρα ὁπόσοι ἡγεμόνες ἦσαν αὐτῶν. Καῖσαρ δὲ τοὺς μὲν αὐτῶν πολλοὺς διῆκεν, ὁπόσοι δὲ συγγενεῖς ὄντες Ἡρώδου συνεστράτευον αὐτοῖς, τοὺς δὲ ἐκόλασε μόνους, οἳ μηδὲν φροντίσαντες τοῦ δικαίου κατὰ τῶν οἰκείων ἐστράτευον.

11 Θᾶρος μὲν δὴ ταῦτα καταστησάμενος, καὶ φρουρὰν Ἱεροσολύμων τὸ καὶ πρότερον καταλιπὼν τάγμα, ἐπ' Ἀντιοχείας ἠπείγετο· Ἀρχελάῳ δὲ ἐπὶ Ῥώμης ἑτέρων

Digitized by Google

πραγμάτων ἐφύοντο ἀρχαὶ κατὰ τοιαύτας αἰτίας. ἀφίκτο εἰς τὴν Ῥώμην πρεσβεία Ἰουδαίων, Βάρου τὸν ἐπίστολον αὐτῶν τῷ ἔθνει ἐπικεχωρηκότος, ὑπὲρ αἰτήσεως αὐτονομίας. καὶ ἦσαν οἱ μὲν πρέσβεις οἱ ἀποστάντες γνώμῃ τοῦ ἔθνους πεντήκοντα, συνίσταντο δὲ αὐτοῖς τῶν ἐπὶ Ῥώμης Ἰουδαίων ὑπὲρ ὀκτακισμυρίους. Καίσαρός τε συνέδριον φίλων τε τῶν αὐτοῦ καὶ Ῥωμαίων τῶν πρώτων συναγαγόντος ἐν ἱερῷ Ἀπόλλωνος μεγάλοις τέλεσιν ὑπ' αὐτοῦ ἱδρυμένῳ, οἱ μὲν πρέσβεις μετὰ τοῦ πλήθους τῶν αὐτόθεν Ἰουδαίων ἀφικνοῦνται, Ἀρχέλαος δὲ μετὰ τῶν φίλων. ὁπόσοι δὲ συγγενεῖς ἦσαν τοῦ βασιλέως, Ἀρχελάῳ μὲν συντετάχθαι διὰ μῖσος τὸ πρὸς αὐτὸν ὕστερον, τοῖς δὲ πρέσβεσιν ὁμοψηφεῖν κατ' αὐτοῦ δεινὸν ἡγοῦντο, ἐν αἰσχύνῃ τῇ αὐτῶν οἰόμενοι γενήσεσθαι παρὰ Καίσαρι κατ' ἀνδρὸς οἰκείου τάδε πράσσειν προθυμεῖσθαι. παρῆν δὲ ἤδη καὶ Φίλιππος ἀπὸ Συρίας, ἐξοτρύναντος αὐτὸν Βάρου, τὸ μὲν παράλαιον ἐπὶ συνηγορίᾳ τἀδελφοῦ (πάνυ γὰρ εὐνόει Βάρος αὐτῷ), γινομένης δὲ τῇ βασιλείᾳ μεταπτώσεως (καὶ τάδε ὑπώπτευεν Βάρος, νέμησιν αὐτῆς γενήσεσθαι διὰ τὸ πολλοὺς εἶναι τοὺς αὐτονομίας γλιχομένους) οὐχ ὑστεριῶν τοῦ κἂν αὐτὸς μοῖραν αὐτῆς τινὰ φέρεσθαι.

λόγου οὖν τοῖς Ἰουδαίοις πρέσβεσι δοθέντος, οἳ ἐπὶ 2
καλύσει τῆς βασιλείας ἤλπιζον λέγειν, ἐπὶ κατηγορίαν τῶν Ἡρῴδου παρανομιῶν τρέπονται, βασιλέα μὲν ὀνόματι ἀποφαίνοντες αὐτόν, τῶν δὲ ἐν ταῖς τυραννίσιν ἐπίστασιν τὸ ἀνήκεστον ἀναδεξόμενον εἰς αὐτὸν ἐπ' ὀλέθρῳ τῶν Ἰουδαίων συνῳδότα κεχρῆσθαι, τὰ πολλὰ καὶ φύσει τῇ αὐτοῦ προσκαινουργεῖν οὐκ ἀπηλλαγμένον. πολλῶν γοῦν ὄντων οἳ ὀλέθρους ἀπολοίλοιεν οἵους οὐχ ἱστορῆσαί πω πρότερον, πολλῷ δυστυχεστέρους τοῦ

Digitized by Google

πάθους ἐκείνων τοὺς ζῶντας εἶναι, οὐ μόνον ὧν ὄφει καὶ διανοίᾳ ἐπ' αὐτοῖς ἀνιαθεῖεν, ἀλλὰ καὶ ὧν ταῖς οὐσίαις. πόλεις τε τὰς μὲν περιοικίδας καὶ ὑπὸ ἀλλοφύλων οἰκουμένας κοσμοῦντα μὴ παύσασθαι μετὰ κατα-λύσεώς τε καὶ ἀφανισμοῦ τῶν ἐν τῇ ἀρχῇ αὐτοῦ κατφκημένων, πενίας δὲ ἀπόρου τὸ ἔθνος ἀναπεπληκέναι, σὺν ὀλίγοις εὔδαιμον παρειληφότα, τῶν τε εὐπατριδῶν, ὁπότε κτείνειεν αὐτοὺς ἐπ' ἀλόγοις αἰτίαις, τὰς οὐσίας ἀποφερόμενον, καὶ οἷς συγχωρήσειε τὴν ἄδειαν τοῦ ζῆν, ψίλωσιν χρημάτων καταδικάζοντα. καὶ χωρὶς μὲν πράσσεσθαι φόρους ἐπιβαλλομένους ἑκάστοις τὸ ἐπ' ἔτος, χωρὶς δὲ εὐπορίας εἶναι παρακαταβολὰς αὐτῷ τε καὶ οἰκείοις καὶ φίλοις καὶ τῶν δούλων οἳ ἐπ' ἐκπράξει τῶν φόρων ἀξιοῖεν, διὰ τὸ μὴ εἶναι κτῆσιν τοῦ ἀνυβρίστου μηδὲ οὔτως, μηδὲ ἀργυρίων διδομέναν. παρθένων μέντοι φθορὰς καὶ γυναικῶν αἰσχύνας, ὁπόσας ἐπὶ παροινίᾳ καὶ ἀπανθρωπίᾳ δρωμένας, σιγᾶν διὰ τὸ ἡδονὴν ἴσην εἶναι τοῖς πεπονθόσι τοῦ μὴ γεγονέναι τὴν ἐκ τοῦ ἀνέκπυστα αὐτὰ εἶναι. τοσήνδε Ἡρώδην ἐπεισάγεσθαι τὴν ὕβριν αὐτοῖς ὁπόσην οὐδ' ἂν θηρίον, ἀνθρώπων ἐπιστατεῖν δυνάμεως αὐτῷ παραγενομένης. πολλῶν γοῦν ἀναστάσεων καὶ μεταστάσεων παραλαβουσῶν τὸ ἔθνος, οὐδεμίαν ἱστορῆσθαι πώποτε τοιάνδε δυστυχίαν ἐπελθοῦσαν αὐτῷ οἵαν αὐτὸς Ἡρώδης ἐπετίθει τῷ ἔθνει. καὶ διὰ ταῦτ' εἰκότως ἂν γενέσθαι τὸ ἀσμένως Ἀρχέλαον βασιλέα προσειπεῖν, οἰομένους πάντα ὀντινοῦν τὸν ἐπὶ τὴν βασιλείαν ἐσόμενον Ἡρώδου μετριώτερον φανεῖσθαι, καὶ τόν τε πατέρα συνολοφύρασθαι αὐτῷ θεραπεύοντας, εἰ δὲ μετρίου τυχεῖν δυνηθείεν, καὶ τὰ ἄλλα οἰκειουμένους. τὸν δὲ δείσαντα μὴ οὐχ Ἡρώδου γνήσιος πιστεύοιτο υἱός, οὐδὲν εἰς ἀναβολὰς ἀλλ' ἐκ τοῦ ὀξέος ἐπάξειν ἂν τῷ ἔθνει τὴν ἀπόνοιαν αὐ-

Digitized by Google

τοῦ, καὶ ταῦτα μηδέπω τέλεον κρατυνάμενον τὴν ἡγεμονίαν διὰ τὸ ἐπὶ Καίσαρι δοῦναι καὶ μὴ τὴν ἐξουσίαν εἶναι. παράδειγμά τε τῆς εἰσαῦθις ἀρετῆς τίθεσθαι τοῖς ἀρθησομένοις μετριότητα καὶ εὐνομίαν, ἣ χρήσαιτο ἂν πρὸς αὐτούς, ἀπὸ τῆς ἐν πρώτοις ἀποδειχθείσης πράξεως ἐπί τε τοῖς πολίταις καὶ τῷ θεῷ, τρισχιλίων ὁμοφύλων ἀνδρῶν σφαγὴν ἐν τῷ τεμένει ποιησάμενον. πῶς οὐκ ἂν ἤδη καὶ δικαίῳ μίσει χρήσασθαι κατ' αὐτῶν, πρὸς τῇ λοιπῇ ὠμότητι καὶ ἔγκλημα τῆς ἀντιστάσεως καὶ ἀντιλογίας ἐπὶ τῇ ἀρχῇ προσφερόμενον; ἦν δὲ κεφάλαιον αὐτοῖς τῆς ἀξιώσεως, βασιλείας μὲν καὶ τοιῶνδε ἀρχῶν ἀπηλλάχθαι, προσθήκην δὲ Συρίας γεγονότας ὑποτάσσεσθαι τοῖς ἐκεῖσε πεμπομένοις στρατηγοῖς· φανερωθήσεσθαι γὰρ οὕτως εἴτε ἀληθῶς στασιώδεις εἶεν καὶ νεωτερισμοῖς τὰ πολλὰ προησκημένοι, εἴτε καὶ εὔτακτοι μετριωτέρων τυχόντες οἳ ἐπιστήσονται αὐτοῖς.

τοιαῦτα δὲ τῶν Ἰουδαίων εἰρηκότων, Νικόλαος τούς 3
τε βασιλεῖς ἀπήλλασσε τῶν ἐγκλημάτων, Ἡρώδην μὲν διὰ τὸ παρ' ὃν ἔξη χρόνον τυχεῖν ἀκατηγόρητον (οὐ γὰρ δεῖν τοὺς ἐγκαλεῖν ἔχοντας ἐπὶ μετρίοις καὶ παρὰ ξῶντας τιμωρίαν λαβεῖν δυναμένους ἐπὶ νεκρῷ κατηγορίαν συντιθέναι), τὰ δὲ ὑπ' Ἀρχελάου πραχθέντα ὕβρει τῇ ἐκείνων ἀνετίθει, οἳ ὀργιγώμενοι πραγμάτων παρὰ τοὺς νόμους, καὶ σφαγῆς ἄρξαντες τῶν κωλύειν ὑβρίζοντας προηθουμένων, ἀμύνης γενομένης ἐγκαλοῖεν. ἐνεκάλει δὲ νεωτεροποιίας αὐτοῖς καὶ τοῦ στασιάζειν ἡδονήν, παιδευσίαν τε τοῦ μὴ ἔκεσθαι δίκῃ καὶ νόμοις ὑπὸ τοῦ θέλειν τὰ πάντα νικᾶν. ταῦτα μὲν οὖν Νικόλαος, Καῖ- 4
σαρ δὲ ἀκούσας διαλύει μὲν τὸ συνέδριον, ὀλίγων δὲ ἡμερῶν ὕστερον Ἀρχέλαον βασιλέα μὲν οὐκ ἀποφαίνεται, τοῦ δὲ ἡμίσεως τῆς χώρας ἧπερ Ἡρώδῃ ὑπετέλει

Digitized by Google

ἐθνάρχην καθίσταται, τιμήσειν ἀξιώματι βασιλείας ὑπισχνούμενος εἴκειν τὴν εἰς αὐτὴν ἀρετὴν προσφέροιτο. τὴν δὲ ἑτέραν ἡμίσειαν νείμας διχῇ δυσὶν Ἡρώδου παισὶν ἑτέροις παρεδίδου, Φιλίππῳ καὶ Ἀντίπᾳ τῷ πρὸς Ἀρχέλαον τὸν ἀδελφὸν ἀμφισβητήσαντι περὶ τῆς ὅλης ἀρχῆς· καὶ τούτῳ μὲν ἥ τε Περαία καὶ τὸ Γαλιλαῖον ὑπετέλουν, φορά τε ἦν τάλαντα διακόσια τὸ ἐπ' ἔτος, Βαταναία δὲ σὺν Τραχωνίτιδι καὶ Αὐρανίτις σύν τινι μέρει οἴκου τοῦ Ζηνοδώρου λεγομένου Φιλίππῳ τάλαντα ἑκατὸν προσέφερε. τὰ δὲ Ἀρχελάῳ συντελοῦντα, Ἰδουμαία τε καὶ Ἰουδαία τό τε Σαμαρειτικόν, τετάρτου μέρους οὗτοι τῶν φόρων παραλέλυντο, Καίσαρος αὐτοῖς κούφισιν ψηφισαμένου διὰ τὸ μὴ συνακοστῆναι τῇ λοιπῇ πληθύι. καὶ ἦσαν πόλεις αἳ Ἀρχελάῳ ὑπετέλουν, Στράτωνός τε πύργος καὶ Σεβαστὴ σὺν Ἰόπῃ καὶ Ἱεροσολύμοις· Γάζα γὰρ καὶ Γάδαρα καὶ Ἵππος Ἑλληνίδες εἰσὶ πόλεις, ἃς ἀπορρήξας αὐτοῦ τῆς διοικήσεως Συρίας προσθήκην ποιεῖται. προσῆει δὲ Ἀρχελάῳ φορὰ χρημάτων τὸ κατ' ἐνιαυτὸν εἰς τάλαντα ἑξακόσια ἐξ ἧς παρέλαβεν ἀρχῆς.

καὶ τάδε μὲν τοῖς Ἡρώδου υἱέσι τῶν πατρῴων παρῆν· Σαλώμῃ δὲ πρὸς οἷς ὁ ἀδελφὸς ἐν ταῖς διαθήκαις ἀπονέμει (Ἰάμνεια δὲ ἦν ταῦτα καὶ Ἄζωτος καὶ Φασαηλὶς καὶ ἀργυρίου ἐπισήμου μυριάδες πεντήκοντα) Καῖσαρ δὴ χαρίζεται καὶ τὴν ἐν Ἀσκάλωνι βασίλειον οἴκησιν. ἦν δὲ καὶ ταύτῃ πρόσοδος ἐκ πάντων τάλαντα ἑξήκοντα τὸ ἐπ' ἔτος, καὶ αὐτῆς ὁ οἶκος ἦν ἐν τῇ Ἀρχελάου ἀρχῇ. κομίζονται δὲ καὶ οἱ λοιποὶ τοῦ βασιλέως συγγενεῖς ὁπόσα αἱ διαθῆκαι διηγόρευον. δυσὶ δὲ αὐτοῦ θυγατράσι παρθένοις, χωρὶς ὧν ὁ πατὴρ κατέλιπε, Καῖσαρ ἑκατέρᾳ δωρεὰν ἐπετίθει μυριάδων ἀνὰ πέντε καὶ εἴκοσι ἀργυρίου ἐπισήμου, καὶ συνῴκισεν αὐτὰς τοῖς

Digitized by Google

Φερώρα υἱέσι. χαρίζεται δὲ καὶ ὁπόσα αὐτῷ καταλέλειπτο τοῖς παισὶ τοῦ βασιλέως, ὄντα πεντακοσίων ταλάντων καὶ χιλίων, ὀλίγα τῶν σκευῶν ὑπεξελόμενος, οὐχ οὕτω μεγέθει τέλους ὡς μνήμῃ τοῦ βασιλέως αὐτῷ κεχαρισμένα.

τούτων δὲ ταύτῃ διατεταγμένων ὑπὸ Καίσαρος, 12
νεανίας Ἰουδαῖος μὲν τὸ γένος, ἐπὶ δὲ τῆς Σιδωνίων πόλεως ἀνατεθραμμένος παρά τινι τῶν Ῥωμαικῶν ἀπελευθέρων, εἰσῴκισεν αὐτὸν εἰς τὴν Ἡρῴδου συγγένειαν ὁμοιότητι μορφῆς ἢ πρὸς Ἀλέξανδρον αὐτῷ τὸν ἀνῃρημένον υἱὸν Ἡρῴδου ἐμαρτυρεῖτο παρὰ τοῖς θεωροῦσι. καὶ τοῦτο παρόρμημα ἦν αὐτῷ εἰς τὸ μεταποιεῖσθαι τῆς ἡγεμονίας. καὶ ὁμοπράγμονα παραλαβὼν ὁμόφυλον ἄνδρα, ἔμπειρον μὲν τῶν ἀμφὶ τὸ βασίλειον, πονηρὸν δὲ ἄλλως καὶ ταράξαι μεγάλα πράγματα φύσιν ἔχοντα, καὶ τοιαύτης κακίας διδάσκαλον αὐτῷ γενόμενον, ἀπέφαινεν αὐτὸν Ἀλέξανδρον καὶ Ἡρῴδου παῖδα ὄντα διαπεπλεγμένον ὑπό τινος τῶν ἀνελεῖν αὐτὸν ἐσταλμένων· πείναντα γὰρ ἑτέρους, οἳ ἀπατήσειν ἔμελλον τοὺς θεωροῦντας, αὐτόν τε περιποιῆσαι καὶ τὸν ἀδελφὸν Ἀριστόβουλον. καὶ τούτοις αὐτός τε ἀνεπτέρωτο καὶ τοὺς ἐντυγχάνοντας οὐκ ἀπήλλακτο ἀπατᾶν, ἀλλὰ Κρήτῃ προσενεχθείς, Ἰουδαίων ὁπόσοις εἰς ὁμιλίαν ἀφίκετο ἐπηγάγετο εἰς πίστιν, καὶ χρημάτων εὐπορηθεὶς δόσει τῇ ἐκείνων ἐπὶ Μήλου διῆρεν. πολὺ πλείονα δὲ ἦν ἐντεῦθεν ὁπόσα αὐτῷ προσῄει χρήματα, πίστει τῆς βασιλικῆς συγγενείας καὶ ἐλπίδι τοῦ ἀπολαβεῖν τὴν πάτριον ἀρχὴν καὶ ἀμείψασθαι τοὺς εὐεργέτας. ἐπὶ Ῥώμης οὖν ἠείσατο παραπομπῇ τῶν ἰδιοξένων, καὶ Δικαιαρχείᾳ προσβαλὼν οὐκ ἠτύχει καὶ τοὺς τῇδε Ἰουδαίους ἐφ' ὁμοίας ἀπάτης προσαγαγέσθαι· προσῄεσάν τε ὥσπερ βασιλεῖ οἵ τε ἄλλοι καὶ ὁπόσοις ξενία πρὸς Ἡρῴδην καὶ

Digitized by Google

εὔνοια ἦν. αἴτιον δὲ ἦν τῶν ἀνθρώπων τὸ ἡδονῇ δεχόμενον τοὺς λόγους σὺν τῷ φερεγγύῳ τῆς μορφῆς· καὶ γὰρ τοῖς πάνυ ὠμιληκόσιν Ἀλεξάνδρῳ πολὺ τὸ πιστὸν ἐνετίθει τοῦ μὴ οὐχ ἕτερος ἀλλ' αὐτὸς εἶναι, καὶ πρὸς τοὺς πλησίον καὶ ὤμνυσαν. ὥστε καὶ προελθόντος εἰς τὴν Ῥώμην λόγου τοῦ περὶ αὐτοῦ, πᾶν τὸ τῇδε Ἰουδαίων πλῆθος ὑπαντιάζοντες ἐξῄεσαν, τῷ παρὰ δόξαν τῆς σωτηρίας ἐκθειάζοντες τὸ ἔργον, καὶ χάρμα ποιούμενοι διὰ τὸ μητρῷον αὐτῶν γένος, ὁπότε χωροίη κατὰ τοῦ στενωποῦ διφροφορούμενος. καὶ πᾶν τὸ βασίλειον περὶ αὐτὸν σχῆμα ἦν ἀναλώμασι τῶν ἰδιοξένων, μεγάλαι τε περιστάσεις ἐγίνοντο τῆς πληθύος, ἐπιβοήσεις τε εὔφημοι καὶ ὁπόσα εἰκὸς τοῖς οὕτω παρ' ἐλπίδα σωθεῖσι συντυγχάνειν οὐδὲν ὅ τι οὐκ ἐπράσσετο.

2 Καίσαρι δὲ ὡς ἀφίκετο ἀγγελία περὶ αὐτοῦ, ἠπίστει μὲν διὰ τὸ μὴ ἂν ῥᾳδίως ἀπατηθῆναι Ἡρῴδην ἐν πράγμασιν ἐπὶ μέγα ἀνήκουσιν αὐτῷ· διδοὺς δὲ τῇ ἐλπίδι, Κέλαδον τῶν αὐτοῦ τινὰ ἐξελευθέρων, ὠμιληκότα τοῖς μειρακίοις, πέμπει κελεύσας ἀγαγεῖν εἰς ὄψιν αὐτῷ τὸν Ἀλέξανδρον. ὃ δὲ ἀνῆγεν, οὐδέν τι βελτίων ἐπὶ τῇ κρίσει τῶν πολλῶν γενόμενος. οὐ μὴν Καῖσάρ γε διηπάτητο· ἀλλ' ἦν μὲν ἐμφερής, οὐ μὴν ὥστε ἀπατῆσαι τοὺς σωφρόνως ἐκλογίζεσθαι δυναμένους. αὐτουργίᾳ τε γὰρ ἐτέτρυτο ὁ Ψευδαλέξανδρος, καὶ παρὰ τὸ ἐκείνῳ ῥαδαρὸν τοῦ σώματος ὑπὸ τρυφῆς καὶ γενναιότητος συνερχόμενον, διὰ τὰ ἐναντία τῷδε ἐπισκληρότερον ἐξεβεβήκει τὸ σῶμα. θεασάμενος οὖν συμπνευσμὸν ἐπὶ ψευδολογίᾳ διδασκάλου καὶ μαθητοῦ καὶ λόγων τολμηρῶν συγκρότησιν, ἐξήταζε περὶ Ἀριστοβούλου τί καὶ γεγόνοι συνεκκλαπέντος αὐτῷ, καὶ δι' ἣν αἰτίαν οὐ παραγεγόνοι μεταποιούμενος τῆς ἀξίας ἧς προσῆκε τυγχάνειν τοὺς οὕτω γεγονότας. φαμένου δὲ ἐπὶ νήσου τῆς

Digitized by Google

Ἰνπρίων καταλελεῖφθαι κινδύνων ὑφοράσει τῶν κατὰ θάλασσαν, εἰ περὶ αὐτὸν συσταίη τι θεινόν, μὴ παντε-
λὲς ἐξαλιφείη τὸ Μαριάμμης γένος, ἀλλὰ περιὼν Ἀρι-
στόβουλος μένοι τοὺς ἐπιβεβουλευκότας, — ταῦτα δι-
ειρωτωμένου καὶ συνεστῶτος αὐτῷ τοῦ μηχανοποιοῦ
τῆς πράξεως, Καῖσαρ κατὰ μόνας ἀπολαβὼν τὸ μειρά-
κιον "ἀλλά σοι μισθός" εἶπε "προκείσεται τοῦ μὴ καὶ
κρὸς ἐμὲ ἀπάτῃ χρησαμένου τὸ μὴ ἀπολούμενον τῆς σω-
τηρίας. φάθι δή μοι αὐτόν τε ὃς ὢν τυγχάνεις, καὶ ὃς
σε τοιάδε ἦξε τολμῆσαι διανοεῖσθαι· μεῖζον γὰρ τὸ ἐπι-
βούλευμα κακίας ἧς ἐγκεχείρηκας χρόνων οὓς γεγονὼς
τυγχάνεις." καὶ δή (οὐ γὰρ ἦν ἄλλως πράσσειν) φράζει
κρὸς τὸν Καίσαρα τὸ ἐπιβούλευμα, ὅν τε τρόπον καὶ
ἐφ' οὗ τυγχάνοι συγκείμενον. καὶ ὁ Καῖσαρ τὸν μὲν
Ψευδαλέξανδρον (οὐ γὰρ ἐψεύσατο ὁμολογίαν τὴν πρὸς
αὐτόν) δρασυτήριον ὁρῶν αὐτουργῆσαι τῷ σώματι, ἐρέ-
σσειν ἐν τοῖς ναύταις καταλέγει, τὸν δὲ ἀναπείσαντα
πτίνει. καταδίκη δὲ ἦρκει Μηλίοις ὁπόσα ἐτετελέκε-
σαν εἰς τὸν Ψευδαλέξανδρον διὰ κενῆς ἀναλωκέναι.

καὶ τὰ μὲν περὶ τὸν Ψευδαλέξανδρον τολμηρῶς συν-
τεθέντα οὕτως ἁπλεῶς εἶχεν· Ἀρχέλαος δὲ τὴν ἐθναρ- 13
χίαν παραλαβὼν ἐπεὶ εἰς Ἰουδαίαν ἀφικνεῖται, Ἰωάζα-
ρον τὸν Βοηθοῦ ἀφελόμενος τὴν ἀρχιερωσύνην, ἐπικα-
λῶν αὐτῷ ὡς συστάντι τοῖς στασιώταις, Ἐλεάζαρον τὸν
ἐκείνου ἐπικαθίσταται ἀδελφόν. ἀνοικοδομεῖ δὲ καὶ τὸ
ἐν Ἱεριχοῦντι βασίλειον ἐκπρεπῶς, τῶν τε ὑδάτων
ὁπόσα Νεαρὰν τὴν κώμην ὠφελεῖ ἐπιρρέοντα ἐξ ἡμι-
σείας ἀπέστρεψεν, ἐπαγωγὴν αὐτῶν ποιούμενος τῷ πε-
δίῳ φοινικῶν ὑπ' αὐτοῦ πεφυτευμένῳ. κώμην δὲ κτί-
σας Ἀρχελαΐδα ὄνομα αὐτῇ τίθεται. καὶ τοῦ πατρίου
παράβασιν ποιησάμενος, Γλαφύραν τὴν Ἀρχελάου μὲν
θυγατέρα, Ἀλεξάνδρου δὲ τοῦ ἀδελφοῦ γαμετὴν γενο-

Digitized by Google

μένην, ἐξ οὗ καὶ τέκνα ἦν αὐτῇ, ἀπάμοτον ὂν Ἰουδαίοις γαμετὰς ἀδελφῶν ἄγεσθαι, γαμεῖ. διατρίβει δὲ οὐδ' ὁ Ἐλεάζαρος ἐν τῇ ἱερωσύνῃ, ἐκκατασταθέντος αὐτῷ ζῶντι Ἰησοῦ τοῦ Σιὲ παιδός.

2 δεκάτῳ δὲ ἔτει τῆς ἀρχῆς Ἀρχελάου οἱ πρῶτοι τῶν ἀνδρῶν ἔν τε Ἰουδαίοις καὶ Σαμαρείταις, μὴ φέροντες τὴν ὠμότητα αὐτοῦ καὶ τυραννίδα, κατηγοροῦσιν αὐτοῦ ἐπὶ Καίσαρος, καὶ μάλιστα ἐπεὶ ἔγνωσαν αὐτὸν παραβεβηκότα τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἐπιεικῶς ἀναστρέφηται πρὸς αὐτούς. ὁ τοίνυν Καῖσαρ ὡς ἤκουσεν, ὀργῇ φέρων, τὸν ἐπίτροπον Ἀρχελάου τῶν ἐν Ῥώμῃ πραγμάτων (Ἀρχέλαος δὲ καὶ τούτῳ ὄνομα ἦν) μεταπαλέσας γράφειν μὲν Ἀρχελάῳ παρεινὸν ἡγεῖται, "σὺ δὲ παραχρῆμα" φησί "πλέων μηδὲν εἰς ἀναβολὰς ἐπανάγειν αὐτὸν πρὸς ἡμᾶς." καὶ ὃς ἔπλουν ἐκ τοῦ ὀξέος ποιησάμενος καὶ ἀφικόμενος εἰς Ἰουδαίαν καταλαμβάνει τὸν Ἀρχέλαον ἐν εὐωχίαις ὄντα μετὰ τῶν φίλων, τήν τε θεὰν νοιαν ἀποσημαίνει τὴν Καίσαρος, καὶ ὥρμησεν αὐτὸν εἰς τὴν ἔξοδον. καὶ ὁ Καῖσαρ ἀφικομένου ἐπὶ τινῶν κατηγόρων ἀκροᾶται καὶ αὐτοῦ λέγοντος, καὶ ἐκεῖνον μὲν φυγάδα ἐλαύνει, δοὺς οἰκητήριον αὐτῷ Βίενναν πόλιν τῆς Γαλατίας, τὰ δὲ χρήματα ἀπηνέγκατο.

3 πρότερον δὲ ἢ κληθεὶς ἐπὶ Ῥώμης ἀνελθεῖν Ἀρχέλαος ὄναρ τοιόνδε ἐνδιηγεῖται τοῖς φίλοις. θεασάμενος ἀστάχυας δέκα τὸν ἀριθμόν, πλέους πυροῦ, τὴν ἰδίαν ἐπμὴν ἀπειληφότας, δόξα ἦν αὐτῷ βιβρωσκομένους ὑπὸ βοῶν θεωρεῖν. καὶ περιεγρόμενος (φέρειν γὰρ εἰς μέγα δόξα ἦν τὴν ὄψιν αὐτῷ) μετασταλλεται τοὺς μάντεις, οἷς περὶ ὀνειράτων ἦσαν αἱ ἀναστροφαί. σκιδναμένων δὲ ἑτέρων ἐφ' ἑτέροις (οὐ γὰρ εἰς ἕνα ἔπειτο πᾶσιν ἀφήγησις), Σίμων ἀνὴρ γένους Ἐσσαῖος, ἀσφάλειαν αἰτησάμενος, μεταβολὴν πραγμάτων ἔλεγεν Ἀρχελάῳ φέρειν τὴν

Digitized by Google

ὄφιν οὐκ ἐπ' ἀγαθοῖς πράγμασιν. βόας μὲν γὰρ κακοπαθείας τε ἀποσαφεῖν διὰ τὸ ἔργοις ἐπιταλαιπωρεῖν τὸ βίον, μεταβολὰς δὲ αὖ πραγμάτων διὰ τὸ τὴν γῆν πόνῳ τῷ ἐκείνων ἀρουμένην ἐν ταὐτῷ μένειν οὐ δύνασθαι· τοὺς δὲ ἀστάχυας δέκα ὄντας τοσόνδε ἀριθμὸν ἐνιαυτῶν ὁρᾶν· περιόδῳ γὰρ ἑνὸς παραγίνεσθαι θέρους· καὶ τὸν χρόνον ἐξήκειν Ἀρχελάῳ τῆς ἡγεμονίας. καὶ ὃ μὲν ταύτῃ ἐξηγήσατο τὸ ὄνειρον, πέμπτῃ δὲ ἡμέρᾳ μεθ' ὃ τὸ πρῶτον αὐτοῦ ἡ ὄψις Ἀρχελάῳ συνῆλθεν, ὁ ἀνακαλούμενος Ἀρχέλαος πεμπτὸς εἰς Ἰουδαίαν ὑπὸ Καίσαρος ἀφίκετο.

παραπλήσια δὲ καὶ Γλαφύρᾳ τῇ γυναικὶ αὐτοῦ τυγχάνει, βασιλέως Ἀρχελάου θυγατρὶ οὔσῃ, ᾗ, ὡς πρότερον εἶπον, συνῴκει, παρθένον λαβών, Ἀλέξανδρος Ἡρῴδου μὲν υἱὸς Ἀρχελάου δὲ ἀδελφός. ἐπεὶ δὲ συμβαίνει τὸν Ἀλέξανδρον ὑπὸ πατρὸς τελευτῆσαι, Ἰόβᾳ τῷ Λιβύων βασιλεῖ γαμεῖται, μεταστάντος δὲ τοῦ Λίβυος χηρεύουσαν ἐν Καππαδοκίᾳ παρὰ τῷ πατρὶ Ἀρχέλαος ἄγεται, τὴν συνοικοῦσαν αὐτῷ Μαριάμμην ἐκβαλών· τοσόσδε αὐτὸν τῆς Γλαφύρας ἀνέστρεψεν ἔρως. καὶ συνοικοῦσα τῷ Ἀρχελάῳ τοιόνδε ὄναρ θεᾶται. ἐδόκει τὸν Ἀλέξανδρον ἐπιστάντα θυσαμένη χαίρειν καὶ περιβάλλειν προθύμως, τὸν δὲ κατάμεμψίν τε αὐτῆς ποιεῖσθαι καὶ φάναι "Γλαφύρα, συνηγορεῖς ἄρα λόγῳ ὃς ἄπιστα ἔλεγεν εἶναι γυναῖξίν, ἣ συνομολογήσασά μοι καὶ συγκατοικισθεῖσα παρθένος, παίδων ἡμῖν γεγονότων, λήθῃ παρεδίδως ἔρωτας τοὺς ἐμούς, δευτέρων ἐπιθυμίᾳ γάμων. πληθώρα δέ σοι οὐδὲ οὕτως ὕβρεως, ἀλλὰ καὶ τρίτον ἐτόλμησας σαυτῇ παρακαταθήκην νυμφίον, ἀπρεπῶς καὶ ἀναισχύντως ἐπεισιοῦσα οἴκῳ τῷ ἐμῷ, καὶ γάμῳ συντιθεμένη πρὸς Ἀρχέλαον, ἄνδρα μὲν σεαυτῆς ἀδελφὸν δ' ἡμέτερον. ἀλλ' οὐκ ἔγωγε λήθην

Digitized by Google

ποιήσομαι εὐνοίας τῆς σῆς, ἀπαλλάξω δέ σε παντὸς τοῦ ὀνειδιοῦντος, ἐμήν, ὥσπερ ἧς, κατασκευασάμενος." ταῦτα διηγησαμένη πρὸς τὰς συνήθεις τῶν γυναικῶν, μετ' ὀλίγας ἡμέρας τελευτᾷ τὸν βίον. ἐγὼ δὲ οὐκ ἀλλότρια νομίσας αὐτὰ τῷδε τῷ λόγῳ εἶναι, διὰ τὸ περὶ τῶν βασιλέων αὐτὸν συνεστηκέναι, καὶ ἄλλως ἐπὶ παράδειγμά τι φέρειν τοῦ τε ἀμφὶ τὰς ψυχὰς ἀθανασίας ἐμφεροῦς καὶ τοῦ θείου προμηθείᾳ τὰ ἀνθρώπινα περιειληφότος τῇ αὐτοῦ, καλῶς ἔχειν ἐνόμισα εἰπεῖν. ὅτῳ δὲ ἀπιστεῖται τὰ τοιάδε, γνώμης ὀνάμενος τῆς ἑαυτοῦ κώλυμα οὐκ ἂν γένοιτο τῷ ἐπ' ἀρετὴν αὐτὰ προτιθεμένῳ.

τῆς δὲ Ἀρχελάου χώρας ὑποτελοῦς προσνεμηθείσης τῇ Σύρων, πέμπεται Κυρήνιος ὑπὸ Καίσαρος, ἀνὴρ ὑπατικός, ἀποτιμησόμενος τὰ ἐν Συρίᾳ καὶ τὸν Ἀρχελάου ἀποδωσόμενος οἶκον.

ΒΙΒΛΟΣ ΟΚΤΩΚΑΙΔΕΚΑΤΗ.

1 Κυρήνιος δέ, τῶν εἰς τὴν βουλὴν συναγομένων ἀνήρ, τάς τε ἄλλας ἀρχὰς ἐπιτετελεκὼς καὶ διὰ πασῶν ὁδεύσας ὕπατος γενέσθαι, τά τε ἄλλα ἀξιώματι μέγας σὺν ὀλίγοις, ἐπὶ Συρίας παρῆν ὑπὸ Καίσαρος δικαιοδότης τοῦ ἔθνους ἀπεσταλμένος καὶ τιμητὴς τῶν οὐσιῶν γενησόμενος. Κωπώνιός τε αὐτῷ συγκατέπεμπτο τάγματος τῶν ἱππέων, ἡγησόμενος Ἰουδαίων τῇ ἐπὶ πᾶσιν ἐξουσίᾳ. παρῆν δὲ καὶ Κυρήνιος εἰς τὴν Ἰουδαίων προσθήκην τῆς Συρίας γενομένην, ἀποτιμησόμενός τε αὐτῶν τὰς οὐσίας καὶ ἀποδωσόμενος τὸν Ἀρχελάου χρή-

Digitized by Google

ματα. οἱ δέ, καίπερ τὸ κατ' ἀρχὰς ἐν δεινῷ φέροντες τὴν ἐπὶ παῖς ἀπογραφαῖς ἀκρόασιν, ὑποπατέβησαν τοῦ εἰς πλέον ἐναντιοῦσθαι, πείσαντος αὐτοὺς τοῦ ἀρχιερέως Ἰωαζάρου· Βοηθοῦ δὲ οὗτος υἱὸς ἦν. καὶ οἱ μὲν ἠτιηθέντες τοῦ Ἰωαζάρου τῶν λόγων ἀπεπίμων χρήματα, μηδὲν ἐνδοιάσαντες· Γαυλανίτης δέ τις ἀνὴρ Ἰούδας, ἐκ πόλεως ὄνομα Γάμαλα, Σάδδουκον Φαρισαῖον προσλαμβανόμενος ἠπείγετο ἐπὶ ἀποστάσει, τήν τε ἀποτίμησιν οὐδὲν ἄλλο ἢ ἄντικρυς δουλείαν ἐπιφέρειν λέγοντες, καὶ τῆς ἐλευθερίας ἐπ' ἀντιλήψει παρακαλοῦντες τὸ ἔθνος, ὡς παρασχὸν μὲν κατορθοῦν εἰς τὸ εὔδαιμον ἀνακειμένης τῆς κτήσεως, σφαλεῖσι δὲ τοῦ ταύτης περιόντος ἀγαθοῦ, τιμὴν καὶ κλέος ποιήσεσθαι τοῦ μεγαλόφρονος, καὶ τὸ θεῖον οὐκ ἄλλως ἢ ἐπὶ συμπράξει τῶν βουλευμάτων εἰς τὸ κατορθοῦν συμπροθυμεῖσθαι, μᾶλλον ἂν μεγάλων ἐρασταὶ τῇ διανοίᾳ καθιστάμενοι μὴ ἐξαφίωνται πόνου τοῦ ἐπ' αὐτοῖς. καὶ ἡδονῇ γὰρ τὴν ἀκρόασιν ὧν λέγοιεν ἐδέχοντο οἱ ἄνθρωποι, προύπιπτεν ἐπὶ μέγα ἡ ἐπιβολὴ τοῦ τολμήματος. κακὸν δὲ οὐκ ἔστιν οὗ μὴ φυέντος ἐκ τῶνδε τῶν ἀνδρῶν, καὶ περαιτέρω τοῦ εἰπεῖν, ἀνεπλήσθη τὸ ἔθνος πολέμων τε ἐπαγωγαῖς οὐχ οἷων τε οὐκ ἄπαυστον τὴν βίαν ἔχειν, καὶ ἀποστερήσεσι φίλων, οὓς καὶ ἐπελαφρύνοιεν τὸν πόνον, λῃστηρίων δὲ μεγάλων ἐπιθέσεσι καὶ διαφθοραῖς ἀνδρῶν τῶν πρώτων, δόξῃ μὲν τοῦ ὀρθουμένου τῶν κοινῶν, ἔργῳ δὲ οἰκείων κερδῶν ἐλπίσιν. ἐξ ὧν στάσεις τε ἐφύησαν, δι' αὐτὰς δὲ φόνος πολιτικός, ὃ μὲν ἐμφυλίοις σφαγαῖς, μανίᾳ τῶν ἀνθρώπων εἴς τε ἀλλήλους καὶ αὐτοὺς χρωμένων ἐπιθυμίᾳ τοῦ μὴ λείπεσθαι τῶν ἀντιπαθεστηκότων, ὃ δὲ τῶν πολεμίων, λιμός τε εἰς ὑστάτην ἀνακείμενος ἀναισχυντίαν, καὶ πόλεων ἐλώσεις καὶ κατασκαφαί, μέχρι δὴ καὶ τὸ ἱερὸν τοῦ θεοῦ

Digitized by Google

ἐνείματο πυρὶ τῶν πολεμίων ἥδε ἡ στάσις. οὕτως ἄρα ἡ τῶν πατρίων κίνησις καὶ μεταβολὴ μεγάλας ἔχει ῥοπὰς τοῦ ἀπολουμένου τοῖς συνελθοῦσιν, εἴ γε καὶ Ἰούδας καὶ Σάδδουκος τετάρτην φιλοσοφίαν ἐπείσακτον ἡμῖν ἐγείραντες, καὶ ταύτης ἐραστῶν εὐπορηθέντες, πρός τε τὸ παρὸν θορύβων τὴν πολιτείαν ἐνέπλησαν καὶ τῶν αὖθις κακῶν κατειληφότων ῥίζας ἐφυτεύσαντο τῷ ἀσυνήθει πρότερον φιλοσοφίας τοιᾶσδε. περὶ ἧς ὀλίγα βούλομαι διελθεῖν, ἄλλως τε ἐπεὶ καὶ τῷ κατ' αὐτῶν σπουδασθέντι τοῖς νεωτέροις ὁ φθόρος τοῖς πράγμασι συνέτυχεν.

2 Ἰουδαίοις φιλοσοφίαι τρεῖς ἦσαν ἐκ τοῦ πάνυ ἀρχαίου τῶν πατρίων, ἥ τε τῶν Ἐσσηνῶν καὶ ἡ τῶν Σαδδουκαίων· τρίτην δὲ ἐφιλοσόφουν οἱ Φαρισαῖοι λεγόμενοι. καὶ τυγχάνει μέντοι περὶ αὐτῶν ἡμῖν εἰρημένα ἐν τῇ δευτέρᾳ βίβλῳ τοῦ Ἰουδαϊκοῦ πολέμου, μνησθήσομαι δὲ ὅμως καὶ νῦν αὐτῶν ἐπ' ὀλίγον.

3 οἵ τε γὰρ Φαρισαῖοι τὴν δίαιταν ἐξευτελίζουσιν, οὐδὲν εἰς τὸ μαλακώτερον ἐνδιδόντες, ὧν τε ὁ λόγος κρίνας παρέδωκεν ἀγαθῶν, ἕπονται τῇ ἡγεμονίᾳ, περιμάχητον ἡγούμενοι τὴν φυλακὴν ὧν ὑπαγορεύειν ἠθέλησε. τιμῆς γε τοῖς ἡλικίᾳ προήκουσι παραχωροῦσιν, οὐδὲν ἐπ' ἀντιλέξει τῶν εἰσηγηθέντων ταῦτα θράσει ἐπαιρόμενοι. πράσσεσθαί τε εἱμαρμένῃ τὰ πάντα ἀξιοῦντες, οὐδὲ τοῦ ἀνθρωπείου τὸ βουλόμενον τῆς ἐπ' αὐτοῖς ὁρμῆς ἀφαιροῦνται, δοκῆσαν τῷ θεῷ κρᾶσιν γενέσθαι καὶ τῷ ἐκείνης βουλευτηρίῳ καὶ τῶν ἀνθρώπων τὸ θελῆσαν προσχωρεῖν μετ' ἀρετῆς ἢ κακίας. ἀθάνατόν τε ἰσχὺν ταῖς ψυχαῖς πίστις αὐτοῖς εἶναι, καὶ ὑπὸ χθονὸς δικαιώσεις τε καὶ τιμὰς αἷς ἀρετῆς ἢ κακίας ἐπιτήδευσις ἐν τῷ βίῳ γέγονε, καὶ ταῖς μὲν εἱργμὸν ἀΐδιον προτίθεσθαι, ταῖς δὲ ῥᾳστώνην τοῦ ἀναβιοῦν. καὶ δι'

Digitized by Google

ἀπὰ τοῖς τε δήμοις πιθανώτατοι τυγχάνουσι, καὶ ὁπόσα θεῖα εὐχῶν τε ἔχεται καὶ ἱερῶν ποιήσεως ἐξηγήσει τῇ ἐκείνων τυγχάνουσι πρασσόμενα. εἰς τοσόνδε ἀρετῆς αὐτοῖς αἱ πόλεις ἐμαρτύρησαν ἐπιτηδεύσει τοῦ ἐπὶ πᾶσι κρείσσονος ἔν τε τῇ διαίτῃ τοῦ βίου καὶ λόγοις.

Σαββουπαίοις δὲ τὰς ψυχὰς ὁ λόγος συναφανίζει 4 τοῖς σώμασι, φυλακῆς δὲ οὐδαμῶν τινῶν μεταποίησις αὐτοῖς ἢ τῶν νόμων· πρὸς γὰρ τοὺς διδασκάλους σοφίας ἣν μετίασιν, ἀμφιλογεῖν ἀρετὴν ἀριθμοῦσιν. εἰς ὀλίγους τε ἄνδρας οὗτος ὁ λόγος ἀφίκετο, τοὺς μέντοι πρώτους τοῖς ἀξιώμασι, πράσσεταί τε ὑπ' αὐτῶν οὐδὲν ὡς εἰπεῖν· ὁπότε γὰρ ἐπ' ἀρχὰς παρέλθοιεν, ἀκουσίως μὲν καὶ κατ' ἀνάγκας, προσχωροῦσι δ' οὖν οἷς ὁ Φαρισαῖος λέγει, διὰ τὸ μὴ ἂν ἄλλως ἀνεκπους γενέσθαι τοῖς πλήθεσιν.

Ἐσσηνοῖς δ' ἐπὶ μὲν θεῷ καταλιπεῖν φιλεῖ τὰ πάντα 5 ὁ λόγος, ἀθανατίζουσι δὲ τὰς ψυχάς, περιμάχητον ἡγούμενοι τοῦ δικαίου τὴν πρόσοδον. εἰς δὲ τὸ ἱερὸν ἀναθήματα στέλλοντες θυσίας οὐκ ἐπιτελοῦσι διαφορότητι ἁγνειῶν ἃς νομίζουσιν, καὶ δι' αὐτὸ εἰργόμενοι τοῦ κοινοῦ τεμενίσματος ἐφ' αὑτῶν τὰς θυσίας ἐπιτελοῦσι. βέλτιστοι δὲ ἄλλως ἄνδρες τὸν τρόπον, καὶ τὸ πᾶν πονεῖν ἐπὶ γεωργίᾳ τετραμμένοι. ἄξιον δὲ αὐτῶν θαυμάσαι παρὰ πάντας τοὺς ἀρετῆς μετασπουδουμένους τὸ δίκαιον, μηδαμῶς ὑπάρξαν Ἑλλήνων ἢ βαρβάρων τισίν, ἀλλὰ μηδ' εἰς ὀλίγον, ἐκείνους δ' ἐκ παλαιοῦ συνελθόν, ἐν τῷ ἐπιτηδεύεσθαι μὴ κεκαλῦσθαι τὰ χρήματα κοινὰ αὐτοῖς εἶναι. ἀπολαύει δὲ οὐδὲν ὁ πλούσιος τῶν οἰκείων μεῖζόνως ἢ ὁ μηδ' ὁτιοῦν κεκτημένος. καὶ τάδε πράσσουσιν ἄνδρες ὑπὲρ τετρακισχίλιοι τὸν ἀριθμὸν ὄντες. καὶ οὔτε γαμετὰς εἰσάγονται οὔτε δούλων ἐπιτηδεύουσι κτῆσιν, τὸ μὲν εἰς ἀδικίαν φέρειν ὑπειληφότες, τὸ δὲ

Digitized by Google

στάσεως ἐνδιδόναι ποίησιν· αὐτοὶ δ' ἐφ' ἑαυτῶν ζῶντες διακονίᾳ τῇ ἐπ' ἀλλήλους ἐπιχρῶνται. ἀποδέκτας δὲ τῶν προσόδων χειροτονοῦσι καὶ ὁπόσα ἡ γῆ φέροι, ἄνδρας ἀγαθούς, ἱερεῖς τε διὰ ποίησιν σίτου τε καὶ βρωμάτων. ζῶσι δὲ οὐδὲν παρηλλαγμένως, ἀλλ' ὅτι μάλιστα ἐμφερεῖς ὄντες Δακῶν τοῖς Πολισταῖς λεγομένοις.

6 τῇ δὲ τετάρτῃ τῶν φιλοσοφιῶν ὁ Γαλιλαῖος Ἰούδας ἡγεμὼν κατέστη, ἧς οἱ τρόφιμοι τὰ μὲν λοιπὰ πάντα γνώμῃ τῶν Φαρισαίων ὁμολογοῦσι, δυσνίκητος δὲ τοῦ ἐλευθέρου ἔρως ἔστιν αὐτοῖς, μόνον ἡγεμόνα καὶ δεσπότην τὸν θεὸν ὑπειληφόσι· θανάτων τε ἰδέας ὑπομένειν παρηλλαγμένας ἐν ὀλίγῳ τίθενται, καὶ συγγενῶν τιμωρίας καὶ φίλων, ὑπὲρ τοῦ μηδένα ἄνθρωπον προσαγορεύειν δεσπότην. ἑωρακόσι δὲ τοῖς πολλοῖς τὸ ἀμετάλλακτον αὐτῶν τῆς ἐπὶ τοιούτοις ὑποστάσεως περαιτέρω διελθεῖν παρέλιπον· οὐ γὰρ δέδοικα μὴ εἰς ἀπιστίαν ὑπολειφθῇ τι τῶν λεγομένων ἐπ' αὐτοῖς, τοὐναντίον δὲ μὴ ἐλασσόνως τοῦ ἐπείνων καταφρονήματος, δεχομένου τὴν ταλαιπωρίαν τῆς ἀληθόνος, ὁ λόγος ἀφηγῆται. ἀνοίᾳ τε τῇ ἐντεῦθεν ἤρξατο νοσεῖν τὸ ἔθνος Γεσσίου Φλώρου, ὃς ἡγεμὼν ἦν, τῇ ἐξουσίᾳ τοῦ ὑβρίζειν ἀπονοήσαντος αὐτοὺς ἀποστῆναι Ῥωμαίων.

2 καὶ φιλοσοφεῖται μὲν Ἰουδαίοις τοσάδε· Κυρήνιος δὲ τὰ Ἀρχελάου χρήματα ἀποδόμενος, ἤδη καὶ τῶν ἀποτιμήσεων πέρας ἐχουσῶν, αἳ ἐγένοντο τριακοστῷ καὶ ἑβδόμῳ ἔτει μετὰ Ἀντωνίου ἐν Ἀκτίῳ ἥτταν ὑπὸ Καίσαρος, Ἰωάζαρον τὸν ἀρχιερέα καταστασιασθέντα ὑπὸ τῆς πληθύος ἀφελόμενος τὸ ἀξίωμα τῆς τιμῆς, Ἄνανον τὸν Σὴθ ἱστᾷ ἀρχιερέα. Ἡρῴδης δὲ καὶ Φίλιππος τετραρχίαν ἑκάτερος τὴν ἑαυτοῦ παρειληφότες καθίσταντο. καὶ Ἡρῴδης Σέπφωριν τειχίσας, πρόσχημα τοῦ Γαλιλαίου παντός, ἦγεν αὐτὴν αὐτοκρατορίδα, Βηθα-

Digitized by Google

ραμφθᾶ δέ (πόλις ἦν καὶ αὕτη) τείχει περιλαβὼν Ἰουλιάδα ἀπὸ τοῦ αὐτοκράτορος ἀγορεύει τῆς γυναικός. Φίλιππος δὲ Πανεάδα τὴν πρὸς ταῖς πηγαῖς τοῦ Ἰορδάνου κατασκευάσας ὀνομάζει Καισάρειαν· κώμην δὲ Βηθσαϊδάν, πρὸς λίμνῃ δὲ τῇ Γεννησαρίτιδι, πόλεως παρασχὼν ἀξίωμα πλήθει τε οἰκητόρων καὶ τῇ ἄλλῃ δυνάμει, Ἰουλίᾳ θυγατρὶ τῇ Καίσαρος ὁμώνυμον ἐκάλεσεν.

Κωπωνίου δὲ τὴν Ἰουδαίαν διέποντος, ὃν ἔφην Κυρηνίῳ συνεκπεμφθῆναι, τάδε πράσσεται. τῶν ἀζύμων τῆς ἑορτῆς ἀγομένης, ἣν πάσχα καλοῦμεν, ἐκ μέσης νυκτὸς ἐν ἕδει τοῖς ἱερεῦσιν ἦν ἀνοιγνύναι τοῦ ἱεροῦ τοὺς πυλῶνας. καὶ τότε οὖν ἐπεὶ τὸ πρῶτον γίνεται ἡ ἄνοιξις αὐτῶν, ἄνδρες Σαμαρεῖται κρύφα εἰς Ἱεροσόλυμα ἐλθόντες διάρριψιν ἀνθρωπείων ὀστῶν ἐν ταῖς στοαῖς ποιοῦνται· διὸ καὶ πάντας τοῦ ἱεροῦ εἶρξαν, μὴ πρότερον ἐπὶ τοιούτοις νομίζοντες, τά τε ἄλλα διὰ φυλακῆς μείζονος ἦγον τὸ ἱερόν. καὶ Κωπώνιος μὲν οὐ πολὺ εἰς Ῥώμην ἐπαναχωρεῖ, διάδοχος δὲ αὐτῷ τῆς ἀρχῆς παραγίνεται Μάρκος Ἀμβίβιος, ἐφ' οὗ καὶ Σαλώμη τοῦ βασιλέως Ἡρώδου ἀδελφὴ μετασταῖσα Ἰουλίᾳ Ἰάμειάν τε καταλείπει καὶ τὴν τοπαρχίαν πᾶσαν, τήν τε ἐν τῷ πεδίῳ Φασαηλίδα καὶ Ἀρχελαΐδα, ἔνθα φοινίκων πλείστη φύτευσις καὶ καρπὸς αὐτῶν ἄριστος. διαδέχεται δὲ καὶ τοῦτον Ἄννιος Ῥοῦφος, ἐφ' οὗ δὴ καὶ τελευτᾷ Καῖσαρ, δεύτερος μὲν Ῥωμαίων αὐτοκράτωρ γενόμενος, ἑπτὰ δὲ καὶ πεντήκοντα τῆς ἀρχῆς ἔτη, πρὸς οἷς μῆνες ἓξ ἡμέραιν δυοῖν πλείονες (τούτου δὲ αὐτῷ τοῦ χρόνου τεσσαρεσκαίδεκα ἔτη συνῆρξεν Ἀντώνιος), βιώσας ἔτη ἑπτὰ καὶ ἑβδομήκοντα. διαδέχεται δὲ τῷ Καίσαρι τὴν ἡγεμονίαν Τιβέριος Νέρων, τῆς γυναικὸς αὐτοῦ Ἰουλίας υἱὸς ὤν. τρίτος ἤδη οὗτος 2

Digitized by Google

αὐτοκράτωρ, καὶ πεμπτὸς ὑπ' αὐτοῦ παρῆν Ἰουδαίοις ἔπαρχος, διάδοχος Ἀννίου Ῥούφου, Βαλέριος Γρᾶτος· ὃς παύσας ἱερᾶσθαι Ἄνανον, Ἰσμάηλον ἀρχιερέα ἀποφαίνει τὸν τοῦ Φαβί. καὶ τοῦτον δὲ μετ' οὐ πολὺ μετασταίσας, Ἐλεάζαρον τὸν Ἀνάνου τοῦ ἀρχιερέως υἱὸν ἀποδείκνυσιν ἀρχιερέα. ἐνιαυτοῦ δὲ διαγενομένου καὶ τόνδε παύσας Σίμωνι τῷ Καμίθου τὴν ἀρχιερωσύνην παραδίδωσιν. οὐ πλέον δὲ καὶ τῷδε ἐνιαυτοῦ τὴν τιμὴν ἔχοντι διεγένετο χρόνος, καὶ Ἰώσηπος ὁ καὶ Καϊάφας διάδοχος ἦν αὐτῷ. καὶ Γρᾶτος μὲν ταῦτα πράξας εἰς Ῥώμην ἐπαναχωρεῖ, ἔνδεκα ἔτη διατρίψας ἐν Ἰουδαίᾳ, Πόντιος δὲ Πιλᾶτος διάδοχος αὐτῷ ἦκεν.

3 Ἡρώδης δὲ ὁ τετράρχης (ἐπὶ μέγα γὰρ ἦν τῷ Τιβερίῳ φιλίας προελθών) οἰκοδομεῖται πόλιν ἐπώνυμον αὐτῷ Τιβεριάδα, τοῖς κρατίστοις ἐπικτίσας αὐτὴν τῆς Γαλιλαίας, ἐπὶ λίμνῃ τῇ Γεννησαρίτιδι. θερμὰ δὲ οὐκ ἄπωθεν ἔστιν ἐν κώμῃ Ἐμμαοῦς ὄνομα αὐτῇ. σύγκλυδες δὲ ᾤκησαν, οὐκ ὀλίγον δὲ καὶ τὸ Γαλιλαῖον ἦν, καὶ ὅσοι μὲν ἐκ τῆς ὑπ' αὐτῷ γῆς ἀναγκαστοὶ καὶ πρὸς βίαν εἰς τὴν κατοικίαν ἀγόμενοι, τινὲς δὲ καὶ τῶν ἐν τέλει. ἐδέξατο δὲ αὐτοῖς συνοίκους καὶ τοὺς πανταχόθεν ἐπισυναγομένους ἄνδρας ἀπόρους, ἔστι δὲ οὓς μηδὲ σαφῶς ἐλευθέρους, πολλά τε αὐτοὺς καὶ ἐπὶ πολλοῖς ἠλευθέρωσε καὶ εὐηργέτησεν, ἀνάγκασμα τοῦ μὴ ἀπολείψειν τὴν πόλιν ἐπιτιθεὶς κατασκευαῖς τε οἰκήσεων τελείαις τῆς αὐτοῦ καὶ γῆς ἐπιδόσει, εἰδὼς παράνομον τὸν οἰκισμὸν ὄντα καὶ ἀπὸ τοῦ Ἰουδαίοις πατρίου διὰ τὸ ἐπὶ μνήμασιν, ἃ πολλὰ τῇδε ἦν, ἀνηρημένοις τὴν ἵδρυσιν Τιβεριάδι γενέσθαι, μαρούς δὲ ἐπὶ ἑπτὰ ἡμέρας εἶναι τοὺς οἰκήτορας, ὡς ἀγορεύει ἡμῖν τὸ νόμιμον.

4 τελευτᾷ δὲ καὶ Φραάτης ὁ Παρθυαίων βασιλεὺς

Digitized by Google

κατὰ τοῦτον τὸν χρόνον, ἐπιβουλῆς αὐτῷ γενομένης ὑπὸ Φραατάκου τοῦ υἱέως κατὰ τοιαύτην αἰτίαν. Φραάτης, παίδων αὐτῷ γνησίων γενομένων, Ἰταλικῇ παιδίσκῃ, ὄνομα αὐτῇ Θερμοῦσα, ταύτῃ ὑπὸ Ἰουλίου Καίσαρος μετ' ἄλλων δωρεῶν ἀπεσταλμένῃ τὸ μὲν πρῶτον παλλακίδι ἐχρῆτο, καταπλαγεὶς δὲ τῷ πολλῷ τῆς εὐμορφίας, προϊόντος χρόνου καὶ παιδὸς αὐτῇ τοῦ Φραατάκου γενομένου, γαμετήν τε τὴν ἄνθρωπον ἀποφαίνεται καὶ τιμίαν ἦγεν. ἡ δὲ ἐπὶ πᾶσιν οἷς εἰκοι πιθανὴ τῷ βασιλεῖ γεγονυῖα, καὶ σπεύδουσα τῷ αὐτῆς παιδὶ γενέσθαι τὴν Πάρθων ἡγεμονίαν, ἑώρα μὴ ἄλλως γενησομένην μὴ ἀποσκευῆς αὐτῇ μηχανηθείσης τῶν γνησίων τοῦ Φραάτου παίδων. πείθει οὖν αὐτὸν ἐκπέμπειν εἰς Ῥώμην ἐφ' ὁμηρείαν τοὺς γνησίους παῖδας. καὶ οὗτοι μέν (οὐ γὰρ ἀντειπεῖν εὔπορον Φραάτην τοῖς Θερμούσης ἐπιτάγμασιν) ἐπὶ τῆς Ῥώμης ἐξεπέμποντο, Φραατάκης δὲ μόνος ἐπὶ τοῖς πράγμασι τρεφόμενος δεινὸν ἡγεῖτο καὶ ἅμα χρόνιον τοῦ πατρὸς διδόντος τὴν ἀρχὴν λαμβάνειν, ὥστε ἐπεβούλευε τῷ πατρὶ συμπράξει τῆς μητρός, ἥ δὴ καὶ συνεῖναι λόγος. καὶ δι' ἀμφότερα μισηθείς, οὐδὲν ἧσσον τῆς πατροκτονίας μύσος τὸν τῆς μητρὸς ἔρωτα τιθεμένων τῶν ὑπηκόων, στάσει περιελαθεὶς πρότερον ἢ φῦναι μέγας ἐξέπιπτε τῶν πραγμάτων, καὶ οὕτω θνήσκει. συμφρονήσαντες δὲ οἱ γενναιότατοι Πάρθων ὡς ἀβασιλεύτοις μὲν ἀμήχανον πολιτεύεσθαι, οἱ δὲ βασιλεύοντες ἐκ τοῦ γένους τῶν Ἀρσακιδῶν (οὐ γὰρ ἑτέροις ἄρχειν νόμιμον), ἀπέχρη δὲ πολλάκις καὶ μέχρι νῦν περιυβρίσθαι τὴν βασιλείαν ἐκ τε γάμων τῆς Ἰταλικῆς παλλακίδος καὶ γενέσεων, Ὀρώδην ἐκάλουν πρεσβεύσαντες, ὄντα ἄλλως μὲν ἐπίφθονον παρὰ τῷ πλήθει καὶ ὑπαίτιον καθ' ὑπερβολὰς ὠμότητος (πάνυ γὰρ ἦν σκαιὸς καὶ δυσδιάθετος εἰς

Digitized by Google

ὀργήν), ἕνα δὲ τῶν ἐκ τοῦ γένους. τοῦτον μὲν δὴ συστάντες ἀποκτείνουσιν, ὡς μὲν ἔνιοί φασιν, ἐν σπονδαῖς καὶ τραπέζαις (μαχαιροφορεῖν γὰρ ἔθος ἅπασιν), ὡς δὲ ὁ πλείων κατέχει λόγος, εἰς θήραν προαγαγόντες. πρεσβεύσαντες δὲ εἰς Ῥώμην ἠτοῦντο βασιλέα τῶν ὁμηρευόντων, καὶ πέμπεται Βονώνης προκριθεὶς τῶν ἀδελφῶν· ἐδόκει γὰρ χωρεῖν τὴν τύχην, ἣν αὐτῷ δύο μέγισται τῶν ὑπὸ τὸν ἥλιον ἡγεμονίαι προσέφερον, ἰδία καὶ ἀλλοτρία. ταχεῖα δὲ ἀνατροπὴ τοὺς βαρβάρους ὕπεισιν, ἅτε καὶ σφαλεροὺς φύσει ὄντας, πρός τε τὴν ἀναξιοπάθειαν (ἀνδραπόδῳ γὰρ ἀλλοτρίῳ ποιῆσαι τὸ προστασσόμενον ἀπηξίουν, τὴν ὁμηρείαν ἀντὶ δουλείας ὀνομάζοντες) καὶ τῆς ἐπικλήσεως τὴν ἀδοξίαν· οὐ γὰρ ἂν πολέμου δικαίῳ δεδόσθαι τὸν βασιλεύσοντα Πάρθοις, ἀλλ' ὃ τῷ παντὶ χεῖρον, εἰρήνης ὕβρει. παραχρῆμα δὲ ἐκάλουν Ἀρτάβανον Μηδίας βασιλεύοντα, γένος Ἀρσακιδῶν. πείθεται δὲ Ἀρτάβανος καὶ μετὰ στρατιᾶς ἔπεισιν. ὑπαντιάζει δὲ αὐτῷ Βονώνης, καὶ τὸ μὲν πρῶτον συμφρονήσαντος αὐτῷ τοῦ πλήθους τῶν Πάρθων παραταξάμενος νικᾷ, καὶ φεύγει πρὸς τοὺς ὅρους τῆς Μηδίας Ἀρτάβανος· μετ' οὐ πολὺ δὲ συναγαγὼν πολλὴν στρατιὰν συμβάλλει τε Βονώνῃ καὶ νικᾷ, καὶ Βονώνης εἰς Σελεύκειαν ἀφιππάζεται σὺν ὀλίγοις τοῖς περὶ αὐτόν. Ἀρτάβανος δὲ πολὺν τῇ τροπῇ φόνον ἐργασάμενος ὑπὲρ ἐκπλήξεως τῶν βαρβάρων, πρὸς Κτησιφῶντα μετὰ τοῦ πλήθους ἀναχωρεῖ. κἀκεῖνος μὲν ἐβασίλευεν ἤδη Πάρθοις, Βονώνης δὲ εἰς Ἀρμενίαν διαπίπτει. καὶ κατ' ἀρχὰς μὲν ἐφίλετο τῆς χώρας καὶ πρὸς Ῥωμαίους ἐπρέσβευεν· ὡς δὲ αὐτῷ Τιβέριος μὲν ἀπεῖπε πρός τε τὴν ἀνανδρίαν καὶ τοῦ Πάρθου τὰς ἀπειλάς (ἀναπρεσβεύει γὰρ δὴ πόλεμον ἀνατεινόμενος), μηχανὴ δὲ ἦν ἑτέρα βασιλείας οὐδεμία (καὶ γὰρ οἱ περὶ

Digitized by Google

Νιφάτην δυνατοὶ τῶν Ἀρμενίων Ἀρταβάνῳ προστίθενται), παραδίδωσιν αὐτὸν Σιλανῷ τῷ τῆς Συρίας στρατηγῷ. κἀκεῖνος μὲν κατ' αἰδῶ τῆς ἐν Ῥώμῃ κομιδῆς ἐν Συρίᾳ παρεφυλάττετο, τὴν δὲ Ἀρμενίαν Ὀρώδῃ
3 δίδωσιν Ἀρτάβανος, ἑνὶ τῶν ἑαυτοῦ παίδων.

ἐτελεύτησε δὲ καὶ ὁ τῆς Κομμαγηνῆς βασιλεὺς Ἀντίοχος, διέστη δὲ τὸ πλῆθος πρὸς τοὺς γνωρίμους, καὶ πρεσβεύουσιν ἀφ' ἑκατέρου μέρους, οἱ μὲν δυνατοὶ μεταβάλλειν τὸ σχῆμα τῆς πολιτείας εἰς ἐπαρχίαν
4 ἀξιοῦντες, τὸ πλῆθος δὲ βασιλεύεσθαι κατὰ τὰ πάτρια. καὶ ψηφίζεται ἡ σύγκλητος Γερμανικὸν πέμπειν διορθώσοντα τὰ κατὰ τὴν ἀνατολήν, πραγματευομένης αὐτῷ τῆς τύχης εὐκαιρίαν τοῦ θανάτου· καὶ γὰρ γενόμενος κατὰ τὴν ἀνατολὴν καὶ πάντα διορθώσας ἀνη-
5 ρέθη φαρμάκῳ ὑπὸ Πίσωνος, καθὼς ἐν ἄλλοις δεδήλωται.

Πιλᾶτος δὲ ὁ τῆς Ἰουδαίας ἡγεμὼν στρατιὰν ἐκ Καισαρείας ἀγαγὼν καὶ μεθιδρύσας χειμαδιοῦσαν ἐν Ἱεροσολύμοις, ἐπὶ καταλύσει τῶν νομίμων τῶν Ἰουδαϊκῶν
6 ἐφρόνησε προτομὰς Καίσαρος, αἳ ταῖς σημαίαις προσῆσαν, εἰσάγειν εἰς τὴν πόλιν, εἰκόνων ποίησιν ἀπαγορεύοντος ἡμῖν τοῦ νόμου· καὶ διὰ τοῦτο οἱ πρότερον ἡγεμόνες ταῖς μὴ μετὰ τοιῶνδε κόσμων σημαίαις ἐποιοῦντο εἴσοδον τῇ πόλει. πρῶτος δὲ Πιλᾶτος, ἀγνοίᾳ
7 τῶν ἀνθρώπων διὰ τὸ νύκτωρ γενέσθαι τὴν εἴσοδον, ἱδρύσαι τὰς εἰκόνας φέρων εἷς τὰ Ἱεροσόλυμα. οἳ δὲ ἐπεὶ ἔγνωσαν, κατὰ πληθὺν παρῆσαν εἰς Καισάρειαν, ἱκετείαν ποιούμενοι ἐπὶ πολλὰς ἡμέρας ἐπὶ μεταθέσει
8 τῶν εἰκόνων. καὶ μὴ συγχωροῦντος διὰ τὸ εἰς ὕβριν Καίσαρι φέρειν, ἐπεί περ οὐκ ἐξανεχώρουν λιπαρεῖν, κατὰ ἕκτην ἡμέραν ἐν ὅπλοις ἀφανῶς ἐπικαθίσας τὸ στρατιωτικὸν αὐτὸς ἐπὶ τὸ βῆμα ἦκε· τὸ δὲ ἐν τῷ στα-

Digitized by Google

θίῳ κατεσκεύαστο, ὅπερ ἀπέκρυπτε τὸν ἐφεδρεύοντα στρατόν. πάλιν δὲ τῶν Ἰουδαίων ἱκετεία χρωμένων, ἀπὸ συνθήματος περιστήσας τοὺς στρατιώτας ἠπείλει θάνατον ἐπιθήσειν ζημίαν ἐκ τοῦ ὀξέος, εἰ μὴ παυσάμενοι θορυβεῖν ἐπὶ τὰ οἰκεῖα ἀπίοιεν. οἳ δὲ πρηνεῖς ῥίψαντες ἑαυτοὺς καὶ γυμνοῦντες τὰς σφαγάς, ἡδονῇ δέξεσθαι τὰν θάνατον ἔλεγον ἢ τολμήσειν τὴν σοφίαν παραβήσεσθαι τῶν νόμων. καὶ Πιλᾶτος θαυμάσας τὸ ἐχυρὸν αὐτῶν ἐπὶ φυλακῇ τῶν νόμων, παραχρῆμα τὰς εἰκόνας ἐκ τῶν Ἱεροσολύμων ἐπανεκόμισεν εἰς Καισάρειαν.

2 ὑδάτων δὲ ἐπαγωγὴν εἰς τὰ Ἱεροσόλυμα ἔπραξε, δαπάνῃ τῶν ἱερῶν χρημάτων, ἐκλαβὼν τὴν ἀρχὴν τοῦ ῥεύματος ὅσον ἀπὸ διακοσίων σταδίων. οἳ δὲ οὐκ ἠγάπων τοῖς ἀμφὶ τὸ ὕδωρ θρωμένοις, πολλαί τε μυριάδες ἀνθρώπων συνελθόντες κατεβόων αὐτοῦ παύσασθαι τοῦ ἐπὶ τοιούτοις προθυμουμένου· τινὲς δὲ καὶ λοιδορίᾳ χρώμενοι ὕβριζον εἰς τὸν ἄνδρα, οἷα δὴ φιλεῖ πράσσειν ὅμιλος. ὁ δὲ στολῇ τῇ ἐκείνων πολὺ πλῆθος στρατιωτῶν ἀμπεχόμενον, οἳ ἐφέροντο σκυτάλας ὑπὸ ταῖς στολαῖς, διαπέμψας εἰς ὃ περιέλθοιεν αὐτούς, αὐτὸς ἐκέλευσεν ἀναχωρεῖν. τῶν δὲ ὡρμηκότων εἰς τὸ λοιδορεῖν, ἀποδίδωσι τοῖς στρατιώταις ὃ προσυνέκειτο σημεῖον· οἳ δὲ καὶ πολὺ μειζόνως ἧπερ ἐπέταξε Πιλᾶτος ἐχρῶντο πληγαῖς, τούς τε θορυβοῦντας ἐν ἴσῳ καὶ μὴ κολάζοντες. οἳ δὲ εἰσεφέροντο μαλακὸν οὐδέν, ὥστε ἄοπλοι ληφθέντες ὑπ' ἀνδρῶν ἐκ παρασκευῆς ἐπιφερομένων πολλοὶ μὲν αὐτῶν ταύτῃ καὶ ἀπέθνησκον, οἳ δὲ καὶ τραυματίαι ἀνεχώρησαν. καὶ οὕτω παύεται ἡ στάσις.

3 [γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς, σοφὸς ἀνήρ, εἴ γε ἄνδρα αὐτὸν λέγειν χρή. ἦν γὰρ παραδό-

Digitized by Google

ξων ἔργων ποιητής, διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ τἀληθῆ δεχομένων· καὶ πολλοὺς μὲν Ἰουδαίους πολλοὺς δὲ καὶ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο. ὁ Χριστὸς οὗτος ἦν. καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἱ τὸ πρῶτον αὐτὸν ἀγαπήσαντες· ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μύρια θαυμάσια περὶ αὐτοῦ εἰρηκότων. εἰσέτι τε νῦν τῶν Χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένων οὐκ ἐπέλιπε τὸ φῦλον.]

καὶ ὑπὸ τοὺς αὐτοὺς χρόνους ἕτερόν τι δεινὸν 4
ἐθορύβει τοὺς Ἰουδαίους, καὶ περὶ τὸ ἱερὸν τῆς Ἴσιδος τὸ ἐν Ῥώμῃ πράξεις αἰσχυνῶν οὐκ ἀπηλλαγμέναι συντυγχάνουσι. καὶ πρότερον τοῦ τῶν Ἰσιακῶν τολμήματος μνήμην ποιησάμενος, οὕτω μεταδίωμι τὸν λόγον ἐπὶ τὰ ἐν τοῖς Ἰουδαίοις γεγονότα. Παυλῖνα ἦν τῶν ἐπὶ Ῥώμης προγόνων τε ἀξιώματι τῷ τε καθ' ἑαυτὴν ἐπιτηδεύματι ἀρετῆς ἐπὶ μέγα προϊοῦσα τῷ ὀνόματι, δύναμίς τε αὐτῇ χρημάτων ἦν, καὶ γεγουνῖα τὴν ὄψιν εὐπρεπὴς καὶ τῆς ὥρας ἐν ᾗ μάλιστα ἀγάλλονται αἱ γυναῖκες, εἰς τὸ σωφρονεῖν ἀνέκειτο ἡ ἐπιτήδευσις τοῦ βίου. ἐγεγάμητο δὲ Σατουρνίνῳ τῷ εἰς τὰ πάντα ἀντισουμένῳ τῶν περὶ αὐτὴν ἀξιολόγων. ταύτης ἐρᾷ Δέκιος Μοῦνδος, τῶν τότε ἱππέων ἐν ἀξιώματι μεγάλῳ· καὶ μείζονος οὔσης ἢ ὥστε ἁλῶναι δώροις διὰ τὸ καὶ πεμφθέντων εἰς πλῆθος περιιδεῖν, ἐξῆπτο μᾶλλον, ὥστε καὶ εἴκοσι μυριάδας δραχμῶν Ἀττικῶν αὐτῇ δώσειν ὑπισχνεῖται εὐνῆς μιᾶς. καὶ μηδὲ ὡς ἐπικλωμένης, οὐ φέρων τὴν ἀτυχίαν τοῦ ἔρωτος, ἐνδείᾳ σιτίων θάνατον ἐπιτιμᾶν αὐτῷ καλῶς ἔχειν ἐνόμιζεν ἐπὶ Παυλίνῃ κακοῦ τοῦ κατειληφότος. καὶ ὃ μὲν ἐπεψηφίζετο τοιαύτῃ τελευτῇ καὶ πράσσειν οὐκ ἀπηλλάσσετο, ἦν δὲ

Digitized by Google

Ἴδη πατρῷος ἀπελευθέρα τῷ Μούνδῳ, παντοίων ἰδρις κακῶν, ἣ δεινῶς φέρουσα τοῦ νεανίσκου τῷ ψηφίσματι τοῦ θανεῖν (οὐ γὰρ ἀφανὴς ἦν ἀπολούμενος) ἀνεγείρει τε αὐτὸν ἀφικομένη διὰ λόγου, πιθανή τε ἦν ἐλπίδων τινῶν ὑποσχέσει ὡς διαπραχθησομένων ὁμιλιῶν πρὸς τὴν Παυλίναν αὐτῷ. καὶ δεχομένου τὴν ἱκετείαν ἡδονῇ, πέντε μυριάδων δεήσειν αὐτῇ μόνων ἔλεγεν ἐπὶ ἀλώσει τῆς γυναικός. καὶ ἣ μὲν ἐπὶ τούτοις ἀναγείρασα τὸν νεανίσκον, καὶ τὸ αἰτηθὲν λαβοῦσα ἀργύριον, οὐ τὰς αὐτὰς ὁδοὺς ἐστέλλετο τοῖς προδεδιακονημένοις, ὁρῶσά τῆς γυναικὸς τὸ μηδαμῶς χρημάτων ἁλισκόμενον, εἰδυῖα δ' αὐτὴν θεραπείᾳ τῆς Ἴσιδος σφόδρα ὑπηγμένην τεχνᾶταί τι τοιόνδε. τῶν ἱερέων τισὶν ἀφικομένη διὰ λόγων ἐπὶ πίστεσι μεγάλαις, τὸ δὲ μέγιστον δόσει χρημάτων, τὸ μὲν παρὸν μυριάδων δυοῖν καὶ ἡμισείας, λαβόντος δ' ἔκβασιν τοῦ πράγματος ἑτέρῳ τοσῷδε, διασαφεῖ τοῦ νεανίσκου τὸν ἔρωτα αὐτοῖς, κελεύουσα παντοίως ἐπὶ τῷ ληψομένῳ τὴν ἄνθρωπον σπουδάσαι. οἳ δ' ἐπὶ πλήθει τοῦ χρυσίου παραχθέντες ὑπισχνοῦντο. καὶ αὐτῶν ὁ γεραίτατος ὡς τὴν Παυλίναν ὡσάμενος, γενομένων εἰσόδων κατὰ μόνας τε διὰ λόγων ἐλθεῖν ἠξίου, καὶ συγχωρηθὲν πεμπτὸς ἔλεγεν ἥκειν ὑπὸ τοῦ Ἀνούβιδος, ἔρωτι αὐτῆς ἡσσημένου τοῦ θεοῦ, κελεύοντός τε ὡς αὐτὸν ἐλθεῖν. τῇ δὲ εὐκτὸς ὁ λόγος ἦν, καὶ ταῖς τε φίλαις ἐνεκαλλωπίζετο τῇ ἐπὶ τούτοις ἀξιώσει τοῦ Ἀνούβιδος, καὶ φράζει πρὸς τὸν ἄνδρα δεῖπνόν τε αὐτῇ καὶ εὐνὴν τοῦ Ἀνούβιδος εἰσηγγέλθαι. συνεχώρει δ' ἐκεῖνος, τὴν σωφροσύνην τῆς γυναικὸς ἐξεπιστάμενος. χωρεῖ οὖν εἰς τὸ τέμενος, καὶ δειπνήσασα, ὡς ὕπνου καιρὸς ἦν, κλεισθεισῶν τῶν θυρῶν ὑπὸ τοῦ ἱερέως, ἔνδον ἐν τῷ ναῷ καὶ τὰ λύχνα ἐκποδὼν ἦν, καὶ ὁ Μοῦνδος (προεκέκρυπτο γὰρ τῇδε)

Digitized by Google

οὐχ ἡμάρτανεν ὁμιλιῶν τῶν πρὸς αὐτήν, πανν[ύ]χιόν τε αὐτῷ διηκονήσατο, ὑπειληφυῖα θεὸν εἶναι. καὶ ἀπελθόντος πρότερον ἢ κίνησιν ἄρξασθαι τῶν ἱερέων οἳ τὴν ἐπιβουλὴν ⟨οὐκ⟩ ᾔδεσαν, ἡ Παυλῖνα πρωῒ ὡς τὸν ἄνδρα ἐλθοῦσα τὴν ἐπιφάνειαν ἐκδιηγεῖται τοῦ Ἀνούβιδος, καὶ πρὸς τὰς φίλας ἐνελαμπρύνετο λόγοις τοῖς ἐπ' αὐτῷ. οἳ δὲ τὰ μὲν ἠπίστουν εἰς τὴν φύσιν τοῦ πράγματος ὁρῶντες, τὰ δ' ἐν θαύματι καθίσταντο, οὐκ ἴσχοντες ὡς χρὴ ἄπιστα αὐτὰ κρίνειν, ὁπότε εἰς τὴν σωφροσύνην καὶ τὸ ἀξίωμα ἀπίδοιεν αὐτῆς. τρίτῃ δὲ ἡμέρᾳ μετὰ τὴν πρᾶξιν ὑπαντιάσας αὐτὴν ὁ Μοῦνδος Παυλῖνα φησίν, "ἀλλά μοι καὶ εἴκοσι μυριάδας δισσώσω, δυναμένῃ οἵκῳ προσθέσθαι τῷ σαυτῆς, διακονεῖσθαί τε ἐφ' οἷς προεκαλούμην οὐκ ἐνέλιπες. ἃ μέντοι εἰς Μοῦνδον ὑβρίζειν ἐπειρῶ, μηδέν μοι μελῆσαν τῶν ὀνομάτων ἀλλὰ τῆς ἐκ τοῦ πράγματος ἡδονῆς, Ἄνουβιν ὄνομα ἐθέμην ἐμαυτῷ." καὶ ὃ μὲν ἀπῄει ταῦτα εἰπών· ἡ δὲ εἰς ἔννοιαν τότε πρῶτον ἐλθοῦσα τοῦ τολμήματος, περιρρήγνυταί τε τὴν στολήν, καὶ τἀνδρὶ δηλώσασα τοῦ παντὸς ἐπιβουλεύματος τὸ μέγεθος ἐδεῖτο μὴ περιῶφθαι βοηθείας τυγχάνειν. ὃ δὲ τῷ αὐτοκράτορι ἐπεσήμηνε τὴν πρᾶξιν. καὶ ὁ Τιβέριος, μαθήσεως ἀκριβοῦς αὐτῷ γενομένης ἐξετάσει τῶν ἱερέων, ἐκείνους τε ἀνεσταύρωσε καὶ τὴν Ἶσιν, ὀλέθρου γενομένην αἰτίαν καὶ τὰ πάντα ἐφ' ὕβρει συνθεῖσαν τῆς γυναικός· τόν τε ναὸν καθεῖλε, καὶ τὸ ἄγαλμα τῆς Ἶσιδος εἰς τὸν Θύμβριν ποταμὸν ἐκέλευσεν ἐμβαλεῖν. Μούνδῳ δὲ φυγῆς ἐτίμησεν, κώλυμα τοῦ μὴ μειζόνως κολάσαι τὸ μετὰ ἔρωτος αὐτῷ ἡμαρτῆσθαι τὰ ἡμαρτημένα ἡγησάμενος.

καὶ τὰ μὲν περὶ τὸ ἱερὸν τῆς Ἶσιδος τοῖς ἱερεῦσιν ὑβρισμένα τοιαῦτα ἦν· ἐπάνειμι δὲ ἐπὶ τὴν ἀφήγησιν

Digitized by Google

τῶν ἐν Ῥώμῃ Ἰουδαίοις κατὰ τοῦτον τὸν χρόνον συντυχόντων, ὥς μοι καὶ προεσήμηνεν ὁ λόγος.

5 ἦν ἀνὴρ Ἰουδαῖος, φυγὰς μὲν τῆς αὐτοῦ κατηγορίᾳ τε παραβάσεως νόμων καὶ δέει τιμωρίας τῆς ἐπ' αὐτοῖς, πονηρὸς δὲ εἰς τὰ πάντα. καὶ δὴ τότε ἐν τῇ Ῥώμῃ διαιτώμενος προσεποιεῖτο μὲν ἐξηγεῖσθαι σοφίαν νόμων τῶν Μωϋσέως, προσποιησάμενός τε τρεῖς ἄνδρας εἰς τὰ πάντα ὁμοιοτρόπους, τούτοις ἐπιφοιτήσασαν Φουλβίαν, τῶν ἐν ἀξιώματι γυναικῶν καὶ νομίμοις προσεληλυθυῖαν τοῖς Ἰουδαϊκοῖς, πείθουσι πορφύραν καὶ χρυσίον εἰς τὸ ἐν Ἱεροσολύμοις ἱερὸν διαπέμψασθαι, καὶ λαβόντες ἐπὶ χρείαις ταῖς οἰκείαις ἀνάλωμα αὐτὰ ποιοῦνται, ἐφ' ὅπερ καὶ τὸ πρῶτον ἡ αἴτησις ἐπράσσετο. καὶ ὁ Τιβέριος (ἀποσημαίνει γὰρ πρὸς αὐτὸν φίλος ὢν Σατουρνῖνος τῆς Φουλβίας ἀνὴρ ἐπισκήψει τῆς γυναικός) κελεύει πᾶν τὸ Ἰουδαϊκὸν τῆς Ῥώμης ἀπελαθῆναι. οἱ δὲ ὕπατοι τετρακισχιλίους ἄνδρας ἐξ αὐτῶν στρατολογήσαντες ἔπεμψαν εἰς Σαρδὼ τὴν νῆσον· πλείστους δὲ ἐκόλασαν μὴ θέλοντας στρατεύεσθαι διὰ φυλακὴν τῶν πατρίων νόμων.

καὶ οἳ μὲν διὰ κακίαν τεσσάρων ἀνδρῶν ἠλαύνοντο
4 τῆς πόλεως, οὐκ ἀπήλλακτο δὲ θορύβου καὶ τὸ Σαμαρέων ἔθνος. συστρέφει γὰρ αὐτοὺς ἀνὴρ ἐν ὀλίγῳ τὸ ψεῦδος τιθέμενος καὶ ἐφ' ἡδονῇ τῆς πληθύος τεχνάζων τὰ πάντα, κελεύων ἐπὶ τὸ Γαριζὶν ὄρος αὐτῷ συνελθεῖν, ὃ ἀγνότατόν τε αὐτοῖς ὀρῶν ὑπείληπται, ἰσχυρίζετό τε παραγενομένοις δείξειν τὰ ἱερὰ σκεύη τῇδε κατορωρυγμένα, Μωϋσέως τῇδε αὐτῶν ποιησαμένου κατάθεσιν. οἳ δὲ ἐν ὅπλοις τε ἦσαν, πιθανὸν ἡγούμενοι τὸν λόγον, καὶ καθίσαντες ἔν τινι κώμῃ (Τιραθανὰ λέγεται) παρελάμβανον τοὺς ἐπισυλλεγομένους ὡς μεγάλῳ πλήθει τὴν ἀνάβασιν εἰς τὸ ὄρος ποιησόμενοι.

Digitized by Google

φθάνει δὲ Πιλᾶτος τὴν ἄνοδον αὐτῶν προκαταλαβόμενος ἱππέων τε πομπῇ καὶ ὁπλιτῶν, οἳ συμβαλόντες τοῖς ἐν τῇ κώμῃ προσυνηθροισμένοις, παρατάξεως γενομένης, τοὺς μὲν ἔκτειναν τοὺς δὲ εἰς φυγὴν τρέπονται, ζωγρίᾳ τε πολλοὺς ἦγον, ὧν τοὺς κορυφαιοτάτους καὶ τοὺς ἐν τοῖς φυγοῦσι δυνατωτάτους ἔκτεινε Πιλᾶτος.

καταστάντος δὲ τοῦδε τοῦ θορύβου, Σαμαρέων 2
ἡ βουλὴ παρὰ Ὀυιτέλλιον ὑπατικὸν ἴασιν ἄνδρα, Συρίας τὴν ἡγεμονίαν ἔχοντα, καὶ Πιλάτου κατηγόρουν ἐπὶ τῇ σφαγῇ τῶν ἀπολωλότων· οὐ γὰρ ἐπὶ ἀποστάσει Ῥωμαίων ἀλλ' ἐπὶ διαφυγῇ τῆς Πιλάτου ὕβρεως εἰς τὴν Τιραθανᾶ παραγενέσθαι. καὶ Ὀυιτέλλιος Μάρκελλον τῶν αὐτοῦ φίλων ἐκπέμψας ἐπιμελητὴν τοῖς Ἰουδαίοις γενησόμενον, Πιλᾶτον ἐκέλευσεν ἐπὶ Ῥώμης ἀπιέναι, πρὸς ἃ κατηγοροῖεν Ἰουδαῖοι διδάξοντα τὸν αὐτοκράτορα. καὶ Πιλᾶτος δέκα ἔτεσιν διατρίψας ἐπὶ Ἰουδαίας εἰς Ῥώμην ἠπείγετο ταῖς Ὀυιτελλίου πειθόμενος ἐντολαῖς, οὐκ ὂν ἀντειπεῖν. πρὶν δὲ ἢ τῇ Ῥώμῃ προσσχεῖν αὐτόν, φθάνει Τιβέριος μεταστάς.

Ὀυιτέλλιος δὲ εἰς τὴν Ἰουδαίαν ἀφικόμενος ἐπὶ Ἱε- 3
ροσολύμων ἀνήει, καὶ ἦν αὐτοῖς ἑορτή· πάσχα δὲ καλεῖται. δεχθεὶς δὲ μεγαλοπρεπῶς Ὀυιτέλλιος τὰ τέλη τῶν ὠνουμένων καρπῶν ἀνίησιν εἰς τὸ πᾶν τοῖς ταύτῃ κατοικοῦσι, καὶ τὴν στολὴν τοῦ ἀρχιερέως καὶ τὸν πάντα αὐτοῦ κόσμον συνεχώρησεν ἐν τῷ ἱερῷ κείμενον ὑπὸ τοῖς ἱερεῦσιν ἔχειν τὴν ἐπιμέλειαν, καθότι καὶ πρότερον ἦν αὐτοῖς ἐξουσία· τότε δὲ ἐν τῇ Ἀντωνίᾳ (φρούριον δ' ἐστὶν οὕτω λεγόμενον) ἡ ἀπόθεσις αὐτῆς ἦν διὰ τοιαύτην αἰτίαν. τῶν ἱερέων τις Ὑρκανός, πολλῶν δὲ ὄντων οἳ τόδε ἐκαλοῦντο τὸ ὄνομα ὁ πρῶτος, ἐπὶ πλησίον τῷ ἱερῷ βᾶριν κατασκευασάμενος ἐν ταύτῃ τὰ πολλὰ τὴν δίαιταν εἶχε, καὶ τὴν στολὴν (φύλαξ

Digitized by Google

γὰρ ἦν αὐτῆς διὰ τὸ καὶ μόνῳ συγκεχωρῆσθαι τοῦ ἐνδύεσθαι τὴν ἐξουσίαν) ταύτῃ εἶχεν ἀποκειμένην, ὁπότε εἰς τὴν πόλιν κατιὼν ἀναλαμβάνοι τὴν ἰδιωτικήν· καὶ οἵ τε υἱεῖς αὐτοῦ ταῦτα πράσσειν ἐπετήδευον καὶ τέκνα ἐκείνων. Ἡρώδης δὲ βασιλεύσας τήν τε βᾶριν ταύτην, ἐν ἐπιτηδείῳ κειμένην, κατασκευάσας πολυτελῶς Ἀντωνίαν καλεῖ ὄνομα, τῷ Ἀντωνίῳ φίλος ὤν, καὶ τὴν στολὴν ὥσπερ καταλαμβάνει τῇδε κειμένην κατεῖχε, πιστεύων οὐδὲν νεωτεριεῖν ἐπ' αὐτῷ τὸν λαὸν διὰ τάδε. ἔπρασσε δ' ὅμοια τῷ Ἡρώδῃ καὶ ὁ ἐπικατασταθεὶς αὐτῷ βασιλεὺς Ἀρχέλαος υἱὸς ὤν· οὗ Ῥωμαῖοι παραδεξάμενοι τὴν ἀρχὴν ἐκράτουν τῆς στολῆς τοῦ ἀρχιερέως, ἀποκειμένης ἐν οἴκῳ λίθου οἰκοδομηθέντι ὑπὸ σφραγῖδι τῶν τε ἱερέων καὶ τῶν γαζοφυλάκων, τοῦ φρουράρχου τὸ ἐφ' ἡμέραν ἑκάστην λύχνου ἅπτοντος. ἑπτὰ δὲ ἡμέραις πρὸ τῆς ἑορτῆς ἀπεδίδοτο αὐτοῖς ὑπὸ τοῦ φρουράρχου, καὶ ἁγνισθείσῃ χρησάμενος ὁ ἀρχιερεὺς μετὰ μίαν τῆς ἑορτῆς ἡμέραν ἀπετίθετο αὖθις εἰς τὸν οἶκον, ἧπερ ἔκειτο πρότερον. καὶ τοῦτο ἐπράσσετο τρισὶν ἑορταῖς ἑκάστου ἔτους καὶ κατὰ τὴν νησταίαν. Ὀϊτέλλιος δὲ ἐπὶ τῷ ἡμετέρῳ πατρίῳ ποιεῖται τὴν στολήν, ἣ τε κεῖσοιτο μὴ πολυπραγμονεῖν ἐπισκήψας τῷ φρουράρχῳ, καὶ ὁπότε δέοι χρῆσθαι. καὶ ταῦτα πράξας ἐπὶ εὐεργεσίᾳ τοῦ ἔθνους, καὶ τὸν ἀρχιερέα Ἰώσηπον τὸν καὶ Καϊάφαν ἐπικαλούμενον ἀπαλλάξας τῆς ἱερωσύνης, Ἰωνάθην καθίστησιν Ἀνάνου τοῦ ἀρχιερέως υἱόν. ἐπ' Ἀντιοχείας δ' αὖθις ἐποιεῖτο τὴν ὁδόν.

4 πέμπει δὲ καὶ Τιβέριος ὡς Ὀϊτέλλιον γράμματα, κελεύων αὐτῷ πράσσειν φιλίαν πρὸς Ἀρτάβανον τὸν Πάρθων βασιλέα· ἐφόβει γὰρ αὐτὸν ἐχθρὸς ὢν καὶ Ἀρμενίαν παρεσπασμένος, μὴ ἐπὶ πλέον καπουργῇ·

Digitized by Google

πιστεύειν δὲ τῇ φιλίᾳ μόνως ὁμήρων αὐτῷ διδομένων, μάλιστα δὲ τοῦ Ἀρταβάνου υἱέως. ταῦτα δὲ γράφων Τιβέριος πρὸς τὸν Ὀιτέλλιον μεγάλων δόσεσι χρημάτων πείθει καὶ τὸν Ἰβήρων καὶ τὸν Ἀλβανῶν βασιλέα πολεμεῖν Ἀρταβάνῳ μηδὲν ἐνδοιάσαι. οἱ δὲ αὐτοὶ μὲν ἀντεῖχον, Σκύθας δέ, δίοδον αὐτοῖς διδόντες διὰ τῆς αὑτῶν καὶ τὰς θύρας τὰς Κασπίας ἀνοίξαντες, ἐπάγουσι τῷ Ἀρταβάνῳ. καὶ ἥ τε Ἀρμενία ἀφῄρητο αὖθις, καὶ πλησθείσης πολέμων τῆς Παρθυαίων γῆς οἵ τε πρῶτοι τῶν τῇδε ἐκτείνοντο ἀνδρῶν, ἀνάστατά τε ἦν αὐτοῖς τὰ πάντα, καὶ τοῦ βασιλέως ὁ υἱὸς ἐκ τούτων τῶν μαχῶν ἔπεσε μετὰ πολλῶν στρατοῦ μυριάδων. καὶ αὐτοῦ τὸν πατέρα Ἀρτάβανον Ὀιτέλλιος, πομπῇ χρημάτων εἰς τε συγγενεῖς καὶ φίλους τοὺς ἐκείνου γενομένῃ, ἐμέλλησε μὲν κτιννύειν διὰ τῶν τὰ ὅπλα εἰληφότων, αἰσθόμενος δὲ τὴν ἐπιβουλὴν ὁ Ἀρτάβανος ἄφυκτον οὖσαν διὰ τὸ ὑπὸ πολλῶν καὶ τῶν πρώτων ἀνδρῶν συντεθεῖσαν μὴ ἀνεῖσθαι τοῦ ἐπὶ πέρας ἐλθεῖν, καὶ νομίζων καὶ ὁπόσον αὐτῷ καθαρῶς συνειστήκει, καὶ τόδε ἤτοι ἐφθαρμένον ἐπὶ δόλῳ τὴν εὔνοιαν προσποιεῖσθαι ἢ πείρας αὐτῷ γενομένης μετατάξεσθαι πρὸς τοὺς προαφεστηκότας, ἐπὶ τῶν ἄνω σατραπειῶν ἔσωζεν αὐτόν. καὶ πολλὴν μετὰ ταῦτα στρατιὰν ἀθροίσας Δαῶν τε καὶ Σακῶν, καὶ πολεμήσας τοὺς ἀνθεστηκότας, κατέσχε τὴν ἀρχήν.

ταῦτα ἀκούσας ὁ Τιβέριος ἠξίου φιλίαν αὐτῷ γενέσθαι πρὸς τὸν Ἀρτάβανον. ἐπεὶ δὲ κἀκεῖνος προκληθεὶς ἀσμένως ἐδέχετο τὸν περὶ αὐτῶν λόγον, ἐπὶ τὸν Εὐφράτην παρῆσαν ὅ τε Ἀρτάβανος καὶ ὁ Ὀιτέλλιος, καὶ ζεύξεως τοῦ ποταμοῦ γενομένης κατὰ τὸ μεσαίτατον τῆς γεφύρας ἀλλήλους ὑπηντίαζον μετὰ φυλακῆς ἑκάτερος τῆς περὶ αὐτόν. καὶ λόγων αὐτοῖς συμβατι-

Digitized by Google

κῶν γενομένων Ἡρώδης ὁ τετράρχης εἰστίασεν αὐτούς, κατὰ μέσον τὸν πόρον σκηνίδα ἐπισκηψάμενος τῷ πόρῳ πολυτελῆ. καὶ Ἀρτάβανος μετ' οὐ πολὺ πέμπει Τιβερίῳ ὅμηρον Δαρεῖον τὸν υἱὸν μετὰ πολλῶν ὡρῶν, ἐν οἷς καὶ ἄνδρα ἐπτάπηχυν τὸ μέγεθος, Ἰουδαῖον τὸ γένος Ἐλεάζαρον ὄνομα, ὃς διὰ τὸ μέγεθος γίγας ἐπεκαλεῖτο. ἐπὶ τούτοις Ὀυιτέλλιος μὲν ἐπ' Ἀντιοχείας ἦει, Ἀρτάβανος δὲ ἐπὶ τῆς Βαβυλωνίας. Ἡρώδης δὲ βουλόμενος δι' αὐτοῦ πρώτου γενέσθαι πύστιν Καίσαρι τῶν ὁμήρων τῆς λήψεως, ἐκπέμπει γραμματοφόρους, τὰ πάντα ἀκριβῶς γράψας εἰς ἐπιστολὴν καὶ μηδὲν ὑπολειπόμενος ἐπὶ μηνύσει τῷ ὑπατικῷ. πρὸς Ὀυιτελλίου δὲ ἐπιπεμφθεισῶν ἐπιστολῶν, καὶ τοῦ Καίσαρος ἐπισημήναντος πρὸς αὐτὸν ὡς δῆλα αὐτῷ γένοιτο πρότερον πύστιν περὶ αὐτῶν Ἡρώδου προτεθεικότος, ταραχθεὶς ὁ Ὀυιτέλλιος μεγάλως, καὶ πεπονθέναι τι μειζόνως ἢ ἐπέπρακτο ὑπολαμβάνων, ἄδηλον τὴν ἐπ' αὐτοῖς ἔκρυπτεν ὀργήν, μέχρι δὴ καὶ μετῆλθε Γαΐου τὴν ἀρχὴν παρειληφότος.

6 τότε δὲ καὶ Φίλιππος (Ἡρώδου δὲ ἦν ἀδελφός) τελευτᾷ τὸν βίον, εἰκοστῷ μὲν ἐνιαυτῷ τῆς Τιβερίου ἀρχῆς, ἡγησάμενος δὲ αὐτὸς ἑπτὰ καὶ τριάκοντα τῆς Τραχωνίτιδος καὶ Γαυλανίτιδος καὶ τοῦ Βαταναίων ἔθνους πρὸς αὐτοῖς, μέτριον δὲ ἐν οἷς ἦρχε παρασχὼν τὸν τρόπον καὶ ἀπράγμονα. δίαιταν μὲν γὰρ τὸ πᾶν ἐν τῇ γῇ τῇ ὑποτελεῖ ἐποιεῖτο· πρόοδοι δ' ἦσαν αὐτῷ σὺν ὀλίγοις τῶν ἐπιλέκτων, καὶ τοῦ θρόνου εἰς ὃν κρίνειε καθιζόμενος ἐν ταῖς ὁδοῖς ἑπομένου, ὁπότε τις ὑπαντιάσας ἐν χρείᾳ γένοιτο αὐτῷ ἐπιβοηθεῖν, οὐδὲν εἰς ἀναβολὰς ἀλλ' ἐκ τοῦ ὀξέος ἱδρύσεως τοῦ θρόνου ἦ καὶ τύχοι γενομένης καθιζόμενος ἠκροᾶτο, καὶ τιμωρίας τε ἐπετίμα τοῖς ἁλοῦσι καὶ ἠφίει τοὺς ἀδίκως ἐν ἐγκλή-

Digitized by Google

μασι γενομένους. τελευτᾷ δ' ἐν Ἰουλιάδι, καὶ αὐτοῦ κομισθέντος ἐπὶ τὸ μνημεῖον, ὃ ἔτι πρότερον ᾠκοδόμησεν αὐτός, ταφαὶ γίνονται πολυτελεῖς. τὴν δ' ἀρχὴν (οὐ γὰρ κατελείπετο παῖδας) Τιβέριος παραλαβὼν προσθήκην ἐπαρχίας ποιεῖται τῆς Σύρων, τοὺς μέντοι φόρους ἐκέλευσε συλλεγομένους ἐν τῇ τετραρχίᾳ τῇ ἐκείνου γενομένῃ κατατίθεσθαι.

ἐν τούτῳ δὲ στασιάζουσιν Ἀρέτας τε ὁ Πετραίος βασιλεὺς καὶ Ἡρῴδης διὰ τοιαύτην αἰτίαν. Ἡρῴδης ὁ τετράρχης γαμεῖ τὴν Ἀρέτα θυγατέρα, καὶ συνῆν χρόνον ἤδη πολύν. στελλόμενος δ' ἐπὶ Ῥώμης κατάγεται ἐν Ἡρῴδου ἀδελφοῦ ὄντος οὐχ ὁμομητρίου· ἐκ γὰρ τῆς Σίμωνος τοῦ ἀρχιερέως θυγατρὸς Ἡρῴδης ἐγεγόνει. ἐρασθεὶς δὲ Ἡρωδιάδος τῆς τούτου γυναικός (θυγάτηρ δὲ ἦν Ἀριστοβούλου, καὶ οὗτος ἀδελφὸς αὐτῶν, Ἀγρίππα δὲ ἀδελφὴ τοῦ μεγάλου) τολμᾷ λόγων ἅπτεσθαι περὶ γάμων. καὶ δεξαμένης συνθῆκαι γίνονται μετοικιεῖσθαι πρὸς αὐτὸν ὁπότε ἀπὸ Ῥώμης παραγένοιτο· ἦν δὲ ἐν ταῖς συνθήκαις ὥστε καὶ τοῦ Ἀρέτα τὴν θυγατέρα ἐκβαλεῖν. καὶ ὃ μὲν εἰς τὴν Ῥώμην ἔπλει, ταῦτα συνθέμενος· ἐπεὶ δὲ ἐπανεχώρει διαπραξάμενος ἐν τῇ Ῥώμῃ ἐφ' ἅπερ ἔσταλτο, ἡ γυνή, πύστεως αὐτῇ τῶν πρὸς τὴν Ἡρωδιάδα συνθηκῶν γενομένης, πρὶν ἔκπυστος αὐτῷ γενέσθαι τὰ πάντα ἐκμαθοῦσα, κελεύει πέμπειν αὐτὴν ἐπὶ Μαχαιροῦντος (μεθόριον δέ ἐστι τῆς τε Ἀρέτα καὶ Ἡρῴδου ἀρχῆς), γνώμην οὐκ ἐκφαίνουσα τὴν ἑαυτῆς. καὶ Ἡρῴδης ἐξέπεμψε, μηδὲν ἡσθῆσθαι τὴν ἄνθρωπον προσδοκῶν. ἡ δέ (προαπεστάλκει γὰρ ἐκ πλείονος εἰς τὸν Μαχαιροῦντα τὸν τῷ πατρὶ αὐτῆς ὑποτελῆ) πάντων εἰς τὴν ὁδοιπορίαν ἡτοιμασμένων ὑπὸ τοῦ στρατηγοῦ, ἅμα τε παρῆν καὶ ἀφορμᾶται εἰς τὴν Ἀραβίαν κομιδῇ τῶν στρατηγῶν ἐκ διαδοχῆς,

Digitized by Google

παρῆν τε ὡς τὸν πατέρα ἦ τάχος, καὶ αὐτῷ τὴν Ἡρώδου διάνοιαν ἔφραζε. ὃ δὲ ἀρχὴν ἔχθρας ταύτην ποιησάμενος, περί τε ὅρων ἐν τῇ γῇ τῇ Γαμαλίτιδι..., καὶ δυνάμεως ἑκατέρῳ συλλεγείσης εἰς πόλεμον καθίστανται, στρατηγοὺς ἀπεσταλκότες ἀνθ' ἑαυτῶν. καὶ μάχης γενομένης διεφθάρη πᾶς ὁ Ἡρώδου στρατός, προδοσίας αὐτῷ γενομένης ὑπ' ἀνδρῶν φυγάδων, οἳ ὄντες ἐκ τῆς Φιλίππου τετραρχίας Ἡρώδῃ συνεστράτευον. ταῦτα Ἡρώδης γράφει πρὸς Τιβέριον. ὃ δὲ ὀργῇ φέρων τὴν Ἀρέτα ἐπιχείρησιν, γράφει πρὸς Ὑιτέλλιον πόλεμον ἐξενεγκεῖν, καὶ ἢ τοι ζωὸν ἐλόντα ἀναγαγεῖν δεδεμένον, ἢ κτεινομένου πέμπειν τὴν κεφαλὴν ἐπ' αὐτόν.

καὶ Τιβέριος μὲν ταῦτα πράσσειν ἐπέστελλε τῷ
2 κατὰ Συρίαν στρατηγῷ, τισὶ δὲ τῶν Ἰουδαίων ἐδόκει ὀλωλέναι τὸν Ἡρώδου στρατὸν ὑπὸ τοῦ θεοῦ, καὶ μάλα δικαίως τιννυμένου κατὰ ποινὴν Ἰωάννου τοῦ ἐπικαλουμένου βαπτιστοῦ. κτείνει γὰρ τοῦτον Ἡρώδης ἀγαθὸν ἄνδρα, καὶ τοὺς Ἰουδαίους κελεύοντα, ἀρετὴν ἐπασκοῦντας καὶ τῇ πρὸς ἀλλήλους δικαιοσύνῃ καὶ πρὸς τὸν θεὸν εὐσεβείᾳ χρωμένους, βαπτισμῷ συνιέναι· οὕτω γὰρ δὴ καὶ τὴν βάπτισιν ἀποδεκτὴν αὐτῷ φανεῖσθαι, μὴ ἐπὶ τινῶν ἁμαρτάδων παραιτήσει χρωμένων, ἀλλ' ἐφ' ἁγνείᾳ τοῦ σώματος, ἅτε δὴ καὶ τῆς ψυχῆς δικαιοσύνῃ προεκκεκαθαρμένης. καὶ τῶν ἄλλων συστρεφομένων (καὶ γὰρ ἥρθησαν ἐπὶ πλεῖστον τῇ ἀκροάσει τῶν λόγων) δείσας Ἡρώδης τὸ ἐπὶ τοσόνδε πιθανὸν αὐτοῦ τοῖς ἀνθρώποις μὴ ἐπὶ ἀποστάσει τινὶ φέροι (πάντα γὰρ ἐῴκεσαν συμβουλῇ τῇ ἐκείνου πράξοντες), πολὺ κρεῖττον ἡγεῖται, πρίν τι νεώτερον ἐξ αὐτοῦ γενέσθαι, προλαβὼν ἀναιρεῖν, ἢ μεταβολῆς γενομένης εἰς τὰ πράγματα ἐμπεσὼν μεταvοεῖν. καὶ ὃ μὲν ὑποψίᾳ τῇ Ἡρώδου δέσμιος εἰς τὸν

Digitized by Google

μαχαιροῦντα περιφθείς, τὸ προειρημένον φρούριον, ταύτῃ κτίννυται· τοῖς δὲ Ἰουδαίοις ἔδοξεν ἐπὶ τιμωρίᾳ τῇ ἐκείνου τὸν ὄλεθρον ἐπὶ τῷ στρατεύματι γενέσθαι, τοῦ θεοῦ κακῶς Ἡρώδῃ θέλοντος.

Υ̓ιτέλλιος δὲ παρασκευασάμενος ὡς εἰς πόλεμον 3
τὸν πρὸς Ἀρέταν δυσὶ τάγμασιν ὁπλιτῶν, ὅσοι τε περὶ αὐτὰ ψιλοὶ καὶ ἱππεῖς συμμαχοῦντες, ἐκ τῶν ὑπὸ Ῥωμαίοις βασιλειῶν ἀγόμενος ἐπὶ τῆς Πέτρας ἠπείγετο, καὶ ἔσχε Πτολεμαΐδα. ὡρμημένῳ δ' αὐτῷ διὰ τῆς Ἰου-
δαίων ἄγειν τὸν στρατὸν ὑπαντιάσαντες ἄνδρες οἱ πρῶτοι παρῃτοῦντο τὴν διὰ τῆς χώρας ὁδόν· οὐ γὰρ αὐτοῖς εἶναι πάτριον περιορᾶν εἰκόνας εἰς αὐτὴν φερο-
μένας, πολλὰς δ' εἶναι σημαίας ἐπικειμένας. καὶ πει-
θεὶς μετέβαλέ τε τῆς γνώμης τὸ ἐπὶ τοιούτοις προβου-
λεῦσαν, καὶ διὰ τοῦ μεγάλου πεδίου κελεύσας χωρεῖν
τὸ στρατόπεδον, αὐτός [τε] μετὰ Ἡρώδου τοῦ τετράρ-
χου καὶ τῶν φίλων εἰς Ἱεροσόλυμα ἀνῄει, θύσων τῷ θεῷ, ἑορτῆς πατρίου τοῖς Ἰουδαίοις ἐνεστηκυίας. εἰς
ἣν ἀπαντήσας καὶ δεχθεὶς ὑπὸ τοῦ τῶν Ἰουδαίων πλή-
θους ἐκπρεπῶς, τρεῖς μὲν ἡμέρας ταύτῃ διατριβὴν
ποιεῖται, ἐν αἷς Ἰωνάθην τὴν ἀρχιερωσύνην ἀφελόμε-
νος ἐγχειρίζει τῷ ἀδελφῷ αὐτοῦ Θεοφίλῳ, τῇ τετάρτῃ
δὲ γραμμάτων αὐτῷ παραγενομένων ἃ ἐδήλου τὴν Τι-
βερίου τελευτήν, ὥρκισε τὴν πληθὺν ἐπ' εὐνοίᾳ τῇ
Γαΐου. ἀνεκάλει δὲ καὶ τὸ στράτευμα ἐπὶ τὰ οἰκεῖα
ἑκάστου χειμαδιοῦντος, πόλεμον ἐκφέρειν οὐκέθ'
ὁρμώμενος δυνάμενος διὰ τὸ εἰς Γάιον μεταπεπτωκέναι τὰ
πράγματα. ἐλέγετο δὲ καὶ τὸν Ἀρέταν οἰωνοσκοπησά-
μενον πρὸς τὴν ἀγγελίαν τῆς Υ̓ιτελλίου στρατείας φά-
ναι μαχαιρὰν οὐκ εἶναι τῷ στρατῷ τῆς ἐπὶ Πέτρας εἰσό-
δου· τεθνήξεσθαι γὰρ τῶν ἡγεμόνων ἢ τὸν πολεμεῖν
κελεύσαντα, ἢ τὸν γνώμῃ τῇ ἐκείνου ὡρμημένον δια-

Digitized by Google

κονεῖσθαι, ἢ ἐφ' ὃν γένοιτο ἡ παρασκευὴ τοῦ στρατεύματος.

καὶ Οὐιτέλλιος μὲν ἐπ' Ἀντιοχείας ἀνεχώρησεν, Ἀγρίππας δὲ ὁ Ἀριστοβούλου υἱός, ἐνιαυτῷ πρότερον ἢ τελευτῆσαι Τιβέριον, ἐπὶ Ῥώμης ἄνεισι πράξων τι παρὰ τῷ αὐτοκράτορι, δυνάμεώς τινος αὐτῷ παραγενομένης. βούλομαι οὖν εἰπεῖν ἐπὶ μακρότερον περί τε Ἡρώδου καὶ γένους αὐτοῦ ὡς ἐγένετο, ἅμα μὲν καὶ διὰ τὸ ἀνήκειν τῇ ἱστορίᾳ τὸν περὶ αὐτῶν λόγον, ἅμα δὲ καὶ παράστασιν ἔχειν τοῦ θείου, ὡς οὐδὲν ὠφελεῖ πλῆθος οὐδ' ἄλλη τις ἀλκὴ τῶν ἐν ἀνθρώποις ἐπιτετηδευμένων δίχα τῶν πρὸς τὸ θεῖον εὐσεβειῶν, εἴ γε ἐντὸς ἑκατὸν ἐτῶν ἐξόδου συνέβη πλὴν ὀλίγων (πολλοὶ δ' ἦσαν) διαφθαρῆναι τοὺς Ἡρώδου ἀπογόνους. φέροι δ' ἂν τι κἀπὶ σωφρονισμῷ τοῦ ἀνθρωπείου γένους τὸ τὴν δυστυχίαν αὐτῶν μαθεῖν, ἅμα δὲ καὶ τὸν Ἀγρίππαν διηγήσασθαι θαύματος ἀξιώτατον γεγενημένου, ὃς ἐκ πάνυ ἰδιώτου, καὶ παρὰ πᾶσαν δόξαν τῶν εἰδότων αὐτόν, ἐπὶ τοσόνδε ηὐξήθη δυνάμεως. εἴρηται μὲν οὖν καὶ πρότερον περὶ αὐτῶν, λεχθήσεται δέ μοι καὶ νῦν ἀκριβῶς.

4 Ἡρῴδῃ τῷ μεγάλῳ θυγατέρες ἐκ Μαριάμμης τῆς Ὑρκανοῦ θυγατρὸς γίνονται δύο, Σαλαμψιὼ μὲν ἡ ἑτέρα, ἣ γαμεῖται Φασαήλῳ τῷ αὐτῆς ἀνεψιῷ, Φασαήλου παιδὶ ὄντι τοῦ Φασαήλου ἀδελφοῦ Ἡρώδου, δεθωκότος αὐτὴν τοῦ πατρός· Κύπρος δὲ Ἀντιπάτρῳ καὶ αὐτὴ ἀνεψιῷ, παιδὶ τῆς ἀδελφῆς Ἡρώδου Σαλώμης. καὶ Φασαήλῳ μὲν ἐκ Σαλαμψιοῦς γίνονται πέντε παῖδες, Ἀντίπατρος Ἡρώδης Ἀλέξανδρος, θυγατέρες δὲ Ἀλεξάνδρα καὶ Κύπρος, ἣν Ἀγρίππας γαμεῖ ὁ Ἀριστοβούλου. Ἀλεξάνδραν δὲ γαμεῖ μὲν Τίμιος Κύπριος, ἀνὴρ τῶν ἀξιολόγων, παρ' ᾧ δὴ καὶ ἄτεκνος τελευτᾷ·

Digitized by Google

Κύπρῳ δ' ἐξ Ἀγρίππα μὲν ἄρσενες γίνονται δύο, θυγατέρες δὲ τρεῖς, Βερενίκη Μαριάμμη Δρουσίλλα· Ἀγρίππας δὲ καὶ Δροῦσος τοῖς ἄρσεσιν ὀνόματα, ὧν ὁ Δροῦσος πρὶν ἡβῆσαι τελευτᾷ. ὁ δὲ πατὴρ τούτων Ἀγρίππας ἐτρέφετο μετὰ καὶ ἑτέρων ἀδελφῶν, Ἡρώδου τε καὶ Ἀριστοβούλου. ἐκ Βερενίκης καὶ οἵδε παῖδες τοῦ υἱέως Ἡρώδου τοῦ μεγάλου· ἡ δὲ Βερενίκη Κωστοβάρου καὶ Σαλώμης παῖς τῆς Ἡρώδου ἀδελφῆς. τούτους Ἀριστόβουλος νηπίους θνήσκει λιπὼν ὑπὸ τοῦ πατρὸς σὺν Ἀλεξάνδρῳ τῷ ἀδελφῷ, καθάπερ εἰρήκαμεν. ἠβήσαντες δ' ἄγονται Ἡρῴδης μὲν οὗτος, ὁ τοῦ Ἀγρίππα ἀδελφός, Μαριάμμην θυγατέρα Ὀλυμπιάδος τῆς Ἡρώδου τοῦ βασιλέως θυγατρὸς καὶ Ἰωσήπου τοῦ Ἰωσήπου παιδός (ἀδελφὸς δ' οὗτος τοῦ βασιλέως Ἡρώδου), ἴσχει δ' ἐξ αὐτῆς υἱὸν Ἀριστόβουλον. ὁ δὲ τρίτος τοῦ Ἀγρίππα ἀδελφὸς Ἀριστόβουλος γαμεῖ Ἰωτάπην Σαμψιγεράμου θυγατέρα τοῦ Ἐμεσῶν βασιλέως· θυγάτηρ δὲ αὐτοῖς γίνεται κωφή, ὄνομα καὶ τῇδε Ἰωτάπη. καὶ τάδε μὲν τῶν ἀρσένων τέκνα, Ἡρωδιὰς δὲ αὐτῶν ἡ ἀδελφὴ γαμεῖται Ἡρῴδῃ Ἡρώδου τοῦ μεγάλου παιδί, ὃς γέγονεν ἐκ Μαριάμμης τῆς τοῦ Σίμωνος τοῦ ἀρχιερέως, καὶ αὐτοῖς Σαλώμη γίνεται, μεθ' ἧς τὰς γονὰς Ἡρωδιάς, ἐπὶ συγχύσει φρονήσασα τῶν πατρίων, Ἡρῴδῃ γαμεῖται τοῦ ἀνδρὸς τῷ ὁμοπατρίῳ ἀδελφῷ, διαστῶσα ζῶντος· τὴν δὲ Γαλιλαίων τετραρχίαν εἶχεν οὗτος. ἡ δὲ θυγάτηρ αὐτῆς Σαλώμη Φιλίππῳ γαμεῖται, Ἡρῴδου παιδὶ τῷ τετράρχῃ τῆς Τραχωνίτιδος· καὶ ἀπαιδος τελευτήσαντος Ἀριστόβουλος αὐτὴν ἄγεται, Ἡρῴδου παῖς τοῦ Ἀγρίππα ἀδελφοῦ. παῖδες δὲ ἐγένοντο αὐτοῖς τρεῖς, Ἡρῴδης Ἀγρίππας Ἀριστόβουλος. τοῦτο μὲν δὴ τὸ Φασαήλου καὶ Σαλαμψιοῦς ἐστι γένος, Κύπρῳ δ' ἐξ Ἀντιπάτρου θυγάτηρ γίνεται Κύπρος, καὶ

Digitized by Google

αὐτὴν Ἀλεξᾶς ὁ Ἑλκίας γαμεῖ τοῦ Ἀλεξᾶ, καὶ αὐτοῖς θυγάτηρ ἦν Κύπρος. Ἡρώδης δὲ καὶ Ἀλέξανδρος, οὓς ἀδελφοὺς ἔφην Ἀντιπάτρου, ἄτεκνοι τελευτῶσιν. Ἀλεξάνδρῳ δὲ τῷ Ἡρώδου παιδὶ τοῦ βασιλέως, τῷ ὑπὸ τοῦ πατρὸς ἀνῃρημένῳ, Ἀλέξανδρος καὶ Τιγράνης ἐγεγόνεισαν υἱεῖς ἐκ τῆς Ἀρχελάου τοῦ Καππαδόκων βασιλέως θυγατρός. καὶ Τιγράνης μὲν βασιλεύων Ἀρμενίας, κατηγοριῶν αὐτοῦ ἐπὶ Ῥώμης γενομένων, ἅπαις τελευτᾷ, Ἀλεξάνδρῳ δὲ Τιγράνης ὁμώνυμος τῷ ἀδελφῷ γίνεται παῖς, καὶ βασιλεὺς Ἀρμενίας ὑπὸ Νέρωνος ἐκπέμπεται, υἱός τε Ἀλέξανδρος αὐτῷ γίνεται. γαμεῖ δ' οὗτος Ἀντιόχου τοῦ Κομμαγηνῶν βασιλέως θυγατέρα Ἰωτάπην, νησῖδός τε τῆς ἐν Κιλικίᾳ Ὄεσπασιανὸς αὐτὸν ἵστηται βασιλέα. καὶ τὸ μὲν Ἀλεξάνδρου γένος εὐθὺς ἅμα τῷ φυῆναι τὴν θεραπείαν ἐξέλιπε τῶν Ἰουδαίοις ἐπιχωρίων, μεταταξάμενοι πρὸς τὰ Ἕλλησι πάτρια, ταῖς δὲ λοιπαῖς θυγατράσιν Ἡρώδου τοῦ βασιλέως ἀτέκνοις τελευτᾶν συνέπεσεν. τῶν δὲ γενομένων Ἡρώδου ἀπογόνων οὓς κατέλεξα μενόντων ἐν ᾧ χρόνῳ Ἀγρίππας ὁ μέγας τὴν βασιλείαν παρέλαβε, τούτων τέ μοι τοῦ γένους προδεδηλωμένου, διέξειμι λοιπὸν ὁπόσαι τε Ἀγρίππᾳ τύχαι συνέλθοιεν, ὥς τε αὐτῶν διάδρασιν ποιησάμενος ἐπὶ μέγιστον ἀξιώματός τε ἅμα προκόψειε καὶ δυνάμεως.

6 Ἡρώδου τοῦ βασιλέως ὀλίγον πρὸ τῆς τελευτῆς Ἀγρίππας ἐν τῇ Ῥώμῃ διαιτώμενος, καὶ ὁμοτροφίας καὶ συνηθείας αὐτῷ πολλῆς γενομένης πρὸς Δροῦσον τὸν Τιβερίου τοῦ αὐτοκράτορος υἱόν, καὶ Ἀντωνίᾳ τῇ Δρούσου τοῦ μεγάλου γυναικὶ εἰς φιλίαν ἀφίκετο, Βερενίκης τῆς μητρὸς τιμωμένης παρ' αὐτῆς καὶ προαγαγεῖν ἠξιωκυίας τὸν υἱόν. φύσει δὲ μέγας ὢν Ἀγρίππας καὶ δωρεῖσθαι πολυτελής, ζώσης μὲν τῆς μητρὸς οὐκ

Digitized by Google

ἔξαινε τῆς ψυχῆς τὸ θέλον, διαδιδράσκειν αὐτῆς ἡμῶς τὴν ἐπὶ τοιούτοις γενομένην ὀργήν· ἐπεὶ δ' ἡ Βερενίκη τελευτᾷ, γενόμενος ἐπὶ τῷ αὐτοῦ τρόπῳ, τὰ μὲν εἰς πολυτέλειαν τῆς καθ' ἡμέραν διαίτης τὰ δὲ εἰς τὸ μὴ μέτρῳ τῶν δωρεῶν προϊέμενον ἀνάλωσε τῶν χρημάτων, τὰ πλεῖστα δ' εἰς τοὺς Καίσαρος ἀπελευθέρους ἐτετέλεστο ἐλπίδι πράξεως τῆς αὐτῶν. πενία τε ἐν ὀλίγῳ περὶ αὐτὸν ἦν, καὶ τοῦτ' ἦν κώλυμα τῆς ἐν Ῥώμῃ διαίτης, καὶ ὁ Τιβέριος τοῖς φίλοις τοῦ υἱέως τετελευτηκότος ἀπειπὼν φοιτᾶν εἰς ὄψιν αὐτῷ, διὰ τὸ ἀνερεθίζεσθαι πρὸς τὸ λυπεῖσθαι μνημονεύων τοῦ παιδὸς θεωρίᾳ τῇ ἐκείνων.

διὰ μὲν δὴ ταῦτα ἐπὶ τῆς Ἰουδαίας πλέων ᾤχετο 2
κακοπραγῶν καὶ τεταπεινωμένος ὀλέθρῳ τε ὧν εἶχε χρημάτων καὶ ἀπορίᾳ τοῦ ἐκτίσοντος τὰ χρέα τοῖς δανεισταῖς, πολλοῖς τε οὖσι καὶ ἀλεωρὴν οὐδ' ἠντιναοῦν ἐνδιδοῦσιν· ὥστε ἀπορίᾳ τῶν ποιητέων καὶ αἰσχύνῃ τῇ ἐπ' αὐτοῖς ὑποχωρήσας εἴς τινα πύργον ἐν Μαλάθοις τῆς Ἰδουμαίας ἐν περινοίᾳ τοῦ μεταστήσοντος αὐτὸν ἦν. αἰσθάνεται δ' αὐτοῦ τὴν διάνοιαν Κύπρος ἡ γυνή, παντοία τε ἦν ἀπείργουσα τῶν ἐπὶ τοιούτοις βουλευμάτων. διαπέμπεται δὲ καὶ ὡς τὴν ἀδελφὴν αὐτοῦ Ἡρωδιάδα, Ἡρῴδῃ τῷ τετράρχῃ συνοικοῦσαν, γράμματα, δηλοῦσα τό τε ἐπὶ τοῖς τοιούτοις τοῦ Ἀγρίππα προβουλεῦσαν καὶ τὴν ἀνάγκην ἣ ἐπ' αὐτὸ ἐξῆγεν, ἐκέλευέ τε συγγενῆ οὖσαν βοηθεῖν καὶ τὸν ἄνδρα πρὸς τοῦτο παρασκευάζειν, θεωροῦσαν ὡς αὐτὴ παντοίως κουφίζοι τὸν ἄνδρα, καὶ ταῦτα οὐκ ἐξ ὁμοίων ἀφορμῶν. οἳ δὲ μεταπέμψαντες αὐτὸν οἰκητήριον ἀπέδειξαν Τιβεριάδα, καί τι καὶ ἀργύριον ὥρισαν εἰς τὴν δίαιταν, ἀγορανομίᾳ τε τῆς Τιβεριάδος ἐτίμησαν. οὐ μὴν ἐπὶ πλεῖόν γε Ἡρῴδης ἐνέμεινε τοῖς δεδογμένοις· καί-

Digitized by Google

τοι γε οὐδ' ὡς ἀρκοῦντα ἦν. ἐν γὰρ Τύρῳ παρὰ συνουσίαν ὑπὸ οἴνου γενομένων αὐτοῖς λοιδοριῶν, ἀνεκτὸν οὐχ ἡγησάμενος Ἀγρίππας, τοῦ Ἡρῴδου τε ἐπουειδίσαντος εἰς ἀπορίαν καὶ τροφῆς ἀναγκαίας μετάδοσιν, ὡς Φλάκκον τὸν ὑπατικὸν εἴσεισι, φίλον ἐπὶ Ῥώμης τὰ μάλιστα αὐτῷ γεγονότα πρότερον· Συρίαν δὲ ἐν τῷ τότε διεῖπεν. καὶ δεξαμένου Φλάκκου παρὰ τούτῳ διῆγεν, παρακατεσχηκότος αὐτοῦ ἐκεῖ καὶ Ἀριστόβουλον, ὃς ἀδελφὸς ὢν Ἀγρίππα διάφορός τε ἦν· οὐ μὴν ἐβλάπτοντο ἔχθρᾳ τῇ ἀλλήλων ὥστε μὴ φιλίᾳ τοῦ ὑπατικοῦ τὰ εἰκότα τιμὴν φέρεσθαι. οὐ μὴν ὅ γε Ἀριστόβουλος ἀνίει τι τοῦ πρὸς τὸν Ἀγρίππαν δυσμενοῦς, μέχρι καὶ εἰς ἔχθραν αὐτὸν Φλάκκῳ καθίστησιν, αἰτίαν τοιαύτην ἐπὶ τῇ δυσμενείᾳ παραλαβών. Δαμασκηνοὶ Σιδωνίοις περὶ ὅρων διάφοροι καθεστῶτες, μέλλοντος Φλάκκου περὶ τούτων ἀκροάσασθαι, μαθόντες τὸν Ἀγρίππαν ὡς παρ' αὐτῷ μέγα δύναιτο, ἠξίουν μερίδος τῆς αὐτῶν γενέσθαι, ἀργύριόν τε πλεῖστον ὡμολόγητο αὐτῷ. καὶ ὃ μὲν πάντα ἐπὶ τῇ βοηθείᾳ τῶν Δαμασκηνῶν ὥρμητο πράσσειν, Ἀριστόβουλος δέ (οὐ γὰρ ἐλάνθανεν αὐτὸν ἡ ὁμολογία τῶν χρημάτων) καταγορεύει πρὸς τὸν Φλάκκον. καὶ βασανιζομένου τοῦ πράγματος ἐπεὶ φανερὰ ἦν, ἐξωθεῖ τὸν Ἀγρίππαν φιλίας τῆς πρὸς αὐτόν. ὃ δὲ εἰς ὑστάτην ἀπορίαν περιωσμένος εἰς Πτολεμαΐδα παρῆν, καὶ κατὰ τὸ ἄπορον τῆς ἀλλαχόθεν διαίτης γνώμην ἐποιεῖτο ἐπὶ τῆς Ἰταλίας πλεῖν. εἰργόμενος δὲ χρημάτων ἀπορίᾳ ἠξίου Μαρσύαν, ὄντα αὐτοῦ ἀπελεύθερον, ποριστὴν γενέσθαι τῶν ἐπὶ τοιούτοις μηχανῶν, δανεισάμενον παρὰ τινῶν. καὶ ὁ Μαρσύας Πέτρου κελεύει, Βερενίκης ὄντα ἀπελεύθερον τῆς Ἀγρίππα μητρός, διαθήκης δὲ τῆς ἐκείνου δικαίως ὑποτελοῦντα τῆς Ἀντωνίας, αὐτῷ γοῦν παρασχεῖν ἐπὶ γράμματι καὶ πίστει τῇ

Digitized by Google

αὐτοῦ. ὃ δέ (ἐπεκάλει γὰρ τῷ Ἀγρίππᾳ χρημάτων τινῶν ἀποστέρησιν) ἀναγκάζει τὸν Μαρσύαν δύο μυριάδων Ἀττίδων συμβόλαιον ποιησάμενον πεντακοσίαις καὶ δισχιλίαις ἐλάσσονα λαμβάνειν. συνεχώρει δὲ ἑκεῖνος κατὰ τὸ μὴ εἶναι ἄλλως ποιεῖν. εἰλημμένου δὲ τοῦ χρήματος τούτου, Ἀγρίππας εἰς Ἀνθηδόνα παραγενόμενος καὶ λαβὼν ναῦν ἐν ἀναγωγαῖς ἦν. καὶ γνοὺς Ἐρέννιος Καπίτων ὁ τῆς Ἰαμνείας ἐπίτροπος πέμπει στρατιώτας, οἳ εἰσπράξονται αὐτὸν ἀργυρίου τριάκοντα μυριάδας θησαυρῷ τῷ Καίσαρος ὀφειλομένας ἐπὶ Ῥώμης ὑπ' αὐτοῦ, ἀνάγκας τε ἐπετίθεσαν τοῦ μενοῦντος. καὶ τότε μὲν πείθεσθαι τοῖς κεκελευσμένοις προσποιητὸς ἦν, νυκτὸς δὲ ἐπιγενομένης κόψας τὰ ἀπόγεια ᾤχετο ἐπ' Ἀλεξανδρείας πλέων. ἔνθα Ἀλεξάνδρου δεῖται τοῦ ἀλαβάρχου μυριάδας εἴκοσι δάνεια αὐτῷ δοῦναι. ὃ δὲ ἐκείνῳ μὲν οὐκ ἂν ἔφη παρασχεῖν, Κύπρῳ δὲ οὐκ ἠρνεῖτο, τήν τε φιλανδρίαν αὐτῆς καταπεπληγμένος καὶ τὴν λοιπὴν ἅπασαν ἀρετήν. ἢ δὲ ὑπισχνεῖτο, καὶ ὁ Ἀλέξανδρος πέντε τάλαντα αὐτοῖς ἐν τῇ Ἀλεξανδρείᾳ δούς, τὸ λοιπὸν ἐν Δικαιαρχείᾳ γενομένῳ παρέξειν ἐπαγγέλλεται, δεδιὼς τοῦ Ἀγρίππα τὸ εἰς τὰ ἀναλώματα ἕτοιμον. καὶ Κύπρος μὲν ἀπαλλάξασα τὸν ἄνδρα ἐπὶ τῆς Ἰταλίας πλευσούμενον, αὐτὴ μετὰ τῶν τέκνων ἐπὶ Ἰουδαίας ἀνέζευξεν· Ἀγρίππας δὲ εἰς Ποτιόλους παραβαλὼν ἐπιστολὴν ὡς Τιβέριον Καίσαρα γράφει διαιτώμενον ἐν Καπρέαις, παρουσίαν τε τὴν αὐτοῦ δηλῶν ἐπὶ θεραπείᾳ καὶ ὄψει τῇ ἐκείνου, καὶ ἀξιῶν ἔφεσιν αὐτῷ γενέσθαι εἰς Καπρέας παραβαλεῖν. Τιβέριος δὲ οὐδὲν ἐνδοιάσας τά τε ἄλλα αὐτῷ γράφει φιλανθρωπίᾳ χρώμενος, ἔτι καὶ χαίρειν ἀποσημαίνων ἐπὶ τῷ σῶον ἐπανήκειν εἰς τὰς Καπρέας. ἐπεὶ δὲ ἀφικνεῖται, μηδὲν ὑφελὼν τοῦ ἐν τοῖς γράμμασι προθύ-

Digitized by Google

μου ἠσπάζετό τε καὶ ἐξένιζε. τῇ δ' ἑξῆς Καῖσαρ, γραμμάτων αὐτῷ παρὰ Ἐρεννίου Καπίτωνος ἀφικομένων ὅτι Ἀγρίππας μυριάδας τριάκοντα δάνεισμα ποιησάμενος καὶ πρὸς τὰς καταβολὰς ἐκλιπὼν χρόνον τὸν συγκείμενον, ἀπαιτήσεως γενομένης οἴχοιτο φυγὰς ἐκ τῶν ὑπ' αὐτῷ χωρίων, ἄκυρον αὐτὸν καθιστὰς τῆς ἐπὶ τῶν εἰσπραξομένων ἐξουσίας, ταύτην ἀναγνοὺς τὴν ἐπιστολὴν περιαλγεῖ τε ὁ Καῖσαρ, καὶ διάκλεισιν γενέσθαι τῷ Ἀγρίππᾳ κελεύει εἰσόδων τῶν πρὸς αὐτόν, ἄχρι δὴ καταβάλοι τὸ χρέος. ὃ δὲ μηδὲν τῇ ὀργῇ τοῦ Καίσαρος καταπλαγεὶς Ἀντωνίας δεῖται, Γερμανικοῦ τε μητρὸς καὶ Κλαυδίου τοῦ ὕστερον γενομένου Καίσαρος, δάνεισμα αὐτῷ δοθῆναι τῶν τριάκοντα μυριάδων, ἵνα φιλίας μὴ ἁμάρτοι τῆς πρὸς Τιβέριον. ἡ δὲ Βερενίκης τε μνήμῃ τῆς μητρὸς αὐτοῦ (σφόδρα γὰρ ἀλλήλαις ἐχρῶντο αἵδε αἱ γυναῖκες), καὶ αὐτῷ ὁμοτροφίας πρὸς τοὺς ἀμφὶ Κλαύδιον γεγενημένης, δίδωσι τὸ ἀργύριον, καὶ αὐτῷ ἀποτίσαντι τὸ χρέος ἀνεπικώλυτος ἦν ἡ φιλία τοῦ Τιβερίου. αὖθις δὲ αὐτῷ Τιβέριος ὁ Καῖσαρ συνίστησιν υἱωνὸν τὸν αὐτοῦ, κελεύων τὰ πάντα αὐτοῦ ταῖς ἐξόδοις παρατυγχάνειν. Ἀγρίππας δὲ φιλίᾳ δεχθεὶς ὑπὸ τῆς Ἀντωνίας, κατὰ θεραπείαν τρέπεται τὴν Γαΐου, υἱωνοῦ τε ὄντος αὐτῇ καὶ εὐνοίᾳ τοῦ πατρὸς εἰς τὰ πρῶτα τιμωμένου. καὶ δή τις ἦν Θάλλος Σαμαρεὺς γένος, Καίσαρος δὲ ἀπελεύθερος· παρὰ τούτου δάνεισμα μυριάδων ἑκατὸν εὑρόμενος τῇ τε Ἀντωνίᾳ καταβάλλει τὸ ὀφειληθὲν χρέος, καὶ τῶν λοιπῶν τῷ ἀναλώματι θεραπεύων τὸν Γάιον μειζόνως ἐν ἀξιώματι ἦν παρ' αὐτῷ.

προϊούσης δὲ εἰς μέγα τῷ Ἀγρίππᾳ τῆς πρὸς Γάιον φιλίας, αἰωρουμένοις ποτὲ λόγος περὶ τοῦ Τιβερίου γίνεται, καὶ τοῦ Ἀγρίππα κατ' εὐχὰς τραπομένου (μόνω

Digitized by Google

δ' ἦστην) ἦ τάχος Τιβέριον ὑπεκστάντα τῆς ἀρχῆς Γαΐῳ παραχωρεῖν ἀξιωτέρῳ τὰ πάντα ὄντι, τούτων ἀκροᾶται τῶν λόγων Εὔτυχος· Ἀγρίππα δ' ἦν ἀπελεύθερος καὶ ἡνίοχος. καὶ παραχρῆμα μὲν σιγῇ παρεδίδου· κλοπῆς δὲ ἱματίων αὐτῷ τοῦ Ἀγρίππα ἐπικαλουμένης (καὶ ἀκριβῶς δὲ ἐκεκλόφει) φυγὼν καὶ ληφθείς, ἀγωγῆς αὐτοῦ ἐπὶ Πίσωνα γενομένης ὃς ἦν φύλαξ τῆς πόλεως, ἐρομένου τὴν αἰτίαν τῆς φυγῆς Καίσαρί φησιν ἀπορρήτους ἔχειν λόγους εἰπεῖν ἐπ' ἀσφαλείᾳ τῆς σωτηρίας αὐτοῦ φέροντας, ὥστε δήσας αὐτὸν ἔστελλεν εἰς τὰς Καπρέας. καὶ Τιβέριος τῷ αὐτῷ τρόπῳ χρώμενος εἶχεν αὐτὸν δέσμιον, μελλητὴς εἰ καί τις ἕτερος βασιλέων ἢ τυράννων γενόμενος· οὔτε γὰρ πρεσβειῶν ὑποδοχὰς ἐκ τοῦ ὀξέος ἐποιεῖτο, ἡγεμόσί τε ἢ ἐπιτρόποις ὑπ' αὐτοῦ σταλεῖσιν οὐδεμία ἦν διαδοχή, ὁπότε μὴ φθαῖεν τετελευτηκότες. ὅθεν καὶ δεσμωτῶν ἀκροάσεως ἀπερίοπτος ἦν. ὥστε καὶ τῶν φίλων ἐρομένων τὴν αἰτίαν αὐτὸν τοῦ ἐπὶ τοιούτοις ὀλκῇ χρωμένου, ἔφη τὰς μὲν πρεσβείας τρίβειν ὅπως μὴ ἀπαλλαγῆς αὐταῖς ἐκ τοῦ ὀξέος γενομένης ἕτεροι πρέσβεις ἐπιχειροτονηθέντες ἐπανίοιεν, ὄχλος τε αὐτῷ γίνοιτο ἐπιδοχαῖς αὐτῶν καὶ πομπαῖς προσκειμένῳ, τὰς δ' ἀρχὰς συγχωρεῖν τοῖς ἅπαξ εἰς αὐτὰς ὑπ' αὐτοῦ καταστᾶσιν αἰδοῦς προμηθείᾳ τῶν ὑποτελῶν. φύσει μὲν γὰρ εἶναι πᾶσαν ἡγεμονίαν οἰκείαν τοῦ πλεονεκτεῖν· τὰς δὲ μὴ παγίους, ἀλλ' εἰς ὀλίγον καὶ ἄδηλον ὁπότε ἀφαιρεθεῖσαν, καὶ μειζόνως ἐξοτρύνειν ἐπὶ κλοπαῖς τοὺς ἔχοντας. εἰ μὲν οὖν ἐφεστήκασιν εἰς πλέον αὐταῖς, ἄδην τῶν κλοπῶν ἔξειν, ὑπὸ τοῦ πολλοῦ τῶν κεκερδημένων ἀμβλυτέρως τὸ λοιπὸν αὐταῖς χρωμένους· διαδοχῆς δ' ἐπιπαραγενομένης ἐκ τοῦ ὀξέος, οὐδαμῶς ἂν ἀρκέσαι τοὺς ἄθλα τοῖς ἄρχουσι προκειμένους, ἀναστροφῆς αὐτοῖς οὐ διδομένης

Digitized by Google

καιρῶν ἐν οἷς πλήρεις οἱ προειληφότες γενόμενοι ὑποδιδοῖεν τῆς σπουδῆς τῆς ἐπὶ τῷ λαμβάνειν, διὰ τὸ πρὶν ἐν καιρῷ γενέσθαι μεταστῆναι. παράδειγμά τε αὐτοῖς φησὶ τοῦτον τὸν λόγον. τραυματίᾳ τινὶ κειμένῳ μυῖαι κατὰ πλῆθος τὰς ὠτειλὰς περιέστασαν· καί τις τῶν παρατυχόντων οἰκτείρας αὐτοῦ τὴν δυστυχίαν, καὶ νομίσας ἀδυναμίᾳ μὴ βοηθεῖν, οἷός τε ἦν ἀποσοβεῖν αὐτὰς παραστάς, καὶ δεομένου παύσασθαι τῶν ἐπὶ τοιοῖσδε, ὑπολαβὼν ἤρετο τὴν αἰτίαν τοῦ ἀπρομηθοῦς τὴν διαφυγὴν κακοῦ τοῦ ἐφεστηκότος. "μειζόνως γὰρ ἂν ἀδικοίης με" εἶπε, "ταύτας ἀπαγαγών. ταῖς μέν γε ἤδη πληρωθείσαις τοῦ αἵματος οὐκέθ' ὁμοίως ἐπειξις ὄχλον μοι παρασχεῖν, ἀλλά πῃ καὶ ἀνίσχουσιν· αἱ δ' ἀκραιφνεῖ τῷ κατ' αὐτὰς λιμῷ συνελθοῦσαι καὶ τετρυμένον ἤδη παραλαμβάνουσαι καὶ ὀλέθρῳ ἂν παραδοῖεν." διὰ τάδε οὖν καὐτὸς ὑπὸ πολλῶν τῶν κλοπῶν διεφθαρμένοις τοῖς ὑποτελέσιν προμηθὴς εἶναι, μὴ συνεχεῖς ἐξαποστέλλειν τοὺς ἡγησομένους, οἳ ἐν τρόπῳ μυιῶν ἐκπολεμοῖεν αὐτούς, φύσει πρὸς κέρδος ὀρωρεγμένοις σύμμαχον παραλαμβάνοντες τὴν ἐλπίδα τοῦ ταχέως ἀφαιρεθησομένου τὴν ἔνθεν ἡδονήν. μαρτυρήσει δέ μοι τῷ λόγῳ περὶ τῆς ἐπὶ τοιούτοις φύσεως Τιβερίου τὸ ἔργον αὐτό· ἔτη γὰρ δύο πρὸς τοῖς εἴκοσιν αὐτοκράτωρ γενόμενος δύο τοὺς πάντας Ἰουδαίοις ἐξέπεμψε διοικήσοντας τὸ ἔθνος, Γρᾶτόν τε καὶ Πιλᾶτον, ὃς αὐτῷ διεδέξατο τὴν ἡγεμονίαν. καὶ οὐκ ἐπὶ μὲν Ἰουδαίων τοιοῦτος ἦν, ἕτεροῖος δὲ ἐπὶ τῶν λοιπῶν ὑπηκόων, ἀλλὰ καὶ τῶν δεσμωτῶν τὴν ὑπερβολὴν τῆς ἀκροάσεως ἀπεσήμαινεν ὑπὸ τοῦ δικαιωθεῖσι μὲν θανάτου κούφισιν γενέσθαι τῶν ἐνεστηκότων κακῶν, διὰ τὸ μὴ ἐπ' ἀρετῇ τῶν ἐπὶ τοιούτοις τύχῃ συνελθεῖν, τριβομένοις δὲ ἀχθηδόνι τῇ ἐπικειμένῃ μείζονα προσρέπειν τὴν δυστυχίαν.

Digitized by Google

διὰ μὲν δὴ ταῦτα καὶ Εὔτυχος ἀκροάσεώς τε οὐκ 6
ἐτύγχανε καὶ δεσμοῖς ἐνείχετο. χρόνου δὲ ἐγγενομένου
Τιβερίός τε ἐκ τῶν Καπρεῶν εἰς Τουσκουλᾶνον παρα-
γίνεται, ὅσον ἀπὸ σταδίων ἑκατὸν τῆς Ῥώμης, καὶ ὁ
Ἀγρίππας ἀξιοῖ τὴν Ἀντωνίαν διαπράξασθαι γενέσθαι
τῷ Εὐτύχῃ τὴν ἀκρόασιν ἐφ' οἷς τισὶ τὴν κατηγορίαν
ποιοῖτο αὐτοῦ. τιμία δ' ἦν Ἀντωνία Τιβερίῳ εἰς τὰ
πάντα συγγενείας τε ἀξιώματι (Δρούσου γὰρ ἦν ἀδελ-
φοῦ τοῦ αὐτοῦ γυνή) καὶ ἀρετῇ τοῦ σώφρονος· νέα
γὰρ χηρεύειν παρέμεινε, γάμῳ τε ἀπεῖπε τῷ πρὸς ἕτε-
ρον, καίπερ τοῦ Σεβαστοῦ κελεύσαντός τινι γαμεῖσθαι,
καὶ λοιδοριῶν ἀπηλλαγμένον διεσώσατο αὐτῆς τὸν βίον.
ἰδίᾳ τε εὐεργέτις ἦν εἰς τὰ μέγιστα τοῦ Τιβερίου· ἐπι-
βουλῆς γὰρ μεγάλης συστάσης ἐπ' αὐτὸν ὑπὸ Σηιανοῦ,
φίλου τε ἀνδρὸς καὶ δύναμιν ἐν τῷ τότε μεγίστην ἔχον-
τος διὰ τὸ τῶν στρατευμάτων εἶναι ἡγεμονίαν αὐτῷ,
καὶ τῆς τε βουλῆς οἱ πολλοὶ καὶ τῶν ἀπελευθέρων προσ-
έθεντο, καὶ τὸ στρατιωτικὸν διέφθαρτο, προύκοπτέ
τε ἡ ἐπιβουλὴ ἐπὶ μέγα, κἂν ἐπέπρακτο Σηιανῷ τὸ ἔρ-
γον μὴ τῆς Ἀντωνίας τόλμῃ χρησαμένης σοφωτέρᾳ τῆς
Σηιανοῦ κακουργίας. ἐπεὶ γὰρ μανθάνει τὰ ἐπὶ τῷ Τι-
βερίῳ συγκείμενα, γράφει πρὸς αὐτὸν τὰ πάντα ἀκρι-
βῶς, καὶ Πάλλαντι ἐπιδοῦσα τὰ γράμματα, τῷ πιστο-
τάτῳ τῶν δούλων αὐτῆς, ἐκπέμπει πρὸς Τιβέριον εἰς
τὰς Καπρέας. ὃ δὲ μαθὼν τόν τε Σηιανὸν κτείνει καὶ
τοὺς συνεπιβούλους, τήν τε Ἀντωνίαν καὶ πρὶν ἀξιο-
λόγως ἄγων, τιμιωτέραν τε ὑπελάμβανε κἀπὶ τοῖς πᾶσι
πιθανήν. ὑπὸ δὴ ταύτης τῆς Ἀντωνίας ὁ Τιβέριος πα-
ρακαλούμενος ἐξετάσαι τὸν Εὔτυχον, "ἀλλ' εἰ μὲν κα-
ταψεύσειε" φησὶν ὁ Τιβέριος "τοῦ Ἀγρίππα τὰ εἰρη-
μένα Εὔτυχος, ἀκοῦσαν κομίζεται παρ' αὐτοῦ τιμω-
ρίαν ἣν ἐπιτετίμηκα αὐτός· εἰ δὲ βασανιζομένου ἀληθῆ

Digitized by Google

φανείη τὰ εἰρημένα, μή που κολάζειν ποθῶν τὸν ἀπελεύθερον ἐφ' ἑαυτὸν μᾶλλον καλοίη τὴν δίκην." καὶ ὁ Ἀγρίππας ταῦτα φαμένης πρὸς αὐτὸν Ἀντωνίας πολλῷ μᾶλλον ἐπέκειτο ἀξιῶν ἐξέτασιν γενέσθαι τοῦ πράγματος· καὶ ἡ Ἀντωνία (οὐ γὰρ ἀνίει πολὺς ὢν ὁ Ἀγρίππας ἐπὶ τοῖσδε δεῖσθαι) καιρὸν παραλαβοῦσα τοιοῦτον (ἠωρεῖτο μὲν Τιβέριος ἐπὶ φορείου κείμενος, προϊόντων Γαΐου τε τοῦ ἐκείνης υἱωνοῦ καὶ Ἀγρίππα, ἀπ' ἀρίστου δὲ ἦσαν) παραπεριπατοῦσα τῷ φορείῳ παρεκάλει καλεῖσθαί τε τὸν Εὔτυχον καὶ ἐξετάζεσθαι. ὃ δὲ "ἀλλ' ἴστων μέν" εἶπεν, "Ἀντωνία, οἱ θεοὶ ὅτι μὴ γνώμῃ τῇ ἐμαυτοῦ, ἀνάγκῃ δὲ τῆς σῆς παρακλήσεως ἐξαγόμενος πράξω τὰ πεπραξόμενα." ταῦτα εἰπὼν κελεύει Μάκρωνα, ὃς Σηιανοῦ διάδοχος ἦν, τὸν Εὔτυχον ἀγαγεῖν. καὶ ὃ μὲν οὐδὲν εἰς ἀναβολὰς παρῆν· Τιβέριος δ' αὐτὸν ἤρετο τί καὶ ἔχοι λέγειν κατ' ἀνδρὸς ἐλευθερίαν αὐτῷ παρεσχηκότος. ὃ δὲ φησίν "ὦ δέσποτα, ἠωρεῖτο μὲν ἐφ' ἁμάξης Γάιός τε οὗτος καὶ Ἀγρίππας σὺν αὐτῷ, καὶ σφῶν ἐξόμην παρὰ τοῖν ποδοῖν, λόγων τε πολλῶν ἀνακυκλουμένων Ἀγρίππας φησὶ πρὸς Γάιον, εἰ γὰρ ἀφίκοιτό ποτε ἡμέρα ἢ μεταστὰς ὁ γέρων οὗτος χειροτονοίη σε ἡγεμόνα τῆς οἰκουμένης· οὐδὲν γὰρ ἡμῖν Τιβέριος ὁ υἱωνὸς αὐτοῦ γένοιτ' ἂν ἐμποδὼν ὑπὸ σοῦ τελευτῶν, καὶ ἥ τε οἰκουμένη γένοιτ' ἂν μακαρία, κἀγὼ πρὸ αὐτῆς." Τιβέριος δὲ πιστὰ ἡγησάμενος τὰ εἰρημένα, καὶ ἅμα μῆνιν ἀναφέρων τῷ Ἀγρίππᾳ παλαιάν, διότι κελεύσαντος αὐτοῦ θεραπεύειν Τιβέριον, υἱωνὸν αὐτοῦ γεγονότα καὶ Δρούσου παῖδα ὄντα, ὁ Ἀγρίππας ἀτίμως ἦγε παρακροασάμενος τὰς ἐντολάς, καὶ πᾶς ὡς τὸν Γάιον μετεκάθιζε, "τοῦτον μὲν δή" φησί, "Μάκρων, δῆσον." Μάκρων δὲ τὸ μὲν οὐ σαφῶς ὄντινα ἂν προστάξειεν

Digitized by Google

ἐκπιστάμενος, τὸ δὲ οὐκ ἂν προσδοκῶν περὶ τοῦ Ἀγρίππα αὐτὸν βουλεῦσαί τι τοιοῦτον, ἐπανεῖχεν ἀκριβούμενος τὰ εἰρημένα. ἐπεὶ δὲ Καῖσαρ περιοδεύσας τὸν ἱππόδρομον λαμβάνει τὸν Ἀγρίππαν ἑστηκότα, "καὶ μὲν δή" φησί, "Μάκρων, τοῦτον εἶπον δεθῆναι." τοῦ δὲ ἐπανερομένου ὀντιναοῦν, "Ἀγρίππαν γε" εἶπεν. καὶ ὁ Ἀγρίππας τρέπεται μὲν κατὰ δεήσεις, τοῦ τε παιδὸς ᾧ συνετέθραπτο μνημονεύων καὶ τοῦ Τιβερίου τῆς ἐκτροφῆς, οὐ μὴν ἤνυέ γέ τι, ἀλλ' ἦγον αὐτὸν ἐν πορφυρίδι δέσμιον. καὶ καῦμά τε γὰρ σφοδρὸν ἦν, καὶ ὑπὸ οἴνου τοῦ ἐπὶ σιτίοις [μὴ] πολλοῦ γεγονότος δίψος ἐξέπαιεν αὐτόν, καί τι καὶ ἠγωνία καὶ τὸ παρ' ἀξίαν κατελάμβανε· θεασάμενος τινὰ τῶν Γαΐου παίδων θαυμαστὸν ὄνομα, ὕδωρ ἐν ἀγγείῳ κομίζοντα, ᾔτησε πιεῖν. καὶ ὀρέξαντος προθύμως πιών "ἀλλ' εἴπερ ἐπ' ἀγαθοῖς" φησίν, "ὦ παῖ, τὰ τῆσδέ σου τῆς διακονίας γέγονε, διαφυγῆς μοι γενομένης τῶνδε τῶν δεσμῶν οὐκ ἂν βραδύνοιμι ἐλευθερίαν εἰσπρασσόμενός σοι παρὰ Γαΐου, ὃς καὶ δεσμώτῃ μοι γενομένῳ διακονεῖσθαι καθάπερ ἐν τῷ πρότερον καθεστηκότι σχήματι τῆς περὶ ἐμὲ ἀξιώσεως οὐκ ἐνέλιπες." καὶ οὐκ ἐψεύσατο ταῦτα εἰπών, ἀλλὰ δὴ ἠμείψατο· ἐν ὑστέρῳ γὰρ βασιλεύσας τὸν Θαυμαστὸν μειζόνως ἐλεύθερόν τε ἀφῆκε παρὰ Γαΐου Καίσαρος γεγονότος λαβών, καὶ τῆς οὐσίας ἐπίτροπον καθίστησι, τελευτῶν τε τῷ υἱεῖ Ἀγρίππᾳ καὶ Βερενίκῃ τῇ θυγατρὶ ἐπὶ τοῖς ὁμοίοις διακονησόμενον κατέλιπεν, ἐν τιμῇ τε ὢν ταύτῃ γεραιὸς τελευτᾷ.

καὶ ταῦτα μὲν ὕστερον ἐγένετο, Ἀγρίππας δὲ τότε 7
δεθεὶς εἱστήκει πρὸ τοῦ βασιλείου, πρός τινι δένδρῳ κλιθεὶς ὑπὸ ἀθυμίας, μετὰ πολλῶν οἳ ἐδέδεντο. καί τινος ὀρνέου καθίσαντος ἐπὶ τοῦ δένδρου ᾧ Ἀγρίππας προσεκέκλιτο (βουβῶνα δὲ οἱ Ῥωμαῖοι τὸν ὄρνιν τοῦ-

Digitized by Google

τον καλοῦσι), τῶν δεσμωτῶν τις Γερμανὸς θεασάμενος ἤρετο τὸν στρατιώτην ὅστις εἴη ὁ ἐν τῇ πορφυρίδι, καὶ μαθὼν μὲν Ἀγρίππαν ὄνομα αὐτῷ, Ἰουδαῖον δὲ τὸ γένος καὶ τῶν ἐκείνῃ ἀξιολογωτάτων, ἠξίωσε τὸν συνδεδεμένον αὐτῷ στρατιώτην πλησίον ἐλθεῖν διὰ λόγων· βούλεσθαι γάρ τινα ἀμφὶ τῶν πατρίων ἐρέσθαι αὐτόν. καὶ τυχών, ἐπεὶ πλησίον ἵσταται, δι' ἑρμηνέως "ὦ νεανία" φησί, "καταχθεῖ μέν σε τὸ αἰφνίδιον τῆς μεταβολῆς, πολλήν τε οὕτω καὶ ἀθρόαν ἐπαγαγὸν τὴν τύχην· ἀπιστία δέ σοι λόγων οἳ ἐπὶ φυγῇ κακοῦ τοῦ ἐφεστηκότος διαιροῖντο τοῦ θείου τὴν πρόνοιαν. ἴσθι γε μήν, θεοὺς τοὺς ἐμοὺς πατρῴους καὶ τοὺς τῇδε ἐγχωρίους, οἳ τόνδε ἐπρυτάνευσαν ἡμῖν τὸν σίδηρον, ἐπομνύμενος λέξω τὰ πάντα, οὔτε ἡδονῇ γλωσσάργῳ θιδοὺς τὸν ἐπ' αὐτοῖς λόγον οὔτε διὰ κενῆς εὐθυμεῖν σε ἐσπουδακώς· αἱ γὰρ ἐπὶ τοιοῖσδε προαγορεύσεις ὑστερηκότος τοῦ ἀποδείξοντος ἔργου χαλεπωτέραν προστίθενται τὴν ἀχθηδόνα τοῦ εἰ μηδὲ τὴν ἀρχὴν ἀκροάσαιτο αὐτῶν. ἀλλὰ καὶ τὸ ἐμὸν κινδύνοις παραβαλλόμενος, δίκαιον ἡγησάμην σοι διασαφῆσαι τὴν προαγόρευσιν τῶν θεῶν. οὐκ ἔσθ' ὅπως οὐκ εὐθέως ἀπαλλαγή τέ σοι τῶνδε τῶν δεσμῶν παρέσται καὶ πρόοδος ἐπὶ μήκιστον ἀξιώματός τε καὶ δυνάμεως, ζηλωτός τε ἂν γένοιο πᾶσιν οἳ νῦν δι' οἴκτου τὰς τύχας σου λαμβάνουσιν, εὐδαίμονά τε ἂν ποιοῖο τὴν τελευτήν, παισὶν οἷς ἦσῃ τὸν ὄλβον καταλιπόμενος. μνημονεύειν δέ, ὁπότε εἰσαῦθις τὸν ὄρνιν θεάσαιο τοῦτον, πέντε ἡμέραις σοι τὴν τελευτὴν ἐσομένην. ταῦτα πεπράξεται μὲν ἥπερ ἀποσημαίνει σοι τοῦ θεοῦ τὸ ἐξαποστεῖλαν τουτονὶ τὸν ὄρνιν· προγνώσει τε αὐτῶν σύνεσιν τὴν παραγενομένην ἀποστερεῖν σε ἄδικον ἡγησάμην, ὅπως ἐπιστάμενος ἀγαθοῦ μέλλοντος τὸ λυσιτελοῦν ἐν ὀλίγῳ τὴν ἀχθηδόνα τοῦ κα-

Digitized by Google

ρόντος τιθεῖο. μνήμην δὲ ποιεῖσθαι, εἰς χεῖράς σου παραγενομένου τοῦ εὐδαίμονος, καὶ τοῦ καθ' ἡμᾶς διαφευξομένου δυστυχίαν ἢ τὰ νῦν σύνεσμεν." καὶ ὁ μὲν Γερμανὸς τοσάδε προειπὼν εἰς τοσόνδε ὤφλε γέλωτα τῷ Ἀγρίππᾳ ἐφ' ὅσον ἐν τοῖς ὕστερον κατεφάνη τεθαυμάσθαι ἄξιος· ἡ δὲ Ἀντωνία χαλεπῶς φέρουσα τοῦ Ἀγρίππα τὴν δυστυχίαν, τὸ μὲν Τιβερίῳ περὶ αὐτοῦ διαλέγεσθαι ἐργωδέστερον ἑώρα καὶ ἄλλως ἐπ' ἀκράκτοις γενησόμενον, εὑρίσκετο δ' αὐτῷ παρὰ τοῦ Μάκρωνος στρατιωτῶν τε μετρίων ἀνδρῶν, οἳ παραφυλάξειαν αὐτὸν ἐν φροντίσιν, καὶ ἑκατοντάρχου ἐφεστηξομένου τε ἐκείνοις καὶ συνδέτου ἐσομένου, λουτρά τε καθ' ἡμέραν συγχωρεῖσθαι καὶ ἀπελευθέρων καὶ φίλων εἰσόδους, τήν τε ἄλλην ῥᾳστώνην ἢ τῷ σώματι γένοιτ' ἄν. εἰσῆεσάν τε ὡς αὐτὸν φίλος τε Σίλας καὶ τῶν ἀπελευθέρων Μαρσύας καὶ Στοιχεύς, τροφὰς εἰσκομίζοντες αἷς ἔχαιρε, καὶ δι' ἐπιμελείας πάσης ἔχοντες, ἱμάτιά τε κομίζοντες ἐπὶ προσποιήσει πράσεως, ὁπότε νὺξ γένοιτο ὑπεστρώννυσαν αὐτῷ συμπράξει τῶν στρατιωτῶν, Μάκρωνος προειρηκότος. καὶ ταῦτα ἐπράσσετο ἐπὶ μῆνας ἕξ.

καὶ τὰ μὲν κατ' Ἀγρίππαν ἐν τούτοις ἦν· Τιβέριος 8
δ' ἐπανελθὼν εἰς τὰς Καπρέας ἐμαλακίζετο, τὰ μὲν πρῶτα μετρίως, ἐπιδούσης δ' εἰς τὸ μᾶλλον τῆς νόσου πονηρὰς ἔχων περὶ αὐτῷ τὰς ἐλπίδας, Εὔοδον, ὃς ἦν αὐτῷ τιμιώτατος τῶν ἀπελευθέρων, κελεύει τὰ τέκνα προσαγαγεῖν πρὸς αὐτόν· χρῄζειν γὰρ ἀφικέσθαι σφίσι διὰ λόγων πρὶν ἢ τελευτᾶν. ἦσαν δὲ αὐτῷ παῖδες γνήσιοι μὲν οὐκέτι· Δροῦσος γὰρ δή, ὁ μόνος αὐτῷ γεγονώς, ἐτύγχανε τεθνεώς· υἱὸς δὲ τούτου κατελείπετο Τιβέριος, ἐπικαλούμενος Γέμελλος, Γάιός τε Γερμανικοῦ παῖς ἀδελφοῦ υἱὸς γεγονώς, νεανίας τε ἤδη καὶ

Digitized by Google

παιδείαν ἐκπεπονηκὼς ἐπὶ πλεῖστον, εὐνοίᾳ τε τοῦ δήμου τιμώμενος διὰ τὴν Γερμανικοῦ τοῦ πατρὸς ἀρετήν. ἐπὶ μέγιστον γὰρ δὴ οὗτος ἦλθε παρὰ τοῖς πλήθεσι τιμῆς εὐσταθείᾳ τρόπου καὶ δεξιότητι τοῦ ὁμιλεῖν ἀνεπαχθὴς ὤν, καὶ τὴν ἀξίωσιν κτώμενος τῷ βούλεσθαι ἴσος πᾶσιν εἶναι· ἐξ ὧν οὐ μόνον ὁ δῆμος καὶ ἡ βουλὴ μειζόνως ἦγον αὐτόν, ἀλλὰ καὶ τῶν ὑποτελῶν ἕκαστον ἐθνῶν, οἳ μὲν ὠμιληκότες ἁλισκόμενοι τῇ χάριτι τῆς ἐντεύξεως, οἳ δὲ πύστει τῆς ἐκείνων ἀφηγήσεως παραλαμβάνοντες. πένθος τε αὐτοῦ τελευτήσαντος προυτέθη πᾶσιν, οὐ θεραπείᾳ τῆς ἀρχῆς ἐπιψευδομένων τὴν συμφοράν, λύπῃ δὲ ἀληθεῖ οἰκειουμένων διὰ τὸ ἴδιον τυχεῖν ἑκάστοις τὴν μετάστασιν αὐτοῦ ὑπειληφθαι· οὕτως ἀνεπαχθῶς ὠμίλησε τοῖς ἀνθρώποις. ἐξ ὧν μέγα ὄφελος καὶ τῷ παιδὶ αὐτοῦ παρὰ πᾶσι κατελέλειπτο τοῖς τε ἄλλοις, καὶ μάλιστα τὸ στρατιωτικὸν ἦρτο, αἱρετὸν ἀριθμοῦντες τὸ περὶ τῆς ἀρχῆς ἐκείνῳ περιγενησομένης, εἰ δεήσει, καὶ τελευτᾶν.

9 ὁ δὲ Τιβέριος Εὐόδῳ πρόσταγμα ποιησάμενος κατὰ τὴν ὑστεραίαν ὑπὸ τὴν ἕω εἰσαγαγεῖν τοὺς παῖδας, εὔχεται τοῖς πατρίοις θεοῖς σημεῖόν τι προφαντὸν αὐτῷ δεῖξαι περὶ τοῦ τὴν ἡγεμονίαν διαδεξομένου, σπεύδων μὲν τῷ υἱεῖ τοῦ παιδὸς αὐτὴν καταλιπεῖν, μεῖζον δὲ δόξης τε καὶ βουλήσεως τῆς αὐτοῦ πεπιστευκὼς τοῦ θεοῦ τὸ ἐπ' αὐτοῖς ἀποφανούμενον. οἰώνισμα δ' οὖν αὐτῷ προύκειτο εἰς ἐκεῖνον ἥξειν τὴν ἡγεμονίαν, ὃς ἂν κατὰ τὴν ἐπιοῦσαν ἀφίκοιτο πρὸς αὐτὸν πρότερος. ταῦτα διανοηθεὶς πέμπει παρὰ τοῦ υἱωνοῦ τὸν παιδαγωγόν, κελεύων ὑπὸ πρώτην ὥραν ἄγειν τὸν παῖδα πρὸς αὐτόν, καταμελήσεσθαι στρατηγίας τὸν θεὸν ὑπολαβάνων. ὃ δ' ἀντεψήφιζεν αὐτοῦ τὴν χειροτονίαν. ὃ μὲν δὴ ταῦτ' ἐνθυμησάμενος, ἐπεὶ τάχιστα ἡμέρα ἦν,

Digitized by Google

κελεύει τὸν Εὔοδον εἰσκαλεῖν τῶν παίδων τὸν παρόντα πρότερον. ἐξελθὼν δ' ἐκεῖνος, καὶ τὸν Γάιον πρὸ τοῦ δωματίου καταλαβών (ὁ γὰρ Τιβέριος οὐ παρῆν μετεώρου τῆς τροφῆς αὐτῷ γενομένης, ἤδει δ' ὁ Εὔοδος οὐδὲν ὧν ἐβούλετο ὁ δεσπότης) "καλεῖ σέ" φησιν "ὁ πατήρ," καὶ εἰσήγαγεν αὐτόν. Τιβέριος δ' ὡς θεᾶται Γάιον, τότε πρῶτον εἰς ἐπίνοιαν ἐλθὼν τοῦ θείου τῆς ἐξουσίας, καὶ τὴν κατ' αὐτὸν ἡγεμονίαν παντελῶς ἀφῃρημένην ἐπικυροῦν οἷς ψηφίσαιτο δυνάμεως ἐκεῖθεν αὐτῷ μὴ παραγενομένης, πολλὰ δὴ κατωλοφύρατο αὐτὸν μὲν τοῦ ἐφ' οἷς προβουλεύσειε κυροῦν ἀφῃρημένον τὸ κράτος, Τιβέριον δὲ τὸν υἱωνόν, ὡς τῆς τε Ῥωμαίων ἀρχῆς ὁμοῦ διαμάρτοι καὶ τῆς σωτηρίας κεχρημένου, διὰ τὸ ἐπ' ἄλλων κρεισσόνων, οὐκ ἀνεκτὸν εἰσηγησομένων τὴν συναναστροφήν, κεῖσεσθαι τὴν σωτηρίαν αὐτῷ, τοῦ συγγενοῦς μὴ ὠφελεῖν δυναμένου, φόβῳ τε καὶ μίσει τοῦ ἐφεστηκότος χρησομένου πρὸς αὐτόν, τὰ μὲν ὡς προσεδρεύοντα τῇ ἀρχῇ, τὰ δ' ὡς ἀντεπιβουλεύειν ὑπέρ τε τῆς σωτηρίας καὶ τῆς ἀντιλήψεως τῶν πραγμάτων μὴ ἀφησόμενον. ἦν δὲ καὶ γενεθλιαλογίᾳ Τιβέριος τὰ μάλιστα προσκείμενος, κατὰ τὰ κατορθούμενα αὐτῆς μειζόνως τῶν εἰς τόδε ἀνακειμένων ἑκόντως βίον ἐξηγμένος. Γάλβαν οὖν ποτὲ θεασάμενος ὡς αὐτὸν εἰσιόντα, φησὶ πρὸς τοὺς ἐπιτηδειοτάτους αὐτῷ ὡς παραγίνοιτο ἀνὴρ τῇ Ῥωμαίων ποτὲ τιμησόμενος ἡγεμονίᾳ. τά τε πάντα μαντειῶν ὁπόσα ἐχόμενα πιθανὰ ἡγούμενος ἡγεμόνων μάλιστα ἀνὴρ οὗτος ὑπὸ τοῦ ἐπαληθεύοντος αὐτῶν, ἐπὶ τοῖς πράγμασιν ἐχρῆτο αὐταῖς. καὶ τότε ἐν γαλεποῖς ἦν συντυχίᾳ τοῦ γεγονότος, ὡς ἐπ' ἀπολωλότι τῷ υἱεῖ τοῦ παιδὸς ἀχθεινῶς διατιθέμενος, καὶ κατάμεμψιν αὐτοῦ ποιούμενος τοῦ κατὰ τὴν οἰώνισιν προμηθοῦς· παρὸν γὰρ ἂν αὐτῷ λύπης ἀπηλλαγμένῳ τε-

Digitized by Google

λευτᾶν ἀμαθίᾳ τῶν ἐσομένων, διαφθείρεσθαι τῷ προεγνωκὼς τὴν ἐσομένην δυστυχίαν τῶν φιλτάτων τελευτᾶν. καίπερ δὲ συντεταραγμένος τῇ παρὰ δόξαν τῆς ἀρχῆς εἰς οὓς οὐκ ἤθελε περιόδῳ, ἄκων τε καὶ μὴ βουλόμενος φησὶ γοῦν πρὸς τὸν Γάιον "ὦ παῖ, καίπερ μοι συγγενεστέρου Τιβερίου ἢ κατὰ σὲ ὄντος, δόξῃ τε τῇ ἐμαυτοῦ καὶ τῷ ὁμοψήφῳ ἐπ' αὐτῇ τῶν θεῶν σοὶ φέρων ἐγχειρίζω τὴν Ῥωμαίων ἡγεμονίαν. ἀξιῶ δέ σε μηδὲν ἀμνημονεῖν, ὁμιλήσαντα αὐτῇ, μήτε εὐνοίας τῆς ἐμῆς, ὃς εἰς τοσόνδε σε ἀξιώματος καθίστημι μέγεθος, μήτε τοῦ πρὸς Τιβέριον συγγενοῦς, ἀλλ' ἐπιστάμενον ὡς σύν τε τοῖς θεοῖς καὶ μετ' αὐτοὺς τοιῶνδέ σοι κατασταίην ἀγαθῶν πορισής, ἀμείβεσθαί μου τὸ ἐπ' αὐτοῖς πρόθυμον, καὶ ἅμα Τιβερίου φροντίζειν διὰ τὴν συγγένειαν, ἄλλως τε καὶ γινώσκων ὡς τειχός σοι καὶ τῆς ἀρχῆς ὁμοῦ καὶ τῆς σωτηρίας περιὼν γίνοιτο ἂν Τιβέριος, φροίμιον δὲ τοῦ δυστυχοῦς μεθιστάμενος. αἵ τε γὰρ μονώσεις ἐπικίνδυνοι τοῖς εἰς τηλικούτων πραγμάτων ὄγκον καταστᾶσι, καὶ θεοῖς οὐκ ἀτιμώρητα ὁπόσα παρὰ δίκην πρασσόμενα ἀφανίζει τοῦ νόμου τὸ ἑτέρως πράσσειν παρακαλοῦν." ταῦτα μὲν ὁ Τιβέριος ἔλεγεν, οὐ μὴν πιθανὸς ἦν τῷ Γαΐῳ καίπερ ὑπισχνουμένῳ, ἀλλὰ κατασταὶς εἰς τὴν ἀρχὴν τόν τε Τιβέριον μαντείαις αἱρεῖ ταῖς ἐκείνου, καὶ τοὺς ἐπιβουλῶν ἐπ' αὐτὸν συντεθειμένους μετ' οὐ πολὺ τελευτᾷ.

Τιβέριος δὲ τότε τὸν Γάιον ἀποδείξας διάδοχον τῆς ἡγεμονίας, ὀλίγας ἐπιβιοὺς ἡμέρας ἔθανε, σχὼν αὐτὸς τὴν ἀρχὴν ἡμέρας τρεῖς καὶ πέντε μῆνας πρὸς ἐνιαυτοῖν δυοῖν καὶ εἴκοσι. Γάιος δὲ ἦν αὐτοκράτωρ τέταρτος. Ῥωμαῖοι μὲν δὴ πύστει τῆς Τιβερίου τελευτῆς ηὐφραίνοντο μὲν τῷ ἀγαθῷ τῆς ἀγγελίας, οὐ μὴν πιστεύειν γε θάρσος ἦν αὐτοῖς, οὐ τῷ μὴ βούλεσθαι (πρὸ πολλῶν

Digitized by Google

γὰρ ἂν ἐτίμησαν χρημάτων τὸ ἐπαληθεῦσαν τῶν λόγων), δέει δὲ μὴ ψευδοῦς τῆς ἀγγελίας γενομένης προεξαναστάντες ἐπὶ δηλώσει τοῦ αὐτῶν χάρματος, εἶτ' ἀπολλύοιντο διαβολῆς αὐτῶν γενομένης. πλεῖστα γὰρ ἀνὴρ εἷς οὗτος Ῥωμαίων τοὺς εὐπατρίδας εἰργάσατο δεινά, δυσόργητος ἐπὶ πᾶσιν ὤν, καὶ ἀνήκεστος εἰς τὸ ἐργάζεσθαι καταστὰς εἰ καὶ χωρὶς λόγου τὴν αἰτίαν ἐπανέλοιτο τοῦ μισεῖν, καὶ ἐπὶ πᾶσι μὲν οἷς κρίνειεν ἐξαγριοῦν φύσιν ἔχων, εἰς θάνατον δὲ καὶ τῶν κουφοτάτων ἀνατιθεὶς τὴν ζημίαν. ὥστε ἡδονῇ τοῦ ἐπ' αὐτῷ λόγου φέροντες τὴν ἀκρόασιν, εἰς ὅσον ἐβούλοντο ἀπολαύσματι χρῆσθαι ἐκεκώλυντο δείματι κακῶν ἃ προεωρᾶτο ψευσθεῖσι τῆς ἐλπίδος. Μαρσύας δὲ τοῦ Ἀγρίππα ὁ ἀπελεύθερος, πυθόμενος Τιβερίου τὴν τελευτήν, ἔθει δρομαῖος τῷ Ἀγρίππᾳ εὐαγγελιούμενος, καὶ καταλαβὼν ἐν ἐξόδοις ὄντα εἰς τὸ βαλανεῖον, συννεύσας πρὸς αὐτὸν γλώσσῃ τῇ Ἑβραίων "τέθνηκεν ὁ λέων" φησίν. ὃ δὲ σύνεσίν τε τοῦ λόγου ποιησάμενος καὶ χάρματι τῷ ἐπ' αὐτῷ περιενεχθείς, "ἀλλά σοι τῶν ἁπάντων καὶ τῆς ἐπὶ τῷδε εὐαγγελίας χάριτες ἐν ἐμοὶ παντοῖαι γίνονται. μόνον ἀληθῆ τὰ λεγόμενα εἴη." καὶ ὁ ἑκατοντάρχης, ὅς γε τῇ φυλακῇ ἐφειστήκει τοῦ Ἀγρίππα, θεώμενος τήν τε σπουδὴν μεθ' οἵας ὁ Μαρσύας ἀφίκετο καὶ τὸ ἐκ τῶν λόγων χάρμα Ἀγρίππᾳ συνελθόν, ὑποτοπήσας καινωσίν τινα γεγονέναι τῶν λόγων ἤρετό σφας περὶ τοῦ λόγου τοῦ ἐφεστηκότος. οἳ δὲ τέως μὲν παρέτρεπον, ἐγκειμένῳ δὲ ἀποσημαίνει ὁ Ἀγρίππας (ἤδη γὰρ φίλος ἦν) μηδὲν ἐνδοιάσας. ὃ δὲ ἐκοινοῦτό τε τὴν ἡδονὴν τοῦ λόγου διὰ τὸ εἰς ἀγαθὰ τῷ Ἀγρίππᾳ φέρειν, προυτίθει τε αὐτῷ δεῖπνον. εὐωχουμένων δ' αὐτῶν καὶ τοῦ πότου προϊόντος παρῆν τις λέγων ζῆν τε τὸν Τιβέριον καὶ ὀλίγων ἡμερῶν ἐπανήξειν εἰς τὴν πόλιν. καὶ ὁ ἑκατοντάρ-

Digitized by Google

χης δεινῶς θορυβηθεὶς τῷ λόγῳ διὰ τὸ εἰς θάνατον ἀνακείμενα πεπραχέναι, δεσμώτῃ τε καὶ ἐπ' ἀγγελίᾳ θανάτου Καίσαρος συνδεδιῃτῆσθαι μετὰ χάρματος, ἀπωθεῖται τὸν Ἀγρίππαν τοῦ κλινιδίου, καί "ἦ πού" φησι "λήσειν με ὑπονοεῖς θάνατον τοῦ αὐτοκράτορος καταψευσάμενος, ἀλλ' οὐ κεφαλῇ τῇ σῇ τοῦτον ἀναμαξόμενος τὸν λόγον;" ταῦτα εἰπὼν κελεύει δῆσαι τὸν Ἀγρίππαν, λελυκὼς πρότερον αὐτόν, φυλακήν τε ἀκριβεστέραν αὐτοῦ ἢ πρότερον καθίσταται. καὶ νύκτα μὲν ἐκείνην ὁ Ἀγρίππας ἐν τοιούτοις ἦν κακοῖς· τῇ δὲ ὑστεραίᾳ λόγος τε πλείων ἦν κατὰ τὴν πόλιν ἰσχυριζόμενος ἐπὶ τῇ τελευτῇ τοῦ Τιβερίου, ἐθάρρουν τε οἱ ἄνθρωποι φανερῶς ἤδη θροεῖν, καί τινες καὶ θυσίας ἐπετέλουν, ἐπιστολαί τε ἀφίκοντο παρὰ τοῦ Γαΐου, ἢ μὲν πρὸς τὴν σύγκλητον τοῦ Τιβερίου διασαφοῦσα τὴν τελευτὴν καὶ τὴν αὐτοῦ παράληψιν τῆς ἡγεμονίας γενομένην, ἢ δὲ πρὸς Πίσωνα τὸν φύλακα τῆς πόλεως· τοῦτό τε ἀγορεύουσα, καὶ τὸν Ἀγρίππαν ἐκέλευσεν ἐκ τοῦ στρατοπέδου μεταστήσειν εἰς τὴν οἰκίαν ἐν ᾗ πρότερον ἢ δεδῆναι δίαιταν εἶχεν· ὥστε ἐν θάρσει λοιπὸν ἦγε τὰ περὶ αὐτῆς. φυλακὴ μὲν γὰρ καὶ τήρησις ἦν, μετὰ μέντοι ἀνέσεως τῆς εἰς τὴν δίαιταν. Γάιος δ' ὡς ἐπὶ Ῥώμης παρῆν ἄγων τοῦ Τιβερίου τὸ σῶμα, ταφάς τε αὐτοῦ ποιεῖται πολυτελεῖς νόμοις τοῖς πατρίοις, Ἀγρίππαν δὲ αὐθημερὸν λύειν ὄντι προθύμῳ κώλυμα Ἀντωνία ἦν, οὔ τι μίσει τῷ πρὸς τὸν δεδεμένον, προμηθείᾳ δὲ τοῦ Γαΐου εὐπρεποῦς, μὴ δόξαν ἐπάγοιτο ἡδονῇ δεχομένου τὴν Τιβερίου μετάστασιν, ἄνδρα ὑπ' ἐκείνου δεδεμένον λύων ἐκ τοῦ ὀξέος. διελθουσῶν μέντοι οὐ πολλῶν ἡμερῶν μεταπεμψάμενος αὐτὸν εἰς τὸν οἶκον ἀποκείρει τε αὐτὸν καὶ μεταμφιέννυσιν, εἶτα δὲ τὸ διάδημα περιτίθησι τῇ κεφαλῇ καὶ βασιλέα καθίστησιν αὐτὸν τῆς

Digitized by Google

Φιλίππου τετραρχίας, δωρησάμενος αὐτῷ καὶ τὴν Λυσανίου τετραρχίαν, ἀλλάττει τε τῇ σιδηρᾷ ἁλύσει χρυσῆν ἰσόσταθμον, ἱππάρχην δὲ ἐπὶ τῆς Ἰουδαίας ἐκπέμπει Μάρυλλον.

δευτέρῳ δὲ ἔτει τῆς Γαΐου Καίσαρος ἡγεμονίας 11
Ἀγρίππας ἠξίου συγχώρησιν αὐτῷ γενέσθαι πλεύσαντι τήν τε ἀρχὴν καταστήσασθαι καὶ τὰ ἄλλα εἰς δέον οἰκονομησαμένῳ ἐπανιέναι. καὶ συγχωροῦντος τοῦ αὐτοκράτορος παρῆν, παρ' ἐλπίδας τε ὤφθη πᾶσι βασιλεύς, πολλήν τε τῆς τύχης ἐπεδείκνυεν ἐπὶ τοῖς ἀνθρώποις τὴν ἐξουσίαν τοῖς θεωροῦσιν ἐκ λογισμῶν ἀπορίας τε τῆς πρότερον καὶ τοῦ ἐν τῷ παρόντι εὐδαίμονος. καὶ οἱ μὲν ἐμακάριζον τοῦ μὴ διαμαρτίᾳ χρησαμένου τῶν ἐλπίδων, οἱ δ' ἐν ἀπιστίᾳ περὶ τῶν γεγονότων ἦσαν.

Ἡρωδιὰς δ' ἡ ἀδελφὴ τοῦ Ἀγρίππα, συνοικοῦσα 7
Ἡρῴδῃ (τετράρχης δὲ οὗτος ἦν Γαλιλαίας καὶ Περαίας), φθόνῳ τἀδελφοῦ τὴν ἐξουσίαν ἐδέχετο, ὁρῶσα ἐν πολὺ μείζονι ἀξιώματι γεγενημένον ἀνδρὸς τοῦ αὐτῆς διὰ τὸ φυγῇ μὲν τότε ποιήσασθαι τὴν ἔξοδον, διαλῦσαι τὰ χρέα μὴ δυνάμενον, κάθοδον δὲ μετ' ἀξιώματος καὶ οὕτω πολλοῦ τοῦ εὐδαίμονος. ἐλυπεῖτο οὖν καὶ βαρέως ἐφερε τῇ ἐπὶ τοσοῦτον μεταβολῇ, καὶ μάλιστα, ὁπότε θεάσαιτο μετὰ τῶν εἰωθότων παρασήμων τῆς βασιλείας ἐπιφοιτῶντα τοῖς πλήθεσιν, ἐπικρύπτεσθαι οὐκ ἠνείχετο τὴν δυστυχίαν τοῦ φθόνου, ἀλλὰ τὸν ἄνδρα ἐξῆρε, κελεύουσα ἐπὶ τῆς Ῥώμης πλεῖν ἐπὶ μνηστείᾳ τῶν ἴσων· οὐ γὰρ ἀνεκτὸν εἶναί σφισι τὸ ζῆν, εἰ Ἀγρίππας Ἀριστοβούλου μὲν υἱὸς ὤν, θανεῖν ὑπὸ τοῦ πατρὸς κατεγνωσμένου, πενίᾳ δὲ ἀπόρῳ συνὼν ὡς τελέως αὐτῷ ἐπικουφίζεσθαι τἀναγκαῖα τοῦ ἐφ' ἡμέρας, φυγῇ δὲ τῶν δεδανεικότων τὸν πλοῦν πεποιημένος, ἐπανεληλύθοι βασιλεύς, αὐτὸς δέ γε ὢν παῖς βασιλέως, καὶ τοῦ συγ-

Digitized by Google

γενοῦς τῆς ἀρχῆς καλοῦντος αὐτὸν ἐπὶ μεταποιήσει τῶν ἴσων, καθέζοιτο ἀγαπῶν ἐν ἰδιωτείᾳ διαβιοῦν. "ἀλλ' εἰ καὶ πρότερόν γε, Ἡρώδη, μηδὲν ἐλύπει σε τὸ ἐν ἐλάσσονι τιμῇ πατρὸς οὗ γέγονας εἶναι, νῦν γοῦν ὀρέχθητι συγγενοῦς ἀξιώματος, μηδὲ ὑπόμενε ἡσσᾶσθαι προύχοντι τιμῆς ἀνδρὶ πλοῦτον τεθεραπευκότι τὸν σόν, μηδὲ πενίαν ἀποφήνῃς τὴν ἐκείνου τῆς ἡμετέρας εὐπορίας ἀρετῇ μᾶλλον χρῆσθαι δυναμένην, μηδὲ δευτερεύειν ἀνεπαίσχυντον ἡγοῦ τῶν χθὲς καὶ πρώην ἐλέῳ τῷ σῷ διαβεβιωκότων. ἀλλ' ἐπὶ τῆς Ῥώμης ἴωμεν, καὶ μήτε πόνου φειδώ τις ἔστω μήτε ἀργυρίου δαπάνης καὶ χρυσίου, διὰ τὸ μὴ ἐπ' οὐδαμοῖς ἐν βελτίοσι γενέσθαι τὴν τήρησιν αὐτῶν ἀναλώσεως τῆς ἐπὶ κτήσει βασιλείας ἐσομένης."

2 ὁ δὲ τέως μὲν ἀπεμάχετο ἀγαπῶν τὴν ἡσυχίαν καὶ τῆς Ῥώμης τὸν ὄχλον δι' ὑποψίας λαμβάνων, ἀναδιδάσκειν τε αὐτὴν ἐπειρᾶτο. ἢ δ' ἐφ' ὅσον ἐξαναχωροῦντα ἑώρα μειζόνως ἐπέκειτο, κελεύουσα μὴ ἀνιέναι πάντα πράσσειν ἐπὶ τῇ βασιλείᾳ· καὶ πέρας οὐκ ἀνῆκεν, ἕως ἐξεκίνησεν αὐτὸν ὁμογνώμονα αὐτῇ ἀκουσίως γενέσθαι διὰ τὸ μὴ εἶναι ἄλλως ἀποφυγεῖν αὐτῆς τὸ ἐπὶ τοιούτοις ψηφισάμενον. παρασκευασάμενός τε ὡς ἐνῆν πολυτελῶς, καὶ φειδοῖ μηδενὸς χρώμενος, ἀνήγετο ἐπὶ τῆς Ῥώμης, ἅμα δὲ καὶ τὴν Ἡρωδιάδα ἀγόμενος. Ἀγρίππας δὲ τήν τε διάνοιαν αὐτῶν καὶ τὴν παρασκευὴν αἰσθανόμενος καὶ αὐτὸς παρεσκευάζετο. ἐπεί τε ἐκπεπλευκότας ἀκούει, πέμπει καὶ αὐτὸς ἐπὶ τῆς Ῥώμης Φορτουνᾶτον αὐτοῦ τῶν ἀπελευθέρων, δῶρά τε κομίζοντα τῷ αὐτοκράτορι καὶ ἐπιστολὰς κατὰ τόν Ἡρώδου, τὰ δὲ καὶ αὐτὸν διδάξοντα, εἰ καιρός, τὸν Γάιον. ὁ δὲ ἐπαναχθεὶς τοῖς ἀμφὶ τὸν Ἡρώδην καὶ δεξιῷ χρησάμενος τῷ πλῷ τοσόνδε ἀπελείπετο τοῦ Ἡρώδου ὥστε τὸν

Digitized by Google

μὲν ἐντυχεῖν Γαΐῳ, ὃ δὲ ἐπικατάγεται καὶ τὰς ἐπιστολὰς ἀπεδίδου. καὶ προσέπλευσαν ἀμφότεροι Δικαιαρχείᾳ, καὶ τὸν Γάιον ἐν Βαΐαις λαμβάνουσι· πολίδριον δ' ἐστὶ καὶ τοῦτο τῆς Καμπανίας, ὅσον ἀπὸ σταδίων πέντε τῆς Δικαιαρχείας κείμενον. βασίλειοί τ' εἰσὶν οἰκήσεις αὐτόθι πολυτελέσι κεχρημέναι κατασκευαῖς, φιλοτιμηθέντος τῶν αὐτοκρατόρων ἑκάστου τοὺς προγεγονότας ὑπερβάλλεσθαι· λουτρά τε παρέχεται τὸ χωρίον θερμὰ γῆθεν αὐτόματα ἀνιόντα, ἀγαθὰ ἐπί τε ἰάσει τοῖς χρωμένοις καὶ ἄλλως τῷ ἀνειμένῳ τῆς διαίτης συμφέροντα. Γάιος δὲ ἅμα τε προσαγορεύων τὸν Ἡρῴδην (πρῶτον δὲ αὐτῷ ἐνετύγχανεν) ἅμα τε τοῦ Ἀγρίππα τὰς ἐπιστολὰς ἐπιὼν ἐπὶ τῇ κατηγορίᾳ τῇ ἐκείνου συγκειμένας (κατηγόρει δὲ αὐτοῦ ὁμολογίαν τε πρὸς Σηιανὸν κατὰ τῆς Τιβερίου ἀρχῆς καὶ πρὸς Ἀρτάβανον τὸν Πάρθον ἐπὶ τοῦ παρόντος κατὰ τῆς Γαΐου ἀρχῆς, παράδειγμά τε ἦν αὐτῷ τοῦ λόγου μυριάσιν ἑπτὰ ὁπλιτῶν ἀφικέσουσα κατασκευὴ ἐν ταῖς Ἡρῴδου ὁπλοθήκαις ἀποκειμένη) ἐκινεῖτό τε ὑπὸ τῶν εἰρημένων, καὶ ἤρετο τὸν Ἡρῴδην εἰ ἀληθὴς ὁ περὶ τῶν ὅπλων λόγος. τοῦ δέ (οὐ γὰρ ἦν ἕτερα εἰπεῖν διὰ τὸ ἀντιφθέγξασθαι ἀληθειαν) εἰπόντος εἶναι τὰ ὅπλα, πιστὰ ἡγούμενος εἶναι τὰ ἐπὶ τῇ ἀποστάσει κατηγορούμενα, τὴν τετραρχίαν ἀφελόμενος αὐτὸν προσθήκην τῇ Ἀγρίππα βασιλείᾳ ποιεῖται, καὶ τὰ χρήματα ὁμοίως τῷ Ἀγρίππᾳ δίδωσιν, αὐτόν τε φυγῇ ἀιδίῳ ἐζημίωσεν, ἀποδείξας οἰκητήριον αὐτοῦ Λούγδουνον πόλιν τῆς Γαλλίας. Ἡρωδιάδα δὲ μαθὼν Ἀγρίππα ἀδελφὴν οὖσαν, τά τε χρήματα ἐδίδου ὁπόσα ἐκείνῃ ἴδια ἦν, καὶ μὴ κοινωνεῖν νομίσας τῷ ἀνδρὶ τῆς συμφορᾶς τεῖχος αὐτῇ τὸν ἀδελφὸν ἔλεγεν. ἡ δὲ "ἀλλὰ σὺ μέν, αὐτοκράτωρ," εἶπε, "μεγαλοφρόνως τε καὶ ἀξιώματι τῷ σεαυτοῦ πρεπόντως τάδε λέγεις, κώλυμα

Digitized by Google

δέ μοί ἐστι χρῆσθαί σου τῇ χάριτι τῆς δωρεᾶς εὔνοια ἡ πρὸς τὸν γεγαμηκότα, οὗ κοινωνόν με τῆς εὐδαιμονίας γενομένην οὐ δίκαιον ἐγκαταλιπεῖν ἐπὶ ταῖς τύχαις καθιστάμενον." ὃ δὲ ἐν ὀργῇ τοῦ μεγαλόφρονος αὐτὴν ποιησάμενος συνήλαυνε καὶ αὐτὴν τῷ Ἡρῴδῃ, καὶ τὴν οὐσίαν αὐτῆς τῷ Ἀγρίππᾳ δίδωσιν. Ἡρωδιάδι μὲν δὴ φθόνου τοῦ πρὸς τὸν ἀδελφὸν καὶ Ἡρῴδῃ γυναικείων ἀκροασαμένῳ κουφολογιῶν δίκην ταύτην ἐπετίμησεν ὁ θεός· Γάιος δὲ τὸν μὲν πρῶτον ἐνιαυτὸν καὶ τὸν ἑξῆς πάνυ μεγαλοφρόνως ἐχρῆτο τοῖς πράγμασι, καὶ μέτριον παρέχων αὐτὸν εἰς εὔνοιαν προυχώρει παρά τε Ῥωμαίοις αὐτοῖς καὶ τοῖς ὑπηκόοις, προῖὼν δ' ἐξίστατο τοῦ ἀνθρωπείως φρονεῖν ὑπὸ μεγέθους τῆς ἀρχῆς ἐκθειάζων ἑαυτόν, καὶ τὰ πάντα ἐπ' ἀτιμίᾳ τοῦ θείου πολιτεύειν ἤρτο.

8 καὶ δὴ στάσεως ἐν Ἀλεξανδρείᾳ γενομένης Ἰουδαίων τε οἳ ἐνοικοῦσι καὶ Ἑλλήνων, τρεῖς ἀφ' ἑκατέρας τῆς στάσεως πρεσβευταὶ αἱρεθέντες παρῆσαν ὡς τὸν Γάιον. καὶ ἦν γὰρ τῶν Ἀλεξανδρέων πρέσβεων εἷς Ἀπίων, ὃς πολλὰ εἰς τοὺς Ἰουδαίους ἐβλασφήμησεν, ἄλλα τε λέγων καὶ ὡς τῶν Καίσαρος τιμῶν περιορῷεν· πάντων γοῦν, ὁπόσοι τῇ Ῥωμαίων ἀρχῇ ὑποτελεῖς εἶεν, βωμοὺς τῷ Γαΐῳ καὶ νεὼς ἱδρυμένων, τά τε ἄλλα πᾶσιν αὐτὸν ὥσπερ τοὺς θεοὺς δεχομένων, μόνους τούσδε ἄδοξον ἡγεῖσθαι ἀνδριᾶσι τιμᾶν καὶ ὅρκιον αὐτοῦ τὸ ὄνομα ποιεῖσθαι. πολλὰ δὲ καὶ χαλεπὰ Ἀπίωνος εἰρηκότος, ὑφ' ὧν ἀρθῆναι ἤλπιζε τὸν Γάιον καὶ εἰκὸς ἦν, Φίλων ὁ προεστὼς τῶν Ἰουδαίων τῆς πρεσβείας, ἀνὴρ τὰ πάντα ἔνδοξος, Ἀλεξάνδρου τε τοῦ ἀλαβάρχου ἀδελφὸς ὢν καὶ φιλοσοφίας οὐκ ἄπειρος, οἷός τε ἦν ἐπ' ἀπολογίᾳ χωρεῖν τῶν κατηγορημένων. διακλείει δ' αὐτὸν Γάιος κελεύσας ἐκποδὼν ἀπελθεῖν, περιοργής τε ὢν

Digitized by Google

φανερὸς ἦν ἐργασόμενός τι δεινὸν αὐτούς. ὁ δὲ Φίλων ἔξεισι περιυβρισμένος, καὶ φησὶ πρὸς τοὺς Ἰουδαίους, οἳ περὶ αὐτὸν ἦσαν, ὡς χρὴ θαρρεῖν, Γαΐου λόγῳ μὲν αὐτοῖς ὠργισμένου, ἔργῳ δὲ ἤδη τὸν θεὸν ἀντιπαρεξάγοντος.

Γάιος δὲ ἐν δεινῷ φέρων εἰς τοσόνδε ὑπὸ Ἰουδαίων περιῶφθαι μόνων, πρεσβευτὴν ἐπὶ Συρίας ἐκπέμπει Πετρώνιον, διάδοχον Ὑιτελλίῳ τῆς ἀρχῆς, κελεύων χειρὶ πολλῇ εἰσβάλλοντι εἰς τὴν Ἰουδαίαν, εἰ μὲν ἑκόντες δέχονται, ἱστᾶν αὐτοῦ ἀνδριάντα ἐν τῷ ναῷ τοῦ θεοῦ, εἰ δ' ἀγνωμοσύνῃ χρῷντο, πολέμῳ κρατήσαντα τοῦτο ποιεῖν. καὶ Πετρώνιος Συρίαν παραλαβὼν ἠπείγετο διακονεῖσθαι ταῖς ἐντολαῖς τοῦ Καίσαρος· συμμαχίαν δὲ πλείστην ὅσην ἠδύνατο ἀθροίσας, καὶ τάγματα δύο τῆς Ῥωμαίων δυνάμεως ἄγων, ἐπὶ Πτολεμαΐδος παρῆν αὐτόθι χειμάσων ὡς πρὸς ἔαρ τοῦ πολεμεῖν οὐκ ἀφεξόμενος, καὶ πρὸς τὸν Γάιον ἔγραφε περὶ τῶν ἐπεγνωσμένων. ὃ δὲ ἐπῄνει τῆς προθυμίας αὐτόν, καὶ ἐκέλευε μὴ ἀνιέναι, πολεμεῖν δὲ μὴ πειθομένοις ἐντεταμένως. Ἰουδαίων δὲ πολλαὶ μυριάδες παρῆσαν ὡς τὸν Πετρώνιον εἰς Πτολεμαΐδα κατὰ δεήσεις μὴ ἐπὶ παρανομίᾳ σφᾶς ἐπαναγκάζειν καὶ παραβάσει τοῦ πατρίου νόμου. "εἰ δέ σοι πάντως πρόκειται τὸν ἀνδριάντα φέρειν καὶ ἱστᾶν, ἡμᾶς αὐτοὺς πρότερον μεταχειρισάμενος πρᾶσσε τὰ δεδογμένα· οὐ γὰρ ἂν δυναίμεθα περιόντες συγχωρεῖν πράγματα ἡμῖν ἀπηγορευμένα ἀξιώματί τε τοῦ νομοθέτου καὶ προπατόρων τῶν ἡμετέρων, εἰς ἀρετὴν ἀνήκειν αὐτὰ κεχειροτονηκότων." Πετρώνιος δὲ ὀργὴν προσλαβὼν εἶπεν "ἀλλ' εἰ μὲν αὐτοκράτωρ ὢν βουλεύμασι χρῆσθαι τοῖς ἐμαυτοῦ τάδε πράσσειν ἐπενόουν, κἂν δίκαιος ἦν ὑμῖν πρός με ὁ λόγος οὗτος· νῦν δέ μοι Καίσαρος ἐπεσταλμότος πᾶσα ἀνάγκη διακονεῖσθαι τοῖς

Digitized by Google

ἐκείνῳ προανεψηφισμένοις, διὰ τὸ εἰς ἀνήκεστον φέρειν ζημίαν τὴν παρακρόασιν αὐτῶν." "ἐπεὶ τοίνυν οὕτω φρονεῖς, ὦ Πετρώνιε," φασὶν οἱ Ἰουδαῖοι, "ὡς μὴ ἂν ἐντολὰς τὰς Γαΐου παρελθεῖν, οὐδ' ἂν αὐτοὶ παραβαίημεν τοῦ νόμου τὴν προαγόρευσιν, θεῷ πεισθέντες κἀρετῇ καὶ πόνοις τῶν ἡμετέρων προγόνων εἰς νῦν ἀπαράβατοι μεμενηκότες, οὐδ' ἂν τολμήσαιμεν ἐπὶ τοσοῦτον κακοὶ γενέσθαι ὥστε, ὁπόσα ἐκείνῳ δόξειε μὴ πρασσόμενα ἀγαθοῦ ῥοπὴν ἡμῖν φέρειν, αὐτοὶ παραβαίνειν ποτ' ἂν θάνατον φοβηθέντες. ὑπομενοῦμεν δὲ εἰς τύχας ἰόντες, ἐπὶ φυλακῇ τε πατρίων, καὶ κινδυνεύειν προθεμένοις ἐλπίδα οὖσαν ἐξεπιστάμενοι κἂν περιγενέσθαι διά τε τοῦ θεοῦ τὸ στησόμενον μεθ' ἡμῶν ἐπὶ τιμῇ τῇ ἐκείνου τὰ δεινὰ ὑποδεχομένων, καὶ τῆς τύχης τὸ ἐπ' ἀμφότερα φιλοῦν τοῖς πράγμασι παρατυγχάνειν· ἐκ δὲ τοῦ σοὶ πείθεσθαι πολλὴν μὲν λοιδορίαν τοῦ ἀνάνδρου προσκεισομένην ὡς δι' αὐτὸ παράβασιν τοῦ νόμου προσποιουμένοις, καὶ ἅμα πολλὴν ὀργὴν τοῦ θεοῦ, ὃς καὶ παρὰ σοὶ δικαστῇ γένοιτο ἂν βελτίων Γαΐου."

3 καὶ ὁ Πετρώνιος ἐκ τῶν λόγων θεασάμενος δυσνίκητον αὐτῶν τὸ φρονοῦν, καὶ μὴ ἂν ἀμαχὶ δύναμιν αὐτῷ παραγενέσθαι διακονήσασθαι τῷ Γαΐῳ τὴν ἀνάθεσιν τοῦ ἀνδριάντος, πολὺν δὲ ἔσεσθαι φόνον, τούς τε φίλους ἀναλαβὼν καὶ θεραπείαν ἣ περὶ αὐτὸν ἦν, ἐπὶ Τιβεριάδος ἠπείγετο, χρῄζων κατανοῆσαι τῶν Ἰουδαίων τὰ πράγματα ὡς ἔχοι. καὶ Ἰουδαῖοι μέγαν ἡγούμενοι τὸν ἐκ τοῦ πρὸς Ῥωμαίους πολέμου κίνδυνον, πολὺ μεῖζονα δὲ κρίνοντες τὸν ἐκ τοῦ παρανομεῖν, αὖθις πολλαὶ μυριάδες ὑπηντίαζον Πετρώνιον εἰς τὴν Τιβεριάδα γενόμενον, καὶ ἱκετείᾳ χρώμενοι μηδαμῶς εἰς ἀνάγκας τοιαύτας αὐτοὺς καθιστᾶν, μηδὲ μαίνειν ἀνδριάντος ἀναθέσει τὴν πόλιν. "πολεμήσετε ἄρα Καί-

Digitized by Google

σαι" Πετρώνιος ἔφη, "μήτε τὴν ἐκείνου παρασκευὴν λογιζόμενοι μήτε τὴν ὑμετέραν ἀσθένειαν;" οἳ δὲ "οὐδαμῶς πολεμήσομεν" ἔφασαν, "τεθνηξόμεθα δὲ πρότερον ἢ παραβῆναι τοὺς νόμους." ἐπί τε τὰ πρόσωπα πεσόντες καὶ τὰς σφαγὰς προδεικνύντες ἕτοιμοι καὶ πίννυσθαι ἔλεγον εἶναι. καὶ ταῦτα ἐπράσσετο ἐπὶ ἡμέρας τεσσαράκοντα, καὶ τοῦ γεωργεῖν ἀπερίοπτοι λοιπὸν ἦσαν, καὶ ταῦτα τῆς ὥρας οὔσης πρὸς σπόρῳ· πολλή τε ἦν προαίρεσις αὐτοῖς καὶ τοῦ θνήσκειν ἐπιθυμίας πρόθεσις ἢ τὴν ἀνάθεσιν τοῦ ἀνδριάντος θεάσασθαι.

ἐν τοιούτοις δὲ ὄντων τῶν πραγμάτων, Ἀριστόβουλος ὁ Ἀγρίππα τοῦ βασιλέως ἀδελφὸς καὶ Ἑλκίας ὁ μέγας, ἄλλοι τε οἱ κράτιστοι τῆσδε τῆς οἰκίας, καὶ οἱ πρῶτοι σὺν αὐτοῖς, εἰσίασιν ὡς τὸν Πετρώνιον παρακαλοῦντες αὐτόν, ἐπειδὴ τὴν προθυμίαν ὁρᾷ τῆς πληθύος, μηδὲν εἰς ἀπόνοιαν αὐτῆς παρακινεῖν, ἀλλὰ γράφειν πρὸς Γάιον τὸ ἀνήκεστον αὐτῶν πρὸς τὴν ὑποδοχὴν τοῦ ἀνδριάντος, πῶς τε ἀποστάντες τοῦ γεωργεῖν ἀντικαθέζονται, πολεμεῖν μὲν οὐ βουλόμενοι διὰ τὸ μηδ' ἂν δύνασθαι, θανεῖν δ' ἔχοντες ἡδονὴν πρὶν παραβῆναι τὰ νόμιμα αὐτοῖς, πῶς τε ἀσπόρου τῆς γῆς γενομένης λησταὶ ἂν φύοιντο ἀδυναμίᾳ καταβολῆς τῶν φόρων. ἴσως γὰρ ἂν ἐπικλασθέντα τὸν Γάιον μηδὲν ὠμὸν διανοηθῆναι μηδὲ ἐπ' ἀνασταίσει φρονῆσαι τοῦ ἔθνους. ἐμμένοντος δὲ τῇ τότε βουλῇ τοῦ πολεμεῖν, τότε δὴ καὶ τὸν ἅπτεσθαι τοῦ πράγματος. καὶ οἱ μὲν ἀμφὶ τὸν Ἀριστόβουλον ἐπὶ τούτοις τὸν Πετρώνιον παρεκάλουν· Πετρώνιος δέ, τοῦτο μὲν τῶν περὶ τὸν Ἀριστόβουλον παντοίως ἐπικειμένων διὰ τὸ ὑπὲρ μεγάλων ποιεῖσθαι τὴν δέησιν, καὶ πάσῃ μηχανῇ προσχρησαμένων εἰς τὰς ἱκετείας, τοῦτο δὲ καὶ τῶν Ἰουδαίων θεώμενος τὴν ἀντιπαράταξιν τῆς γνώμης, καὶ δεινὸν ἡγούμενος τοσαῖσδε

Digitized by Google

μυριάσιν ἀνθρώπων, μανίᾳ τῇ Γαΐου διακονούμενος, ἐπαγαγὼν θάνατον ἐν αἰτίᾳ τὸ πρὸς θεὸν σεβάσμιον ἔχειν καὶ μετὰ πονηρᾶς τὸν μετὰ ταῦτα βίον ἐλπίδος διαιτᾶσθαι, πολὺ κρεῖσσον ἡγεῖτο ἐπιστεῖλαι τῷ Γαΐῳ ... τὸ ἀνήκεστον αὐτοῦ, ὀργῇ φέροντος μὴ ἐκ τοῦ ὀξέος δεδιακονημένου αὐτοῦ ταῖς ἐπιστολαῖς· τάχα μὲν γὰρ καὶ πείσειν, καὶ τῇ τὸ πρῶτον μανίᾳ τῆς γνώμης ἐπιμένοντος, ἄψεσθαι πολέμου τοῦ πρὸς αὐτούς· εἰ δ' ἄρα τι καὶ κατ' αὐτοῦ τρέποιτο τῆς ὀργῆς, καλῶς ἔχειν τοῖς ἀρετῆς μεταποιουμένοις ὑπὲρ τοσῆσδε ἀνθρώπων πληθύος τελευτᾶν. ἔκρινε δ' οὖν πιθανὸν ἡγεῖσθαι τῶν δεομένων τὸν λόγον.

5 συγκαλέσας δὲ εἰς τὴν Τιβεριάδα τοὺς Ἰουδαίους (οἳ δὲ ἀφίκοντο πολλαὶ μυριάδες), καταστὰς ἐπ' αὐτοὺς τήν τε ἐν τῷ παρόντι στρατείαν οὐ γνώμης ἀπέφηνε τῆς αὐτοῦ, τοῦ δὲ αὐτοκράτορος τῶν προσταγμάτων τὴν ὀργὴν οὐδὲν εἰς ἀναβολὰς ἀλλ' ἐκ τοῦ παραχρῆμα ἐπιφέρεσθαι τοῖς [πράγμασι τοῖς] παρακροᾶσθαι θάρσος εἰσφερομένοις· ᾧ καλῶς ἔχειν τόν γε τιμῆς τοσαύτης ἐπιτετευχότα συγχωρήσει τῇ ἐκείνου οὐδὲν ἐναντίον πράσσειν. "οὐ μὴν δίκαιον ἡγοῦμαι ἀσφάλειάν τε καὶ τιμὴν τὴν ἐμαυτοῦ μὴ οὐχ ὑπὲρ τοῦ ὑμετέρου μὴ ἀπολουμένου τοσούτων ὄντων ἀναλοῦν, διακονουμένων τῇ ἀρετῇ τοῦ νόμου, ὃν πάτριον ὄντα περιμάχητον ἡγεῖσθε, καὶ τῇ ἐπὶ πᾶσιν ἀξιώσει καὶ δυνάμει τοῦ θεοῦ, οὗ τὸν ναὸν οὐκ ἂν περιιδεῖν τολμήσαιμι ὕβρει περιπεσεῖν τῆς τῶν ἡγεμονευόντων ἐξουσίας. στέλλω δὲ ὡς Γάιον γνώμας τε τὰς ὑμετέρας διασαφῶν, καί πῃ καὶ συνηγορίᾳ χρώμενος ὑπὲρ τοῦ μὴ ὑμᾶς παρορᾶν πεισομένους ἐφ' οἷς προύθεσθε ἀγαθοῖς. καὶ συμπράσσοι μὲν ὁ θεός (βελτίων γὰρ ἀνθρωπίνης μηχανῆς καὶ δυνάμεως ἡ κατ' ἐκεῖνον ἐξουσία), πρυτανεύων ὑμῖν τε τὴν τήρησιν τῶν

Digitized by Google

περίων καὶ αὐτῷ τὸ μηδὲν ἀνθρωπείαις παρὰ γνώμην βουλήσεσι τιμῶν τῶν εἰωθυιῶν ἁμαρτεῖν. εἰ δ' ἐπικρανθεὶς Γάιος εἰς ἐμὲ τρέψει τὸ ἀνήκεστον τῆς ὀργῆς, τλήσομαι πάντα κίνδυνον καὶ πᾶσαν ταλαιπωρίαν ὑπομείνασαν τῷ σώματι καὶ τῇ ψυχῇ ὑπὲρ τοῦ μὴ ὑμᾶς τοιούσδε ὄντας ἐπὶ οὕτως ἀγαθαῖς πράξεσι διολλυμένους θεωρεῖν. ἄπιτε οὖν ἐπὶ ἔργα τὰ αὐτῶν ἕκαστοι, καὶ τῇ γῇ ἐπιπονεῖτε. πέμψω δ' αὐτὸς ἐπὶ Ῥώμης, καὶ τὰ πάντα ὑπὲρ ὑμῶν δι' ἐμαυτοῦ καὶ τῶν φίλων οὐκ ἀποτρακήσομαι διακονεῖν."

ταῦτα εἰπὼν καὶ διαλύσας τῶν Ἰουδαίων τὸν σύλ- 6
λογον, προμηθεῖσθαι τῶν εἰς τὴν γεωργίαν ἠξίου τοὺς ἐν τέλει καὶ καθομιλεῖν τὸν λαὸν ἐλπίσι χρησταῖς. καὶ ὃ μὲν εὐθυμεῖν τὸ πλῆθος ἔσπευδεν, ὁ θεὸς δὲ παρουσίαν ἐπεδείκνυε τὴν αὐτοῦ Πετρωνίῳ καὶ τὴν ἐπὶ τοῖς ὅλοις σύλληψιν. ἅμα τε γὰρ ἐπαύετο τοῦ λόγου ὃν πρὸς τοὺς Ἰουδαίους εἶπε, καὶ αὐτίκα ὑετὸν ἠφίει μέγαν, παρ' ἐλπίδα τοῖς ἀνθρώποις γενόμενον διὰ τὸ ἐκείνην τὴν ἡμέραν αἴθριον οὖσαν ἔωθεν οὐδὲν ὄμβριον ἀποσημαίνειν ἐκ τῶν περὶ τὸν οὐρανόν, καὶ τὸ πᾶν ἔτος αὐχμῷ μεγάλῳ κατεσχημένον ἐπ' ἀπογνώσει ποιεῖν τοὺς ἀνθρώπους ὕδατος τοῦ ἄνωθεν, εἰ καὶ σύννεφόν ποτε θεάσαιντο τὸν οὐρανόν· ὥστε δὴ τότε πολλοῦ καὶ παρὰ τὸ εἰωθὸς καὶ παρὰ τὸ ἑτέρως δόξαν ἀφιγμένου ὕδατος, τοῖς τε Ἰουδαίοις ἐλπὶς ἦν οὐδαμῶς ἀτυχήσειν Πετρώνιον ὑπὲρ αὐτῶν δεόμενον. ὁ Πετρώνιος δὲ κατεπέπληκτο μειζόνως, ὁρῶν ἐναργῶς τὸν θεὸν τῶν Ἰουδαίων προμηθούμενον καὶ πολλὴν ἀποσημήναντα τὴν ἐπιφάνειαν, ὡς μηδ' ἂν τοῖς ἔργῳ προθεμένοις τἀναντία φρονεῖν ἰσχὺν ἀντιλέξεως καταλελεῖφθαι. ὡς δὲ καὶ πρὸς τὸν Γάιον σὺν τοῖς λοιποῖς ὁπόσα ἔγραφεν . . . ἀπαγωγὰ δ' ἦν τὰ πάντα καὶ παντοίως παρακαλοῦντα

Digitized by Google

μὴ τοσαύτας μυριάδας ἀνθρώπων ἀπονοεῖν, ἃς εἰ κτείνοι (οὐ γὰρ δίχα γε πολέμου παραχωρήσειν τοῦ νομίμου τῆς θρησκείας), προσόδου τε τῆς ἀπ' αὐτῶν ἀποστερεῖσθαι καὶ τῷ τροπαίῳ τῆς ἀρᾶς ὑποτίθεσθαι τὸν μέλλοντα αἰῶνα. καὶ ἄλλως θείου τοῦ προεστηκότος αὐτῶν τὴν δύναμιν ὡς ἀκραιφνῆ ἀπέφαινε, καὶ μηδὲν ἐνδοίαστον ἐπὶ δυνάμει τῇ αὐτοῦ ἐπιθείκνυσθαι καταλείπουσαν.

7 καὶ Πετρώνιος μὲν ἐν τούτοις ἦν, Ἀγρίππας δὲ ὁ βασιλεύς (ἐτύγχανε γὰρ ἐπὶ Ῥώμης διαιτώμενος) προύκοπτε φιλίᾳ τῇ πρὸς τὸν Γάιον μειζόνως. καί ποτε προθεὶς δεῖπνον αὐτῷ, καὶ πρόνοιαν ἔχων πάντας ὑπερβαλέσθαι τέλεσί τε τοῖς εἰς τὸ δεῖπνον καὶ παρασκευῇ τοῦ εἰς ἡδονὴν φέροντος, ὡς μὴ ὅπως ἄν τινα τῶν λοιπῶν, ἀλλὰ μηδ' αὐτὸν Γάιόν ποτε ἰσωθῆναι θελήσοντα, οὐχ ὅπως ὑπερβαλέσθαι· τοσοῦτον ἀνὴρ τῇ παρασκευῇ πάντας ὑπερῆρε καὶ τῷ τὰ πάντα Καίσαρι ἐκφροντίσας παρασχεῖν. καὶ ὁ Γάιος ἐκθαυμάσας τήν τε διάνοιαν αὐτοῦ καὶ τὴν μεγαλοπρέπειαν, ὡς ἐπ' ἀρεσκείᾳ τῇ αὐτοῦ βιάζοιτο καὶ ὑπὲρ δύναμιν τῶν χρημάτων εὐπορίᾳ χρῆσθαι, βουλόμενός τε μιμήσασθαι τὴν Ἀγρίππα φιλοτιμίαν ἐφ' ἡδονῇ τῇ αὐτοῦ πρασσομένην, ἀνειμένος ὑπὸ οἴνου καὶ τὴν διάνοιαν εἰς τὸ ἱλαρώτερον ἐκτετραμμένος φησὶν ἐν συμποσίῳ, παρακαλοῦντος εἰς πότον Ἀγρίππα, "καὶ πρότερον μέν σοι τιμὴν συνῆδειν ἧ ἐρῶ τὰ πρὸς ἐμέ, καὶ πολλὴν εὔνοιαν μετὰ κινδύνων ἀποδειχθεῖσαν, οἷς ὑπὸ Τιβερίου περιέστης δι' αὐτήν, ἐπιλείπεις τε οὐδὲν καὶ ὑπὲρ δύναμιν ἀρετῇ χρῆσθαι τῇ πρὸς ἡμᾶς. ὅθεν (αἰσχρὸν γὰρ ἡσσᾶσθαί με ὑπὸ τῆς σῆς σπουδῆς) ἀναλαβεῖν βούλομαι τὰ ἐλλελειμμένα πρότερον. ὀλίγον γὰρ πᾶν ὁπόσον σοι δωρεῶν ἐχόμενον ἀπεμοιρασάμην· τὸ δὲ πᾶν, ὅπερ σοι ῥοπὴν ἂν προσθείη

Digitized by Google

τοῦ εὐδαίμονος, δεδιακονήσεταί σοι προθυμία τε καὶ ἰσχύι τῇ ἐμῇ." καὶ ὃ μὲν ταῦτα ἔλεγεν, οἰόμενος γῆν τε πολλὴν αἰτήσεσθαι, ἢ καὶ τινῶν προσόδους πόλεων· ὃ δέ, καίπερ τὰ πάντα ἐφ' οἷς αἰτήσαι παρεσκευασμένος, οὐκ ἐφανέρου τὴν διάνοιαν, ἀλλ' ἐκ τοῦ ὀξέος ἀμείβεται τὸν Γάιον ὅτι οὔτε πρότερον κέρδος τὸ ἀπ' αὐτοῦ παραδοκῶν παρὰ τὰς Τιβερίου ἐντολὰς θεραπεύσειεν αὐτόν, οὔτε νῦν πράσσειν τι τῶν εἰς χάριν τὴν ἐκείνου κερδῶν οἰκείων ἕν τισι λήψεσι· μεγάλα δὲ εἶναι τὰ προδεδωρημένα, καὶ περαιτέρω τῷ θράσει χρωμένου τῶν ἐλπίδων· "καὶ γὰρ εἰ τῆς σῆς ἐλάττονα γέγονε δυνάμεως, τῆς γ' ἐμοῦ τοῦ εἰληφότος διανοίας τε καὶ ἀξιώσεως μείζονα." καὶ ὁ Γάιος ἐκπλαγεὶς τὴν ἀρετὴν αὐτοῦ, πλειόνως ἐνέκειτο εἰπεῖν ὅ τι χαρίζοιτ' ἂν αὐτῷ παρασχόμενος. ὃ δέ "ἐπείπερ, ὦ δέσποτα, προθυμίᾳ τῇ σῇ δωρεῶν με ἄξιον ἀποφαίνεις, αἰτήσομαι τῶν μὲν εἰς ὄλβον φερόντων οὐδὲν διὰ τὸ μεγάλως με ἐνδιαπρέπειν οἷς ἤδη παρέσχες· ὅ τι δ' ἂν σοι δόξαν προσποιῇ τοῦ εὐσεβοῦς, καὶ τὸ θεῖον σύμμαχον ἐφ' οἷς θελήσειας παρακαλῇ, ἐμοὶ πρὸς εὐκλείας γένηται παρὰ τοῖς πυνθανομένοις, ὡς μηδενὸς ὧν χρησαίμην ὑπὸ τῆς σῆς ἐξουσίας ἀτυχεῖν πώποτε γνόντι. ἀξιῶ γάρ σε τοῦ ἀνδριάντος τὴν ἀνάθεσιν, ἣν ποιήσασθαι κελεύεις Πετρώνιον εἰς τὸ Ἰουδαίων ἱερόν, μηκέτι πράσσειν διανοεῖσθαι."

καὶ ὃ μέν, καίπερ ἐπικίνδυνον τοῦτο ἡγούμενος (εἰ γὰρ μὴ πιθανὰ ἔκρινε Γάιος, οὐδὲν ἄλλο ἢ εἰς θάνατον ἔφερεν) διὰ τὸ μεγάλα νομίζειν τε καὶ εἶναι, κύβον ἀναρριπτεῖν τὸν ἐπ' αὐτοῖς ἡγεῖτο. Γάιος δὲ ἅμα τῇ θεραπείᾳ τοῦ Ἀγρίππα ἐνειλημμένος, καὶ ἄλλως ἀπρεπὲς ὑπολαμβάνων ἐπὶ τοσῶνδε μαρτύρων ψευδῆς γενέσθαι περὶ ὧν προθύμως ἐβιάζετο αἰτεῖσθαι τὸν Ἀγρίππαν, μετὰ τοῦ ὀξέος μεταμέλῳ χρώμενος, ἅμα δὲ τοῦ Ἀγρίππα

Digitized by Google

τὴν ἀρετὴν θαυμάσας, ⟨ὅτι⟩ ἐν ὀλίγῳ αὔξειν τὴν οἰκείαν ἀρχὴν ἤτοι προσόδοις χρημάτων ἢ ἄλλῃ δυνάμει τοῦ κοινοῦ τῆς εὐθυμίας ἐπεμελεῖτο, πρεσβεύων τοὺς νόμους καὶ τὸ θεῖον, συγχωρεῖ, καὶ γράφει πρὸς τὸν Πετρώνιον, ἐκεῖνόν τε τῆς ἀθροίσεως τοῦ στρατεύματος ἐπαινῶν καὶ τοῦ πρὸς αὐτὸν περὶ αὐτῶν ἀπεσταλκότος. "νῦν οὖν εἰ μὲν φθάνεις τὸν ἀνδριάντα ἑστακώς, ἑστάτω· εἰ δὲ μήπω πεποίησαι τὴν ἀνάθεσιν, μηδὲν περαιτέρω κακοπαθεῖν, ἀλλὰ τόν τε στρατὸν διάλυε καὶ αὐτὸς ἐφ' ἃ τὸ πρῶτόν σε ἔστειλα ἄπιθι. οὐδὲν γὰρ ἔτι δέομαι τῆς ἀναστάσεως τοῦ ἀνδριάντος, Ἀγρίππα χαριζόμενος, ἀνδρὶ παρ' ἐμοὶ τιμωμένῳ μειζόνως ἢ ὥστε με χρείᾳ τῇ ἐκείνου καὶ οἷς κελεύσειεν ἀντειπεῖν." Γάιος μὲν δὴ ταῦτα γράφει πρὸς τὸν Πετρώνιον, πρότερον ἢ ἐντυχεῖν ταῖς αὐτοῦ ἐπιστολαῖς ἐμφαινούσαις ἐπὶ ἀποστασίᾳ Ἰουδαίους κατὰ τὸν ἀνδριάντα ἐπείγεσθαι· μηδὲν γὰρ ἕτερον ἀποσημαίνειν τὴν διάνοιαν αὐτῶν, ἀλλὰ πόλεμον ἄντικρυς Ῥωμαίοις ἀπειλεῖν. καὶ περιαλγήσας ὡς ἐπὶ πείρᾳ τῆς ἡγεμονίας αὐτοῦ τετολμηκότων, ἀνὴρ ἐπὶ πᾶσιν ἥσσων μὲν τοῦ αἰσχροῦ κρείσσων δὲ τοῦ βελτίστου, καὶ ἐφ' οἷς τισὶ κρίνειεν ὀργῇ χρῆσθαι παρ' ὀντινοῦν ἐπειγόμενος, παίδευσιν αὐτῆς οὐδ' ἡντινοῦν προστιθείς, ἀλλ' ἐφ' ἡδονῇ τιθεὶς τῇ ἐκείνης τὴν κρίσιν τοῦ εὐδαίμονος, γράφει πρὸς τὸν Πετρώνιον, "ἐπειδὴ θᾶρα ὁπόσα σοι οἱ Ἰουδαῖοι παρέσχον ἐν μείζονι λόγῳ τῶν ἐμῶν πεποίησαι ἐντολῶν, διακονεῖσθαι τὰ πάντα ἡδονῇ τῇ ἐκείνων ἀρθεὶς ἐπὶ παραβάσει τῶν ἐμῶν ἐντολῶν, κελεύω σε σαυτῷ κριτὴν γενόμενον λογίσασθαι περὶ τοῦ ποιητέου σοι ὑποστάντι ὀργῇ τῇ ἐμῇ, ἐπεί τοι παράδειγμα ποιοῖμ' ἄν σε τοῖς τε νῦν πᾶσι καὶ ὁπόσοι ὕστερον γένοιντ' ἄν, μηδαμῶς ἀκυροῦν αὐτοκράτορος ἀνδρὸς ἐντολάς."

Digitized by Google

ταύτην μὲν γράφει Πετρωνίῳ τὴν ἐπιστολήν, οὐ 9
μὴν φθάνει γε ζῶντος Πετρώνιος δεξάμενος αὐτήν,
βραδυνθέντος τοῦ πλοῦ τοῖς φέρουσιν εἰς τοσόνδε ὥστε
Πετρωνίῳ γράμματα πρὸ αὐτῆς ἀφικέσθαι δι' ὧν μαν-
θάνει τὴν Γαΐου τελευτήν. θεὸς γὰρ οὐκ ἄρ' ἀμνημο-
νήσειν ἔμελλε Πετρωνίῳ κινδύνων οὓς ἀνειλήφει ἐπὶ
τῇ τῶν Ἰουδαίων χάριτι καὶ τιμῇ τῇ αὐτοῦ, ἀλλὰ τὸν
Γάιον ἀποσκευασάμενος ὀργῇ ὧν ἐπὶ σεβασμῷ τῷ αὐτοῦ
πράσσειν ἐτόλμησε, τὸν μισθὸν χρεωλυτεῖν. συνεργεῖ
τῷ Πετρωνίῳ ἥ τε Ῥώμη καὶ πᾶσα ἡ ἀρχή, μάλιστα δ'
ὁπόσοι τῆς βουλῆς προύχοιεν ἀξιώματι, διὰ τὸ εἰς ἐκεί-
νους ἀκράτῳ τῇ ὀργῇ χρῆσθαι τὸν Γάιον. καὶ τελευτᾷ
μὲν οὐ μετὰ πολὺν χρόνον ἢ γράψαι τῷ Πετρωνίῳ τὴν
ἐπὶ τὸ θανεῖν ἀνακειμένην ἐπιστολήν (τὴν δ' αἰτίαν ἐξ
ἧς τελευτᾷ καὶ τῆς ἐπιβουλῆς τὸν τρόπον ἀφηγήσομαι
προϊόντος τοῦ λόγου), Πετρωνίῳ δὲ προτέρα μὲν παρῆν
ἡ διασαφοῦσα τοῦ Γαΐου τὴν τελευτὴν ἐπιστολή, μετ'
οὐ πολὺ δὲ ἡ κελεύουσα αὐτὸν τελευτᾶν αὐτόχειρα. καὶ
ἥσθη τε τῇ συντυχίᾳ τοῦ ὀλέθρου ὃς τὸν Γάιον κατέ-
λαβε, καὶ τοῦ θεοῦ τὴν πρόνοιαν ἐξεθαύμασεν, οὐδὲν
εἰς ἀναβολὰς ἀλλ' ἐκ τοῦ ὀξέος μισθὸν αὐτῷ τιμῆς τε τῆς
εἰς τὸν ναὸν καὶ βοηθείας τῆς Ἰουδαίων σωτηρίας πα-
ρασχομένου.

καὶ Πετρωνίῳ μὲν οὕτω μὴ αὐτῷ ὀφθεὶς διεφεύχθη 9
ῥᾳδίως ὁ κίνδυνος τοῦ θανεῖν· γίνεται δὲ καὶ περὶ τοὺς
ἐν τῇ Μεσοποταμίᾳ καὶ μάλιστα τὴν Βαβυλωνίαν οἰ-
κοῦντας Ἰουδαίους συμφορὰ δεινὴ καὶ οὐδεμιᾶς ἧς τινὸς
ἐλάσσων, φόνος τε αὐτῶν πολὺς καὶ ὁπόσος οὐχ ἱστορη-
μένος πρότερον. περὶ ὧν δὴ τὰ πάντα ἐπ' ἀκριβὲς διη-
γησάμενος, ἐκθήσομαι καὶ τὰς αἰτίας ἀφ' ὧν αὐτοῖς τὸ
πάθος συνέτυχεν. Νάαρδα τῆς Βαβυλωνίας ἐστὶ πόλις,
ἄλλως τε πολυανδροῦσα καὶ χώραν ἀγαθὴν καὶ πολλὴν

Digitized by Google

ἔχουσα καὶ σὺν ἄλλοις ἀγαθοῖς καὶ ἀνθρώπων ἀνάπλεων· ἔστι δὲ καὶ πολεμίοις οὐκ εὐέμβολος, περιόδῳ τε τοῦ Εὐφράτου πᾶσαν ἐντὸς αὐτὴν ἀπολαμβάνοντος καὶ κατασκευαῖς τειχῶν. ἔστι δὲ καὶ Νίσιβις πόλις κατὰ τὸν αὐτὸν τοῦ ποταμοῦ περίρρουν. ὅθεν Ἰουδαῖοι τῇ φύσει τῶν χωρίων πεπιστευκότες, τό τε δίδραχμον ὃ τῷ θεῷ καταβάλλειν ἑκάστοις πάτριον, ταύτῃ κατετίθεντο καὶ ὁπόσα ἄλλα ἀναθήματα, ἐχρῶντό τε ὥσπερ ταμιείῳ ταῖσδε ταῖς πόλεσιν. ἐντεῦθεν δὲ ἐπὶ Ἱεροσολύμων ἀνεπέμπετο ἧ καιρός, πολλαί τε μυριάδες ἀνθρώπων τὴν κομιδὴν τῶν χρημάτων παρελάμβανον, δεδιότες τὰς Παρθυαίων ἁρπαγάς, ὑποτελούσης ἐκείνοις τῆς Βαβυλωνίας. καὶ ἦσαν γὰρ Ἀσιναῖος καὶ Ἀνιλαῖος, Νααρδᾶται μὲν τὸ γένος, ἀλλήλων δὲ ἀδελφοί· καὶ αὐτούς (πατρὸς δ' ἦσαν ὀρφανοί) ἡ μήτηρ προσέταξεν ἱστῶν μαθήσει ποιήσεως, οὐκ ὄντος ἀπρεποῦς τοῖς ἐπιχωρίοις ὥστε τοὺς ἄνδρας ταλασιουργεῖν παρ' αὐτοῖς. τούτοις ὁ τοῖς ἔργοις ἐφεστὼς (καὶ γὰρ ἐμεμαθήκεσαν παρ' αὐτῷ) βραδυτῆτα ἐπικαλέσας τῆς ἀφίξεως ἐκόλασε πληγαῖς. οἱ δ' ἐφ' ὕβρει τὴν δικαίωσιν λογιζόμενοι, κατασπάσαντες τῶν ὅπλων πολλὰ ὁπόσα ἦν ἐπὶ τῆς οἰκίας φυλασσόμενα, ᾤχοντο εἴς τι χωρίον διάρρηξιν μὲν ποταμῶν ποιούμενον, νομὰς δὲ ἀγαθὰς παρασχεῖν πεφυκὸς καὶ χιλῶν ὁπόσοι εἰς τὸν χειμῶνα ἀποτιθεῖντο. συνήεσάν τε ὡς αὐτοὺς τῶν νέων οἱ ἀπορώτατοι, καὶ τούτους τοῖς ὅπλοις φραγνύντες στρατηγοί τε ἦσαν καὶ τῶν κακῶν ἡγεμόνες οὐκ ἐκωλύοντο εἶναι. προελθόντες γὰρ ἐπὶ τὸ ἄμαχον καὶ κατασκευάσαντες ἀκρόπολιν διέπεμπον πρὸς τοὺς νέμοντας, φόρον αὐτοῖς κελεύοντες καταβάλλειν τῶν βοσκημάτων ἃ ἀρκοῦντα ἐπὶ τροφῇ γίνοιτ' ἄν, προτιθέντες φιλίαν τε πειθομένοις καὶ ἄμυναν τῶν ἀλλαχόθεν ποθὲν πολεμίων, σφαγὰς δὲ τῶν ποιμνίων

Digitized by Google

ἀπειθοῦσιν. οἱ δέ (οὐ γὰρ ἦν ἕτερα παρ' αὐτὰ ποιεῖν) ἠκροῶντο, καὶ τῶν προβάτων ἔστελλον ὁπόσα κελευσθεῖεν. ὥστε δὴ καὶ πλείων αὐτοῖς συνελέγετο ἰσχύς, κύριοί τε ἦσαν ἐφ' οἷς βουλεύσειαν ἐκ τοῦ ὀξέος ἐλαύνοντες κακουργεῖν, θεραπεύειν τε αὐτοὺς ᾕρητο πᾶς προστυγχάνων, καὶ ἦσαν φοβεροὶ καὶ τοῖς πειρασομένοις· ὥστε ἤδη προύκοπτε λόγος περὶ αὐτῶν κἀπὶ τὸν Πάρθων βασιλέως.

ὁ δὲ τῆς Βαβυλωνίας σατράπης μαθὼν ταῦτα, καὶ 2
βουληθεὶς ἐπιφυομένους κωλῦσαι πρίν τι μεῖζον κακὸν ἐξ αὐτῶν ἀναστῆναι, συλλέξας στρατὸν ὅσον ἐδύνατο πλεῖστον καὶ Παρθυαίων καὶ τῶν Βαβυλωνίων ἤλασε πρὸς αὐτούς, φθῆναι θέλων προσβαλὼν [ἐξελεῖν] πρὶν ἐξαγγελτὸς γενέσθαι κατασκευάζων τὸν στρατόν. περικαθίσας δὲ τὸ ἕλος ἡσύχαζεν, καὶ κατὰ τὴν ἐπιοῦσαν (ἦν δὲ σάββατον, ἀργίας παντὸς χρήματος Ἰουδαίοις ἡμέρα) οἰόμενος οὐ τολμήσειν ἀντιστατήσειν αὐτῷ τοὺς πολεμίους, ἀλλ' ἀμαχὶ λαβὼν ἄξειν δεδεμένους, κατὰ βραχὺ προσῄει, χρῄζων αἰφνίδιον ποιεῖσθαι τὴν ἐπίπτωσιν. Ἀσιναῖος δέ (ἐτύγχανε γὰρ σὺν τοῖς ἑταίροις καθεζόμενος, καὶ τὰ ὅπλα παρέκειτο αὐτοῖς) "ἄνδρες", φησί "χρεμετισμός μοι ἵππων προσέπεσεν, οὐ φορβάδων, ἀλλ' οἷος γένοιτο ἀνδρῶν αὐτοῖς ἐπιβεβηκότων, ἐπεὶ καί τινος ἀνακρούσεως αἰσθάνομαι χαλινῶν. δέδια μὴ λελήθασιν ἡμᾶς οἱ πολέμιοι περιστάντες. ἀλλά τις προσίτω κατόπτης, ἀπαγγελίαν ἡμῖν σαφῆ τῶν ἐνεστηκότων ποιησόμενος. εἴη δὲ ἐπὶ ψευδέσι μοι λελέχθαι τὰ εἰρημένα." καὶ ὃ μὲν τάδε εἶπε, καὶ ᾤχοντό τινες προσκοποῦντες τὸ γινόμενον. καὶ ᾗ τάχος παρελθόντες "οὔτε αὐτὸς ψευδής" ἔφασαν "εἰκαστὴς εἶ τῶν πρασσομένων τοῖς πολεμίοις, οὔτε ἐκεῖνοι πλειόνως ἐπιτρέψειν ἤμελλον ἡμῖν ὑβριεῖν. περιειλήμμεθα δόλῳ, μηδὲν βοσκη-

Digitized by Google

μάτων διαφέροντες, τοσῆσδε ἵππου πλῆθος ἐπελαύνουσης ἡμῖν ἐν ἀπορίᾳ χειρῶν κειμένοις διὰ τὸ κατείργεσθαι παραγορεύσει τῶν πατρώων εἰς τὸ ἀργεῖν." Ἀσιναῖος δὲ οὐκ ἄρα γνώμῃ τοῦ κατασκόπου κρινεῖν ἔμελλεν ἐπὶ τοῖς ποιητέοις, ἀλλὰ νομιμώτερον ἡγησάμενος τοῦ ἐπ' ἀπράκτοις τελευτῶν εὐφραίνειν τοὺς πολεμίους τὸ ἀλκῆς δραξάμενος ὑπὲρ τῆς ἀνάγκης, εἰς ἣν ἐνεπεπτώκει παρανομεῖν, τιμωρίαν ἀπολαμβάνων, εἰ δέοι, τελευτᾶν, αὐτός τε ἀναλαμβάνει τὰ ὅπλα καὶ τοῖς σὺν αὐτῷ θάρσος ἐνεποίει τῆς ἐπὶ τὰ ὅμοια ἀρετῆς. ὁμόσε οὖν ἴασι τοῖς πολεμίοις, καὶ πολλοὺς κτείναντες αὐτῶν διὰ τὸ καταφρονοῦντας ὡς ἐπὶ τὰ ἕτοιμα χωρεῖν, εἰς φυγὴν τρέπονται τὸ λοιπόν.

3 ὁ δὲ τῶν Πάρθων βασιλεύς, ἐπεὶ ἀφίκετο αὐτῷ ἡ ἀγγελία τῆς μάχης, ἐκπλαγεὶς τῷ τολμήματι τῷ τῶν ἀδελφῶν ἐπεθύμησεν αὐτοῖς ἐλθεῖν διά τε ὄψεως καὶ λόγων, καὶ πέμπει τὸν πιστότατον τῶν σωματοφυλάκων λέγοντα ὅτι βασιλεὺς Ἀρτάβανος, καίπερ ἠδικημένος ὑφ' ὑμῶν ἐπιχειρήσεως αὐτοῦ τῇ ἀρχῇ γενομένης, ἐν ἐλάσσονι τὴν καθ' αὐτὸν ὀργὴν τῆς ὑμετέρας ἀρετῆς ποιησάμενος ἀπέστειλέ με δεξιάς τε καὶ πίστιν δώσοντα ὑμῖν, συγχωρῶν ἄδειάν τε καὶ ἀσυλίαν ὁδῶν, χρῆζων ἐπὶ φιλίᾳ προσχωρεῖν πρὸς αὐτόν, δόλου τε καὶ ἀπάτης χωρίς· δῶρά τε δώσειν ὑπισχνεῖται καὶ τιμήν, ἥτις ὑμῖν πρὸς τῇ νῦν οὔσῃ ἀρετῇ μελλήσει δυνάμει τῇ ἐκείνου ὠφελεῖν. Ἀσιναῖος δὲ αὐτὸς μὲν ὑπερβάλλεται ὁδοὺς τὰς ἐκεῖ, τὸν ἀδελφὸν δὲ Ἀνιλαῖον ἐκπέμπει μετὰ δώρων ὁπόσα πορίσαι ἦν. καὶ ὃ μὲν ᾤχετο, καὶ εἴσοδος αὐτῷ γίνεται παρὰ βασιλέα· Ἀρτάβανος δὲ ἐπεὶ θεᾶται τὸν Ἀνιλαῖον κατὰ μόνας ἥκοντα, ἤρετο τὴν αἰτίαν τοῦ καὶ τὸν Ἀσιναῖον ἐφυστερηκότος. ἐπεὶ δὲ πυνθάνεται αὐτὸν δείσαντα ἐν τῷ ἕλει ὑπομένειν, ὃ δὲ τούς τε πα-

Digitized by Google

τρόπους θεοὺς ἐπώμνυτο μηδὲν κακὸν δράσειν αὐτοὺς πίστει τῇ αὐτοῦ προσκεχωρηκότας, καὶ τὴν δεξιὰν ἐδίδου, ὅπερ μέγιστον παρὰ πᾶσι τοῖς ἐκείνῃ βαρβάροις παράδειγμα τοῦ θαρσεῖν γίνεται τοῖς ὁμιλοῦσιν· οὐ γὰρ ἂν ψεύσαιτό τις δεξιῶν ὑπ' αὐτοῦ δόσεως γενομένης, οὐδὲ πιστεύειν ἐνδοιάσειεν, εἰ τοιᾶσδε ἀσφαλείας δόσις γένοιτο παρὰ τῶν ἐν ὑποψίᾳ ἀδικήσειν καθεστηκότων. καὶ Ἀρτάβανος μὲν ταῦτα πράξας ἐκπέμπει τὸν Ἀνιλαῖον πείσοντα τὸν ἀδελφὸν ἐπανελθεῖν. ἔπρασσε δὲ ταῦτα ὁ βασιλεὺς χρήζων ἐνστόμισμα τῇ ἀρετῇ τῶν Ἰουδαίων ἀδελφῶν εἰς φιλίαν κτήσασθαι τῶν ἐκείνου σατραπειῶν ἐν ἀποστάσει τε οὐσῶν καὶ διανοίᾳ τοῦ ἀποστησομένου, μέλλων ἐλάσειν ἐπ' αὐτούς. ἐδεδίει γὰρ μὴ καὶ περιεχομένου πολέμῳ τῷ ἐκείνων κατὰ χείρωσιν τῶν ἀφεστηκότων αὐξηθῶσιν ἐπὶ μέγα οἱ περὶ τὸν Ἀσιναῖον καὶ τὴν Βαβυλωνίαν, ἤτοι γε συστήσαντες ἐπ' ἀκροάσει τῇ αὐτῶν, ἢ καὶ τούτου γε ἀτυχοῦντες τοῦ κακῶσαι μειζόνως οὐ διαμάρτοιεν.

ὃ μὲν δὴ ταῦτα διανοηθεὶς ἐκπέμπει τὸν Ἀνιλαῖον, 4
ὁ δὲ Ἀνιλαῖος πιθανὸς ἦν τῷ ἀδελφῷ τήν τε ἄλλην προθυμίαν διηγούμενος τοῦ βασιλέως καὶ ὅρκιον τὸ γεγενημένον· ὥστε δὴ ἠπείγοντο ὡς τὸν Ἀρτάβανον. ὃ δὲ ἡδονῇ αὐτοὺς δέχεται παραγενομένους, ἐθαύμαζέ τε τὸν Ἀσιναῖον τοῦ ἐν ταῖς πράξεσιν εὐψύχου, θεωρῶν παντελῶς ὄντα ὀφθῆναι βραχύν τε καὶ τοῖς τὸ πρῶτον ὄψει συνελθοῦσι δοῦναι καταφρονήματος ἀφορμάς, ὡς οὐδὲν κρίνοιεν αὐτόν, φησί τε πρὸς τοὺς φίλους ὡς μείζονα ἐν τῇ παραθέσει παρέχοιτο τὴν ψυχὴν τοῦ σώματος. παρά τε πότον δεικνὺς τὸν Ἀσιναῖον Ἀβδαγάσῃ τῶν αὐτοῦ στρατοπεδαρχῶν τό τε ὄνομα διασαφεῖ καὶ τὴν πᾶσαν ἀρετὴν ᾗ χρῶτο εἰς πόλεμον. τοῦ δὲ Ἀβδαγάσου κελεύοντος συγχώρημα αὐτῷ γενέσθαι κτείναντα αὐτὸν

Digitized by Google

ἄποινα ἀπολαβεῖν ὑπὲρ ὧν ὕβρισεν εἰς τὴν Παρθυαίων ἀρχήν, "ἀλλ' οὐκ ἄν" εἶπεν ὁ βασιλεύς "συγχώρημα διδοίην ἐπ' ἀνδρὶ πίστει τῇ εἰς ἐμὲ τεθαρρηκότι, καὶ προσέτι δεξιάν τε πέμψας καὶ θεῶν ὅρκοις πιθανὸς γενέσθαι σπουδάσας. εἰ δὲ ἀνὴρ τυγχάνεις τὰ πολέμια ἀγαθός, μηδὲν ἐπιορκίας χρήζων τῆς ἐμῆς Παρθυαίων ἐκδίκει τὴν ἀρχὴν περιυβρισμένην· ἐπαναχωρῆσαι γοῦν ἐπιθέμενος περιγίνου κράτει τῷ περὶ σὲ καὶ μετ' ἀγνοίας τῆς ἐμῆς." ἔωθεν δὲ μετακαλέσας τὸν Ἀσιναῖον "ὥρα σοι" φησίν, "ὦ νεανία, χωρεῖν ἐπὶ τὰ σαυτοῦ, μὴ καὶ πλείοσι τῶν ἐνθάδε στρατηγῶν τὴν ὀργὴν ἐρεθίσειας ἐπιχειρεῖν σου τῇ σφαγῇ καὶ δίχα γνώμης τῆς ἐμῆς. παρακαταθήκην δέ σοι δίδωμι τὴν Βαβυλωνίων γῆν, ἀλῃστευτόν τε καὶ ἀπαθῆ κακῶν ἐσομένην ὑπὸ τῶν σῶν φροντίδων. ἄξιος δ' εἰμὶ τυγχάνειν σοῦ χρηστοῦ ἀνεπίκλητόν σοι παρασχόμενος τὴν ἐμαυτοῦ πίστιν, οὐκ ἐπὶ κούφοις ἀλλ' ἐπὶ τοῖς εἰς σωτηρίαν ἀνακειμένοις." ταῦτα εἰπὼν καὶ δῶρα δοὺς τὸ τηνίκα ἐκπέμπει τὸν Ἀσιναῖον. ὃ δὲ εἰς τὴν οἰκείαν παραγενόμενος φρούρια κατασκευάζει καὶ ὁπόσα πρότερον ἦν ὠχύρου, μέγας τε ἐν ὀλίγῳ ἐγεγόνει καὶ οἷος οὐκ ἄλλος τῶν πρότερον ἐκ τοιαύτης ἀφορμῆς ἅψασθαι πραγμάτων ἐν τόλμῃ γεγονότων. Παρθυαίων τε αὐτὸν ἐθεράπευον οἱ ταύτῃ καταπεμπόμενοι στρατηγοί· μικρὸν γὰρ ἐδόκει καὶ τῆς κατ' αὐτὸν ἧσσον ἀρετῆς ἡ ἐκ Βαβυλωνίων προϊοῦσα τιμή. ἦν δὲ ἐν ἀξιώματι καὶ δυνάμει, πάντα τε ἤδη τὰ ἐπὶ τῆς Μεσοποταμίας πρὸς αὐτὸν ἦρτο πράγματα, προύκοπτέ τε αὐτῷ ἡ εὐδαιμονία ἐπὶ ἔτη πεντεκαίδεκα.

ἀκμαζόντων δὲ αὐτοῖς τῶν ἀγαθῶν, ἀρχὴ αὐτοὺς ἐπικαταλαμβάνει κακῶν ἐκ τοιᾶσδε αἰτίας, ἐπειδὴ τὴν ἀρετήν, ᾗ προύκοψαν ἐπὶ μέγα δυνάμεως, ἐκτρέπουσιν εἰς ὕβριν, ἐπὶ παραβάσει τῶν πατρίων ὑπὸ ἐπιθυμιῶν

Digitized by Google

καὶ ἡδονῆς ἐμπεσόντες. τῶν Πάρθων τινί (στρατηγὸς δὲ ἀφίκετο τῶν ταύτῃ χωρίων), ᾧ δὴ καὶ εἵπετο γαμετὴ τά τε ἄλλα [καὶ] εἰς τὸ ἐπαινεῖσθαι προειληφυῖα πασῶν, καὶ μείζονα ῥοπὴν ἐπ' αὐτῷ λαμβάνουσα θαύματι τοῦ εὐπρεποῦς. ταύτης εἴτε ἀκοὴν τῆς εὐπρεπείας ἐκμαθὼν εἴτε καὶ [ἄλλως] αὐτόπτης γενόμενος Ἀνιλαῖος ὁ τοῦ Ἀσιναίου ἀδελφὸς ἐραστής τ' ἐγεγόνει καὶ πολέμιος, τὸ μὲν ὑπὸ τοῦ μὴ ἄλλως ἐλπίζειν ἐκπράσσεσθαι τὴν σύνοδον τῆς γυναικὸς μὴ τὴν ἐξουσίαν ὡς ἐπ' αὐτῇ κτηθείσῃ παραλαβών, τὸ δὲ ὑπὸ τοῦ δυσαντίλεκτον κρίνειν τὴν ἐπιθυμίαν. ἅμα τε οὖν πολέμιος ἐπ' αὐτοῖς ἀνὴρ ἐκεχειροτόνητο..., καὶ μάχης ἐπάκτου γενομένης πεσόντος ἀνηρημένου ἁλοῦσα ἐγεγάμητο ἐραστῇ. οὐ μὴν δίχα γε μεγάλων δυστυχιῶν Ἀνιλαίῳ τε ἅμα αὐτῷ καὶ Ἀσιναίῳ γυνὴ ἀφίκετο εἰς τὸν οἶκον αὐτῶν, ἀλλὰ σύν τινι μεγάλῳ κακῷ διὰ τοιαύτην αἰτίαν. ἐπεὶ γὰρ τἀνδρὸς τεθνηκότος αἰχμάλωτος ἤγετο, ἀφιδρύματα τῶν θεῶν, ἅπερ τῷ ἀνδρὶ καὶ αὐτῇ πατρῷα ἦν (ἐπιχώριον δὲ τοῖς ἐκείνῃ πᾶσίν ἐστιν ἐπί τε τῆς οἰκίας ἔχειν σεβάσματα καὶ ἰοῦσιν ἐπὶ ξένης συνεπάγεσθαι), περιστέλλουσα, καὶ ταύτῃ τοῦ πατρίου τὸ ἐπ' αὐτοῖς ἔθος συναπήγετο. καὶ τὸ μὲν πρῶτον λεληθότως αὐτῶν θρησκείαν ἐποιεῖτο, γαμετὴ δὲ ἀποδειχθεῖσα ἤδη τρόπῳ τῷ αὐτῆς εἰωθότι καὶ μεθ' οἵων νομίμων ἐπὶ τοῦ προτέρου ἀνδρὸς ἐθεράπευεν αὐτούς. καὶ τῶν ἑταίρων οἱ μάλιστα τιμώμενοι παρ' αὐτοῖς τὸ μὲν πρῶτον ἐπέσκηπτον ὡς οὐδαμῶς πράσσοι Ἑβραϊκά, οὐδὲ ὁπόσα νόμοις τοῖς αὐτῶν πρόσφορα, γυναῖκα ἠγμένος ἀλλόφυλον καὶ παραβαίνουσαν θυσιῶν καὶ σεβασμῶν τῶν αὐτοῖς εἰωθότων τὴν ἀκρίβειαν· ὁρᾶν οὖν μὴ τὰ πολλὰ τῇ ἡδονῇ τοῦ σώματος συγχωρῶν ἀπολέσειε τὴν ἀρχὴν τοῦ εὐπρεποῦς καὶ τὴν εἰς νῦν ὑπὸ τοῦ θεοῦ προελθοῦσαν ἐξουσίαν. ἐπεὶ δὲ οὐδὲν

Digitized by Google

ἐπέραινον, ἀλλὰ καί τινα αὐτῶν τὸν μάλιστα τιμώμενον, ὅτι παρρησίᾳ πλείονι χρήσαιτο, ἀπέκτεινε, καὶ ὃς κτεινόμενος εὐνοίᾳ τῇ τῶν νόμων τοῦ κτείνοντος αὐτὸν τιμωρίαν ἐπηράσατο αὐτῷ τε Ἀνιλαίῳ καὶ Ἀσιναίῳ καὶ πᾶσιν ἑταίροις ὁμοίαν ὑπὸ τῶν ἐχθρῶν ἐπαχθεῖσαν γενέσθαι τελευτήν, τοῖς μὲν ὡς ἡγεμόσι παρανομιῶν γεγονόσι, τοῖς δὲ ὅτι μὴ βοηθοῖεν αὐτῷ τοιάδε πάσχοντι διὰ τὸ ἐκδικεῖν τοῖς νόμοις, οἳ δὲ ἐβαρύνοντο μέν, ἠνείχοντο δέ, μνημονεύοντες οὐκ ἐξ ἄλλης αἰτίας ἀλλ' ἰσχύι τῇ ἐκείνων τῇ εὐδαιμονίᾳ συνελθόντες. ἐπεὶ δὲ καὶ τὴν θεραπείαν ἀκροῶνται τῶν θεῶν τῶν Παρθυαίοις τιμωμένων, οὐκέτι ἀνεκτὸν ἡγούμενοι τοῦ Ἀνιλαίου τὸ ὑβρίζον εἰς τοὺς νόμους, ἐπὶ τὸν Ἀσιναῖον ἐλθόντες καὶ πλέονες ἤδη κατεβόων τοῦ Ἀνιλαίου, φάμενοι καλῶς ἔχειν, εἰ μὴ πρότερον καθ' αὑτὰν ἑώρα τὸ ὠφελοῦν, ἀλλὰ νῦν γοῦν ἐπιστροφὴν ποιεῖσθαι τοῦ γεγονότος πρὶν ἢ τὴν ἁμαρτίαν ἐκείνῳ τε καὶ πᾶσι τοῖς ἄλλοις γενέσθαι εἰς ὄλεθρον ἀνακειμένην, τόν τε γάμον τῆς ἀνθρώπου λέγοντες οὐ μετ' αὐτῶν οὔτε αὐτοῖς εἰωθότων τεθεῖσθαι νόμων, καὶ τὴν θρησκείαν, ἣν ἐπιτηδεύοι ἡ γυνή, ἐπ' ἀτιμώσει τοῦ θεοῦ τοῦ αὐτοῖς σεβασμίου πράσσεσθαι. ὃ δὲ καὶ αὐτὸς ᾔδει μὲν τὴν ἁμαρτάδα τοῦ ἀδελφοῦ μεγάλων αἰτίαν οὖσαν κακῶν καὶ ἐσομένην, οὐ μὴν ἀλλὰ καὶ ἠνείχετό γε εὐνοίᾳ τοῦ συγγενοῦς νικώμενος, καὶ συγγνώμην νέμων ὡς ὑπὸ κρείττονος κακοῦ τῆς ἐπιθυμίας νικωμένῳ. ἐπεὶ δὲ πλείους τε ὁσημέραι συνανεστρέφοντο καὶ πλείους ἦσαν αἱ καταβοαί, τηνικαῦτα δή φησι περὶ αὐτῶν πρὸς Ἀνιλαῖον, τοῖς τε πρῶτον γεγονόσιν ἐπιτιμῶν καὶ παύσασθαι τὸ λοιπὸν κελεύων, τὴν ἄνθρωπον ἀποπεμψάμενον εἰς τοὺς συγγενεῖς. ἐπράσσετο δὲ οὐδὲν ἐκ τῶν λόγων. καὶ ἡ γυνὴ δὲ αἰσθανομένη μὲν τοῦ θροῦ τοῦ κατέχοντος τοὺς λαοὺς

Digitized by Google

δι' αὐτήν, δεδοικυῖα δὲ περὶ τοῦ Ἀνιλαίου μὴ καί τι πάθοι ἔρωτι τῷ πρὸς αὐτήν, φάρμακον τῷ Ἀσιναίῳ δοῦσα ἐν τοῖς σιτίοις μεθιστᾷ τὸν ἄνθρωπον, ἀδεής τε ἦν ἐπὶ κριτῇ τῶν περὶ αὐτὴν πραχθησομένων τῷ ἐραστῇ γενομένῳ.

Ἀνιλαῖος δὲ κατὰ μόνας ἤδη τὴν ἡγεμονίαν παραλαβὼν ἐξάγει στρατιὰν ἐπὶ τὰς Μιθριδάτου κώμας, ἀνδρὸς πρώτου ἐν τῇ Παρθυηνῇ καὶ βασιλέως Ἀρταβάνου τὴν θυγατέρα γεγαμηκότος, διὰ λείας τε ἦγεν αὐτάς. καὶ πολλὰ μὲν χρήματα καὶ ἀνδράποδα εὑρίσκεται, πολλὰ δὲ πρόβατα, ἄλλα τε πολλὰ ὁπόσα ἐπὶ προσλήψει τοῦ εὐδαίμονος ὠφελεῖ τοῖς ἔχουσι. Μιθριδάτης δέ (ἐτύγχανε γὰρ τῇδε ὤν) ἐπεὶ ἀκούει τῶν κωμῶν τὴν ἅλωσιν, ἐν δεινῷ φέρων ὅτι μὴ προάρξαντος ἀδικεῖν Ἀνιλαῖος ἄρξαιτο, καὶ παρόντος τοῦ ἀξιώματος ὑπεριδών, ἱππέας συναγαγὼν πλείστους ὅσους ἐδύνατο, καὶ τῶν πλείστων τοὺς ἐν ἡλικίᾳ, παρῆν ὡς προσμίξων τοῖς περὶ τὸν Ἀνιλαῖον. καὶ ἔν τινι κώμῃ τῶν αὐτοῦ κατασχὼν ἡσύχαζεν ὡς τῇ ἐπιούσῃ μαχησόμενος διὰ τὸ εἶναι σάββατον, ἡμέραν τοῖς Ἰουδαίοις ἐν ἀργίᾳ διαγομένην. Ἀνιλαῖος δὲ ταῦτα πυθόμενος παρ' ἀνδρὸς Σύρου ἀλλοφύλου ἐξ ἑτέρας κώμης, τά τε ἄλλα φράζοντος ἀκριβῶς καὶ τὸ χωρίον ἔνθα Μιθριδάτης ἤμελλε δαίνυσθαι, δειπνοποιησάμενος καθ' ὥραν ἤλαυνε νυκτὸς ἀμαθέσι τῶν ποιουμένων χρῆζων τοῖς Παρθυαίοις ἐπιπεσεῖν. καὶ περὶ φυλακὴν τετάρτην ἐπιπεσὼν τοὺς μὲν ἔτι κοιμωμένους ἀναιρεῖ, τοὺς δὲ εἰς φυγὴν τρέπει. Μιθριδάτην δὲ ζωγρίᾳ λαβὼν ἦγεν ὡς αὐτὸν ἐπὶ ὄνον γυμνὸν ἀναθέμενος, ἥπερ ἀτιμιῶν μεγίστη νομίζεται παρὰ Παρθυαίοις. καταγαγὼν δὲ εἰς τὴν ὕλην μετὰ τοιοῦδε ὁρίσματος, καὶ κελευόντων τῶν φίλων ἀναιρεῖν τὸν Μιθριδάτην, ἀνεδίδασκεν αὐτοὺς

Digitized by Google

σπεύδων αὐτὸς ἐναντία· μὴ γὰρ καλῶς ἔχειν ἀναιρεῖν ἄνδρα γένους τε ὄντα τοῦ πρώτου παρὰ Παρθυαίοις καὶ ἐπιγαμίᾳ τῇ πρὸς τὸν βασιλέα μειζόνως τιμώμενον. νῦν μὲν γὰρ ἀνεκτὰ εἶναι τὰ πεπραγμένα· καὶ γὰρ εἰ περιύβριται Μιθριδάτης, ἀλλ' οὖν σωτηρίᾳ τῆς ψυχῆς εὐεργετούμενον χάριτος μεμνήσεσθαι τοῖς τὰ τοιάδε πρασχοῦσι· παθόντος δέ τι ἀνήκεστον, οὐκ ἀτρεμήσειν βασιλέα μὴ οὐ μεγάλην σφαγὴν Ἰουδαίων τῶν ἐν Βαβυλῶνι ποιησάμενον, ὧν φείδεσθαι καλῶς ἔχειν διά τε τὴν συγγένειαν καὶ διὰ τὸ μὴ ἀποστροφὴν εἶναι ἂν αὐτοῖς πταίσματός τινος γενομένου, τῇ κατ' ἐκείνους ἀκμῇ πληθύι χρώμενον. καὶ ὃ μὲν ταῦτα διανοηθεὶς καὶ φράσας ἐν τῷ συλλόγῳ πιθανὸς ἦν, ἀφίεταί τε Μιθριδάτης· ἐλθόντα δὲ αὐτὸν ὠνείδιζεν ἡ γυνή, εἰ μὴ προθυμήσεται βασιλέως τε γαμβρὸς ὢν καὶ ταύτῃ τιμωρῶν τιμωρήσεσθαι τοὺς ὑβρίσαντας εἰς αὐτὸν περιορώμενος, ἀγαπῶν δὲ τὴν σωτηρίαν μετ' αἰχμαλωσίαν ὑπὸ Ἰουδαίου ἀνδρὸς γενομένην. "καὶ νῦν ἐπανάδραμε τὴν ἀρετήν, ἢ θεοὺς ἐπόμνυμι τοὺς βασιλείους ἢ μὴν παραλυθήσεσθαι τῆς πρὸς σὲ ἐπὶ γάμῳ κοινωνίας." ὃ δὲ αὖ, τοῦτο μὲν τῶν ὀνειδῶν τὴν καθ' ἡμέραν ἀχθηδόνα μὴ φέρων, τοῦτο δὲ τῆς γυναικὸς τὴν μεγαλοφροσύνην δεδιὼς μὴ παραλύοιτο αὐτοῦ τῶν γάμων, ἄκων μὲν καὶ μὴ βουλόμενος, συνάγει δ' οὖν στρατὸν ὅσον ἠδύνατο πλεῖστον, καὶ ἐλαύνει, οὐκ ἀνασχετὸν ὑπολαμβάνων ἔτι καὶ αὐτὸς τὴν σωτηρίαν, εἰ Παρθυαῖος ὢν ὑπὸ Ἰουδαίου περιωθοῖτο ἀντιπολεμοῦντος.

7 Ἀνιλαῖος δὲ ὡς μανθάνει προσελαύνοντα δυνάμει πολλῇ τὸν Μιθριδάτην, ἄδοξον ἡγησάμενος τὸ μένειν ἐν τοῖς ἕλεσιν ἀλλὰ μὴ φθάσας ὑπαντιάξειν τοὺς πολεμίους, εὐτυχίᾳ τε τῇ πρότερον ἐλπίζων ὅμοια πράξειν τοὺς πολεμίους καὶ τὴν [τε] τόλμησιν [καὶ] εἰωθόσι θαρ-

Digitized by Google

ρεῖν παρατυγχάνειν, ἐξῆγε τὴν δύναμιν. πολλοί τε πρὸς τῷ οἰκείῳ στρατῷ προσεγεγόνεσαν αὐτῷ καθ' ἁρπαγὴν τῶν ἀλλοτρίων τραπησόμενοι καὶ ὕψει πάλιν προεκπλήξοντες τοὺς πολεμίους. προϊοῦσι δὲ αὐτοῖς εἰς σταδίους ἐνενήκοντα, διὰ τῆς ἀνύδρου τῆς πορείας γενομένης καὶ μεσημβρίας οὔσης, τά τε ἄλλα περιῆν τό τε δίψος, καὶ Μιθριδάτης ἐπιφανεὶς προσέβαλε τεταλαιπωρημένοις ἀπορίᾳ τοῦ πιεῖν καὶ δι' αὐτὸ καὶ τὴν ὥραν φέρειν τὰ ὅπλα μὴ δυναμένοις. τροπή τε οὖν γίνεται τῶν περὶ τὸν Ἀνιλαῖον αἰσχρὰ διὰ τὸ ἀπηγορευκόπας ἀκραιφνέσι προσφέρεσθαι, καὶ φόνος πολύς, πολλαί τε μυριάδες ἔπεσον ἀνδρῶν. Ἀνιλαῖος δὲ καὶ ὅσον περὶ αὐτὸν ἦν συνεστηκὸς ἐπὶ τῆς ὕλης ἐπανεχώρουν φυγῇ μεγάλῃ, νίκης τῆς ἐπ' αὐτοῖς χαρὰν Μιθριδάτῃ παρεσχηκότες. Ἀνιλαίῳ δὲ προσῆει πλῆθος ἄπειρον ἀνδρῶν πονηρῶν, ἐν ὀλίγῳ τὴν σωτηρίαν ποιουμένων ῥᾳστώνης χάριτι τῆς εἰς τὸ παρόν, ὥστε ἀντανίσωμα τὴν τούτων πρόσοδον γενέσθαι πλήθους τῶν ἀπολωλότων· οὐ μὴν ὅμοιοί γε ἦσαν τοῖς πεπτωκόσι διὰ τὸ ἀμελέτητον. οὐ μὴν ἀλλὰ καὶ τούτοις ἐπιφοιτᾷ ταῖς κώμαις τῶν Βαβυλωνίων, ἀνάστατά τε ἦν πάντα ταῦτα ὑπὸ τῆς Ἀνιλαίου ὕβρεως. καὶ Βαβυλώνιοι καὶ οἱ ὄντες ἐν τῷ πολέμῳ πέμπουσιν εἰς τὰ Νάαρδα πρὸς τοὺς ἐν αὐτῇ Ἰουδαίους, Ἀνιλαῖον ἐξαιτούμενοι. καὶ μὴ δεξαμένοις τοῦτον τὸν λόγον (οὐδὲ γὰρ βουλομένοις ἐκδοτον παρασχεῖν δυνατὸν ἦν) τὴν εἰρήνην προυκαλοῦντο· οἳ δὲ καὶτοὶ χρῄζειν ἔλεγον τῶν ἐπὶ τῆς εἰρήνης συμβάσεων, καὶ πέμπουσι μετὰ τῶν Βαβυλωνίων ἄνδρας οἳ διαλέξοιντο πρὸς τὸν Ἀνιλαῖον. οἱ δὲ Βαβυλώνιοι, κατοπτείας αὐτοῖς γενομένης μαθόντες τὸ χωρίον ἐν ᾧ ἱδρυμένος Ἀνιλαῖος ἦν, ἐπιπεσόντες κρύφα νυκτὸς μεθύουσι καὶ καθ' ὕπνον τρεπομένοις, κτεί-

Digitized by Google

νοῦσιν ἀδεῶς πάντας ὅσους ἐγκατέλαβον, καὶ Ἀνιλαῖον αὐτὸν ἀπέκτειναν.

8 οἱ δὲ Βαβυλώνιοι ἀπαλλαγέντες τῆς Ἀνιλαίου βαρύτητος (ἐπιστόμισμα γὰρ ἦν αὐτῶν μίσει τῷ πρὸς Ἰουδαίους· ἀεὶ γὰρ ὡς ἐπὶ πολὺ διάφοροι καθεστήκεσαν αἰτίᾳ τῆς ἐναντιώσεως τῶν νόμων, καὶ ὁποτέροις παραγένοιτο θαρρεῖν πρότερον ἀλλήλων ἥπτοντο), καὶ τότε οὖν ἀπολωλότων τῶν περὶ τὸν Ἀνιλαῖον ἐπετίθεντο τοῖς Ἰουδαίοις. οἱ δὲ ἐν δεινῷ τιθέμενοι τὴν ὕβριν τὴν ἐκ τῶν Βαβυλωνίων, καὶ μήτε ἀντιτάξασθαι μάχῃ δυνάμενοι μήτε ἀνεκτὸν ἡγούμενοί τὴν συνοικίαν, ᾤχοντο εἰς Σελεύκειαν, τῶν ἐκείνῃ πόλιν ἀξιολογωτάτην, Σελεύκου κτίσαντος αὐτὴν τοῦ Νικάτορος· οἰκοῦσι δὲ αὐτὴν πολλοὶ τῶν Μακεδόνων, πλεῖστοι δὲ Ἕλληνες, ἔστι δὲ καὶ Σύρων οὐκ ὀλίγον τὸ ἐμπολιτευόμενον. εἰς μὲν δὴ ταύτην καταφεύγουσιν οἱ Ἰουδαῖοι, καὶ ἐπὶ μὲν πέντε ἔτη ἀπαθεῖς κακῶν ἦσαν, τῷ δὲ ἕκτῳ ἔτει μετὰ τὸ πρῶτον φθορὰ ἐν Βαβυλῶνι ἐγένετο αὐτῶν [καὶ κεναὶ κτίσεις τῆς πόλεως] καὶ δι' αὐτὴν ἄφιξις εἰς τὴν Σελεύκειαν. ἐκδέχεται δὲ μεῖζων αὐτοὺς συμφορὰ δι' αἰτίαν ἣν ἀφηγήσομαι.

9 Σελευκέων τοῖς Ἕλλησι πρὸς τοὺς Σύρους ὡς ἐπὶ πολὺ ἐν στάσει καὶ διχονοίᾳ ἐστὶν ὁ βίος, καὶ κρατοῦσιν οἱ Ἕλληνες. τότε οὖν συνοίκων αὐτοῖς Ἰουδαίων γενομένων ἐστασίαζον, καὶ οἱ Σύροι καθυπέρτεροι ἦσαν ὁμολογίᾳ τῇ Ἰουδαίων πρὸς αὐτούς, φιλοκινδύνων τε ἀνδρῶν καὶ πολεμεῖν προθύμως ἐντεταγμένων. καὶ οἱ Ἕλληνες περιωθούμενοι τῇ στάσει καὶ μίαν ὁρῶντες αὐτοῖς ἀφορμὴν τοῦ ἀνασώσασθαι τὸ πρότερον ἀξίωμα, εἰ δυνηθεῖεν παῦσαι ταὐτὸν λέγοντας Ἰουδαίους καὶ Σύρους, διελέγοντο ἕκαστοι πρὸς τῶν Σύρων τοὺς αὐτῶν συνήθεις πρὸ τοῦ γεγονότας, εἰρήνην τε καὶ φιλίαν

Digitized by Google

ὑπισχνούμενοι. οἳ δὲ ἐπείθοντο ἄσμενοι. ἐγίνοντο οὖν ἀφ' ἑκατέρων λόγοι, καὶ τῶν πρώτων παρ' ἑκατέροις ἀνδρῶν πρασσόντων ἐπὶ διαλλαγὰς τάχιστα ἡ σύμβασις ἐγένετο. ὁμονοήσαντές τε μέγα τεκμήριον ἑκάτεροι εὐνοίας ἀλλήλοις ἠξίουν παρασχεῖν τὸ πρὸς Ἰουδαίους ἔθνος, ἐπιπεσόντες τε αἰφνίδιον αὐτοῖς κτείνουσι μυριάδας ὑπὲρ πέντε ἀνδρῶν. ἀπώλοντό τε πάντες πλὴν εἴ τινες ἐλέῳ φίλων ἢ γειτόνων ἐπιχωρηθὲν αὐτοῖς ἔφυγον. τούτοις δὲ ἦν εἰς Κτησιφῶντα ἀποχώρησις, πόλιν Ἑλληνίδα καὶ τῇ Σελευκείᾳ πλησίον κειμένην, ἔνθα χειμάζει τε ὁ βασιλεὺς κατὰ πᾶν ἔτος καὶ ἡ πλείστη τῆς ἀποσκευῆς αὐτοῦ τῇδε ἀποκειμένη τυγχάνει. ἀσύνθετα δὲ ἦν αὐτοῖς τὴν ἵδρυσιν πεποιημένοις, τιμῆς τοῦ βασιλέως Σελευκέων μὴ πεφροντικότων. ἐφοβήθη δὲ καὶ πᾶν τὸ τῇδε Ἰουδαίων ἔθνος τούς τε Βαβυλωνίους καὶ τοὺς Σελευκεῖς, ἐπειδὴ καὶ ὁπόσον ἦν Σύρων ἐμπολιτεῦον τοῖς τόποις ταὐτὸν ἔλεγον τοῖς Σελευκεῦσιν ἐπὶ πολέμῳ τῷ πρὸς τοὺς Ἰουδαίους. καὶ συνελέγησαν ὡς τὸ πολὺ εἴς τε τὰ Νάαρδα καὶ τὴν Νίσιβιν, ὀχυρότητι τῶν πόλεων κτώμενοι τὴν ἀσφάλειαν, καὶ ἄλλως πληθὺς ἅπασα μαχίμων ἀνδρῶν κατοικεῖται. καὶ τὰ μὲν κατὰ Ἰουδαίους τοὺς ἐν Βαβυλωνίᾳ τοιαῦτα ἦν.

ΒΙΒΛΟΣ ΕΝΝΕΑΚΑΙΔΕΚΑΤΗ.

Γάιος δὲ οὐκ εἰς μόνους Ἰουδαίους τοὺς ἐν Ἱεροσολύμοις καὶ τοὺς ὁπόσοι τῇδε οἰκοῦσιν ἐπεδείκνυτο τῆς ὕβρεως τὴν μανίαν, ἀλλὰ διὰ πάσης ἐσομένην γῆς καὶ θαλάσσης ἔστελλεν αὐτήν, ὁπόση Ῥωμαίοις ὑπακούει, μυρίων τε ἀνέπλησεν αὐτὴν κακῶν, ὁπόσα μὴ ἱστόρητο 1

Digitized by Google

πρότερον. μάλιστα δὲ ἠσθάνετο τοῦ δεινοῦ τῶν πρασσομένων ἡ Ῥώμη, κατ' οὐδὲν αὐτὴν τιμιωτέραν τῶν λοιπῶν πόλεων ἡγουμένου, ἀλλὰ τούς τε ἄλλους ἄγοντος καὶ φέροντος καὶ μάλιστα τὴν σύγκλητον καὶ ὁπόσοι τούτων εὐπατρίδαι καὶ προγόνων ἐπιφανείαις τιμώμενοι. μυρία τε εὑρίσκετο καὶ κατὰ τῶν ἱππέων μὲν καλουμένων, ἀξιώματι δὲ καὶ δυνάμει χρημάτων ὅμοια τοῖς συγκλητικοῖς ὑπὸ τῆς πόλεως ἀγομένων διὰ τὸ ἐκ τούτων εἰς τὴν βουλὴν εἶναι κατακλήσεις, ὧν ἀτίμωσις ἦν καὶ μετανάστασις, κτεινομένων τε καὶ τὰ χρήματα συλουμένων διὰ τὸ καὶ τὰς σφαγὰς ὡς τὸ πολὺ ἐπ' ἀφαιρέσει τῶν χρημάτων αὐτοῖς συντυγχάνειν. ἐξεθείαζε δὲ ἑαυτόν, καὶ τὰς τιμὰς οὐκέτι ἀνθρωπίνως ἠξίου γίνεσθαι παρὰ τῶν ὑπηκόων αὐτῷ. εἰς τε τοῦ Διὸς φοιτῶν τὸ ἱερόν, ὃ Καπετώλιον μὲν καλοῦσι, τιμιώτατον δ' ἄρ' αὐτοῖς ἐστὶν ἱερῶν, ἀδελφὸν ἑτόλμησε προσαγορεύειν τὸν Δία. καὶ τἆλλα ἔπρασσε μανίας οὐδὲν ἀπολελειμμένος, ἐπεὶ καὶ ἀπὸ Δικαιαρχείας τῆς πόλεως ἐν Καμπανίᾳ κειμένης εἰς Μισηνούς, ἑτέραν πόλιν ἐπιθαλάσσιον, τὴν διάβασιν δεινὸν ἡγούμενος τριήρει περατοῦν, καὶ ἄλλως ἐπιβάλλειν ἡγούμενος αὐτῷ δεσπότῃ ὄντι τῆς θαλάσσης ταὐτὰ καὶ ὁποῖα καὶ παρὰ γῆς ἀπαιτεῖν, ἀπ' ἄκρων ἐπ' ἄκρα σταδίους τριάκοντα μέτρον τῆς θαλάσσης ζεύξας, καὶ εἴσω τὸν κόλπον ἀπολαβὼν πάντα, ἤλαυνεν ἐπὶ τῇ γεφύρᾳ τὸ ἅρμα· θεῷ γὰρ ὄντι τοιαύτας ποιεῖσθαι καλῶς ἔχειν τὰς ὁδούς. τῶν τε ἱερῶν τῶν Ἑλληνικῶν οὐδὲν ἔτι ἀσύλητον κατέλειπεν, ὁπόσα γραφῆς ἢ γλυφῆς ἐχόμενα καὶ τὰς λοιπὰς κατασκευὰς ἀνδριάντων καὶ ἀναθημάτων ἄγεσθαι κελεύσας παρ' αὐτόν· οὐ γὰρ ἐν ἑτέρῳ τὰ καλὰ κεῖσθαι καλῶς ἔχειν ἢ ἐν τῷ καλλίστῳ, τυγχάνειν δὲ τοῦτο οὖσαν τὴν Ῥωμαίων πόλιν. ἐκόσμει τε τοῖς ἐνθένδε ἀγομένοις τήν

Digitized by Google

τε οἰκίαν καὶ τοὺς κήπους, ὁπόσαι τε αὐτῷ καταγωγαὶ διὰ γῆς τῆς Ἰταλῶν· ἐπεὶ καὶ τὸν Ὀλυμπίασι τιμώμενον Δία ὑπὸ τῶν Ἑλλήνων καὶ οὕτως ὠνομασμένον Ὀλύμπιον, Φειδίου τοῦ Ἀθηναίου πεποιηκότος, ἐτόλμησε κελεῦσαι εἰς τὴν Ῥώμην μεταφέρειν· οὐ μὴν ἐπραξέ γε, τῶν ἀρχιτεκτόνων φαμένων πρὸς Μέμμιον Ῥήγουλον, ὃς ἐπετέτακτο τῇ κινήσει τοῦ Διός, ἀπολεῖσθαι τοὔργον κινήσεως αὐτοῦ γεγενημένης. λέγεται δὲ τὸν Μέμμιον διὰ ταῦτα, καὶ σημείων μειζόνων γεγενημένων ἢ ὡς ἄν τινα πιστὰ ἡγεῖσθαι, ὑπερβαλέσθαι τὴν ἀναίρεσιν. καὶ γράφει τάδε πρὸς τὸν Γάιον ἐπ' ἀπολογίᾳ τοῦ ἐκλιπεῖν ἀδιακόνητον τὴν ἐντολήν. ἀπολέσθαι τε ἐκ τούτων αὐτῷ κινδύνου γενομένου, σώζεται φθάσαντος ἤδη Γαΐου τελευτῆσαι.

εἰς τοῦτο δὲ προύβη τὸ μανικὸν αὐτῷ ὥστε δὴ καὶ 2
θυγατρὸς αὐτῷ γενομένης, ἀνακομίσας ἐπὶ τὸ Καπετώλιον ἐπὶ τοῖς γόνασι κατατίθεται τοῦ ἀγάλματος, κοινὸν αὐτῷ τε καὶ τῷ Διὶ γεγονέναι τὸ τέκνον φάσκων, καὶ δύο χειροτονεῖν αὐτῆς πατέρας, ὁπότερον μείζονα φάμενος ἐν μέσῳ καταλιμπάνειν. καὶ τάδε ἠνείχοντο πράσσοντα αὐτὸν οἱ ἄνθρωποι. ἐπέτρεψε δὲ καὶ τοῖς οἰκέταις κατηγορίας ποιεῖσθαι τῶν δεσποτῶν ἐφ' οἷς τισὶν ἐθελήσειαν ἐγκλήμασι. δεινὰ γὰρ πάντα ἦν ὁπόσα μέλλοι λέγεσθαι, διὰ τὸ χάριτί τε καὶ ὑπαγορεύσει τῇ ἐκείνου τὰ πολλὰ γίνεσθαι· ὥστε ἤδη καὶ Κλαυδίου ἐτόλμα ποιήσασθαι Πολυδεύκης ὁ δοῦλος κατηγορίαν, καὶ Γάιος ἠνείχετο κατὰ πατρωοῦ τοῦ αὐτοῦ δίκης θανάτου λεγομένης ἐπ' ἀκροάσει συνελθεῖν, ἐλπίδι τοῦ παραλαβεῖν δύναμιν ἀνελεῖν αὐτόν. οὐ μὴν ἐξεγένετό γε αὐτῷ. ἀναπεπληκότος δὲ αὐτοῦ συκοφαντιῶν καὶ κακῶν πᾶσαν τὴν οἰκουμένην ἧς ἐπῆρχε, καὶ πολλὴν τὴν βουλοκρατίαν ἐκπεμφθέντος τοῖς δεσπόταις, ἐπιβου-

Digitized by Google

λαὶ τὰ πολλὰ ἤδη συνίσταντο, τῶν μὲν ἐπ' ἀμύνῃ ὧν πάθοιεν ὀργὴν ποιουμένων, τῶν δὲ πρὶν ἐμπεσόντες κακῶν τυχεῖν μεγάλων τιθεμένων τὸ μεταχειρίσασθαι τὸν ἄνθρωπον. ὅθεν ἐπίτηδες τοῖς τε ἁπάντων νόμοις καὶ τῷ ἀσφαλεῖ μεγάλην συνήνεγκεν εὐδαιμονίας ῥοπὴν ὁ θάνατος αὐτοῦ, ἔθνει τε τῷ ἡμετέρῳ οὐδὲ εἰς ὀλίγον ἐξεγεγόνει μὴ οὐκ ἀπολωλέναι, μὴ ταχείας αὐτῷ τελευτῆς παραγενομένης. βούλομαι δὲ δι' ἀκριβείας τὸν πάντα περὶ αὐτοῦ λόγον διελθεῖν, ἄλλως τε καὶ ἐπειδὴ πολλὴν ἔχει πίστιν τοῦ θεοῦ τῆς δυνάμεως καὶ παραμυθίαν τοῖς ἐν τύχαις κειμένοις καὶ σωφρονισμὸν τοῖς οἰομένοις ἀίδιον τὴν εὐτυχίαν, ἀλλὰ μὴ ἐπὶ μήκιστον φέρειν κακὸν ἀρετῆς αὐτῇ μὴ παραγενομένης.

3 ὁδοὺς μὲν τρεῖς ὁ θάνατος αὐτοῦ παρεσκευάζετο, καὶ τούτων ἑκάστης ἄνδρες ἀγαθοὶ τὴν ἡγεμονίαν εἶχον. Αἰμίλιος μὲν Ῥήγουλος, ἐκ Κορδύβης τῆς ἐν Ἰβηρίᾳ τὸ γένος, συνεῖχέ τινας, ἢ δι' ἐκείνων ἢ δι' αὐτοῦ πρόθυμος ὢν ἅρασθαι Γάιον· ἑτέρα δὲ αὐτοῖς συνεκροτεῖτο, ἧς Χαιρέας Κάσσιος χιλίαρχος ἡγεμὼν ἦν· Μινουκιανὸς δὲ Ἄννιος οὐκ ὀλίγη μοῖρα τῶν ἐπὶ τὴν τυραννίδα παρεσκευασμένων ἦν. αἰτία δὲ αὐτοῖς μίσους τοῦ πρὸς Γάιον συνελθεῖν Ῥηγούλῳ μὲν τὸ ἐπὶ πᾶσιν ὀργίλον καὶ μίσει χρώμενον πρὸς τὰ μετ' ἀδικίας ἐξαγόμενα (καὶ γὰρ εἶχέ τι θυμοειδὲς ἐν τῇ διανοίᾳ καὶ ἐλευθέριον, ὑφ' οὗ μηδὲ στέγειν προστίθεσθαι τῶν βουλευμάτων· πολλοῖς γοῦν ἀνεκοινώσατο καὶ φίλοις καὶ ἄλλοις δοκοῦσιν αὐτῷ θραστηρίοις)· Μινουκιανὸς δὲ τὰ μὲν Λεπίδου τε ἐκδικίᾳ (φίλον γὰρ αὐτῷ τὰ μάλιστα ὄντα τοῦτον καὶ τῶν πολιτῶν σὺν ὀλίγοις ἀναιρεῖ Γάιος), καὶ ἄλλως φοβηθεὶς τὰ περὶ αὐτὸν διὰ τὸ πᾶσιν ὁμοίως τὸν Γάιον ἐπὶ θάνατον ἀνακειμένην ἐπαφιέναι τὴν ὀργήν, ἐπὶ τὴν ἐγχείρησιν ἦλθεν, Χαιρέας

Digitized by Google

δὲ αἰσχύνῃ φέρων τὰ ὀνείδη τὰ εἰς τὴν ἀνανδρίαν ὑπὸ τοῦ Γαΐου προσφερόμενα καὶ ἄλλως τὸ ἐφ' ἡμέρᾳ κινδυνεύειν φιλίᾳ καὶ θεραπείᾳ, τὴν Γαΐου τελευτὴν οὐκ ἀνελεύθερον ὑπολαμβάνων. οἵ δὲ καὶ πᾶσι κοινῇ προτεθῆναι τὴν ἐπὶ τῷ πράγματι σκέψιν, τήν τε ὕβριν θεωμένοις καὶ ἐπιθυμοῦσιν αὐτὴν ἐπ' ἀλλήλων ἀκμάζουσαν διαφυγεῖν ἀραμένοις τὸν Γάιον· ἴσως μὲν γὰρ ἂν κατορθῶσαι, καλὸν δὲ κατορθοῦσι τηλικούτων ἀγαθῶν σχεῖν, οἵ ἐπὶ σωτηρίᾳ τῆς τε πόλεως καὶ τῆς ἡγεμονίας ποθοῦσι καὶ μετὰ ὀλέθρου ἅπτεσθαι τοῦ πράγματος. παρὰ πάντα δὲ Χαιρέαν ἐπείγεσθαι, ὀνόματός τε ἐπιθυμίᾳ μείζονος, καὶ ἄλλως ὑπὸ τοῦ ἀδεέστερον προσιέναι τῷ Γαΐῳ διὰ τὴν χιλιαρχίαν ῥᾳστώνης αὐτῷ πτείνειν ἐσομένης.

ἐν τούτῳ δὲ ἱπποδρομίαι ἦσαν· καὶ σπουδάζεται 4
γὰρ Ῥωμαίοις ἥδε ἡ θεωρία δεινῶς. συνίασι δὲ προθύμως εἰς τὸν ἱππόδρομον, καὶ ἐφ' οἷς χρήζοιεν δέονται τῶν αὐτοκρατόρων κατὰ πλῆθος συνελθόντες· οἵ δὲ ἀναντιλέκτους τὰς δεήσεις κρίνοντες οὐδαμῶς ἀχαριστοῦσιν. ἐκέλευον δὲ καὶ τὸν Γάιον, ἐκθύμῳ τῇ ἱκετείᾳ χρώμενοι, τῶν τελῶν ἐπανιέναι καὶ [τῶν φόρων] ἐπικουφίζειν τι τοῦ ἐπαχθοῦς. ὃ δὲ οὐκ ἠνείχετο, καὶ πλέον τι τῇ βοῇ χρωμένων ἄλλους ἄλλῃ διαπέμψας κελεύει τοὺς βοῶντας λαβεῖν τε καὶ μηδὲν εἰς ἀναβολὰς ἀνελεῖν προαγαγόντας. καὶ ὃ μὲν ἐκέλευε ταῦτα, καὶ οἷς προσετέτακτο ἔπρασσον, πλεῖστοί τε ἦσαν οἱ ἐπὶ τοιούτοις ἀποθανόντες. καὶ ὁ δῆμος ἑώρα μέν, ἠνείχετο δὲ παυσάμενος τῆς βοῆς, ἐν ὀλίγῳ τὴν ἕνεκα τῶν χρημάτων ὀφθαλμοῖς ὁρῶντες [ἐπὶ τοιούτοις] παραίτησιν εἰς θάνατον αὐτοῖς φέρουσαν. ταῦτα Χαιρέαν ἐνήγαγε μειζόνως ἅπτεσθαί τε τῆς ἐπιβουλῆς καὶ παύειν κατὰ τῶν ἀνθρώπων ἐξηγριωκότα τὸν Γάιον. καὶ πολ-

Digitized by Google

λάκις μὲν καὶ παρὰ τὰς ἐστιάσεις ἐμέλλησεν ἐπιχειρεῖν, οὐ μὴν ἀλλ' ἐπείχετο λογισμῷ, τὸ μὲν κτείνειν οὐκέτι ἐνδοιαστὸν κεκρικώς, τὸν δὲ καιρὸν περισκοπῶν, ὅπως μὴ εἰς κενὸν ἀλλ' ἐπὶ καταπράξει τῶν βεβουλευμένων ταῖς χερσὶ χρῷτο.

ἐστρατεύετο δὲ πολὺν ἤδη χρόνον, οὐχ ἡδονῇ φέρων Γαΐου τὴν συναναστροφήν. ἐπεὶ δὲ αὐτὸν ἵσταται Γάιος εἰσπραξόμενον τούς τε φόρους καὶ ὅσα ἄλλα καταβαλλόμενα εἰς τὸν Καίσαρος θησαυρὸν ἐφυστερήκει τοῖς καιροῖς διὰ τὸ ἐπιδιπλασιάζεσθαι τὴν δύναμιν αὐτῶν, χρόνον ἐκεῖ ποιεῖται τῇ εἰσπράξει, τρόπῳ τῷ αὐτοῦ χρώμενος μᾶλλον ἢ τῇ Γαΐου προστάξει, διὰ δὲ τὸ φειδοῖ χρῆσθαι τὰς τύχας οἰκτον λαμβάνων τῶν ὑπὸ τὴν εἴσπραξιν, εἰς ὀργὴν προυκαλεῖτο τὸν Γάιον, μαλακίαν ἐπικαλοῦντα αὐτῷ τοῦ σχολῇ συνάγεσθαι τὰ χρήματα. καὶ δὴ τά τε ἄλλα ὕβριζεν εἰς αὐτόν, καὶ ὁπότε τὸ σημεῖον παρεῖχεν αὐτῷ τὸ τῆς ἡμέρας καθηκούσης εἰς αὐτόν, θήλεά τε ἐδίδου τὰ ὀνόματα καὶ ταῦτα αἰσχύνης ἀνάπλεα. καὶ ταῦτα ἔπρασσεν αὐτὸς οὐκ ἀπηλλαγμένος ἐν τινῶν τελεταῖς μυστηρίων, ἃς αὐτὸς συνίστατο· στολὰς γὰρ ἐνδυόμενος γυναικείους καὶ τινῶν περιθέσεις πλοκαμίδων ἐπινοῶν, ἄλλα τε ὁπόσα ἐπικαταψεύσασθαι θηλύτητα τῆς ὄψεως ἔμελλεν, αὐτὸς τὴν ἐπὶ τοιούτοις αἰσχύνην ἐτόλμα Χαιρέᾳ προσκαλεῖν. Χαιρέᾳ δὲ καὶ ὁπότε μὲν παραλαμβάνοι τὸ σημεῖον, ὀργὴ παρίστατο, μειζόνως δὲ ὁπότε παραδιδοίη, γελώμενος ὑπὸ τῶν παραλαμβανόντων, ὥστε καὶ οἱ συγχιλίαρχοι παιδιὰν ἐποιοῦντο αὐτόν· ὁπότε γὰρ αὐτὸς μέλλοι τὸ σημεῖον παρὰ τοῦ Καίσαρος κομίζειν, προύλεγόν τινα τῶν εἰωθότων φέρειν εἰς παιδιάν. διὰ ταῦτα δὲ αὐτῷ καὶ θάρσος παρίστατο κοινωνούς τινας παραλαμβάνειν, ὡς οὐκ ἐπ' ἀλόγοις ὀργῇ χρώμενος.

Digitized by Google

καὶ ἦν γὰρ Πομπήδιος, συγκλητικὸς μέν, τὰς ἀρχὰς δὲ διεληλυθὼς σχεδὸν ἁπάσας, Ἐπικούρειος δὲ ἄλλως, καὶ δι' αὐτὸ ἀπράγμονος ἐπιτηδευτὴς βίου. τοῦτον ἐνδείκνυσι Τιμίδιος ἐχθρὸς ὢν ὡς λοιδορίᾳ χρησάμενον ἁρπρεπεῖ κατὰ τοῦ Γαΐου, μάρτυρα παραλαμβάνων Κυιντιλλίαν, γυναῖκα τῶν ἐπὶ τῆς σκηνῆς, ἐπιφανείᾳ τοῦ ὡραίου περισπούδαστον πολλοῖς τε οὖσαν καὶ τῷ Πομπηδίῳ. καὶ τῆς ἀνθρώπου (ψεῦδος γὰρ ἦν) δεινὸν ἡγουμένης μαρτυρίαν ἐπὶ θανάτῳ τοῦ ἐραστοῦ παρασχεῖν, βασάνων ἔχρῃζεν ὁ Τιμίδιος. καὶ Γάιος παρωξυμμένος κελεύει τὸν Χαιρέαν μηδὲν εἰς ἀναβολὰς ἀλλ' εὐθέως βασανίζειν τὴν Κυιντιλλίαν, χρώμενος τῷ Χαιρέᾳ πρός τε τὰ φονικὰ καὶ ὁπόσα στρεβλώσεως δέοιτο ὑπὸ τοῦ νομίζειν ὠμότερον διακονήσεσθαι, τὴν λοιδορίαν φεύγοντα τῆς μαλακίας. Κυιντιλλία δὲ ἐπὶ τὴν βάσανον ἀγομένη τῶν συνιστόρων τινὸς ἐπιβαίνει τῷ ποδί, ἀποσημαίνουσα θαρσεῖν καὶ μὴ τὰς βασάνους αὐτῆς δεδιέναι· διοίσειν γὰρ μετ' ἀνδραγαθίας. βασανίζει δ' αὐτὴν ὠμῶς ὁ Χαιρέας, ἄκων μὲν κατ' ἀνάγκας δὲ τὰς ὑπὲρ αὐτοῦ, καὶ μηδὲν ἐνδοῦσαν ἦγεν εἰς τὴν ὄψιν τὴν Γαΐου, διακειμένην οὐκ ἐν ἡδονῇ τοῖς θεωροῦσι. καὶ ὁ Γάιος παθών τι πρὸς τὴν ὄψιν τῆς Κυιντιλλίας δεινῶς ὑπὸ τῶν ἀλγηδόνων διακειμένης, τοῦ ἐγκλήματος ἠφίει καὶ αὐτὴν καὶ τὸν Πομπήδιον, ἐκείνην δὲ καὶ χρημάτων δόσει τιμᾷ, παραμυθίας ἐσομένων λώβης ἣν ἐλελώβητο εἰς τὴν εὐπρέπειαν τοῦ ἀφορήτου τῶν ἀλγηδόνων.

ταῦτα δεινῶς ἠνίασε τὸν Χαιρέαν ὡς αἴτιον ἀν- 6
θράκοις καὶ ὑπὸ Γαΐου παρηγορίας ἀξίοις κακῶν, ὅσον ἐπ' αὐτῷ, γενόμενον· φησί τε πρὸς Κλήμεντά τε καὶ Παπίνιον, ὧν Κλήμης μὲν ἐπὶ τῶν στρατοπέδων, Παπίνιος δὲ καὶ αὐτὸς ἦν χιλιαρχῶν, "ἀλλ' ἐπὶ φυλακῇ

Digitized by Google

γε, ὦ Κλήμη, τὰ πάντα τοῦ αὐτοκράτορος ἡμῖν πράσσειν οὐκ ἐλλέλειπται. τῶν γὰρ συνομωμοκότων αὐτοῦ κατὰ τῆς ἡγεμονίας προνοίᾳ καὶ πόνοις τοὺς μὲν ἀπεκτείναμεν, τοὺς δὲ ἐστρεβλώσαμεν ἐπὶ τοσοῦτον ὡς ἐλεεινοὺς κἀκείνῳ γενέσθαι. μετὰ πόσης τε ἀρετῆς ἡμῖν ἐξάγεται τῶν στρατιῶν;" σιγήσαντος δὲ τοῦ Κλήμεντος, καὶ τὸ μὲν αἰσχύνῃ φέρειν τὰ προστασσόμενα καὶ τῷ βλέμματι καὶ τῷ ἐρυθήματι παριστάντος, λόγῳ δὲ αὐτῷ τὴν μανίαν τοῦ αὐτοκράτορος προσκαλεῖν ἄδικον ἡγουμένου προνοίᾳ τοῦ ἀσφαλοῦς, Χαιρέας ἤδη θάρσει χρώμενος ἐν λόγοις ἦν κινδύνων ἀνειμένοις πρὸς αὐτόν, τὰ κατέχοντα δεινὰ τὴν πόλιν καὶ τὴν ἀρχὴν ἐπεξιών, καὶ ὅτι λόγῳ μὲν εἴη Γάιος ὁ τὴν ἐπὶ τοιούτοις αἰκίαν προτιθέμενος, "τοῖς δὲ τἀληθὲς ἐξετάζειν πειρωμένοις ἐγώ τε, ὦ Κλήμη, καὶ οὑτοσὶ ὁ Παπίνιος, καὶ πρὸ ἡμῶν σύ, ταύτας Ῥωμαίοις τε καὶ τῷ παντὶ ἀνθρωπίνῳ τὰς στρέβλας προσφερόμενοι, οὐκ ἐπιτάγμασι τοῖς Γαΐου διακονούμενοι γνώμῃ δὲ τῇ αὐτῶν, παρὸν παῦσαι τοσαύτῃ ἤδη χρώμενον ὕβρει εἴς τε τοὺς πολίτας καὶ τοὺς ὑπηκόους, διακονούμεθα δορυφόροι καὶ δήμιοι καθεστηκότες ἀντὶ στρατιωτῶν, καὶ τὰ ὅπλα ταυτὶ φέροντες οὐχ ὑπὲρ ἐλευθερίας οὐδὲ ἀρχῆς τῶν Ῥωμαίων, ἀλλ' ἐπὶ σωτηρίᾳ τοῦ δουλουμένου τά τε σώματα αὐτῶν καὶ τὰ φρονήματα, μιαινόμενοι τὸ καθ' ἡμέραν αἵματι σφαγῆς καὶ βασάνου τῆς ἐκείνων, μέχρι ἂν δή τις καὶ καθ' ἡμῶν διακονήσηται τοιαῦτα Γαΐῳ. οὐ γὰρ εὐνοίᾳ τι πολιτεύει διὰ τάδε πρὸς ἡμᾶς, δι' ὑφοράσεως δὲ μᾶλλον, καὶ ἄλλως τοῦ πολλοῦ τῶν ἀπολλυμένων ἀποδεδωκότος· οὐ γὰρ δὴ στήσεταί ποτε Γαΐῳ τὰ τῆς ὀργῆς, διὰ τὸ μὴ δίκην ἀλλ' ἡδονὴν πέρας αὐτῆς τυγχάνειν, σκοποὶ δὲ προκεισόμεθα καὶ αὐτοί,

Digitized by Google

δέον καὶ τοῖς πᾶσι τὸ ἀνεπιβούλευτόν τε καὶ ἐλεύθερον βεβαιοῦν καὶ ἡμῖν κινδύνων ἀπαλλαγὰς ψηφίσασθαι."

Κλήμης δὲ τὴν μὲν διάνοιαν τὴν Χαιρέου φανερὸς 7
ἦν ἐπαινῶν, σιγᾶν δὲ ἐκέλευε, μὴ καὶ φοιτῶντος εἰς
πλείονας τοῦ λόγου, καὶ διαχεομένων ὁπόσα κρύπτε-
σθαι καλῶς ἔχοι, πρὶν τυχεῖν πράξαντας ἐκπύστου τοῦ
ἐπιβουλεύματος γενομένου κολασθεῖεν, χρόνῳ δὲ τῷ
αὐθις καὶ τῇ ἀπ' αὐτοῦ ἐλπίδι παραδιδόναι τὰ πάντα
ὡς παραγενησομένης τινὸς αὐτοῖς ἐπικουρίας τυχαίου·
αὐτὸς μὲν γὰρ ὑπὸ γήρως ἀφῃρῆσθαι τὴν ἐπὶ τοιοῖσδε
τόλμαν. "τῶν μέντοι γε ὑπὸ σοῦ, Χαιρέα, συντεθέν-
των καὶ ῥηθέντων ἀσφαλέστερα ἂν ἴσως ὑποθείμην,
εὐπρεπέστερα δὲ πῶς ἄν τις καὶ δύναιτο;" καὶ Κλή-
μης μὲν ὡς αὐτὸν ἀναλύει, διαλογισμῷ τῶν τε ἀκροα-
θέντων καὶ ὁπόσων αὐτὸς εἰρήκει περιφερόμενος· Χαι-
ρέας δὲ δείσας ὡς Κορνήλιον Σαβῖνον ἠπείγετο, καὶ
αὐτὸν μὲν χιλίαρχον ὄντα, ἀξιόλογον δὲ ἄλλως ἐξεπι-
στάμενος αὐτὸν καὶ τοῦ ἐλευθέρου ἐραστὴν καὶ δι'
αὐτὸ τῇ καταστάσει τῶν πραγμάτων πολεμίως διακεί-
μενον, χρῄζων ἐκ τοῦ ὀξέος ἔχεσθαι τῶν ἐγνωσμένων
τῆς ἐγχειρήσεως ὑπ' αὐτοῦ, καλὰ νομίσας εἶναι προσ-
θέσθαι, καὶ δέει μὴ ὑπὸ Κλήμεντος ἐκφοίτησις γένοιτο
αὐτῶν, ἄλλως τε τὰς μελλήσεις καὶ τῶν καιρῶν τὰς
ἀναβολὰς πρὸς τῶν ὑπερβαλλομένων τιθέμενος.

ἐπεὶ δὲ ἀσμένῳ καὶ τῷ Σαβίνῳ τὰ πάντα ἦν, ἅτε 8
καὶ αὐτῷ γνώμης μὲν οὐχ ὑστεροῦντι ἴσης, ἀπορίᾳ δὲ
πρὸς ὅντινα εἰπὼν ἀσφαλὴς εἴη τὰ πρὸς ἐκείνους σιγῇ
παραδιδόντι, — ἐπεὶ οὖν ἀνδρὸς ηὑπόρητο οὐ μόνον
στέγειν ὧν πύθοιτο προσθησομένου, ἀλλὰ καὶ γνώ-
μην φανεροῦντος τὴν αὐτοῦ, πολλῷ μᾶλλον ἥρτο καὶ
μηδὲν εἰς ἀναβολὰς ἐδεῖτο τοῦ Χαιρέου. τρέπονταί τε
ὡς Μινουκιανόν, αὐτοῖς μὲν ἐπιτηδεύσει ἀρετῆς καὶ

Digitized by Google

τῷ ὁμοζήλῳ τοῦ μεγαλόφρονος συγγενῆ, Γαΐῳ δὲ ὕποπτον τῆς Λεπίδου τελευτῆς· πάνυ γὰρ δὴ φίλοι ἐγένοντο Μινουκιανός τε καὶ Λέπιδος καὶ δείματι κινδύνων τῶν καθ' αὑτῶν. πᾶσι γὰρ τοῖς ἐν τέλει φοβερὸς ἦν Γάιος ὡς ἐπ' αὐτῶν ἕκαστον καὶ πρὸς οὐστινασοῦν τῇ μανίᾳ χρῆσθαι μὴ ἀφησόμενος· φανεροί τε ἀλλήλοις ἦσαν τῆς ἐπὶ τοῖς πράγμασιν ἀχθηδόνος, διασαφεῖν μὲν ἀλλήλοις ἄντικρυς τὴν διάνοιαν [καὶ μῖσος τὸ πρὸς Γάιον] φόβῳ [τε] κινδύνων ἀφέμενοι, ἄλλως δὲ αἰσθανόμενοι τοῦ ἀλλήλων μίσους πρὸς τὸν Γάιον, καὶ δι' αὐτὸ εὐνοίᾳ χρῆσθαι τὰ πρὸς ἀλλήλους μὴ ἀπηλ-
9 λαγμένοι. γενομένων δὲ αὐτοῖς ἀξιώσεων ἐπείπερ συνέβαλλον, εἰωθότες καὶ πρότερον ὁπότε συνέλθοιεν τίμιον ἡγεῖσθαι τὸν Μινουκιανὸν ὑπεροχῇ τε ἀξιώματος (γενναιότατος γὰρ ἦν τῶν πολιτῶν) καὶ τῷ ἐπὶ πᾶσιν ἐπαινουμένῳ, μᾶλλον ὡς ἄπτοιτό τινος λόγου, φθάσας κἀκεῖνος ἤρετο Χαιρέαν ὅ τι καὶ παραλάβοι σημεῖον τῆς ἡμέρας ἐκείνης· ἀοίδιμος γὰρ διὰ τῆς πόλεως ἦν ἡ εἰς τὸν Χαιρέαν διὰ τῶν σημείων τῆς δόσεως πρασσομένη ὕβρις. ὁ δὲ χάρματι τοῦ λόγου μηδὲν μελλήσας ἠμείβετο τοῦ Μινουκιανοῦ τὸ ἐπὶ τοιοῖσδε πιστεῦσαν ὁμιλίᾳ χρήσασθαι πρὸς αὐτόν· "καὶ σύ μοι δίδως" εἶπε "σημεῖον ἐλευθερίας, χάρις δέ σοι τοῦ ἀνεγείραντός με μειζόνως ἢπερ εἴωθα ἐμαυτὸν ὁρμᾶν, οὐδέ μοι χρεία πλειόνων ἔτι λόγων οἵ με θαρσοῖεν, εἰ δὴ καὶ σοὶ ταῦτα δοκεῖ. γνώμης γε τῆς αὐτῆς κοινωνοὶ καὶ πρότερον ἢ συνελθεῖν γεγόναμεν. καὶ ἓν μὲν ὑπέζωσμαι ξίφος, ἀμφοῖν δ' ἂν ἀρκέσειεν. ὥστε ἴθι καὶ ἔργων ἐχώμεθα, ἡγεμών τ' ἴσθι, ἢ βούλοιο αὐτὸς κελεύων με χωρεῖν. ἦ καὶ προείσομαι ἐπικουρίᾳ τῇ σῇ συμπράσσοντός [τε] πίσυνος. οὐδὲ ἀπορία σιδήρου τοῖς τὴν ψυχὴν εἰς τὰ ἔργα προσφερομένοις, δι' ἣν καὶ ὁ σίδη-

Digitized by Google

ρος δραστήριος εἴωθεν εἶναι. ὥρμηκά τε εἰς τὴν πρᾶξιν οὐχ ὧν ἂν αὐτὸς πάθοιμι ἐλπίδι περιφερόμενος· οὐ γὰρ σχολὴ κινδύνους μοι κατανοεῖν τοὺς ἐμαυτοῦ, δουλώσει τε πατρίδος ἐλευθερωτάτης ἐπαλγοῦντι, καὶ τῶν νόμων τῆς ἀρετῆς ἀφῃρημένης, τούς τε πάντας ἀνθρώπους ὀλέθρου διὰ Γάιον κατειληφότος. ἄξιος δ' ἂν εἴην παρὰ σοὶ δικαστῇ πίστεως ἐπὶ τοιούτοις τυγχάνειν ἀπὸ τοῦ ὅμοια φρονεῖν αὐτοῖς καὶ σὲ μὴ ἀπηλλάχθαι."

Μινουκιανὸς δὲ τὴν ὁρμὴν τῶν λόγων θεασάμενος ἡσπάζετό τε ἀσμένως καὶ προσπαρίστατο τὴν τόλμαν αὐτοῦ· ἐπαινέσας τε καὶ ἀσπασάμενος μετ' εὐχῶν καὶ ἱκετείας ἀπελύετο. καὶ ἰσχυρίζοντό τινες ὡς βεβαιοῦν τὰ εἰρημένα· εἰσιόντος γὰρ εἰς τὸ βουλευτήριον Χαιρέου φωνὴν ἐκ τοῦ πλήθους γενέσθαι τινὸς ἐπ' ἐξορμήσει, κελεύοντος περαίνειν μὲν δὴ τὸ πρακτέον καὶ προσλαμβάνειν τὸ δαιμόνιον· καὶ τὸν Χαιρέαν τὸ μὲν πρῶτον ὑπιδέσθαι μὴ καί τινος τῶν συνωμοτῶν προδότου γεγονότος ἁλίσκοιτο, καὶ τέλος συνέντα ἐπὶ προτροπῇ φέρειν, εἴτε παραινέσει τῶν συνεγνωκότων ἀντισημαίνοντός τινος, εἴτε δὴ καὶ τοῦ θεοῦ, ὃς ἐφορᾷ τὰ ἀνθρώπινα, αἴροντος αὐτὸν θαρσῆσαι. διειληλύθει δὲ διὰ πολλῶν τὸ ἐπιβούλευμα, καὶ πάντες ἐν ὅπλοις παρῆσαν, οἱ μὲν τῶν βουλευτῶν ὄντες οἱ δὲ ἱππεῖς, καὶ ὁπόσοι τοῦ στρατιωτικοῦ συνῄδεσαν. οὐδεὶς γὰρ ἦν ὃς μὴ ἐν εὐδαιμονίᾳ ἀνηρίθμει τὴν Γαΐου μετάστασιν, καὶ δι' αὐτὸ πάντες ἠπείγοντο, ὁποίῳ δύναιτό τις τρόπῳ, μηδὲ ἑκὼν εἶναι τῆς ἐπὶ τοιούτοις ὑστερεῖν ἀρετῆς, ἀλλ' ὡς ἔχοι προθυμίας ἢ δυνάμεως, καὶ λόγοις καὶ δι' ἔργων, ἤρτο ἐπὶ τυραννοκτονίᾳ. ἐπεὶ καὶ Κάλλιστος (ἀπελεύθερος δὲ ἦν Γαΐου, πλεῖστά τε ἀνὴρ εἷς οὗτος ἐπὶ μέγιστον δυνάμεως ἀφίκετο, καὶ οὐδὲν ἄλλο ἢ ἰσο-

Digitized by Google

τύραννον εἶχε τὴν δύναμιν φόβῳ τε τῶν πάντων καὶ μεγέθει χρημάτων, ἅπερ ἐγένετο αὐτῷ· ὠροδοκώτατος γὰρ ἦν καὶ ὑβριστικώτατος) παρ' ὀντιναοῦν γίνεται, ἐξουσίᾳ χρησάμενος παρὰ τὸ εἰκός, καὶ ἄλλως τε τοῦ Γαΐου τὴν φύσιν ἐξεπιστάμενος ἀνήκεστον οὖσαν καὶ ἐφ' οἷς τισὶ κρίνειεν οὐδαμῶς ἀντισπάσματι χρωμένην, αὐτῷ τε πολλὰς μὲν καὶ ἄλλας τοῦ κινδυνεύειν αἰτίας, οὐχ ἥκιστα δὲ τὸ μέγεθος τῶν χρημάτων. ὥστε δὴ καὶ Κλαύδιον ἐθεράπευε κρυπτῶς μετακαθίζων πρὸς αὐτόν, ἐλπίδι τοῦ κἂν εἰς ἐκεῖνον ἥξειν τὴν ἡγεμονίαν Γαΐου μεταστάντος, αὐτῷ τὴν ὑπόθεσιν τῆς τιμῆς τὴν ἐφ' ὁμοίοις ἰσχύν, προκαταθέμενος χάριν καὶ φιλανθρωπίας λόγον. ἐτόλμησε γοῦν εἰπεῖν ὡς κελευσθεὶς διάχρήσασθαι φαρμάκῳ τὸν Κλαύδιον μυρίας εὕροιτο τοῦ χρήματος τὰς ὑπερβολάς. δοκεῖ δέ μοι προσποιεῖσθαι Κάλλιστος ἐπὶ θήρᾳ τῇ Κλαυδίου τὸν λόγον τοῦτον, ἐπεὶ οὔτε Γάιος ὥρμηκὼς μεταχειρίσασθαι Κλαύδιον ἠνείχετο τῶν Καλλίστου προφάσεων, οὔτε Κάλλιστος κελευσθείς που τὴν πρᾶξιν εὐκτὸν ὑπελάμβανεν, ἢ κακουργῶν εἰς τοῦ δεσπότου τὰς ἐντολὰς οὐκ ἂν ἐκ τοῦ παραχρῆμα τὸν μισθὸν ἐκομίζετο· ἀλλὰ δὴ Κλαυδίῳ μὲν ἔκ τινος θείας δυνάμεως χρήσασθαι μανιῶν τῶν Γαΐου, Κάλλιστον δὲ προσποιήσασθαι χάριτος κατάθεσιν μηδαμῶς ὑπ' αὐτοῦ γενομένης.

11 τοῖς δ' ἀμφὶ τὸν Χαιρέαν ὑπερβολαὶ τὸ καθ' ἡμέραν ἦσαν ὀκνούντων πολλῶν· οὐ γὰρ Χαιρέας ἑκὼν εἶναι τοῦ πράσσειν ἀναβολὴν ἐποιεῖτο, πάντα καιρὸν ἐπιτήδειον τῇ πράξει νομίζων. καὶ γὰρ εἰς τὸ Καπετώλιον ἀνιόντα κατὰ θυσίας ὑπὲρ τῆς θυγατρὸς ἐπιτελουμένας ὑπὸ τοῦ Γαΐου, παρῆν πόλλακις καιρός, καὶ ὑπὲρ τῆς βασιλικῆς ἱστάμενον καὶ δήμῳ χρυσίου

Digitized by Google

καὶ ἀργυρίου χρήματα διαρριπτοῦντα ὅσαι κατὰ κεφαλῆς (ὑψηλὸν δέ ἐστι τὸ τέγος εἰς τὴν ἀγορὰν φέρον), ἐπί τε τῶν μυστηρίων ταῖς ποιήσεσιν, ἃ συνίστατο· πάντων γὰρ αὐτὸν ἀπερίοπτον εἶναι προνοίᾳ τοῦ ἐν αὐτοῖς εὐπρεπῶς ἀναστραφησομένου καὶ ἀπογνώσει τοῦ ἐν ἐπιχειρήσει τινὰ γενέσθαι πιστεύειν. εἰ δὲ μηδὲν τίμιον ὡς τῶν θεῶν, αὐτῷ δύναμιν τοῦ θανάτου παρατυγχάνειν, αὐτῷ δ' ἂν ἰσχὺν ἐγγενέσθαι καὶ μὴ σιδηροφορουμένῳ διαχρήσασθαι τὸν Γάιον. οὕτω δι' ὀργῆς εἶχε τοὺς συνωμότας ὁ Χαιρέας, δεδιὼς τοὺς καιροὺς μὴ διαρρυεῖεν. οἳ δ' ἑώρων μὲν νομίμων τε χρῄζοντα καὶ ἐπ' ἀγαθοῖς τοῖς αὐτῶν ἐπειγόμενον, οὐ μὴν ἀλλ' ἠξίουν εἰς ὀλίγον γοῦν ὑπερβολῇ χρήσασθαι, μὴ καί πῃ σφάλματος τῇ ἐπιχειρήσει συνελθόντος ταράξαιεν τὴν πόλιν, ζητήσεων τῶν συνεγνωκότων τὴν πρᾶξιν γιγνομένων, καὶ τοῖς αὐτῇ μελλήσουσιν ἐπιχειρεῖν ἄπορον τὴν ἀνδραγαθίαν ⟨ποιήσαιεν⟩, φραξαμένου Γαΐου πρὸς αὐτοὺς μειζόνως. καλῶς οὖν ἔχειν θεωριῶν ἐν τῷ Παλατίῳ ἐπιτελουμένων ἅπτεσθαι τοῦ χρήματος (ἄγονται δὲ ἐπὶ τιμῇ τοῦ πρώτου μεταστησαμένου τὴν ἀρχὴν τοῦ δήμου Καίσαρος εἰς αὐτόν, μικρόν τε πρὸ τοῦ βασιλείου καλύβης πηκτοῦ γενομένης, καὶ Ῥωμαίων τε οἱ εὐπατρίδαι θεωροῦσιν ὁμοῦ παισὶ καὶ γυναιξὶ καὶ ὁ Καῖσαρ), ῥᾳστώνην τε αὐτοῖς ἔσεσθαι πολλῶν μυριάδων ἀνθρώπων εἰς ὀλίγον χωρίον καθειργμένων, ὥστε εἰσιόντι τὴν ἐπιχείρησιν ποιήσασθαι, δυνάμεως τοῖς ὑπασπισταῖς, εἰ καί τινες προθυμοῖντο, μὴ παρατευξομένης αὐτῷ βοηθεῖν.

ἠνείχετο δὲ Χαιρέας, καὶ τῶν θεωριῶν ἐπελθουσῶν τῇ πρώτῃ δεδογμένον ἅπτεσθαι τῆς πράξεως, ἰσχυρότερον ἦν τοῦ κατ' ἐκείνου προβεβουλευκότος τὸ τῆς 12

Digitized by Google

τύχης συγχωροῦν ὑπερβολάς, καὶ τὰς τρεῖς ὑπερβαλομένου τὰς νομίμους ἡμέρας μόλις κατὰ τὴν τελευταίαν αὐτοῖς ἐπράχθη τὸ ἔργον. Χαιρέας δὲ συγκαλέσας τοὺς συνωμότας "πολὺς μέν" εἶπε "καὶ ὁ παρεληλυθὼς χρόνος ὀνειδίζει τὸ ἐπιμέλλον ἡμῶν ἐπὶ τοῖς οὕτω βουλευθεῖσι μετ' ἀρετῆς· δεινὸν δὲ εἰ καὶ μηνύματος γενομένου διαπεσεῖται ἡ πρᾶξις καὶ Γάιος ὑβριεῖ μειζόνως. ἢ οὐχ ὁρῶμεν ὡς τῆς ἐλευθερίας ἀφαιροῦμεν ὁπόσας τῶν ἡμερῶν εἰς προσθήκην τῇ Γαΐου τυραννίδι χαριζόμεθα, δέον αὐτούς τ' ἀδεεῖς τὸ λοιπὸν εἶναι καὶ τοῖς ἄλλοις αἰτίαν τοῦ εὐδαίμονος παρασχόντας δι' αἰῶνος ἅπαντος τοῖς αὖθις ἐν θαύματι μεγάλῳ καὶ τιμῇ καταστῆναι;" τῶν δὲ οὔτε ἀντειπεῖν ὡς οὐ πάνυ καλῶς δυναμένων οὔτε τὴν πρᾶξιν ἄντικρυς δεχομένων, σιγῇ δὲ καταπεπληγότων, "τί" φησίν, "ὦ γενναῖοι, διαμέλλομεν; ἢ οὐχ ὁρᾶτε τὴν σήμερον τῶν θεωριῶν ὑστάτην ἡμέραν οὖσαν καὶ Γάιον ἐκπλευσούμενον;" ἐπὶ γὰρ Ἀλεξανδρείας παρεσκεύαστο πλεῖν κατὰ θεωρίαν τῆς Αἰγύπτου. "καλὸν δὲ ἡμῖν προεῖσθαι τῶν χειρῶν τὸ ὄνειδος, τῇ Ῥωμαίων μεγαλαυχίᾳ πομπεῦσον διά τε γῆς καὶ θαλάττης. πῶς δὲ οὐκ ἂν δικαίως κρίνομεν αὐτοὺς αἰσχύνῃ τῶν γεννησομένων, εἴ τις αὐτὸν Αἰγύπτιος κτείνειε, τὴν ὕβριν οὐχ ἡγησόμενος ἀνασχετὸν τοῖς ἐλευθέροις γεγονόσιν; ἐγὼ μὲν οὖν οὐκέτι εἰς πλείονα ἀνέξομαι τὰς σκήψεις ὑμῶν, χωρήσω δὲ τοῖς κινδύνοις ὁμόσε σήμερον, ἡδονῇ φέρων πᾶν ὅ τι καὶ γένοιτο ἐξ αὐτῶν, οὐδ' ἂν ὑπερβαλοίμην εἴπερ εἴη. τί γὰρ δὴ καὶ γένοιτ' ἂν ἀνδρὶ φρόνημα ἔχοντι τούτου σχετλιώτερον, Γάιον ἄλλον τινὰ ἀναιρεῖν ἐμοῦ ζῶντος, καὶ ἐμὲ τὴν ἐπὶ τῷδε ἀρετὴν ἀφῃρημένον;"

13 καὶ ὃ μὲν ταῦτα εἰπὼν αὐτός τε ὡρμήκει πράξων τὸ ἔργον καὶ τοῖς λοιποῖς ἐνεποίησε θάρσος, πᾶσί τε ἦν

Digitized by Google

ἔρως ἅπτεσθαι τοῦ ἐγχειρήματος μηδὲν ὑπερβαλλομένοις. ἔωθέν τε ἐπὶ τοῦ παλατίου γέγονε, τὸ ξίφος ὑπεζωσμένος τῶν ἱππικῶν· ἔθος γὰρ δὴ τοῖς χιλιάρχοις τοῦτο, ἐζωσμένοις αἰτεῖν παρὰ τοῦ αὐτοκράτορος τὸ σημεῖον, ἦν τε ἡ ἡμέρα καθήκουσα εἰς αὐτὸν τῆς παραλήψεως τοῦ σημείου. ἅρτι τε συνήει πληθὺς εἰς τὸ παλάτιον ἐπὶ προκαταλήψει θέας πολλῷ θορύβῳ καὶ ὠθισμῷ, χαρᾷ φέροντος Γαΐου τὴν ἐπὶ τοιοῖσδε τῶν πολλῶν σπουδήν, παρὸ καὶ διεκέκριτο οὐδὲν οὔτε τῷ συγκλήτῳ χωρίον οὔτε τοῖς ἱππεῦσι, φύρδην δὲ ἔξοντο, καὶ τοῖς ἀνδράσιν ὁμοῦ αἱ γυναῖκες καὶ τῷ δούλῳ ἀναμεμιγμένον τὸ ἐλεύθερον. Γάιος δέ, προόδων αὐτῷ γενομένων, ἔθυε τῷ Σεβαστῷ Καίσαρι, ᾧ δὴ καὶ τὰ τῆς θεωρίας ἦγετο, καὶ πίπτοντος τῶν ἱερείων τινὸς συνέβη αἵματος τὴν Ἀσπρήνα στολήν, ἑνὸς τῶν συγκλητικῶν, ἀνάπλεων γενέσθαι. τοῦτο Γαΐῳ γέλωτα μὲν παρέσχεν, ἦν δὲ ἄρα εἰς οἰωνὸν τῷ Ἀσπρήνᾳ φανερόν· ἐπικατασφάζεται γὰρ τῷ Γαΐῳ. Γάιον δὲ ἱστορεῖται παρὰ φύσιν τὴν ἑαυτοῦ εὐπροσηγορώτατον γενέσθαι κατ' ἐκείνην τὴν ἡμέραν, καὶ δεξιότητι χρώμενον ὁμιλίας πάνθ' ὁντινοῦν ἐκπλῆξαι τῶν παρατυγχανόντων. μετὰ δὲ τὴν θυσίαν ἐπὶ τὴν θεωρίαν τραπεὶς ἐκαθέζετο, καὶ περὶ αὐτὸν τῶν ἑταίρων οἱ ἀξιολογώτατοι. κατεσκεύαστο δὲ τὸ θέατρον (πηκτὸν δὲ ἐγίνετο κατὰ ἕκαστον ἐνιαυτόν) τοιόνδε τρόπον. θύρας ἔχει δύο φερούσας τὴν μὲν εἰς τὸ ἐναίθριον τὴν δὲ εἰς στοὰν εἰσόδους καὶ ἀκοχωρήσεσιν, ὅπως μὴ ταράσσοιντο οἱ ἔνδον ἀπειλημμένοι, ἐκ δὲ αὐτῆς τῆς καλύβης, ἐνδοτέρω διαφράγμασιν ἑτέραν ἀπειληφυίας ἐπ' ἀναστροφῇ τοῖς ἀνταγωνισταῖς καὶ ὁπόσα ἀκροάματα. συγκαθημένης δὴ τῆς πληθύος, καὶ τοῦ Χαιρέου σὺν τοῖς χιλιάρχαις ὑπ' ἄπωθεν τοῦ Γαΐου (δεξιὸν δὲ τοῦ θεάτρου κέρας

Digitized by Google

ὁ Καῖσαρ εἶχε), Βατίνιός τις τῶν συγκλητικῶν, ἀνὴρ ἐστρατηγηκώς, ἤρετο Κλούβιον παρεζόμενον αὐτῷ, καὶ τοῦτον ὑπατικόν, εἴ τις αὐτῷ νεωτέρων πραγμάτων ἀφίκοιτο πύστις, προμηθὴς γενόμενος τοῦ μὴ ἐξάκουστος εἶναι τάδε λέγων. τοῦ δὲ φαμένου μηδὲν πεπύσθαι, "σήμερον τοιγαροῦν" ἔφη, "ὦ Κλούβιε, τυραννοκτονίας ἀγὼν πρόκειται." καὶ ὁ Κλούβιος "ὦ γενναῖε" φησι, "σίγα μή τις ἄλλος Ἀχαιῶν μῦθον ἀκούσῃ." πολλῆς δὲ ὀπώρας ἐπιχεομένης τοῖς θεωροῖς, καὶ πολλῶν ὀρνέων ὁπόσα τῷ σπανίῳ τίμια τοῖς κτωμένοις, ὁ Γάιος ἡδονῇ τὰς περὶ αὐτοῖς ἐθεώρει μάχας καὶ διαρπαγὰς οἰκειουμένων αὐτὰ τῶν θεωρῶν. ἐνθάδε καὶ σημεῖα μανθάνει δύο γενέσθαι· καὶ γὰρ μῖμος εἰσάγεται καθ' ὃν σταυροῦται λῃστῶν ἡγεμών, ὅ τε ὀρχηστὴς δρᾶμα εἰσάγει Κινύραν, ἐν ᾧ αὐτός τε ἐκτείνετο καὶ ἡ θυγάτηρ Μύρρα, αἱμά τε ἦν τεχνητὸν πολύ, καὶ τὸ περὶ τὸν σταυρωθέντα ἐκκεχυμένον καὶ τὸ περὶ τὸν Κινύραν. ὁμολογεῖται δὲ καὶ τὴν ἡμέραν ἐκείνην γενέσθαι ἐν ᾗ Φίλιππον τὸν Ἀμύντου Μακεδόνων βασιλέα κτείνει Παυσανίας εἷς τῶν ἑταίρων εἰς τὸ θέατρον εἰσιόντα. Γαΐου δὲ ἐνδοιάζοντος εἴτε παραμείνειεν εἰς τέλος τῇ θεωρίᾳ διὰ τὸ τελευταίαν εἶναι τὴν ἡμέραν, εἴτε λουτρῷ χρησάμενος καὶ σίτῳ εἶτα ἐπανίοι καθὰ καὶ πρότερον, Μινουκιανὸς ὑπὲρ τοῦ Γαΐου καθεζόμενος, καὶ δεδιὼς μὴ διαχυθείη τὰ τῶν καιρῶν εἰς κενόν, ἐξαναστὰς ἐπειδὴ καὶ Χαιρέαν ἑώρα προεξεληλυθότα, ἠπείγετο θαρσύνειν αὐτὸν προελθών. λαμβάνεται δὲ αὐτοῦ τῆς στολῆς Γάιος κατὰ φιλοφροσύνην δῆθεν, καί "ποῖ δή" φησιν, "ὦ μακάριε;" καὶ ὃ μὲν αἰδοῖ δοκεῖν τοῦ Καίσαρος καθίζει (κρείσσων δ' ὁ φόβος ἦν), ὀλίγον δὲ διαλιπὼν εἶτα διανίσταται· καὶ ὁ Γάιος οὐδὲν ἐμποδὼν ἦν ἐξιόντι, δοκῶν ἐπί τινι τῶν ἀναγκαίων

Digitized by Google

ποιεῖσθαι τὴν ἔξοδον. Ἀσπρήνας δέ (μετεῖχε δὲ καὶ αὐτός) παρῆνει τῷ Γαΐῳ, καθὰ πρότερον, ὑπεξελθόντι πρός τε λουτρῷ καὶ ἀρίστῳ γενέσθαι, καὶ ἔπειτα δὲ εἰσελθεῖν, χρῆζων ἐπὶ πέρας ἀχθῆναι τὰ ἐγνωσμένα.

καὶ οἱ περὶ τὸν Χαιρέαν ἔτασσον μὲν ἀλλήλους ἢ καιρός, καὶ ἐχρῆν ἕκαστον στάντα ἢ προσταχθείη μὴ ἀπολιμπάνεσθαι ἐπιπονοῦντας. ἦχθοντο δὴ τῇ διατριβῇ καὶ τῷ μέλλεσθαι τὰ ἐν χερσίν, ἐπεὶ καὶ περὶ τὴν ἑνάτην ὥραν ἤδη τὰ τῆς ἡμέρας ἦν. καὶ Χαιρέας, βραδύνοντος Γαΐου, πρόθυμος ἦν ἐπεισελθὼν ἐν τῇ καθέδρᾳ προσπεσεῖν. προῄδει μέντοι τοῦτο σὺν πολλῷ φόνῳ τῶν τε βουλευτῶν καὶ ὁπόσοι τῶν ἱππέων παρῆσαν. καίπερ δὲ εἰδώς, πρόθυμος ἦν, καλῶς ἔχειν ἡγούμενος πᾶσιν ἀσφάλειαν καὶ ἐλευθερίαν ὠνούμενος ἐν ὀλίγῳ τίθεσθαι τὰ κατὰ τοὺς ἀπολουμένους. καὶ δὴ τετραμμένων εἰς τοῦ θεάτρου τὴν εἴσοδον σημαίνεται Γάιος ἐξαναστάς, καὶ θόρυβος ἦν. ἀνέστρεφον δὲ καὶ οἱ συνωμόται καὶ ἀνωθοῦντο τὴν πληθύν, λόγῳ μὲν διὰ τὸ δυσχεραίνειν τὸν Γάιον, ἔργῳ δὲ ἐπ' ἀδείας βουλόμενοι, ἐν ἐρημίᾳ τῶν ἀμυνομένων καταστήσαντες αὐτόν, ἅπτεσθαι τῆς σφαγῆς. προεξῆσαν δὲ Κλαύδιος μὲν ὁ πάτρως αὐτοῦ καὶ Μάρκος Οὐινίκιος ὁ τῆς ἀδελφῆς ἀνήρ, ἔτι δὲ Οὐαλέριος Ἀσιατικός, οὓς οὐδὲ βουλομένους διαλεῖσαι δύναμις ἦν αἰδοῖ τῆς ἀξιώσεως· εἵπετο δὲ αὐτοῖς σὺν Παύλῳ Ἀρρουντίῳ. ἐπεὶ δὲ ἐντὸς ἦν τοῦ βασιλείου, τὰς μὲν εὐθείας ὁδοὺς λείπει, καθ' ἃς διεστήκεσαν τῶν δούλων οἱ θεραπεύοντες αὐτὸν καὶ προῆσαν οἱ περὶ τὸν Κλαύδιον, τρέπεται δὲ κατὰ στενωπὸν ἠρεμηκότα καὶ ἐπίσκοτον πρὸς λουτροῖς γενησόμενος, ἅμα καὶ παῖδας οἳ ἦκεσαν ἐκ τῆς Ἀσίας κατανοήσων, πομπῆς αὐτῶν ἐκεῖθεν γενομένης ἐπὶ ὕμνοις μυστηρίων ἃ ἐπετέλει, ἔνιοι δὲ κατὰ πυρριχισμοὺς οἳ ἐν

14

Digitized by Google

τοῖς θεάτροις ἔσοιντο. ὑπαντιάζει δὲ αὐτὸν Χαιρέας, καὶ ἤτησε σημεῖον. τοῦ δὲ τῶν εἰς χλεύην ἀνακειμένων εἰπόντος, οὐδὲν ἐνδοιάσας λοιδορίαις τε ἐχρῆτο κατὰ τοῦ Γαΐου, καὶ σπασάμενος τὸ ξίφος ἐπάγει πληγὴν σφοδράν· οὐ μήν γε ἦν καίριος. καίτοι γέ φασί τινες προνοίᾳ τοῦ Χαιρέου γενέσθαι τὸ μὴ μιᾷ πληγῇ διεργάσασθαι τὸν Γάιον, ἀλλὰ τιμωρεῖσθαι μειζόνως πλήθει τραυμάτων. οὐ μὴν ἐμοὶ πιθανὸς οὗτος ὁ λόγος διὰ τὸ μὴ ἐπιχωρεῖν ἐν ταῖσδε ταῖς πράξεσι λογισμῷ χρήσασθαι τὸν φόβον. Χαιρέαν δέ, εἴπερ οὕτως ἐφρόνει, πάντων ἥγημαι μωρίᾳ διαφέρειν, ἡδονὴν τῇ ὀργῇ [χαριζόμενον] μᾶλλον ἢ ἐκ τοῦ ὀξέος ἀπαλλαγὴν αὑτῷ τε καὶ τοῖς συνωμόταις κινδύνων χαριζόμενον, διὰ τὸ πολλὰς ἂν μηχανὰς ἔτι γενέσθαι βοηθειῶν Γαΐῳ μὴ φθάσαντι τὴν ψυχὴν ἀφεῖναι, κἀνταῦθα Χαιρέᾳ λόγον ἂν γενέσθαι οὐ περὶ τῆς Γαΐου τιμωρίας ἀλλὰ τῆς αὐτοῦ καὶ τῶν φίλων, ὅπου γε καὶ πράξαντι καλῶς ἂν εἶχε σιγῇ χρωμένῳ διαδιδράσκειν τὰς ὀργὰς τῶν ἀμυνομένων, οὐχ ὅπως, ἄδηλον εἰ τύχοι κατορθῶν, ἐπ' ἀλόγοις χρῆζειν αὐτόν τε ἀπολέσαι καὶ τὸν καιρόν. καὶ τάδε μὲν εἰκάζειν παρέστω τοῖς βουλομένοις ἢ καὶ θέλοιεν· ὁ δὲ Γάιος ἀλγηδόνι τῆς πληγῆς περιφερόμενος (μεσσηγὺς γὰρ τοῦ τε ὤμου καὶ τοῦ τραχήλου φερόμενον τὸ ξίφος ἐπέσχεν ἡ κλεὶς προσωτέρω χωρεῖν) οὔτε ἀνεβόησεν ὑπ' ἐκπλήξεως, οὔτε ἐπεκαλέσατό τινας τῶν φίλων, εἴτε ἀπιστίᾳ εἴτε καὶ ἄλλως ἀφρονήσει, στόνῳ δὲ χρησάμενος πρὸς τῆς ἀλγηδόνος τὸ περιττὸν εἰς τὸ πρόσθεν ἵετο φυγῇ. καὶ δεξάμενος αὐτὸν Κορνήλιος Σαβῖνος, τὴν διάνοιαν ἤδη προκατειργασμένος, ὠθεῖ κλιθέντα ἐπὶ γόνυ· πολλοὶ δὲ περιστάντες ἀφ' ἑνὸς ἐγκελεύσματος ἔκοπτον τοῖς ξίφεσι, παρακελευσμός τε πρὸς ἀλλήλους καὶ [πρὸς] ἔρις αὐτοῖς ἦν. τελευταίαν

Digitized by Google

δὲ Ἀκύλας ὁμολογεῖται ὑπὸ ἁπάντων πληγὴν ἐπαγαγών, ἣ μεθίστησιν αὐτὸν ἀκριβῶς. ἀναθείη δ' ἄν τις τὴν πρᾶξιν Χαιρέᾳ· καὶ γὰρ εἰ σὺν πολλοῖς ἐπράχθη τὸ ἔργον αὐτῷ, ἀλλ' οὖν πρῶτός τε ἐνεθυμήθη, τοιαῦτα ὡς πραχθείη ἄν, προλαβὼν πολὺ τῶν ἁπάντων, καὶ πρῶτος μὲν τολμηρῶς ἐξεῖπε τοῖς λοιποῖς, δεχομένων δὲ τὸν ἐπὶ τῷ φόνῳ λόγον σποράδας τε ἤθροισε, καὶ τὰ πάντα φρονίμως συγκροτήσας, ἔνθα γνωμῶν εἰσηγήσεως ἐχρῆν, πολὺ κρείσσων ἐγίνετο, καὶ λόγοις καθωμίλησε χρηστοῖς ὡς οὐ τολμῶντας ἠνάγκασέ τε τοὺς πάντας, ἐπεί τε καιρὸς ἐλάμβανε χειρὶ χρήσασθαι, φαίνεται κἀνταῦθα πρῶτός τε ὁρμήσας καὶ ἀψάμενος τοῦ φόνου καὶ τοῖς ἄλλοις εὐεπίβατον παρασχὼν καὶ προτεθνεῶτα Γάιον, ὥστε ἂν δικαίως καὶ ὁπόσα τοῖς λοιποῖς εἴη πεπραγμένα, τῇ Χαιρέου γνώμῃ τε καὶ ἀρετῇ προστίθεσθαι καὶ πόνῳ τῶν χειρῶν.

καὶ Γάιος μὲν τοιούτῳ τρόπῳ χρησάμενος τῆς τε- 15
λευτῆς, ὑπὸ τοῦ πολλοῦ τῶν τραυμάτων ἀποψυχθεὶς ἔκειτο· οἱ δὲ περὶ τὸν Χαιρέαν, ἐπειδὴ κατείργαστο αὐτοῖς ἤδη Γάιος, ὁδοὺς μὲν τὰς αὐτὰς ἰόντες σώζειν αὐτοὺς ἀμήχανον ἑώρων, ὅπνῳ τε τῶν γεγουότων (οὐ γὰρ μικρὸν ἦν τὸν αὐτοκράτορα ἀνηρηκόσι τὸ κινδύνευμα, ὑπό τε ἀνοίας τοῦ δήμου τιμώμενον καὶ ὄντα προσφιλῆ, καὶ τῶν στρατιωτῶν μὴ ἀναιμωτὶ ποιησομένων τὴν ζήτησιν αὐτοῦ), ἄλλως τε στενῶν οὐσῶν τῶν ὁδῶν καθ' ἃς ἔπραξαν τὸ ἔργον, καὶ μεγάλου πλήθους ἐμφράξαντος αὐτὰς τῆς θεραπείας, καὶ ὁκόσοι τῶν στρατιωτῶν ἐπὶ φυλακῇ τοῦ αὐτοκράτορος ἐκείνην παρῆσαν τὴν ἡμέραν. ὁδοὺς δὲ ἑτέρας χωροῦντες παρῆσαν εἰς τὴν Γερμανικοῦ μὲν οἰκίαν τοῦ Γαΐου πατρός, ὃν τότε ἀνηρήκεσαν, συνημμένην δὲ ἐκείνῃ διὰ τὸ ἓν τὸ βασίλειον ὂν ἐπ' οἰκοδομίαις ἑκάστου τῶν ἐν τῇ

Digitized by Google

ἡγεμονίᾳ γεγονότων ἀσκηθὲν ἀπὸ μέρους ὀνόματι τῶν οἰκοδομησαμένων ἢ καί τι μερῶν οἰκήσεως ἀρξάντων τὴν ἐπωνυμίαν παρασχέσθαι. καὶ διεκπεσόντες τοῦ πλήθους τῆς ἐφόδου ἐν ἀδείᾳ τὸ παρὸν ἦσαν, λανθάνοντος ἀκμὴν κακοῦ τοῦ τὸν αὐτοκράτορα παρειληφότος. πρώτους δὲ εἰς τοὺς Γερμανοὺς ἡ αἴσθησις ἀφίκετο τῆς Γαΐου τελευτῆς· δορυφόροι δὲ ἦσαν οὗτοι ὁμώνυμοι τῷ ἔθνει ἀφ' οὗ κατειλέχατο, τὸ Κελτικὸν τάγμα παρεχόμενοι αὐτῶν. θυμῷ δὲ χρῆσθαι πάτριόν ἐστιν αὐτοῖς, ὅπερ οὐ σπάνιον ἔν τισιν ἑτέροις βαρβάρων διὰ τὸ ἠσσόνως λογισμὸν ἐπιδέχεσθαι τῶν ποιουμένων, ῥωμαλέοι τε τοῖς σώμασι, καὶ τῇ πρώτῃ ὁρμῇ συνιόντες τοῖς πολεμίοις, οὗ ἂν ὁρμήσωσι μεγάλα κατορθοῦντες. οὗτοι οὖν πυθόμενοι τοῦ Γαΐου τὴν σφαγήν, καὶ περιαλγήσαντες διὰ τὸ μὴ ἀρετῇ κρίνειν ἐπὶ τοῖς ὅλοις ἀλλὰ συμφέροντι τῷ αὐτῶν (μάλιστα δὲ αὐτοῖς προσφιλὴς ἦν Γάιος, δόσεσι χρημάτων τὸ εὔνουν αὐτῶν κτώμενος), σπασάμενοι τὰ ξίφη (προεστήκει δὲ αὐτῶν Σαβῖνος, χιλιαρχῶν οὐ δι' ἀρετὴν καὶ γενναιότητα προγόνων, μονομάχος γὰρ ἦν, ἰσχύι δὲ σώματος τὴν ἐπὶ τοιούτοις κτησάμενος ἀνδράσιν ἀρχήν) διεξῆλθεσαν τῆς οἰκίας ἀνερευνώμενοι τοὺς σφαγέας τοῦ Καίσαρος. Ἀσπρήναν τε κρεουργήσασιν αὐτοῖς διὰ τὸ πρώτῳ περιπεσεῖν, οὗ τὴν στολὴν μιᾶναν τὸ αἷμα τῶν θυμάτων, ὥς μοι λέλεκται πρότερον, οὐκ ἐπ' ἀγαθῷ τὴν συντυχίαν ἀπεσήμαινε τοῦ γεγονότος, δεύτερος Νωρβανὸς ὑπηντίαζεν, ἐν τοῖς γενναιοτάτοις τῶν πολιτῶν, καὶ πολλοὺς αὐτοκράτορας παρεχόμενος τῶν προπατόρων· καὶ μηδὲν αἰδουμένων αὐτοῦ τὴν ἀξίωσιν, ἰσχύι προύχων ἀφαιρεῖται τὸ ξίφος τῷ πρώτῳ τῶν ἐπιόντων συμπλακείς, φανερός τε ἦν οὐκ ἀπραγμόνως τεθνηξόμενος, μέχρι δὴ περισχεθεὶς πολλοῖς τῶν ἐπι-

Digitized by Google

φερομένων ἔπεσεν ὑπὸ πλήθους τραυμάτων. τρίτος δὲ Ἀντήιος, τῶν ἐκ τῆς βουλῆς, σὺν ὀλίγοις οὐ τυχαίως τοῖς Γερμανοῖς καθάπερ οἱ πρότερον περιπεσών, ὑπὸ φιλοθεαμοσύνης καὶ ἡδονῆς τοῦ αὐτόπτης γενέσθαι Γαΐου κειμένου μῖσος ἐνέφαινε τὸ πρὸς αὐτόν· τὸν γὰρ πατέρα τοῦ Ἀντηίου καὶ ὁμώνυμον φυγάδα ἐλάσας καὶ μὴ ἀρκεσθεὶς κτείνει στρατιώτας ἀποπέμψας. καὶ παρὴν μὲν διὰ τάδε εὐφρανούμενος θεωρίᾳ τοῦ νεκροῦ, θορυβουμένης δὲ τῆς οἰκίας κρύπτειν αὐτὸν ἐντεθυμημένος οὐ διαφυγγάνει τῶν Γερμανῶν τὸ εἰς τὴν ἔρευναν ἀκριβὲς καὶ ἐπὶ τοῖς φόνοις ὁμοίως τῶν τε αἰτίων καὶ μὴ ἐξαγριωσάντων.

καὶ οἳ μὲν ταύτῃ τεθνήκεσαν, εἰς δὲ τὸ θέατρον 16
ἐπεὶ ἀφίκετο ὁ λόγος περὶ τῆς Γαΐου τελευτῆς, ἔκπληξίς τε καὶ ἀπιστία ἦν. οἳ μὲν γὰρ καὶ πάνυ ἡδονῇ δεχόμενοι τὸν ὄλεθρον αὐτοῦ, κἂν πρὸ πολλοῦ ἡγησάμενοι σφίσιν ἀγαθὸν συνελθεῖν, ὑπὸ δέους ἐν ἀπιστίᾳ ἦσαν· εἰσὶ δὲ οἷς καὶ πάνυ ἀπ' ἐλπίδων ἦν, διὰ τὸ μὴ ἐθέλειν τι τοιόνδε περὶ τὸν Γάιον γεγονέναι, μηδὲ ἀληθείᾳ προστίθεσθαι, διὰ τὸ μὴ οἷόν τε ἀνθρώπῳ εἶναι τοιᾷδε ἀρετῇ χρῆσθαι. γύναια δ' ἦν ταῦτα καὶ παῖδες, ὁπόσοι τε δοῦλοι καί τινες τοῦ στρατιωτικοῦ, οἳ μὲν διὰ τὸ μισθοφορεῖν, καὶ οὐδὲν ἀλλ' ἢ συντυραννοῦντες, καὶ διακονίᾳ τῆς κατ' ἐκεῖνον ὕβρεως ἐπανασειόμενοι τοῖς κρατίστοις τῶν πολιτῶν, τιμῆς τε ἅμα καὶ ὠφελειῶν τυγχάνειν· ἡ δὲ αὖ γυναικωνῖτις καὶ τὸ νεώτερον, ὅπερ ὄχλος φιλεῖ, θεωρίαις τε καὶ μονομαχιῶν δόσεσι καὶ τινῶν κρεανομιῶν ἡδοναῖς ἀνειλημμένοι, ἃ ἐκράσσετο λόγῳ μὲν ἐπὶ θεραπείᾳ τῆς πληθύος, τὸ δὲ ἀληθὲς ἐκπιμπλάντα τῆς μανίας Γαΐου τὴν ὠμότητα· οἱ δὲ δοῦλοι διὰ τὸ ἐν προσηγορίᾳ τε εἶναι καὶ καταφρονήματι τῶν δεσποτῶν, ἀποστροφῆς τῷ ὑβρίζοντι

Digitized by Google

αὐτοὺς οὔσης τῆς κατ' ἐκεῖνον ἐπικουρίας· ῥᾴδιον γὰρ ψευσαμένοις τε κατὰ τῶν κυρίων πεπιστεῦσθαι, καὶ τὰ χρήματα ἐνδείξασιν αὐτῶν ἅμα ἐλευθέροις τε εἶναι καὶ πλουσίοις μισθῷ τῶν κατηγοριῶν, διὰ τὸ ἄθλα αὐτοῖς προκεῖσθαι τὰς ὀγδόας τῶν οὐσιῶν. τῶν δὲ εὐπατριδῶν εἴ καί τισι πιστὸς ὁ λόγος φανείη, τοῖς μὲν ἐκ τοῦ προειδέναι τὴν ἐπιβουλήν, τοῖς δὲ ὑπὸ τοῦ θέλειν εὐκτὸν ἡγουμένοις, σιγῇ παρεδίδοτο οὐ μόνον ἡ ἐπὶ τοῖς ἠγγελμένοις χαρὰ ἀλλὰ καὶ ἡ δόξα τῆς ἀκροάσεως, οἳ μὲν δεδιότες μὴ καὶ ψευσθεῖσιν ἐλπίδος τιμωρίαι συνέλθοιεν ὡς προεξορμήσασιν ἀποφήνασθαι τὴν διάνοιαν τὴν ἑαυτῶν, οἳ δὲ ἐξεπιστάμενοι διὰ τὸ τῆς ἐπιβουλῆς μετασχεῖν μειζόνως ἔκρυπτον ἀλλήλων ἀγνοίᾳ, καὶ δεδιότες μὴ πρός τινας εἰπόντες, οἷς ἡ τυραννὶς ἑστῶσα ὠφέλιμος ἦν, ζῶντος Γαΐου κολασθεῖεν ἐνδείξεως γενομένης, ἐπεὶ καὶ ἕτερος ἐπεφοιτήκει λόγος, ὠμιληκέναι μὲν Γάιον τραύμασιν, οὐ μὴν ἀποθανεῖν ἀλλὰ ζῶντα ἐν θεραπείαις ὑπὸ τῶν ἰατρῶν εἶναι. ἦν τε πιστὸς οὐδεὶς οὐδενί, ᾧ καὶ θαρσήσας γνώμην ἀποφαίνοιτο τὴν αὐτοῦ· ἦ γὰρ φίλος ὢν ὕποπτος ἐγίνετο εὐνοίᾳ τῆς τυραννίδος, ἢ καὶ μίσει πρὸς ἐκεῖνον χρώμενος τῷ πρὸς αὐτὸν οὐδαμόθεν εὐνοίᾳ χρωμένῳ διαφθείρει τὴν ἐπὶ τοῖς λεγομένοις πίστιν. ἐλέγετο δὲ ὑπὸ τινῶν, οἳ καὶ μάλιστα τοῖς εὐπατρίδαις ἠφάνιζον τὸ εὐθυμοῦν τῆς ἐλπίδος, ἐν ἀμελείᾳ κινδύνων γεγονότα καὶ ἄφροντιν κομιδῆς τῶν τραυμάτων, ὥσπερ εἶχεν, ᾑματωμένον ἐπὶ τῆς ἀγορᾶς διεκπεσεῖν καὶ ἐν δημηγορίαις εἶναι. καὶ τάδε μὲν εἰκάζετο βουλήσει τῇ ἀλογίστῳ τῶν θροεῖν προθεμένων, καὶ ἐπ' ἀμφότερα δόξῃ τῶν ἀκουόντων λαμβανόμενα· οὐ μὴν τήν γε ἕδραν ἐξέλιπον, δεδιότες τὴν ἐπενεχθησομένην προεξιοῦσιν αἰτίαν. οὐ γὰρ ἀφ' ἧς ἐξίοιεν διανοίας γε-

Digitized by Google

νήσεσθαι περὶ αὐτοὺς τὴν κρίσιν, ἀλλὰ ἀφ' ἧς εἰκάζειν θελήσειαν οἵ τε κατηγορήσαντες καὶ οἱ δικάζοντες.

ἐπεὶ δὲ καὶ πλῆθος τῶν Γερμανῶν περιέσχε τὸ θέα- 17
τρον ἐσπασμένων τὰ ξίφη, πᾶσι τοῖς θεωροῖς ἐλπὶς ἦν ἀπολέσθαι, καὶ πρὸς πᾶσαν οὑτινοσοῦν εἴσοδον πτοία εἶχεν αὐτοὺς ὡς αὐτίκα μάλα συγκοπήσοιντο· ἐν ἀμηχάνοις δὲ ἦσαν, οὔτε ἀπιέναι θάρσος εἰσφερόμενοι οὔτε ἀκίνδυνον τὴν διατριβὴν τὴν ἐπὶ τοῦ θεάτρου πεπιστευκότες. εἰσπιπτόντων δὲ ἤδη, βοὴ τοῦ θεάτρου ῥήγνυται καθ' ἱκετείαν τρεπομένου τῶν στρατιωτῶν ὡς πάντων ἀγνοίας αὐτῷ γενομένης καὶ τῶν βουλευθέντων τοῖς ἐπαναστᾶσιν, εἰ δή τις καὶ γέγονεν ἐπανάστασις, καὶ τῶν γεγονότων. φείδεσθαι οὖν, καὶ μὴ τόλμης ἀλλοτρίας παρ' αὐτῶν οὐδὲν ἐν αἰτίᾳ γενομένων ἀπολαμβάνειν τιμωρίαν, παρέντας ἐν ἐρεύνῃ τῶν πεπραχότων, ὅ τι καὶ πεπραγμένον εἴη, καταστῆναι. καὶ οἱ μὲν ταῦτά τε καὶ περαιτέρω μετὰ δακρύων καὶ τύψεως προσώπων, ἐπιθειάζοντες καὶ ποτνιώμενοι, ὁπόσα ἀνεδίδασκεν αὐτοὺς ὁ κίνδυνος ἑστὼς πλησίον, καὶ ὡς ἂν τις ἀγωνιζόμενος περὶ τῆς ψυχῆς εἰπεῖέν τι, ἔλεγον· θραύεται δὲ πρὸς ταῦτα τῶν στρατιωτῶν ἡ ὀργή, μεταμελῆσαν αὐτοῖς τοῦ ἐπὶ τοῖς θεωροῖς βουλεύματος· ὠμόν τε γὰρ ἦν τοῦτο καὶ ἐκείνοις καίπερ ἐξηγριωκόσιν ἐδόκει, τὰς κεφαλὰς τῶν περὶ τὸν Ἀσπρήναν ἐπὶ τὸν βωμὸν ἀπερεισαμένοις. πρὸς ἃς μειζόνως ἔπαθον οἱ θεωροὶ λογισμῷ τε ἀξιώσεως τῶν ἀνδρῶν καὶ ἐλέῳ τοῦ πάθους, ὥστε παρ' ὀλίγον καὶ αὐτοῖς οὐδὲν ἐλλιπεστέρως τὰ τῶν κινδύνων ὁμιλήσαντα ἐπανασωσείσθαι, ὧν ἄδηλον εἶναι τὴν συμφοράν, εἴπερ εἰς τέλος φευχθῆναι δύναιτ' ἄν. ὥστε κἂν εἴ τινες τῶν προθύμως βισούντων καὶ μετὰ δίκης τὸν Γάιον, ἀφαιρεῖσθαι τῶν ἐπ' αὐτῷ εὐφροσυνῶν τῆς χώρας διὰ

Digitized by Google

τὸ ἐν ῥοπῇ μὲν τοῦ συναπολουμένου γεγονέναι, τὸ δὲ πιστὸν τοῦ περιεῖναι μηδέπω καὶ τότε ἐγέγγυον συνελθεῖν.

18 ἦν δὲ Εὐάρεστος Ἀρρούντιος τῶν κηρυσσόντων τὰ πωλούμενα, καὶ δι' αὐτὸ φωνῆς τε μεγέθει χρώμενος καὶ χρήματα περιβεβλημένος ὅμοια τοῖς Ῥωμαίων πλουσιωτάτοις, δύναμίς τε αὐτῷ ἦν ἐφ' οἷς ἐθελήσειε πράσσειν κατὰ τὴν πόλιν ἔν τε τῷ τότε κἀν τοῖς ὕστερον. οὗτος διαθεὶς αὐτὸν ὡς ἐνῆν πενθιμώτατον (καίτοι μίσει καὶ παρ' ὀντινοῦν ἐχρῆτο πρὸς Γάιον, ἀλλὰ μὴν κρείσσων ἡ διδασκαλία τοῦ φόβου καὶ στρατηγία περὶ τοῦ κερδησομένου τὴν σωτηρίαν τῆς εἰς τὸ παρὸν ἡδονῆς), πάντα κόσμον ἐπιτηδεύσας ὡς ἄν τις ἐπὶ τοῖς τιμιωτάτοις παρασκευάσαιτο ἀπολωλόσιν, ἀποσημαίνει τοῦ Γαΐου τὸν θάνατον ἐπὶ τὸ θέατρον παρελθών, καὶ ἔπαυσε τοὺς ἀνθρώπους ἐπὶ πλέον ἀγνοίᾳ συμπεριφέρεσθαι τοῦ γεγονότος. ἤδη δὲ καὶ Ἀρρούντιος περιῄει ἀνακαλῶν τοὺς Γερμανούς, καὶ οἱ χιλίαρχοι σὺν αὐτῷ κελεύοντες κατατίθεσθαι τὸν σίδηρον καὶ διασαφοῦντες Γαΐου τὴν τελευτήν. τοῦτο δὲ καὶ σαφέστατα ἔσωσε τοὺς ἐν τῷ θεάτρῳ συνειλεγμένους, καὶ πάντας οἳ καὶ ὁπωσοῦν τοῖς Γερμανοῖς περιτύχοιεν. ἐλπίδος γὰρ αὐτοῖς παραγενομένης ἔμπνουν κεῖσθαι τὸν Γάιον οὐκ ἔστιν οὗ τινὸς κακῶν ἂν ἀπέσχοντο· τοσόνδε ἐπερίσσευσεν αὐτοῖς εὐνοίας τῆς πρὸς αὐτόν, ὡς κἂν μετὰ τοῦ καθ' αὑτοὺς ἀπολουμένου τῆς ψυχῆς κτήσασθαι τὸ ἀνεπιβούλευτον αὐτῷ καὶ τοσαύτῃ δυστυχίᾳ ⟨μὴ⟩ συνεσόμενον. παύονται δὲ τοῦ ὠρμηκότος εἰς τὴν τιμωρίαν, μαθήσεως σαφοῦς παραγενομένης αὐτοῖς ἐπὶ τῇ τελευτῇ Γαΐου, διά τε τὸ εἰς ἀχρεῖον ἐπιδείξασθαι τὸ πρόθυμον τῆς εὐνοίας, ὃς ἀμείψαιτο αὐτοὺς ἀπολωλότος, καὶ δέει μὴ περαιτέρω τῇ ὕβρει χρωμένων ἐπι-

Digitized by Google

στροφὴ γένοιτο ὑπὸ τῆς βουλῆς, εἴπερ εἰς ἐκείνην περισταίη τὸ κράτος, ἢ ὑπὸ τοῦ ἐπικαταστάντος ἄρχοντος.

καὶ οἱ μὲν Γερμανοί, εἰ καὶ μόλις, ἀλλ' οὖν ἐπαύσαντο λύσσης τῆς ἐπὶ Γαΐου τῷ θανάτῳ καταλαμβανομένης αὐτούς· Χαιρέας δέ (σφόδρα γὰρ περὶ Μινουκιανῷ ἔδεισε μὴ διαφθαρείη μανίᾳ τῶν Γερμανῶν περιπεσών) ἕκαστόν τε τῶν στρατιωτῶν μετῄει, προμηθεῖσθαι τῆς σωτηρίας αὐτοῦ δεόμενος, καὶ μὴ ἀπολώλοι πολλὴν ἐξέτασιν ποιούμενος. καὶ Μινουκιανὸν μὲν καὶ Κλήμης (ἀνάγεται γὰρ ἐπὶ τοῦτον) μεθίησι, πολλῶν μετ' ἄλλων συγκλητικῶν δικαιοσύνην τῇ πράξει συμμαρτυρῶν καὶ ἀρετὴν τοῖς ἐντεθυμημένοις καὶ πράσσειν μὴ ἀποδεδειλιακόσι· τυραννίδα γὰρ εἰς ὀλίγον μὲν ἀνθεῖν ἡδονῇ τοῦ ὑβρίζειν ἐπαρθεῖσαν, εὐτυχεῖς δὲ οὐκ ἄρα ποιεῖσθαι τὰς ἀπαλλαγὰς τοῦ βίου, μίσει τῆς ἀρετῆς πρὸς αὐτὴν χρωμένης, ἀλλὰ μετὰ τοιαύτης δυστυχίας ὁποίᾳ δὴ Γάιον συνελθεῖν, πρὸ τῶν ἐπαναστάντων καὶ συνθέντων τὴν ἐπίθεσιν αὐτὸν ἐπίβουλον αὐτῷ γενόμενον, καὶ διδάξαντα οἷς ὑβρίζων ἀφόρητος ἦν, ἀφανίζων τοῦ νόμου τὴν πρόνοιαν, πολέμῳ πρὸς αὐτὸν χρῆσθαι τοὺς φιλτάτους, καὶ νῦν λόγῳ μὲν εἶναι τούτους οἳ ἀνῃρήκασι Γάιον, ἔργῳ δὲ αὐτὸν ὑφ' ἑαυτοῦ κεῖσθαι διολωλότα.

ἤδη δὲ καὶ τὸ θέατρον ἐξανίστατο τῶν φυλακῶν, καὶ ταραχαὶ πάνυ πικραὶ ἐγένοντο τῶν εἴσω. αἰτία δ' ἦν τοῦ προθύμως διαφευξομένου τῶν θεωρῶν Ἀλκύων ὁ ἰατρός, συναρπασθεὶς ὡς ἐπὶ θεραπείᾳ τινῶν τραυματιῶν, ἐκπέμψας δὲ τοὺς συνόντας, λόγῳ μὲν ὡς καὶ μετελευσομένους ὁπόσα εἰς τὴν ἴασιν τοῖς τραυματίαις πρόσφορα, τὸ δὲ ἀληθὲς ὡς ἀπέσοιντο κινδύνου τοῦ κατειληφότος. ἐν τούτῳ δὲ βουλῆς τε γίνεται σύνοδος,

Digitized by Google

καὶ ὁ δῆμος, ᾗπερ καὶ εἰώθασιν ἐκκλησιάζειν ἐπὶ τῆς ἀγορᾶς καταστάς, ἐν ζητήσει τῶν σφαγέων τῶν Γαΐου ἦσαν, ὁ μὲν δῆμος καὶ πάνυ ἐκθύμως, δοκεῖν δὲ καὶ ἡ βουλή. καὶ ἦν γὰρ Ἀσιατικὸς Οὐαλέριος ὑπατικὸς ἀνήρ· οὗτος ἐπὶ τῶν δήμων καταστὰς θορυβούντων καὶ δεινὸν τιθεμένων τὸ ἔτι λανθάνον τῶν τὸν αὐτοκράτορα ἀπεκτονότων, ἐπεὶ προθύμως πάντες αὐτὸν ἤροντο τίς ὁ πράξας τυγχάνει, "εἶδε γὰρ ἔγωγε" φησί. προύθεσαν δὲ καὶ οἱ ὕπατοι διάγραμμα, Γαΐου μὲν κατηγορίας ποιούμενοι, κελεύοντες δὲ τῷ τε δήμῳ καὶ τοῖς στρατιώταις ἐπὶ τὰ αὐτῶν ἀπιέναι, τῷ μὲν δήμῳ πολλὴν ἀνέσεως ἐπαγγελλόμενοι ἐλπίδα, τῷ στρατιωτικῷ δὲ τιμῶν, εἰ ἐν κόσμῳ μείνειαν τῷ εἰωθότι, μηδὲν ὑβρίζειν ἐξαγόμενοι· δέος γὰρ ἦν μὴ ἐξαγριωσάντων ἀπολαύσειε τοῦ κακοῦ ἡ πόλις, καθ' ἁρπαγὰς αὐτῶν καὶ συλήσεις τῶν ἱερῶν τρεπομένων. ἐφθάκει δὲ ἤδη τῶν βουλευτῶν τὸ πᾶν πλῆθος συνειλεγμένον, καὶ μάλιστα οἱ τοῦ Γαΐου συνθέντες τὸν φόνον, θράσει τε ἤδη χρώμενοι κἀν φρονήματι μεγάλῳ ὄντες ὡς εἰς αὐτοὺς ἀνακειμένων ἤδη τῶν πραγμάτων.

2 ἐν τούτῳ δὴ ὄντων τῶν πραγμάτων αἰφνίδιον ἁρπάζεται Κλαύδιος ἐκ τῆς οἰκίας. οἱ γὰρ στρατιῶται, συνόδου γενομένης αὐτῶν ἀλλήλοις, καὶ αὐτοῖς λόγον δόντες περὶ τοῖς ποιητέοις, ἑώρων δημοκρατίαν ἀδύνατόν τε ἐν κράτει τοσῶνδε ἂν ποτε γενέσθαι πραγμάτων, ἐξικομένην τε οὐκ ἐπ' ἀγαθῷ τῷ αὐτῶν γενήσεσθαι τὴν ἀρχήν, εἰ δέ τις τῶν καθ' ἕνα κατασχήσοι τὴν ἡγεμονίαν, εἰς πάντα λυπηρὸν αὐτοῖς εἶναι μὴ οὐ συνεργοῖς τῆς ἀρχῆς καταστᾶσι· καλῶς οὖν ἔχειν, ἀκρίτων ἔτι ὄντων τῶν πραγμάτων, ἡγεμόνα αἱρεῖσθαι Κλαύδιον, πατρωόν τε ὄντα τοῦ τεθνεῶτος καὶ τῶν εἰς τὴν βουλὴν συλλεγομένων οὐδενὸς οὗ τινὸς οὐκ

Digitized by Google

ἀξιολογώτερον προγόνων τε ἀρετῇ καὶ τὰ κατὰ τὴν παιδείαν μεμελετηκότα· κατασταθέντα γὰρ αὐτοκράτορα τιμήσειν τε τὰ εἰκότα καὶ ἀμείψεσθαι δωρεαῖς. ταῦτα διανοοῦνταί τε καὶ ἔπραξαν ἐκ τοῦ παραχρῆμα. ἥρπαστο μὲν δὴ Κλαύδιος ὑπὸ τοῦ στρατιωτικοῦ, Γναῖος δὲ Σέντιος Σατουρνῖνος, καίτοι πεπυσμένος τὴν Κλαυδίου ἁρπαγήν, καὶ ὡς ἐπιβικάζοιτο τῆς ἀρχῆς ἄκων μὲν δοκεῖν, τὸ δὲ ἀληθὲς καὶ βουλήσει τῇ αὐτοῦ, καταστὰς ἐπὶ τῆς συγκλήτου καὶ μηδὲν κατα- πλαγεὶς ἐλευθέροις τε καὶ γενναίοις ἀνδράσι πρεπόντως ποιεῖται παραίνεσιν, τάδε λέγων.

"εἰ καὶ ἄπιστον, ὦ ἄνδρες Ῥωμαῖοι, διὰ τὸ χρόνῳ 2 πολλῷ ἧκειν ἀνέλπιστον οὖσαν ἡμῖν, ἀλλ' οὖν ἔχομεν τοῦ ἐλευθέρου τὴν ἀξίωσιν, ἄδηλον μὲν ἐφ' ὁπόσον παρατείνουσαν, καὶ γνώμῃ θεῶν, οἳ ἐχαρίσαντο αὐτήν, κειμένην, εὐφραίνειν δὲ ἀρκοῦσαν, καὶ εἴπερ ὠφαιρεθείημεν αὐτῆς, εὐδαιμονίᾳ συνάγουσαν. ἱκανὴ γὰρ καὶ μία ὥρα τοῖς ἀρετῆς αἰσθανομένοις μετ' αὐτοτελοῦς τῆς διανοίας ἐν αὐτοδίκῳ τῇ πατρίδι καὶ μετὰ νόμων οἷς ποτὲ ἤνθησε διαιτωμένῃ βιωθεῖσα. ἐμοὶ δὲ τῆς μὲν πρότερον ἐλευθερίας ἀμνημονεῖν ἔστι διὰ τὸ κατόπιν αὐτῆς γεγονέναι, τῆς δὲ νῦν ἁπλήστως πιμπλαμένῳ μακαριστούς τε ἡγεῖσθαι τοὺς ἐγγενηθέντας καὶ ἐντραφέντας αὐτῇ, καὶ τῶν θεῶν οὐδὲν μείονος ἀξίους τιμῆς τούσδε τοὺς ἄνδρας οἳ ὀψὲ γοῦν κἀν τούτῳ τῆς ἡλικίας ἡμᾶς ἔγευσαν αὐτῆς. καὶ εἴη μὲν εἰς πᾶν τοῦ αἰῶνος τὸ ἐπιὸν παραμεῖναι τὴν ἄδειαν αὐτῆς· ἀρκοῦσα δ' ἂν γένοιτο καὶ ἥδε ἡ ἡμέρα τοῖς τε νεωτέροις ἡμῶν καὶ ὅσοι γεγηράκαμεν. αἰὼν ὑπείληπται τοῖς πρεσβυτέροις, ἐὰν τῶν ἀγαθῶν αὐτῆς ἐν ὁμιλίᾳ γεγονότες μεταστῶσιν, τοῖς δὲ νεωτέροις παίδευμα ἀρετῆς καταστησάσης ἀγαθὸν ἀνδράσι τοῖσδε ἀφ' ὧν γεγόνα-

Digitized by Google

μεν. νῦν δὲ ἤδη καὶ ἡμῖν διὰ τὴν ἄρτι ὥραν οὐδὲν προυργιαίτερον εἴη τοῦ ζῆν μετ' ἀρετῆς, ἣ μόνη ἐκφροντίζει τῷ ἀνθρωπείῳ τὸ ἐλεύθερον. ἐγὼ γὰρ τὰ παλαιὰ οἶδα ἀκοῇ παραλαβών, οἷς δὲ ὕψει ὁμιλήσας ἠσθόμην οἷων κακῶν τὰς πολιτείας ἀναπιμπλᾶσιν αἱ τυραννίδες, κωλύουσαι μὲν πᾶσαν ἀρετὴν καὶ τοῦ μεγαλόφρονος ἀφαιρούμεναι τὸ ἐλεύθερον, κολακείας δὲ καὶ φόβου διδάσκαλοι καθιστάμεναι διὰ τὸ μὴ ἐπὶ σοφίᾳ τῶν νόμων ἀλλ' ἐπὶ τῇ ὁρμῇ τῶν ἐφεστηκότων καταλείπειν τὰ πράγματα. ἀφ' οὗ γὰρ Ἰούλιος Καῖσαρ φρονήσας ἐπὶ καταλύσει τῆς δημοκρατίας καὶ διαβιασάμενος τὸν κόσμον τῶν νόμων τὴν πολιτείαν συνετάραξε, κρείσσων μὲν τοῦ δικαίου γενόμενος ἥσσων δὲ τοῦ κατ' ἰδίαν ἡδονὴν αὐτῷ κομιοῦντος, οὐκ ἔστιν ὅ τι τῶν κακῶν οὐ διέστρεψε τὴν πόλιν, φιλοτιμηθέντων πρὸς ἀλλήλους ἁπάντων οἳ ἐκείνῳ διάδοχοι τῆς ἀρχῆς κατέστησαν, ἐπ' ἀφανισμῷ τοῦ πατρίου, καὶ ὡς ἂν μάλιστα τῶν πολιτῶν ἐρημίαν τοῦ γενναίου καταλείποιεν, διὰ τὸ οἴεσθαι πρὸς ἀσφαλείας εἶναι τῆς αὐτῶν τὸ κιβδήλοις ἀνδράσιν ὁμιλεῖν, καὶ τῶν ἀρετῇ προύχειν πεπιστευμένων οὐ μόνον ὑφαιρεῖν τι τοῦ αὐχήματος, ἀλλ' εἰς τὸ πᾶν ἐπιψηφίζειν αὐτῶν τοῖς ὀλέθροις. ὧν ἁπάντων ἀριθμῷ τε πολλῶν ὄντων καὶ βαρύτητα ἀνύποιστον ἐπιδειξαμένων καθ' ἃ ἕκαστος ἦρξεν, εἷς ὧν ὁ Γάιος ὁ σήμερον τεθνεὼς πλείω τε πάντων δεινὰ ἐπεδείξατο, οὐ μόνον εἰς τοὺς συμπολίτας ἀλλὰ καὶ εἰς τοὺς συγγενεῖς καὶ φίλους ἀπαίδευτον τὴν ὀργὴν ἐπαφείς, ὁμοίως τοῖς ἅπασι καὶ μείζω κακὰ ἐντριβόμενος ἀδίκως τὴν τιμωρίαν εἰσπράσσεσθαι, ὀργὴν ὁμοίως εἴς τε ἀνθρώπους ἐξαγριώσας καὶ θεούς. τυραννίδι γὰρ οὐ κερδαίνεσθαι τὸ ἡδὺ οὐδὲ μεθ' ὕβρεως ἀπόχρη οὐδ' εἰς τὰ χρήματα λελυπῆσθαι καὶ γαμετάς, ἀλλὰ τὸ πᾶν

Digitized by Google

κέρδος ἐκ τοῦ πανοικεσίᾳ διοχλουμένου τῶν ἐχθρῶν. ἐχθρὸν δὲ τυραννίδι πᾶν τὸ ἐλεύθερον, εἰς εὔνοιάν τε ἐκκαλεῖσθαι αὐτὴν καὶ τοῖς ἐν ὀλίγῳ τιθεμένοις ὁπόσα πεπόνθοιεν οὐκ ἔστιν· ἐξεπιστάμενοι γὰρ ὧν ἀναπλήσειαν κακῶν ἔστιν οὓς, κἂν ἐκεῖνοι μεγαλοφρόνως καταφρονήματι χρῶνται πρὸς τὴν τύχην, αὐτοὶ λανθάνειν αὐτοὺς ὧν πράξειαν μὴ δυνάμενοι, μόνως πιστεύουσι κτήσασθαι τοῦ ὑπόπτου τὸ ἀβεές, εἰ παντελῶς ἀρέσθαι δυνηθεῖεν αὐτούς. τοιούτων δὴ κακῶν ἀπογεγονότες καὶ ὑποτελεῖς ἀλλήλοις καταστάντες, αἴπερ πολιτειῶν ἐγγυώταται πρός τε τὸ παρὸν εὖνουν καὶ τὸ αὖθις ἀνεπιβούλευτον καὶ πρὸς δόξαν οἰκείαν τῷ ὀρθουμένῳ τῆς πόλεως, δίκαιοί ἐστε προνοῆσαι ἰδίᾳ τὸ εἰς κοινὴν αὐτοῦ τὴν ὠφέλειαν ἁπάντων, ἢ καὶ ἀνταποφήνασθαι γνώμην, οἷς μὴ ἀρέσκοιτο τὰ προεισηγμένα, οὐδαμῶς εἰς κίνδυνον φέρον διὰ τὸ μὴ δεσπότην εἶναι τὸν ἐφεστηκότα, ᾧ ἀνεύθυνόν τι βλάπτοντι τὴν πόλιν καὶ αὐτοκράτορι μεταστήσασθαι τοὺς εἰρηκότας. καὶ τέτροφε τὴν τυραννίδα οὐδὲν νεώτερον πλὴν ἥ τε ἀργία καὶ τὸ πρὸς οὐδὲν τῶν ἐκείνῃ θελομένων ἀντιλογίᾳ χρώμενον· τῆς γὰρ εἰρήνης τοῦ τερπνοῦ ἡσσώμενοι καὶ μεμαθηκότες ἀνδραπόδων ἐν τρόπῳ ζῆν, ὁπόσοι τε ἐπάθομεν συμφορὰς ἀνηκέστους κακοῖς τε τοῖς πέλας ἐπείδομεν, φόβῳ τοῦ μετ' ἀρετῆς τελευτᾶν μετ' αἰσχύνης τῆς ὑστάτης ὑπομένοντες τὰς τελευτάς. πρῶτον δὲ δεῖ τοῖς ἀραμένοις τὸν τύραννον τιμὰς αἴτινες μέγισται, ταύτας εἰσενεγκεῖν, μάλιστα δὲ Χαιρέᾳ τῷ Κασσίῳ· σὺν γὰρ τοῖς θεοῖς εἷς ἀνὴρ οὗτος πορισθὴς ἡμῖν καὶ γνώμῃ καὶ χερσὶ τῆς ἐλευθερίας πέφηνεν, οὗ καλὸν μὴ ἀμνημονεῖν, ἀλλ' ἐπὶ τῆς τυραννίδος ὑπὲρ ἐλευθερίας τῆς ἡμετέρας προβεβουλευκότος τε ἅμα καὶ προκεκινδυνευκότος ἐπὶ τῆς ἐλευθερίας ψηφίσα-

Digitized by Google

σθαι τάς [τε] τιμάς, πρῶτόν τε ἀνεπιτάκτως τοῦτο ἀναφήνασθαι. ἔργον δὲ κάλλιστον καὶ ἐλευθέροις ἀνδράσι πρέπον ἀμείβεσθαι τοὺς εὐεργέτας, οἷος δὴ καὶ ἀνὴρ οὗτος περὶ ἡμᾶς πάντας γέγονεν, οὐδὲν παραπλησίως Κασσίῳ καὶ Βρούτῳ τοῖς Γάιον Ἰούλιον ἀνηρηκόσιν, ἐπεί γε οἳ μὲν στάσεως καὶ πολέμων ἐμφυλίων ἀρχὰς ἐπανερρίπισαν τῇ πόλει, οὗτος δὲ μετὰ τῆς τυραννοκτονίας καὶ τῶν ἐντεῦθεν δεινῶν ἀπήλλαξε τὴν πόλιν."

3 Σέντιος μὲν τοιούτοις ἐχρῆτο τοῖς λόγοις, καὶ τῶν βουλευτῶν ἡδονῇ δεχομένων καὶ ὁπόσοι τῶν ἱππέων παρῆσαν· ἀναπηδήσας δέ τις Τρεβέλλιος Μάξιμος περιαιρεῖται τὸν δακτύλιον τοῦ Σεντίου (λίθος δὲ εἰκόνα Γαΐου ἐγγεγλυμμένος ἐνεδεσμεύετο αὐτῷ) καὶ σπουδῇ τῶν λεγομένων καὶ ὧν ἐπενόει πράξειν, ὅπερ ᾤετο, ἐν λήθῃ γεγονότι. καὶ ἡ μὲν γλυφὴ κατάγνυται, προελήλυθει δὲ ἡ νὺξ ἐπὶ μέγα, καὶ Χαιρέας δὲ σημεῖον ἤτει τοὺς ὑπάτους· οἳ δὲ ἐλευθερίαν ἔδοσαν. ἐν θαύματι δὲ ἦν αὐτοῖς καὶ ὅμοια ἀπιστίᾳ τὰ δρώμενα· ἔτει γὰρ ἑκατοστῷ μεθ' ὃ τὴν δημοκρατίαν τὸ πρῶτον ἀφῃρέθησαν, ⟨ἐπέστρεψεν⟩ ἐπὶ τοὺς ὑπάτους σημείου ἡ παράδοσις· οὗτοι γὰρ πρότερον ἢ τυραννηθῆναι τὴν πόλιν κύριοι τῶν στρατιωτικῶν ἦσαν. Χαιρέας δὲ τὸ σημεῖον λαβὼν παρεδίδου τῶν στρατιωτῶν τοῖς πρὸς τὴν σύγκλητον συνεστηκόσιν· ἦσαν δὲ εἰς σπείρας τέσσαρας, οἷς τὸ ἀβασίλευτον τιμιώτερον τῆς τυραννίδος προύκειτο. καὶ οἵδε μὲν ἀπῆσαν μετὰ τῶν χιλιάρχων, ἀνεχώρει δὲ ἤθη καὶ ὁ δῆμος περιχαρὴς καὶ ἐλπίδος καὶ φρονήματος μεστὸς ἐπὶ τῷ κτησαμένῳ τὴν ἡγεμονίαν αὐτοῖς, οὐκέτι ἐπὶ τῷ ἐφεστηκότι. καὶ τὰ πάντα ἦν ὁ Χαιρέας αὐτοῖς.

4 Χαιρέας δὲ ἐν δεινῷ τιθέμενος περιεῖναι τήν τε θυγατέρα Γαΐου καὶ τὴν γυναῖκα, ἀλλὰ μὴ κανοιπὶ τὸν

Digitized by Google

ὄλεθρον αὐτῷ συντυχεῖν, ἐπεὶ καὶ πᾶν ὅ τι ὑπολείποιτο αὐτῶν ἐπ' ὀλέθρῳ τῆς πόλεως λειφθήσεσθαι καὶ τῶν νόμων, ἄλλως τε πρόθεσιν ἐσπουδακὼς τελειώσασθαι τὴν αὐτοῦ καὶ πάνυ εὐφρᾶναι μῖσος τὸ πρὸς Γάϊον, Ἰούλιον ἐκπέμπει Λοῦπον, ἕνα τῶν χιλιάρχων, πενοῦντα τὴν γυναῖκα Γαΐου καὶ τὴν θυγατέρα. Κλήμεντος δὲ ὄντι συγγενεῖ τῷ Λούπῳ τὴν ἐπὶ τοιοῖσδε προύθεσαν λειτουργίαν, ὅπως μετασχὼν κἂν ἐπὶ τοιούτοις τῆς τυραννοκτονίας ἀγάλλοιτο ἀρετῇ πρὸς τῶν πολιτῶν [ὡς] καὶ τοῦ παντὸς ἐπιβουλεύματος δόξειε κοινωνεῖν τῶν πρῶτον συνθεμένων. ἐνίοις δὲ τῶν συνωμοτῶν καὶ ὠμὸν ἐδόκει τὸ ἐπὶ τῇ γυναικὶ θράσει χρησάμενον, διὰ τὸ Γάϊον φύσει τῇ αὐτοῦ χρώμενον ἢ συμβουλῇ τῇ ἐκείνης τὰ πάντα πρᾶξαι, ἐξ ὧν ἥ τε πόλις ἀπηγορεύκει τοῖς κατειληφόσι κακοῖς καὶ τῶν πολιτῶν ὅ τι καὶ ἄνθος ἦν ἀπώλετο· οἳ δὲ καὶ τὴν μὲν ἐπὶ τοιούτοις ἐνεκάλουν αὐτῇ γνώμην, τὸ δὲ πᾶν καὶ τῶν ὑπὸ Γαΐου πεπραγμένων κακῶν ἐκείνῃ τὴν αἰτίαν ἐπέφερον, φάρμακον τῷ Γαΐῳ δούσῃ ἐννοιᾶν δούλωσιν καὶ ἐρώτων ἐπαγωγὰς αὐτῷ ψηφιούμενον, ὡς εἰς μανίαν μεταστάντος τὰ πάντα αὐτὴν εἶναι τὴν νεανιπηγημένην ἐπὶ ταῖς Ῥωμαίων τύχαις καὶ τῆς ὑποτελούσης αὐτοῖς οἰκουμένης. καὶ πέρας κυρωθὲν ὥστε αὐτὴν τελευτᾶν (οὐδὲν γὰρ οἱ ἀποσπεύδοντες οἷοί τε ὠφελεῖν ἦσαν) ἐστέλλετο ὁ Λοῦπος· ἐβραδύνετο δὲ οὐδὲν μελλήσει τῇ κατ' αὐτὸν ὥστε μὴ οὐκ εἰς καιρὸν δεδιακονῆσθαι τοῖς ἀπεσταλκόσι, θέλων ἐπ' οὐδαμοῖς μεμπτὸς εἶναι τῶν ἐπ' ὠφελείᾳ τοῦ δήμου ποιουμένων. παρελθὼν δὲ ἐπὶ τοῦ βασιλείου καταλαμβάνει τὴν Καισωνίαν (γυνὴ δὲ ἦν τοῦ Γαΐου) παρακατακειμένην τῷ σώματι τοῦ ἀνδρὸς χαμαιπετεῖ, καὶ πάντων ἐν ἀτυχίᾳ ὧν χαρίζοιτο ἂν ὁ νόμος τοῖς μεταστᾶσιν, αἵματί τε ἀνα-

Digitized by Google

πεφυρμένην ἐκ τῶν τραυμάτων καὶ πολλῇ τῇ ταλαιπωρίᾳ συμφερομένην, τῆς θυγατρὸς παρερριμμένης· ἠκούετό τε ἐν τοῖς τοιοῖσδε οὐδὲν ἕτερον ἢ κατάμεμψις τοῦ Γαΐου ὡς πιθανὴν οὐ σχόντος πολλάκις προηγορευκυίαν αὐτήν. ἐπ' ἀμφότερα δὲ οὗτος ὁ λόγος καὶ τότε εἱκάζετο, καὶ νῦν ἐφ' ὁμοίοις πρόκειται τῇ διανοίᾳ τῶν ἀκροατῶν, πρὸς ὅ τι θελήσειαν ῥοπὰς τὰς αὐτοῦ προστιθεμένων. οἳ μὲν γὰρ ἀποσημαίνειν ἔφασαν τὸν λόγον ὡς συμβουλευομένης ἀποστάντα μανιῶν καὶ τοῦ εἰς τοὺς πολίτας ὠμοῦ μετρίως καὶ μετ' ἀρετῆς ἐξηγεῖσθαι τῶν πραγμάτων, μὴ παρ' αὐτῶν ἀπολέσθαι τρόπῳ τῷ αὐτοῦ χρωμένων· οἳ δὲ ὡς λόγου τοῦ περὶ τῶν συνωμοτῶν ἐπιφοιτήσαντος Γαΐῳ κελεύσειε μηδὲν εἰς ἀναβολὰς ἀλλ' ἐκ τοῦ ὀξέος πάντας μεταχειρισάμενον αὐτούς, κἂν εἰ μηδὲν ἀδικοῖεν, ἐν ἀδεεῖ κινδύνων καταστῆναι, καὶ τοῦτο εἶναι τὸ ἐπονειδιζόμενον ὡς προηγορευκυίας διαπράξασθαι μαλακῷ γεγονότι. καὶ τὰ μὲν λεχθέντα ὑπὸ τῆς Καισωνίας, καὶ ὁποῖα οἱ ἄνθρωποι περὶ αὐτῆς ἐφρόνουν, ταῦτα ἦν· ἡ δὲ ἐπεὶ θεᾶται τὴν πρόσοδον τοῦ Λούπου, τό τε σῶμα τοῦ Γαΐου προυδείκνυεν καὶ ἄσσον ἰέναι παρεκάλει μετ' ὀλοφυρμοῦ καὶ δακρύων. ἐπεὶ δὲ τῇ διανοίᾳ μὴ συνεστηκότα ἑώρα τὸν Λοῦπον καὶ προσιόντα ὡς ἐπὶ πρᾶξιν οὐκ αὐτῷ κεχαρισμένην, γνωρίσασα ἐφ' ὃ ἐχώρει τήν τε σφαγὴν ἐγύμνου καὶ πάνυ προθύμως, ποτνιωμένη ὁποῖα εἰκὸς τοὺς οὕτω σαφῶς ἐν ἀπογνώσει τοῦ ζῆν γεγονότας, καὶ κελεύουσα μὴ μέλλειν ἐπὶ τελειώσει τοῦ δράματος οὗ ἐπ' αὐτῆς συνέθεσαν. καὶ ἥδε μὲν εὐψύχως ταύτῃ τελευτᾷ ὑπὸ τοῦ Λούπου, καὶ ἐπ' αὐτῇ τὸ θυγάτριον· καὶ Λοῦπος ταῦτα προσαγγέλλων ἔσπευδε τοῖς περὶ τὸν Χαιρέαν.

5 Γάιος μὲν δὴ τέταρτον ἐνιαυτὸν ἡγεμονεύσας Ῥω-

Digitized by Google

μαίαν λείποντα τεσσάρων μηνῶν οὕτω τελευτᾷ, ἀνὴρ καὶ πρότερον ἢ τῇ ἀρχῇ συνῆλθε σκαιός τε καὶ κακοπραγίας εἰς τὸ ἄκρον ἀφιγμένος, ἡδονῇ τε ἡσσώμενος καὶ φίλος διαβολῇ, καὶ τὰ μὲν φοβερὰ καταπεπληγμένος, καὶ διὰ τοῦτο ἐφ' οἷς θαρσήσειε φονικώτατος, τῆς δὲ ἐξουσίας ἐφ' ἑνὶ μόνῳ πιμπλάμενος τῷ ὑβρίζειν εἰς οὓς ἥκιστα ἐχρῆν, ἀλόγως μεγαλοψυχίᾳ χρώμενος, καὶ πορισταὶς ἐκ τοῦ κτείνειν καὶ παρανομεῖν, καὶ τοῦ μὲν θείου καὶ χομίμου μείζων ἐσπουδακὼς εἶναί τε καὶ δοκεῖν, ἡσσώμενος δὲ ἐπαίνων τῆς πληθύος. καὶ πάντα ὅσα αἰσχρὰ κρίνας ὁ νόμος ἐπιτιμᾷ, τιμιώτερα ἐνόμισεν ἀρετῆς. καὶ φιλίας ἀμνήμων ἦν, εἰ καὶ πλείστη τε καὶ διὰ μεγίστων γένοιτο, οἷς ποτὲ ὀργισθείη ἐπιπλήξει κολάσεως καὶ ἐπ' ἐλαχίστοις, πολέμιον δὲ ἡγούμενος πᾶν τὸ ἀρετῇ συνερχόμενον, ἀναντίλεκτον ἐπὶ πᾶσιν οἷς κελεύσειε τὴν ἐπιθυμίαν λαμβάνων· ὅθεν καὶ ἀδελφῇ γνησίᾳ συνῆν, ἐξ οὗ καὶ μάλιστα αὐτῷ φύεσθαι παρὰ τοῖς πολίταις ἤρξατο σφοδρότερον τὸ μῖσος, διὰ τὸ πολλοῦ χρόνου μὴ ἱστορημένον εἰς τε ἀπιστίαν καὶ ἐχθραν τὴν πρὸς τὸν πράξαντα παρακαλεῖν. ἔργον δὲ μέγα ἢ βασίλειον οὐδὲν αὐτῷ πεπραγμένον εἴποι ἄν τις, ἢ ἐπ' ὠφελείᾳ τῶν συνόντων καὶ αὖθις ἀνθρώπων ἐσομένων, πλήν γε τοῦ περὶ Ῥήγιον καὶ Σικελίαν ἐπινοηθέντος εἰς ὑποδοχὴν τῶν ἀπ' Αἰγύπτου σιτηγῶν πλοίων. τοῦτο δὲ ὁμολογουμένως μέγιστόν τε καὶ ὠφελιμώτατον τοῖς πλέουσιν· οὐ μὴν ἐπὶ τέλος γε ἀφίκετο, ἀλλ' ἡμίεργον ὑπὸ τοῦ ἀμβλυτέρως αὐτῷ ἐπιπονεῖν κατελείφθη. αἴτιον δ' ἦν ἡ περὶ τὰ ἀχρεῖα σπουδὴ καὶ τὸ δαπανῶντα εἰς ἡδονὰς, αἳ κατὰ μόνας ἔμελλον ὠφελεῖν αὐτῷ, ὑφαιρεῖν τὴν ἐπὶ τοῖς κρείττοσιν ἀνωμολογημένοις φιλοτιμίαν. ἄλλως δὲ ῥήτωρ τε ἄριστος καὶ γλώσσῃ τῇ Ἑλλάδι καὶ τῇ Ῥωμαίοις πατρίῳ σφόδρα ἠσκημέ-

Digitized by Google

νος, συνίει τε ἐκ τοῦ παραχρῆμα, καὶ τοῖς ὑφ' ἑτέρων συντεθεῖσί τε καὶ ἐκ πλείονος προσυγκειμένοις ἀντειπὼν ἐκ τοῦ ὀξέος φανῆναι πιθανώτερος ἐν μεγίστῳ πράγματι παρ' ὀντιναοῦν γενόμενος, εὐκολίᾳ τε εἰς αὐτὸ τῆς φύσεως καὶ τῷ εἰς ἰσχὺν αὐτῇ προσλαβεῖν μελέτην τοῦ ἐπιπονεῖν. ἀδελφοῦ γὰρ παιδὸς υἱεῖ γεγονότι Τιβερίου, οὗ καὶ διάδοχος γίνεται, μέγα ἀνάγκασμα παιδείας ἀντέχεσθαι διὰ τὸ καὶ αὐτὸς εἰς τὰ πρῶτα ἐν αὐτῇ κατορθῶν διαπρέπειν, καὶ συνεφιλοκάλει Γάιος, συγγενοῦς τε ἀνδρὸς καὶ ἡγεμόνος εἴκων ἐπιστολαῖς. ἐπρώτευσέ τε τῶν καθ' αὐτὸν πολιτῶν, οὐ μὴν ἀντισχεῖν οἷά τε ἐγένετο αὐτῷ τὰ ἐκ τῆς παιδείας συλλεγέντα ἀγαθὰ πρὸς τὸν ἐπελθόντα ὄλεθρον αὐτῷ ὑπὸ τῆς ἐξουσίας· οὕτως ἄρα δυσπόριστον ἡ ἀρετὴ τοῦ σωφρονεῖν οἷς ἀνυπεύθυνος τοῦ πράσσειν ῥᾳστώνη πάρεστι. φίλοις μὲν κεχρῆσθαι καὶ τὰ πάντα ἀξιολόγοις ὑποσπουδασθεὶς τὸ κατ' ἀρχὰς ὑπό τε παιδείας καὶ δόξης ζήλου τῶν κρεισσόνων, μέχρι δὴ τῷ περιόντι τοῦ ὑβρίζειν ἀπαλιφείσης εὐνοίας ᾗ πρὸς αὐτὸν ἐχρήσαντο, καὶ μίσους ὑποφυέντος, ὑπ' αὐτῶν ἐπιβουλευθεὶς τελευτᾷ.

3 Κλαύδιος δέ, καθάπερ ἀνώτερον ἔφην, ἀπορρήξεως αὐτῷ τῶν σὺν Γαΐῳ ὁδῶν γενομένης, καὶ τοῦ οἴκου θορυβηθέντος πάθει τῆς Καίσαρος τελευτῆς ἐν ἀμηχάνοις ὢν περὶ τῆς σωτηρίας, ἔν τινι στενωπῷ κατειλημμένος ἔκρυπτεν αὑτόν, οὐδεμίαν κινδύνων αἰτίαν πλὴν τῆς γενναιότητος ὑφορώμενος· μέτριον γὰρ ἰδιώτης ὢν ἦγεν αὑτὸν καὶ τοῖς παροῦσιν ἀρκῶν ἦν, παιδείᾳ τε συνών, καὶ μάλιστα τῇ Ἑλληνίδι, καὶ παντὸς τοῦ εἰς θόρυβον ἀνακειμένου παντοίως ἀπαλλάσσων αὑτόν. τότε δὲ πτοίας κατειληφυίας τὸν ὄχλον, καὶ τοῦ βασιλείου παντὸς στρατιωτικῆς μανίας ἀνάπλεω γεγονότος,

Digitized by Google

καὶ δειλίας καὶ ἀταξίας ἰδιωτῶν οἷον ἀπειληφότων σωματοφυλάκων, οἱ περὶ τὸ στρατηγικὸν καλούμενον, ὅπερ ἐστὶ τῆς στρατιᾶς τὸ καθαρώτατον, ἐν βουλῇ περὶ τοῖς πρακτέοις ἦσαν. ὁπόσοι δὲ καὶ παρετύγχανον, τὴν μὲν Γαΐου τιμωρίαν ἐν ὀλίγῳ τιθέμενοι διὰ τὸ κατὰ δίκην αὐτῷ τὰς τύχας συνελθεῖν, τὰ δὲ περὶ αὐτοὺς ἀνεσκοποῦντο μᾶλλον ὃν τρόπον σχήσοι καλῶς, καὶ τῶν Γερμανῶν ἐν τιμωρίαις τῶν σφαγέων ὄντων ὠμότητος χάριτι τῆς ἑαυτῶν μᾶλλον ἢ τοῦ συμφέροντος τοῖς πᾶσιν. ὑφ' ὧν ἁπάντων ὁ Κλαύδιος ἐθορυβεῖτο, δεδιὼς περὶ τῆς σωτηρίας, ἄλλως τε καὶ ἐπειδὴ τῶν περὶ τὸν Ἀσπρήναν ἐτεθέατο τὰς κεφαλὰς παραφερομένας. εἱστήκει δὲ κατά τι προσβατὸν ὀλίγαις βαθμῖσι χωρίον, ὑπεσταλκὼς τῷ κατ' αὐτὸ σκότῳ. καὶ Γρᾶτος τῶν περὶ τὸ βασίλειόν τις στρατιωτῶν θεασάμενος, καὶ τοῦ μὲν ἀκριβωσομένου τὴν ὄψιν ἀμαθὴς ὢν διὰ τὸν σκότον, τοῦ δὲ ἄνθρωπον εἶναι τὸν ὑπολοχῶντα κριτὴς εἶναι μὴ ἀπηλλαγμένος, προσῄει τε ἐγγύτερον καὶ ὑποχωρεῖν ἠξιωκότος ἐπέκειτο, καὶ καταλαβὼν ἐπιγνωρίζει, καὶ "Γερμανικὸς μὲν οὗτος" φησὶ πρὸς τοὺς ἑπομένους, καὶ "στησώμεθα τοῦτον ἡγεμόνα φερόμενοι." Κλαύδιος δὲ ἐφ' ἁρπαγῇ παρεσκευασμένους ὁρῶν, καὶ δείσας μὴ κατὰ φόνον ἀποθάνοι τὸν Γαΐου, φειδὼ σχεῖν ἠξίου, τοῦ καθ' αὑτὸν ἀνεπαχθοῦς ἀνάμνησιν αὐτοῖς ὑποτιθεὶς καὶ τοῦ ἀπρομηθοῦς τῶν γεγονότων. καὶ ὁ Γρᾶτος μειδιάσας ἐπισπᾶται τῆς δεξιᾶς καὶ "παῦσαι" φησί "μικρολογούμενος περὶ τῆς σωτηρίας, δέον σε μεγαλοφρονεῖσθαι περὶ τῆς ἡγεμονίας, ἣν οἱ θεοὶ Γάιον ἀφῃρημένοι τῇ σῇ συνεχώρησαν ἀρετῇ, πρόνοιαν τῆς οἰκουμένης λαβόντες. ἀλλ' ἴθι καὶ τῶν προγόνων ἀπολάμβανε τὸν θρόνον." ἀνεβάσταζε δὲ αὐτὸν οὐ

Digitized by Google

πάνυ βαίνειν τοῖς ποσὶ δυνάμενον ὑπό τε φόβου καὶ χάρματος τῶν εἰρημένων.

2 συνεστρέφοντο δὲ περὶ τὸν Γρᾶτον ἤδη καὶ πλείους τῶν σωματοφυλάκων, καὶ θεωροῦντες τὸν Κλαύδιον ἀγόμενον ἐσκυθρώπαζον δόξῃ τοῦ ἐπὶ κόλασιν ἕλκεσθαι τῶν ἐπὶ τοιοῖσδε ζημιῶν, ὡς ἄνδρα ἀπράγμονα διὰ βίου τοῦ παντός, καὶ κινδύνοις οὔ τι μετρίως ἐπὶ τῆς Γαΐου ἀρχῆς ὡμιληκότα· τινὲς δὲ καὶ τοῖς ὑπάτοις ἐπιτρέπειν κρίσιν ἠξίουν τὴν περὶ αὐτῷ. καὶ πλειόνων τοῦ στρατιωτικοῦ συστρεφομένων, φυγαί τε ἦσαν τοῦ ὁμίλου καὶ προόδων ἀπορία τῷ Κλαυδίῳ δι' ἀσθένειαν τοῦ σώματος, ἐπεὶ καὶ οἱ τὸ φορεῖον αὐτοῦ φέροντες περὶ τὴν ἁρπαγὴν αὐτοῦ πύστεως παραγενομένης φυγῇ ἔσωζον αὐτούς, ἀπ' ἐλπίδος θέμενοι τὴν σωτηρίαν τοῦ δεσπότου. ἐν εὐρυχωρίᾳ δὲ τοῦ παλατίου γενομένοις (πρῶτον δὲ οἰκηθῆναι τῆς Ῥωμαίων πόλεως τοῦτο παραδίδωσιν ὁ περὶ αὐτῆς λόγος) καὶ ἤδη τοῦ δημοσίου ἀντιλαμβανομένοις πολὺ πλείων ἡ ἐπιφοίτησις ἦν τῶν στρατιωτῶν, χαρᾷ τὴν ὄψιν δεχομένων τοῦ Κλαυδίου, περὶ πλείστου τε ἦν αὐτοῖς αὐτοκράτορα στήσεσθαι τὸν ἄνθρωπον εὐνοίᾳ τῇ τοῦ Γερμανικοῦ· ἀδελφὸς δὲ ἦν αὐτοῦ, ἐπὶ μέγα πᾶσι τοῖς ὡμιληκόσι καταλελοιπότος κλέος τὸ αὐτοῦ. ἀναλογισμός τε αὐτοὺς εἰσήει τῆς τε πλεονεξίας τῶν ἐν τῇ συγκλήτῳ δυναστευόντων, καὶ ὁπόσα ἐπὶ τῆς πρὶν ἀρχῆς ἡμάρτητο αὐτῇ. πρὸς δὲ καὶ τὸ ἀμήχανον τοῦ πράγματος κατενόουν, καὶ πάλιν εἰς ἑνὸς ἀρχὴν μεθισταμένων τῶν ὅλων κινδύνους αὐτοῖς φέρειν διά τινος κτησαμένου τὴν ἀρχὴν παρὰ τὸν ἐπιχωρήσει. καὶ εὐνοίᾳ τῇ αὐτῶν λαβόντα Κλαύδιον, μνημονεύσει τε χάριτος αὐτοῖς ἀποδιδόντα τιμὴν ἣ ἐπὶ τοιούτοις γένοιτο ἂν ἀρκοῦσα.

3 ταῦτα πρός τε ἀλλήλους καὶ δι' ἑαυτοὺς διεξῆσαν

Digitized by Google

καὶ τοῖς ἀεὶ προσπίπτουσι διηροῦντο. οἱ δὲ πονθανόμενοι προθύμως ἐδέχοντο τὴν πρόκλησιν, συμφράξαντές τε καὶ περικλείσαντες ἦγον ἐπὶ τοῦ στρατοπέδου φοράδην ἀναβαστάσαντες, ὡς μὴ ἐμποδίζοιτο αὐτοῖς ἡ ἔκπεξις. διεστήκεσαν δὲ αἱ γνῶμαι τοῦ τε δήμου καὶ τῶν ἐκ τῆς βουλῆς, οἱ μὲν ἀξιώματός τε τοῦ πρότερον ὀρεγόμενοι, καὶ δουλείαν ἐπακτὴν αὐτοῖς ὕβρει τῶν τυράννων γενομένην φιλοτιμούμενοι διαδιδράσκειν, χρόνῳ παρασχόν· ὁ δὲ δῆμος φθόνῳ τε πρὸς ἐκείνην καθιστάμενος, καὶ τῶν πλεονεξιῶν αὐτῆς ἐπιστόμισμα τοὺς αὐτοκράτορας εἰδὼς καὶ αὐτοῦ καταφυγήν, ἔχαιρε τῇ Κλαυδίου ἁρπαγῇ, στάσιν τε ἔμφυλον, ὁποία καὶ ἐπὶ Πομπηίου γένοιτο, ἀπαλλάξειν αὐτῶν ὑπελάμβανον τοῦτον αὐτοκράτορα καθιστάμενον. γνοῦσα δὲ ἡ βουλὴ τὸν Κλαύδιον ὑπὸ τῶν στρατιωτῶν ἀφιγμένον εἰς τὸ στρατόπεδον, πέμπει πρὸς ἐκεῖνον ἄνδρας ἀρετῇ τοὺς ἐξ αὐτῶν προύχοντας, οἳ διδάξειαν μηδὲν ἐπὶ καθέξει τῆς ἀρχῆς βιάζεσθαι, παραχωρεῖν δὲ τῇ συγκλήτῳ, τοσῶνδε ἀνδρῶν ἕνα ὄντα ἢ ἐσόμενον, καὶ τῷ νόμῳ παραφροῦντα τοῦ ἐπὶ τοῖς κοινοῖς κόσμου τὴν πρόνοιαν, μνημονεύοντα ὧν τε οἱ πρότεροι τύραννοι κακώσειαν τὴν πόλιν καὶ ὧν ὑπὸ Γαΐου καὶ αὐτὸς κινδυνεύσειε σὺν αὐτοῖς, μηδὲ μισήσαντα τὴν βαρύτητα τῆς τυραννίδος, ὑφ' ἑτέρων πρασσομένης τῆς ὕβρεως, αὐτὸν ἐθελουσίως ἐπὶ παροινίᾳ θαρσεῖν τῆς πατρίδος. καὶ πειθομένῳ μὲν καὶ τοῦ πρότερον ἀπράγμονος τὴν ἀρετὴν ἐπιδεικνυμένῳ βέβαιον τιμάς τε ὑπάρξειν αἳ ὑπὸ ἐλευθέρων ψηφισθεῖεν τῶν πολιτῶν, καὶ ἐπιχωρήσει τοῦ νόμου τὸ μέρος ἄρχοντά τε καὶ ἀρχόμενον κερδαίνειν ἔπαινον ἀρετῆς· εἰ δὲ ἀπονοοῖτο, μηδὲν ἐκ τῆς Γαΐου τελευτῆς σωφρονιζόμενος, οὔ τοί γε αὐτοὺς ἐπιτρέψειν· τῆς τε γὰρ στρατιᾶς πολὺ εἶναι τὸ συνεστηκὸς αὐτοῖς,

Digitized by Google

ὅπλων τε εὐπορίαν καὶ πληθὺν οἰκετῶν οἷ χρήσαιντο αὐτοῖς. μέγα δὲ μέρος τήνδε ἐλπίδα εἶναι, καὶ τὴν τύχην τούς τε θεοὺς οὐκ ἄλλοις συμμαχεῖν ἀλλὰ τοῖς μετ' ἀρετῆς καὶ τοῦ καλοῦ τοὺς ἀγῶνας ποιουμένοις· εἶναι δὲ τοὺς οἷ ἂν περὶ ἐλευθερίας μάχωνται τῆς πατρίδος.

4 καὶ οἱ μὲν πρεσβευταί, Θηράνιος καὶ Βρόκχος (δήμαρχοι δὲ ἦσαν ἀμφότεροι), τοῖσδε ἐχρῶντο τοῖς λόγοις, καὶ καθικέτευον τοῖς γόνασιν αὐτοῦ προσπεσόντες μηδαμῶς πολέμοις καὶ κακοῖς ἐμβαλεῖν τὴν πόλιν. θεωροῦντες δὲ στρατιᾶς πληθύι τὸν Κλαύδιον πεφραγμένον καὶ τὸ μηδὲν τοὺς ὑπάτους ὄντας συγκρίσει τῇ πρὸς αὐτόν, ἐπῆγον, εἰ δὲ ἀρχῆς ὀρέγοιτο, παρὰ τῆς βουλῆς δέχεσθαι διδομένην· αἰσιώτερον γὰρ καὶ εὐδαιμονέστερον χρῆσθαι τὸν μὴ μετὰ ὕβρεως ἀλλ' εὐνοίᾳ τῶν διδόντων παραλαμβάνοντα.

4 Κλαύδιος δέ (ἠπίστατο γὰρ μεθ' οἵας αὐθαδείας ἀποσταλεῖεν) καὶ πρὸς τὸ παρὸν γνώμῃ τῇ αὐτῶν ἐπὶ τὸ μετριώτερον ἐτέτραπτο, οὐ μὴν ἀλλὰ καὶ τοῦ περὶ αὐτῷ φόβου διαναστάς, ἅμα μὲν θάρσει τῶν στρατιωτῶν, ἅμα δὲ Ἀγρίππα τοῦ βασιλέως κελεύοντος μὴ προΐεσθαι τῶν χειρῶν τηλικαύτην ἀρχὴν ἥκουσαν αὐτόματον· ὃς πράξας μὲν καὶ περὶ Γάιον οἷον εἰκὸς ἄνδρα ὑπ' αὐτοῦ διὰ τιμῆς ἠγμένον (καὶ γὰρ τὸν νεκρὸν περιέσπε τοῦ Γαΐου, καὶ ἀναθέμενος ἐπὶ κλίνης καὶ περιστείλας ἐκ τῶν ἐνδεχομένων εἰς τοὺς σωματοφύλακας ὑπεχώρει, ζῆν μὲν τὸν Γάιον ἀπαγγέλλων, κακοπαθοῦντι δὲ ἀπὸ τραυμάτων ἰατροὺς μετέσεσθαι λέγων), πυθόμενος δὲ τοῦ Κλαυδίου τὴν ὑπὸ τῶν στρατιωτῶν ἁρπαγὴν ὠθεῖτο πρὸς αὐτόν, καὶ καταλαβὼν τεταραγμένον καὶ οἷόν τε ἐκχωρεῖν τῇ συγκλήτῳ ἀνήγειρεν, ἀντιλαμβάνεσθαι κελεύων τῆς ἡγεμονίας. ταῦτα δὲ πρὸς τὸν Κλαύδιον εἰπὼν προσεχώρει πρὸς αὐτόν, καὶ μετα-

Digitized by Google

καλούσης αὐτὸν τῆς βουλῆς, χρισάμενος μύροις τὴν κεφαλὴν ὡς ἀπὸ συνουσίας γινομένης ἀναλύσεως αὐτῷ παρῆν, καὶ ἤρετο τοὺς βουλευτὰς τί πέπραχε Κλαύδιος. τῶν δὲ τά τε ὄντα φαμένων καὶ προσανερομένων ἥντινα γνώμην ἔχοι περὶ τοῖς ὅλοις, τελευτᾶν μὲν ὑπὲρ τοῦ κατ' ἐκείνην εὐκλεοῦς ἕτοιμος ἦν τοῖς λόγοις, σκοπεῖν δὲ ἐκέλευε περὶ τῷ συμφέροντι, πᾶν ὅ τι καὶ εἰς ἡδονὴν φέροι ὑπεξελομένους· χρείαν γὰρ εἶναι τῆς ἀρχῆς μεταποιουμένοις καὶ ὅπλων καὶ στρατιωτῶν, οἳ φράξαιντο αὐτούς, μὴ καὶ ἀπαράσκευοι καταστάντες εἰς τάδε σφαλεῖεν. ἀποκριναμένης δὲ τῆς βουλῆς ὅπλων τε εὐπορίαν καὶ χρήματα εἰσοίσειν, καὶ στρατιᾶς τὸ μέν τι αὐτοῖς εἶναι συνεστηκός, τὸ δὲ συγκροτήσειν ἐλευθερώσεως δούλων γενομένης, "εἴη μέν, ὦ βουλή," φησὶν ὁ Ἀγρίππας ὑποτυχών, "πράσσειν ὁπόσα θυμὸς ὑμῖν· λεκτέον δὲ οὐδὲν ἐνδοιάσαντί μοι διὰ τὸ ἐπὶ σωτηρίᾳ φέρειν τὸν λόγον. ἴστε δὴ στρατὸν ὃς ὑπὲρ Κλαυδίου μαχεῖται, πλήθει χρόνου ὁπλιτεύειν μεμελετηκότα· τὰ δὲ ἡμέτερα ⟨εἰ⟩ συγκλύδων ἀνθρώπων πλῆθος ἔσται καὶ τῶν παρὰ δόξαν τῆς δουλείας ἀπηλλαγμένων, δυσκράτητα· πρός τε τεχνίτας μαχούμεθα προαγαγόντες ἄνδρας μηδὲ ὅπως σπῶσι τὰ ξίφη εἰδότας. ὥστε μοι δοκεῖ πέμπειν ὡς Κλαύδιον πείσοντας κατατίθεσθαι τὴν ἀρχήν, πρεσβεύειν τε ἕτοιμός εἰμι."

καὶ ὃ μὲν ταῦτα εἶπεν, καὶ συγκαταθεμένων πεμφθεὶς σὺν ἑτέροις τήν τε ταραχὴν τῆς βουλῆς διηγεῖται κατὰ μόνας πρὸς τὸν Κλαύδιον, ἐδίδασκέ τε ἡγεμονικώτερον ἀποκρίνασθαι, τῷ ἀξιώματι τῆς ἐξουσίας χρώμενον. ἔλεγεν οὖν Κλαύδιος οὐ θαυμάζειν τὴν βουλὴν ἡδονῇ μὴ φέρουσαν ἄρχεσθαι διὰ τὸ ὠμότητι τετρῦσθαι τῶν πρότερον ἐπὶ τὸ ἡγεμονεύειν καταστάντων, γεύσειν δὲ αὐτοὺς ἐπιεικείᾳ τῇ καθ' αὐτὸν μετρίων καὶ-

Digitized by Google

ρῶν, ὀνόματι μὲν μόνῳ τῆς ἀρχῆς ἐσομένης αὐτῷ, ἔργῳ δὲ κοινῆς πᾶσι προκεισομένης εἰς μέσον· διὰ πολλῶν δὲ καὶ ποικίλων ὠδευκότι πραγμάτων ἐν ὄψει τῇ ἐκείνων καλῶς ἔχειν μὴ ἀπιστεῖν. καὶ οἱ μὲν πρέσβεις τοιούτων ἀκροάσει λόγων καθομιληθέντες ἐξεπέμποντο· Κλαύδιος δὲ τῷ στρατῷ συλλεχθέντι διελέγετο ὅρκους λαμβάνων ἢ μὴν ἐμμενεῖν πίστει τῇ πρὸς αὐτόν, καὶ δωρεῖται τοὺς σωματοφύλακας πεντακισχιλίαις δραχμαῖς κατὰ ἕκαστον ἄνδρα, τοῖς τε ἡγεμόσιν αὐτῶν ἀνάλογον τοῦ ἀριθμοῦ, καὶ τοῖς ὅποι ποτὲ στρατοπέδοις ὑπισχνεῖται τὰ ὅμοια.

3 συνεκάλουν δὲ οἱ ὕπατοι τὴν βουλὴν εἰς τὸ ἱερὸν τοῦ νικηφόρου Διός, ἔτι δὲ νὺξ ἦν. τῶν δὲ οἱ μὲν ἐν τῇ πόλει κλέπτοντες ἑαυτοὺς ἐνεδοίαζον πρὸς τὴν ἀκρόασιν, τοῖς δὲ ἐπὶ τῶν ἰδίων ἀγρῶν ἐγεγόνεισαν ἔξοδοι, προορωμένοις ἢ χωρήσει τὸ πᾶν, ἐν ἀπογνώσει τοῦ ἐλευθέρου γεγονότες, καὶ πολὺ κρεῖττον ἐν ἀκινδύνῳ τοῦ δουλεύειν ὑπειληφότες διαβιοῦν ἀργίᾳ τοῦ πονεῖν ἢ κτώμενοι τὸ ἀξίωμα τῶν πατέρων περὶ τῆς σωτηρίας ἀμφίβολοι καταστῆναι. συνελέγησαν δὲ ὅμως ἑκατόν, οὐ πλείους. καὶ διαβουλευομένων περὶ τῶν ἐν χερσὶν αἰφνίδιον αἴρεται βοὴ τοῦ συνεστηκότος αὐτοῖς στρατιωτικοῦ, στρατηγὸν αὐτοκράτορα κελευόντων τὴν βουλὴν ἑλέσθαι καὶ μὴ φθείρειν πολυαρχίᾳ τὴν ἡγεμονίαν· καὶ τὸ μὲν καθ' ἑαυτοὺς ἀπεφαίνοντο περὶ τοῦ μὴ πᾶσιν ἀλλ' ἑνὶ τὴν ἀρχὴν ἐφέσιμον εἶναι, ὁρᾶν δὲ ἐκείνοις ἐπιτρέπειν ὅστις τοσαύτης προστασίας ἄξιος. ὥστε ἐν ἀδημονίᾳ τὰ τῶν συγκλητικῶν ἦν πολὺ πλέον, δι' ἁμαρτίαν μὲν τοῦ κατὰ τὴν ἐλευθερίαν αὐχήματος, φόβῳ δὲ τοῦ Κλαυδίου. οὐ μὴν ἀλλ' ἦσαν οἱ ἐφιέμενοι γένους τε ἀξιώματι καὶ οἰκειότητι γάμου. καὶ γὰρ Μινουκιανὸν Μάρκον, καὶ τῇ καθ' αὐτὸν γενναιότητι ἀξιόλογον ὄντα

Digitized by Google

καὶ ἀδελφὴν Γαΐου γεγαμηκότα Ἰουλίαν, πρόθυμον ὄντα ἀντιποιεῖσθαι τῶν πραγμάτων κατεῖχον οἱ ὕπατοι πρόφασιν ἐκ προφάσεως ἀναρτῶντες· Ἀθαλερίου τε Ἀσιατικὸν Μινουκιανὸς ἐκ τῶν Γαΐου σφαγέων ἀνεῖχε τοιούτων διανοιῶν. ἐγεγόνει δ' ἂν φόνος οὔ τινος ἐλάσσων συγχωρηθέντων τῶν ἐπιθυμούντων τῆς ἡγεμονίας ὥστε ἀντιτάξασθαι Κλαυδίῳ. ἄλλως τε καὶ οἱ μονομάχοι (πλῆθος δὲ ἦν αὐτῶν ἀξιόλογον) καὶ τῶν στρατιωτῶν οἱ νυκτοφυλακοῦντες ἐπὶ τῆς πόλεως, ἑρέται τε ὁπόσοι, συνέρρεον εἰς τὸ στρατόπεδον· ὥστε τῶν μετιόντων τὴν ἀρχὴν οἳ μὲν φειδοὶ τῆς πόλεως, οἳ δὲ καὶ φόβῳ τῷ ὑπὲρ αὐτῶν ἀπέστησαν.

ὑπὸ δὲ τὴν πρώτην ἀρχὴν ἡμέρας καὶ Χαιρέας καὶ 4
οἱ σὺν αὐτῷ παρελθόντες ἐν ἐπιχειρήσει λόγων ἦσαν πρὸς τοὺς στρατιώτας. τῶν δὲ τὸ πλῆθος ὡς ὁρᾷ παύσαντας αὐτοὺς ταῖς χερσὶ καὶ τοῦ εἰπεῖν οἵους τε ἄρχεσθαι, ἀνεθορύβησε μὴ ἐφιέναι ὥστε εἰπεῖν διὰ τὸ ὥρμῆσθαι πάντας ἐπὶ τὸ μοναρχεῖσθαι· τὸν δὲ ἡγησόμενον ἐκάλουν ὡς οὐκ ἀνεξόμενοι τὰς τριβάς. τῇ συγκλήτῳ δὲ ἀπορία ἄρχειν τε καὶ ὃν ἀρχθεῖεν ἂν τὸν τρόπον, οὔτε δεχομένων αὐτοὺς τῶν στρατιωτῶν, καὶ τῶν Γαΐου σφαγέων συγχωρεῖν τοῖς στρατιώταις οὐκ ἐφιέντων. ἐν τοιούτοις δὲ ὄντων, Χαιρέαν τὴν ὀργὴν οὐκ ἀνασχόμενος πρὸς τὴν αἴτησιν τοῦ αὐτοκράτορος, θώσειν ἐπηγγέλλετο στρατηγόν, εἴ τις αὐτῷ σημεῖον παρὰ Εὐτύχου κομίσειεν. ἦν δὲ ὁ Εὔτυχος οὗτος ἡνίοχος τοῦ καλουμένου πρασίνου, περισπούδαστος Γαΐῳ, καὶ περὶ τὰς οἰκοδομὰς τῶν στάσεων τοῦ περὶ ἐκεῖνον ἱππικοῦ τὸ στρατιωτικὸν ἐτρίβετο, ἀτίμοις ἐργασίαις ἐπικείμενον. εἰς ἅπερ ὁ Χαιρέας ὠνείδιζεν αὐτούς, καὶ ἕτερα πολλὰ τοιαῦτα, τήν τε κεφαλὴν κομιεῖν τοῦ Κλαυδίου· δεινὸν γὰρ εἰ μετὰ μανίαν παραφροσύνῃ δώσουσι τὴν ἡγε-

Digitized by Google

μονίαν. οὐ μὴν διετράπησάν γε ὑπὸ τῶν λόγων, ἀλλὰ σπασάμενοί τε τὰς μαχαίρας καὶ τὰ σημεῖα ἀράμενοι ᾤχοντο ὡς τὸν Κλαύδιον, κοινωνήσοντες τοῖς ὀμνύουσιν αὐτῷ. κατελείπετο δὲ ἥ τε σύγκλητος ἐπ' ἐρημίας τῶν ἀμυνόντων καὶ οἱ ὕπατοι μηδὲν ἰδιωτῶν διαφέροντες· ἔκπληξίς τε καὶ κατήφεια ἦν, οὐδὲ ὅ τι χρήσαιντο αὐτοῖς τῶν ἀνθρώπων εἰδότων διὰ τὸ ἀνηρεθίσθαι τὸν Κλαύδιον ἐπ' αὐτοῖς, ἀλλήλοις τε ἐλοιδοροῦντο, καὶ μετάμελος ἦν αὐτοῖς. καὶ Σαβῖνος, εἷς τῶν Γαΐου σφαγέων, σφάζειν πρότερον αὐτὸν ἠπείλει παρελθὼν εἰς μέσους ἢ Κλαύδιον ἄρχοντα στήσεσθαι καὶ δουλοκρατίαν ἐπόψεσθαι καταλαβοῦσαν· τόν τε Χαιρέαν εἰς φιλοψυχίαν ἐπέπληξεν, εἰ καταφρονήσας Γαΐου πρῶτος ἀγαθὸν ὑπολαμβάνοι τὸ ζῆν, τῆς ἐλευθερίας οὐδὲ οὕτως ἀποδοθῆναι δυναμένης τῇ πατρίδι. Χαιρέας δὲ περὶ μὲν τοῦ θνήσκειν ἐνδοιαστὸν οὐδὲν φρονεῖν ἔλεγε, βούλεσθαι μέντοι διακωδωνίζειν διάνοιαν τὴν Κλαυδίου.

καὶ οἱ μὲν ἐν τοῖσδε ἦσαν, ἐπὶ δὲ τοῦ στρατοπέδου πᾶς πανταχόθεν ὠθεῖτο κατὰ θεραπείαν τὴν Κλαυδίου. καὶ τῶν ὑπάτων ὁ ἕτερος Κόιντος Πομπώνιος δι' αἰτίας ἦν τῷ στρατιωτικῷ μᾶλλον ὡς ἐπ' ἐλευθερίαν τὴν σύγκλητον παρακαλῶν, ὥρμησάν τε σπασάμενοι τὰ ξίφη, κἂν ἐπέπρακτο αὐτοῖς μὴ Κλαυδίου διακεκωλυκότος. παρακαθίζεται δὲ αὐτῷ τὸν ὕπατον ἑξαρπάσας τοῦ κινδύνου. τῶν δὲ συγκλητικῶν ὃ ἦν σὺν τῷ Κοΐντῳ οὐ μεθ' ὁμοίας ἐδέχετο τιμῆς· τινὲς δὲ καὶ πληγὰς ἔλαβον αὐτῶν, ἀπωθούμενοι τῆς πρὸς αὐτὸν ἐντεύξεως, Ἀπώνιος δὲ τραυματίας ἀνεχώρει, ἦν τε κίνδυνος περὶ πάντας αὐτούς. καὶ Ἀγρίππας ὁ βασιλεὺς προσελθὼν τῷ Κλαυδίῳ ἄξιοί τοῖς συγκλητικοῖς ἠπιώτερον καταστῆναι· γενομένου γάρ τινος κακοῦ περὶ τὴν βουλὴν οὐχ

Digitized by Google

ξειν ὧν ἄρξειεν ἑτέρων. πείθεται δὲ Κλαύδιος, καὶ συγκαλεῖ τὴν βουλὴν ἐπὶ τοῦ παλατίου διὰ τῆς πόλεως φερόμενος, παραπέμποντος αὐτὸν τοῦ στρατιωτικοῦ σὺν πολλῇ πάνυ κακώσει τῆς πληθύος. προεξῆσαν δὲ τῶν Γαΐου σφαγέων εἰς τὸ φανερὸν Χαιρέας καὶ Σαβῖνος, εἰργόμενοι προύδων κατ' ἐπιστολὰς Πωλίωνος, ὃν μικρῷ πρότερον Κλαύδιος στρατηγὸν ᾔρητο τῶν σωματοφυλάκων. Κλαύδιος δὲ ἐπείπερ εἰς τὸ παλάτιον ἀφικνεῖται, συναγαγὼν τοὺς ἑταίρους ψῆφον ἀνεδίδου περὶ Χαιρέου. τοῖς δὲ τὸ μὲν ἔργον λαμπρὸν ἐδόκει, ἀπιστίαν δὲ ἐπεκάλουν τῷ πεπραχότι, καὶ αὐτῷ τιμωρίαν ἐπιβάλλειν δίκαιον ἡγοῦντο ἐπ' ἀποτροπῇ τοῦ μέλλοντος χρόνου. ἀπήγετο οὖν Χαιρέας τὴν ἐπὶ θανάτῳ, καὶ σὺν αὐτῷ Λοῦπός τε καὶ Ῥωμαίων πλείους. λέγεται δὲ Χαιρέαν μεγαλοφρόνως ἐνεγκεῖν τὴν συμφοράν, οὐ μόνον τῷ καθ' αὐτὸν ἀμεταπτώτῳ τοῦ σχήματος, ἀλλὰ καὶ οἷς ὀνειδίσειε Λοῦπον εἰς δάκρυα ἐκτετραμμένον. ἀποτιθεμένου γέ τοι τὴν στολὴν τοῦ Λούπου καὶ τὸ ῥῖγος αἰτιωμένου, φησὶν ὡς οὐκ ἂν ἐναντία τοῦ λούπου ποιήσαιτο πώποτε ῥῖγος. πλήθους τε ἀνθρώπων ἑπομένου κατὰ θέαν, ὡς ἦκεν ἐπὶ τὸ χωρίον, ἤρετο τὸν στρατιώτην εἰ διὰ μελέτης αὐτῷ γεγόνοιεν αἱ σφαγαί, ἢ πρῶτον ἔχοι τὸ ξίφος· καὶ ἐκέλευε κομίζειν ᾧ Γάιον διαχειρίσαιτο αὐτός. θνήσκει δὲ εὐδαιμόνως μιᾶς πληγῆς αὐτῷ γενομένης. Λοῦπος δὲ οὐ πάνυ δεξιῶς ὑπεξῆλθεν ἀθυμίᾳ, καὶ πληγῶν πλειόνων γενομένων διὰ τὸ μαλακῶς τὸν τράχηλον παρασχεῖν. ὀλίγαις δὲ ὕστερον ἡμέραις 6
ἐναγισμῶν ἐνεστηκότων, Ῥωμαίων τὸ πλῆθος τοῖς αὐτῶν ἐπιφέροντες καὶ Χαιρέαν μοίραις ἐτίμησαν εἰς τὸ πῦρ τιθεμένας, ἴλεων καὶ ἄμηνιν εἶναι τῆς εἰς αὐτὸν ἀχαριστίας παρακαλοῦντες.

καὶ Χαιρέᾳ μὲν τοιαύτη τελευτὴ τοῦ βίου συνέτυχε·

Digitized by Google

Σαβῖνος δέ, Κλαυδίου μὴ μόνον τῆς αἰτίας παραλύοντος αὐτὸν ἀλλὰ καὶ τὴν ἀρχὴν ἣν εἶχεν ἐφιέντος, ἄδικον ἡγεῖτο τὴν ἐκλειπίαν τῆς πρὸς τοὺς συνωμοκότας πίστεως, σφάζει τε ἑαυτὸν περιπεσὼν τῷ ξίφει, μέχρι δὴ καὶ τὴν κώπην τῷ τραύματι συνελθεῖν.

Κλαύδιος δὲ τοῦ στρατιωτικοῦ πᾶν ὅ τι ἦν ὕποπτον ἐκ τοῦ ὀξέος ἀποσκευασάμενος, διάγραμμα προυτίθει τήν τε ἀρχὴν Ἀγρίππα βεβαιῶν, ἣν ὁ Γάιος παρέσχε, καὶ δι' ἐγκωμίων ἄγων τὸν βασιλέα· προσθήκην δὲ αὐτῷ ποιεῖται πᾶσαν τὴν ὑπὸ Ἡρῴδου βασιλευθεῖσαν, ὃς ἦν πάππος αὐτοῦ, Ἰουδαίαν καὶ Σαμάρειαν. καὶ ταῦτα μὲν ὡς ὀφειλόμενα τῇ οἰκειότητι τοῦ γένους ἀπεδίδου, Ἀβίλαν δὲ τὴν Λυσανίου καὶ ὁπόσα ἐν τῷ Λιβάνῳ ὄρει, ἐκ τῶν αὐτοῦ προσετίθει, ὅρκιά τε αὐτῷ τέμνεται πρὸς τὸν Ἀγρίππαν ἐπὶ τῆς ἀγορᾶς μέσης ἐν τῇ Ῥωμαίων πόλει. Ἀντίοχον δὲ ἣν εἶχεν βασιλείαν ἀφελόμενος, Κιλικίας μέρει τινὶ καὶ Κομμαγηνῇ δωρεῖται. λύει δὲ καὶ Ἀλέξανδρον [Λυσίμαχον] τὸν ἀλαβάρχην, φίλον ἀρχαῖον αὐτῷ γεγονότα καὶ Ἀντωνίαν αὐτοῦ ἐπιτροπεύσαντα τὴν μητέρα, ὀργῇ τῇ Γαΐου δεδεμένον· καὶ αὐτοῦ υἱὸς Βερενίκην τὴν Ἀγρίππα γαμεῖ θυγατέρα. καὶ ταύτην μέν (τελευτᾷ γὰρ Μάρκος ὁ τοῦ Ἀλεξάνδρου υἱός, παρθένον λαβών) ἀδελφῷ τῷ αὐτοῦ Ἀγρίππας Ἡρῴδῃ δίδωσι, Χαλκίδος αὐτῷ τὴν βασιλείαν εἶναι αἰτησάμενος παρὰ Κλαυδίου· στασιάζεται δὲ κατὰ τὸν αὐτὸν χρόνον Ἰουδαίων τὰ πρὸς Ἕλληνας ἐπὶ τῆς Ἀλεξανδρέων πόλεως. τελευτήσαντος γὰρ τοῦ Γαΐου τὸ Ἰουδαίων ἔθνος, ἐπὶ τῆς ἀρχῆς τῆς ἐκείνου τεταπεινωμένον καὶ δεινῶς ὑπὸ τῶν Ἀλεξανδρέων ὑβρισμένον, ἀνεθάρσησε καὶ ἐν ὅπλοις εὐθέως ἦν. καὶ Κλαύδιος ἐπιστέλλει τῷ ἐπαρχοῦντι κατὰ τὴν Αἴγυπτον ὥστε τὴν στάσιν καταστεῖλαι. πέμπει δὲ καὶ διάταγμα, παρακεκληκότων αὐτὸν

Digitized by Google

Ἀγρίππα τε καὶ Ἡρῴδου τῶν βασιλέων, εἰς τε τὴν Ἀλεξάνδρειαν καὶ Συρίαν, γεγραμμένον τοῦτον τὸν τρόπον. "Τιβέριος Κλαύδιος Καῖσαρ Σεβαστὸς Γερμανικός, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας . . ., λέγει. ἐπιγνοὺς ἀνέκαθεν τοὺς ἐν Ἀλεξανδρείᾳ Ἰουδαίους, Ἀλεξανδρεῖς λεγομένους, συγκατοικισθέντας τοῖς πρώτοις εὐθὺς καιροῖς Ἀλεξανδρεῦσι καὶ ἴσης πολιτείας παρὰ τῶν βασιλέων τετυχότας, καθὼς φανερὸν ἐγένετο ἐκ τῶν γραμμάτων τῶν παρ' αὐτοῖς καὶ τῶν διαταγμάτων, καὶ μετὰ τὸ τῇ ἡμετέρᾳ ἡγεμονίᾳ Ἀλεξάνδρειαν ὑπὸ τοῦ Σεβαστοῦ ὑποταχθῆναι, πεφυλάχθαι αὐτοῖς τὰ δίκαια ὑπὸ τῶν πεμφθέντων ἐπάρχων κατὰ διαφόρους χρόνους, μηδεμίαν τε ἀμφισβήτησιν περὶ τούτων γενομένην τῶν δικαίων αὐτοῖς ἅμα καθ' ὃν καιρὸν Ἀκύλας ἦν ἐν Ἀλεξανδρείᾳ, καὶ τελευτήσαντος τοῦ Ἰουδαίων ἐθνάρχου τὸν Σεβαστὸν μὴ κεκωλυκέναι ἐθνάρχας γίνεσθαι, βουλόμενον ὑποτετάχθαι ἑκάστους ἐμμένοντας τοῖς ἰδίοις ἔθεσι καὶ μὴ παραβαίνειν ἀναγκαζομένους τὴν πάτριον θρησκείαν, Ἀλεξανδρεῖς δὲ ἐπαρθῆναι κατὰ τῶν παρ' αὐτοῖς Ἰουδαίων ἐπὶ τῶν Γαΐου Καίσαρος χρόνων, τοῦ διὰ τὴν πολλὴν ἀπόνοιαν καὶ παραφροσύνην, ὅτι μὴ παραβῆναι ἠθέλησε τὸ Ἰουδαίων ἔθνος τὴν πάτριον θρησκείαν καὶ θεὸν προσαγορεύειν αὐτόν, ταπεινώσαντος αὐτούς, βούλομαι μηδὲν διὰ τὴν Γαΐου παραφροσύνην τῶν δικαίων τῷ Ἰουδαίων ἔθνει παραπεπτωκέναι, φυλάσσεσθαι δὲ αὐτοῖς καὶ τὰ πρότερον δικαιώματα, ἐμμένουσι τοῖς ἰδίοις ἔθεσιν, ἀμφοτέροις δὲ διακελεύομαι τοῖς μέρεσι πλείστην ποιήσασθαι πρόνοιαν ὅπως μηδεμία ταραχὴ γένηται μετὰ τὸ προτεθῆναί μου τὸ διάταγμα."

τὸ μὲν οὖν εἰς Ἀλεξάνδρειαν ὑπὲρ τῶν Ἰουδαίων 3
διάταγμα τοῦτον ἦν τὸν τρόπον γεγραμμένον, τὸ δὲ εἰς

Digitized by Google

τὴν ἄλλην οἰκουμένην εἶχεν οὕτω. "Τιβέριος Κλαύδιος Καῖσαρ Σεβαστὸς Γερμανικός, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας . . ., ὕπατος χειροτονηθεὶς τὸ δεύτερον, λέγει. αἰτησαμένων με βασιλέων Ἀγρίππα καὶ Ἡρώδου τῶν φιλτάτων μοι ὅπως συγχωρήσαιμι τὰ αὐτὰ δίκαια καὶ τοῖς ἐν πάσῃ τῇ ὑπὸ Ῥωμαίοις ἡγεμονίᾳ Ἰουδαίοις φυλάσσεσθαι καθὰ καὶ τοῖς ἐν Ἀλεξανδρείᾳ, ἥδιστα συνεχώρησα, οὐ μόνον τοῦτο τοῖς αἰτησαμένοις με χαριζόμενος, ἀλλὰ καὶ αὐτοὺς ὑπὲρ ὧν παρεκλήθην ἀξίους κρίνας διὰ τὴν πρὸς Ῥωμαίους πίστιν καὶ φιλίαν, μάλιστα δὲ δίκαιον κρίναν μηδεμίαν μηδὲ Ἑλληνίδα πόλιν τῶν δικαίων τούτων ἀποτυγχάνειν, ἐπειδὴ καὶ ἐπὶ τοῦ θείου Σεβαστοῦ αὐταῖς ἦν τετηρημένα· καλῶς οὖν ἔχειν καὶ Ἰουδαίους τοὺς ἐν παντὶ τῷ ὑφ' ἡμᾶς κόσμῳ τὰ πάτρια ἔθη ἀνεπικωλύτως φυλάσσειν, οἷς καὶ αὐτοῖς ἤδη νῦν παραγγέλλω μου ταύτῃ τῇ φιλανθρωπίᾳ ἐπιεικέστερον χρῆσθαι, καὶ μὴ τὰς τῶν ἄλλων ἐθνῶν δεισιδαιμονίας ἐξουδενίζειν, τοὺς ἰδίους δὲ νόμους φυλάσσειν. τοῦτό μου τὸ διάταγμα τοὺς ἄρχοντας τῶν πόλεων καὶ τῶν κολωνιῶν καὶ μουνικιπίων τῶν ἐν τῇ Ἰταλίᾳ καὶ τῶν ἐκτός, βασιλεῖς τε καὶ δυνάστας διὰ τῶν ἰδίων πρεσβευτῶν ἐγγράψασθαι βούλομαι, ἐκκείμενόν τε ἔχειν οὐκ ἔλαττον ἡμερῶν τριάκοντα, ὅθεν ἐξ ἐπιπέδου καλῶς ἀναγνωσθῆναι δύναται."

6 τούτοις μὲν δὴ τοῖς διατάγμασιν, εἰς Ἀλεξάνδρειάν τε καὶ τὴν οἰκουμένην πᾶσαν ἀποσταλεῖσιν, ἐδήλωσεν ἣν περὶ Ἰουδαίων ἔχοι γνώμην Κλαύδιος Καῖσαρ· αὐτίκα δὲ Ἀγρίππαν κομιούμενον τὴν βασιλείαν ἐπὶ τιμαῖς λαμπροτέραις ἐξέπεμψε, τοῖς ἐπὶ τῶν ἐπαρχιῶν ἡγεμόσι καὶ τοῖς ἐπιτρόποις διὰ γραμμάτων ἐπιστείλας ἐράσμιον αὐτὸν ἄγειν. ὁ δέ, ὡς εἰκὸς ἦν τὸν ἐπὶ κρείττοσι τύχαις ἀνερχόμενον, μετὰ τάχους ὑπέστρεψεν. εἰς

Digitized by Google

Ἱεροσόλυμα δὲ ἐλθὼν χαριστηρίους ἔξεπλήρωσε θυσίας, οὐδὲν τῶν κατὰ νόμον παραλιπών. διὸ καὶ Ναζιραίων ξυρᾶσθαι διέταξε μάλα συχνούς, τήν τε χρυσῆν ἅλυσιν τὴν δοθεῖσαν αὐτῷ ὑπὸ Γαΐου ἰσόσταθμον τῇ σιδηρᾷ ἣ τὰς ἡγεμονίδας χεῖρας ἐδέθη, τῆς στυγνῆς εἶναι τύχης ὑπόμνημα καὶ τῆς εἰς τὰ κρείττω μαρτυρίαν μεταβολῆς, τῶν ἱερῶν ἐντὸς ἀνεκρέμασε περιβόλων ὑπὲρ τὸ γαζοφυλάκιον, ἵν' ᾗ δεῖγμα καὶ τοῦ τὰ μεγάλα δύνασθαί ποτε πεσεῖν καὶ τοῦ τὸν θεὸν ἐγείρειν τὰ πεπτωκότα. πᾶσι γὰρ τοῦτο ἐνεφάνιζεν ἡ τῆς ἁλύσεως ἀνάθεσις, ὅτι βασιλεὺς Ἀγρίππας ἀπὸ μικρᾶς αἰτίας εἰς δεσμώτην ἀπέδυ τὸ πρὶν ἀξίωμα, καὶ μετ' ὀλίγον τῆς πέδης ἐκβὰς εἰς βασιλέα τοῦ πάλαι λαμπρότερον ἠγέρθη· διὰ τούτων ἐννοεῖσθαι ὅτι τῆς ἀνθρωπίνης φύσεως καὶ πᾶσιν ὁλισθαίνειν τὰ μεγέθη καὶ τὰ κλιθέντα δύναται περιφανὲς πάλιν λαβεῖν ὕψος.

ἐντελῶς δ' οὖν θρησκεύσας τὸν θεὸν Ἀγρίππας 2
Θεόφιλον μὲν τὸν Ἀνάνου τῆς ἀρχιερωσύνης μετέστησε, τῷ δὲ Βοηθοῦ Σίμωνι (τούτῳ Κανθηρᾶς ἐπίκλησις ἦν) τὴν ἐκείνου προσένειμε τιμήν. δύο δὲ ἦσαν ἀδελφοὶ τῷ Σίμωνι καὶ πατὴρ Βοηθός, οὗ τῇ θυγατρὶ βασιλεὺς συνῴκησεν Ἡρώδης, ὡς ἀνωτέρω δεδήλωται. σὺν τοῖς ἀδελφοῖς οὖν τὴν ἱερωσύνην ἔσχεν ὁ Σίμων καὶ σὺν τῷ πατρί, καθὰ καὶ πρότερον ἔσχον οἱ Σίμωνος τοῦ Ὀνία παῖδες τρεῖς ὄντες ἐπὶ τῆς τῶν Μακεδόνων ἀρχῆς, ὅπερ ἐν ταῖς προαγούσαις γραφαῖς παρέδομεν.

καταστησάμενος δὲ τὰ περὶ τοὺς ἀρχιερέας οὕτως ὁ 3
βασιλεὺς τοὺς Ἱεροσολυμίτας ἠμείψατο τῆς εἰς αὐτὸν εὐνοίας· ἀνῆκε γοῦν αὐτοῖς τὰ ὑπὲρ ἑκάστης οἰκίας, ἐν καλῷ τιθέμενος ἀντιδοῦναι τοῖς ἠγαπηκόσι στοργήν. ἔπαρχον δὲ ἀπέδειξε παντὸς τοῦ στρατεύματος Σίλαν, ἄνδρα πολλῶν αὐτῷ πόνων συμμετασχόντα. παντάπασι

Digitized by Google

δὲ ὀλίγου χρόνου διελθόντος Δωρῖται νεανίσκοι, τῆς ὁσιότητος προτιθέμενοι τόλμαν καὶ πεφυκότες εἶναι παραβόλως θρασεῖς, Καίσαρος ἀνδριάντα κομίσαντες εἰς τὴν τῶν Ἰουδαίων συναγωγὴν ἀνέστησαν. τοῦτο σφόδρα τὸν Ἀγρίππαν παρώξυνε· κατάλυσιν γὰρ τῶν πατρίων αὐτοῦ νόμων ἐδύνατο. ἀμελλητὶ δὴ πρὸς Πούπλιον Πετρώνιον (ἡγεμὼν δὲ τῆς Συρίας οὗτος ἦν) παραγίνεται, καὶ καταλέγει τῶν Δωριτῶν. ὃ δὲ οὐχ ἧττον ἐπὶ τῷ πραχθέντι χαλεπήνας (καὶ γὰρ αὐτὸς ἔκρινεν ἀσέβειαν τὴν τῶν ἐννόμων παράβασιν) τοῖς ἀποστᾶσι τῶν Δωριτῶν σὺν ὀργῇ τοῦτο ἔγραψε. "Πούπλιος Πετρώνιος πρεσβευτὴς Τιβερίου Κλαυδίου Καίσαρος Σεβαστοῦ Γερμανικοῦ Δωριτῶν τοῖς πρώτοις λέγει. ἐπειδὴ τοσαύτῃ τόλμῃ ἀπονοίας τινὲς ἐχρήσαντο ἐξ ὑμῶν ὥστε μηδὲ διὰ τὸ προτεθῆναι τὸ διάταγμα Κλαυδίου Καίσαρος Σεβαστοῦ Γερμανικοῦ περὶ τοῦ ἀφίεσθαι Ἰουδαίους φυλάσσειν τὰ πάτρια, πεισθῆναι ὑμᾶς αὐτῷ, τἀναντία δὲ πάντα πρᾶξαι, συναγωγὴν Ἰουδαίων κωλύοντας εἶναι διὰ τὸ μεταθεῖναι ἐν αὐτῇ τὸν Καίσαρος ἀνδριάντα, παρανομοῦντας οὐκ εἰς μόνους Ἰουδαίους ἀλλὰ καὶ εἰς τὸν αὐτοκράτορα, οὗ ὁ ἀνδριὰς βέλτιον ἐν τῷ ἰδίῳ ναῷ ἢ ἐν ἀλλοτρίῳ ἐτίθετο, καὶ ταῦτα ἐν τῷ τῆς συναγωγῆς τόπῳ, τῇ φύσει δικαίου ὄντος ἕνα ἕκαστον τῶν ἰδίων τόπων κυριεύειν κατὰ τὸ Καίσαρος ἐπίκριμα (τοῦ γὰρ ἐμοῦ ἐπικρίματος μιμνήσκεσθαι γελοῖόν ἐστι μετὰ τὸ τοῦ αὐτοκράτορος διάταγμα τοῦ ἐπιτρέψαντος Ἰουδαίοις τοῖς ἰδίοις ἔθεσι χρῆσθαι, ἔτι μέντοι καὶ συμπολιτεύεσθαι τοῖς Ἕλλησι κεκελευκότος), τοὺς μὲν παρὰ τὸ διάταγμα τοῦ Σεβαστοῦ τοιαῦτα τετολμηκότας, ἐφ' ᾧ καὶ αὐτοὶ ἠγανάκτησαν οἱ δοκοῦντες αὐτῶν ἐξέχειν, οὐ τῇ ἰδίᾳ προαιρέσει γεγενῆσθαι λέγοντες ἀλλὰ τῇ τοῦ πλήθους ὁρμῇ, ὑπὸ ἑκατοντάρχου Πρόκλου Ὑιτελλίου ἐκέ-

Digitized by Google

λευσα ἐπ' ἐμὲ ἀναχθῆναι τῶν πεπραγμένων λόγον ἀποδώσοντας, τοῖς δὲ πρώτοις ἄρχουσι παραινῶ, εἰ μὴ βούλονται δοκεῖν κατὰ τὴν αὑτῶν προαίρεσιν γεγενῆσθαι τὸ ἀδίκημα, ἐπιδεῖξαι τοὺς αἰτίους τῷ ἑκατοντάρχῃ, μηδεμιᾶς στάσεως μηδὲ μάχης ἐῶντας ἀφορμὴν γενέσθαι, ἥπερ δοκοῦσί μοι θηρεύεσθαι διὰ τῶν τοιούτων ἔργων, καὶ ἐμοῦ καὶ τοῦ τιμιωτάτου μοι βασιλέως Ἀγρίππα οὐδενὸς μᾶλλον προνοουμένων ἢ ἵνα μὴ ἀφορμῆς δραξάμενον τὸ τῶν Ἰουδαίων ἔθνος ἀμύνης προφάσει συναθροισθὲν εἰς ἀπόνοιαν χωρῇ. ἵνα δὲ γνωριμώτερον ᾖ τί καὶ ὁ Σεβαστὸς περὶ ὅλου τοῦ πράγματος ἐφρόνησε, τὰ ἐν Ἀλεξανδρείᾳ αὐτοῦ διατάγματα προτεθέντα προσέθηκα, ἅπερ, εἰ καὶ γνώριμα πᾶσιν εἶναι δοκεῖ, τότε καὶ ἐπὶ τοῦ βήματος ἀνέγνω ὁ τιμιώτατός μοι βασιλεὺς Ἀγρίππας, δικαιολογησάμενος περὶ τοῦ μὴ δεῖν αὐτοὺς ἀφαιρεθῆναι τῆς τοῦ Σεβαστοῦ δωρεᾶς. εἰς οὖν τὸ λοιπὸν παραγγέλλω μηδεμίαν πρόφασιν στάσεως μηδὲ ταραχῆς ζητεῖν, ἀλλ' ἑκάστους τὰ ἴδια θρησκεύειν ἔθη."

Πετρώνιος μὲν οὖν οὕτω προυνοήσατο διορθώσεως μὲν τὸ παρανομηθὲν ἤδη τυχεῖν, γενήσεσθαι δὲ παραπλήσιον μηδὲν εἰς αὐτούς· Ἀγρίππας δὲ ὁ βασιλεὺς ἀφείλετο μὲν τὴν ἱερωσύνην τὸν Κανθηρᾶν Σίμωνα, Ἰωνάθην δὲ πάλιν ἐπ' αὐτὴν ἦγε τὸν Ἀνάνου, τοῦτον ἀξιώτερον τῆς τιμῆς ὁμολογῶν εἶναι. τῷ δὲ οὐκ ἀσμενιστὸν ἐφάνη τὴν τοσαύτην ἀπολαβεῖν τιμήν, παρῃτεῖτο δ' οὖν ταῦτα λέγων. "σοὶ μὲν οὖν, ὦ βασιλεῦ, τετιμημένος χαίρω, διὰ ψυχῆς ἔχων τοῦθ' ὅ μοι γέρας δίδωσιν ἡ σὴ βουλή, εἰ καὶ πρὸς οὐδέν με τῆς ἀρχιερωσύνης ἄξιον ἔκρινεν ὁ θεός· ἅπαξ δὲ ἐνδὺς στολισμὸν ἱερὸν ἀρκοῦμαι· τότε γὰρ αὐτὸν ἠμφιασάμην ὁσιώτερον ἢ νῦν ἀπολήψομαι. σὺ δὲ εἰ βούλει τὸν ἀξιώτερον ἐμοῦ νῦν τὸ γέρας λαβεῖν, διδάχθητι. πάσης καὶ πρὸς τὸν θεὸν ἁμαρ-

Digitized by Google

τίας καὶ πρὸς σέ, βασιλεῦ, καθαρὸς ἀδελφὸς ἔστι μοι· πρέποντα τῇ τιμῇ τοῦτον συνίστημι." τούτοις ὁ βασιλεὺς ἡσθεὶς τοῖς λόγοις τὸν Ἰωνάθην μὲν ἠγάσατο τῆς γνώμης, τἀδελφῷ δὲ αὐτοῦ Ματθίᾳ τὴν ἱερωσύνην ἔδωκε.

καὶ μετ' οὐ πολὺ Πετρώνιον μὲν Μάρσος διεδέξατο
7 καὶ διεῖπε Συρίαν· Σίλας δὲ ὁ τοῦ βασιλέως ἔπαρχος, ἐπεὶ διὰ πάσης αὐτῷ τύχης ἐγεγόνει πιστός, οὐδένα κίνδυνον αὐτῷ ποτὲ κοινωνεῖν ἀνηνάμενος ἀλλὰ καὶ τοὺς σφαλερωτάτους ὑποδὺς πολλάκις πόνους, πεποιθήσεως ἦν ἀνάπλεως, προσήκειν ὑπολαμβάνων ἰσοτιμίαν βεβαιότητι φιλίας. οὐδαμῇ τοίνυν ὑποκατεκλίνετο τῷ βασιλεῖ, παρρησίαν δὲ διὰ πάσης ὁμιλίας ἦγε, κἀν ταῖς φιλοφρονήσεσιν ἐγίνετο φορτικός, σεμνύνων ἑαυτὸν ἀμέτρως, καὶ πολλάκις τῷ βασιλεῖ τὰ στυγνὰ τῆς τύχης ἄγων εἰς ἀνάμνησιν, ἵνα τὴν ἑαυτοῦ τότε σπουδὴν παραδεικνύῃ· συνεχῶς δ' ἦν ὡς ὑπὲρ αὐτοῦ κάμοι πολλὰ διεξιών. τούτων οὖν τὸ πλεονάζον ὀνειδισμὸς ἐδόκει, διὸ προσάντως ὁ βασιλεὺς ἐδέχετο τὴν ἀταμίευτον παρρησίαν τἀνδρός· οὐχ ἥδεται γὰρ αἱ τῶν ἀδόξων χρόνων ἀναμνήσεις, εὐήθης δὲ ὁ διηνεκῶς ἅ ποτε ὠφέλησε προφέρων. τέλος γοῦν ἀνηρέθισε σφόδρα ὁ Σίλας τοῦ βασιλέως τὸν θυμόν, κἀκεῖνος ὀργῇ πλέον ἢ λογισμῷ διδοὺς οὐ τῆς ἐπαρχίας μόνον μετέστησε τὸν Σίλαν, ἀλλὰ καὶ παρέδωκε δεθησόμενον εἰς τὴν ἐκείνου πατρίδα πέμψας. χρόνῳ δὲ τὸν θυμὸν ἠμβλύνθη, καὶ λογισμοῖς εἰλικρινέσι τὴν περὶ τἀνδρὸς κρίσιν ἐφῆκεν, ἐν νῷ λαμβάνων ὅσους ὑπὲρ ἐκείνου πόνους ἐκεῖνος ἀνέτλη. ἡμέραν οὖν ἑορτάζων αὐτοῦ γενέθλιον, ὅτε πᾶσιν ὧν ἦρχεν εὐφροσύναι καθίσταντο θάλειαι, τὸν Σίλαν ἀνεκάλει παραυτίκα συνέστιον αὐτῷ γενησόμενον. ὃ δέ (τρόπον γὰρ ἐλευθέριος ἦν) ἐδόκει προσειληφέναι δικαίαν αἰτίαν ὀργῆς, ἣν οὐκ ἀπεκρύπτετο πρὸς τοὺς μετιόντας

Digitized by Google

αὐτόν, λέγων "ἐπὶ ποίαν ὁ βασιλεὺς τιμὴν ἀνακαλεῖ με, τὴν μετὰ μικρὸν ἀπολουμένην; οὐδὲ γὰρ τὰ πρῶτά μοι γέρα τῆς εἰς αὐτὸν εὐνοίας ἐτήρησεν, ἀπεσύλησε δὲ ὑβρίσας. ἢ πεπαῦσθαι νενόμικέ με τῆς παρρησίας; ἣν ἀπὸ ποίου συνειδότος ἔχων νῦν βοήσομαι μᾶλλον ὅσων αὐτὸν ἐξελυσάμην δεινῶν, ὅσους ἤνεγκα πόνους, ἐκείνῳ χαριζόμενος σωτηρίαν τε καὶ τιμήν, ὧν γέρας ἠνεγκάμην δεσμὰ καὶ σκότιον εἱρκτήν. οὐκ ἐγώ ποτε τούτων λήσομαι· τάχα μοι τὴν τῆς ἀριστείας συναποίσεται μνήμην καὶ μεταναστᾶσα τῆς σαρκὸς ἡ ψυχή." ταῦτα ἀνεβόα καὶ διετάττετο τῷ βασιλεῖ λέγειν· ὃ δὲ ὡς ἀνιάτως ἐώρα διακείμενον, πάλιν εἴασεν ἐν φρουρᾷ.

τὰ δὲ τῶν Ἱεροσολύμων τείχη τὰ πρὸς τὴν καινὴν 2
νεύοντα πόλιν δημοσίαις ὠχύρου δαπάναις, τῇ μὲν εὐρύνων εἰς πλάτος, τῇ δὲ εἰς ὕψος ἐξαίρων. κἂν ἐξειργάσατο ταῦτα πάσης ἀνθρωπίνης κρείττονα βίας, εἰ μὴ Μάρσος ὁ τῆς Συρίας ἡγεμὼν Κλαυδίῳ Καίσαρι διὰ γραμμάτων ἐδήλωσε τὸ πραττόμενον, καὶ νεωτερισμόν τινα Κλαύδιος ὑποπτεύσας ἐπέστειλεν Ἀγρίππᾳ μετὰ σπουδῆς παύσασθαι τῆς τῶν τειχῶν ἐξοικοδομήσεως. ὃ δὲ ἀπειθεῖν οὐκ ἔκρινεν.

ἐπεφύκει δὲ ὁ βασιλεὺς οὗτος εὐεργετικὸς εἶναι ἐν 3
δωρεαῖς καὶ μεγαλοφρονῆσαι ἔθνη φιλότιμος, καὶ πολλοῖς ἀθρόως δαπανήμασιν ἀνιστὰς αὐτὸν εἰς ἐπιφάνειαν, ἡδόμενος τῷ χαρίζεσθαι, καὶ τῷ βιοῦν ἐν εὐφημίᾳ χαίρων, κατ' οὐδὲν Ἡρῴδῃ τῷ πρὸ ἑαυτοῦ βασιλεῖ τὸν τρόπον συμφερόμενος. ἐκείνῳ γὰρ πονηρὸν ἦν ἦθος ἐπὶ τιμωρίαν ἀπότομον καὶ κατὰ τῶν ἀπηχθημένων ἀταμίευτον, Ἕλλησι πλέον ἢ Ἰουδαίοις οἰκείως ἔχειν ὁμολογούμενον· ἀλλοφύλων γέ τοι πόλεις ἐσέμνυνε δόσει χρημάτων, βαλανείων θεάτρων τε ἄλλοτε κατασκευαῖς· ἔστιν αἷς ναοὺς ἀνέστησε, στοὰς ἄλλαις. ἀλλ' Ἰουδαίων

Digitized by Google

οὐδεμίαν πόλιν οὐδὲ ὀλίγης ἐπισκευῆς ἠξίωσεν, οὐδὲ δόσεως ἀξίας μνημονευθῆναι. πραΰς δὲ ὁ τρόπος Ἀγρίππα, καὶ πρὸς πάντας τὸ εὐεργετικὸν ὅμοιον. τοῖς ἀλλοεθνέσιν ἦν φιλάνθρωπος, κἀκείνοις ἐνδεικνύμενος τὸ φιλόδωρον, τοῖς ὁμοφύλοις ἀναλόγως χρηστός, καὶ συμπαθὴς μᾶλλον. ἠδεῖα γοῦν αὐτῷ δίαιτα καὶ συνεχὴς ἐν τοῖς Ἱεροσολύμοις ἦν, καὶ τὰ πάτρια καθαρῶς ἐτήρει. διὰ πάσης γοῦν αὐτὸν ἦγεν ἁγνείας, οὐδὲ ἡμέρα τις παρῴδευεν αὐτῷ χηρεύουσα θυσίας.

4 καὶ δή τις ἐν τοῖς Ἱεροσολύμοις ἀνὴρ ἐπιχώριος ἐξακριβάζειν δοκῶν τὰ νόμιμα (Σίμων ἦν ὄνομα τούτῳ), πλῆθος εἰς ἐκκλησίαν ἀλίσας, τηνικάδε τοῦ βασιλέως εἰς Καισάρειαν ἐκδεδημηκότος, ἐτόλμησεν αὐτοῦ κατειπεῖν ὡς οὐχ ὅσιος εἴη, δικαίως δ' ἂν εἴργοιτο τοῦ ναοῦ τῆς εἰσόδου, προσηκούσης τοῖς ἐγγενέσι. δηλοῦται μὲν δὴ διὰ γραμμάτων ὑπὸ τοῦ στρατηγοῦ ⟨τῆς⟩ πόλεως τῷ βασιλεῖ δημηγορήσας Σίμων ταῦτα· μεταπέμπεται δὲ αὐτὸν ὁ βασιλεύς, καὶ καθέζετο γὰρ ἐν τῷ θεάτρῳ τότε, καθεσθῆναι παρ' αὐτὸν ἐκέλευσεν, ἠρέμα τε καὶ πράως "εἰπέ μοί" φησι, "τί τῶν ἐνθάδε γινομένων ἐστὶ παράνομον;" ὃ δὲ εἰπεῖν ἔχων οὐδὲν τυχεῖν ἐδεῖτο συγγνώμης. καὶ ὁ βασιλεὺς αὐτῷ ἤ προσεδόκησέ τις διηλλάττετο, τὴν πραότητα κρίνων βασιλικωτέραν ὀργῆς, καὶ πρέπειν εἰδὼς τοῖς μεγέθεσι θυμοῦ πλέον ἐπιείκειαν. τὸν Σίμωνα γοῦν καὶ δωρεᾶς τινὸς ἀξιώσας ἀπεπέμψατο.

5 πολλοῖς δὲ κατασκευάσας πολλὰ Βηρυτίους ἐξαιρέτως ἐτίμησε. θέατρον γὰρ αὐτοῖς κατεσκεύασε πολυτελείᾳ τε καὶ κάλλει πολλῶν διαφέρον, ἀμφιθεάτρόν τε πολλῶν ἀναλωμάτων, βαλανεῖά τε πρὸς τούτοις καὶ στοάς, ἐν οὐδενὶ τῶν ἔργων στενότητι δαπανημάτων ἢ τὸ κάλλος ἀδικήσας ἢ τὸ μέγεθος. ἐπεδαψιλεύσατο δὲ

Digitized by Google

αὐτῶν τὴν καθιέρωσιν μεγαλοπρεπῶς, ἐν τῷ θεάτρῳ μὲν θεωρίας ἐπιτελῶν, πάνθ' ὅσα μουσικῆς ἔργα παράγων καὶ ποικίλης ποιητικὰ τέρψεως, ἐν δὲ τῷ ἀμφιθεάτρῳ πλήθει μονομάχων τὴν αὐτοῦ δεικνὺς μεγαλόνοιαν, ἔνθα καὶ τὴν κατὰ πλῆθος ἀντίταξιν βουληθεὶς γενέσθαι τῶν θεωμένων τέρψιν ἑπτακοσίους ἄνδρας ἑπτακοσίοις μαχησομένους ἔπεμψε, κακούργους ὅσους εἶχεν ἀποτάξας εἰς τήνδε τὴν πρᾶξιν, ἵνα οἳ μὲν κολασθῶσι, τὸ πολέμου δὲ ἔργον γένηται τέρψις εἰρήνης.

τούτους μὲν δὴ πασσυδὶ διέφθειρεν, ἐν Βηρυτῷ δὲ τελέσας τὰ προειρημένα μετῆλθεν εἰς Τιβεριάδα πόλιν τῆς Γαλιλαίας. ἦν δὲ ἄρα τοῖς ἄλλοις βασιλεῦσι περίβλεπτος. ἦκε γοῦν παρ' αὐτὸν Κομμαγηνῆς μὲν βασιλεὺς Ἀντίοχος, Ἐμεσῶν δὲ Σαμψιγέραμος, καὶ Κότυς (τῆς μικρᾶς Ἀρμενίας οὗτος ἐβασίλευσε), καὶ Πολέμων τὴν Πόντου κεκτημένος δυναστείαν, Ἡρώδης τε· οὗτος ἀδελφὸς ἦν αὐτοῦ, ἦρχε δὲ τῆς Χαλκίδος. ὡμίλησε δὲ πᾶσι κατὰ τὰς ὑποδοχὰς καὶ φιλοφρονήσεις ὡς μάλιστα διαδείξας φρονήσεως ὕψος, καὶ διὰ τοῦτό γε δοκῶν δικαίως τῇ τῶν βασιλέων παρουσίᾳ τετιμῆσθαι. ἀλλὰ γὰρ τούτων διατριβόντων ἔτι παρ' αὐτῷ Μάρσος ὁ τῆς Συρίας ἡγεμὼν παρεγένετο. πρὸς Ῥωμαίους οὖν ⟨τὸ⟩ τιμητικὸν τηρῶν, ὑπαντησόμενος αὐτῷ τῆς πόλεως ἀπωτέρω σταδίους ἑπτὰ προῆλθεν ὁ βασιλεύς. τοῦτο δὲ ἄρα ἔμελλε τῆς πρὸς τὸν Μάρσον ἀρχὴ γενήσεσθαι διαφορᾶς. συγκαθεζομένους γὰρ ἐπὶ τῆς ἀπήνης ἐπῄγετο τοὺς ἄλλους βασιλέας· Μάρσῳ δ' ἡ τούτων ὁμόνοια καὶ μέχρι τοσοῦδε φιλία πρὸς ἀλλήλους ὑπωπτεύθη, συμφέρειν οὐχ ὑπολαμβάνοντι Ῥωμαίοις δυναστῶν τοσούτων συμφρόνησιν. εὐθὺς οὖν ἑκάστῳ τῶν ἐπιτηδείων τινὰς πέμπων ἐπέστελλεν ἐπὶ τὰ ἑαυτοῦ δίχα μελλήσεως ἀπέρχεσθαι. ταῦτα Ἀγρίππας 8

Digitized by Google

ἀνιαρῶς ἐξεδέχετο, καὶ Μάρσῳ μὲν ἐκ τούτου διαφόρως ἔσχε, τὴν ἀρχιερωσύνην δὲ Ματθίαν ἀφελόμενος ἀντ' αὐτοῦ κατέστησεν ἀρχιερέα Ἐλιωναῖον τὸν τοῦ Κανθηρᾶ παῖδα.

2 τρίτον δὲ ἔτος αὐτῷ βασιλεύοντι τῆς ὅλης Ἰουδαίας πεπλήρωτο, καὶ παρῆν εἰς πόλιν Καισάρειαν, ἣ πρότερον Στράτωνος πύργος ἐκαλεῖτο· συνετέλει δὲ ἐνταῦθα θεωρίας εἰς τὴν Καίσαρος τιμήν, ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἑορτήν τινα ταύτην ἐπιστάμενος· καὶ παρ' αὐτὴν ἤθροιστο τῶν κατὰ τὴν ἐπαρχίαν ἐν τέλει καὶ προβεβηκότων εἰς ἀξίαν πλῆθος. δευτέρᾳ δὲ τῶν θεωριῶν ἡμέρᾳ στολὴν ἐνδὺς ἐξ ἀργύρου πεποιημένην πᾶσαν, ὡς θαυμάσιον τὴν ὑφὴν εἶναι, παρῆλθεν εἰς τὸ θέατρον ἀρχομένης ἡμέρας. ἔνθα ταῖς πρώταις τῶν ἡλιακῶν ἀκτίνων ἐπιβολαῖς ὁ ἄργυρος καταυγασθεὶς θαυμασίως ἀπέστιλβε, μαρμαίρων τι φοβερὸν καὶ τοῖς εἰς αὐτὸν ἀτενίζουσι φρικῶδες. εὐθὺς δὲ οἱ κόλακες τὰς οὐδὲ ἐκείνῳ πρὸς ἀγαθοῦ ταῖς ἀληθείαις ἄλλος ἄλλοθεν φωνὰς ἀνεβόων, θεὸν προσαγορεύοντες, "εὐμενής τε εἴης" ἐπιλέγοντες. "εἰ καὶ μέχρι νῦν ὡς ἄνθρωπον ἐφοβήθημεν, ἀλλὰ τοὐντεῦθεν κρείττονά σε θνητῆς φύσεως ὁμολογοῦμεν." οὐκ ἐπέπληξε τούτοις ὁ βασιλεύς, οὐδὲ τὴν κολακείαν ἀσεβοῦσαν ἀπετρίψατο. ἀνακύψας δ' οὖν μετ' ὀλίγον τὸν βουβῶνα τῆς ἑαυτοῦ κεφαλῆς ὑπερκαθεζόμενον εἶδεν ἐπὶ σχοινίου τινός, ἄγγελόν τε τοῦτον εὐθὺς ἐνόησεν κακῶν εἶναι, τὸν καί ποτε τῶν ἀγαθῶν γενόμενον, καὶ διακάρδιον ἔσχεν ὀδύνην. ἄθρουν δὲ αὐτῷ τῆς κοιλίας προσέφυσεν ἄλγημα, μετὰ σφοδρότητος ἀρξάμενον. ἀναθορὼν οὖν πρὸς τοὺς φίλους "ὁ θεὸς ὑμῖν ἐγώ" φησίν "ἤδη κατα-στρέφειν ἐπιτάττομαι τὸν βίον, παραχρῆμα τῆς εἱμαρμένης τὰς ἄρτι μου κατεψευσμένας φωνὰς ἐλεγχούσης,

Digitized by Google

καὶ ὁ κληθεὶς ἀθάνατος ὑφ' ὑμῶν ἤδη θανεῖν ἀπάγομαι. δεκτέον δὲ τὴν πεπρωμένην ἢ θεὸς βεβούληται· καὶ γὰρ βεβιώκαμεν οὐδαμῇ φαύλως ἀλλ' ἐπὶ τῆς μακαριζομένης λαμπρότητος." ταῦθ' ἅμα λέγων ἐπιτάσει τῆς ὀδύνης κατεπονεῖτο. μετὰ σκουδῆς οὖν εἰς τὸ βασίλειον ἐκομίσθη, καὶ διῆξε λόγος εἰς πάντας ὡς ἔχοι τοῦ τεθνάναι παντάπασι μετ' ὀλίγον. ἡ πληθὺς δὲ αὐτίκα σὺν γυναιξὶ καὶ παισὶν ἐπὶ σάκκων καθεσθεῖσα τῷ πατρίῳ νόμῳ τὸν θεὸν ἱκέτευεν ὑπὲρ τοῦ βασιλέως· οἰμωγῆς δὲ πάντα ἦν ἀνάπλεα καὶ θρήνων. ἐν ὑψηλῷ δὲ ὁ βασιλεὺς δωματίῳ κατακείμενος καὶ κάτω βλέπων αὐτοὺς πρηνεῖς προσπίπτοντας, ἄδακρυς οὐδὲ αὐτὸς διέμενε. συνεχῶς δὲ ἐφ' ἡμέρας πέντε τῷ τῆς γαστρὸς ἀλγήματι διεργασθεὶς τὸν βίον κατέστρεψεν, ἀπὸ γενέσεως ἄγων πεντηκοστὸν ἔτος καὶ τέταρτον, τῆς βασιλείας δὲ ἕβδομον. τέτταρας μὲν οὖν ἐπὶ Γαΐου Καίσαρος ἐβασίλευσεν ἐνιαυτούς, τῆς Φιλίππου μὲν τετραρχίας εἰς τριετίαν ἄρξας, τῷ τετάρτῳ δὲ καὶ τὴν Ἡρῴδου προσειληφώς, τρεῖς δὲ ἐπιλαβὼν ἐπὶ τῆς Κλαυδίου Καίσαρος αὐτοκρατορίας, ἐν οἷς τῶν τε προειρημένων ἐβασίλευσε καὶ τὴν Ἰουδαίαν προσέλαβε, Σαμάρειάν τε καὶ Καισάρειαν. προσωδεύσατο δὲ ὅτι πλείστας αὐτῶν προσφοράς, διακοσίας ἐπὶ χιλίαις μυριάδας. πολλὰ μέντοι προσεδανείσατο· τῷ γὰρ φιλόδωρος εἶναι δαψιλέστερα τῶν προσιόντων ἀνήλισκεν· ἦν δὲ ἀφειδὴς αὐτοῦ τὸ φιλότιμον.

ἀγνοουμένης γε μὴν τοῖς πλήθεσι τῆς ἐκπνοῆς αὐ- 3
τοῦ, συμφρονήσαντες Ἡρῴδης τε ὁ τῆς Χαλκίδος δυναστεύων καὶ Ἐλπίας ὁ ἔπαρχος καὶ φίλος τοῦ βασιλέως Ἀρίστωνα ἔπεμψαν, τῶν ὑπηρετῶν τὸν ἐπιτηδειότατον, καὶ Σίλαν (ἐχθρὸς γὰρ ἦν αὐτοῖς) ἀπέσφαξαν ὡς δὴ τοῦ βασιλέως κελεύσαντος.

Digitized by Google

9 Ἀγρίππας μὲν οὖν ὁ βασιλεὺς τρόπῳ τοιούτῳ κατέστρεψε τὸν βίον· γένει δὲ αὐτῷ καταλέλειπτο υἱὸς μὲν Ἀγρίππας, ἄγων ἔτος ἑπτακαιδέκατον, τρεῖς δὲ θυγατέρες, ὧν ἡ μὲν Ἡρῴδῃ τοῦ πατρὸς ἀδελφῷ γεγάμητο Βερενίκη, τὸ ἑκκαιδέκατον ἔτος γεγονυῖα, παρθένοι δὲ ἦσαν αἱ δύο, Μαριάμμη τε καὶ Δρούσιλλα, δεκαετὴς μὲν ἡ ἑτέρα, ἑξαετὴς δὲ Δρούσιλλα· καθωμολόγηντο δὲ ὑπὸ τοῦ πατρὸς πρὸς γάμον Ἰουλίῳ μὲν Ἀρχελάῳ τοῦ Χελκίου παιδὶ Μαριάμμη, Δρούσιλλα δὲ Ἐπιφανεῖ· τοῦ δὲ τῆς Κομμαγηνῆς βασιλέως Ἀντιόχου υἱὸς ἦν οὗτος. ἀλλὰ γὰρ ὅτε ἐγνώσθη τὸν βίον ἐκλιπὼν Ἀγρίππας, Καισαρεῖς καὶ Σεβαστηνοὶ τῶν εὐποιιῶν αὐτοῦ λαθόμενοι τὰ τῶν δυσμενεστάτων ἐποίησαν· βλασφημίας τε γὰρ ἀπερρίπτουν εἰς τὸν κατοιχόμενον ἀπρεπεῖς λέγεσθαι, καὶ ὅσοι στρατευόμενοι τότε ἔτυχον (συχνοὶ δὲ ἦσαν) οἴκαδε ἀπῆλθον, καὶ τοὺς ἀνδριάντας τῶν τοῦ βασιλέως θυγατέρων ἁρπάσαντες ὁμοθυμαδὸν ἐκόμισαν εἰς τὰ πορνεῖα, καὶ στήσαντες ἐπὶ τῶν τειχῶν ὡς δυνατὸν ἦν ἐφύβριζον, ἀσχημονέστερα διηγήσεως δρῶντες. ἔν τε τοῖς δημοσίοις κατακλινόμενοι τόποις παυδήμους ἑστιάσεις ἐπετέλουν, στεφανούμενοι καὶ μυριζόμενοι καὶ σπένδοντες τῷ Χάρωνι, προπόσεις τε τῆς τοῦ βασιλέως ἐκπνοῆς ἀλλήλοις ἀνταποδιδόντες. ἀμνήμονες δὲ ἦσαν οὐκ Ἀγρίππα μόνον χρησαμένου πολλαῖς εἰς αὐτοὺς φιλοτιμίαις, ἀλλὰ καὶ τοῦ πάππου δὲ Ἡρῴδου, ὅτι τὰς πόλεις ἐκεῖνος αὐτοῖς ἔκτισε λιμένας τε καὶ ναοὺς κατεσκεύασε λαμπροῖς δαπανήμασιν.

2 ὁ δὲ τοῦ τεθνεῶτος υἱὸς Ἀγρίππας ἐπὶ Ῥώμης ἦν ἐν τῷ χρόνῳ τούτῳ, τρεφόμενος παρὰ Κλαυδίῳ Καίσαρι. πυθόμενός γε μὴν Καῖσαρ ὅτι τέθνηκε μὲν Ἀγρίππας, Σεβαστηνοὶ δὲ καὶ Καισαρεῖς ὑβρίκασιν εἰς αὐτόν, ἐπ' ἐκείνῳ μὲν ἤλγησεν, ἐπὶ δὲ τοὺς ἀχαριστήσαντας ὠρ-

Digitized by Google

γίσθη. πέμπειν οὖν εὐθέως ὥρμητο τὸν νεώτερον Ἀγρίππαν τὴν βασιλείαν διαδεξόμενον, ἅμα βουλόμενος ἐμπεδοῦν τοὺς ὁμωμοσμένους ὅρκους. ἀλλὰ τῶν ἐξελευθέρων καὶ φίλων οἱ πολὺ παρ' αὐτῷ δυνάμενοι ἀπέτρεψαν, σφαλερὸν εἶναι λέγοντες κομιδῇ νέῳ μηδὲ τοὺς παιδὸς ἐκβεβηκότι χρόνους ἐπιτρέπειν βασιλείας τηλικοῦτον μέγεθος, ᾧ μὴ δυνατὸν τὰς τῆς διοικήσεως φροντίδας ἐνεγκεῖν, καὶ τελείῳ δ' εἶναι βαρὺ βάσταγμα βασιλείαν. ἔδοξεν οὖν αὐτοὺς εἰκότα λέγειν ὁ Καῖσαρ. ἔπαρχον οὖν τῆς Ἰουδαίας καὶ τῆς ἁπάσης βασιλείας ἀπέστειλε Κούσπιον Φάδον, τῷ κατοικομένῳ διδοὺς τιμὴν τὸ μὴ Μάρσον ἐπαγαγεῖν εἰς τὸ βασίλειον αὐτῷ, ἐκεῖ διάφορον τοῦτον ἐγνώκει. πρὸ πάντων δὲ ἔπεστειλε τῷ Φάδῳ Καισαρεῦσι καὶ Σεβαστηνοῖς ἐπιπλῆξαι τῆς εἰς τὸν κατοιχόμενον ὕβρεως καὶ παροινίας εἰς τὰς ἔτι ζώσας, τὴν ἴλην δὲ τῶν Καισαρέων καὶ τῶν Σεβαστηνῶν καὶ τὰς πέντε σπείρας εἰς Πόντου μεταγαγεῖν, ἵνα ἐκεῖ στρατεύοιντο· τῶν δὲ ἐν Συρίᾳ Ῥωμαϊκῶν ταγμάτων ἐπιλέξαι στρατιώτας κατ' ἀριθμούς, καὶ τὸν ἐκείνων ἀναπληρῶσαι τόπον. οὐ μὴν οἱ κελευσθέντες μετέστησαν· πρεσβευσάμενοι γὰρ Κλαύδιον ἀπεμειλίξαντο καὶ μένειν ἐπὶ τῆς Ἰουδαίας ἐπέτυχον· οἳ καὶ τοῖς ἐπιοῦσι χρόνοις τῶν μεγίστων Ἰουδαίοις ἐγένοντο συμφορῶν ἀρχή, τοῦ κατὰ Φλῶρον πολέμου σπέρματα βαλόντες. ὅθεν Οὐεσπασιανὸς κρατήσας, ὡς μετ' ὀλίγον ἐροῦμεν, ἐξήγαγεν αὐτοὺς τῆς ἐπαρχίας.

Digitized by Google

ΒΙΒΛΟΣ ΕΙΚΟΣΤΗ.

1 Τελευτήσαντος δὲ τοῦ βασιλέως Ἀγρίππα, καθὼς ἐν τῇ πρὸ ταύτης ἀπηγγέλκαμεν βίβλῳ, πέμπει Μάρσῳ διάδοχον Κλαύδιος Καῖσαρ Κάσσιον Λογγῖνον, μνήμῃ τῇ τοῦ βασιλέως τοῦτο χαριζόμενος, πολλὰ διὰ γραμμάτων ὑπ' αὐτοῦ περιόντος ἀξιωθεὶς μηκέτι Μάρσον τῶν κατὰ τὴν Συρίαν πραγμάτων προΐστασθαι. Φάδος δὲ ὡς εἰς τὴν Ἰουδαίαν ἐπίτροπος ἀφίκετο, καταλαμβάνει στασιάσαντας τοὺς εἰς τὴν Περαίαν κατοικοῦντας Ἰουδαίους πρὸς Φιλαδελφηνοὺς περὶ ὅρων κώμης Μιᾶς λεγομένης, πολεμικῶν ἀνδρῶν ἀνάπλεω. καὶ δὴ οἱ τῆς Περαίας χωρὶς γνώμης τῶν πρώτων παρ' αὐτοῖς ἀναλαβόντες τὰ ὅπλα, πολλοὺς τῶν Φιλαδελφηνῶν διαφθείρουσι. ταῦτα πυθόμενον τὸν Φάδον σφόδρα παρῴξυνεν, ὅτι μὴ τὴν κρίσιν αὐτῷ παραλίποιεν, εἴπερ ὑπὸ τῶν Φιλαδελφηνῶν ἐνόμιζον ἀδικεῖσθαι, ἀλλ' ἀδεῶς ἐφ' ὅπλα χωρήσειαν. λαβὼν οὖν τρεῖς τοὺς πρώτους αὐτῶν, τοὺς καὶ τῆς στάσεως αἰτίους, δῆσαι προσέταξεν· εἶτα τὸν μὲν αὐτῶν ἀνεῖλεν (Ἀννίβας δὲ ἦν ὄνομα τούτῳ), Ἀμαράμῳ δὲ καὶ Ἐλεαζάρῳ τοῖς δυσὶ φυγὴν ἐπέβαλεν. ἀναιρεῖται δὲ καὶ Θολομαῖος ὁ ἀρχιλῃστὴς μετ' οὐ πολὺν χρόνον ἀχθεὶς δέσμιος ἐπ' αὐτόν, διατεθεικὼς μέγιστα κακὰ τὴν Ἰδουμαίαν καὶ τοὺς Ἄραβας. ἐκαθάρθη τε λῃστηρίων ἅπασα τοὐντεῦθεν ἡ Ἰουδαία φροντίδι καὶ προνοίᾳ τῇ Φάδου· ὃς δὴ καὶ τότε μεταπεμψάμενος τοὺς ἀρχιερεῖς καὶ τοὺς πρώτους Ἱεροσολυμιτῶν παρῄνεσεν αὐτοῖς τὸν ποδήρη χιτῶνα καὶ τὴν ἱερὰν στολήν, ἣν φορεῖν μόνος ὁ ἀρχιερεὺς ἔθος ἔχει, εἰς τὴν Ἀντωνίαν, ἥπερ ἐστὶ φρούριον, καταθέσθαι, κειομένην ὑπὸ τῇ Ῥωμαίων ἐξουσίᾳ, καθὰ δὴ

Digitized by Google

καὶ πρότερον ἦν. οἳ δὲ ἀντιλέγειν μὲν οὐκ ἐτόλμων, παρεκάλουν δὲ ὅμως τόν τε Φάδον καὶ τὸν Λογγῖνον (ἀφίκετο γὰρ καὶ αὐτὸς εἰς τὰ Ἱεροσόλυμα, πολλὴν ἐπαγόμενος δύναμιν φόβῳ τοῦ μὴ τὰ προστάγματα Φάδου τὸ πλῆθος τῶν Ἰουδαίων νεωτερίζειν ἀναγκάσῃ) πρῶτον μὲν αὐτοῖς ἐπιτρέψαι πρέσβεις ὡς Καίσαρα πέμψαι τοὺς αἰτησομένους παρ' αὐτοῦ τὴν ἱερὰν στολὴν ὑπὸ τὴν αὐτῶν ἐξουσίαν ἔχειν, εἶτα δὲ περιμεῖναι ἕως ἂν γνῶσι τί πρὸς ταῦτα Κλαύδιος ἀποκρίναιτο. οἳ δὲ ἐπιτρέψειν αὐτοῖς ἔφασαν ἀποστεῖλαι τοὺς πρέσβεις, εἰ λάβοιεν αὐτῶν τοὺς παῖδας ὁμηρεύσοντας. ὑπακουσάντων δὲ ἑτοίμως ἐκείνων καὶ δόντων ἐξεπέμφθησαν οἱ πρέσβεις. παραγενομένων δὲ εἰς τὴν Ῥώμην αὐτῶν γνοὺς ὁ νεώτερος Ἀγρίππας, ὁ τοῦ τετελευτηκότος παῖς, καθ' ἣν ἤκουσιν αἰτίαν, (ἐτύγχανε δὲ ὢν παρὰ Κλαυδίῳ Καίσαρι, καθὼς καὶ πρότερον εἴπομεν) παρακαλεῖ τὸν Καίσαρα συγχωρῆσαι τοῖς Ἰουδαίοις ἅπερ ἠξίουν περὶ τῆς ἱερᾶς στολῆς, καὶ Φάδῳ περὶ τούτων ἀποστεῖλαι. καλέσας δὲ Κλαύδιος τοὺς πρέσβεις ἔφη ταῦτα συγχωρεῖν, καὶ ἐπέλευεν αὐτοὺς Ἀγρίππᾳ χάριν εἰδέναι (ταῦτα γὰρ ἐκείνου ποιεῖν ἀξιώσαντος), ἐπί τε ταῖς ἀποκρίσεσι τοιαύτην ἐπιστολὴν ἔδωκε. "Κλαύδιος Καῖσαρ Γερμανικός, δημαρχικῆς ἐξουσίας τὸ πέμπτον, ὕπατος ἀποδεδειγμένος τὸ τέταρτον, αὐτοκράτωρ τὸ δέκατον, πατὴρ πατρίδος, Ἱεροσολυμιτῶν ἄρχουσι βουλῇ δήμῳ, Ἰουδαίων παντὶ ἔθνει χαίρειν. Ἀγρίππα τοῦ ἐμοῦ, ὃν ἐγὼ ἔθρεψα καὶ ἔχω σὺν ἐμαυτῷ εὐσεβέστατον ὄντα, προσαγαγόντος μοι τοὺς ὑμετέρους πρέσβεις, εὐχαριστοῦντας ἐφ' ᾗ πεποίημαι τοῦ ἔθνους ὑμῶν κηδεμονίᾳ, καὶ αἰτησαμένων σπουδαίως καὶ φιλοτίμως τὴν ἱερὰν ἐσθῆτα καὶ τὸν στέφανον ὑπὸ τὴν ἐξουσίαν ὑμῶν εἶναι, συγχωρῶ, καθὼς ὁ κράτιστος καί μοι τι-

Digitized by Google

μιώτατος Ὑϊτέλλιος ἐποίησε. συγκατεθέμην δὲ τῇ γνώμῃ ταύτῃ πρῶτον διὰ τὸ ἐμαυτοῦ εὐσεβὲς καὶ τὸ βούλεσθαι ἑκάστους κατὰ τὰ πάτρια θρησκεύειν, ἔπειτα εἰδὼς ὅτι καὶ αὐτῷ βασιλεῖ Ἡρώδῃ καὶ Ἀριστοβούλῳ τῷ νεωτέρῳ, ὧν τὴν πρὸς ἐμαυτὸν εὐσέβειαν καὶ τὴν περὶ ὑμᾶς γινώσκω σπουδήν, πάνυ χαριοῦμαι ταῦτα ποιήσας, πρὸς οὓς ἔστι μοι πλεῖστα δίκαια φιλίας κρατίστους ὄντας κἀμοὶ τιμίους. ἔγραψα δὲ περὶ τούτων καὶ Κουσπίῳ Φάδῳ τῷ ἐμῷ ἐπιτρόπῳ. οἱ τὰ γράμματα κομίζοντες Κορνήλιος Κέρωνος, Τρύφων Θευδίωνος, Δωρόθεος Ναθαναήλου, Ἰωάννης Ἰωάννου. ἐγράφη πρὸ τεσσάρων καλανδῶν Ἰουλίου ἐπὶ ὑπάτων Ῥούφου καὶ Πομπηίου Σιλβανοῦ."

3 ἠτήσατο δὲ καὶ Ἡρώδης ὁ ἀδελφὸς μὲν Ἀγρίππα τοῦ τετελευτηκότος, Χαλκίδος δὲ τὴν ἀρχὴν κατὰ τὸν χρόνον ἐκεῖνον πεπιστευμένος, Κλαύδιον Καίσαρα τὴν ἐξουσίαν τοῦ νεὼ καὶ τῶν ἱερῶν χρημάτων καὶ τὴν τῶν ἀρχιερέων χειροτονίαν, πάντων τε ἐπέτυχεν· ἐξ ἐκείνου τε πᾶσι τοῖς ἀπογόνοις αὐτοῦ παρέμεινεν ἡ ἐξουσία μέχρι τῆς τοῦ πολέμου τελευτῆς. καὶ δὴ ὁ Ἡρώδης μεθίστησι τῆς ἀρχιερωσύνης τὸν ἐπικαλούμενον Κανθηρᾶν, Ἰωσήπῳ τῷ τοῦ Καμεὶ ἀντ' ἐκείνου τὴν διαδοχὴν τῆς τιμῆς παρασχόμενος.

2 κατὰ τοῦτον δὲ τὸν καιρὸν τῶν Ἀδιαβηνῶν βασιλὶς Ἑλένη καὶ ὁ παῖς αὐτῆς Ἰζάτης εἰς τὰ Ἰουδαίων ἔθη τὸν βίον μετέβαλλον διὰ τοιαύτην αἰτίαν. Μονόβαζος ὁ τῶν Ἀδιαβηνῶν βασιλεύς, ᾧ καὶ Βαζαῖος ἐπίκλησις ἦν, τῆς ἀδελφῆς Ἑλένης ἁλοὺς ἔρωτι πρὸς γάμου κοινωνίαν ἄγεται, καὶ κατέστησεν ἐγκύμονα. συγκαθεύδων δέ ποτε τῇ γαστρὶ τῆς γυναικὸς τὴν χεῖρα προσαναπαύσας, ἡνίκα καθύπνωσε, φωνῆς τινὸς ἔδοξεν ἀκούειν κελευούσης αἴρειν ἀπὸ τοῦ νηδύος τὴν χεῖρα

Digitized by Google

καὶ μὴ θλίβειν τὸ ἐν αὐτῇ βρέφος, θεοῦ προνοίᾳ καὶ ἀρχῆς τυχὸν καὶ τέλους εὐτυχοῦς τευξόμενον. ταραχθεὶς οὖν ὑπὸ τῆς φωνῆς, εὐθὺς διεγερθεὶς ἔφραζε τῇ γυναικὶ ταῦτα, καὶ γεννώμενον τὸν υἱὸν Ἰζάτην ἐπεκάλεσεν. ἦν δὲ αὐτῷ Μονόβαζος τούτου πρεσβύτερος ἐκ τῆς Ἑλένης γενόμενος, ἄλλοι τε παῖδες ἐξ ἑτέρων γυναικῶν· τὴν μέντοι πᾶσαν εὔνοιαν ὡς εἰς μονογενῆ τὸν Ἰζάτην ἔχων φανερὸς ἦν. φθόνος δὴ τοὐντεῦθεν τῷ παιδὶ παρὰ τῶν ὁμοπατρίων ἀδελφῶν ἐφύετο, κἀκ τούτου μῖσος ηὔξετο, λυπουμένων ἁπάντων ὅτι τὸν Ἰζάτην αὐτῶν ὁ πατὴρ προτιμᾷη. ταῦτα δὲ καίπερ σαφῶς αἰσθανόμενος ὁ πατὴρ ἐκείνοις μὲν συνεγίνωσκεν ὡς μὴ διὰ κακίαν αὐτὸ πάσχουσιν, ἀλλ' ἢ τῷ παρὰ τοῦ πατρὸς αὐτὸν ἕκαστον ἀξιοῦν εὐνοίας τυγχάνειν· τὸν δὲ νεανίσκον (σφόδρα γὰρ ἐδεδοίκει περὶ αὐτῷ μὴ μισούμενος ὑπὸ τῶν ἀδελφῶν πάθοι τι) πολλοῖς δωρησάμενος πρὸς Ἀβεννήριγον ἐκπέμπει τὸν Σπασίνου χάρακος βασιλέα, παρακατατιθέμενος ἐκείνῳ τὴν τοῦ παιδὸς σωτηρίαν. ὁ δὲ Ἀβεννήριγος ἀσμένως τε δέχεται τὸν νεανίαν, καὶ διὰ πολλῆς ἄγων εὐνοίας γυναῖκα μὲν αὐτῷ τὴν θυγατέρα (Συμαχὼ δὲ ἦν ὄνομα ταύτῃ) δίδωσι, δωρεῖται δὲ χώραν αὐτῷ ἐξ ἧς μεγάλας λήψοιτο προσόδους.

Μονόβαζος δὲ ἤδη γηραιὸς ὢν καὶ τοῦ ζῆν ὀλίγον 3
αὐτῷ τὸν λοιπὸν ὁρῶν χρόνον, ἠθέλησεν εἰς ὄψιν ἀφικέσθαι τῷ παιδὶ πρὸ τοῦ τελευτῆσαι. μεταπεμψάμενος οὖν αὐτὸν ἀσπάζεται φιλοφρονέστατα, καὶ χώραν δίδωσι Καρρῶν λεγομένην. φέρειν δὲ ἡ γῆ πλεῖστον τὸ ἄμωμον ἀγαθή· ἔστι δ' ἐν αὐτῇ καὶ τὰ λείψανα τῆς λάρνακος ἣ Νώεον ἐκ τῆς ἐπομβρίας διασεσῶσθαι λόγος ἔχει, καὶ μέχρι νῦν ταῦτα τοῖς ἰδεῖν βουλομένοις ἐπιδείκνυται. διέτριβεν οὖν ὁ Ἰζάτης ἐν τῇ χώρᾳ ταύτῃ

Digitized by Google

μέχρι τῆς τελευτῆς τοῦ πατρός. ἣ δὲ ἐξέλιπεν ἡμέρα τὸν βίον ὁ Μονόβαζος, ἡ βασιλὶς Ἑλένη μεταπέμπεται πάντας τοὺς μεγιστᾶνας καὶ τῆς βασιλείας σατράπας καὶ τοὺς τὰς δυνάμεις πεπιστευμένους· οἷς ἀφικομένοις "ὅτι μὲν ὁ ἐμὸς ἀνὴρ" εἶπε "τῆς βασιλείας αὐτῷ διάδοχον Ἰζάτην ηὔξατο γενέσθαι καὶ τοῦτον ἄξιον ἔκρινεν, οὐδὲ ὑμᾶς λεληθέναι δοκῶ, περιμένω δὲ ὅμως καὶ τὴν ὑμετέραν κρίσιν· μακάριος γὰρ οὐχ ὁ παρ' ἑνὸς ἀλλὰ παρὰ πλειόνων καὶ θελόντων τὴν ἀρχὴν λαμβάνων." ἣ μὲν ταῦτα εἶπεν ἐπὶ πείρᾳ τοῦ τί φρονοῖεν οἱ συγκληθέντες· οἱ δὲ ἀκούσαντες πρῶτον μὲν προσεκύνησαν τὴν βασιλίδα, καθὼς ἔθος ἐστὶν αὐτοῖς, εἶτα ἔφασαν τὴν τοῦ βασιλέως γνώμην βεβαιοῦν, καὶ ὑπακούσεσθαι χαίροντες Ἰζάτῃ δικαίως ὑπὸ τοῦ πατρὸς προκριθέντι τῶν ἀδελφῶν κατὰ τὰς εὐχὰς τῶν ἁπάντων. βούλεσθαί τε ἔφασαν προαποκτεῖναι πρῶτον αὐτοῦ τοὺς ἀδελφοὺς καὶ συγγενεῖς ὑπὲρ τοῦ τὴν ἀρχὴν Ἰζάτην μετ' ἀσφαλείας κατασχεῖν· φθαρέντων γὰρ ἐκείνων καθαιρεθήσεσθαι πάντα τὸν φόβον τὸν ὑπὸ μίσους τοῦ παρ' αὐτῶν καὶ φθόνου γινόμενον. πρὸς ταῦτα ἡ Ἑλένη χάριν μὲν αὐτοῖς ὡμολόγει τῆς πρὸς αὐτὴν καὶ τὸν Ἰζάτην εὐνοίας ἔχειν, παρακαλεῖ δὲ ὅμως ἐπισχεῖν τὴν περὶ τῆς ἀναιρέσεως τῶν ἀδελφῶν γνώμην, μέχρι ἂν Ἰζάτης παραγενόμενος συνδοκιμάσῃ. οἱ δὲ ἐπεὶ ἀνελεῖν ἦ ἐβουλεύσαντο οὐκ ἔπεισαν, φυλάσσειν αὐτοὺς δεσμίους παρῄνουν μέχρι τῆς ἐκείνου παρουσίας ὑπὲρ ἀσφαλείας τῆς ἑαυτῶν· συνεβούλευον δὲ αὐτῇ μεταξὺ προστήσασθαί τινα τῆς ἀρχῆς ἐπίτροπον, ᾧ μάλιστα πιστεύοι. πείθεται τούτοις ἡ Ἑλένη, καὶ καθίστησι τὸν πρεσβύτατον παῖδα Μονόβαζον βασιλέα, περιθεῖσα τὸ διάδημα καὶ δοῦσα τὸν σημαντῆρα τοῦ πατρὸς δακτύλιον τήν τε σαμψήραν ὀνομαζομένην

Digitized by Google

παρ' αὐτοῖς, διοικεῖν τε τὴν βασιλείαν παρῆνεσε μέχρι τῆς τοῦ ἀδελφοῦ παρουσίας. ἦκε δὲ οὗτος ταχέως, ἀκούσας τὴν τοῦ πατρὸς τελευτήν, καὶ διαδέχεται τὸν ἀδελφὸν Μονόβαζον ὑπεκστάντα τῆς ἀρχῆς αὐτῷ.

καθ' ὃν δὲ καιρὸν ὁ Ἰζάτης ἐν τῷ Σπασίνου χάρακι διέτριβεν, Ἰουδαῖός τις ἔμπορος, Ἀνανίας ὄνομα, πρὸς τὰς γυναῖκας εἰσιὼν τοῦ βασιλέως ἐδίδασκεν αὐτὰς τὸν θεὸν εὐσεβεῖν ὡς Ἰουδαίοις πάτριον ἦν· καὶ δὴ δι' αὐτῶν εἰς γνῶσιν ἀφικόμενος τῷ Ἰζάτῃ κἀκεῖνον ὁμοίως συνανέπεισε, μεταπληθέντι τε ὑπὸ τοῦ πατρὸς εἰς τὴν Ἀδιαβηνὴν συνεξῆλθε κατὰ πολλὴν ὑπακούσας δέησιν. συνεβεβήκει δὲ καὶ τὴν Ἑλένην, ὁμοίως ὑφ' ἑτέρου τινὸς Ἰουδαίου διδαχθεῖσαν, εἰς τοὺς ἐκείνων μετακομίσθαι νόμους. ὁ δὲ Ἰζάτης ὡς παρέλαβε τὴν βασιλείαν, ἀφικόμενος εἰς τὴν Ἀδιαβηνὴν καὶ θεασάμενος τούς τε ἀδελφοὺς καὶ τοὺς ἄλλους συγγενεῖς δεδεμένους, ἐθυμώθη τῷ γεγονότι, καὶ τὸ μὲν ἀνελεῖν ἢ φυλάττειν δεδεμένους ἀσεβὲς ἡγούμενος, τὸ δὲ μνησικακοῦντας ἔχειν σὺν αὐτῷ μὴ δεδεμένους σφαλερὸν εἶναι νομίζων, τοὺς μὲν ὁμηρεύσοντας μετὰ τέκνων εἰς τὴν Ῥώμην ἐξέπεμψε Κλαυδίῳ Καίσαρι, τοὺς δὲ πρὸς Ἀρτάβανον τὸν Πάρθον ἐφ' ὁμοίαις προφάσεσιν ἀπέστειλεν. πυθόμενος δὲ τὴν μητέρα τὴν ἑαυτοῦ πάνυ χαίρειν τοῖς Ἰουδαίων ἔθεσιν, ἔσπευσε καὶ αὐτὸς εἰς ἐκεῖνα μετατίθεσθαι, νομίζων τε μὴ ἂν εἶναι βεβαίως Ἰουδαῖος εἰ μὴ περιτέμνοιτο, πράττειν ἦν ἕτοιμος. μαθοῦσα δὲ ἡ μήτηρ κωλύειν ἐπειρᾶτο, ἐπιφέρειν αὐτῷ κίνδυνον λέγουσα· βασιλέα γὰρ εἶναι, καὶ καταστήσειν εἰς πολλὴν δυσμένειαν τοὺς ὑπηκόους μαθόντας ὅτι ξένων ἐπιθυμήσειε καὶ ἀλλοτρίων αὐτοῖς ἐθῶν, οὐκ ἀνέξεσθαί τε βασιλεύοντος αὐτῶν Ἰουδαίου. καὶ ἡ μὲν ταῦτα ἔλεγε καὶ παντοίως ἐκώλυεν, ὁ δὲ εἰς τὸν Ἀνα-

Digitized by Google

νίαν τοὺς λόγους ἀνέφερεν. τοῦ δὲ τῇ μητρὶ συμφάσκοντος καὶ συναπειλήσαντος, εἰ μὴ πείθοι, καταλιπεῖν αὐτόν (δεδοικέναι γὰρ ἔλεγε μὴ τοῦ πράγματος ἐκδήλου πᾶσι γενομένου κινδυνεύσειε τιμωρίαν ὑποσχεῖν ὡς αὐτὸς αἴτιος τούτων καὶ διδάσκαλος τῷ βασιλεῖ ἀπρεπῶν ἔργων γενόμενος· δύνασθαι δὲ αὐτὸν ἔφη καὶ χωρὶς τῆς περιτομῆς τὸ θεῖον σέβειν, εἴ γε πάντως κέκρικε ζηλοῦν τὰ πάτρια τῶν Ἰουδαίων· τοῦτο γὰρ εἶναι κυριώτερον τοῦ περιτέμνεσθαι), συγγνώμην δὲ ἔξειν αὐτῷ καὶ τὸν θεὸν φήσαντος μὴ πράξαντι τὸ ἔργον δι' ἀνάγκην καὶ τὸν ἐκ τῶν ὑπηκόων φόβον, ἐπείσθη μὲν τότε τοῖς λόγοις ὁ βασιλεύς, μετὰ ταῦτα δέ (τὴν γὰρ ἐπιθυμίαν οὐκ ἐξεβεβλήκει παντάπασιν) Ἰουδαῖός τις ἕτερος ἐκ τῆς Γαλιλαίας ἀφικόμενος, Ἐλεάζαρος ὄνομα, πάνυ περὶ τὰ πάτρια δοκῶν ἀκριβὴς εἶναι, προετρέψατο πρᾶξαι τοὔργον. ἐπεὶ γὰρ εἰσῆλθεν ἀσπασόμενος αὐτόν, καὶ κατέλαβε τὸν Μωϋσέως νόμον ἀναγινώσκοντα, "λανθάνεις" εἶπεν, "ὦ βασιλεῦ, τὰ μέγιστα τοὺς νόμους καὶ δι' αὐτῶν τὸν θεὸν ἀδικῶν· οὐ γὰρ ἀναγινώσκειν σε δεῖ μόνον αὐτούς, ἀλλὰ καὶ πρότερον τὰ προσταττόμενα ποιεῖν ὑπ' αὐτῶν. μέχρι τίνος ἀπερίτμητος μενεῖς; ἀλλ' εἰ μήπω τὸν περὶ τούτου νόμον ἀνέγνως, ἵν' εἰδῇς τίς ἐστιν ἡ ἀσέβεια, νῦν ἀνάγνωθι." ταῦτα ἀκούσας ὁ βασιλεὺς οὐχ ὑπερεβάλετο τὴν πρᾶξιν, μεταστὰς δὲ εἰς ἕτερον οἴκημα καὶ τὸν ἰατρὸν εἰσκαλεσάμενος τὸ προσταχθὲν ἐτέλει, καὶ μεταπεμψάμενος τήν τε μητέρα καὶ τὸν διδάσκαλον Ἀνανίαν ἐσήμηνεν αὐτὸς πεπραχέναι τοὔργον. τοὺς δὲ ἔκπληξις εὐθὺς ἔλαβε καὶ φόβος οὔτι μέτριος, μὴ τῆς πράξεως εἰς ἔλεγχον ἐλθούσης κινδυνεύσειε μὲν ὁ βασιλεὺς τὴν ἀρχὴν ἀποβαλεῖν, οὐκ ἀνασχομένων τῶν ὑπηκόων ἄρχειν αὐτῶν ἄνδρα τῶν παρ' ἑτέροις ζηλωτὴν ἐθῶν, κινδυνεύ-

Digitized by Google

σειαν δὲ καὶ αὐτοὶ τῆς αἰτίας ἐπ' αὐτοῖς τοῦ πραχθέντος ἐνεχθείσης. θεὸς δὲ ἦν ὁ κωλύσων ἄρα τοὺς ἐκείνων φόβους ἐλθεῖν ἐπὶ τὸ τέλος· πολλοῖς γὰρ αὐτόν τε τὸν Ἰζάτην περιπεσόντα κινδύνοις καὶ παῖδας τοὺς ἐκείνου διέσωσεν, ἐξ ἀμηχάνων πόρον εἰς σωτηρίαν παρασχών, ἐπιδεικνὺς ὅτι τοῖς εἰς αὐτὸν ἀποβλέπουσι καὶ μόνῳ πεπιστευκόσιν ὁ καρπὸς οὐκ ἀπόλλυται ὁ τῆς εὐσεβείας.

ἀλλὰ ταῦτα μὲν ὕστερον ἀπαγγελοῦμεν, Ἑλένη δὲ 6
ἡ τοῦ βασιλέως μήτηρ, ὁρῶσα τὰ μὲν κατὰ τὴν βασιλείαν εἰρηνευόμενα, τὸν δὲ υἱὸν αὐτῆς μακάριον καὶ παρὰ πᾶσι ζηλωτὸν καὶ τοῖς ἀλλοεθνέσι διὰ τὴν ἐκ θεοῦ πρόνοιαν, ἐπιθυμίαν ἔσχεν εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν ἀφικομένη τὸ πᾶσιν ἀνθρώποις περιβόητον ἱερὸν τοῦ θεοῦ προσκυνῆσαι καὶ χαριστηρίους θυσίας προσενεγκεῖν, ἐδεῖτό τε τοῦ παιδὸς ἐπιτρέψαι. τοῦ δὲ πάνυ προθύμως τῇ μητρὶ παρακαλούσῃ κατανεύσαντος καὶ πολλὴν παρασκευὴν τῶν εἰς τὴν ἀποστολὴν ἑτοιμασαμένου καὶ χρήματα πλεῖστα δόντος καταβαίνει εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν, προπέμποντος ἐπὶ πολὺ τοῦ παιδός. γίνεται δὲ αὐτῆς ἡ ἄφιξις πάνυ συμφέρουσα τοῖς Ἱεροσολυμίταις· λιμοῦ γὰρ αὐτῶν τὴν πόλιν κατὰ τὸν καιρὸν ἐκεῖνον πιέζοντος καὶ πολλῶν ὑπ' ἐνδείας ἀναλωμάτων φθειρομένων, ἡ βασιλὶς Ἑλένη πέμπει τινὰς τῶν ἑαυτῆς τοὺς μὲν εἰς τὴν Ἀλεξάνδρειαν πολλῶν σῖτον ὠνησομένους χρημάτων, τοὺς δὲ εἰς Κύπρον ἰσχάδων φόρτον οἰσοντας, ὡς δὲ πάλιν ἦλθον ταχέως κομίζοντες, τοῖς ἀπορουμένοις διένειμε τροφήν, καὶ μεγίστην αὐτῆς μνήμην τῆς εὐποιίας ταύτης εἰς τὸ πᾶν ἡμῶν ἔθνος καταλέλοιπε. πυθόμενος δὲ καὶ ὁ παῖς αὐτῆς Ἰζάτης τὰ περὶ τὸν λιμὸν ἔπεμψε πολλὰ χρήματα τοῖς πρώτοις τῶν Ἱεροσολυμιτῶν, ἃ τοῖς ἐνδεέσι διανε-

Digitized by Google

μηθέντα πολλοὺς τῆς ἐκ τοῦ λιμοῦ σφοδρότητος καὶ ἀνάγκης ἀνεκτήσατο. ἀλλὰ γὰρ ἃ τούτοις τοῖς βασιλεῦσιν εἰς τὴν πόλιν ἡμῶν ἀγαθὰ πέπρακται, καὶ ὅσοι τούτοις ἐκ ταύτης πόροι συνελέγησαν, μετὰ ταῦτα δηλώσομεν.

3 ὁ δὲ τῶν Πάρθων βασιλεὺς Ἀρτάβανος αἰσθόμενος τοὺς αὐτοῦ σατράπας ἐπιβουλὴν εἰς αὐτὸν συντεθεικότας, μένειν παρ' αὐτοῖς ἀσφαλὲς οὐχ ὁρῶν ἔγνω πρὸς Ἰζάτην ἀπαίρειν, πόρον παρ' αὐτοῦ βουλόμενος σωτηρίας εὑρέσθαι καὶ κάθοδον εἰς τὴν ἀρχήν, εἰ δυνηθείη. καὶ δὴ ἀφικνεῖται ὡς αὐτὸν συγγενῶν τε καὶ οἰκετῶν περὶ χιλίους τὸν ἀριθμὸν ἐπαγόμενος, συντυγχάνει τε τῷ Ἰζάτῃ καθ' ὁδόν, αὐτὸς μὲν σαφῶς ἐκεῖνον ἐπιστάμενος, ὑπ' Ἰζάτου δὲ οὐ γινωσκόμενος. καὶ πλησίον παραστὰς πρῶτον μὲν κατὰ τὸ πάτριον προσεκύνησεν αὐτῷ, εἶτα "βασιλεῦ" φησί, "μὴ περιίδῃς με τὸν σὸν ἱκέτην, μηδὲ ὑπερηφανήσῃς δεομένου· ταπεινὸς γὰρ ἐκ μεταβολῆς γενόμενος καὶ ἐκ βασιλέως ἰδιώτης, τῆς σῆς ἐπικουρίας χρῄζω. βλέψον οὖν εἰς τὸ τῆς τύχης ἄστατον, καὶ κοινὴν εἶναι τὴν συμφορὰν νόμισον, καὶ τὴν ἐμὴν ὑπὲρ σαυτοῦ πρόνοιαν ἤγησαι· ἐμοῦ γὰρ ἀνεκδικήτου περιοφθέντος ἔσονται θρασύτεροι πολλοὶ κατὰ τῶν ἄλλων βασιλέων." ὁ μὲν ταῦτα ἔλεγε δακρύων καὶ τῇ κεφαλῇ κάτω νεύων· ὁ δὲ Ἰζάτης ὡς ἤκουσε τοὔνομα καὶ εἶδεν ἱκέτην αὐτῷ παρεστῶτα καὶ ποτνιώμενον τὸν Ἀρτάβανον, κατεπήδησεν ἀπὸ τοῦ ἵππου ὀξέως, καί "θάρσησον" εἶπεν, "ὦ βασιλεῦ, μηδέ σε συγχείτω τὸ παρὸν ὡς ἀνήκεστον· ταχεῖα γὰρ ἔσται τῆς λύπης ἡ μεταβολή. φίλον δ' ἐμὲ καὶ σύμμαχον εὑρήσεις κρείττω τῆς ἐλπίδος· ἢ γὰρ εἰς τὴν Πάρθων σε καταστήσω βασιλείαν πάλιν, ἢ τῆς ἐμῆς ἐκστήσομαι."

2 ταῦτα εἰπὼν ἀνεβίβαζεν ἐπὶ τὸν ἵππον τὸν Ἀρτάβα-

Digitized by Google

νυν, παρείπετο δὲ αὐτὸς πεζός, τιμὴν ἀπονέμων ταυτηνὶ ὡς ἂν μείζονι βασιλεῖ· θεασάμενος δὲ ὁ Ἀρτάβανος βαρέως ἤνεγκε, καὶ τὴν ἐφεστῶσαν αὐτῷ τύχην [καὶ τιμὴν] ἐπωμόσατο ἢ μὴν καταβήσεσθαι μὴ ἐκείνου πάλιν ἀναβάντος καὶ προηγουμένου. ὃ δὲ πεισθεὶς ἐπὶ τὸν ἵππον ἦλατο, καὶ ἀγαγὼν αὐτὸν εἰς τὰ βασίλεια πᾶσαν τιμὴν ἀπένειμεν ἔν τε συνεδρίαις καὶ ταῖς περὶ τὰς ἑστιάσεις προκατακλίσεσιν, οὐκ εἰς τὸ παρὸν αὐτοῦ τῆς τύχης ἀποβλέπων ἀλλ' εἰς τὸ πρότερον ἀξίωμα, καί τι καὶ λογισμῷ διδοὺς ὡς κοιναὶ τοῖς ἀνθρώποις αἱ μεταβολαὶ τῆς τύχης. γράφει τε πρὸς τοὺς Πάρθους, πείθων αὐτοὺς τὸν Ἀρτάβανον ὑποδέξασθαι, πίστιν προτείνων τῆς τῶν πεπραγμένων ἀμνηστίας δεξιάν καὶ ὅρκους καὶ μεσιτείαν τὴν αὐτοῦ. τῶν δὲ Πάρθων δέξασθαι μὲν αὐτὸν θέλειν οὐκ ἀρνουμένων, μὴ δύνασθαι δὲ λεγόντων διὰ τὸ τὴν ἀρχὴν ἑτέρῳ πεπιστευκέναι (Κίνναμος δὲ ἦν ὄνομα τῷ παρειληφότι) καὶ δεδοικέναι μὴ στάσις αὐτοὺς ἐκ τούτου καταλάβῃ, μαθὼν τὴν προαίρεσιν αὐτῶν ὁ Κίνναμος ταύτην αὐτὸς γράφει τῷ Ἀρταβάνῳ (τέθραπτο γὰρ ὑπ' αὐτοῦ, καὶ φύσει δὲ ἦν καλὸς καὶ ἀγαθός) παρακαλῶν αὐτὸν πιστεύσαντα παραγενέσθαι τὴν ἀρχὴν ἀποληψόμενον τὴν αὐτοῦ. καὶ ὁ Ἀρτάβανος πιστεύσας παρῆν. ὑπαντᾷ δὲ αὐτὸν ὁ Κίνναμος, καὶ προσκυνήσας βασιλέα τε προσαγορεύσας περιτίθησιν αὐτοῦ τῇ κεφαλῇ τὸ διάδημα ἀφελὼν τῆς ἑαυτοῦ. καὶ Ἀρτάβανος οὕτω δι' Ἰζάτου πάλιν εἰς τὴν 3
ἀρχὴν καθίσταται, πρότερον αὐτῆς ἐκπεσὼν διὰ τοὺς μεγιστᾶνας. οὐκ ἐγένετο μὴν ἀμνήμων τῶν εἰς αὐτὸν εὐεργεσιῶν, ἀλλ' ἀντιδωρεῖται τὸν Ἰζάτην ταῖς μεγίσταις τιμαῖς παρ' αὐτοῖς· τήν τε γὰρ τιάραν ὀρθὴν ἐπέτρεψεν αὐτῷ φορεῖν καὶ ἐπὶ χρυσῆς κλίνης καθεύδειν, ἅπερ μόνων ἐστὶ γέρα καὶ σημεῖα τῶν Πάρθων

Digitized by Google

βασιλέων. ἔδωκε δὲ καὶ χώραν πολλὴν αὐτῷ κἀγαθήν, τῆς τοῦ Ἀρμενίων βασιλέως ἀποτεμόμενος· Νίσιβις δ' ἐστὶν ὄνομα τῇ γῇ, καὶ ἐν αὐτῇ πρότερον Μακεδόνες ἐκτίσαντο πόλιν Ἀντιόχειαν, ἣν Ἐπιμυγδονίαν προσηγόρευσαν.

ταύταις μὲν δὴ ταῖς τιμαῖς ὁ Ἰζάτης ὑπὸ τοῦ τῶν
3 Πάρθων βασιλέως ἐτιμήθη, μετ' οὐ πολὺν δὲ χρόνον Ἀρτάβανος τελευτᾷ, τὴν βασιλείαν τῷ παιδὶ Ὀαρδάνῃ καταλιπών. οὗτος δὴ πρὸς Ἰζάτην ἀφικόμενος ἔπειθεν αὐτόν, μέλλων πρὸς Ῥωμαίους πόλεμον ἐκφέρειν, συστρατεύεσθαι καὶ συμμαχίαν ἑτοιμάζειν. οὐ μὴν ἔπειθεν· ὁ γὰρ Ἰζάτης τὴν Ῥωμαίων δύναμίν τε καὶ τύχην ἐπιστάμενος ἀδυνάτοις αὐτὸν ἐνόμιζεν ἐπιχειρεῖν. ἔτι δὲ πεπομφὼς πέντε μὲν τὸν ἀριθμὸν υἱούς, τὴν ἡλικίαν νέους, γλῶτταν τὴν παρ' ἡμῖν πάτριον καὶ παιδείαν ἀκριβῶς μαθησομένους, τὴν δὲ μητέρα προσκυνοῦσαν τὸ ἱερόν, ὡς προεῖπον, ὀκνηρότερος ἦν, καὶ τὸν Ὀαρδάνην ἐκώλυε, συνεχῶς διηγούμενος τὰς Ῥωμαίων δυνάμεις τε καὶ πράξεις, διὰ τούτων οἰόμενος αὐτὸν φοβήσειν καὶ παύσειν ἐπιθυμοῦντα τῆς ἐπ' αὐτοὺς στρατείας. παροξυνθεὶς δὲ ἐπὶ τούτοις ὁ Πάρθος πόλεμον εὐθὺς πρὸς Ἰζάτην κατήγγειλεν, οὐ μὴν ἔλαβεν οὐδὲ τῆς ἐπὶ τούτῳ στρατείας ὄνησιν, τοῦ θεοῦ τὰς ἐλπίδας αὐτοῦ πάσας ὑποτεμόντος. μαθόντες γὰρ οἱ Πάρθοι τὴν διάνοιαν Ὀαρδάνου καὶ ὡς ἐπὶ Ῥωμαίους στρατεύειν ἔκρινεν, αὐτὸν μὲν ἀναιροῦσι, τὴν ἀρχὴν δὲ τῷ ἀδελφῷ Κοτάρδῃ παρέδοσαν. καὶ τοῦτον δὲ μετ' οὐ πολὺν χρόνον ἐξ ἐπιβουλῆς τελευτήσαντα διαδέχεται Ὀλογέσης ὁ ἀδελφός, ὃς δὴ καὶ τοῖς ὁμοπατρίοις δυσὶν ἀδελφοῖς δυναστείας ἐπίστευσε, Πακόρῳ μὲν τῷ πρεσβυτέρῳ τὴν Μήδων, Τιριδάτῃ δὲ τῷ νεωτέρῳ τὴν Ἀρμενίαν.

Digitized by Google

ὁ δὲ τοῦ βασιλέως ἀδελφὸς Μονόβαζος καὶ οἱ συγ- 4
γενεῖς θεωροῦντες τὸν Ἰζάτην διὰ τὴν πρὸς θεὸν εὐ-
σέβειαν καὶ τὴν ἐνοῦσαν αὐτῷ τῶν ἐθῶν χρηστότητα
ζηλωτὸν παρὰ πᾶσιν ἀνθρώποις γεγενημένον, ἔσχον
ἐπιθυμίαν καὶ αὐτοὶ τὰ πάτρια καταλιπόντες ἔθεσι
χρῆσθαι τοῖς Ἰουδαίων, καὶ τὴν ἔφεσιν εἰς πέρας ἐξή-
νεγκαν. γίνεται δ' ἡ πρᾶξις αὐτῶν κατάφωρος τοῖς ὑπη-
κόοις, κἀπὶ τούτῳ χαλεπήναντες οἱ μεγιστᾶνες οὐκ ἐφα-
νέρουν μὲν τὴν ὀργήν, κατὰ νοῦν δὲ ἔχοντες καιρὸν ἐπι-
τήδειον ἐζήτουν δίκην εἰσπράξασθαι παρ' αὐτῶν. καὶ δὴ
γράφουσι πρὸς Ἀβίαν τὸν Ἀράβων βασιλέα, χρήματα
πολλὰ δώσειν ὑπισχνούμενοι στρατεύσασθαι θελήσαντι
κατὰ τοῦ παρ' αὐτοῖς βασιλέως. ἐπηγγέλλοντο δὲ καὶ
περὶ τὴν πρώτην συμβολὴν ἐγκαταλείψειν τὸν βασι-
λέα· θέλειν γὰρ αὐτὸν τιμωρήσασθαι μισήσαντα τὰ
παρ' αὐτοῖς ἔθη. καὶ ὅρκοις τὴν πρὸς ἀλλήλους ἐνδη-
σάμενοι πίστιν σπεύδειν τομῶς παρεκάλουν. πείθεται
δὲ ὁ Ἄραψ, καὶ πολλὴν ἐπαγόμενος δύναμιν ἦκεν ἐπὶ
τὸν Ἰζάτην μηδὲν μελλήσας. πρώτῃ δὲ τοῦ πολέμου
προσβολῇ, πρὶν εἰς χεῖρας ἐλθεῖν, καταλείπουσι τὸν
Ἰζάτην ἐκ συνθήματος πάντες ὡς πανικῷ δείματι κα-
τασχεθέντες, καὶ τὰ νῶτα τοῖς πολεμίοις ἐντρέψαντες
ἔφευγον. οὐ μὴν ὁ Ἰζάτης κατεπλάγη τὸ δρᾶμα, νοή-
σας δὲ προδοσίαν ὑπὸ τῶν μεγιστάνων γεγενῆσθαι
καὶ αὐτὸς εἰς τὸ στρατόπεδον ὑπεχώρησε, καὶ τὴν αἰ-
τίαν ζητήσας, ὡς ἔμαθε συντεταγμένους πρὸς τὸν Ἄρα-
βα, τοὺς μὲν αἰτίους ἀναιρεῖ, τῇ δὲ ἐπιούσῃ συμβαλὼν
πλείστους μὲν ἀπέκτεινε, πάντας δὲ φυγεῖν ἠνάγκα-
σεν. αὐτὸν δὲ τὸν βασιλέα διώκων εἴς τι φρούριον
συνήλασεν Ἄρσαμον καλούμενον, καὶ προσμαχησάμε-
νος καρτερῶς εἶλε τὸ φρούριον, διαρπάσας τε τὴν ἐν
αὐτῷ λείαν πᾶσαν (πολλὴ δὲ ἦν) ὑπέστρεψεν εἰς τὴν

Digitized by Google

Ἀδιαβηνήν, τὸν Ἀβίαν οὐ καταλαβὼν ζῶντα· περικαταλαμβανόμενος γὰρ ἑαυτὸν ἀνεῖλε, πρὶν εἰς χεῖρας συγκλεισθῆναι τοῦ Ἰζάτου.

2 ἀποτυχόντες δὲ οἱ τῶν Ἀδιαβηνῶν μεγιστᾶνες τῆς πρώτης ἐπιχειρήσεως, παραδιδόντος αὐτοὺς τοῦ θεοῦ τῷ βασιλεῖ, οὐδ' ὡς ἠρέμουν, ἀλλὰ γράφουσι πάλιν Θολογέσῃ (βασιλεὺς δὲ Πάρθων οὗτος ἦν) παρακαλοῦντες ἀποκτεῖναι μὲν τὸν Ἰζάτην, καταστῆσαι δὲ αὐτοῖς ἕτερον δυνάστην καὶ τῷ γένει Πάρθον· μισεῖν γὰρ ἔλεγον τὸν ἑαυτῶν βασιλέα καταλύσαντα μὲν τὰ πάτρια αὐτοῖς, ξένων δὲ ἐραστὴν ἐθῶν γενόμενον. ταῦτα ἀκούσας ὁ Πάρθος ἐπήρθη πρὸς τὸν πόλεμον, καὶ προφάσεως δικαίας μηδεμίαν ἔχων ἀφορμήν, τὰς ὑπὸ τοῦ πατρὸς αὐτῷ δοθείσας τιμὰς ἔπεμψεν ἀπαιτῶν, ἀπειθήσαντι δὲ πόλεμον κατήγγελλεν. ταράσσεται δὲ τὴν ψυχὴν οὐχὶ μετρίως ὁ Ἰζάτης, ὡς ἤκουσε ταῦτα, κατάγνωσιν μὲν φέρειν αὐτῷ νομίσας τὸ τῶν δωρεῶν ἐξίστασθαι, δοκοῦντι διὰ φόβον τοῦτο πρᾶξαι. εἰδὼς δὲ ὅτι καὶ ἀπολαβὼν ὁ Πάρθος τὰς τιμὰς οὐκ ἂν ἠρεμήσειεν, ἔκρινεν ἐπιτρέψαι τῷ κηδεμόνι θεῷ τὸν ὑπὲρ τῆς ψυχῆς κίνδυνον· καὶ τοῦτον μέγιστον ἡγησάμενος ἔχειν σύμμαχον, κατατίθεται μὲν τὰ τέκνα καὶ τὰς γυναῖκας εἰς τὰ τῶν φρουρίων ἀσφαλέστατα, σῖτον δὲ πάντα εἰς τὰς βάρεις, καὶ ἐμπίπρησι τόν τε χόρτον καὶ τὰς νομάς. ταῦτά τε προευτρεπισάμενος ἐξεδέχετο τοὺς πολεμίους. παραγενομένου δὲ τοῦ Παρθυαίων βασιλέως μετὰ πολλῆς δυνάμεως πεζῶν τε καὶ ἱππέων θᾶττον ἐλπίδος (ὤδευσε γὰρ συντόνως), βαλλομένου τε χάρακα πρὸς τῷ ποταμῷ τῷ τὴν Ἀδιαβηνὴν καὶ τὴν Μηδίαν ὁρίζοντι, τίθησι καὶ ὁ Ἰζάτης τὸ στρατόπεδον οὐκ ἄπωθεν, ἔχων περὶ αὐτὸν ἱππεῖς τὸν ἀριθμὸν ἑξακισχιλίους. ἀφικνεῖται δὲ πρὸς τὸν Ἰζάτην ἄγγελος

Digitized by Google

παρὰ τοῦ Πάρθου πεμφθείς, ὃς τὴν Πάρθου δύναμιν ὅση τίς ἐστιν ἤγγελλεν, ἀπὸ Εὐφράτου ποταμοῦ μέχρι Βάκτρων τοὺς ὅρους αὐτῆς τιθέμενος, καὶ τοὺς ὑπηκόους αὐτῆς βασιλέας καταλέγων. ἠπείλει δὲ δώσειν αὐτὸν δίκας ἀχάριστον περὶ δεσπότας τοὺς ἑαυτοῦ γενόμενον, καὶ ῥύεσθαι τῶν βασιλέως αὐτὸν χειρῶν οὐδὲ τὸν θεὸν ὃν σέβει δυνήσεσθαι. ταῦτα τοῦ ἀγγέλου φράσαντος, ὁ Ἰζάτης εἰδέναι μὲν τὴν Πάρθων δύναμιν ἔφη πολὺ τῆς αὐτοῦ διαφέρουσαν, γιγνώσκειν δ' οὖν ἔτι μᾶλλον ἀνθρώπων πάντων ἔλεγε κρείσσω τὸν θεόν. καὶ τοιαύτην δοὺς τὴν ἀπόκρισιν ἐπὶ τὴν ἱκετείαν ἐτρέπετο τοῦ θεοῦ, χαμαί τε ῥίψας αὐτὸν καὶ σποδῷ τὴν κεφαλὴν καταισχύνας μετὰ γυναικῶν καὶ τέκνων ἐνήστευεν, ἀνακαλῶν τὸν θεὸν καὶ λέγων "εἰ μὴ μάτην, ὦ δέσποτα κύριε, τῆς σῆς ἐγενόμην χρηστότητος, τῶν πάντων δὲ δικαίως μόνον δεσπότην καὶ πρῶτον ἥγημαι προνοητὴν καὶ κύριον, ἐλθὲ σύμμαχος, οὐχ ὑπὲρ ἐμοῦ μόνον ἀμυνόμενος τοὺς πολεμίους, ἀλλ' ὅτι καὶ τῆς σῆς δυνάμεως κατατετολμήκασι καὶ μεγαλορρήμονα γλῶσσαν ἐπαφιέναι οὐ πεφρίκασιν." ὃ μὲν ταῦτα ἐποτνιᾶτο δακρύων καὶ ὀδυρόμενος, ἐπήκοος δὲ ὁ θεὸς ἐγίνετο, καὶ κατ' ἐκείνην εὐθὺς τὴν νύκτα δεξάμενος Ὀλογέσης ἐπιστολὰς ἐν αἷς ἐγέγραπτο Δαῶν καὶ Σακῶν χεῖρα μεγάλην, καταφρονήσασαν αὐτοῦ τῇ ἀποδημίᾳ, ἐπιστρατευσαμένην διαρπάξειν τὴν Παρθυηνήν, ἄπρακτος ἀνέζευξεν εἰς τοὐπίσω. καὶ ὁ Ἰζάτης οὕτω κατὰ θεοῦ πρόνοιαν τὰς ἀπειλὰς τοῦ Πάρθου διαφεύγει.

μετ' οὐ πολὺν δὲ χρόνον πεντηκοστὸν μὲν καὶ 3
πέμπτον ἀπὸ γενεᾶς πληρώσας ἔτος, τέταρτον δὲ πρὸς εἰκοστῷ δυναστεύσας, θνήσκει καταλιπὼν παῖδας ἄρρενας εἴκοσι τέσσαρας καὶ θυγατέρας τοσαύτας· τὴν

Digitized by Google

μέντοι διαδοχὴν τῆς ἀρχῆς τὸν ἀδελφὸν Μονόβαζον ἐκέλευε παραλαβεῖν, ἀμειβόμενος αὐτὸν ὅτι κατὰ τὴν ἀποδημίαν αὐτοῦ, μετὰ τὸν τοῦ πατρὸς αὐτοῦ θάνατον, πιστῶς φυλάξειεν αὐτῷ τὴν δυναστείαν. ἡ δὲ μήτηρ Ἑλένη τὸν τοῦ παιδὸς θάνατον ἀκούσασα βαρέως μὲν ἤνεγκεν, ὡς εἰκὸς μητέρα στερομένην εὐσεβεστάτου παιδός, παραμυθίαν δὲ ὅμως εἶχε τὴν διαδοχὴν ἀκούσασα εἰς τὸν πρεσβύτερον αὐτῆς υἱὸν ἥκουσαν, καὶ πρὸς αὐτὸν ἔσπευδεν. παραγενομένη δὲ εἰς τὴν Ἀδιαβηνὴν οὐ πολὺν Ἰζάτῃ τῷ παιδὶ χρόνον ἐπεβίωσεν, ἀλλὰ τῷ γήραι καὶ τῷ τῆς λύπης ἀλγήματι πιεζομένη ταχέως ἀπέψυξεν. ὁ δὲ Μονόβαζος τά τε ἐκείνης ὀστᾶ καὶ τὰ τοῦ ἀδελφοῦ πέμψας εἰς Ἱεροσόλυμα, θάψαι προσέταξεν ἐν ταῖς πυραμίσιν ἃς ἡ μήτηρ κατεσκευάκει, τρεῖς τὸν ἀριθμόν, τρία στάδια τῆς τῶν Ἱεροσολυμιτῶν πόλεως ἀπεχούσας.

ἀλλὰ Μονόβαζος μὲν ὁ βασιλεὺς ὅσα κατὰ τὸν τῆς ζωῆς χρόνον ἔπραξεν, ὕστερον ἀπαγγελοῦμεν· Φάδου δὲ τῆς Ἰουδαίας ἐπιτροπεύοντος γόης τις ἀνήρ, Θευδᾶς ὀνόματι, πείθει τὸν πλεῖστον ὄχλον ἀναλαβόντα τὰς κτήσεις ἕπεσθαι πρὸς τὸν Ἰορδάνην ποταμὸν αὐτῷ· προφήτης γὰρ ἔλεγεν εἶναι, καὶ προστάγματι τὸν ποταμὸν σχίσας δίοδον ἔφη παρέξειν αὐτοῖς ῥᾳδίαν. καὶ ταῦτα λέγων πολλοὺς ἠπάτησεν. οὐ μὴν εἴασεν αὐτοὺς τῆς ἀφροσύνης ὄνασθαι Φάδος, ἀλλ' ἐξέπεμψεν ἵλην ἱππέων ἐπ' αὐτούς, ἥτις ἀπροσδόκητος ἐπιπεσοῦσα πολλοὺς μὲν ἀνεῖλε πολλοὺς δὲ ζῶντας ἔλαβεν· αὐτόν τε τὸν Θευδᾶν ζωγρήσαντες ἀποτέμνουσι τὴν κεφαλὴν καὶ κομίζουσιν εἰς Ἱεροσόλυμα.

τὰ μὲν οὖν συμβάντα τοῖς Ἰουδαίοις κατὰ τοὺς Κουσπίου Φάδου τῆς ἐπιτροπῆς χρόνους ταῦτα ἐγένετο· ἦλθε δὲ Φάδῳ Τιβέριος Ἀλέξανδρος διάδοχος,

Digitized by Google

Ἀλεξάνδρου παῖς τοῦ καὶ ἁλαβαρχήσαντος ἐν Ἀλεξανδρείᾳ, γένει τε καὶ πλούτῳ πρωτεύσαντος τῶν ἐκεῖ καθ' αὑτόν, ὃς διήνεγκε καὶ τῇ πρὸς τὸν θεὸν εὐσεβείᾳ τοῦ παιδὸς Ἀλεξάνδρου· τοῖς γὰρ πατρίοις οὐκ ἐνέμειν οὗτος ἔθεσιν. ἐπὶ τούτοις δὴ καὶ τὸν μέγαν λιμὸν κατὰ τὴν Ἰουδαίαν συνέβη γενέσθαι, καθ' ὃν καὶ ἡ βασιλὶς Ἑλένη πολλῶν χρημάτων ὠνησαμένη σῖτον ἀπὸ τῆς Αἰγύπτου διένειμε τοῖς ἀπορουμένοις, ὡς προεῖπον. πρὸς τούτοις δὲ καὶ οἱ παῖδες Ἰούδα τοῦ Γαλιλαίου ἀνῃρέθησαν, τοῦ τὸν λαὸν ἀπὸ Ῥωμαίων ἀποστήσαντος Κυρηνίου τῆς Ἰουδαίας τιμητεύοντος, ὡς ἐν τοῖς πρὸ τούτων ἐδηλώσαμεν, Ἰάκωβος καὶ Σίμων, οὓς ἀνασταυρῶσαι προσέταξεν ὁ Ἀλέξανδρος. ὁ δὲ τῆς Χαλκίδος βασιλεὺς Ἡρῴδης, μεταστήσας τῆς ἀρχιερωσύνης Ἰώσηπον τὸν τοῦ Κεμδῆ, τὴν διαδοχὴν τῆς τιμῆς Ἀνανίᾳ τῷ τοῦ Νεδεβαίου δίδωσιν. Τιβερίῳ δὲ Ἀλεξάνδρῳ Κουμανὸς ἀφίκετο διάδοχος, καὶ τελευτᾷ τὸν βίον Ἡρῴδης ὁ τοῦ μεγάλου βασιλέως Ἀγρίππα ἀδελφός, ὀγδόῳ τῆς Κλαυδίου Καίσαρος ἀρχῆς ἔτει, καταλιπὼν τρεῖς υἱούς, Ἀριστόβουλον μὲν ὑπὸ τῆς πρώτης αὐτῷ τεχθέντα γυναικός, ἐκ Βερενίκης δὲ τῆς ἀδελφοῦ θυγατρὸς Βερενικιανὸν καὶ Ὑρκανόν· τὴν δὲ ἀρχὴν αὐτοῦ Κλαύδιος Καῖσαρ Ἀγρίππᾳ τῷ νεωτέρῳ δίδωσι.

στάσεως δὲ ἐμπεσούσης τῇ τῶν Ἱεροσολυμιτῶν πό- 3
λει Κουμανοῦ τὰ κατὰ τὴν Ἰουδαίαν πράγματα διοικοῦντος, ἐφθάρησαν ὑπὸ ταύτης πολλοὶ τῶν Ἰουδαίων. καὶ πρότερον ἀφηγήσομαι τὴν αἰτίαν δι' ἣν ταῦτα συνέβη. τῆς πάσχα προσαγορευομένης ἑορτῆς ἐνστάσης, καθ' ἣν ἔθος ἐστὶν ἡμῖν ἄζυμα προσφέρεσθαι, πολλοῦ καὶ πανταχόθεν πλήθους συναχθέντος ἐπὶ τὴν ἑορτήν, δείσας ὁ Κουμανὸς μὴ νεώτερόν τι παρὰ τούτων προσ-

Digitized by Google

πέσῃ, κελεύει τῶν στρατιωτῶν μίαν τάξιν ἀναλαβοῦσαν τὰ ὅπλα ἐπὶ τῶν τοῦ ἱεροῦ στοῶν ἑστάναι καταστελοῦντας τὸν νεωτερισμόν, εἰ ἄρα τις γένοιτο. τοῦτο δὲ καὶ οἱ πρὸ αὐτοῦ τῆς Ἰουδαίας ἐπιτροπεύσαντες ἐν ταῖς ἑορταῖς ἔπραττον. τετάρτῃ δὲ ἡμέρᾳ τῆς ἑορτῆς στρατιώτης τις ἀνακαλύψας ἐπεδείκνυε τῷ πλήθει τὰ αἰδοῖα, καὶ πρὸς τοῦτο θεασαμένων ὀργὴ καὶ θυμὸς ἦν, οὐχ ἑαυτοὺς ὑβρίσθαι λεγόντων ἀλλὰ τὸν θεὸν ἠσεβῆσθαι. τινὲς δὲ τῶν θρασυτέρων τὸν Κουμανὸν ἐβλασφήμουν, ὑπ' αὐτοῦ τὸν στρατιώτην καθεῖσθαι λέγοντες. Κουμανὸς δὲ ἀκούσας καὶ αὐτὸς οὐ μετρίως ἐρεθίζεται πρὸς τὰς βλασφημίας, παρῄνει μέντοι παύσασθαι νεωτέρων ἐπιθυμοῦντας πραγμάτων, μηδὲ στάσεις ἐξάπτειν ἐν ἑορτῇ. μὴ πείθων δέ (μᾶλλον γὰρ ἐπέκειντο βλασφημοῦντες) κελεύει τὸ στράτευμα πᾶν πανοπλίαν ἀναλαβόντας ἧκειν εἰς τὴν Ἀντωνίαν· φρούριον δὲ τοῦτο, καθάπερ καὶ πρότερον εἴπομεν, ἐπικείμενον τῷ ἱερῷ. παραγενομένους δὲ τοὺς στρατιώτας θεασάμενον τὸ πλῆθος καὶ φοβηθὲν φεύγειν ὥρμησε, τῶν δ' ἐξόδων στενῶν οὐσῶν, διώκεσθαι νομίζοντες ὑπὸ τῶν πολεμίων καὶ συνωθούμενοι κατὰ τὴν φυγὴν πολλοὺς ὑπ' ἀλλήλων ἐν τοῖς στενοῖς θλιβομένους διέφθειρον· δύο γοῦν μυριάδες ἐξηριθμήθησαν τῶν κατὰ τὴν στάσιν ἐκείνην φθαρέντων. πένθος δὲ ἦν τὸ λοιπὸν ἀντὶ τῆς ἑορτῆς, καὶ πάντες ἐκλαθόμενοι τῶν εὐχῶν καὶ τῶν θυσιῶν ἐπὶ θρήνους καὶ κλαυθμοὺς ἐτράποντο.

τοιαῦτα μὲν ἑνὸς ἀσέλγεια στρατιώτου παθήματα
4 γενέσθαι παρεσκεύασεν· οὕπω δὲ αὐτῶν τὸ πρῶτον πένθος ἐπέπαυτο, καὶ κακὸν ἄλλο προσέπιπτε. τῶν γὰρ ἀφεστώτων ἐπὶ νεωτερισμῷ τινές, κατὰ τὴν δημοσίαν ὁδὸν ὡς ἑκατὸν σταδίων ἄπωθεν τῆς πόλεως, Στέφανόν τινα τοῦ Καίσαρος δοῦλον ὁδοιποροῦντα

Digitized by Google

λῃστεύσαντες ἅπασαν αὐτοῦ τὴν κτῆσιν διαρπάζουσιν. ἀκούσας δὲ τὸ πραχθὲν ὁ Κουμανὸς εὐθὺς πέμπει στρατιώτας, κελεύσας αὐτοῖς τὰς πλησίον κώμας διαρπάσαι, τοὺς δὲ ἐπιφανεστάτους αὐτῶν θήσαντας ἐπ' αὐτὸν ἄγειν, λόγον τῶν τετολμημένων εἰσπράξοντα. τῆς δὲ πορθήσεως γινομένης τῶν κωμῶν, τῶν στρατιωτῶν τις τοὺς Μωϋσέως νόμους ἔν τινι πώρῃ λαβὼν κειμένους, προκομίσας εἰς τὴν πάντων ὄψιν διέσχισεν, ἐπιβλασφημῶν καὶ πολλὰ κατακερτομῶν. οἱ δὲ Ἰουδαῖοι ταῦτα ἀκούσαντες καὶ πολλοὶ συνδραμόντες καταβαίνουσιν εἰς Καισάρειαν (ἐπεὶ γὰρ ἐτύγχανεν ὁ Κουμανὸς ὤν) ἱκετεύοντες μὴ αὐτοὺς ἀλλὰ τὸν θεόν, οὗπερ οἱ νόμοι καθυβρίσθησαν, ἐκδικῆσαι· ζῆν γὰρ οὐχ ὑπομένειν τῶν πατρίων αὐτοῖς οὕτω περιυβρισμένων. καὶ ὁ Κουμανὸς δείσας μὴ πάλιν νεωτερίσειε τὸ πλῆθος, συμβουλευσάντων καὶ τῶν φίλων, τὸν ἐνυβρίσαντα τοῖς νόμοις στρατιώτην πελεκίσας ἔπαυσε τὴν στάσιν ἐκ δευτέρου μέλλουσαν ἐξάπτεσθαι.

γίνεται δὲ καὶ Σαμαρείταις πρὸς Ἰουδαίους ἔχθρα 6
δι' αἰτίαν τοιαύτην. ἔθος ἦν τοῖς Γαλιλαίοις ἐν ταῖς ἑορταῖς εἰς τὴν ἱερὰν πόλιν παραγινομένοις ὁδεύειν διὰ τῆς Σαμαρέων χώρας. καὶ τότε καθ' ὁδὸν αὐτοῖς κώμης Γιναίας λεγομένης, τῆς ἐν μεθορίῳ κειμένης Σαμαρείας τε καὶ τοῦ μεγάλου πεδίου, τινὲς συνάψαντες μάχην πολλοὺς αὐτῶν ἀναιροῦσι. πυθόμενοι δὲ τὰ πραχθέντα τῶν Γαλιλαίων οἱ πρῶτοι πρὸς Κουμανὸν ἀφίκοντο, καὶ παρεκάλουν αὐτὸν μετιέναι τῶν ἀνῃρημένων τὸν φόνον. ὃ δὲ χρήμασι πεισθεὶς ὑπὸ τῶν Σαμαρέων ὠλιγώρησεν. ἀγανακτήσαντες δὲ ἐπὶ τούτῳ Γαλιλαῖοι τὸ πλῆθος τῶν Ἰουδαίων ἔπειθον ἐφ' ὅπλα χωρῆσαι καὶ τῆς ἐλευθερίας ἀντέχεσθαι· δουλείαν γὰρ καὶ καθ' αὑτὴν μὲν πικρὰν ἔλεγον εἶναι, τὴν ἐφ'

Digitized by Google

ὕβρει δὲ παντάπασιν ἀφόρητον. τῶν δὲ ἐν τέλει καταπραΰνειν αὐτοὺς καὶ συστέλλειν τὴν ταραχὴν πειρωμένων, καὶ πείσειν τὸν Κουμανὸν ἐπαγγελλομένων δίκας εἰσπράσσεσθαι παρὰ τῶν ἀνηρηκότων, ἐκείνοις μὲν οὐ προσέσχον, ἀναλαβόντες δὲ τὰ ὅπλα καὶ βοηθεῖν Ἐλεάζαρον τὸν τοῦ Δειναίου παρακαλέσαντες (λῃστὴς δὲ οὗτος ἦν ἔτη πολλὰ τὴν διατριβὴν ἐν ὄρει πεποιημένος), κώμας τινὰς τῶν Σαμαρέων ἐμπρήσαντες διαρπάζουσι. Κουμανὸς δέ, τῆς πράξεως εἰς αὐτὸν ἀφικομένης, ἀναλαβὼν τὴν τῶν Σεβαστηνῶν ἴλην καὶ πεζῶν τέσσαρα τάγματα, τούς τε Σαμαρείτας καθοπλίσας, ἐξῆλθεν ἐπὶ τοὺς Ἰουδαίους, καὶ συλλαβὼν πολλοὺς μὲν αὐτῶν ἀπέκτεινε, πλείους δὲ ζῶντας ἔλαβεν. οἱ δὲ πρῶτοι κατὰ τιμὴν καὶ γένος τῶν Ἱεροσολυμιτῶν ὡς εἶδον εἰς οἷον κακῶν μέγεθος ἥκουσι, μετενδυσάμενοι σάκκους καὶ σποδοῦ τὰς κεφαλὰς ἀναπλήσαντες παντοῖοι τοὺς ἀφεστῶτας παρακαλοῦντες ἦσαν, καὶ πείθοντες, πρὸ ὀφθαλμῶν θεμένους κατασκαφησομένην μὲν αὐτῶν τὴν πατρίδα, τὸ δὲ ἱερὸν πυρποληθησόμενον, αὐτῶν δὲ καὶ γυναικῶν σὺν τέκνοις ἀνδραποδισμοὺς ἐσομένους, μεταθέσθαι τὸν λογισμόν, καὶ ὅπλα ῥίψαντας ἡρεμεῖν εἰς τὸ λοιπόν, ἀποχωρήσαντας εἰς τὰ αὑτῶν. ταῦτα δὲ εἰπόντες ἔπεισαν, καὶ οἱ μὲν διελύθησαν, οἱ λῃσταὶ δὲ ἐπὶ τοὺς ἐχυροὺς τόπους πάλιν ἀπῆλθον. ἐξ ἐκείνου δὲ ἡ σύμπασα Ἰουδαία λῃστηρίων ἐπληρώθη.

2 Σαμαρέων δὲ οἱ πρῶτοι πρὸς Οὐμμίδιον Κουαδρᾶτον τῆς Συρίας προεστηκότα, κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν Τύρῳ τυγχάνοντα, παραγενόμενοι κατηγόρουν τῶν Ἰουδαίων ὡς τὰς κώμας αὐτῶν ἐμπρήσειαν καὶ διαρπάσειαν. καὶ περὶ μὲν ὧν αὐτοὶ πεπόνθασιν οὐχ οὕτως ἀγανακτεῖν ἔφασκον ὡς ὅτι Ῥωμαίων καταφρο-

Digitized by Google

νήσειαν, ἐφ' οὓς κριτὰς ἐχρῆν αὐτούς, εἴπερ ἠδικοῦντο, παραγενέσθαι ἢ νῦν, ὡς οὐκ ἐχόντων ἡγεμόνας Ῥωμαίους, καταδραμεῖν. ἥκειν οὖν ἐπ' αὐτὸν ἐκδικίας τευξόμενοι. ταῦτα μὲν οὖν οἱ Σαμαρεῖς κατηγόρουν, Ἰουδαῖοι δὲ καὶ τῆς στάσεως καὶ τῆς μάχης αἰτίους γεγονέναι Σαμαρεῖς ἔφασαν, πρὸ πάντων δὲ Κουμανὸν δώροις ὑπ' αὐτῶν φθαρέντα καὶ παρασιωπήσαντα τὸν τῶν ἀνῃρημένων φόνον. καὶ Κουαδρᾶτος ἀκούσας ὑπερτίθεται τὴν κρίσιν, εἰπὼν ἀποφανεῖσθαι ἐπειδὰν εἰς τὴν Ἰουδαίαν παραγενόμενος ἀκριβέστερον ἐπιγνῷ τὴν ἀλήθειαν. καὶ οἳ μὲν ἀπῆσαν ἄπρακτοι, μετ' οὐ πολὺν δὲ χρόνον ὁ Κουαδρᾶτος ἧκεν εἰς Σαμάρειαν, ἔνθα διακούσας αἰτίους τῆς ταραχῆς ὑπέλαβε γεγονέναι Σαμαρεῖς. ὡς δὲ καὶ Ἰουδαίων τινὰς νεωτερίσαντας ἔμαθεν, ἀνεσταύρωσεν οὓς Κουμανὸς ἔλαβεν αἰχμαλώτους. κἀκεῖθεν εἰς κώμην τινὰ παραγενόμενος Λύδδαν λεγομένην, πόλεως τὸ μέγεθος οὐκ ἀποδέουσαν, καθίσας ἐπὶ βήματος κἀκ δευτέρου τῶν Σαμαρέων διακούσας διδάσκεται παρά τινος Σαμαρέως ὅτι τῶν Ἰουδαίων τις πρῶτος, ὄνομα Δόρτος, καί τινες σὺν αὐτῷ νεωτερισταί, τέσσαρες τὸν ἀριθμόν, πείσειαν τὸν ὄχλον ἐπὶ τῇ Ῥωμαίων ἀποστάσει. κἀκείνους μὲν ὁ Κουαδρᾶτος ἀνελεῖν προσέταξεν, τοὺς δὲ περὶ Ἀνανίαν τὸν ἀρχιερέα καὶ τὸν στρατηγὸν Ἄνανον δήσας εἰς Ῥώμην ἀνέπεμψε, περὶ τῶν πεπραγμένων λόγον ὑφέξοντας Κλαυδίῳ Καίσαρι. κελεύει δὲ καὶ τοῖς τῶν Σαμαρέων πρώτοις καὶ τοῖς Ἰουδαίων, Κουμανῷ τε τῷ ἐπιτρόπῳ καὶ Κέλερι (χιλίαρχος δ' ἦν οὗτος), ἐπ' Ἰταλίας ἀπιέναι πρὸς τὸν αὐτοκράτορα, κριθησομένους ἐπ' αὐτῷ περὶ τῶν πρὸς ἀλλήλους ζητήσεων. αὐτὸς δὲ δείσας μὴ τὸ πλῆθος τῶν Ἰουδαίων πάλιν νεωτερίσειεν, εἰς τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν ἀφικνεῖται. καταλαμβάνει

Digitized by Google

δὲ αὐτὴν εἰρηνευομένην καὶ πάτριον ἑορτὴν τῷ θεῷ τελοῦσαν. πιστεύσας οὖν μηδένα νεωτερισμὸν παρ' αὐτῶν γενήσεσθαι, καταλιπὼν ἑορτάζοντας ὑπέστρεψεν εἰς Ἀντιόχειαν.

3 οἱ περὶ Κουμανὸν δὲ καὶ τοὺς πρώτους τῶν Σαμαρέων ἀναπεμφθέντες εἰς Ῥώμην λαμβάνουσι παρὰ τοῦ αὐτοκράτορος ἡμέραν, καθ' ἣν περὶ τῶν πρὸς ἀλλήλους ἀμφισβητήσεων λέγειν ἔμελλον. σπουδὴ δὲ μεγίστη τῷ Κουμανῷ καὶ τοῖς Σαμαρεῦσιν ἦν παρὰ τῶν Καίσαρος ἀπελευθέρων καὶ φίλων, κἂν περιεγένοντο τῶν Ἰουδαίων, εἰ μή περ Ἀγρίππας ὁ νεώτερος ἐν τῇ Ῥώμῃ τυγχάνων, κατασπενδομένους ἰδὼν τοὺς τῶν Ἰουδαίων πρώτους, ἐδεήθη πολλὰ τῆς τοῦ αὐτοκράτορος γυναικὸς Ἀγριππίνης πεῖσαι τὸν ἄνδρα, δικάσαντα πρεπόντως τῇ αὐτοῦ δικαιοσύνῃ, τιμωρήσασθαι τοὺς αἰτίους τῆς ἀποστάσεως. καὶ Κλαύδιος τῇ δεήσει ταύτῃ πρσευτρεπισθεὶς καὶ διακούσας, ὡς εὗρε τῶν κακῶν ἀρχηγοὺς τοὺς Σαμαρεῖς γενομένους, τοὺς μὲν ἀναβάντας πρὸς αὐτὸν ἐκέλευσεν ἀναιρεθῆναι, τῷ Κουμανῷ δὲ φυγὴν ἐπέβαλε, Κέλερα δὲ τὸν χιλίαρχον ἐκέλευσεν ἀγαγόντας εἰς τὰ Ἱεροσόλυμα, πάντων ὁρώντων ἐπὶ τὴν πόλιν πᾶσαν σύραντας, οὕτως ἀποκτεῖναι.

7 πέμπει δὲ καὶ Κλαύδιος Φήλικα Πάλλαντος ἀδελφὸν τῶν κατὰ τὴν Ἰουδαίαν προστησόμενον πραγμάτων. τῆς δὲ ἀρχῆς δωδέκατον ἔτος ἤδη πεπληρωκὼς δωρεῖται τὸν Ἀγρίππαν τῇ Φιλίππου τετραρχίᾳ καὶ Βαταναίᾳ, προσθεὶς αὐτῷ τὴν Τραχωνῖτιν σὺν Ἄβίλᾳ (Λυσανία δὲ αὕτη ἐγεγόνει τετραρχία), τὴν Χαλκίδα δ' αὐτὸν ἀφαιρεῖται, δυναστεύσαντα ταύτης ἔτη τέσσαρα. λαβὼν δὲ τὴν δωρεὰν παρὰ τοῦ Καίσαρος Ἀγρίππας ἐκδίδωσι πρὸς γάμον Ἀζίζῳ τῷ Ἐμέσων βασιλεῖ, περιτέμνεσθαι θελήσαντι, Δρούσιλλαν τὴν ἀδελφήν· Ἐπι-

Digitized by Google

φανὴς γὰρ ὁ Ἀντιόχου τοῦ βασιλέως παῖς παρῃτήσατο τὸν γάμον, μὴ βουληθεὶς εἰς τὰ Ἰουδαίων ἔθη μεταβαλεῖν, καίπερ τοῦτο ποιήσειν προϋποσχόμενος αὐτῆς τῷ πατρί. καὶ Μαριάμμην δὲ ἐξέδωκεν Ἀρχελάῳ τῷ Ἑλκίου παιδί, πρότερον ὑπὸ Ἀγρίππα τοῦ πατρὸς ἁρμοσθεῖσαν αὐτῷ· καὶ γίνεται θυγάτηρ αὐτοῖς ὄνομα Βερενίκη.

διαλύονται δὲ τῇ Δρουσίλλῃ πρὸς τὸν Ἄζιζον οἱ 2
γάμοι μετ' οὐ πολὺν χρόνον τοιαύτης ἐμπεσούσης αἰτίας. καθ' ὃν καιρὸν τῆς Ἰουδαίας ἐπετρόπευσε Φῆλιξ, θεασάμενος ταύτην (καὶ γὰρ ἦν κάλλει πασῶν διαφέρουσα) λαμβάνει τῆς γυναικὸς ἐπιθυμίαν, καὶ Σίμωνα ὀνόματι, τῶν ἑαυτοῦ φίλων, Ἰουδαῖον, Κύπριον δὲ γένος, μάγον εἶναι σκηπτόμενον, πέμπων πρὸς αὐτὴν ἐπειθε τὸν ἄνδρα καταλιποῦσαν αὐτῷ γήμασθαι, μακαρίαν ποιήσειν ἐπαγγελλόμενος μὴ ὑπερηφανήσασαν αὐτόν. ἣ δὲ κακῶς πράττουσα, καὶ φυγεῖν τὸν ἐκ τῆς ἀδελφῆς Βερενίκης βουλομένη φθόνον (διὰ γὰρ τὸ κάλλος παρ' ἐκείνης ἐν οὐκ ὀλίγοις ἐβλάπτετο), παραβῆναι τά τε πάτρια νόμιμα πείθεται καὶ τῷ Φήλικι γήμασθαι. τεκοῦσα δὲ ἐξ αὐτοῦ παῖδα προσηγόρευσεν Ἀγρίππαν. ἀλλ' ὃν μὲν τρόπον ὁ νεανίας ἐκεῖνος σὺν τῇ γυναικὶ κατὰ τὴν ἐκπύρωσιν τοῦ Βεσβίου ὄρους ἐπὶ τῶν Τίτου Καίσαρος χρόνων ἠφανίσθη, μετὰ ταῦτα δηλώσω· Βερενίκη δὲ μετὰ τὴν Ἡρῴδου τελευτήν, ὃς 3
αὐτῆς ἀνὴρ καὶ θεῖος ἐγεγόνει, πολὺν χρόνον ἐπιχηρεύσασα, φήμης ἐπισχούσης ὅτι τἀδελφῷ συνείη, πείθει Πολέμωνα (Κιλικίας δὲ ἦν οὗτος βασιλεύς) περιτεμόμενον ἀγαγέσθαι πρὸς γάμον αὐτήν· οὕτω γὰρ ἐλέγξειν ᾤετο ψευδεῖς τὰς διαβολάς. καὶ ὁ Πολέμων ἐπείσθη μάλιστα διὰ τὸν πλοῦτον αὐτῆς. οὐ μὴν ἐπὶ πολὺ συνέμεινεν ὁ γάμος, ἀλλ' ἡ Βερενίκη δι' ἀκολα-

Digitized by Google

σίαν, ὡς ἔφασαν, καταλείπει τὸν Πολέμωνα. ὃ δὲ ἅμα τοῦ τε γάμου καὶ τοῦ τοῖς ἔθεσι τῶν Ἰουδαίων ἐμμένειν ἀπήλλακτο. τῷ αὐτῷ δὲ καιρῷ καὶ Μαριάμμη, παραιτησαμένη τὸν Ἀρχέλαον, συνῴκησε Δημητρίῳ τῷ ἐν Ἀλεξανδρείᾳ Ἰουδαίων πρωτεύοντι γένει τε καὶ πλούτῳ· τότε δὴ καὶ τὴν ἀλαβαρχίαν αὐτὸς εἶχε. γενόμενον δ' αὐτῇ παιδίον ἐξ ἐκείνου Ἀγριππῖνον προσηγόρευσεν.

ἀλλὰ περὶ μὲν ἑκάστου τούτων μετ' ἀκριβείας
8 ὕστερον ἀπαγγελοῦμεν· τελευτᾷ δὲ Κλαύδιος Καῖσαρ βασιλεύσας ἔτη δεκατρία μῆνας ὀκτὼ πρὸς ἡμέραις εἴκοσι, καὶ λόγος ἦν παρὰ τινῶν ὡς ὑπὸ τῆς γυναικὸς Ἀγριππίνης φαρμάκοις ἀνῄρητο. ταύτης πατὴρ μὲν ἦν Γερμανικὸς Καίσαρος ἀδελφός, ἀνὴρ δὲ Δομέτιος Ἐνόβαρβος ὁ τῶν ἐπισήμων κατὰ τὴν Ῥωμαίων πόλιν· οὗ τελευτήσαντος χηρεύουσαν αὐτὴν ἐπὶ πολὺν χρόνον Κλαύδιος ἄγεται πρὸς γάμον, ἐπαγομένην καὶ παῖδα Δομέτιον ὁμώνυμον τῷ πατρί. προανῃρήκει δὲ τὴν γυναῖκα Μεσσαλῖναν διὰ ζηλοτυπίαν, ἐξ ἧς αὐτῷ παῖδες ἐγεγόνεισαν Βρεττανικὸς καὶ Ὀκταυία. ἦν δὲ καὶ αὐτῷ Ἀντωνία πρεσβυτάτη τῶν ἀδελφῶν, ἣν ἐκ Πετεινῆς τῆς πρώτης γυναικὸς εἶχε. καὶ δὴ τὴν Ὀκταυίαν ἥρμοσε τῷ Νέρωνι· τοῦτο γὰρ ὕστερον αὐτὸν ἐκάλεσεν εἰσποιησάμενος υἱὸν ὁ Καῖσαρ.

2 δεδοικυῖα δὲ ἡ Ἀγριππῖνα μὴ ὁ Βρεττανικὸς ἀνδρωθεὶς αὐτὸς παρὰ τοῦ πατρὸς τὴν ἀρχὴν παραλάβοι, τῷ δὲ αὐτῆς παιδὶ προαρπάσαι βουλομένη τὴν ἡγεμονίαν, τά τε περὶ τὸν θάνατον τοῦ Κλαυδίου, καθάπερ ἦν λόγος, διεπράξατο, καὶ παραχρῆμα πέμπει τὸν τῶν στρατευμάτων ἔπαρχον Βοῦρρον, καὶ σὺν αὐτῷ τοὺς χιλιάρχους τῶν τε ἀπελευθέρων τοὺς πλεῖστα δυναμένους, ἀπάξοντας εἰς τὴν παρεμβολὴν τὸν Νέρωνα καὶ

Digitized by Google

προσαγορεύσοντας αὐτὸν αὐτοκράτορα. Νέρων δὲ τὴν ἀρχὴν οὕτω παραλαβών, Βρεττανικὸν μὲν ἀδήλως τοῖς πολλοῖς ἀναιρεῖ διὰ φαρμάκων, φανερῶς δὲ οὐκ εἰς μακρὰν τὴν μητέρα τὴν ἑαυτοῦ φονεύει, ταύτην ἀμοιβὴν ἀποτίσας αὐτῇ οὐ μόνον τῆς γενέσεως ἀλλὰ καὶ τοῦ ταῖς ἐκείνης μηχαναῖς τὴν Ῥωμαίων ἡγεμονίαν παραλαβεῖν. κτείνει δὲ καὶ τὴν Ὀκταυίαν ᾗ συνῴκει, πολλούς τε ἐπιφανεῖς ἄνδρας ὡς ἐπ' αὐτὸν ἐπιβουλὰς συνθέντας.

ἀλλὰ περὶ μὲν τούτων ἐῶ πλείω γράφειν· πολλοὶ γὰρ τὴν περὶ Νέρωνα συντετάχασιν ἱστορίαν, ὧν οἱ μὲν διὰ χάριν, εὖ πεπονθότες ὑπ' αὐτοῦ, τῆς ἀληθείας ἠμέλησαν, οἱ δὲ διὰ μῖσος καὶ τὴν πρὸς αὐτὸν ἀπέχθειαν οὕτως ἀναιδῶς ἐνεπαρῴνησαν τοῖς ψεύσμασιν ὡς ἀξίους αὐτοὺς εἶναι καταγνώσεως. καὶ θαυμάζειν οὐκ ἔπεισί μοι τοὺς περὶ Νέρωνος ψευσαμένους, ὅπου μηδὲ τῶν πρὸ αὐτοῦ γενομένων γράφοντες τὴν ἀλήθειαν τῆς ἱστορίας τετηρήκασιν· καίτοι πρὸς ἐκείνους αὐτοῖς οὐδὲν μῖσος ἦν ἅτε μετ' αὐτοὺς πολλῷ χρόνῳ γενομένοις. ἀλλὰ γὰρ τοῖς μὲν οὐ προνοουμένοις τῆς ἀληθείας ἐξέστω γράφειν ὡς θέλουσι· τούτῳ γὰρ χαίρειν ἐοίκασιν· ἡμεῖς δὲ σκοπὸν τὴν ἀλήθειαν προθέμενοι, τὰ μὲν ἀπηρτημένα τῆς προκειμένης ἡμῖν πραγματείας ἐπ' ὀλίγον μνήμης ἀξιοῦμεν, τὰ δὲ ἡμῖν τοῖς Ἰουδαίοις συμπεσόντα δηλοῦμεν οὐ παρέργως, μήτε τὰς συμφορὰς μήτε τὰς ἁμαρτίας διασαφεῖν ὀκνοῦντες. ἐπανάξω τοίνυν τὸν λόγον ἐπὶ τὴν τῶν οἰκείων πραγμάτων διήγησιν.

τῷ γὰρ πρώτῳ τῆς Νέρωνος ἀρχῆς ἔτει τελευτήσαντος τοῦ Ἐμέσων βασιλέως Ἀζίζου Σόεμος ἀδελφὸς τὴν ἀρχὴν διαδέχεται. τὴν δὲ τῆς μικρᾶς Ἀρμενίας προστασίαν Ἀριστόβουλος, Ἡρῴδου τῆς Χαλκίδος βα-

Digitized by Google

σιλέως παῖς, ὑπὸ Νέρωνος ἐγχειρίζεται. καὶ τὸν Ἀγρίππαν δὲ δωρεῖται μοίρᾳ τινὶ τῆς Γαλιλαίας ὁ Καῖσαρ, Τιβεριάδα καὶ Ταριχέας ὑπακούειν αὐτῷ κελεύσας· δίδωσι δὲ καὶ Ἰουλιάδα πόλιν τῆς Περαίας καὶ κώμας τὰς περὶ αὐτὴν τεσσαρεσκαίδεκα.

τὰ δὲ κατὰ τὴν Ἰουδαίαν πράγματα πρὸς τὸ χεῖρον ἀεὶ τὴν ἐπίδοσιν ἐλάμβανε· λῃστηρίων γὰρ ἡ χώρα πάλιν ἀνεπλήσθη καὶ γοήτων ἀνθρώπων, οἳ τὸν ὄχλον ἠπάτων. ἀλλὰ τούτων μὲν ὁ Φῆλιξ πολλοὺς καθ' ἑκάστην ἡμέραν σὺν τοῖς λῃσταῖς λαμβάνων ἀνῄρει, καὶ Ἐλεάζαρον δὲ τὸν Δειναίου παῖδα, τὸν συστησάμενον τῶν λῃστῶν τὸ σύνταγμα, δι' ἐνέδρας εἶλε ζῶντα· πίστιν γὰρ αὐτῷ προτείνας ὑπὲρ τοῦ μηδὲν πείσεσθαι κακόν, πείθει πρὸς αὐτὸν ἀφικέσθαι, καὶ δήσας ἀνέπεμπεν εἰς Ῥώμην. ἔχων δὲ ἀπεχθῶς πρὸς τὸν ἀρχιερέα τὸν Ἰωνάθην ὁ Φῆλιξ διὰ τὸ πολλάκις ὑπ' αὐτοῦ νουθετεῖσθαι περὶ τοῦ κρειττόνως προΐστασθαι τῶν κατὰ τὴν Ἰουδαίαν πραγμάτων, μὴ καὶ μέμψιν αὐτὸς ὀφλοίη παρὰ τοῖς πλήθεσιν αἰτησάμενος ἐκεῖνον παρὰ τοῦ Καίσαρος πεμφθῆναι τῆς Ἰουδαίας ἐπίτροπον, πρόφασιν ἐπενόει δι' ἧς μεταστήσεται τὸν συνεχῶς ὀχληρὸν αὐτῷ γινόμενον· βαρὺ γὰρ τοῖς ἀδικεῖν ἐθέλουσι τὸ συνεχῶς νουθετοῦν. καὶ δὴ διὰ τοιαύτης αἰτίας ὁ Φῆλιξ τὸν πιστότατον τῶν Ἰωνάθου φίλων, Ἱεροσολυμίτην τὸ γένος, Δωρᾶν ὀνόματι, πείθει, πολλὰ χρήματα δώσειν ὑπισχνούμενος, ἐπαγγεῖλαι τῷ Ἰωνάθῃ τοὺς λῃστὰς ἀναιρήσοντας. κἀκεῖνος ὑπακούσας ἐμηχανήσατο διὰ τῶν λῃστῶν πραχθῆναι τοιούτῳ τρόπῳ τὸν φόνον· ἀνέβησάν τινες αὐτῶν εἰς τὴν πόλιν ὡς προσκυνήσοντες τὸν θεόν, ὑπὸ τὰς ἐσθῆτας ἔχοντες ξιφίδια, καὶ συναναμιχθέντες τῷ Ἰωνάθῃ κτείνουσιν αὐτόν. ἀνεκδικήτου δὲ τοῦ φόνου μεμενηκότος, μετὰ

Digitized by Google

πάσης τὸ λοιπὸν ἀδείας ἀναβαίνοντες ἐν ταῖς ἑορταῖς οἱ λησταί, καὶ τὸν σίδηρον ὁμοίως κεκρυμμένον ἔχοντες, συναναμιγνύμενοι τοῖς πλήθεσιν ἀνήρουν οὓς μὲν ἑαυτῶν ἐχθρούς, οὓς δὲ ἐπὶ χρήμασιν ἄλλοις ὑπηρετοῦντες, οὐ μόνον κατὰ τὴν ἄλλην πόλιν, ἀλλὰ καὶ κατὰ τὸ ἱερὸν ἐνίους· καὶ γὰρ ἐκεῖ σφάττειν ἐτόλμων, οὐδὲ ἐν τούτῳ δοκοῦντες ἀσεβεῖν. διὰ τοῦτο οἶμαι καὶ τὸν θεὸν μισήσαντα τὴν ἀσέβειαν αὐτῶν ἀποστραφῆναι μὲν ἡμῶν τὴν πόλιν, τὸ δὲ ἱερὸν οὐκέτι καθαρὸν οἰκητήριον αὐτῷ κρίναντα Ῥωμαίους ἐπαγαγεῖν ἡμῖν, καὶ τῇ πόλει καθάρσιον πῦρ καὶ δουλείαν ἐπιβαλεῖν σὺν γυναιξὶ καὶ τέκνοις, σωφρονίσαι ταῖς συμφοραῖς βουλόμενον ἡμᾶς.

τὰ μὲν οὖν τῶν ληστῶν ἔργα τοιαύτης ἀνοσιότητος 6
ἐπλήρου τὴν πόλιν, οἱ δὲ γόητες καὶ ἀπατεῶνες ἄνθρωποι τὸν ὄχλον ἔπειθον αὐτοῖς εἰς τὴν ἐρημίαν ἕπεσθαι· δείξειν γὰρ ἔφασαν ἐναργῆ τέρατα καὶ σημεῖα, κατὰ τὴν τοῦ θεοῦ πρόνοιαν γενόμενα. καὶ πολλοὶ πεισθέντες τῆς ἀφροσύνης τιμωρίας ὑπέσχον· ἀναχθέντας γὰρ αὐτοὺς Φῆλιξ ἐκόλασεν. ἀφικνεῖται δέ τις ἐξ Αἰγύπτου κατὰ τοῦτον τὸν καιρὸν εἰς τὰ Ἱεροσόλυμα, προφήτης εἶναι λέγων, καὶ συμβουλεύων τῷ δημοτικῷ πλήθει σὺν αὐτῷ πρὸς ὄρος τὸ προσαγορευόμενον Ἐλαιῶν ἔρχεσθαι, ὃ τῆς πόλεως ἄντικρυς κείμενον ἀπέχει στάδια πέντε· θέλειν γὰρ ἔφασκεν αὐτοῖς ἐκεῖθεν ἐπιδεῖξαι ὡς κελεύσαντος αὐτοῦ πίπτοι τὰ τῶν Ἱεροσολύμων τείχη, δι' ὧν τὴν εἴσοδον αὐτοῖς παρέξειν ἐπηγγέλλετο. Φῆλιξ δὲ ὡς ἐπύθετο ταῦτα, κελεύει τοὺς στρατιώτας ἀναλαβεῖν τὰ ὅπλα, καὶ μετὰ πολλῶν ἱππέων τε καὶ πεζῶν ὁρμήσας ἀπὸ τῶν Ἱεροσολύμων προσβάλλει τοῖς περὶ τὸν Αἰγύπτιον· καὶ τετρακοσίους μὲν αὐτῶν ἀνεῖλε, διακοσίους δὲ ζῶντας ἔλαβεν.

Digitized by Google

ὁ δὲ Αἰγύπτιος αὐτὸς διαδρὰς ἐκ τῆς μάχης ἀφανὴς ἐγένετο. πάλιν δὲ οἱ λῃσταὶ τὸν δῆμον εἰς τὸν πρὸς Ῥωμαίους πόλεμον ἠρέθιζον, μὴ δεῖν ὑπακούειν αὐτοῖς λέγοντες, καὶ τὰς τῶν ἀπειθούντων κώμας ἐμπιπράντες διήρπαζον.

γίνεται δὲ καὶ τῶν Καισάρειαν οἰκούντων Ἰουδαίων στάσις πρὸς τοὺς ἐν αὐτῇ Σύρους περὶ ἰσοπολιτείας. οἱ μὲν γὰρ Ἰουδαῖοι πρωτεύειν ἠξίουν διὰ τὸ τὸν κτιστὴν τῆς Καισαρείας Ἡρώδην αὐτῶν βασιλέα γεγονέναι τὸ γένος Ἰουδαῖον· Σύροι δὲ τὰ μὲν περὶ τὸν Ἡρώδην ὡμολόγουν, ἔφασαν δὲ τὴν Καισάρειαν Στράτωνος πύργον τὸ πρότερον καλεῖσθαι, καὶ τότε μηδένα γεγονέναι τῆς πόλεως τῶν Ἰουδαίων οἰκήτορα. ταῦτα ἀκούσαντες οἱ τῆς χώρας ἔπαρχοι, λαβόντες ἀμφοτέρωθεν τοὺς αἰτίους τῆς στάσεως πληγαῖς ᾐκίσαντο, καὶ τὴν ταραχὴν οὕτω κατέστειλαν πρὸς ὀλίγον. πάλιν γὰρ οἱ κατὰ τὴν πόλιν Ἰουδαῖοι τῷ πλούτῳ θαρροῦντες, καὶ διὰ τοῦτο καταφρονοῦντες τῶν Σύρων, ἐβλασφήμουν εἰς αὐτοὺς ἐρεθίσειν προσδοκῶντες. οἳ δὲ χρήμασι μὲν ἡττώμενοι, μέγα δὲ φρονοῦντες ἐπὶ τῷ τοὺς πλείστους τῶν ὑπὸ Ῥωμαίους ἐκεῖσε στρατευομένων Καισαρεῖς εἶναι καὶ Σεβαστηνούς, μέχρι μέν τινος καὶ αὐτοὶ τοὺς Ἰουδαίους λόγῳ ὕβριζον, εἶτα λίθοις ἀλλήλους ἔβαλλον, ἕως πολλοὺς παρ' ἀμφοτέρων τρωθῆναί τε καὶ πεσεῖν συνέβη. νικῶσί γε μὴν Ἰουδαῖοι. Φῆλιξ δὲ ὡς ἐθεάσατο φιλονεικίαν ἐν πολέμου τρόπῳ γενομένην, προπηδήσας παύεσθαι τοὺς Ἰουδαίους παρεκάλει· μὴ πειθομένοις δὲ τοὺς στρατιώτας ὁπλίσας ἐπαφίησι, καὶ πολλοὺς μὲν αὐτῶν ἀνεῖλε πλείους δὲ ζῶντας ἔλαβεν, οἰκίας δέ τινας τῶν ἐν τῇ πόλει πολλῶν πάνυ χρημάτων γεμούσας διαρπάζειν ἐφῆκε τοῖς στρατιώταις. οἱ δὲ τῶν Ἰουδαίων ἐπιεικέστεροι καὶ πρού-

Digitized by Google

γοντες κατὰ τὴν ἀξίωσιν, δείσαντες περὶ ἑαυτῶν, παρεκάλουν τὸν Φήλικα τοὺς στρατιώτας ἀνακαλεῖσθαι τῇ σάλπιγγι καὶ φείδεσθαι τὸ λοιπὸν αὐτῶν, δοῦναί τε μετάνοιαν ἐπὶ τοῖς πεπραγμένοις. καὶ Φῆλιξ ἐπείσθη.

5 κατὰ τοῦτον τὸν καιρὸν ὁ βασιλεὺς Ἀγρίππας δί- 8
δωσι τὴν ἀρχιερωσύνην Ἰσμαήλῳ· Φαβεῖ παῖς οὗτος ἦν. ἔξάπτεται δὲ καὶ τοῖς ἀρχιερεῦσι στάσις πρὸς τοὺς ἱερεῖς καὶ τοὺς πρώτους τοῦ πλήθους τῶν Ἱεροσολυμιτῶν, ἕκαστός τε αὐτῶν στῖφος ἀνθρώπων τῶν θρασυτάτων
10 καὶ νεωτεριστῶν ἑαυτῷ ποιήσας ἡγεμὼν ἦν, καὶ συρράσσοντες ἐκακολόγουν τε ἀλλήλους καὶ λίθοις ἔβαλλον. ὁ δὲ ἐπικλήξων ἦν οὐδείς, ἀλλ' ὡς ἐν ἀπροστατήτῳ πόλει ταῦτα ἐπράσσετο μετ' ἐξουσίας. τοσαύτη δὲ τοὺς ἀρχιερεῖς κατέλαβεν ἀναίδεια καὶ τόλμα ὥστε καὶ πέμ-
15 πειν δούλους ἐτόλμων ἐπὶ τὰς ἅλωνας, τοὺς ληψομένους τὰς τοῖς ἱερεῦσιν ὀφειλομένας δεκάτας· καὶ συνέβαινε τοὺς ἀπορουμένους τῶν ἱερέων ὑπ' ἐνδείας τελευτᾶν. οὕτως ἐκράτει τοῦ δικαίου παντὸς ἡ τῶν στασιαζόντων βία.

20 Πορκίου δὲ Φήστου διαδόχου Φήλικι πεμφθέντος 9
ὑπὸ Νέρωνος, οἱ πρωτεύοντες τῶν τὴν Καισάρειαν κατοικούντων Ἰουδαίων εἰς τὴν Ῥώμην ἀναβαίνουσι Φήλικος κατηγοροῦντες, καὶ πάντως ἂν ἐδεδώκει τιμωρίαν τῶν εἰς Ἰουδαίους ἀδικημάτων, εἰ μὴ πολλὰ αὐτὸν ὁ Νέ-
25 ρων τἀδελφῷ Πάλλαντι παρακαλέσαντι συνεχώρησε, μάλιστα δὴ τότε διὰ τιμῆς ἔχων ἐκεῖνον. καὶ οἱ ἐν τῇ Καισαρείᾳ δύο πρῶτοι Σύρων Βοῦρρον (παιδαγωγὸς δὲ οὗτος ἦν τοῦ Νέρωνος, τάξιν τὴν ἐπὶ τῶν Ἑλληνικῶν ἐπιστολῶν πεπιστευμένος) πείθουσι πολλοῖς χρήμασιν
30 αἰτήσασθαι παρὰ τοῦ Νέρωνος αὐτοῖς ἐπιστολὴν ἀκυροῦσαν τὴν Ἰουδαίων πρὸς αὐτοὺς ἰσοπολιτείαν. καὶ Βοῦρρος τὸν αὐτοκράτορα παρακαλέσας ἐπέτυχε γρα-

Digitized by Google

φῆναι τὴν ἐπιστολήν. αὕτη τῷ ἔθνει ἡμῶν τῶν μετὰ ταῦτα κακῶν τὰς αἰτίας παρέσχεν· πυθόμενοι γὰρ οἱ κατὰ τὴν Καισάρειαν Ἰουδαῖοι τὰ γραφέντα πρὸς τοὺς Σύρους στάσεως μᾶλλον εἴχοντο, μέχρι δὴ τὸν πόλεμον ἐξῆψαν.

10 ἀφικομένου δὲ εἰς τὴν Ἰουδαίαν Φήστου συνέβαινε τὴν Ἰουδαίαν ὑπὸ τῶν λῃστῶν κακοῦσθαι, τῶν κωμῶν ἁπασῶν ἐμπιπραμένων τε καὶ διαρπαζομένων. καὶ οἱ σικάριοι δὲ καλούμενοι (λῃσταὶ δ' εἰσὶν οὗτοι) τότε μάλιστα ἐπλήθυνον, χρώμενοι ξιφιδίοις παραπλησίοις μὲν τὸ μέγεθος τοῖς τῶν Περσῶν ἀκινάκαις, ἐπικαμπέσι δὲ καὶ ὁμοίοις ταῖς ὑπὸ Ῥωμαίων σίκαις καλουμέναις, ἀφ' ὧν καὶ τὴν προσηγορίαν οἱ λῃστεύοντες ἔλαβον πολλοὺς ἀναιροῦντες. ἀναμιγνύμενοι γὰρ ἐν ταῖς ἑορταῖς, καθὼς καὶ τὸ πρότερον εἴπαμεν, τῷ πλήθει τῶν παντα- 15 χόθεν εἰς τὴν πόλιν ἐπὶ τὴν εὐσέβειαν συρρεόντων, οὓς βουληθεῖεν ῥᾳδίως ἀπέσφαττον. πολλάκις δὲ καὶ μεθ' ὅπλων ἐπὶ τὰς κώμας τῶν ἐχθρῶν ἀφικνούμενοι διήρπαζον καὶ ἐνεπίμπρασαν. πέμπει δὲ Φῆστος δύναμιν ἱππικήν τε καὶ πεζικὴν ἐπὶ τοὺς ἀπατηθέντας ὑπό τινος 20 ἀνθρώπου γόητος, σωτηρίαν αὐτοῖς ἐπαγγελλομένου καὶ παῦλαν κακῶν, εἰ βουληθεῖεν ἔπεσθαι μέχρι τῆς ἐρημίας αὐτῷ. καὶ αὐτόν τε ἐκεῖνον τὸν ἀπατήσαντα καὶ τοὺς ἀκολουθήσαντας διέφθειραν οἱ πεμφθέντες.

11 κατὰ δὲ τὸν καιρὸν τοῦτον ὁ βασιλεὺς Ἀγρίππας 25 ᾠκοδομήσατο μεγέθει διάφορον οἴκημα ἐν τῷ βασιλείῳ ἐν Ἱεροσολύμοις, πλησίον τοῦ ξυστοῦ. τὸ δὲ βασίλειον ἐγεγόνει πάλαι ὑπὸ τῶν Ἀσαμωναίου παίδων, ἐφ' ὑψηλοῦ δὲ τόπου κείμενον τοῖς κατοπτεύειν ἀπ' αὐτοῦ βουλομένοις τὴν πόλιν ἐπιτερπεστάτην παρεῖχε τὴν θέαν, 30 ἧς ἐφιέμενος ὁ βασιλεὺς ἐκεῖθεν ἀφεώρα κατακείμενος τὰ κατὰ τὸ ἱερὸν πρασσόμενα. τοῦτο δὲ θεασάμενοι τῶν

Digitized by Google

Ἱεροσολυμιτῶν οἱ προύχοντες δεινῶς ἐχαλέπαινον· οὐ γὰρ ἦν πάτριον οὐδὲ νόμιμον ἡμῖν τὰ κατὰ τὸ ἱερὸν δρώμενα κατοπτεύεσθαι, καὶ μάλιστα τὰς ἱερουργίας. τοῖχον οὖν ἐγείρουσιν ἐπὶ τῆς ἐξέδρας ὑψηλόν, ἥτις ἦν ἐν τῷ ἔσωθεν ἱερῷ τετραμμένη πρὸς δύσιν. οὐ μόνον δὲ τοῦ βασιλικοῦ τρικλίνου τὴν ἄποψιν οὗτος οἰκοδομηθεὶς ἀπετέμνετο, ἀλλὰ καὶ τῆς δυτικῆς στοᾶς τῆς κατὰ τὸ ἱερὸν ἔξωθεν οὔσης, ἔνθα τὰς φυλακὰς οἱ Ῥωμαῖοι ταῖς ἑορταῖς ἐποιοῦντο διὰ τὸ ἱερόν. ἐπὶ τούτοις ἠγανάκτησαν ὅ τε βασιλεὺς Ἀγρίππας, μάλιστα δὲ Φῆστος ὁ ἔπαρχος, καὶ προσέταξεν αὐτοῖς καθελεῖν. οἱ δὲ παρεκάλεσαν ἐξουσίαν αὐτοῖς δοῦναι πρεσβεῦσαι περὶ τούτου πρὸς Νέρωνα· ζῆν γὰρ οὐχ ὑπομένειν καθαιρεθέντος τινὸς μέρους τοῦ ἱεροῦ. συγχωρήσαντος δὲ τοῦ Φήστου πέμπουσιν ἐξ αὐτῶν πρὸς Νέρωνα τοὺς πρώτους δέκα καὶ Ἰσμάηλον τὸν ἀρχιερέα καὶ Ἑλκίαν τὸν γαζοφύλακα. Νέρων δὲ διακούσας αὐτῶν οὐ μόνον συνέγνω περὶ τοῦ πραχθέντος, ἀλλὰ καὶ συνεχώρησεν οὕτως ἐὰν τὴν οἰκοδομίαν, τῇ γυναικὶ Ποππηίᾳ (θεοσεβὴς γὰρ ἦν) ὑπὲρ τῶν Ἰουδαίων δεηθείσῃ χαριζόμενος· ἢ τοῖς μὲν δέκα προσέταξεν ἀπιέναι, τὸν δὲ Ἑλκίαν καὶ τὸν Ἰσμάηλον ὁμηρεύσοντας παρ' ἑαυτῇ κατέσχεν. ὁ δὲ βασιλεὺς ταῦτα ὡς ἐπύθετο, δίδωσι τὴν ἀρχιερωσύνην Ἰωσήπῳ τῷ Σίμωνος παιδὶ ἀρχιερέως, ἐπικαλουμένῳ δὲ Καβί.

πέμπει δὲ Καῖσαρ Ἄλβῖνον εἰς τὴν Ἰουδαίαν ἔπαρχον, Φήστου τὴν τελευτὴν πυθόμενος. ὁ δὲ βασιλεὺς ἀφείλετο μὲν τὸν Ἰώσηπον τὴν ἀρχιερωσύνην, τῷ δὲ Ἀνάνου παιδί, καὶ αὐτῷ Ἀνάνῳ λεγομένῳ, τὴν διαδοχὴν τῆς ἀρχῆς ἔδωκε. τοῦτον δέ φασι τὸν πρεσβύτατον Ἄνανον εὐτυχέστατον γενέσθαι· πέντε γὰρ ἔσχε παῖδας, καὶ τούτους πάντας συνέβη ἀρχιερατεῦσαι τῷ θεῷ, αὐτὸς καὶ πρότερον τῆς τιμῆς ἐπὶ πλεῖστον ἀπολαύσας,

Digitized by Google

ὅπερ οὐδενὶ συνέβη τῶν παρ' ἡμῖν ἀρχιερέων. ὁ δὲ νεώτερος Ἄνανος, ὃν τὴν ἀρχιερωσύνην ἔφαμεν παρειληφέναι, θρασὺς ἦν τὸν τρόπον καὶ τολμητὴς διαφερόντως, αἵρεσιν δὲ μετῄει τὴν Σαδδουκαίων, οἵπερ εἰσὶ περὶ τὰς κρίσεις ὠμοὶ παρὰ πάντας τοὺς Ἰουδαίους, καθὼς ἤδη δεδηλώκαμεν. ἅτε δὴ οὖν τοιοῦτος ὢν ὁ Ἄνανος, νομίσας ἔχειν καιρὸν ἐπιτήδειον διὰ τὸ τεθνάναι μὲν Φῆστον Ἀλβῖνον δὲ ἔτι κατὰ τὴν ὁδὸν ὑπάρχειν, καθίζει συνέδριον κριτῶν, καὶ παραγαγὼν εἰς αὐτὸ τὸν ἀδελφὸν Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ (Ἰάκωβος ὄνομα αὐτῷ) καί τινας ἑτέρους, ὡς παρανομησάντων κατηγορίαν ποιησάμενος, παρέδωκε λευσθησομένους. ὅσοι δὲ ἐδόκουν ἐπιεικέστατοι τῶν κατὰ τὴν πόλιν εἶναι καὶ τὰ περὶ τοὺς νόμους ἀκριβεῖς, βαρέως ἤνεγκαν ἐπὶ τούτῳ· καὶ πέμπουσι πρὸς τὸν βασιλέα κρύφα παρακαλοῦντες αὐτὸν ἐπιστεῖλαι τῷ Ἀνάνῳ μηκέτι τοιαῦτα πράσσειν· μηδὲ γὰρ τὸ πρῶτον ὀρθῶς αὐτὸν πεποιηκέναι. τινὲς δὲ αὐτῶν καὶ τὸν Ἀλβῖνον ὑπαντιάζουσιν ἀπὸ τῆς Ἀλεξανδρείας ὁδοιποροῦντα, καὶ διδάσκουσιν ὡς οὐκ ἐξὸν ἦν Ἀνάνῳ χωρὶς τῆς ἐκείνου γνώμης καθίσαι συνέδριον. Ἀλβῖνος δὲ πεισθεὶς τοῖς λεγομένοις γράφει μετ' ὀργῆς τῷ Ἀνάνῳ, λήψεσθαι παρ' αὐτοῦ δίκας ἀπειλῶν. καὶ ὁ βασιλεὺς Ἀγρίππας διὰ τοῦτο τὴν ἀρχιερωσύνην ἀφελόμενος αὐτὸν ἄρξαντα μῆνας τρεῖς, Ἰησοῦν τὸν τοῦ Δαμναίου κατέστησεν.

2 ἐπειδὴ δὲ ἦκεν ὁ Ἀλβῖνος εἰς τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν, πᾶσαν εἰσηνέγκατο σπουδὴν καὶ πρόνοιαν ὑπὲρ τοῦ τὴν χώραν εἰρηνεύεσθαι, τοὺς πολλοὺς τῶν σικαρίων διαφθείρας. ὁ δὲ ἀρχιερεὺς Ἀνανίας καθ' ἑκάστην ἡμέραν ἐπὶ μέγα προύκοπτε δόξης, καὶ τῆς παρὰ τῶν πολιτῶν εὐνοίας τε καὶ τιμῆς ἠξιοῦτο λαμπρῶς. ἦν γὰρ χρημάτων ποριστικός· καθ' ἡμέραν οὖν τὸν Ἀλβῖ-

Digitized by Google

νον καὶ τὸν ἀρχιερέα δώροις ἐθεράπευεν. εἶχε δὲ οἰκέτας πάνυ μοχθηρούς, οἳ συναναστρεφόμενοι τοῖς θρασυτάτοις ἐπὶ τὰς ἅλωνας πορευόμενοι τὰς τῶν ἱερέων δεκάτας ἐλάμβανον βιαζόμενοι, καὶ τοὺς μὴ διδόντας οὐκ ἀπείχοντο τύπτειν. οἵ τε ἀρχιερεῖς ὅμοια τοῖς ἐκείνου δούλοις ἔπρασσον, μηδενὸς κωλύειν δυναμένου. καὶ τῶν ἱερέων τοὺς πάλαι ταῖς δεκάταις τρεφομένους τότε συνέβαινε θνήσκειν τροφῆς ἀπορίᾳ.

πάλιν δὲ οἱ σικάριοι κατὰ τὴν ἑορτήν (ἐνειστήκει γὰρ αὕτη) διὰ νυκτὸς εἰς τὴν πόλιν παρελθόντες συλλαμβάνουσι ζῶντα τὸν γραμματέα τοῦ στρατηγοῦντος Ἐλεαζάρου (παῖς δὲ ἦν οὗτος Ἀνάνου τοῦ ἀρχιερέως), καὶ δήσαντες ἐξήγαγον· εἶτα πέμψαντες πρὸς τὸν Ἀνανίαν ἀπολύειν ἔφασαν τὸν γραμματέα πρὸς αὐτόν, εἰ πείσειε τὸν Ἀλβῖνον δέκα δεσμώτας τοὺς ἐξ αὐτῶν ληφθέντας ἀπολῦσαι. καὶ ὁ Ἀνανίας διὰ τὴν ἀνάγκην πείσας τὸν Ἀλβῖνον, τῆς ἀξιώσεως ἐπέτυχε. τοῦτο μειζόνων κακῶν ἦρξεν· οἱ γὰρ λῃσταὶ πάντως ἐπεμηχανῶντο τῶν Ἀνανίου τινὰς συλλαμβάνειν οἰκείων, καὶ συνεχῶς ζωγροῦντες οὐκ ἀπέλυον πρὶν ἢ τινας τῶν σικαρίων ἀπολάβοιεν. γενόμενοί τε πάλιν ἀριθμὸς οὐκ ὀλίγος, ἀναθαρρήσαντες τὴν χώραν ἅπασαν ἐκάκουν.

κατὰ τοῦτον δὲ τὸν καιρὸν ὁ βασιλεὺς Ἀγρίππας μείζονα τὴν Φιλίππου καλουμένην Καισάρειαν κατασκευάσας, εἰς τὴν τοῦ Νέρωνος τιμὴν Νερωνιάδα προσηγόρευσεν. καὶ Βηρυτίοις δὲ θέατρον ἀπὸ πολλῶν χρημάτων κατεσκευασμένον ταῖς κατ' ἔτος θέαις ἐδωρεῖτο, πολλὰς εἰς τοῦτο μυριάδας ἀναλίσκων· σῖτον γὰρ ἐδίδου τῷ δήμῳ καὶ ἔλαιον διένειμε. καὶ τὴν πᾶσαν δὲ πόλιν ἀνδριάντων ἀναθέσεσι καὶ ταῖς τῶν ἀρχαίων ἀποτύποις εἰκόσιν ἐκόσμει, καὶ μικροῦ δεῖν πάντα τὸν τῆς βασιλείας κόσμον ἐκεῖ μετήνεγκεν. μῖσος οὖν αὐτῷ παρὰ

Digitized by Google

τῶν ὑπηκόων ηὔξετο διὰ τὸ περιαιρούμενον τὰ ἐκείνων ξένην πόλιν κοσμεῖν. λαμβάνει δὲ καὶ Ἰησοῦς ὁ τοῦ Γαμαλιὴλ τὴν διαδοχὴν τῆς ἀρχιερωσύνης παρὰ τοῦ βασιλέως, Ἰησοῦν ἀφελομένου τὸν τοῦ Δαμναίου· καὶ διὰ τοῦτο στάσις αὐτῶν πρὸς ἀλλήλους ἐγένετο. συστήματα γὰρ τῶν θρασυτάτων ποιησάμενοι πολλάκις μέχρι λίθων βολῆς ἀπὸ τῶν βλασφημιῶν ἐξέπιπτον. ὑπερεῖχε δὲ Ἀνανίας τῷ πλούτῳ προσαγόμενος τοὺς λαμβάνειν ἑτοίμους. Κοστόβαρος δὲ καὶ Σαῦλος αὐτοὶ καθ' αὑτοὺς μοχθηρὰ πλήθη συνῆγον, γένους μὲν ὄντες βασιλικοῦ, διὰ τὴν πρὸς Ἀγρίππαν συγγένειαν εὐνοίας τυγχάνοντες, βίαιοι δὲ καὶ ἁρπάζειν τὰ τῶν ἀσθενεστέρων ἕτοιμοι. ἐξ ἐκείνου μάλιστα τοῦ καιροῦ συνέβη τὴν πόλιν ἡμῶν νοσεῖν, προκοπτόντων πάντων ἐπὶ τὸ χεῖρον.

5 ὡς δὲ ἤκουσεν Ἀλβῖνος διάδοχον αὐτῷ Γέσσιον Φλῶρον ἀφικνεῖσθαι, βουλόμενος δοκεῖν τι τοῖς Ἱεροσολυμίταις παρεσχῆσθαι, προσαγαγὼν τοὺς δεσμώτας, ὅσοι ἦσαν αὐτῶν προδήλως θανεῖν ἄξιοι, τούτους προσέταξεν ἀναιρεθῆναι, τοὺς δὲ ἐκ μικρᾶς καὶ τῆς τυχούσης αἰτίας εἰς τὴν εἱρκτὴν κατατεθέντας χρήματα λαμβάνων αὐτὸς ἀπέλυε. καὶ οὕτως ἡ μὲν φυλακὴ τῶν δεσμωτῶν ἐκαθάρθη, ἡ χώρα δὲ λῃστῶν ἐπληρώθη.

6 τῶν δὲ Λευιτῶν (φυλὴ δ' ἐστὶν αὕτη) ὅσοιπερ ἦσαν ὑμνῳδοί, πείθουσι τὸν βασιλέα, καθίσαντα συνέδριον, φορεῖν αὐτοῖς ἐπ' ἴσης τοῖς ἱερεῦσιν ἐπιτρέψαι λινῆν στολήν· πρέπειν γὰρ αὐτοῦ τοῖς τῆς ἀρχῆς χρόνοις ἔφασκον, ἀφ' ὧν μνημονευθήσεται καινοποιεῖν. καὶ τῆς ἀξιώσεως οὐ διήμαρτον· ὁ γὰρ βασιλεὺς μετὰ γνώμης τῶν εἰς τὸ συνέδριον ἐποιχομένων συνεχώρησε τοῖς ὑμνῳδοῖς ἀποθεμένους τὴν προτέραν ἐσθῆτα φορεῖν λινῆν οἵαν ἠθέλησαν. μέρους δέ τινος τῆς φυλῆς λειτουργοῦντος κατὰ τὸ ἱερόν, καὶ τούτοις ἐπέτρεψε τοὺς ὕμνους

Digitized by Google

ἐκμαθεῖν ὡς παρεκάλουν. πάντα δὲ ἦν ἐναντία ταῦτα τοῖς πατρίοις, ὧν παραβαθέντων οὐκ ἐνῆν μὴ οὐχὶ δίκας ὑποσχεῖν.

ἤδη δὲ τότε καὶ τὸ ἱερὸν ἐτετέλεστο. βλέπων οὖν ὁ 7 δῆμος ἀργήσαντας τοὺς τεχνίτας, ὑπὲρ μυρίους καὶ ὀκτακισχιλίους ὄντας, καὶ μισθοφορίας ἐνδεεῖς ἐσομένους διὰ τὸ τὴν τροφὴν ἐκ τῆς κατὰ τὸ ἱερὸν ἐργασίας πορίζεσθαι, καὶ χρήματα μὲν ἀπόθετα διὰ τὸν ἐκ Ῥωμαίων φόβον ἔχειν οὐ θέλων, προνοούμενος δὲ τῶν τεχνιτῶν καὶ εἰς τούτους ἀναλοῦν τοὺς θησαυροὺς βουλόμενος (καὶ γὰρ εἰ μίαν τις ὥραν τῆς ἡμέρας ἐργάσαιτο, τὸν μισθὸν ὑπὲρ ταύτης εὐθέως ἐλάμβανεν), ἔπειθον τὸν βασιλέα τὴν ἀνατολικὴν στοὰν ἀνεγεῖραι. ἦν δὲ ἡ στοὰ τοῦ μὲν ἔξωθεν ἱεροῦ, κειμένη δὲ ἐν φάραγγι βαθείᾳ, τετρακοσίων πηχῶν τοὺς τοίχους ἔχουσα, ἐκ λίθων δὲ τετραγώνων κατεσκεύαστο καὶ λευκῶν πάνυ (τὸ μὲν μῆκος ἑκάστου λίθου πήχεις εἴκοσι, τὸ δὲ ὕψος ἕξ), ἔργον Σολομῶνος τοῦ βασιλέως πρώτου θειμαμένου τὸ σύμπαν ἱερόν. ὁ βασιλεὺς δέ (ἐπεπίστευτο γὰρ ὑπὸ Κλαυδίου Καίσαρος τὴν ἐπιμέλειαν τοῦ ἱεροῦ) λογισάμενος παντὸς μὲν ἔργου τὴν καθαίρεσιν εἶναι ῥᾳδίαν, δυσχερῆ δὲ τὴν κατασκευήν, ἔπι δὲ τῆς στοᾶς ταύτης καὶ μᾶλλον (χρόνου τε γὰρ καὶ πολλῶν χρημάτων εἰς τοὔργον δεήσειν), ἠρνήσατο μὲν περὶ τούτου δεομένοις, κατεστορέσαι δὲ λευκῷ λίθῳ τὴν πόλιν οὐκ ἐκώλυσεν. Ἰησοῦν δὲ τὸν τοῦ Γαμαλιὴλ τὴν ἀρχιερωσύνην ἀφελόμενος, ἔδωκεν αὐτὴν Ματθίᾳ τῷ Θεοφίλου, καθ' ὃν καὶ ὁ πρὸς Ῥωμαίους πόλεμος Ἰουδαίοις ἔλαβε τὴν ἀρχήν.

ἀναγκαῖον δὲ εἶναι νομίζω καὶ τῇ ἱστορίᾳ ταύτῃ 10 προσήκειν διηγήσασθαι περὶ τῶν ἀρχιερέων, πῶς τε ἤρξαντο, καὶ τίσιν ἔξεστι τῆς τιμῆς ταύτης μεταλαμβάνειν, καὶ πόσοι γεγόνασι μέχρι τῆς τοῦ πολέμου τελευ-

Digitized by Google

τῆς. πρῶτον μὲν οὖν πάντων λέγουσιν Ἀαρῶνα τὸν Μωϋσέως ἀδελφὸν ἀρχιερατεῦσαι τῷ θεῷ, τελευτήσαντος δὲ ἐκείνου διαδέξασθαι τοὺς παῖδας εὐθύς, καὶ ἀπ' ἐκείνων τοῖς ἐκγόνοις αὐτῶν διαμεῖναι τὴν τιμὴν ἅπασιν. ὅθεν καὶ πάτριόν ἐστι μηδένα τοῦ θεοῦ τὴν ἀρχιερωσύνην λαμβάνειν ἢ τὸν ἐξ αἵματος τοῦ Ἀαρῶνος, ἑτέρου δὲ γένους οὐδ' ἂν βασιλεὺς ὢν τύχῃ, τεύξεται τῆς ἀρχιερωσύνης. ἐγένοντο οὖν πάντες τὸν ἀριθμὸν ἀπὸ Ἀαρῶνος, ὡς ἔφαμεν, τοῦ πρώτου γενομένου μέχρι Φινεέσου τοῦ κατὰ τὸν πόλεμον ὑπὸ τῶν στασιαστῶν ἀναδειχθέντος ἀρχιερέως τρεῖς καὶ ὀγδοήκοντα. ἐκ τούτων κατὰ τὴν ἔρημον ἐπὶ τῶν Μωϋσέως χρόνων τῆς σκηνῆς ἑστώσης, ἣν Μωϋσῆς τῷ θεῷ κατεσκεύασε, μέχρι τῆς εἰς Ἰουδαίαν ἀφίξεως, ἔνθα Σολομῶν ὁ βασιλεὺς τῷ θεῷ τὸν ναὸν ᾔγειρεν, ἠρχιεράτευσαν τρισκαίδεκα. τὸ γὰρ πρῶτον ἕως τῆς τοῦ βίου τελευτῆς τὰς ἀρχιερωσύνας εἶχον, ὕστερον δὲ καὶ παρὰ ζώντων διεδέχοντο. οἱ τοίνυν τρισκαίδεκα οὗτοι, τῶν δύο παίδων Ἀαρῶνος ὄντες ἔκγονοι, κατὰ διαδοχὴν τὴν τιμὴν παρελάμβανον. ἐγένετο δὲ αὐτῶν ἀριστοκρατικὴ μὲν ἡ πρώτη πολιτεία, μετὰ ταύτην δὲ μοναρχία, βασιλέων δὲ τρίτη. γίνεται δὲ τῶν ἐτῶν ἀριθμὸς ὧν ἦρξαν οἱ τρισκαίδεκα, ἀφ' ἧς ἡμέρας οἱ πατέρες ἡμῶν ἐξέλιπον Αἴγυπτον Μωϋσέως ἄγοντος μέχρι τῆς τοῦ ναοῦ κατασκευῆς, ὃν Σολομῶν ὁ βασιλεὺς ἐν Ἱεροσολύμοις ἀνήγειρεν, ἔτη δυοκαίδεκα πρὸς τοῖς ἑξακοσίοις. μετὰ δὲ τοὺς τρισκαίδεκα ἀρχιερεῖς ἐκείνους δέκα καὶ ὀκτὼ τὴν ἀρχιερωσύνην ἔσχον, ἀπὸ Σολομῶνος βασιλέως ἐν Ἱεροσολύμοις αὐτὴν διαδεξάμενοι μέχρις οὗ Ναβουχοδονόσορ ὁ τῶν Βαβυλωνίων βασιλεὺς ἐπιστρατεύσας τῇ πόλει τὸν μὲν ναὸν ἐνέπρησε, τὸ δὲ ἔθνος ἡμῶν εἰς Βαβυλῶνα μετήνεγκε καὶ τὸν ἀρχιερέα Ἰωσαδάκην αἰχμάλωτον ἔλαβε.

Digitized by Google

τούτων χρόνος τῆς ἀρχιερωσύνης τετρακοσίων ἑξήκοντα ἓξ ἐτῶν ἐστί, μηνῶν ἕξ, ἡμερῶν δέκα, ἤδη βασιλευομένων Ἰουδαίων. μετὰ δὲ χρόνον ἐτῶν ἀλώσεως ἑβδομήκοντα τῆς ὑπὸ Βαβυλωνίων γενομένης Κῦρος ὁ Περσῶν βασιλεὺς ἀπέλυσε τοὺς ἐκ Βαβυλῶνος Ἰουδαίους εἰς τὴν οἰκείαν γῆν πάλιν, καὶ συνεχώρησε τὸν ναὸν ἀνεγεῖραι. τότε δὴ τῶν ὑποστρεψάντων αἰχμαλώτων Ἰησοῦς ὁ Ἰωσεδὲκ τὴν ἀρχιερωσύνην λαμβάνει. οὗτος δὲ καὶ οἱ ἔκγονοι αὐτοῦ, πεντεκαίδεκα ἅπαντες, μέχρι βασιλέως Ἀντιόχου τοῦ εὐπάτορος ἐπολιτεύοντο δημοκρατικῶς ἔτη τετρακόσια δεκατέσσαρα. πρῶτος δ' Ἀντίοχος ὁ προειρημένος καὶ ὁ στρατηγὸς αὐτοῦ Λυσίας τὸν Ὀνίαν, ὃν Μενέλαος ἐπίκλην, παύουσι τῆς ἀρχιερωσύνης, ἀνελόντες αὐτὸν ἐν Βεροίᾳ, καὶ τὸν παῖδα τῆς διαδοχῆς ἀπελάσαντες καθιστᾶσιν Ἰάκιμον ἀρχιερέα, γένους μὲν τοῦ Ἀαρῶνος, οὐκ ὄντα δὲ τῆς οἰκίας ταύτης. διὰ τοῦτο δὲ καὶ ὁ Ὀνίας ὁ τοῦ τετελευτηκότος Ὀνίου ἐξάδελφος, ὁμώνυμος τῷ πατρί, παραγενόμενος εἰς Αἴγυπτον καὶ διὰ φιλίας ἀφικόμενος Πτολεμαίῳ τῷ φιλομήτορι καὶ Κλεοπάτρᾳ τῇ γυναικὶ αὐτοῦ, πείθει τούτους κατὰ τὸν Ἡλιοπολίτην νομὸν δειμαμένους τῷ θεῷ ναὸν παραπλήσιον τῷ ἐν Ἱεροσολύμοις, αὐτὸν ἀρχιερέα καταστῆσαι. ἀλλὰ περὶ μὲν τοῦ ἱεροῦ τοῦ κατασκευασθέντος ἐν Αἰγύπτῳ πολλάκις ἐδηλώσαμεν· ὁ δὲ Ἰάκιμος ἔτη τρία τὴν ἀρχιερωσύνην κατασχὼν ἐτελεύτησεν. διεδέξατο δὲ οὐδεὶς αὐτόν, ἀλλὰ διετέλεσεν ἡ πόλις ἐνιαυτοὺς ἑπτὰ χωρὶς ἀρχιερέως οὖσα. πάλιν δὲ οἱ τῶν Ἀσαμωναίου παίδων ἔκγονοι, τὴν προστασίαν τοῦ ἔθνους πιστευθέντες καὶ πολεμήσαντες Μακεδόσιν, Ἰωνάθην ἀρχιερέα καθιστᾶσιν, ὃς ἦρξεν ἐνιαυτοὺς ἑπτά. τελευτήσαντος δὲ ἐξ ἐπιβουλῆς αὐτοῦ καὶ ἐνέδρας τῆς ὑπὸ Τρύφωνος μηχανηθείσης, ὡς ἀνωτέρω που

Digitized by Google

προειρήκαμεν, λαμβάνει τὴν ἀρχιερωσύνην Σίμων ὁ ἀδελφὸς αὐτοῦ. καὶ τοῦτον δέ, δόλῳ παρὰ συμπόσιον ὑπὸ τοῦ γαμβροῦ διαφθαρέντα, διεδέξατο παῖς Ὑρκανὸς ὄνομα, κατασχόντα τὴν ἀρχιερωσύνην πλείονα τάδελφοῦ χρόνον ἐνιαυτῷ. τριάκοντα δ' ἐν ἔτεσι τῆς τιμῆς Ὑρκανὸς ἀπολαύσας τελευτᾷ γηραιός, Ἰούδᾳ τῷ καὶ Ἀριστοβούλῳ κληθέντι τὴν διαδοχὴν καταλιπών. κληρονομεῖ δὲ καὶ τοῦτον ἀδελφὸς Ἀλέξανδρος, ὑπὸ νόσου μὲν τελευτήσαντα, τὴν ἱερωσύνην δὲ κατασχόντα μετὰ βασιλείας· καὶ γὰρ διάδημα περιέθετο πρῶτος Ἰούδας ἐνιαυτὸν ἕνα. βασιλεύσας δὲ ὁ Ἀλέξανδρος καὶ ἱερατεύσας ἔτη εἰκοσιεπτὰ καταστρέφει τὸν βίον, Ἀλεξάνδρᾳ τῇ γυναικὶ καταστῆσαι τὸν ἀρχιερατευσόμενον ἐπιτρέψας. ἡ δὲ τὴν μὲν ἀρχιερωσύνην Ὑρκανῷ δίδωσιν, αὐτὴ δὲ τὴν βασιλείαν ἐννέα ἔτη κατασχοῦσα τελευτᾷ τὸν βίον. τὸν ἴσον δὲ χρόνον τὴν ἀρχιερωσύνην ὁ παῖς αὐτῆς Ὑρκανὸς ἔσχεν· μετὰ γὰρ τὸν θάνατον αὐτῆς πολεμήσας πρὸς αὐτὸν ὁ ἀδελφὸς Ἀριστόβουλος καὶ νικήσας ἀφαιρεῖται μὲν ἐκεῖνον τὴν ἀρχήν, αὐτὸς δὲ ἐβασίλευσε καὶ ἱεράτευσε τῷ θεῷ. ἔτει δὲ τρίτῳ τῆς βασιλείας καὶ πρὸς μησὶ τοῖς ἴσοις Πομπήιος ἐλθών, καὶ τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν κατὰ κράτος ἑλών, αὐτὸν μὲν εἰς Ῥώμην μετὰ τῶν τέκνων θήσας ἔπεμψε, τῷ δὲ Ὑρκανῷ πάλιν τὴν ἀρχιερωσύνην ἀποδοὺς τὴν μὲν τοῦ ἔθνους προστασίαν ἐπέτρεψε, διάδημα δὲ φορεῖν ἐκώλυσεν. ἦρξε δὲ πρὸς τοῖς ἐννέα τοῖς πρώτοις ὁ Ὑρκανὸς τέσσαρα καὶ εἴκοσι. Βαρζαφάρνης δὲ καὶ Πάκορος οἱ τῆς Παρθυηνῆς δυνάσται διαβάντες τὸν Εὐφράτην καὶ πολεμήσαντες Ὑρκανῷ αὐτὸν μὲν ζωγρίᾳ συνέλαβον, τοῦ Ἀριστοβούλου δὲ υἱὸν Ἀντίγονον κατέστησαν βασιλέα. τρία δὲ ἔτη καὶ τρεῖς μῆνας ἄρξαντα τοῦτον Σόσσιός τε καὶ Ἡρώδης ἐξεπολιόρκησαν, Ἀντώνιος δὲ ἀνεί-

Digitized by Google

λεν εἰς τὴν Ἀντιόχειαν ἀναχθέντα. τὴν δὲ βασιλείαν Ἡρῴδης παρὰ Ῥωμαίων ἐγχειρισθεὶς οὐκέτι τοὺς ἐκ τοῦ Ἀσαμωναίου γένους καθίστησιν ἀρχιερεῖς, ἀλλά τισιν ἀσήμοις καὶ μόνον ἐξ ἱερέων οὖσι, πλὴν ἑνὸς Ἀριστοβούλου, τὴν τιμὴν ἀπένεμε. τὸν δὲ Ἀριστόβουλον Ὑρκανοῦ τοῦ ὑπὸ Πάρθων ληφθέντος υἱωνὸν ὄντα καταστήσας ἀρχιερέα, τῇ ἀδελφῇ αὐτοῦ συνῴκησε Μαριάμμῃ, τὴν τοῦ πλήθους πρὸς ἑαυτὸν θηρώμενος εὔνοιαν διὰ τὴν Ὑρκανοῦ μνήμην. εἶτα φοβηθεὶς μὴ πρὸς τὸν Ἀριστόβουλον πάντες ἀποκλίνωσιν, ἀνεῖλεν αὐτόν, ἐν Ἱεριχοῖ πνιγῆναι μηχανησάμενος κολυμβῶντα, καθὼς ἤδη δεδηλώκαμεν. μετὰ τοῦτον οὐκέτι τοῖς ἐκγόνοις τῶν Ἀσαμωναίου παίδων τὴν ἀρχιερωσύνην ἐπίστευσεν. ἔπραξε δὲ ὅμοια τῷ Ἡρῴδῃ περὶ τῆς καταστάσεως τῶν ἱερέων Ἀρχέλαός τε ὁ παῖς αὐτοῦ καὶ οἱ μετὰ τοῦτον τὴν ἀρχὴν Ῥωμαῖοι τῶν Ἰουδαίων παραλαβόντες. εἰσὶν οὖν οἱ ἀπὸ τῶν Ἡρῴδου χρόνων ἀρχιερατεύσαντες μέχρι τῆς ἡμέρας ἧς τὸν ναὸν καὶ τὴν πόλιν Τίτος ἑλὼν ἐπυρπόλησεν, οἱ πάντες εἴκοσι καὶ ὀκτώ, χρόνος δὲ τούτων ἔτη πρὸς τοῖς ἑκατὸν ἑπτά. καὶ τινὲς μὲν αὐτῶν ἐπολιτεύσαντο ἐπί τε Ἡρῴδου βασιλεύοντος καὶ ἐπὶ Ἀρχελάου τοῦ παιδὸς αὐτοῦ· μετὰ δὲ τὴν τούτων τελευτὴν ἀριστοκρατία μὲν ἦν ἡ πολιτεία, τὴν δὲ προστασίαν τοῦ ἔθνους οἱ ἀρχιερεῖς ἐπεπίστευντο.

περὶ μὲν οὖν τῶν ἀρχιερέων ἱκανὰ ταῦτα· Γέσσιος 11
δὲ Φλῶρος, ὁ πεμφθεὶς Ἀλβίνου διάδοχος ὑπὸ Νέρωνος, πολλῶν ἀνέπλησε κακῶν Ἰουδαίους. Κλαζομένιος δὲ ἦν τὸ γένος οὗτος, ἐπήγετο δὲ Κλεοπάτραν γυναῖκα, δι' ἣν φίλην οὖσαν Ποππηίας τῆς Νέρωνος γυναικός, καὶ πονηρίᾳ μηδὲν αὐτοῦ διαφέρουσαν, τῆς ἀρχῆς ἐπέτυχεν. οὕτω δὲ περὶ τὴν ἐξουσίαν ἐγένετο κακὸς καὶ βίαιος ὥστε διὰ τὴν ὑπερβολὴν τῶν κακῶν Ἀλβῖνον

Digitized by Google

ἐπῄνουν ὡς εὐεργέτην Ἰουδαῖοι· ἐκεῖνος μὲν γὰρ ἐπεκρύπτετο τὴν πονηρίαν καὶ τοῦ μὴ παντάπασι κατάφωρος εἶναι προυνόει, Γέσσιος δὲ Φλῶρος, καθάπερ εἰς ἐπίδειξιν πονηρίας πεμφθείς, τὰς εἰς τὸ ἔθνος ἡμῶν παρανομίας ἐπόμπευε, μήτε ἁρπαγῆς παραλιπὼν μηδένα τρόπον μήτε ἀδίκου κολάσεως. ἦν γὰρ ἄτεγκτος μὲν πρὸς ἔλεον, παντὸς δὲ κέρδους ἄπληστος, ᾧ γε μηδὲ τὰ πλεῖστα τῶν ὀλίγων διέφερεν, ἀλλὰ καὶ λησταῖς ἐκοινώνησεν· ἀδεῶς γὰρ οἱ πολλοὶ τοῦτο ἔπραττον, ἐχέγγυον παρ' ἐκείνου τὴν σωτηρίαν ἐπὶ τοῖς μέρεσιν ἔχειν πεπιστευκότες. καὶ τοῦτο μέτριον οὐκ ἦν, ἀλλ' οἱ δυστυχεῖς Ἰουδαῖοι μὴ δυνάμενοι τὰς ἀπὸ τῶν ληστῶν γινομένας πορθήσεις ὑπομένειν, ἠναγκάζοντο τῶν ἰδίων ἐξανιστάμενοι ἠθῶν φεύγειν ἅπαντες, ὡς κρεῖττον ὁπουδήποτε παρὰ τοῖς ἀλλοφύλοις κατοικήσοντες. καὶ τί δεῖ πλείω λέγειν; τὸν γὰρ πρὸς Ῥωμαίους πόλεμον ὁ καταναγκάσας ἡμᾶς ἄρασθαι Φλῶρος ἦν, κρεῖττον ἡγουμένους ἀθρόους ἢ κατ' ὀλίγον ἀπολέσθαι. καὶ δὴ τὴν ἀρχὴν ἔλαβεν ὁ πόλεμος δευτέρῳ μὲν ἔτει τῆς ἐπιτροπῆς Φλώρου, δωδεκάτῳ δὲ τῆς Νέρωνος ἀρχῆς.

ἀλλ' ὅσα μὲν δρᾶν ἠναγκάσθημεν ἢ παθεῖν ὑπεμείναμεν, ἀκριβῶς γνῶναι πάρεστι τοῖς βουλομένοις ἐντυχεῖν ταῖς ὑπ' ἐμοῦ περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου βίβλοις
2 γεγραμμέναις· παύσεται δὲ ἐνταῦθά μοι τὰ τῆς ἀρχαιολογίας, μεθ' ἣν καὶ τὸν πόλεμον ἠρξάμην γράφειν. περιέχει δὲ αὕτη τὴν ἀπὸ πρώτης γενέσεως ἀνθρώπου παράδοσιν μέχρι ἔτους δωδεκάτου τῆς Νέρωνος ἡγεμονίας τῶν ἡμῖν συμβεβηκότων τοῖς Ἰουδαίοις κατά τε τὴν Αἴγυπτον καὶ Συρίαν καὶ Παλαιστίνην, ὅσα τε πεπόνθαμεν ὑπὸ Ἀσσυρίων τε καὶ Βαβυλωνίων, τίνα τε Πέρσαι καὶ Μακεδόνες διατεθείκασιν ἡμᾶς, καὶ μετ' ἐκείνους Ῥωμαῖοι. πάντα γὰρ οἶμαι μετ' ἀκριβείας ἁπάσης συν-

Digitized by Google

τεταχέναι. τηρῆσαι δὲ πεπείραμαι καὶ τὴν τῶν ἀρχιερέων ἀναγραφὴν τῶν ἐν δισχιλίοις ἔτεσι γενομένων. ἁπλανῆ δὲ πεποίημαι καὶ τὴν περὶ τοὺς βασιλεῖς διαδοχήν, τὰς πράξεις αὐτῶν καὶ τὰς πολιτείας ἀπαγγέλλων, μοναρχῶν τε δυναστείας, ὡς αἱ ἱεραὶ βίβλοι περὶ πάντων ἔχουσι τὴν ἀναγραφήν· τοῦτο γὰρ ποιήσειν ἐν ἀρχῇ ἐπηγγειλάμην τῆς ἱστορίας. λέγω δὲ θαρσήσας ἤδη διὰ τὴν τῶν προτεθέντων συντέλειαν, ὅτι μηδεὶς ἂν ἕτερος ἡδυνήθη θελήσας, μήτε Ἰουδαῖος μήτε ἀλλόφυλος, τὴν πραγματείαν ταύτην οὕτως ἀκριβῶς εἰς Ἕλληνας ἐξενεγκεῖν. ἔχω γὰρ ὁμολογούμενον παρὰ τῶν ὁμοεθνῶν πλεῖστον αὐτῶν κατὰ τὴν ἐπιχώριον παιδείαν διαφέρειν· καὶ τῶν Ἑλληνικῶν δὲ γραμμάτων ἐσπούδασα μετασχεῖν, τὴν γραμματικὴν ἐμπειρίαν ἀναλαβών. τὴν δὲ περὶ τὴν προφορὰν ἀκρίβειαν πάτριος ἐκώλυσε συνήθεια· παρ' ἡμῖν γὰρ οὐκ ἐκείνους ἀποδέχονται τοὺς πολλῶν ἐθνῶν διάλεκτον ἐκμαθόντας καὶ γλαφυρότητι λέξεων τὸν λόγον ἐπικομψεύοντας, διὰ τὸ κοινὸν εἶναι νομίζειν τὸ ἐπιτήδευμα τοῦτο οὐ μόνον ἐλευθέρων τοῖς τυχοῦσιν ἀλλὰ καὶ τῶν οἰκετῶν τοῖς θέλουσι, μόνοις δὲ σοφίαν μαρτυροῦσι τοῖς τὰ νόμιμα σαφῶς ἐπισταμένοις καὶ τὴν τῶν ἱερῶν γραμμάτων δύναμιν ἑρμηνεῦσαι δυναμένοις. διὰ τοῦτο πολλῶν πονησάντων περὶ τὴν ἄσκησιν ταύτην μόλις τινὲς δύο ἢ τρεῖς κατώρθωσαν, καὶ τῶν πόνων τὴν ἐπικαρπίαν εὐθὺς ἔλαβον. ἴσως δὲ οὐκ ἂν ἐπίφθονον γένοιτο, οὐδὲ σκαιὸν τοῖς πολλοῖς φανήσεται, καὶ περὶ γένους τοὐμοῦ καὶ περὶ τῶν κατὰ τὸν βίον πράξεων βραχέα διεξελθεῖν, ἕως ἔχω ζῶντας ἢ τοὺς ἐλέγξοντας ἢ τοὺς μαρτυρήσοντας. ἐπὶ τούτοις δὲ καταπαύσω τὴν ἀρχαιολογίαν, βίβλοις μὲν εἴκοσι περιειλημμένην, ἐξ δὲ μυριάσι στίχων· κἂν τὸ θεῖον ἐπιτρέπῃ, κατὰ περιδρομὴν ὑπομνήσω πάλιν

Digitized by Google

τοῦ τε πολέμου καὶ τῶν συμβεβηκότων ἡμῖν μέχρι τῆς νῦν ἐνεστώσης ἡμέρας, ἥτις ἐστὶ τρισκαιδεκάτου μὲν ἔτους τῆς Δομετιανοῦ Καίσαρος ἀρχῆς, ἐμοὶ δὲ ἀπὸ γενέσεως πεντηκοστοῦ καὶ ἕκτου. προῄρημαι δὲ συγγράψαι κατὰ τὰς ἡμετέρας δόξας τῶν Ἰουδαίων ἐν τέσσαρσι βίβλοις περὶ θεοῦ καὶ τῆς οὐσίας αὐτοῦ, καὶ περὶ τῶν νόμων, διὰ τί κατ' αὐτοὺς τὰ μὲν ἔξεστιν ἡμῖν ποιεῖν τὰ δὲ κεκώλυται.

Digitized by Google

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ

ΒΙΟΣ.

Ἐμοὶ δὲ γένος ἔστιν οὐκ ἄσημον, ἀλλ' ἐξ ἱερέων ἄνωθεν καταβεβηκός. ὥσπερ δὴ παρ' ἑκάστοις ἄλλη τίς ἐστιν εὐγενείας ὑπόθεσις, οὕτω παρ' ἡμῖν ἡ τῆς ἱερωσύνης μετουσία τεκμήριόν ἐστι γένους λαμπρότητος. ἐμοὶ δ' οὐ μόνον ἐξ ἱερέων ἐστὶ τὸ γένος, ἀλλὰ καὶ ἐκ τῆς πρώτης ἐφημερίδος τῶν εἰκοσιτεσσάρων (πολλὴ δὲ κἀν τούτῳ διαφορά), καὶ τῶν ἐν ταύτῃ φυλῶν ἐκ τῆς ἀρίστης. ὑπάρχω δὲ καὶ τοῦ βασιλικοῦ γένους ἀπὸ τῆς μητρός· οἱ γὰρ Ἀσαμωναίου παῖδες, ὧν ἔκγονος ἐκείνη, τοῦ ἔθνους ἡμῶν ἐπὶ μήκιστον χρόνον ἠρχιεράτευσαν καὶ ἐβασίλευσαν. ἐρῶ δὲ τὴν διαδοχήν. ὁ πρόπαππος ἦν ἐμοὶ Σίμων ὁ ψελλὸς ἐπικαλούμενος· οὗτος ἐγένετο καθ' ὃν καιρὸν ἠρχιεράτευσε Σίμωνος ἀρχιερέως ὁ παῖς, ὃς πρῶτος ἀρχιερέων Ὑρκανὸς ὠνομάσθη. γίνονται δὲ τῷ ψελλῷ Σίμωνι παῖδες ἐννέα· τούτων εἷς ἐστι Ματθίας ὁ Ἠφλίου λεγόμενος. οὗτος ἠγάγετο πρὸς γάμον θυγατέρα Ἰωνάθου ἀρχιερέως, τοῦ πρώτου ἐκ τῶν Ἀσαμωναίου παίδων γένους ἀρχιερατεύσαντος, τοῦ ἀδελφοῦ Σίμωνος τοῦ ἀρχιερέως· καὶ γίνεται παῖς αὐτῷ Ματθίας ὁ κυρτὸς ἐπικληθείς, ἄρχοντος Ὑρκανοῦ τὸν πρῶτον ἐνιαυτόν. τούτου γίνεται Ἰώσηπος ἐνάτῳ ἔτει τῆς Ἀλεξάνδρας ἀρχῆς, καὶ Ἰωσήπου Ματθίας βασιλεύοντος Ἀρχελάου τὸ δέκατον, Ματθία δὲ ἐγὼ τῷ πρώτῳ τῆς Γαΐου Καίσαρος ἡγεμονίας. ἐμοὶ δὲ παῖδές

Digitized by Google

εἰσι τρεῖς, Ὑρκανὸς μὲν ὁ πρεσβύτατος ἔτει τετάρτῳ τῆς Ἀεσπασιανοῦ Καίσαρος ἡγεμονίας, ἑβδόμῳ δὲ Ἰοῦστος, ἐνάτῳ δὲ Ἀγρίππας.

τὴν μὲν οὖν τοῦ γένους ἡμῶν διαδοχήν, ὡς ἐν ταῖς δημοσίαις δέλτοις ἀναγεγραμμένην εὗρον, οὕτω παρατίθεμαι, τοῖς διαβάλλειν ἡμᾶς πειρωμένοις χαίρειν φράσας· ὁ πατὴρ δέ μου Ματθίας οὐ διὰ μόνην τὴν εὐγένειαν ἐπίσημος ἦν, ἀλλὰ πλέον διὰ τὴν δικαιοσύνην ἐπηνείτο, γνωριμώτατος ὢν ἐν τῇ μεγίστῃ πόλει τῶν παρ' ἡμῖν τοῖς Ἱεροσολύμοις. ἐγὼ δὲ συμπαιδευόμενος ἀδελφῷ Ματθίᾳ τοὔνομα (ἐγεγόνει γάρ μοι γνήσιος ἐξ ἀμφοῖν τῶν γονέων) εἰς μεγάλην παιδείας προύκοπτον ἐπίδοσιν, μνήμῃ τε καὶ συνέσει δοκῶν διαφέρειν. ἔτι δ' ἄρα παῖς ὤν, περὶ τεσσαρεσκαιδέκατον ἔτος, διὰ τὸ φιλογράμματον ὑπὸ πάντων ἐπῃνούμην, συνιόντων ἀεὶ τῶν ἀρχιερέων καὶ τῶν τῆς πόλεως πρώτων ὑπὲρ τοῦ παρ' ἐμοῦ περὶ τῶν νομίμων ἀκριβέστερόν τι γνῶναι. περὶ ἑκκαίδεκα δὲ ἔτη γενόμενος ἐβουλήθην τῶν παρ' ἡμῖν αἱρέσεων ἐμπειρίαν λαβεῖν· τρεῖς δ' εἰσὶν αὗται, Φαρισαίων μὲν ἡ πρώτη καὶ Σαδδουκαίων ἡ δευτέρα, τρίτη δὲ ἡ Ἐσσηνῶν, καθὼς πολλάκις εἶπαμεν· οὕτως γὰρ ᾠόμην αἱρήσεσθαι τὴν ἀρίστην, εἰ πάσας καταμάθοιμι. σκληραγωγήσας γοῦν ἐμαυτὸν καὶ πολλὰ πονηθεὶς τὰς τρεῖς διῆλθον. καὶ μηδὲ τὴν ἐντεῦθεν ἐμπειρίαν ἱκανὴν ἐμαυτῷ νομίσας εἶναι, πυθόμενός τινα Βανοῦν ὄνομα κατὰ τὴν ἐρημίαν διατρίβειν ἐσθῆτι μὲν ἀπὸ δένδρων χρώμενον, τροφὴν δὲ τὴν αὐτομάτως φυομένην προσφερόμενον, ψυχρῷ δὲ ὕδατι τὴν ἡμέραν καὶ τὴν νύκτα πολλάκις λουόμενον πρὸς ἁγνείαν, ζηλωτὴς ἐγενόμην αὐτοῦ. καὶ διατρίψας παρ' αὐτῷ ἐνιαυτοὺς τρεῖς καὶ τὴν ἐπιθυμίαν τελειώσας εἰς τὴν πόλιν ὑπέστρεφον. ἐννεακαίδεκα δ' ἔτη ἔχων ἠρξάμην [τε] πολι-

Digitized by Google

τεύεσθαι τῇ Φαρισαίων αἱρέσει κατακολουθῶν, ἢ παραπλήσιός ἐστι τῇ παρ' Ἕλλησι Στωικῇ λεγομένῃ.

μετ' εἰκοστὸν δὲ καὶ ἕκτον ἐνιαυτὸν εἰς Ῥώμην μοι 3
συνέπεσεν ἀναβῆναι διὰ τὴν λεχθησομένην αἰτίαν.
καθ' ὃν χρόνον Φῆλιξ τῆς Ἰουδαίας ἐπετρόπευεν, ἱερεῖς τινὰς συνήθεις ἐμοί, καλοὺς κἀγαθούς, διὰ μικρὰν καὶ τὴν τυχοῦσαν αἰτίαν δήσας εἰς τὴν Ῥώμην ἔπεμψε, λόγον ὑφέξοντας τῷ Καίσαρι. οἷς ἐγὼ πόρον εὑρέσθαι βουλόμενος σωτηρίας, μάλιστα δὲ πυθόμενος ὅτι καίπερ ἐν κακοῖς ὄντες οὐκ ἐξελάθοντο τῆς εἰς τὸ θεῖον εὐσεβείας, διατρέφοιντο δὲ σύκοις καὶ καρύοις, ἀφικόμην εἰς Ῥώμην πολλὰ κινδυνεύσας κατὰ θάλασσαν. βαπτισθέντος γὰρ ἡμῶν τοῦ πλοίου κατὰ μέσον τὸν Ἀδρίαν, περὶ ἑξακοσίους τὸν ἀριθμὸν ὄντες δι' ὅλης τῆς νυκτὸς ἐνηξάμεθα, καὶ περὶ ἀρχομένην ἡμέραν ἐπιφανέντος ἡμῖν κατὰ θεοῦ πρόνοιαν Κυρηναικοῦ πλοίου, φθάσαντες τοὺς ἄλλους ἐγώ τε καί τινες ἕτεροι, περὶ ὀγδοήκοντα σύμπαντες, ἀνελήφθημεν εἰς τὸ πλοῖον. διασωθεὶς δ' εἰς τὴν Δικαιάρχειαν, ἣν Ποτιόλους Ἰταλοὶ καλοῦσιν, διὰ φιλίας ἀφικόμην Ἀλιτύρῳ (μιμολόγος δ' ἦν οὗτος μάλιστα τῷ Νέρωνι καταθύμιος, Ἰουδαῖος τὸ γένος), καὶ δι' αὐτοῦ Ποππηίᾳ τῇ τοῦ Καίσαρος γυναικὶ γνωρισθεὶς προνοῶ ὡς τάχιστα παρακαλέσας αὐτὴν τοὺς ἱερεῖς λυθῆναι. μεγάλων δὲ δωρεῶν πρὸς τῇ εὐεργεσίᾳ ταύτῃ τυχὼν παρὰ τῆς Ποππηίας ὑπέστρεφον ἐπὶ τὴν οἰκείαν.

καταλαμβάνω δ' ἤδη νεωτερισμῶν ἀρχάς, καὶ πολ- 4
λοὺς ἐπὶ τῇ Ῥωμαίων ἀποστάσει μέγα φρονοῦντας. κατεστέλλειν οὖν ἐπειρώμην τοὺς στασιώδεις καὶ μετανοεῖν ἔπειθον, ποιησάμενος πρὸ ὀφθαλμῶν πρὸς οὓς πολεμήσουσιν, ὅτι Ῥωμαίων οὐ κατ' ἐμπειρίαν μόνην πολεμικὴν ἀλλὰ καὶ κατ' εὐτυχίαν ἐλαττοῦνται, καὶ μὴ

Digitized by Google

προπετῶς καὶ παντάπασιν ἀνοήτως πατρίσι καὶ γενεαῖς καὶ σφίσιν αὐτοῖς τὸν περὶ τῶν ἐσχάτων κακῶν κίνδυνον ἐπάγειν. ταῦτα δ' ἔλεγον καὶ λιπαρῶς ἐνεκείμην ἀποτρέπων, δυστυχέστατον ἡμῖν τοῦ πολέμου τὸ τέλος γενήσεσθαι προορώμενος. οὐ μὴν ἔπεισα· πολὺ γὰρ ἡ τῶν ἀπονοηθέντων ἐπεκράτησε μανία.

5 δείσας γοῦν μὴ ταῦτα συνεχῶς λέγων διὰ μίσους ἀφικοίμην καὶ ὑποψίας ὡς τὰ τῶν πολεμίων φρονῶν, καὶ κινδυνεύσω ληφθεὶς ὑπ' αὐτῶν ἀναιρεθῆναι, ἐχομένης ἤδη τῆς Ἀντωνίας, ὅπερ ἦν φρούριον, εἰς τὸ ἐνδοτέρω ἱερὸν ὑπεχώρησα. μετὰ δὲ τὴν ἀναίρεσιν Μαναήμου καὶ τῶν πρώτων τοῦ ληστρικοῦ στίφους, ὑπεξελθὼν τοῦ ἱεροῦ πάλιν τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρώτοις τῶν Φαρισαίων συνδιέτριβον. φόβος δ' οὐκέτι μέτριος εἶχεν ἡμᾶς, ὁρῶντας τὸν μὲν δῆμον ἐν τοῖς ὅπλοις· αὐτοὶ δ' ὄντες ἐν ἀπόρῳ τί ποιήσωμεν, καὶ τοὺς νεωτεριστὰς παύειν οὐ δυνάμενοι, προδήλου δ' ἡμῖν τοῦ κινδύνου παρεστῶτος, συγκατανεύειν μὲν αὐτῶν ταῖς γνώμαις ἐλέγομεν, συνεβουλεύομεν δὲ μένειν ἐφ' αὐτῶν καὶ τοὺς πολεμίους ἀπελθόντας ἐᾶν, ἐλπίζοντες οὐκ εἰς μακρὰν Γέσσιον, μετὰ μεγάλης δυνάμεως ἀναβάντα, παύσειν τὸν νεωτερισμόν.

6 ὃ δ' ἐπελθὼν καὶ συμβαλὼν μάχῃ ἐνικήθη, πολλῶν τῶν μετ' αὐτοῦ πεσόντων. καὶ γίνεται τὸ Γεσσίου πταῖσμα συμφορὰ τοῦ παντὸς ἡμῶν ἔθνους· ἐπήρθησαν γὰρ ἐπὶ τούτῳ μᾶλλον οἱ τὸν πόλεμον ἀγαπήσαντες, καὶ νικήσαντες τοὺς Ῥωμαίους εἰς τέλος ἤλπισαν, προσγενομένης καὶ ἑτέρας τινὸς τοιαύτης αἰτίας. οἱ τὰς πέριξ τῆς Συρίας πόλεις κατοικοῦντες τοὺς παρ' ἑαυτοῖς Ἰουδαίους συλλαμβάνοντες σὺν γυναιξὶ καὶ τέκνοις ἀνῄρουν, οὐδεμίαν αὐτοῖς αἰτίαν ἐπικαλεῖν ἔχοντες· οὔτε γὰρ ἐπὶ Ῥωμαίων ἀποστάσει νεωτερόν

Digitized by Google

τι πεφρονήκεσαν, οὔτε πρὸς αὐτοὺς ἐκείνους ἐχθρὸν ἢ ἐπίβουλον. Σκυθοπολῖται δὲ πάντων ἀσεβέστατα καὶ παρανομώτατα διεπράξαντο· ἐπελθόντων γὰρ αὐτοῖς Ἰουδαίων ἔξωθεν πολεμίων, τοὺς παρ' αὐτοῖς Ἰουδαίους ἐβιάσαντο κατὰ τῶν ὁμοφύλων ὅπλα λαβεῖν, ὅπερ ἐστὶν ἡμῖν ἀθέμιτον, καὶ μετ' ἐκείνων συμβαλόντες ἐκράτησαν τῶν ἐπελθόντων, ἐπειδὴ δ' ἐνίκησαν, ἐκλαθόμενοι τῆς πρὸς τοὺς ἐνοίκους καὶ συμμάχους πίστεως πάντας αὐτοὺς διεχρήσαντο, πολλὰς μυριάδας ὄντας. ὅμοια δ' ἔπαθον καὶ οἱ τὴν Δαμασκὸν Ἰουδαῖοι κατοικοῦντες. ἀλλὰ περὶ μὲν τούτων ἀκριβέστερον ἐν ταῖς περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου βίβλοις δεδηλώκαμεν· νῦν δ' αὐτῶν ἐπεμνήσθην βουλόμενος παραστῆσαι τοῖς ἀναγινώσκουσιν ὅτι οὐ προαίρεσις ἐγένετο τοῦ πολέμου πρὸς Ῥωμαίους Ἰουδαίοις, ἀλλὰ τὸ πλέον ἀνάγκη.

νικηθέντος οὖν, ὡς ἔφαμεν, τοῦ Γεσσίου, τῶν Ἱεροσολυμιτῶν οἱ πρῶτοι, θεασάμενοι τοὺς μὲν ληστὰς ἅμα τοῖς νεωτερισταῖς εὐπορουμένους ὅπλων, δείσαντες δὲ αὐτοὶ μὴ ἄνοπλοι καθεστηκότες ὑποχείριοι γένωνται τοῖς ἐχθροῖς, ὃ καὶ μετὰ ταῦτα συνέβη, καὶ πυθόμενοι τὴν Γαλιλαίαν οὔπω πᾶσαν Ῥωμαίων ἀφεστάναι, μέρος δ' αὐτῆς ἠρεμεῖν ἔτι, πέμπουσιν ἐμὲ καὶ δύο ἄλλους τῶν ἱερέων, καλοὺς κἀγαθοὺς ἄνδρας, Ἰωάζαρον καὶ Ἰούδαν, πείσοντας τοὺς πονηροὺς καταθέσθαι τὰ ὅπλα, καὶ διδάξοντας ὡς ἔστιν ἄμεινον τοῖς πρατίστοις τοῦ ἔθνους αὐτὰ τηρεῖσθαι. ἔγνωστο δὲ τούτοις ἀεὶ μὲν ἔχειν τὰ ὅπλα πρὸς τὸ μέλλον ἕτοιμα, περιμένειν δὲ τί πράξουσι Ῥωμαῖοι μαθεῖν. λαβὼν οὖν ἐγὼ τὰς ὑποθήκας ταύτας ἀφικόμην εἰς τὴν Γαλιλαίαν, καὶ Σεπφωρίτας μὲν οὐκ ἐν ὀλίγῳ περὶ τῆς πατρίδος ἀγῶνι καθεστῶτας εὗρον, διαρπάσαι κεκρικό-

Digitized by Google

των αὐτὴν τῶν Γαλιλαίων διὰ τὴν πρὸς Ῥωμαίους ἐπείνων φιλίαν, καὶ ὅτι καὶ Κεστίῳ Γάλλῳ τῷ τῆς Συρίας ἡγεμονεύοντι δεξιάν τε καὶ πίστιν προτείνειαν. ἀλλὰ τούτους μὲν ἐγὼ πάντας ἀπήλλαξα τοῦ φόβου, πείσας ὑπὲρ αὐτῶν τὰ πλήθη, καὶ ἐπιτρέψας ὁσάκις θέλουσι διαπέμπεσθαι πρὸς τοὺς ἐν Δώροις οἰκείους ὁμηρεύοντας Γεσσίῳ· τὰ δὲ Δῶρα πόλις ἐστὶ τῆς Φοινίκης. τοὺς ἐν Τιβεριάδι δὲ κατοικοῦντας εὗρον ἐφ' ὅπλα κεχωρηκότας ἤδη, δι' αἰτίαν τοιαύτην.

9 στάσεις τρεῖς ἦσαν κατὰ τὴν πόλιν, μία μὲν ἀνδρῶν εὐσχημόνων, ἦρχε δ' αὐτῆς Ἰούλιος Κάπελλος. οὗτος δὴ καὶ οἱ σὺν αὐτῷ πάντες, Ἡρώδης ὁ Μιαροῦ καὶ Ἡρώδης ὁ τοῦ Γαμάλου καὶ Κομψὸς ὁ τοῦ Κομψοῦ (Κρίσπος γὰρ ἀδελφὸς αὐτοῦ, τοῦ μεγάλου βασιλέως γενόμενός ποτε ἔπαρχος, ἐν ταῖς ἰδίαις κτήσεσιν ἐτύγχανε, πέραν τοῦ Ἰορδάνου), πάντες οὖν οἱ προειρημένοι κατὰ τὸν καιρὸν ἐκεῖνον ἐμμένειν συνεβούλευον τῇ πρὸς τοὺς Ῥωμαίους καὶ τὸν βασιλέα πίστει. τῇ γνώμῃ δ' οὐ συνηρέσκετο Πίστος, παραγόμενος ὑπὸ Ἰούστου τοῦ παιδός· καὶ γὰρ ἦν φύσει πως ἐπιμανής. ἡ δευτέρα δὲ στάσις, ἐξ ἀσημοτάτων συνεστηκυῖα, πολεμεῖν ἔκρινεν. Ἰοῦστος δ' ὁ Πίστου παῖς, ὁ τῆς τρίτης μερίδος πρῶτος, ὑπεκρίνετο μὲν ἐνδοιάζειν πρὸς τὸν πόλεμον, νεωτέρων δ' ἐπεθύμει πραγμάτων, ἐκ τῆς μεταβολῆς οἰόμενος δύναμιν ἑαυτῷ περιποιήσειν. παρελθὼν οὖν εἰς μέσους διδάσκειν ἐπειρᾶτο τὸ πλῆθος ὡς ἡ πόλις ἐστὶν ἀεὶ τῆς Γαλιλαίας, ἄρξειεν δὲ ἐπί γε τῶν Ἡρώδου χρόνων τοῦ τετράρχου καὶ κτίστου γενομένου, βουληθέντος αὐτοῦ τὴν Σεπφωριτῶν πόλιν τῇ Τιβεριέων ὑπακούειν· ἀποβάλλειν δὲ τὸ πρωτεῖον αὐτοὺς μηδὲ ἐπὶ τοῦ βασιλέως Ἀγρίππα τοῦ πατρός, διαμεῖναι δὲ καὶ μέχρι Φήλικος προισταμένου τῆς Ἰουδαίας.

Digitized by Google

νῦν δὲ ἔλεγεν αὐτοὺς ἠτυχηκέναι τῷ νεωτέρῳ δωρεὰν Ἀγρίππᾳ δοθέντας ὑπὸ Νέρωνος· ἄρξαι γὰρ εὐθὺς τὴν μὲν Σέπφωριν, ἐπειδὴ Ῥωμαίοις ὑπήκουσε, τῆς Γαλιλαίας, καταλυθῆναι δὲ παρ' αὐτοῖς τήν τε βασιλικὴν τράπεζαν καὶ τὰ ἀρχεῖα. ταῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ κατὰ βασιλέως Ἀγρίππα λέγων ὑπὲρ τοῦ τὸν δῆμον εἰς τὴν ἀποστασίαν ἐρεθίσαι, προσετίθει νῦν εἶναι καιρὸν ἀραμένους ὅπλα καὶ Γαλιλαίους συμμάχους προσλαβόντας (ἄρξειν γὰρ αὐτῶν ἑκόντων διὰ τὸ πρὸς τοὺς Σεπφωρίτας μῖσος ὑπάρχον αὐτοῖς, ὅτι τὴν πρὸς Ῥωμαίους πίστιν διαφυλάσσουσιν) μεγάλῃ χειρὶ πρὸς τὴν ὑπὲρ αὐτῶν τιμωρίαν τραπέσθαι. ταῦτα λέγων προετρέψατο τὸ πλῆθος· ἦν γὰρ ἱκανὸς δημαγωγεῖν καὶ τῶν ἀντιλεγόντων τὰ βελτίω περιεῖναι γοητείᾳ καὶ ἀπάτῃ τῇ διὰ λόγων. καὶ γὰρ οὐδ' ἄπειρος ἦν παιδείας τῆς παρ' Ἕλλησιν, ἣ θαρρῶν ἐπεχείρησε καὶ τὴν ἱστορίαν τῶν πραγμάτων τούτων ἀναγράφειν ὡς τῷ λόγῳ τούτῳ περιεσόμενος τῆς ἀληθείας. ἀλλὰ περὶ μὲν τούτου τοῦ ἀνδρός, ὡς φαῦλος τὸν βίον ἐγένετο καὶ ὡς σὺν τῷ ἀδελφῷ μικροῦ δεῖν καταστροφῆς αἴτιος ὑπῆρξε, προϊόντος τοῦ λόγου δηλώσομεν· τότε δὲ πείσας Ἰοῦστος τοὺς πολίτας ἀναλαβεῖν τὰ ὅπλα, πολλοὺς δὲ καὶ μὴ θελήσαντας ἀναγκάσας, ἐξελθὼν σὺν πᾶσι τούτοις ἐμπίπρησι τάς τε Γαδαρηνῶν καὶ Ἱππηνῶν κώμας, αἳ δὴ μεθόριοι τῆς Τιβεριάδος καὶ τῆς τῶν Σκυθοπολιτῶν γῆς ἐτύγχανον κείμεναι.

καὶ Τιβεριὰς μὲν ἐν τούτοις ἦν, τὰ περὶ Γίσχαλα 10
δὲ εἶχε τὸν τρόπον τοῦτον. Ἰωάννης ὁ τοῦ Λευΐ, τῶν πολιτῶν τινὰς ὁρῶν διὰ τὴν ἀποστασίαν τὴν ἀπὸ Ῥωμαίων μέγα φρονοῦντας, κατέχειν αὐτοὺς ἐπειρᾶτο καὶ τὴν πίστιν ἠξίου διαφυλάττειν, οὐ μὴν ἠδυνήθη, καίτοι πάνυ προθυμούμενος. τὰ γὰρ πέριξ ἔθνη, Γαδα-

Digitized by Google

ρηνοὶ καὶ Γαβαρηνοί, Σωγαναῖοι καὶ Τύριοι, πολλὴν ἀθροίσαντες δύναμιν καὶ τοῖς Γισχάλοις ἐπιπεσόντες λαμβάνουσι τὰ Γίσχαλα κατὰ κράτος, καὶ πυρπολήσαντες, εἶτα δὲ καὶ προσκατασκάψαντες, εἰς τὴν οἰκείαν ἀνέζευξαν. Ἰωάννης δὲ ἐπὶ τούτῳ παροξυνθεὶς ὁπλίζει πάντας τοὺς μεθ' αὐτοῦ· καὶ συμβαλὼν τοῖς προειρημένοις ἔθνεσι, τά τε Γίσχαλα κρείττονα πάλιν ἀνακτίσας, τείχεσιν ὑπὲρ ἀσφαλείας τῆς εἰς ὕστερον ὠχύρωσεν.

11 Γάμαλα δὲ πίστει τῇ πρὸς Ῥωμαίους ἐνέμεινε δι' αἰτίαν τοιαύτην. Φίλιππος ὁ Ἰακίμου παῖς, ἔπαρχος δὲ τοῦ βασιλέως Ἀγρίππα, σωθεὶς παρὰ δόξαν ἐκ τῆς ἐν Ἱεροσολύμοις βασιλικῆς αὐλῆς πολιορκουμένης καὶ διαφυγὼν εἰς ἕτερον ἐνέπεσε κίνδυνον, ὥστε ὑπὸ Μαναήμου καὶ τῶν σὺν αὐτῷ λῃστῶν ἀναιρεθῆναι· διεκώλυσαν δὲ Βαβυλώνιοί τινες, συγγενεῖς αὐτοῦ ἐν Ἱεροσολύμοις ὄντες, πρᾶξαι τοὺς λῃστὰς τὸ ἔργον. ἐπιμείνας οὖν ἡμέρας τέσσαρας ὁ Φίλιππος ἐκεῖ, τῇ πέμπτῃ φεύγει περιθετῇ χρησάμενος κόμῃ τοῦ μὴ κατάδηλος γενέσθαι, καὶ παραγενόμενος εἴς τινα τῶν ἑαυτοῦ κωμῶν κατὰ τοὺς ὅρους Γάμαλα τοῦ φρουρίου κειμένην, πέμπει πρός τινας τῶν ὑπ' αὐτῷ προστάσσων ὡς αὐτὸν ἀφικέσθαι. ταῦτα δὲ αὐτὸν ἐννοούμενον ἐμποδίζει τὸ θεῖον ἐπὶ συμφέροντι· μὴ γὰρ τούτου γενομένου πάντως ἂν ἀπολώλει. πυρετοῦ δὴ κατασχόντος αὐτὸν ἐξαίφνης, γράψας ἐπιστολὰς τοῖς παισὶν Ἀγρίππᾳ καὶ Βερενίκῃ δίδωσι τῶν ἐξελευθέρων τινὶ κομίζειν πρὸς Ἤδαρον. ἦν δ' οὗτος κατὰ τὸν καιρὸν ἐκεῖνον ὁ τὴν βασιλείαν διοικῶν, καταστησάντων αὐτὸν τῶν βασιλέων· αὐτοὶ γὰρ εἰς Βηρυτὸν ἀφικνοῦντο, ὑπαντῆσαι βουλόμενοι Γεσσίῳ. λαβὼν οὖν ὁ Ἤδαρος τὰ παρὰ Φιλίππου γράμματα καὶ πυθόμενος αὐτὸν διασεσῶσθαι βαρέως

Digitized by Google

ἤνεγκεν, ἀχρεῖος τὸ λοιπὸν αὐτὸς νομίζων φανεῖσθαι τοῖς βασιλεῦσιν ἀφικομένου τοῦ Φιλίππου. προαγαγὼν οὖν εἰς τὸ πλῆθος τὸν τὰς ἐπιστολὰς κομίζοντα, καὶ πλαστογραφίαν ἐπικαλέσας, ψεύδεσθαί τε φήσας αὐτὸν ἀπαγγείλαντα ἐν τοῖς Ἱεροσολύμοις Φίλιππον μετὰ τῶν Ἰουδαίων Ῥωμαίοις πολεμεῖν, ἀπέκτεινε. μὴ ὑποστρέψαντος δὲ τοῦ ἐξελευθέρου, Φίλιππος ἀπορῶν τὴν αἰτίαν δεύτερον ἐκπέμπει μετ' ἐπιστολῶν πάλιν τὸν ἀπαγγελοῦντα πρὸς αὐτὸν τί τὸ συμβεβηκὸς εἴη τῷ ἀποσταλέντι, δι' ὃ βραδύνειεν. καὶ τοῦτον δὲ παραγενόμενον ὁ Ὄαρος συκοφαντήσας ἀνεῖλεν. καὶ γὰρ ὑπὸ τῶν ἐν Καισαρείᾳ Σύρων ἐπῆρτο μέγα φρονεῖν, ἀναιρεθήσεσθαι μὲν λεγόντων ὑπὸ Ῥωμαίων Ἀγρίππαν διὰ τὰς ὑπὸ Ἰουδαίων ἁμαρτίας, λήψεσθαι δ' αὐτὸν τὴν ἀρχὴν ἐκ βασιλέων ὄντα· καὶ γὰρ ἦν ὁμολογουμένως ὁ Ὄαρος βασιλικοῦ γένους, ἔκγονος Σοέμου τοῦ περὶ τὸν Λίβανον τετραρχοῦντος. διὰ τοῦτ' οὖν ὁ Ὄαρος τυφούμενος τὰς μὲν ἐπιστολὰς παρ' ἑαυτῷ κατέσχε, μηχανώμενος μὴ ἐντυχεῖν τοῖς γράμμασι τὸν βασιλέα, τὰς ἐξόδους δὲ πάσας ἐφρούρει, μή τις διαδρὰς ἀπαγγείλειε τῷ βασιλεῖ τὰ πραττόμενα. καὶ δὴ χαριζόμενος τοῖς κατὰ τὴν Καισάρειαν Σύροις πολλοὺς τῶν Ἰουδαίων ἀπέκτεινεν. ἐβουλήθη δὲ καὶ μετὰ τῶν ἐν Βαταναίᾳ Τραχωνιτῶν ἀναλαβὼν τὰ ὅπλα ἐπὶ τοὺς ἐν Ἐκβατάνοις Βαβυλωνίους Ἰουδαίους (ταύτην γὰρ τὴν προσηγορίαν ἔχουσιν) ὁρμῆσαι. καλέσας οὖν τῶν κατὰ τὴν Καισάρειαν Ἰουδαίων δώδεκα τοὺς δοκιμωτάτους, προσέτασσεν αὐτοῖς ἀφικομένοις εἰς Ἐκβάτανα πρὸς τοὺς ἐκεῖ κατοικοῦντας αὐτῶν ὁμοφύλους εἰπεῖν ὅτι Ὄαρος, ἀκούσας ὑμᾶς ἐπὶ βασιλέα μέλλειν ὁρμᾶν, καὶ μὴ πιστεύσας, πέπομφεν ἡμᾶς πείσοντας ὑμᾶς τὰ ὅπλα καταθέσθαι· τοῦτο γὰρ αὐτῷ τεκμήριον ἔσεσθαι

Digitized by Google

καὶ τοῦ καλῶς μὴ πιστεῦσαι τοῖς περὶ ὑμῶν λέγουσιν. ἐκέλευε δὲ καὶ τοὺς πρώτους αὐτῶν ἄνδρας ἑβδομήκοντα πέμπειν, ἀπολογησομένους περὶ τῆς ἐπενηνεγμένης αἰτίας. ἐλθόντες οὖν οἱ δώδεκα πρὸς τοὺς ἐν Ἐκβατάνοις ὁμοφύλους, καὶ καταλαβόντες αὐτοὺς μηδὲν ἐπὶ νεωτερισμῷ φρονοῦντας, ἔπεισαν καὶ τοὺς ἑβδομήκοντα πέμπειν. οἱ δὲ μηδὲν ὑποπτεύοντες τοιοῦτον οἷον ἔμελλεν ἀποβήσεσθαι, ἐξαπέστειλαν. καταβαίνουσι δ' οὗτοι μετὰ τῶν δώδεκα πρέσβεων εἰς τὴν Καισάρειαν. ὑπαντήσας οὖν ὁ Ὄαρος μετὰ τῆς βασιλικῆς δυνάμεως σὺν τοῖς πρέσβεσι πάντας ἀπέκτεινε, καὶ τὴν πορείαν ἐπὶ τοὺς ἐν Ἐκβατάνοις Ἰουδαίους ἐποιεῖτο. φθάσας δέ τις ἐκ τῶν ἑβδομήκοντα σωθεὶς ἀπήγγειλεν αὐτοῖς, κἀκεῖνοι τὰ ὅπλα λαβόντες σὺν γυναιξὶ καὶ τέκνοις εἰς Γάμαλα τὸ φρούριον ὑπεχώρησαν, καταλιπόντες τὰς κώμας πολλῶν ἀγαθῶν πλήρεις καὶ βοσκημάτων πολλὰς μυριάδας ἐχούσας. Φίλιππος δὲ πυθόμενος ταῦτα καὶ αὐτὸς εἰς Γάμαλα τὸ φρούριον ἦκεν· παραγενομένου δὲ κατεβόα τὸ πλῆθος, ἄρχειν αὐτῶν παρακαλοῦντες, καὶ πολεμεῖν πρὸς Ὄαρον καὶ τοὺς ἐν τῇ Καισαρείᾳ Σύρους· διεδέδοτο γὰρ ὑπὸ τούτων τὸν βασιλέα τεθνάναι. Φίλιππος δ' αὐτῶν κατεῖχε τὰς ὁρμάς, ὑπομιμνήσκων τῶν τε τοῦ βασιλέως εἰς αὐτοὺς εὐεργεσιῶν, καὶ τὴν Ῥωμαίων διηγούμενος ὅση τίς ἐστιν ἡ δύναμις, συμφέρειν οὐκ ἔλεγεν ἅπασθαι πρὸς τούτους πόλεμον, καὶ τέλος ἔπεισεν. ὁ δὲ βασιλεὺς πυθόμενος ὅτι Ὄαρος μέλλει τοὺς ἐπὶ τῆς Καισαρείας Ἰουδαίους σὺν γυναιξὶ καὶ τέκνοις πολλὰς ὄντας μυριάδας ἀναιρεῖν ἡμέρᾳ μιᾷ, μεταπέμπεται αὐτόν, Ἀλκουον Μόδιον πέμψας αὐτῷ διάδοχον, ὡς ἐν ἄλλοις ἐδηλώσαμεν. ὁ δὴ Φίλιππος Γάμαλα τὸ φρούριον κα-

Digitized by Google

τέσσε καὶ τὴν πέριξ χώραν πίστει τῇ πρὸς Ῥωμαίους ἐμμένουσαν.

ἐκεῖ δ' εἰς τὴν Γαλιλαίαν ἀφικόμην ἐγὼ καὶ ταῦτα 12
παρὰ τῶν ἀπαγγειλάντων ἔμαθον, γράφω τῷ συνεδρίῳ
τῶν Ἱεροσολυμιτῶν περὶ τούτων, καὶ τί με πράττειν
κελεύουσιν ἐρωτῶ. οἳ δὲ προσμεῖναι παρεκάλεσαν καὶ
τοὺς συμπρέσβεις, εἰ θέλοιεν, κατασχόντα πρόνοιαν
ποιήσασθαι τῆς Γαλιλαίας. οἱ δὲ συμπρέσβεις εὐπορή-
σαντες πολλῶν χρημάτων ἐκ τῶν διδομένων αὐτοῖς δε-
κάτων, ἃς ὄντες ἱερεῖς ὀφειλομένας ἀπελάμβανον, εἰς
τὴν οἰκείαν ὑποστρέφειν γῆν ἔκριναν· ἐμοῦ δ' αὐτοὺς
προσμεῖναι παραπαλέσαντος ἕως οὗ τὰ πράγματα κα-
τασταθῇ, πείθονται. ἆρας οὖν μετ' αὐτῶν ἀπὸ τῆς
Σεπφωριτῶν πόλεως εἰς κώμην τινὰ Βηθμαοὺς λεγο-
μένην, ἀπέχουσαν Τιβεριάδος στάδια τέσσαρα, παρα-
γίνομαι. καὶ πέμψας ἐντεῦθεν [τοὺς] πρὸς τὴν Τιβε-
ριέων βουλὴν καὶ τοὺς πρώτους τοῦ δήμου παρεκάλουν
ἀφικέσθαι πρός με. καὶ παραγενομένων (ἐληλύθει δὲ
καὶ Ἰοῦστος σὺν αὐτοῖς) ἔλεγον ὑπὸ τοῦ κοινοῦ τῶν
Ἱεροσολυμιτῶν πρεσβεύσων· μετὰ τούτων πεπέμφθαι
πρὸς αὐτούς, πείσων καθαιρεθῆναι τὸν οἶκον τὸν ὑπὸ
Ἡρώδου τοῦ τετράρχου κατασκευασθέντα, ζῴων μορφὰς
ἔχοντα, τῶν νόμων οὕτω τι κατασκευάζειν ἀπαγορευ-
όντων· καὶ παρεκάλουν αὐτοὺς ἐᾶν ἡμῖν ἤ τάχος τοῦτο
πράττειν. ἐπὶ πολὺ μὲν οὖν οἱ περὶ τὸν Κάπελλον
καὶ τοὺς πρώτους αὐτῶν ἐπιτρέπειν οὐκ ἤθελον, βια-
ζόμενοι δ' ὑφ' ἡμῶν συγκατατίθενται. φθάνει δ' Ἰη-
σοῦς ὁ τοῦ Σαπφία παῖς, ὃν τῆς τῶν ναυτῶν καὶ τῶν
ἐπόρων στάσεως πρῶτον ἔφαμεν ἄρξαι, παραλαβών τι-
νας Γαλιλαίους καὶ τὴν πᾶσαν αὐλὴν ἐμπρήσας, πολλῶν
οἰόμενος εὐπορήσειν ἐξ αὐτῆς χρημάτων, ἐπειδή τινας
οἴκων ὀροφὰς κεχρυσωμένας εἶδεν. καὶ διήρπασαν

Digitized by Google

πολλά, παρὰ γνώμην τὴν ἡμετέραν πράξαντες· ἡμεῖς γὰρ μετὰ τὴν πρὸς Κάπελλον καὶ τοὺς πρώτους Τιβεριέων ὁμιλίαν εἰς τὴν ἄνω Γαλιλαίαν ἀπὸ Βηθμαῶν ἀνεχωρήσαμεν. ἀναιροῦσι δ' οἱ περὶ τὸν Ἰησοῦν πάντας τοὺς ἐνοικοῦντας Ἕλληνας, ὅσοι τε πρὸ τοῦ πολέμου γεγόνεισαν αὐτῶν ἐχθροί.

13 πυθόμενος δ' ἐγὼ ταῦτα παρωξύνθην σφόδρα, καὶ καταβὰς εἰς Τιβεριάδα πρόνοιαν εἰσηνεγκάμην τῶν βασιλικῶν σκευῶν, ὅσα δυνατὸν ἦν τοὺς ἁρπάσαντας ἀφελέσθαι. λυχνίαι δ' ἦσαν Κορίνθιαι ταῦτα καὶ τράπεζαι τῶν βασιλικῶν καὶ ἀσήμου ἀργυρίου σταθμὸς ἱκανός. πάντα δ' ὅσα παρέλαβον, φυλάσσειν τῷ βασιλεῖ ἔκρινα. μεταπεμψάμενος οὖν τοὺς τῆς βουλῆς πρώτους δέκα καὶ Κάπελλον τὸν Ἀντύλλου τὰ σκεύη παρέδωκα, μηδενὶ παραγγείλας ἑτέρῳ πλὴν ἐμοῦ δοῦναι. κἀκεῖθεν εἰς τὰ Γίσχαλα πρὸς τὸν Ἰωάννην μετὰ τῶν συμπρέσβεων ἀφικόμην, βουλόμενος γνῶναι τί ποτε φρονεῖ. κατεῖδον δ' αὐτὸν ταχέως νεωτέρων ὀρεγόμενον πραγμάτων καὶ τῆς ἀρχῆς ἐπιθυμίαν ἔχοντα. παρεκάλει γάρ με τὸν Καίσαρος σῖτον κείμενον ἐν ταῖς τῆς ἄνωθεν Γαλιλαίας κώμαις ἐξουσίαν αὐτῷ δοῦναι ἐκφορῆσαι· θέλειν γὰρ ἔφασκεν εἰς ἐπισκευὴν τῶν τῆς πατρίδος τειχῶν αὐτὸν ἀναλῶσαι. κατανοήσας δὲ ἐγὼ τὴν ἐπιχείρησιν αὐτοῦ καὶ τί διανοοῖτο πράσσειν, οὐκ ἔφην αὐτῷ συγχωρεῖν· ἢ γὰρ Ῥωμαίοις αὐτὸν ἐνενοούμην φυλάττειν, ἢ ἐμοὶ αὐτῷ, διὰ τὸ καὶ τὴν ἐξουσίαν τῶν ἐκεῖ πραγμάτων αὐτὸς παρὰ τοῦ κοινοῦ τῶν Ἱεροσολυμιτῶν πεπιστεῦσθαι. μὴ πείθων δέ με περὶ τούτων ἐπὶ τοὺς συμπρέσβεις ἐτράπετο· καὶ γὰρ ἦσαν ἀπρονόητοι τῶν ἐσομένων καὶ λαβεῖν ἑτοιμότατοι. φθείρει δὲ χρήμασιν αὐτοὺς ψηφίσασθαι πάντα τὸν σῖτον αὐτῷ παραδοθῆναι τὸν ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ κείμε-

Digitized by Google

νον. κἀγὼ μόνος, ἡττώμενος ὑπὸ δύο, τὴν ἡσυχίαν ἦγον. καὶ δευτέραν Ἰωάννης ἐπεισέφερε πανουργίαν· ἔφη γὰρ Ἰουδαίους τοὺς τὴν Φιλίππου Καισάρειαν κατοικοῦντας, συγκεκλεισμένους κατὰ προσταγὴν τοῦ βασιλέως ὑπὸ δίκου τοῦ τὴν δυναστείαν διοικοῦντος, πεπομφέναι πρὸς αὐτὸν παρακαλοῦντας, ἐπειδὴ οὐκ ἔχουσιν ἔλαιον ᾧ χρήσονται καθαρόν, ποιησάμενον πρόνοιαν εὐπορίαν αὐτοῖς τούτου παρασχεῖν, μὴ δι' ἀνάγκην Ἑλληνικῷ χρησάμενοι τὰ νόμιμα παραβαίνωσιν. ταῦτα δ' οὐχ ὑπὲρ εὐσεβείας ἔλεγεν Ἰωάννης, δι' αἰσχροκέρδειαν δὲ φανερωτάτην. γινώσκων γὰρ παρὰ μὲν ἐκείνοις κατὰ τὴν Καισάρειαν τοὺς δύο ξέστας δραχμῆς μιᾶς πωλουμένους, ἐν δὲ τοῖς Γισχάλοις τοὺς ὀγδοήκοντα ξέστας δραχμῶν τεσσάρων, πᾶν τὸ ἔλαιον ὅσον ἦν ἐκεῖ διεπέμψατο, λαβὼν ἐξουσίαν καὶ παρ' ἐμοῦ τῷ δοκεῖν· οὐ γὰρ ἐκὼν ἐπέτρεπον, ἀλλὰ διὰ φόβον τὸν ἀπὸ τοῦ πλήθους, μὴ κωλύων καταλυσθείην ὑπ' αὐτῶν. συγχωρήσαντος οὖν μου, πλείστων χρημάτων ὁ Ἰωάννης ἐκ τῆς κακουργίας ταύτης εὐπόρησεν.

τοὺς δὲ συμπρέσβεις ἀπὸ τῶν Γισχάλων ἀπολύσας 14
εἰς τὰ Ἱεροσόλυμα, πρόνοιαν ἐποιούμην ὅπλων τε κατασκευῆς καὶ πόλεων ὀχυρότητος. μεταπεμψάμενος δὲ τῶν λῃστῶν τοὺς ἀνδρειοτάτους, ἀφελέσθαι μὲν αὐτῶν τὰ ὅπλα οὐχ οἷόν τε ὂν ἐώρων, ἔπεισα δὲ τὸ πλῆθος μισθοφορίαν αὐτοῖς παρέχειν, ἄμεινον εἶναι λέγων ἑκόντας ὀλίγα διδόναι μᾶλλον ἢ τὰς κτήσεις διαρπαζομένας ὑπ' αὐτῶν περιορᾶν. καὶ λαβὼν παρ' αὐτῶν ὅρκους μὴ ἀφίξεσθαι πρότερον εἰς τὴν χώραν, ἐὰν μὴ μετακληθῶσιν· ἢ ὅταν τὸν μισθὸν μὴ λάβωσιν, ἀπέλυσα, παραγγείλας μήτε Ῥωμαίοις πολεμεῖν μήτε τοῖς περιοίκοις· εἰρηνεύεσθαι γὰρ πρὸ πάντων τὴν Γαλιλαίαν ἐφρόντιζον. τοὺς δ' ἐν τέλει τῶν Γαλιλαίων,

Digitized by Google

ὅσον ἑβδομήκοντα πάντας, βουλόμενος ἐν προφάσει φιλίας καθάπερ ὅμηρα τῆς πίστεως ἔχειν, φίλους τε καὶ συνεκθήμους ἐποιησάμην, ἐπί τε κρίσεις παρελάμβανον, καὶ μετὰ γνώμης τῆς ἐκείνων τὰς ἀποφάσεις ἐποιούμην, μήτε προπετείᾳ πειρώμενος τοῦ δικαίου διαμαρτάνειν, καθαρεύειν τε παντὸς ἐν αὐταῖς λήμματος. περὶ τριακοστὸν γοῦν ἔτος ὑπάρχων, ἐν ᾧ χρόνῳ, κἂν ἀπέχηταί τις τῶν παρανόμων ἐπιθυμιῶν, δύσκολον τὰς ἐκ τοῦ φθόνου διαβολὰς φεύγειν, ἄλλως τε καὶ ἐπ' ἐξουσίας ὄντα μεγάλης, γυναῖκα μὲν πᾶσαν ἀνύβριστον ἐφύλαξα, πάντων δὲ τῶν διδομένων ὡς μὴ χρῄζων κατεφρόνησα· ἀλλ' οὐδὲ τὰς ὀφειλομένας μοι ὡς ἱερεῖ δεκάτας ἀπελάμβανον παρὰ τῶν κομιζόντων. ἐκ μέντοι τῶν λαφύρων μέρος, τοὺς Σύρους τοὺς τὰς πέριξ πόλεις κατοικοῦντας νικήσας, ἔλαβον, ἃ καὶ εἰς Ἱεροσόλυμα τοῖς συγγενέσιν ὁμολογῶ πεπομφέναι. καὶ δὶς μὲν κατὰ κράτος ἑλὼν Σεπφωρίτας, Τιβεριεῖς δὲ τετράκις, Γαδαρεῖς δ' ἅπαξ, καὶ τὸν Ἰωάννην πολλάκις ἐπιβουλεύσαντά μοι λαβὼν ὑποχείριον, οὔτ' αὐτὸν οὔτε τινὰς τῶν προειρημένων ἐθνῶν ἐτιμωρησάμην, ὡς προϊὼν ὁ λόγος παραστήσει. διὰ τοῦτ' οἶμαι καὶ τὸν θεόν (οὐ γὰρ λελήθασιν αὐτὸν οἱ τὰ δέοντα πράττοντες) καὶ ἐκ τῆς ἐκείνων δύσασθαί με χειρός, καὶ μετὰ ταῦτα πολλοῖς περιπεσόντα κινδύνοις διαφυλάξαι. περὶ ὧν ὕστερον ἀπαγγελοῦμεν.

16 τοσαύτη δ' ἦν πρός με τοῦ πλήθους τῶν Γαλιλαίων εὔνοια καὶ πίστις ὥστε, ληφθεισῶν αὐτῶν κατὰ κράτος τῶν πόλεων, γυναικῶν δὲ καὶ τέκνων ἀνδραποδισθέντων, οὐχ οὕτω ταῖς ἑαυτῶν ἐπεστέναζον συμφοραῖς ὥσπερ τῆς ἐμῆς ἐφρόντισαν σωτηρίας. ταῦτα δ' ὁρῶν Ἰωάννης ἐφθόνησε· καὶ γράφει πρός με παρακαλῶν ἐπιτρέψαι καταβάντι χρήσασθαι τοῖς ἐν Τιβεριάδι

Digitized by Google

θερμοῖς ὕδασι τῆς τοῦ σώματος ἕνεκα θεραπείας. κἀγὼ μηδὲν ὑποπτεύσας πράξειν αὐτὸν πονηρόν, οὐκ ἐκώλυσα· πρὸς δὲ καὶ τοῖς τῆς Τιβεριάδος τὴν διοίκησιν ὑπ' ἐμοῦ πεπιστευμένοις κατ' ὄνομα γράφω κατάλυσιν ἑτοιμάσαι τῷ Ἰωάννῃ καὶ τοῖς ἀφιξομένοις σὺν αὐτῷ, πάντων τε τῶν ἐπιτηδείων ἀφθονίαν παρασχεῖν. διέτριβον δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν κώμῃ τῆς Γαλιλαίας ἣ προσαγορεύεται Κανά. ὁ δὲ Ἰωάννης 17
ἀφικόμενος εἰς τὴν Τιβεριέων πόλιν ἔπειθε τοὺς ἀνθρώπους ἀποστάντας τῆς πρός ἐμε πίστεως προστίθεσθαι αὐτῷ. καὶ πολλοὶ τὴν παράκλησιν ἡδέως ἐδέξαντο, νεωτέρων ἐπιθυμοῦντες ἀεὶ πραγμάτων καὶ φύσει πρὸς μεταβολὰς ἐπιτηδείως ἔχοντες καὶ στάσεσι χαίροντες· μάλιστα δὲ Ἰοῦστος καὶ ὁ πατὴρ αὐτοῦ Πίστος ὡρμήκεσαν ἀποστάντες ἐμοῦ προστίθεσθαι τῷ Ἰωάννῃ. διεκώλυσα δ' αὐτοὺς φθάσας. ἦκε γὰρ ἄγγελός μοι παρὰ Σίλα, ὃν ἐγὼ καθεστάκειν τῆς Τιβεριάδος στρατηγόν, ὡς προεῖπον, τὴν τῶν Τιβεριέων γνώμην ἀπαγγέλλων κἀμὲ σπεύδειν παρακαλῶν· βραδύναντος γὰρ ὑπὸ τὴν ἑτέρων ἐξουσίαν γενέσθαι τὴν πόλιν. ἐντυχὼν οὖν τοῖς γράμμασι τοῦ Σίλα, καὶ διακοσίους ἀναλαβὼν ἄνδρας, δι' ὅλης τῆς νυκτὸς τὴν πορείαν ἐποιούμην, προπέμψας ἄγγελον τὸν τὴν ἐμὴν παρουσίαν τοῖς ἐν τῇ Τιβεριάδι σημανοῦντα. πρωῒ δὲ πλησιάζοντός μου τῇ πόλει τὸ πλῆθος ὑπηντίαζεν, καὶ Ἰωάννης σὺν αὐτοῖς· ὃς καὶ πάνυ με τεταραγμένως ἀσπασάμενος, δείσας μὴ εἰς ἔλεγχον αὐτοῦ τῆς πράξεως ἀφικομένης ἀπολέσθαι κινδυνεύσῃ, ὑπεχώρησε μετὰ σπουδῆς εἰς τὴν ἑαυτοῦ κατάλυσιν. κἀγὼ δὲ γενόμενος κατὰ τὸ στάδιον, τοὺς περὶ ἐμὲ σωματοφύλακας ἀπολύσας πλὴν ἑνός, καὶ μετὰ τούτου κατασχὼν δέκα τῶν ὁπλιτῶν, δημηγορεῖν ἐπειρώμην τῷ πλήθει τῶν Τιβεριέων,

Digitized by Google

στὰς ἐπὶ τριγχοῦ τινὸς ὑψηλοῦ, παρεκάλουν τε μὴ οὕτως αὐτοὺς ταχέως ἀφίστασθαι· κατάγνωσιν γὰρ αὐτοῖς οἴσειν τὴν μεταβολήν, καὶ τῷ μετὰ ταῦτα προϊσταμένῳ δι' ὑποψίας γενήσεσθαι δικαίας, ὡς μηδὲ τὴν πρὸς ἐκείνους πίστιν φυλαξάντων.

18 οὕπω δέ μοι πάντα λελάλητο, καί τινος ἐξήκουσα τῶν οἰκείων καταβαίνειν κελεύοντος· οὐ γάρ μοι καιρὸν εἶναι φροντίζειν τῆς παρὰ Τιβεριέων εὐνοίας, ἀλλὰ περὶ τῆς ἰδίας σωτηρίας, καὶ πῶς τοὺς ἐχθροὺς ἐκφύγω. ἐπεπόμφει δ' ὁ Ἰωάννης τῶν περὶ αὐτὸν ὁπλιτῶν ἐπιλέξας τοὺς πιστοτάτους, ἐκ τῶν χιλίων οἵπερ ἦσαν αὐτῷ, καὶ προσέταξε τοῖς πεμφθεῖσιν ἀνελεῖν με, πεπυσμένος ὡς εἴην μετὰ τῶν οἰκείων μεμονωμένος. ἦκον δ' οἱ πεμφθέντες, κἂν ἐπεπράχεισαν τοὔργον, εἰ μὴ τοῦ τριγχοῦ θᾶττον ἀφαλόμενος ἐγὼ μετὰ τοῦ σωματοφύλακος Ἰακώβου, καὶ ὑπό τινος Τιβεριέως Ἡρώδου προσανακουφισθείς, ὁδηγηθείς τε ὑπὸ τούτου ἐπὶ τὴν λίμνην καὶ πλοίου λαβόμενος καὶ ἐπιβάς, παρὰ δόξαν τοὺς ἐχθροὺς διαφυγὼν εἰς Ταριχαίας ἀφικόμην.

19 οἱ δὲ τὴν πόλιν ταύτην κατοικοῦντες ὡς ἐπύθοντο τὴν τῶν Τιβεριέων ἀπιστίαν, σφόδρα παρωξύνθησαν. ἁρπάσαντες οὖν τὰ ὅπλα παρεκάλουν σφᾶς ἄγειν ἐπ' αὐτούς· θέλειν γὰρ ἔφασκον ὑπὲρ τοῦ στρατηγοῦ δίκας λαβεῖν παρ' αὐτῶν. διήγγελλόν τε τὰ γεγονότα καὶ τοῖς κατὰ τὴν Γαλιλαίαν πᾶσαν, ἐρεθίσαι καὶ τούτους κατὰ τῶν Τιβεριέων διὰ σπουδῆς ἔχοντες· παρεκάλουν τε πλείστους συναχθέντας ἀφικέσθαι πρὸς αὐτούς, ἵνα μετὰ γνώμης τοῦ στρατηγοῦ πράττωσι τὸ δόξαν. ἦκον οὖν οἱ Γαλιλαῖοι πολλοὶ πανταχόθεν μεθ' ὅπλων, καὶ παρεκελεύοντό μοι προσβαλεῖν τῇ Τιβεριάδι καὶ κατὰ κράτος αὐτὴν ἐξελεῖν, καὶ πᾶσαν ἔδαφος ποιήσαντα τοὺς ἐνοίκους σὺν γυναιξὶ καὶ τέκνοις

Digitized by Google

ἀνδραποδίσασθαι. συνεβούλευον δὲ ταῦτα καὶ τῶν φίλων οἱ ἐκ τῆς Τιβεριάδος διασωθέντες. ἐγὼ δὲ οὐ συνεπένευον, δεινὸν ἡγούμενος ἐμφυλίου πολέμου κατάρχειν· μέχρι λόγων γὰρ ᾤμην εἶναι δεῖν τὴν φιλονεικίαν. καὶ μὴν οὐδ' αὐτοῖς ἔφασκον συμφέρειν τοῦτο πρᾶξαι, Ῥωμαίων ταῖς πρὸς ἀλλήλους στάσεσιν αὐτοὺς ἀπολέσθαι προσδοκώντων. ταῦτα δὲ λέγων ἔπαυσα τῆς ὀργῆς τοὺς Γαλιλαίους.

ὁ δὲ Ἰωάννης, ἀπράκτου τῆς ἐπιβουλῆς αὐτῷ γενο- 20
μένης, ἔδεισε περὶ ἑαυτοῦ, καὶ τοὺς περὶ αὐτὸν ὁπλίτας ἀναλαβὼν ἀπῆρεν ἐκ τῆς Τιβεριάδος εἰς τὰ Γίσχαλα, καὶ γράφει πρός με περὶ τῶν πεπραγμένων ἀπολογούμενος ὡς μὴ κατὰ γνώμην τὴν αὐτοῦ γενομένων· παρεκάλει τε μηδὲν ὑπονοεῖν κατ' αὐτοῦ, προστιθεὶς ὅρκους καὶ δεινάς τινας ἀράς, δι' ὧν ᾤετο πιστευθήσεσθαι περὶ ὧν ἐπέστειλεν. οἱ δὲ Γαλιλαῖοι (πολλοὶ 21
γὰρ ἕτεροι πάλιν ἐκ τῆς χώρας πάσης ἀνήχθησαν μεθ' ὅπλων) εἰδότες τὸν ἄνθρωπον ὡς πονηρός ἐστι καὶ ἐπίορκος, παρεκάλουν ἀγαγεῖν σφᾶς ἐπ' αὐτόν, ἅρδην ἀφανίσειν ἐπαγγελλόμενοι σὺν αὐτῷ καὶ τὰ Γίσχαλα. χάριν μὲν οὖν ἔχειν αὐτῶν ταῖς προθυμίαις ὡμολόγουν ἐγὼ καὶ νικήσειν αὐτῶν τὴν εὔνοιαν ἐπηγγελλόμην, παρεκάλουν δ' ὅμως ἐπισχεῖν αὐτοὺς ἀξιῶν, καὶ συγγινώσκειν μοι δεόμενος προηρημένῳ τὰς ταραχὰς χωρὶς φόνων καταστέλλειν. καὶ πείσας τὸ πλῆθος τῶν Γαλιλαίων εἰς τὴν Σέπφωριν ἀφικνούμην.

οἱ δὲ τὴν πόλιν ταύτην κατοικοῦντες ἄνδρες, κε- 22
κριμένοι τῇ πρὸς Ῥωμαίους ἐμμεῖναι πίστει, δεδιότες δὲ τὴν ἐμὴν ἄφιξιν, ἐπειράθησαν ἑτέρᾳ με πράξει περισπάσαντες ἀδεεῖς εἶναι περὶ αὐτῶν, καὶ δὴ πέμψαντες πρὸς Ἰησοῦν τὸν ἀρχιληστὴν εἰς τὴν Πτολεμαΐδος μεθορίαν, ὑπέσχοντο δώσειν πολλὰ χρήματα θελήσαντι

Digitized by Google

μετὰ τῆς σὺν αὐτῷ δυνάμεως (ἦσαν δὲ ὀκτακόσιοι τὸν ἀριθμόν) πόλεμον ἐξάψαι πρὸς ἡμᾶς. ὃ δ' ὑπακούσας αὐτῶν ταῖς ὑποσχέσεσιν ἠθέλησεν ἐπιπεσεῖν ἡμῖν ἀνετοίμοις καὶ μηδὲν προγινώσκουσιν. πέμψας γοῦν πρός με παρεκάλει λαβεῖν ἐξουσίαν ἀσπασόμενον ἀφικέσθαι. συγχωρήσαντος δέ μου (τῆς γὰρ ἐπιβουλῆς οὐδὲν προηπιστάμην) ἀναλαβὼν τὸ σύνταγμα τῶν ληστῶν ἔσπευδεν ἐπ' ἐμέ. οὐ μὴν ἔφθασεν αὐτοῦ τέλος λαβεῖν ἡ κακουργία. πλησιάζοντος γὰρ ἤδη, τῶν σὺν αὐτῷ τις αὐτομολήσας ἦκε πρός με τὴν ἐπιχείρησιν αὐτοῦ φράζων. κἀγὼ πυθόμενος ταῦτα προῆλθον εἰς τὴν ἀγοράν, σκηψάμενος ἀγνοεῖν τὴν ἐπιβουλήν. ἐπηγόμην δὲ πολλοὺς ὁπλίτας Γαλιλαίους, τινὰς δὲ καὶ Τιβεριέων. εἶτα προστάξας τὰς ὁδοὺς πάσας ἀσφαλέστατα φρουρεῖσθαι, παρήγγειλα τοῖς ἐπὶ τῶν πυλῶν μόνον Ἰησοῦν, ἐπειδὰν παραγένηται, μετὰ τῶν πρώτων εἰσελθεῖν ἅπασαι, ἀποκλεῖσαι δὲ τοὺς ἄλλους, βιαζομένους δὲ τύπτειν. τῶν δὲ τὸ προσταχθὲν ποιησάντων εἰσῆλθεν ὁ Ἰησοῦς μετ' ὀλίγων, καὶ κελεύσαντος ἐμοῦ ὅπλα θάττον (εἰ γὰρ ἀπειθοίη, τεθνήξεσθαι) περιεστῶτας ἰδὼν πανταχόθεν αὐτῷ τοὺς ὁπλίτας, φοβηθεὶς ὑπήκουσεν. οἱ δ' ἀποκλεισθέντες τῶν ἑπακολουθούντων αὐτῷ πυθόμενοι τὴν σύλληψιν ἔφυγον. κἀγὼ προσκαλεσάμενος τὸν Ἰησοῦν κατ' ἰδίαν, οὐκ ἀγνοεῖν ἔφην τὴν ἐπ' ἐμὲ συσκευασθεῖσαν ἐπιβουλήν, οὐδ' ὑπὸ τίνων πεμφθείη· συγγνώσεσθαι δ' ὅμως αὐτῷ τῶν πεπραγμένων, εἰ μέλλοι μετανοήσειν καὶ πιστὸς ἐμοὶ γενήσεσθαι. ὑπισχνουμένου δὴ πάντα ποιήσειν ἐκείνου ἀπέλυσα, συγχωρήσας αὐτῷ συναγαγεῖν πάλιν οὓς πρότερον εἶχεν. Σεπφωρίταις δ' ἠπείλησα, εἰ μὴ παύσαιντο τῆς ἀγνωμοσύνης, λήψεσθαι παρ' αὐτῶν δίκας.

23 κατὰ τοῦτον τὸν καιρὸν ἀφικνοῦνται πρός με δύο

Digitized by Google

μεγιστᾶνες τῶν ὑπὸ τὴν ἐξουσίαν τοῦ βασιλέως ἐκ τῆς τῶν Τραχωνιτῶν χώρας, ἐπαγόμενοι τοὺς ἑαυτῶν ἵππους, καὶ ὅπλα καὶ χρήματα δ' ἐπικομίζοντες. τούτους περιτέμνεσθαι τῶν Ἰουδαίων ἀναγκαζόντων, εἰ θέλουσιν εἶναι παρ' αὐτοῖς, οὐκ εἴασα βιασθῆναι, φάσκων δεῖν ἕκαστον ἄνθρωπον κατὰ τὴν ἑαυτοῦ προαίρεσιν τὸν θεὸν εὐσεβεῖν, ἀλλὰ μὴ μετὰ βίας, χρῆναι δὲ τούτους δι' ἀσφάλειαν πρὸς ἡμᾶς καταφεύγοντας μὴ μετανοεῖν. πεισθέντος δὲ τοῦ πλήθους, τοῖς ἥκουσιν ἀνδράσι τὰ πρὸς τὴν συνήθη δίαιταν ἅπαντα παρεῖχον δαψιλῶς.

πέμπει δ' ὁ βασιλεὺς Ἀγρίππας δύναμιν καὶ στρατηγὸν ἐπ' αὐτῆς Αἴκουον Μόδιον, Γάμαλα τὸ φρούριον ἐξαιρήσοντας. οἱ δὲ πεμφθέντες κυκλώσασθαι μὲν τὸ φρούριον οὐκ ἤρκεσαν, ἐν δὲ τοῖς φανεροῖς τῶν τόπων ἐφεδρεύοντες ἐπολιόρκουν τὰ Γάμαλα. Αἰβούτιος δὲ ὁ δεκάδαρχος ὁ τοῦ μεγάλου πεδίου τὴν προστασίαν πεπιστευμένος, ἀκούσας ὅτι παρείην εἰς Σιμωνιάδα κώμην ἐν μεθορίοις κειμένην τῆς Γαλιλαίας, αὐτοῦ δ' ἀπέχουσαν ἑξήκοντα σταδίους, [νυκτὸς] ἀναλαβὼν τοὺς ἑκατὸν ἱππεῖς οὓς εἶχε σὺν αὑτῷ, καί τινας πεζοὺς περὶ διακοσίους, καὶ τοὺς ἐν Γαβᾷ πόλει κατοικοῦντας ἐπαγόμενος συμμάχους, νυκτὸς ὁδεύσας ἦκεν εἰς τὴν κώμην ἐν ᾗ διέτριβον. ἀντιπαραταξαμένου δὲ κἀμοῦ μετὰ δυνάμεως πολλῆς, ὁ μὲν Αἰβούτιος εἰς τὸ πεδίον ὑπάγειν ἡμᾶς ἐπειρᾶτο (σφόδρα γὰρ τοῖς ἱππεῦσιν ἐπεποίθει), οὐ μὴν ὑπηκούσαμεν· ἐγὼ γὰρ τὸ πλεονέκτημα συνιδὼν τὸ γενησόμενον τοῖς ἱππεῦσιν, εἰ καταβαίημεν εἰς τὸ πεδίον (πεζοὶ γὰρ ἡμεῖς σύμπαντες ἦμεν), ἔγνων αὐτοῦ τοῖς πολεμίοις συνάπτειν. καὶ μέχρι μέν τινος γενναίως ἀντέσχε σὺν τοῖς περὶ αὐτὸν ὁ Αἰβούτιος· ἀχρεῖον δ' ὁρῶν κατὰ τὸν τόπον τοῦτον οὖσαν αὐτῷ 24

Digitized by Google

τὴν ἱππικὴν δύναμιν, ἀναζεύγνυσιν ἄπρακτος εἰς Γαβὰν πόλιν, τρεῖς ἄνδρας ἀποβαλὼν κατὰ τὴν μάχην. εἰπόμην δὲ κατὰ πόδας ἐγώ, δισχιλίους ἐπαγόμενος ὁπλίτας· καὶ περὶ Βησαρὰν πόλιν γενόμενος ἐν μεθορίοις τῆς Πτολεμαΐδος κειμένην, εἴκοσι δ' ἀπέχουσαν στάδια τῆς Γαβᾶς, ἔνθα διέτριβεν ὁ Ἀίβούτιος, στήσας τοὺς ὁπλίτας ἔξωθεν τῆς κώμης, καὶ φρουρεῖν αὐτοῖς ἀσφαλῶς τὰς ὁδοὺς προστάξας ὑπὲρ τοῦ μὴ ἐνοχλῆσαι τοὺς πολεμίους ἡμῖν ἕως τὸν σῖτον ἐκφορήσωμεν (πολὺς γὰρ ἀπέκειτο Βερενίκης τῆς βασιλίδος ἐκ τῶν πέριξ κωμῶν εἰς τὴν Βησαρὰν συλλεγόμενος), πληρώσας καμήλους καὶ τοὺς ὄνους (πολλοὺς δὲ ἐπηγόμην) διέπεμψα τὸν σῖτον εἰς τὴν Γαλιλαίαν. τοῦτο δὲ πράξας προσκαλούμην εἰς μάχην τὸν Ἀίβούτιον. οὐχ ὑπακούσαντος δ' ἐκείνου (κατεπέπληκτο γὰρ τὴν ἡμετέραν ἑτοιμότητα καὶ τὸ θάρσος) ἐπὶ Νεοπολιτανὸν ἐτραπόμην, τὴν Τιβεριέων χώραν ἀκούσας ὑπ' αὐτοῦ λεηλατεῖσθαι. ἦν δὲ ὁ Νεοπολιτανὸς ἴλης μὲν ἔπαρχος, παρειλήφει δὲ τὴν Σκυθόπολιν εἰς φυλακὴν τὴν ἀπὸ τῶν πολεμίων. τοῦτον οὖν κωλύσας ἐπὶ πλέον τὴν Τιβεριάδα κακοῦν, περὶ τὴν τῆς Γαλιλαίας πρόνοιαν ἐγινόμην.

ὁ δὲ τοῦ Λευῖ παῖς Ἰωάννης, ὃν ἔφαμεν ἐν τοῖς Γισχάλοις διατρίβειν, πυθόμενος πάντα κατὰ νοῦν μοι προχωρεῖν, καὶ δι' εὐνοίας μὲν εἶναί με τοῖς ὑπηκόοις, τοῖς πολεμίοις δὲ δι' ἐκπλήξεως, οὐκ εὖ τὴν γνώμην ἐτέθη, κατάλυσιν δ' αὐτῷ τὴν ἐμὴν εὐπραγίαν φέρειν νομίζων εἰς φθόνον ἐξώκειλεν οὗ τι μέτριον, καὶ παύσειν με τῆς εὐτυχίας ἐλπίσας, εἰ παρὰ τῶν ὑπηκόων μῖσος ἐξάψειεν, ἔπειθε τοὺς τὴν Τιβεριάδα κατοικοῦντας καὶ τοὺς τὴν Σέπφωριν, νομίζων πρὸς τούτοις καὶ τοὺς Γάβαρα (πόλεις δ' εἰσὶν αὗται τῶν κατὰ τὴν Γαλιλαίαν αἱ μέγισται) τῆς πρός με πίστεως ἀποστάντας

Digitized by Google

αὐτῷ προστίθεσθαι· κρεῖττον γὰρ ἐμοῦ στρατηγήσειν αὐτῶν ἔφασκεν ἑαυτόν. καὶ Σεπφωρεῖς μέν (οὐδετέρῳ γὰρ ἡμῶν προσεῖχον διὰ τὸ Ῥωμαίους ᾐρῆσθαι δεσπότας) οὐκ ἐπένευον αὐτῷ, Τιβεριεῖς δὲ τὴν μὲν ἀπόστασιν οὐκ ἐδέχοντο, [καὶ] αὐτοῦ δὲ συγκατένευον γενήσεσθαι φίλοι. οἱ δὲ Γάβαρα κατοικοῦντες προστίθενται τῷ Ἰωάννῃ· Σίμων δ' ἦν ὁ παρακαλῶν αὐτούς, πρωτεύων μὲν τῆς πόλεως, ὡς φίλῳ δὲ καὶ ἑταίρῳ τῷ Ἰωάννῃ χρώμενος. ἐκ μὲν οὖν τοῦ φανεροῦ τὴν ἀπόστασιν οὐχ ὡμολόγουν (σφόδρα γὰρ ἐδεδοίκεσαν τοὺς Γαλιλαίους ἅτε δὴ πεῖραν αὐτῶν τῆς πρὸς ἐμὲ πολλάκις εὐνοίας λαβόντες), ἐκ τοῦ λεληθότος δὲ καιρὸν παραφυλάττοντες ἐπιτήδειον ἐπεβούλευον. καὶ δὴ ἀφικόμην εἰς κίνδυνον τὸν μέγιστον διὰ τοιαύτην αἰτίαν.

νεανίσκοι τινὲς θρασεῖς, Δαβαριττηνοὶ γένος, ἐπι- 26
τηρήσαντες τὴν Πτολεμαίου γυναῖκα τοῦ βασιλέως ἐπιτρόπου, μετὰ πολλῆς παρασκευῆς καὶ τινῶν ἱππέων ἀσφαλείας χάριν ἑπομένων διὰ τοῦ μεγάλου πεδίου τὴν πορείαν ποιουμένην ἐκ τῆς τοῖς βασιλεῦσιν ὑποτελοῦς χώρας εἰς τὴν Ῥωμαίων ἐπικράτειαν, ἐπιπίπτουσιν αὐτοῖς ἄφνω, καὶ τὴν μὲν γυναῖκα φεύγειν ἠνάγκασαν, ὅσα δ' ἐπεφέρετο πάντα διήρπασαν. καὶ ἦκον εἰς Ταριχαίας πρός με τέτταρας ἡμιόνους καταφόρτους ἄγοντες ἐσθῆτος καὶ σκευῶν· ἦν δὲ καὶ ἀργυρίου σταθμὸς οὐκ ὀλίγος καὶ χρυσοῦ πεντακόσιοι. ταῦτ' ἐγὼ βουλόμενος διαφυλάξαι τῷ Πτολεμαίῳ (καὶ γὰρ ἦν ὁμόφυλος, ἀπηγόρευται δ' ἡμῖν ὑπὸ τῶν νόμων μηδὲ τοὺς ἐχθροὺς ἀποστερεῖν) πρὸς μὲν τοὺς κομίσαντας ἔφην αὐτὰ φυλάττειν δεῖν, ἵν' ἐκ τῆς πράσεως αὐτῶν ἐπισκευασθῇ τὰ τείχη τῶν Ἱεροσολύμων. οἱ δὲ νεανίαι χαλεπῶς ἔσχον οὐ λαβόντες μοῖραν ἐκ τῶν λαφύρων καθάπερ προσεδόκησαν, καὶ πορευθέντες εἰς τὰς πέριξ τῆς Τι-

Digitized by Google

βεριάδος κώμας προδιδόναι μέλλειν με Ῥωμαίοις τὴν χώραν αὐτῶν ἔλεγον· κεχρῆσθαι γὰρ σοφίσματι πρὸς αὐτούς, λέγοντα τὰ ἐκ τῆς ἁρπαγῆς κομισθέντα φυλάττειν εἰς τὴν ἐπισκευὴν τῶν τειχῶν τῆς Ἱεροσολυμιτῶν πόλεως, ἐγνωκέναι δὲ πάλιν τῷ δεσπότῃ ἀποδοῦναι τὰ ἡρπασμένα. καὶ κατὰ τοῦτό γε τῆς ἐμῆς γνώμης οὐ διήμαρτον· ἀπαλλαγέντων γὰρ αὐτῶν μεταπεμψάμενος δύο τοὺς πρώτους, Δασσίωνα καὶ Ἰάνναιον τὸν τοῦ Λευΐ, φίλους ἐν τοῖς μάλιστα τοῦ βασιλέως καθεστῶτας, τὰ ἐκ τῆς ἁρπαγῆς σκεύη λαβόντας διαπέμψασθαι πρὸς ἐκεῖνον ἐκέλευον, θάνατον ἀπειλήσας αὐτοῖς τὴν
27 ζημίαν, εἰ πρὸς ἕτερον ταῦτα ἀπαγγελοῦσιν. ἐπισχούσης δὲ φήμης τὴν Γαλιλαίαν ἅπασαν ὡς τῆς χώρας αὐτῶν μελλούσης ὑπ' ἐμοῦ τοῖς Ῥωμαίοις προδίδοσθαι, καὶ πάντων παροξυνθέντων ἐπὶ τὴν ἐμὴν τιμωρίαν, οἱ τὰς Ταριχαίας κατοικοῦντες, καὶ αὐτοὶ τοὺς νεανίσκους ἀληθεύειν ὑπολαβόντες, πείθουσι τοὺς σωματοφύλακας καὶ τοὺς ὁπλίτας κοιμωμένου με καταλιπόντας παραγενέσθαι θᾶττον εἰς Ἱππόδρομον, ὡς ἐκεῖ βουλευσομένους μετὰ πάντων περὶ τοῦ στρατηγοῦ. πειθομένων δὲ τούτων καὶ συνελθόντων πολὺς ὄχλος ἤδη προσυνήθροιστο, μίαν τε πάντες ἐποιοῦντο φωνήν, κολάζειν τὸν προδότην πονηρὸν περὶ αὐτοὺς γεγενημένον, μάλιστα δ' αὐτοὺς ἐξέκαιεν ὁ τοῦ Σαπφία παῖς Ἰησοῦς, ἄρχων τότε τῆς Τιβεριάδος, πονηρὸς ἄνθρωπος καὶ ταράξαι μεγάλα πράγματα φύσιν ἔχων, στασιοποιός τε καὶ νεωτεριστὴς ὡς οὐχ ἕτερος. καὶ τότε δὴ λαβὼν εἰς χεῖρας τοὺς Μωϋσέως νόμους καὶ προσελθὼν εἰς μέσον, "εἰ μὴ ὑπὲρ αὐτῶν" ἔφη, "πολῖται, μισεῖν δύνασθε Ἰώσηπον, εἰς τοὺς πατρίους ἀποβλέψαντες νόμους, ὧν ὁ πρῶτος ὑμῶν στρατηγὸς προδότης ἔμελλε γίνεσθαι, καὶ μισοπονηρήσαντες ὑπὲρ τούτων, τιμωρήσασθε τὸν τοιαῦτα τολμήσαντα."

Digitized by Google

ταῦτ' εἰπών, καὶ τοῦ πλήθους ἐπιβοήσαντος, ἀνα- 28
λαβών τινας ὁπλίτας ἐπὶ τὴν οἰκίαν ἐν ᾗ κατηγόμην
ἔσπευδεν ὡς ἀναιρήσων. ἐγὼ δ' οὐδὲν προαισθόμενος
διὰ κόπον πρὸ τῆς ταραχῆς κατεσχήμην. Σίμων δ' ὁ
τοῦ σώματός μου τὴν φυλακὴν πεπιστευμένος, ὁ καὶ
μόνος παραμείνας, ἰδὼν τὴν ἐπιδρομὴν τῶν πολιτῶν
διεγείρει με καὶ τὸν ἐφεστῶτά μοι κίνδυνον ἐξαγγέλλει·
ἠξίου τε γενναίως θνήσκειν ὡς στρατηγὸν ὑπ' αὐτοῦ,
πρὶν διελθεῖν τοὺς ἐχθροὺς ἀναγκάσοντας ἢ κτενοῦν-
τας. ὃ μὲν ταῦτα ἔλεγεν, ἐγὼ δὲ τῷ θεῷ τὰ κατ' ἐμαυ-
τὸν ἐπιτρέψας εἰς τὸ πλῆθος ὡρμήθην προελθεῖν. με-
τενδὺς οὖν μέλαιναν ἐσθῆτα, καὶ τὸ ξίφος ἀπαρτησά-
μενος ἐκ τοῦ αὐχένος, καθ' ὁδὸν ἑτέραν, ᾗ μηδένα μοι
τῶν πολεμίων ὑπαντιάσειν ᾤμην, ἦειν εἰς τὸν ἱππό-
δρομον, ἄφνω τε φανεὶς καὶ πρηνὴς πεσὼν καὶ τὴν γῆν
δάκρυσι φύρων ἐλεεινὸς ἔδοξα πᾶσιν. συνεὶς δὲ τοῦ
πλήθους τὴν μεταβολήν, διιστάναι τὰς γνώμας αὐτῶν
ἐπειρώμην πρὸ τοῦ τοὺς ὁπλίτας ἀπὸ τῆς οἰκίας ὑπο-
στρέψαι, καὶ συνεχώρουν μὲν ἀδικεῖν ὡς αὐτοὶ νομί-
ζουσιν, ἐδεόμην δὲ διδάξαι πρότερον εἰς τίνα χρείαν
ἐφύλαττον τὰ ἐκ τῆς ἁρπαγῆς κομισθέντα χρήματα, καὶ
τότε θνήσκειν, εἰ κελεύοιεν. τοῦ δὲ πλήθους λέγειν
κελεύοντος ἐπῆλθον οἱ ὁπλῖται, καὶ θεασάμενοί με
προσέτρεχον ὡς κτενοῦντες. ἐπισχεῖν δὲ τοῦ πλήθους
κελεύοντος ἐπείσθησαν, προσδοκῶντες, ἐπειδὰν ὁμολο-
γήσω πρὸς αὐτοὺς τὰ χρήματα τῷ βασιλεῖ τετηρηκέναι,
ὡς ὡμολογηκότα τὴν προδοσίαν ἀναιρήσειν. σιγῆς οὖν 29
παρὰ πάντων γενομένης, "ἄνδρες" εἶπον "ὁμόφυλοι,
θανεῖν μὲν εἰ δίκαιόν ἐστιν, οὐ παραιτοῦμαι, βούλομαι
δ' ὅμως πρὸ τοῦ τελευτῆσαι τὴν ἀλήθειαν φράσαι πρὸς
ὑμᾶς. τὴν γὰρ πόλιν ταύτην φιλοξενωτάτην οὖσαν ἐπι-
στάμενος, πληθούσαν τε τοσούτων ἀνδρῶν οἳ τὰς ἑαυ-

Digitized by Google

τῶν πατρίδας καταλιπόντες ἀφίκοντο κοινωνοὶ τῆς ὑμετέρας γενόμενοι τύχης, ἐβουλήθην τείχη κατασκευάσαι ἐκ τῶν χρημάτων τούτων, περὶ ὧν ἡ παρ' ὑμῶν ἐστὶν ὀργὴ δαπανωμένων εἰς τὴν οἰκοδομίαν αὐτῶν." πρὸς ταῦτα παρὰ μὲν τῶν Ταριχαιατῶν καὶ ξένων ἐγείρεται φωνή, χάριν ἔχειν ὁμολογούντων καὶ θαρρεῖν προτρεπομένων, Γαλιλαῖοι δὲ καὶ Τιβεριεῖς τοῖς θυμοῖς ἐπέμενον. καὶ γίνεται στάσις πρὸς ἀλλήλους, τῶν μὲν κολάσειν ἀπειλούντων τῶν δὲ καταφρονεῖν. ἐπεὶ δὲ ἐπηγγειλάμην καὶ Τιβεριάδι κατασκευάσειν τείχη καὶ ταῖς ἄλλαις πόλεσιν αὐτῶν ταῖς ἀναγκαίαις, πιστεύσαντες ὑπεχώρουν ἕκαστος εἰς τὴν ἑαυτοῦ. κἀγὼ παρὰ πᾶσαν ἐλπίδα διαφυγὼν τὸν προειρημένον κίνδυνον, μετὰ τῶν φίλων καὶ ὁπλιτῶν εἴκοσιν εἰς τὴν οἰκίαν ὑπέστρεψα.

30 πάλιν δὲ οἱ λῃσταὶ καὶ τῆς στάσεως αἴτιοι, δείσαντες περὶ ἑαυτῶν μὴ δίκας εἰσπραχθῶσιν ὑπ' ἐμοῦ τῶν πεπραγμένων, ἀναλαβόντες ἑξακοσίους ὁπλίτας ἦκον ἐπὶ τὴν οἰκίαν ἔνθα διέτριβον, ἐμπρήσοντες αὐτήν. ἀπαγγελθείσης δέ μοι τῆς ἐφόδου φεύγειν μὲν ἀπρεπὲς ἡγησάμην, ἔκρινα δὲ παραβαλόμενος χρήσασθαί τι καὶ τόλμῃ. προστάξας οὖν ἀποκλεῖσαι τῆς οἰκίας τὰς θύρας, αὐτὸς ἐπὶ τὸ ὑπερῷον ἀναβὰς παρεκάλουν εἰσπέμψαι τινὰς ληψομένους τὰ χρήματα· παύσασθαι γὰρ οὕτω τῆς ὀργῆς αὐτοὺς ἔφην. εἰσπεμψάντων δὲ τὸν θρασύτατον αὐτῶν μάστιξιν αἰκισάμενος, εἰς τὸ μυχαίτατον τῆς οἰκίας παρασύρας, τὴν ἑτέραν τε τῶν χειρῶν ἀποκόψαι κελεύσας καὶ κρεμάσας ἐκ τοῦ τραχήλου, τοιοῦτον ἐξέβαλον πρὸς τοὺς ἀποστείλαντας. τοὺς δ' ἔλαβεν ἔκπληξις καὶ φόβος οὔτι μέτριος. δείσαντες οὖν καὶ αὐτοὶ ταὐτὰ πείσεσθαι εἰ μένοιεν (εἴκαζον γὰρ ἔνδον ἔχειν με πλείους αὐτῶν ὁπλίτας), εἰς φυγὴν ὥρμη-

Digitized by Google

σαν. κἀγὼ τοιούτῳ στρατηγήματι χρησάμενος τὴν δευτέραν ἐπιβουλὴν διέφυγον.

πάλιν δὲ τὸν ὄχλον τινὲς ἠρέθιζον, τοὺς ἀφικομένους πρός με βασιλικοὺς μεγιστᾶνας οὐκ ὀφείλειν ζῆν λέγοντες, μὴ μεταβῆναι θέλοντας εἰς τὰ παρ' αὐτοῖς ἔθη, πρὸς οὓς σωθησόμενοι πάρεισι· διέβαλλόν τε φαρμακέας εἶναι λέγοντες καὶ κωλυτὰς τοῦ Ῥωμαίων περιγενέσθαι. ταχὺ δὲ τὸ πλῆθος ἐπείθετο, ταῖς τῶν λεγομένων πρὸς χάριν αὐτοῖς πιθανότησιν ἀπατώμενοι. πυθόμενος δὲ περὶ τούτων ἐγὼ πάλιν τὸν δῆμον ἀνεδίδασκον μὴ δεῖν διώκεσθαι τοὺς καταφυγόντας πρὸς αὐτούς, τὸ δὲ φλύαρον τῆς περὶ τῶν φαρμάκων αἰτίας διέσυρον, οὐκ ἂν τοσαύτας μυριάδας στρατιωτῶν Ῥωμαίους λέγων τρέφειν, εἰ διὰ φαρμακέων ἦν νικᾶν τοὺς πολεμίους. ταῦτα λέγοντος ἐμοῦ πρὸς ὀλίγον μὲν ἐπείθοντο, πάλιν δ' ἀναχωρήσαντες ὑπὸ τῶν πονηρῶν ἐξηρεθίζοντο κατὰ τῶν μεγιστάνων. καί ποτε μεθ' ὅπλων ἐπὶ τὴν οἰκίαν αὐτῶν τὴν ἐν Ταριχαίᾳ ἐπῆλθον ὡς ἀναιρήσοντες. ἔδεισα δ' ἐγὼ πυθόμενος μὴ τοῦ μύσους τέλος λαβόντος ἀνεπίβατος γένηται τοῖς καταφυγεῖν εἰς αὐτὴν θέλουσιν. παρεγενόμην οὖν εἰς τὴν τῶν μεγιστάνων οἰκίαν μετὰ τινῶν ἑτέρων, καὶ κλείσας, διώρυγά τε ποιήσας ἀπ' αὐτῆς ἐπὶ τὴν λίμνην ἄγουσαν, μεταπεμψάμενός τε πλοῖον καὶ σὺν αὐτοῖς ἐμβὰς ἐπὶ τὴν μεθόριον τῶν Ἱππηνῶν διεπέρασα, καὶ δοὺς αὐτοῖς τὴν τιμὴν τῶν ἵππων (οὐ γὰρ ἠδυνήθην αὐτοὺς ἐπαγαγέσθαι τοιαύτης γενομένης τῆς ἀποδράσεως) ἀπέλυσα, πολλὰ παρακαλέσας τὴν προσπεσοῦσαν ἀνάγκην γενναίως ἐνεγκεῖν. αὐτός τε μεγάλως ἠχθόμην βιασθεὶς τοὺς προσφυγόντας ἐκθεῖναι πάλιν εἰς τὴν πολεμίαν, ἄμεινον δ' εἶναι νομίσας παρὰ Ῥωμαίοις ἀποθανεῖν αὐτούς, εἰ συμπέσοι, μᾶλλον ἢ κατὰ τὴν ἐμὴν χώραν. 31

Digitized by Google

οἳ δ' ἄρα διεσώθησαν· συνεχώρησε γὰρ αὐτοῖς βασιλεὺς Ἀγρίππας τὰ ἡμαρτημένα.

32 καὶ τὰ μὲν περὶ ἐκείνους τοῦτ' ἔσχε τὸ τέλος, οἱ δὲ τὴν τῶν Τιβεριέων πόλιν κατοικοῦντες γράφουσι πρὸς τὸν βασιλέα, παρακαλοῦντες πέμψαι δύναμιν τὴν φυλάξουσαν αὐτῶν τὴν χώραν· θέλειν γὰρ αὐτῷ προστίθεσθαι. κἀκείνῳ μὲν ταῦτ' ἔγραφον, ἀφικόμενον δέ με πρὸς αὐτοὺς παρεκάλουν τὰ τείχη κατασκευάζειν αὐτοῖς ὡς ὑπεσχήμην. ἠκηκόεισαν δὲ τὰς Ταριχαίας ἤδη τετειχίσθαι. κατανεύσας οὖν ἐγὼ καὶ πάντα τὰ πρὸς τὴν οἰκοδομίαν παρασκευασάμενος, τοὺς ἀρχιτέκτονας ἐκέλευον ἐνεργεῖν. μετὰ δὲ τρίτην ἡμέραν εἰς Ταριχαίας ἀπερχομένου μου, τῆς Τιβεριάδος ἀπεχούσας στάδια τριάκοντα, συνέβη τινὰς Ῥωμαίων ἱππεῖς οὐ πόρρωθεν τῆς πόλεως ὁδοιποροῦντας ὀφθῆναι, οἳ δόξαν παρέσχον τὴν παρὰ τοῦ βασιλέως δύναμιν ἥκειν. εὐθέως γοῦν εἰς μὲν τὸν βασιλέα μετὰ πολλῶν ἐπαίνων ἠφίεσαν φωνάς, κατ' ἐμοῦ δὲ βλασφήμους. καὶ ἐπιδραμών τις ἀπήγγειλέ μοι τὴν διάνοιαν αὐτῶν, ὡς ἀφίστασθαί μου διεγνώκασιν. ἐγὼ δ' ἀκούσας ἐταράχθην μὲν σφόδρα· τοὺς γὰρ ὁπλίτας ἔτυχον ἐκ τῶν Ταριχαιῶν ἐπὶ τὰς αὐτῶν οἰκήσεις ἀφεικὼς διὰ τὸ τὴν ἐπιοῦσαν ἡμέραν σάββατον ὑπάρχειν· οὐ γὰρ ἐβουλόμην ὑπὸ τοῦ στρατιωτικοῦ πλήθους ἐνοχλεῖσθαι τοὺς ἐν ταῖς Ταριχαίαις· ὁσάκις γοῦν ἐν αὐταῖς διέτριβον, οὐδὲ τῆς περὶ τὸ σῶμα φυλακῆς ἐποιούμην πρόνοιαν, πεῖραν παρὰ τῶν ἐνοικούντων τῆς πρός με πίστεως λαβών πολλάκις. μόνους δ' ἔχων περὶ ἐμαυτὸν ἑπτὰ τῶν ὁπλιτῶν καὶ τοὺς φίλους, ἠπόρουν ὅ πράξω. μεταπέμπεσθαι γὰρ τὴν ἐμὴν δύναμιν διὰ τὸ λήγειν ἤδη τὴν ἑστῶσαν ἡμέραν οὐκ ἐδοκίμαζον· οὐδὲ γὰρ ἀφικομένης αὐτῆς εἰς τὴν ἐπιοῦσαν ὅπλα λαβεῖν, κωλυόντων ἡμᾶς τῶν

Digitized by Google

νόμων, κἂν μεγάλη τις ἐπείγειν ἀνάγκη δοκῇ. εἰ δὲ τοῖς Ταριχαιάταις καὶ τοῖς παρ' αὐτοῖς ξένοις ἐπιτρέψαιμι τὴν πόλιν διαρπάζειν, ἐώρων οὐχ ἱκανοὺς ἐσομένους. τὴν δὲ ἐμὴν ὑπέρθεσιν ἐώρων μακροτάτην· φθήσεσθαι γὰρ καὶ τὴν παρὰ βασιλέως δύναμιν ἀφικνουμένην, καὶ ἐκπεσεῖσθαι τῆς πόλεως ᾠόμην. ἐβουλευόμην οὖν στρατηγήματι χρῆσθαί τινι κατ' αὐτῶν. παραρῆμα δὴ τοὺς πιστοτάτους τῶν φίλων ταῖς πύλαις τῶν Ταριχαιῶν ἐπιστήσας φυλάξοντας μετ' ἀσφαλείας τοὺς ἐξιέναι θέλοντας, καὶ τοὺς πρώτους τῶν οἴκων προσκαλεσάμενος, αὐτῶν ἕκαστον ἐκέλευσα καθελκύσαντα πλοῖον, ἐμβάντα συνεπαγόμενον τὸν κυβερνήτην ἕπεσθαί μοι πρὸς τὴν Τιβεριέων πόλιν. καὶ αὐτὸς δὲ μετὰ τῶν φίλων καὶ ὁπλιτῶν, οὓς ἔφην ἑπτὰ τὸν ἀριθμὸν εἶναι, ἐμβὰς ἔπλεον ἐπὶ τὴν Τιβεριάδα. Τιβεριεῖς δὲ 33
τὴν παρὰ τοῦ βασιλέως δύναμιν ὡς ἔγνωσαν οὐχ ἥκουσαν αὐτοῖς, πλοῖον δὲ τὴν λίμνην πᾶσαν ἐθεάσαντο πλήρη, δείσαντες περὶ τῇ πόλει καὶ καταπλαγέντες, ὡς ἐπιβατῶν πλήρεις εἶεν αἱ νῆες, μετατίθενται τὰς γνώμας. δίψαντες οὖν τὰ ὅπλα μετὰ γυναικῶν καὶ παίδων ὑπηντίαζον, πολλὰς μετ' ἐπαίνων φωνὰς εἰς ἐμὲ ἀφιέντες (εἴκαζον γὰρ οὐ προπεπύσθαι με τὴν διάνοιαν αὐτῶν), καὶ παρεκάλουν φείσασθαι τῆς πόλεως. ἐγὼ δὲ πλησίον γενόμενος ἀγκύρας μὲν ἔτι πόρρω τῆς γῆς ἐκέλευον βαλέσθαι τοὺς κυβερνήτας ὑπὲρ τοῦ μὴ κατάδηλα τοῖς Τιβεριεῦσιν εἶναι τὰ πλοῖα κενὰ τῶν ἐπιβατῶν ὄντα, πλησιάσας δ' αὐτὸς ἔν τινι πλοίῳ κατεμεμφόμην αὐτῶν τὴν ἄγνοιαν, καὶ ὅτι δὴ οὕτως εὐχερεῖς εἶεν, πάσης δικαίας ἄνευ προφάσεως ἐξίστασθαι τῆς πρός με πίστεως. ὡμολόγουν δ'· εἴς τε τὸ λοιπὸν αὐτοῖς συγγνώσεσθαι βεβαίως, εἰ πέμψειαν δέκα τοῦ πλήθους προεστῶτας. ὑπακουσάντων δ' ἑτοίμως καὶ πεμψάντων

Digitized by Google

ἄνδρας οὓς προεῖπον, ἐμβιβάσας ἀπέλυον εἰς Ταριχαίας φυλαχθησομένους.

84 τῷ στρατηγήματι δὲ τούτῳ τὴν βουλὴν πᾶσαν κατ' ὀλίγους λαβὼν εἰς τὴν προειρημένην πόλιν, καὶ μετ' αὐτῶν τοὺς πολλοὺς τοῦ δήμου πρώτους, ἄνδρας οὐκ ἐλάττους ἐκείνων ὄντας, διεπεμψάμην. τὸ δὲ πλῆθος ὡς εἶδον εἰς οἷον κακῶν ἥκουσι μέγεθος, παρεκάλουν με τὸν αἴτιον τῆς στάσεως τιμωρήσασθαι. Κλεῖτος δ' ἦν ὄνομα τούτῳ, θρασύς τε καὶ προπετὴς νεανίας. ἐγὼ δ' ἀποκτεῖναι μὲν οὐχ ὅσιον ἡγούμενος ὁμόφυλον ἄνδρα, κολάσαι δ' ἀνάγκην ἔχων, τῶν περὶ ἐμέ τινι σωματοφυλάκων Λευῖ προσέταξα προσελθόντι κόψαι τοῦ Κλείτου τὴν ἑτέραν τῶν χειρῶν. δείσαντος δὲ τοῦ κελευσθέντος εἰς τοσοῦτο πλῆθος προδιελθεῖν μόνου, τὴν δειλίαν τοῦ στρατιώτου μὴ βουληθεὶς κατάδηλον γενέσθαι τοῖς Τιβεριεῦσιν, αὐτὸν Κλεῖτον φωνήσας "ἐπειδὴ καὶ ἄξιος" εἶπον "ὑπάρχεις ἀμφοτέρας τὰς χεῖρας ἀποβαλεῖν, οὕτως ἀχάριστος εἰς ἐμὲ γενόμενος, γενοῦ σαυτοῦ δήμιος, μὴ καὶ ἀπειθήσας χείρονα τιμωρίαν ὑπόσχῃς." τοῦ δὲ τὴν ἑτέραν αὐτῷ συγχωρῆσαι πολλὰ δεομένου, μόλις κατένευσα. κἀκεῖνος ἅσμενος ὑπὲρ τοῦ μὴ τὰς δύο χεῖρας ἀποβαλεῖν λαβὼν μάχαιραν κόπτει τὴν ἀριστερὰν ἑαυτοῦ. καὶ τοῦτο τὴν στάσιν ἔπαυσεν.

85 Τιβεριεῖς δέ, ὡς εἰς τὰς Ταριχαίας ἀφικόμην, γνόντες τὴν στρατηγίαν ἣ κατ' αὐτῶν ἐχρησάμην, ἀπεθαύμαζον ὅτι χωρὶς φόνων ἔπαυσα τὴν ἀγνωμοσύνην αὐτῶν. ἐγὼ δὲ τοὺς ἐκ τῆς εἱρκτῆς μεταπεμψάμενος τοῦ πλήθους τῶν Τιβεριέων (ἦν δὲ σὺν αὐτοῖς Ἰοῦστος καὶ ὁ πατὴρ αὐτοῦ Πίστος) συνδείπνους ἐποιησάμην, καὶ παρὰ τὴν ἑστίασιν ἔλεγον ὅτι τὴν Ῥωμαίων δύναμιν οὐδ' αὐτὸς ἀγνοῶ πασῶν διαφέρουσαν, σιγῴην μέντοι διὰ τοὺς ληστὰς περὶ αὐτῆς. καὶ αὐτοῖς δὲ ταὐτὰ συνε-

Digitized by Google

βούλευον ποιεῖν, τὸν ἐπιτήδειον περιμένουσι καιρόν, καὶ μὴ δυσανασχετεῖν ἐμοὶ στρατηγῷ· μηδενὸς γὰρ αὐτοὺς ἑτέρου δυνήσεσθαι ῥᾳδίως ἐπιεικοῦς ὁμοίως τυχεῖν. τὸν Ἰοῦστον δὲ καὶ ὑπεμίμνησκον ὅτι πρόσθεν ἢ με παραγενέσθαι ἐκ τῶν Ἱεροσολύμων οἱ Γαλιλαῖοι τἀδελφοῦ τὰς χεῖρας ἀποκόψειαν αὐτοῦ, πρὸ τοῦ πολέμου πλαστῶν αὐτῷ γραμμάτων κακουργίαν ἐπικαλέσαντες, καὶ ὅτι μετὰ τὴν ἀναχώρησιν τὴν Φιλίππου Γαμαλῖται πρὸς Βαβυλωνίους στασιάζοντες ἀνέλοιεν Χάρητα (συγγενὴς δ' ἦν οὗτος τοῦ Φιλίππου), καὶ ὡς Ἰησοῦν τὸν ἀδελφὸν αὐτοῦ, ἄνδρα τῆς ἀδελφῆς Ἰούστου, σωφρόνως κολάσειαν. ταῦτα παρὰ τὴν ἐστίασιν διαλεχθεὶς τοῖς περὶ τὸν Ἰοῦστον ἔωθεν ἐκέλευσα πάντας τῆς φυλακῆς ἀπολυθῆναι.

πρὸ δὲ τούτων συνέβη τὸν Ἰακίμου Φίλιππον ἀπελ- 36
θεῖν ἐκ Γάμαλα τοῦ φρουρίου, τοιαύτης αἰτίας γενομένης. Φίλιππος πυθόμενος μεταστῆναι μὲν Ἄβαρον ἀπὸ τοῦ βασιλέως Ἀγρίππα, διάδοχον δὲ ἀφῖχθαι Μόδιον Λίκουνον, ἄνδρα φίλον αὐτῷ καὶ συνήθη πάλαι, γράφει πρὸς τοῦτον τὰς καθ' ἑαυτὸν τύχας ἀπαγγέλλων, καὶ παρακαλῶν τὰ παρ' αὐτοῦ πεμφθέντα γράμματα πρὸς τοὺς βασιλέας ἀποστεῖλαι. καὶ Μόδιος δεξάμενος τὰς ἐπιστολὰς ἐχάρη σφόδρα, σώζεσθαι τὸν Φίλιππον ἐξ αὐτῶν ἐπιγνούς, καὶ πρὸς τοὺς βασιλέας ἔπεμψε τὰ γράμματα, περὶ Βηρυτὸν ὄντας. ὁ δὲ βασιλεὺς Ἀγρίππας ὡς ἔγνω ψευδῆ τὴν περὶ Φιλίππου φήμην γενομένην (λόγος γὰρ διῆλθεν ὡς στρατηγοίη τῶν Ἰουδαίων ἐπὶ τὸν πρὸς Ῥωμαίους πόλεμον), ἔπεμψεν ἱππεῖς τοὺς παραπέμψοντας τὸν Φίλιππον. καὶ παραγενόμενον ἀσπάζεταί τε φιλοφρόνως, τοῖς τε Ῥωμαίων ἡγεμόσιν ἐπεδείκνυεν ὅτι δὴ Φίλιππος οὗτός ἐστι περὶ οὗ διεξῄει λόγος ὡς Ῥωμαίων ἀποστάντος. κελεύει δ' αὐτὸν ἱπ-

Digitized by Google

πεῖς τινὰς ἀναλαβόντα θᾶττον εἰς Γάμαλα τὸ φρούριον πορευθῆναι, τοὺς οἰκείους αὐτῷ πάντας ἐκεῖθεν ἐξάξοντα καὶ τοὺς Βαβυλωνίους εἰς τὴν Βαταναίαν πάλιν ἀποκαταστήσοντα. παρήγγειλε δὲ καὶ πᾶσαν ποιήσασθαι πρόνοιαν ὑπὲρ τοῦ μὴ γίνεσθαί τινα νεωτερισμὸν παρὰ τῶν ὑπηκόων.

37 Φίλιππος μὲν οὖν, ταῦτα τοῦ βασιλέως ἐπιστείλαντος, ἔσπευδε ποιήσων ἃ προσέταξεν· Ἰώσηπος δ' ὁ τῆς ἰατρίνης πολλοὺς νεανίσκους θρασεῖς προτρεψάμενος αὐτῷ συνάρασθαι, καὶ ἐπαναστὰς τοῖς ἐν Γάμαλα πρώτοις, ἔπειθεν αὐτοὺς ἀφίστασθαι τοῦ βασιλέως καὶ ἀναλαβεῖν τὰ ὅπλα, ὡς δι' αὐτοῦ τὴν ἐλευθερίαν ἀπολῃψομένους. καὶ τινὰς μὲν ἐβιάσαντο, τοὺς δὲ μὴ συναρεσκομένους αὐτῶν ταῖς γνώμαις ἀνῄρουν. κτείνουσι δὲ καὶ Χάρητα, καὶ μετ' αὐτοῦ τινὰ τῶν συγγενῶν Ἰησοῦν, καὶ Ἰούστου δὲ τοῦ Τιβεριέως ἀδελφὸν ἀνεῖλον, καθὼς ἤδη προείπομεν. γράφουσι δὲ καὶ πρός με, παρακαλοῦντες πέμψαι δύναμιν αὐτοῖς ὁπλιτῶν καὶ τοὺς ἀναστήσοντας αὐτῶν τῇ πόλει τείχη. κἀγὼ πρὸς οὐδέτερον ἀντεῖπον ὧν ἠξίωσαν. ἀφίσταται δὲ τοῦ βασιλέως καὶ ἡ Γαυλανῖτις χώρα μέχρι κώμης Σολύμης. Σελευκείᾳ δὲ καὶ Σωγάνῃ φύσει κώμαις ὀχυρωτάταις ᾠκοδόμησα τείχη· τάς τε κατὰ τὴν ἄνω Γαλιλαίαν κώμας, καὶ πάνυ πετρώδεις οὔσας, ἐτείχισα παραπλησίως· ὀνόματα δ' αὐταῖς Ἰάμνεια Μηρὼθ Ἀχαβάρη. ὠχύρωσα δὲ καὶ τὰς ἐν τῇ κάτω Γαλιλαίᾳ, πόλεις μὲν Ταριχαίας Τιβεριάδα Σέπφωριν, κώμας δὲ Ἀρβήλων σπήλαιον, Βηρσάβην Σελαμὶν Ἰωτάπατα Καφαρεκχὼ καὶ Σιγὼ καὶ Ἰαφὰ καὶ τὸ Ἰταβύριον ὄρος. εἰς ταύτας καὶ στῖον ἀπεθέμην πολὺν καὶ ὅπλα πρὸς ἀσφάλειαν τὴν μετὰ ταῦτα.

38 Ἰωάννῃ δὲ τῷ τοῦ Λευὶ τὸ κατ' ἐμοῦ μῖσος μᾶλλον

Digitized by Google

προσηύξετο βαρέως φέροντι τὴν ἐμὴν εὐπραγίαν. προθέμενος οὖν πάντως ἐκποδών με ποιήσασθαι, τῇ μὲν αὐτοῦ πατρίδι τοῖς Γισχάλοις κατασκευάζει τείχη, τὸν ἀδελφὸν δὲ Σίμωνα καὶ τὸν τοῦ Σισέννα Ἰωνάθην καὶ ὁπλίτας περὶ ἑκατὸν εἰς Ἱεροσόλυμα πέμπει πρὸς τὸν τοῦ Γαμαλιήλου Σίμωνα, παρακαλέσοντας αὐτὸν πεῖσαι τὸ κοινὸν τῶν Ἱεροσολυμιτῶν, τὴν ἀρχὴν ἀφελομένους ἐμὲ τῶν Γαλιλαίων αὐτῷ ψηφίσασθαι τὴν ἐξουσίαν τούτων. ὁ δὲ Σίμων οὗτος ἦν πόλεως μὲν Ἱεροσολύμων, γένους δὲ σφόδρα λαμπροῦ, τῆς δὲ Φαρισαίων αἱρέσεως, οἳ περὶ τὰ πάτρια νόμιμα δοκοῦσι τῶν ἄλλων ἀκριβείᾳ διαφέρειν. ἦν δ' οὗτος ἀνὴρ πλήρης συνέσεώς τε καὶ λογισμοῦ, δυνάμενός τε πράγματα κακῶς κείμενα φρονήσει τῇ ἑαυτοῦ διορθώσασθαι, φίλος τε παλαιὸς τῷ Ἰωάννῃ καὶ συνήθης, πρὸς ἐμὲ δὲ τότε διαφόρως εἶχεν. δεξάμενος οὖν τὴν παράκλησιν ἔπειθε τοὺς ἀρχιερεῖς Ἄνανον καὶ Ἰησοῦν τὸν τοῦ Γαμαλᾶ, τινάς τε τῶν τῆς αὐτῶν στάσεως ἐκείνης, ἐκκόπτειν με φυόμενον καὶ μὴ περιιδεῖν ἐπὶ μήκιστον αὐξηθέντα δόξης, συνοίσειν αὐτοῖς λέγων εἰ τῆς Γαλιλαίας ἀφαιρεθείην. μὴ μέλλειν δὲ παρεκάλει τοὺς περὶ τὸν Ἄνανον, μὴ καὶ φθάσας γνῶναι μετὰ πολλῆς ἐπέλθω τῇ πόλει δυνάμεως. ὁ μὲν Σίμων ταῦτα συνεβούλευεν, ὁ δὲ ἀρχιερεὺς Ἄνανος οὐ ῥᾴδιον εἶναι τὸ ἔργον ἀπέφαινεν· πολλοὺς γὰρ τῶν ἀρχιερέων καὶ τοῦ πλήθους προεστῶτας μαρτυρεῖν ὅτι καλῶς ἐγὼ στρατηγῶ· ποιεῖσθαι δὲ κατηγορίαν ἀνδρὸς καθ' οὗ μηδὲν λέγειν δίκαιον δύνανται, φαύλων ἔργον εἶναι. Σίμων δ' ὡς ἤκουσε 39
ταῦτα παρὰ τοῦ Ἀνάνου, σιωπᾶν μὲν ἐκείνους ἠξίωσε μηδ' εἰς πολλοὺς ἐκφέρειν τοὺς λόγους αὐτῶν· προνοήσασθαι γὰρ αὐτὸς ἔφασκεν ἵνα θᾶττον μετασταθείην ἐκ τῆς Γαλιλαίας. προσκαλεσάμενος δὲ τὸν ἀδελφὸν τοῦ

Digitized by Google

Ἰωάννου προσέταξε πέμπειν δωρεὰς τοῖς περὶ τὸν Ἄνανον· τάχα γὰρ οὕτως ἔφη πείσειν αὐτοὺς μεταθέσθαι τὰς γνώμας. καὶ τέλος ἔπραξεν ὁ Σίμων ὃ προύθετο· ὁ γὰρ Ἄνανος καὶ οἱ σὺν αὐτῷ τοῖς χρήμασι διαφθαρέντες συντίθενται τῆς Γαλιλαίας ἐκβαλεῖν με, μηδενὸς ἄλλου τῶν κατὰ τὴν πόλιν τοῦτο γινώσκοντος. καὶ δὴ ἔδοξεν αὐτοῖς πέμπειν ἄνδρας κατὰ γένος μὲν διαφέροντας τῇ παιδείᾳ δ' ὁμοίους. ἦσαν δ' αὐτῶν οἱ μὲν δημοτικοὶ δύο, Ἰωνάθης καὶ Ἀνανίας, Φαρισαῖοι τὴν αἵρεσιν, ὁ δὲ τρίτος Ἰόζαρος ἱερατικοῦ γένους, Φαρισαῖος καὶ αὐτός, Σίμων δ' ἐξ ἀρχιερέων νεώτατος ἐκείνων. τούτους ἐκέλευον ἀφικομένους εἰς τὸ πλῆθος τῶν Γαλιλαίων πυθέσθαι παρ' αὐτῶν τὴν αἰτίαν δι' ἣν ἐμὲ φιλοῦσιν· εἰ δὲ φαῖεν ὅτι πόλεως εἴην τῆς Ἱεροσολύμων, καὶ αὐτοὺς ἐξ ἐκείνων λέγειν ὑπάρχειν τοὺς τέσσαρας, εἰ δὲ διὰ τὴν ἐμπειρίαν τῶν νόμων, μηδ' αὐτοὺς ἀγνοεῖν ἔθη τὰ πάτρια φάσκειν, εἰ δ' αὖ διὰ τὴν ἱερωσύνην λέγοιεν ἀγαπᾶν με, καὶ αὐτῶν ἀποκρίνασθαι δύο ἱερεῖς ὑπάρχειν.

ταῦθ' ὑποθέμενοι τοῖς περὶ τὸν Ἰωνάθην, τέσσαρας μυριάδας ἀργυρίου διδόασιν αὐτοῖς ἐκ τῶν δημοσίων χρημάτων. ἐπεὶ δέ τινα Γαλιλαῖον ἤκουσαν, Ἰησοῦν ὄνομα, περὶ αὐτὸν τάξιν ἑξακοσίων ὁπλιτῶν ἔχειν, ἐπιδημοῦντα τοῖς Ἱεροσολύμοις τότε, μεταπεμψάμενοι τοῦτον καὶ τριῶν μηνῶν μισθὸν δόντες ἐκέλευσαν ἕπεσθαι τοῖς περὶ τὸν Ἰωνάθην πειθαρχοῦντα αὐτοῖς, καὶ τῶν πολιτῶν δὲ τριακοσίοις ἀνδράσι δόντες ἀργύριον εἰς τροφὴν τῶν ὅλων, προσέταξαν ἀκολουθεῖν τοῖς πρέσβεσιν. πεισθέντων οὖν αὐτῶν καὶ πρὸς τὴν ἔξοδον εὐτρεπισθέντων, ἐξῆεσαν οἱ περὶ τὸν Ἰωνάθην σὺν τούτοις, ἐπαγόμενοι καὶ τὸν ἀδελφὸν τὸν Ἰωάννου καὶ ὁπλίτας ἑκατόν, λαβόντες ἐντολὰς παρὰ τῶν πεμψάν-

Digitized by Google

των, εἰ μὲν ἑκὼν καταθείμην τὰ ὅπλα, ζῶντα πέμπειν εἰς τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν, εἰ δ' ἀντιτασσοίμην, ἀποκτεῖναι μηδὲν δεδιότας· αὐτῶν γὰρ εἶναι τὸ πρόσταγμα. ἐγεγράφεισαν δὲ καὶ τῷ Ἰωάννῃ πρὸς τὸν κατ' ἐμοῦ πόλεμον ἑτοιμάζεσθαι, τοῖς τε Σέπφωριν καὶ Γάβαρα κατοικοῦσι καὶ Τιβεριεῦσι προσέταττον συμμαχίαν τῷ Ἰωάννῃ πέμπειν.

ταῦτά μοι τοῦ πατρὸς γράψαντος (ἐξεῖπε δὲ πρὸς 41
αὐτὸν Ἰησοῦς ὁ τοῦ Γαμαλᾶ, τῶν ἐν αὐτῇ τῇ βουλῇ γενομένων εἷς, φίλος ὢν καὶ συνήθης ἐμοί) σφόδρα περιήλγησα, τούς τε πολίτας οὕτω περὶ ἐμὲ γενομένους ἀχαρίστους ἐπιγνοὺς διὰ φθόνον ἀναιρεθῆναί με προστάξαι, καὶ τῷ τὸν πατέρα διὰ τῶν γραμμάτων πολλά με παρακαλεῖν ἀφικέσθαι πρὸς αὐτόν· ποθεῖν γὰρ ἔφη θεάσασθαι τὸν υἱὸν πρὸ τοῦ τελευτῆσαι. ταῦτα δὴ πρὸς τοὺς φίλους εἶπον, καὶ ὅτι μετὰ τρίτην ἡμέραν καταλιπὼν τὴν χώραν αὐτῶν εἰς τὴν πατρίδα πορευσοίμην. λύπη δ' ἅπαντας τοὺς ἀκούσαντας κατέσχε, παρεκάλουν τε κλαίοντες μὴ ἐγκαταλιπεῖν αὐτούς, ἀπολουμένους εἰ τῆς ἐμῆς στρατηγίας ἀποστερηθείεν. οὐ κατανεύοντος δέ μου ταῖς ἱκετείαις αὐτῶν, ἀλλὰ περὶ τῆς ἐμαυτοῦ φροντίζοντος σωτηρίας, δείσαντες οἱ Γαλιλαῖοι μὴ ἀπελθόντος εὐκαταφρόνητοι τοῖς λῃσταῖς γένοιντο, πέμπουσιν εἰς τὴν Γαλιλαίαν ἅπασαν τοὺς σημανοῦντας τὴν ἐμὴν γνώμην περὶ τῆς ἀπαλλαγῆς. πολλοὶ δὲ καὶ πανταχόθεν συνήχθησαν, ὡς ἤκουσαν, μετὰ γυναικῶν καὶ τέκνων, οὐ πόθῳ, δοκῶ μοι, τῷ πρὸς ἐμὲ μᾶλλον ἢ τῷ περὶ αὐτῶν δέει τοῦτο πράττοντες· ἐμοῦ γὰρ παραμένοντος πείσεσθαι κακὸν οὐδὲν ὑπελάμβανον. ἦκον οὖν πάντες εἰς τὸ μέγα πεδίον ἐν ᾧ διέτριβον· Ἀσωχὶς ἐστιν ὄνομα τούτῳ.

θαυμάσιον δὲ οἷον ὄνειρον διὰ τῆς νυκτὸς ἐκείνης 42

Digitized by Google

ἐθεασάμην. ἐπεὶ γὰρ εἰς κοίτην ἐτραπόμην διὰ τὰ γραφέντα λυπούμενος καὶ τεταραγμένος, ἔδοξά τινα λέγειν ἐπιστάντα μοι "παῦσαι τὴν ψυχήν, ὦ οὗτος, ἀλγῶν, παντός τ' ἀπαλλάσσου φόβου· τὰ γὰρ λυποῦντά σε μέγιστον ποιήσει καὶ ἐν πᾶσιν εὐτυχέστατον, κατορθώσεις δ' οὐ μόνον ταῦτα ἀλλὰ καὶ πολλὰ ἕτερα. μὴ κάμνε δή, μέμνησο δ' ὅτι καὶ Ῥωμαίοις δεῖ σε πολεμῆσαι." τοῦτον δὴ τὸν ὄνειρον θεασάμενος διανίσταμαι, καταβῆναι προθυμούμενος εἰς τὸ πεδίον. πρὸς δὲ τὴν ἐμὴν ὄψιν πᾶν τὸ πλῆθος τῶν Γαλιλαίων (ἦσαν δ' ἐν αὐτοῖς γυναῖκές τε καὶ παῖδες) ἐπὶ στόμα ῥίψαντες ἑαυτοὺς καὶ δακρύοντες ἱκέτευον μὴ σφᾶς ἐγκαταλιπεῖν τοῖς πολεμίοις, μηδ' ἀπελθεῖν ἐάσαντα τὴν χώραν αὐτῶν ἐνύβρισμα τοῖς ἐχθροῖς ἐσομένην. ὡς δὲ ταῖς δεήσεσιν οὐκ ἔπειθον, κατηνάγκαζον ὅρκοις μένειν παρ' ἑαυτοῖς, ἐλοιδορεῖτό τε τῷ δήμῳ πολλὰ τῶν Ἱεροσολυμιτῶν ὡς εἰρηνεύεσθαι τὴν χώραν αὐτῶν οὐκ ἐῶντι.

43 ταῦτα δὴ καὶ ἐπακούων αὐτῶν καὶ βλέπων τοῦ πλήθους τὴν κατήφειαν, ἐκλάσθην πρὸς ἔλεον, ἄξιον εἶναι νομίζων ὑπὲρ τοσούτου πλήθους καὶ προδήλους κινδύνους ὑπομένειν. κατανεύω δὴ μένειν, καὶ πεντακισχιλίους ἐξ αὐτῶν ὁπλίτας ἥκειν κελεύσας ἔχοντας ἑαυτοῖς τροφάς, ἐπὶ τὰς οἰκήσεις διαφῆκα τοὺς ἄλλους. ἐπεὶ δὲ οἱ πεντακισχίλιοι παρεγένοντο, τούτους ἀναλαβὼν καὶ τρισχιλίους τοὺς σὺν ἐμαυτῷ στρατιώτας, ἱππεῖς δ' ὀγδοήκοντα, τὴν πορείαν εἰς Χαβωλὼ κώμην, Πτολεμαΐδος μεθόριον οὖσαν, ἐποιησάμην. κἀκεῖ τὰς δυνάμεις συνεῖχον, ἑτοιμάζεσθαι σκηπτόμενος ἐπὶ τὸν πρὸς Πλάκιδον πόλεμον. ἀφίκετο δ' οὗτος μετὰ δύο σπειρῶν πεζοῦ στρατεύματος καὶ ἱππέων ἴλης μιᾶς, ὑπὸ Κεστίου Γάλλου πεμφθείς, ἵν' ἐμπρήσῃ τὰς κώμας τῶν Γαλιλαίων αἳ πλησίον ἦσαν Πτολεμαΐδος. βαλλομένου

Digitized by Google

δ' ἐκείνου χάρακα πρὸ τῆς Πτολεμαέων πόλεως, τίθεμαι κἀγὼ στρατόπεδον, τῆς κώμης ὅσον ἑξήκοντα σταδίους ἀποσχών. πολλάκις μὲν οὖν τὰς δυνάμεις προηγάγομεν ὡς εἰς μάχην, πλέον δ' οὐδὲν ἀκροβολισμῶν ἐπράξαμεν· ὁ γὰρ Πλάκιδος ὅσῳ περ ἐγίνωσκε σπεύδοντά με πρὸς μάχην, αὐτὸς καταπληττόμενος ὑπεστέλλετο. τῆς μέντοι Πτολεμαΐδος οὐκ ἐχωρίζετο.

κατὰ τοῦτον δὲ τὸν καιρὸν ἀφικόμενος Ἰωνάθης 44
μετὰ τῶν συμπρέσβεων ὧν ἔφαμεν ἐκ τῶν Ἱεροσολύμων ὑπὸ τῶν περὶ Σίμωνα καὶ Ἄνανον τὸν ἀρχιερέα πεπέμφθαι, λαβεῖν με δι' ἐνέδρας ἐπεβούλευεν· φανερῶς γὰρ ἐπιχειρεῖν οὐκ ἐτόλμα. γράφει δὲ πρός με τοιαύτην ἐπιστολήν. "Ἰωνάθης καὶ οἱ σὺν αὐτῷ πεμφθέντες ὑπὸ τῶν Ἱεροσολυμιτῶν Ἰωσήπῳ χαίρειν. ἡμεῖς ὑπὸ τῶν ἐν Ἱεροσολύμοις πρώτων, ἀκουσάντων τὸν ἀπὸ Γισχάλων Ἰωάννην ἐπιβεβουλευκέναι σοι πολλάκις, ἐπέμφθημεν ἐπιπλήξοντες αὐτῷ καὶ παραινέσοντες εἰς τὸ λοιπὸν ὑπακούειν σοι. βουλεύσασθαι δὴ σὺν σοὶ θέλοντες περὶ τῶν κοινῇ πρακτέων, παρακαλοῦμεν ἥκειν θᾶττον πρὸς ἡμᾶς, καὶ μὴ μετὰ πολλῶν· οὐδὲ γὰρ ἡ κώμη δύναιτ' ἂν στρατιωτῶν πλῆθος ὑποδέξασθαι." ταῦτα δ' ἔγραφον προσδοκῶντες δυοῖν θάτερον, ἢ ὅτι χωρὶς ὅπλων ἀφικόμενον πρὸς αὐτοὺς ἕξουσιν ὑποχείριον, ἢ πολλοὺς ἐπαγόμενον κρινοῦσι πολέμιον. ἦκε δέ μοι τὴν ἐπιστολὴν ἱππεὺς κομίζων, θρασὺς ἄλλως νεανίας τῶν παρὰ βασιλεῖ ποτὲ στρατευσαμένων· ἦν δ' ὥρα νυκτὸς ἤδη δευτέρα, καθ' ἣν ἐτύγχανον μετὰ τῶν φίλων καὶ τῶν Γαλιλαίας πρώτων ἑστιώμενος. οὗτος δή, προσαγγείλαντος οἰκέτου μοι ἥκειν τινὰ ἱππέα Ἰουδαῖον, εἰσκληθεὶς ἐμοῦ κελεύσαντος ἠσπάσατο μὲν οὐδ' ὅλως, τὴν δὲ ἐπιστολὴν προτείνας "ταύτην" εἶπεν "οἱ ἐξ Ἱεροσολύμων ἥκοντες πεπόμφασί σοι. γράφε δὴ τάχιστα καὶ σύ·

Digitized by Google

καὶ γὰρ ἐπείγομαι πρὸς αὐτοὺς ὑποστρέφειν." οἱ μὲν οὖν κατακείμενοι τὴν τοῦ στρατιώτου τόλμαν ἐθαύμασαν, ἐγὼ δὲ καθίζεσθαι παρεκάλουν καὶ συνδειπνεῖν ἡμῖν. ἀρνησαμένου δὲ τὴν μὲν ἐπιστολὴν μετὰ χεῖρας εἶχον ὡς ἐδεξάμην, πρὸς δὲ τοὺς φίλους περὶ πραγμάτων ἑτέρων τὴν ὁμιλίαν ἐποιούμην. μετ' οὐ πολλὴν δὲ ὥραν ἐξαναστάς, καὶ τοὺς μὲν ἄλλους ἀπολύσας ἐπὶ κοίτην, τέσσαρας δέ μοι μόνον τῶν ἀναγκαίων φίλων προσμεῖναι κελεύσας, καὶ τῷ παιδὶ προστάξας οἶνον ἑτοιμάσαι, τὴν ἐπιστολὴν ἀνεπτύξας μηδενὸς ἐμβλέποντος, πάξ αὐτῆς ταχὺ συνεὶς τὴν τῶν γεγραφότων ἐπίνοιαν, πάλιν αὐτὴν ἐσημηνάμην, καὶ ὡς μὴ προανευρεικώς, ἀλλὰ μετὰ χεῖρας αὐτὴν ἔχων, προσέταξα τῷ στρατιώτῃ θραμὲς εἴκοσιν ἐφόδιον δοθῆναι. τοῦ δὲ λαβόντος καὶ χάριν ἔχειν φήσαντος, συνεὶς τὴν αἰσχροκερδίαν αὐτοῦ καὶ ὡς ταύτῃ μάλιστά ἐστιν ἁλώσιμος, "ἀλλ' εἰ συμπιεῖν ἡμῖν" ἔφην "θελήσειας, λήψει κατὰ κύαθον δραχμὴν μίαν." ὁ δ' ἀσμένως ὑπήκουσεν, καὶ πολὺν τὸν οἶνον προσφερόμενος ὑπὲρ τοῦ πλεῖον λαβεῖν ἀργύριον καὶ μεθυσθεὶς οὐκέτι τὰ ἀπόρρητα στέγειν ἐδύνατο, ἀλλ' ἔφραζεν οὐκ ἐρωτώμενος τήν τε συνεσκευασμένην ἐπιβουλὴν καὶ ὡς κατεψηφισμένος εἴην θάνατον παρ' αὐτοῖς. ταῦτα ἀκούσας ἀντιγράφω τὸν τρόπον τοῦτον. "Ἰώσηπος Ἰωνάθῃ καὶ τοῖς σὺν αὐτῷ χαίρειν. ἐρωμένους ὑμᾶς εἰς τὴν Γαλιλαίαν ἥκειν πυθόμενος ἥδομαι, μάλιστα δ' ὅτι δυνήσομαι, παραδοὺς ὑμῖν τὴν τῶν ἐνθάδε πραγμάτων ἐπιμέλειαν, εἰς τὴν πατρίδα πορευθῆναι· τοῦτο γὰρ καὶ πάλαι ποιεῖν ἤθελον. ἔδει μὲν οὖν μὴ μόνον εἰς Ἰαλὼθ παραγενέσθαι με πρὸς ὑμᾶς ἀλλὰ πόρρω, καὶ μηδὲ κελευσάντων· συγγνώμης δὲ τυχεῖν ἀξιῶ μὴ δυνάμενος τοῦτο ποιῆσαι· παραφυλάσσω γὰρ ἐν Χαβωλὼ Πλάκιδον εἰς τὴν Γαλιλαίαν ἀναβῆναι

Digitized by Google

δι' ἐννοίας ἔχοντα. ἥκετε οὖν ὑμεῖς πρός με τὴν ἐπιστολὴν ἀναγνόντες. ἔρρωσθε."

ταῦτα γράψας καὶ δοὺς τῷ στρατιώτῃ φέρειν, συνεξέπεμψα τριάκοντα τῶν Γαλιλαίων δοκιμωτάτους, ὑποθέμενος αὐτοῖς ἀσπάσασθαι μὲν ἐκείνους, ἕτερον δὲ μηδὲν λέγειν. ἔταξα δὲ καθ' ἕκαστον αὐτῶν πιστῶν ὁπλιτῶν ἕνα παραφυλάξοντα μή τις τοις πεμφθεῖσιν ὑπ' ἐμοῦ πρὸς τοὺς περὶ τὸν Ἰωνάθην ὁμιλία γένηται. καὶ οἱ μὲν ἐπορεύθησαν, οἱ δὲ περὶ τὸν Ἰωνάθην, τῆς πρώτης πείρας ἁμαρτόντες, ἑτέραν ἐπιστολήν μοι τοιαύτην ἔπεμψαν. "Ἰωνάθης καὶ οἱ σὺν αὐτῷ Ἰωσήπῳ χαίρειν. παραγγέλλομέν σοι χωρὶς ὁπλιτῶν εἰς τρίτην παραγενέσθαι πρὸς ἡμᾶς εἰς Γαβαρὼθ κώμην, ἵνα διακούσωμεν τῶν πρὸς Ἰωάννην ἐγκλημάτων σοι γεγονότων." ταῦτα γράψαντες καὶ ἀσπασάμενοι τοὺς Γαλιλαίους οὓς πέπεμφα, ἀφίκοντο εἰς Ἰάφαν κώμην μεγίστην οὖσαν τῶν ἐν τῇ Γαλιλαίᾳ, τείχεσιν ὀχυρωτάτην καὶ πολλῶν οἰκητόρων μεστήν. ὑπηντίαζε δὲ τὸ πλῆθος αὐτοὺς μετὰ γυναικῶν καὶ τέκνων, καὶ κατεβόων κελεύοντες ἀπιέναι καὶ μὴ φθονεῖν αὐτοῖς ἀγαθοῦ τοῦ στρατηγοῦ. παρηρεθίζοντο δὲ ταῖς φωναῖς οἱ περὶ τὸν Ἰωνάθην, καὶ φανερῶν μὲν τὴν ὀργὴν οὐκ ἐτόλμων, οὐκ ἀξιώσαντες δ' αὐτοὺς ἀποκρίσεως εἰς τὰς ἄλλας κώμας ἐπορεύοντο. ὅμοιαι δ' ὑπήντων αὐτοῖς παρὰ πάντων αἱ καταβοήσεις, μετανοεῖσθαι αὐτοὺς βοώντων οὐδένα περὶ τοῦ μὴ στρατηγὸν ἔχειν Ἰώσηπον. ἄπρακτοι δὲ παρὰ τούτων ἀπελθόντες οἱ περὶ τὸν Ἰωνάθην εἰς Σέπφωριν, μεγίστην τῶν ἐν τῇ Γαλιλαίᾳ πόλιν, ἀφικνοῦνται· οἱ δ' ἐντεῦθεν ἄνθρωποι πρὸς Ῥωμαίους ταῖς γνώμαις ἀποβλέποντες ἐκείνοις μὲν ὑπήντων, ἐμὲ δὲ οὔτε ἐπῄνουν οὔτε ἐβλασφήμουν. παρὰ δὲ Σεπφωριτῶν εἰς Ἀσωχὶν καταβάντες, οἱ ἐντεῦθεν παραπλησίως τοῖς Ἰαφηνοῖς κατε-

Digitized by Google

βόων αὐτῶν· οἳ δὲ τὴν ὀργὴν οὐκέτι κατασχόντες κελεύουσι τοῖς μετ' αὐτῶν ὁπλίταις τύπτειν ξύλοις τοὺς καταβοῶντας. κατὰ Γάβαρα δὲ γενομένους ὑπαντιάζει μετὰ τρισχιλίων ὁπλιτῶν Ἰωάννης. ἐγὼ δ' ἐκ τῆς ἐπιστολῆς ἤδη συνεὶς ὅτι διεγνώκασι πρός με πολεμεῖν, ἀναστὰς ἀπὸ Χαβωλὼ μετὰ τρισχιλίων ὁπλιτῶν, καταλιπὼν ἐν τῷ στρατοπέδῳ τὸν πιστότατον τῶν φίλων, εἰς Ἰωτάπατα παρεγενόμην, πλησίον αὐτῶν εἶναι βουλόμενος ὅσον ἀπὸ τεσσαράκοντα σταδίων· καὶ γράφω πρὸς αὐτοὺς τάδε. "εἰ πάντως με πρὸς ὑμᾶς ἐλθεῖν βούλεσθε, διακόσιαι καὶ τέσσαρες κατὰ τὴν Γαλιλαίαν εἰσὶ πόλεις καὶ κῶμαι· τούτων εἰς ἣν θελήσετε παραγενήσομαι χωρὶς Γαβάρων καὶ Γισχάλων· ἢ μὲν γὰρ πατρίς ἐστιν Ἰωάννου, ἡ δὲ σύμμαχος καὶ φίλη."

46 ταῦτα τὰ γράμματα λαβόντες οἱ περὶ τὸν Ἰωνάθην οὐπέτι μὲν ἀντιγράφουσιν, συνέδριον δὲ τῶν φίλων καθιστάντες καὶ τὸν Ἰωάννην παραλαβόντες ἐβουλεύοντο τίνα τρόπον ἐπιχειρήσωσί μοι. καὶ Ἰωάννῃ μὲν ἐδόκει γράφειν πρὸς πάσας τὰς ἐν τῇ Γαλιλαίᾳ πόλεις καὶ κώμας· εἶναι γὰρ ἐν ἑκάστῃ πάντως ἕνα γρῦν καὶ δεύτερον διάφορον ἐμοί, καὶ καλεῖν τούτους ὡς ἐπὶ πολέμιον. πέμπειν δ' ἐκέλευε τὸ δόγμα τοῦτο καὶ εἰς τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν, ἵνα κἀκεῖνοι γνόντες ὑπὸ τῶν Γαλιλαίων κεκρίσθαι με πολέμιον καὶ αὐτοὶ ψηφίσωνται· γενομένου γὰρ τούτου καὶ τοὺς εὔνους ἔχοντάς μοι Γαλιλαίους ἐγκαταλείψειν ἔφη φοβηθέντας. ταῦτα συμβουλεύσαντος Ἰωάννου, σφόδρα καὶ τοῖς ἄλλοις ἤρεσε τὰ λεχθέντα. περὶ δὲ ὥραν τῆς νυκτὸς τρίτην εἰς γνῶσιν ἦκέ μοι ταῦτα, Σακχαίου τῶν σὺν αὐτοῖς τινὸς αὐτομολήσαντος πρός με καὶ τὴν ἐπιχείρησιν αὐτῶν ἀπαγγείλαντος. οὐκέτι δὲ ἤδειν ὑπερτίθεσθαι τὸν καιρόν, ἄξιον δὲ κρίνας Ἰάκωβον ὁπλίτην τῶν περὶ

Digitized by Google

ἐμὲ πιστῶν κελεύω διακοσίους ὁπλίτας λαβόντα φρουρεῖν τὰς ἀπὸ Γαβάρων εἰς τὴν Γαλιλαίαν ἐξόδους, καὶ τοὺς παριόντας συλλαμβάνοντα πρὸς ἐμὲ πέμπειν, μάλιστα δὲ τοὺς μετὰ γραμμάτων ἁλισκομένους. Ἱερεμίαν δὲ καὶ αὐτὸν ἐκ τῶν φίλων μου μετὰ ἑξακοσίων ὁπλιτῶν εἰς τὴν μεθόριον τῆς Γαλιλαίας ἔπεμψα, τὰς ἀπὸ ταύτης εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν ὁδοὺς παραφυλάξοντα, πρόσταγμα δοὺς κἀκείνῳ τοὺς μετ' ἐπιστολῶν ὁδεύοντας συλλαμβάνειν, καὶ τοὺς μὲν ἄνδρας ἐν δεσμοῖς ἐπὶ τόπου φυλάττειν, τὰ δὲ γράμματα πρὸς ἐμὲ διαπέμπειν.

ταῦτα τοῖς πεμπομένοις ἐντειλάμενος, Γαλιλαίοις 47
διήγγειλα κελεύων εἰς τὴν ἐπιοῦσαν ἀναλαβόντας τὰ ὅπλα καὶ τριῶν ἡμερῶν τροφὴν εἰς Γαβαρὼθ κώμην παραγενέσθαι πρός με. τῶν δὲ περὶ ἐμὲ ὁπλιτῶν μοίρας τέτταρας νείμας, τοὺς πιστοτάτους αὐτῶν περὶ τὴν τοῦ σώματος φυλακὴν ἔταξα, ταξιάρχους αὐτοῖς ἐπιστήσας, καὶ φροντίζειν κελεύσας ὑπὲρ τοῦ μηδένα στρατιώτην ἄγνωστον αὐτοῖς συναναμίγνυσθαι. τῇ δ' ἐπιούσῃ περὶ πέμπτην ὥραν ἐν Γαβαρὼθ γενόμενος εὑρίσκω πᾶν τὸ πεδίον τὸ πρὸ τῆς κώμης ὁπλιτῶν πλῆρες, τῶν ἐκ τῆς Γαλιλαίας ἐπὶ τὴν συμμαχίαν παρόντων, ὡς αὐτοῖς παρηγγέλκειν· πολὺς δὲ καὶ ἄλλος ἐκ τῶν κωμῶν ὄχλος συνέτρεχεν. ἐπεὶ δὲ κατάστας εἰς αὐτοὺς λέγειν ἠρξάμην, ἐβόων ἅπαντες εὐεργέτην καὶ σωτῆρα τῆς χώρας αὐτῶν καλοῦντες. κἀγὼ χάριν αὐτοῖς ἔχειν ὁμολογήσας συνεβούλευον πρὸς μηδένα μήτε πολεμεῖν μήτε ἁρπαγῇ μολύνειν τὰς χεῖρας, ἀλλὰ σκηνοῦν κατὰ τὸ πεδίον ἀρκουμένους τοῖς ἑαυτῶν ἐφοδίοις· θέλειν γὰρ ἔφασκον τὰς ταραχὰς χωρὶς φόνων καταστεῖλαι. συνέβη δὲ αὐθημερὸν εἰς τὰς ὑπ' ἐμοῦ κατασταθείσας τῶν ὁδῶν φυλακὰς τοὺς παρὰ τοῦ Ἰωνάθου πεμφθέν-

Digitized by Google

τας μετὰ τῶν ἐπιστολῶν ἐμπεσεῖν. καὶ οἱ μὲν ἄνδρες ἐφυλάχθησαν ἐπὶ τῶν τόπων, ὡς παρήγγειλα, τοῖς δὲ γράμμασιν ἐντυχὼν πλήρεσι βλασφημιῶν καὶ ψευσμάτων, οὐδενὶ ταῦτα φράσας, ὁρμᾶν ἐπ' αὐτοὺς διενοούμην.

48 ἀκούσαντες δὲ οἱ περὶ τὸν Ἰωνάθην περὶ τῆς ἐμῆς ἀφίξεως, τοὺς ἰδίους πάντας ἀναλαβόντες καὶ τὸν Ἰωάννην ὑπεχώρησαν εἰς τὴν Ἰησοῦ οἰκίαν· βᾶρις δ' ἦν αὕτη μεγάλη καὶ οὐδὲν ἀκροπόλεως ἀποδέουσα. κρύψαντες οὖν λόχον ὁπλιτῶν ἐν αὐτῇ, καὶ τὰς ἄλλας ἀποκλείσαντες θύρας, μίαν δὲ ἀνοίξαντες, προσεδόκων ἥξειν ἐκ τῆς ὁδοῦ με πρὸς αὐτοὺς ἀσπασόμενον. καὶ δὴ διδόασιν ἐντολὰς τοῖς ὁπλίταις, ἐπειδὰν παραγένωμαι, μόνον εἰσελθεῖν ἐᾶσαι, τοὺς ἄλλους ἀπείρξαντας· οὕτω γὰρ ᾤοντό με γενήσεσθαι ῥᾳδίως αὐτοῖς ὑποχείριον. ἐψεύσθησαν δὲ τῆς ἐλπίδος. ἐγὼ γὰρ τὴν ἐπιβουλὴν προαισθόμενος, ὡς ἐκ τῆς ὁδοῦ παρεγενόμην, καταλύσας ἄντικρυς αὐτῶν καθεύδειν ἐσκηπτόμην. καὶ οἱ περὶ τὸν Ἰωνάθην ὑπολαμβάνοντες ὄντως ἀνακαύεσθαί με καθυπνωμένον, ὥρμησαν καταβάντες εἰς τὸ πεδίον μεταπείθειν αὐτοὺς ὡς ἐμοῦ κακῶς στρατηγοῦντος. τἀναντία δὲ αὐτοῖς συνέπεσεν· ὀφθέντων γὰρ εὐθὺς ἐγένετο βοὴ παρὰ τῶν Γαλιλαίων πρὸς ἐμὲ τὸν στρατηγὸν εὐνοίας ἀξία, κατάμεμψίν τε ἐποιοῦντο τῶν περὶ τὸν Ἰωνάθην, ὅτι πάρεισιν οὐδὲν μὲν αὐτοὶ κακὸν προπεπονθότες, ἀνατρέψοντες δὲ τὰ ἐκείνων πράγματα. καὶ παρεκελεύοντο ἀπιέναι· μὴ γὰρ ἄν ποτε μεταπεισθῆναι προστάτην ἕτερον ἀντ' ἐμοῦ λαβεῖν. τούτων ἀπαγγελθέντων μοι προελθεῖν εἰς μέσους οὐκ ὤκνησα. κατέβαινον οὖν εὐθέως αὐτὸς τί λέγουσιν οἱ περὶ τὸν Ἰωνάθην ἀκουόμενος. προελθόντος δέ μου πρότος παρὰ παντὸς τοῦ πλήθους εὐθὺς ἦν, καὶ μετ' εὐφημιῶν

Digitized by Google

ἐπιβοήσεις χάριν ἔχειν ὁμολογούντων τῇ ἐμῇ στρατηγίᾳ. ταῦτα δ' οἱ περὶ τὸν Ἰωνάθην ἀκούοντες ἐφοβήθησαν 49
μὴ καὶ κινδυνεύσωσιν ἀποθανεῖν, ἐπ' αὐτοὺς ὁρμησάντων τῶν Γαλιλαίων κατὰ τὴν πρὸς ἐμὲ χάριν. θρασμὸν
5 οὖν ἐπενόουν. μὴ δυνηθέντες δὲ ἀπελθεῖν (προσμεῖναι γὰρ αὐτοὺς ἠξίωσα) κατηφεῖς ὑπέμειναν, ἑνστησόμενοι τῷ λόγῳ. προστάξας οὖν τῷ μὲν πλήθει τὰς εὐφημίας ἐπισχεῖν, καὶ τῶν ὁπλιτῶν τοὺς πιστοτάτους ταῖς ὁδοῖς ἐπιστήσας ὑπὲρ τοῦ φρουρεῖν μὴ ἀπροσδοκήτως ἡμῖν ὁ
10 Ἰωάννης ἐπιπέσῃ, παραινέσας δὲ καὶ τοῖς Γαλιλαίοις ἀναλαβεῖν τὰ ὅπλα, μὴ πρὸς τὴν ἔφοδον τῶν πολεμίων, ἐὰν γένηταί τις αἰφνίδιος, ταραχθῶσιν, πρῶτον τῆς ἐπιστολῆς τοὺς περὶ τὸν Ἰωνάθην ὑπεμίμνησκον, ὃν τρόπον γράψειαν ὑπὸ τοῦ κοινοῦ τῶν Ἱεροσολυμιτῶν πε-
15 πέμφθαι διαλύσοντές μου τὰς πρὸς τὸν Ἰωάννην φιλονεικίας, ὡς παρακαλέσειάν τέ με πρὸς αὐτοὺς ἀφικέσθαι. καὶ ταῦτα διεξιὼν τὴν ἐπιστολὴν εἰς μέσους προὐτεινον, ἵνα μηδὲν ἀρνήσασθαι δυνηθῶσιν, ἐλεγχόντων αὐτοὺς τῶν γραμμάτων. "καὶ μήν" ἔφην, "Ἰωνάθη
20 ὑμεῖς τε οἱ συμπρέσβεις, εἰ πρὸς Ἰωάννην κρινόμενος, ὑπὲρ τοῦ παραστῆσαι τὸν ἐμαυτοῦ βίον, δύο τινὰς ἢ τρεῖς μάρτυρας καλοὺς κἀγαθοὺς ἤγαγον, δῆλον ὡς ἀνάγκην ἂν εἴχετε, προεξετάσαντες καὶ τοὺς τούτων βίους, ἀπαλλάξαι με τῶν ἐγκλημάτων. ἵν' οὖν γνῶτε
25 καλῶς πεπρᾶχθαί μοι τὰ κατὰ τὴν Γαλιλαίαν, τρεῖς μὲν μάρτυρας ὀλίγους εἶναι νομίζω τῷ καλῶς βεβιωκότι, τούτους δὲ πάντας ὑμῖν δίδωμι. παρὰ τούτων οὖν πύθεσθε τίνα τρόπον ἐβίωσα, εἰ μετὰ πάσης σεμνότητος καὶ πάσης ἀρετῆς ἐνθάδε πεπολίτευμαι. καὶ δὴ ὁρκίζω
30 ὑμᾶς, ὦ Γαλιλαῖοι, μηδὲν ἐπικρύψασθαι τῆς ἀληθείας, λέγειν δ' ἐπὶ τούτων, ὡς δικαστῶν, εἴ τι μὴ καλῶς πέπρακται."

Digitized by Google

50 ταῦτ' ἔτι λέγοντός μου κοιναὶ παρὰ πάντων ἐγίνοντο φωναί, καλούντων εὐεργέτην με καὶ σωτῆρα· καὶ περὶ μὲν τῶν πεπραγμένων ἐμαρτύρουν, περὶ δὲ τῶν πραχθησομένων παρεκάλουν. πάντες δ' ὤμνυον ἀνυβρίστους μὲν ἔχειν τὰς γυναῖκας, λελυπῆσθαι δὲ μηδέποτε μηδένα ὑπ' ἐμοῦ. μετὰ τοῦτο δύο τῶν ἐπιστολῶν ἃς οἱ κατασταθέντες ὑπ' ἐμοῦ φρουροί, πεμφθείσας ὑπὸ τῶν περὶ τὸν Ἰωνάθην ἑλόντες, ἀπεστάλκεισαν πρὸς ἐμέ, παρανεγίνωσκον τοῖς Γαλιλαίοις, πολλῶν βλασφημιῶν πλήρεις καὶ καταψευδομένας ὅτι τυραννίδι μᾶλλον ἢ στρατηγίᾳ χρῶμαι κατ' αὐτῶν· ἕτερά τε πολλὰ πρὸς τούτοις ἐνεγέγραπτο μηδὲν παραλιπόντων ἀναισχύντου ψευδολογίας. ἔφην δ' ἐγὼ πρὸς τὸ πλῆθος τὰ γράμματα λαβεῖν δόντων ἑκουσίως τῶν κομιζόντων· οὐ γὰρ ἐβουλόμην τὰ περὶ τὰς φρουρὰς τοὺς ἐναντίους εἰδέναι, μὴ δείσαντες τοῦ γράφειν ἀποστῶ-
51 σιν. ταῦτ' ἀκοῦσαν τὸ πλῆθος σφόδρα παροξυνθὲν ἐπὶ τὸν Ἰωνάθην ὥρμα καὶ τοὺς σὺν αὐτῷ συμπαρόντας ὡς διαφθεροῦντες. κἂν ἐπεπράχεισαν τὸ ἔργον, εἰ μὴ τοὺς μὲν Γαλιλαίους ἔπαυσα τῆς ὀργῆς, τοῖς περὶ τὸν Ἰωνάθην δ' ἔφην συγγινώσκειν τῶν ἤδη πεπραγμένων, εἰ μέλλοιεν μετανοήσειν καὶ πορευθέντες εἰς τὴν πατρίδα λέγοιεν τοῖς πέμψασι τἀληθῆ περὶ τῶν ἐμοὶ πεπολιτευμένων. ταῦτ' εἰπὼν ἀπέλυον αὐτούς, καίτοι γινώσκων ὅτι μηδὲν ὧν ὑπέσχοντο ποιήσουσιν. τὸ πλῆθος δὲ εἰς ὀργὴν ἐξεκαίετο κατ' αὐτῶν, κἀμὲ παρεκάλουν ἐπιτρέπειν αὐτοῖς τιμωρήσασθαι τοὺς τοιαῦτα τολμήσαντας. παντοίως μὲν οὖν ἐγινόμην πείθων αὐτοὺς φείσασθαι τῶν ἀνδρῶν· πᾶσαν γὰρ ᾔδειν στάσιν ὄλεθρον οὖσαν τοῦ κοινῇ συμφέροντος· τὸ δὲ πλῆθος ἔσχε τὴν κατ' αὐτῶν ὀργὴν ἀμετάβλητον, καὶ πάντες ὥρμησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ κατέλυον οἱ περὶ τὸν Ἰωνάθην. ἐγὼ δὲ συν-

Digitized by Google

ορῶν τὴν ὁρμὴν οὖσαν αὐτῶν ἀνεπίσχετον, ἀναπηδήσας ἐφ' ἵππον ἐκέλευσα τοῖς πλήθεσι πρὸς Σωγάνην κώμην ἕπεσθαι, Γαβάρων ἀπέχουσαν εἴκοσι στάδια. καὶ τοιούτῳ στρατηγήματι χρησάμενος παρέσχον ἐμαυτῷ τὸ μὴ δοκεῖν ἐμφυλίου πολέμου κατάρχειν.

ἐπεὶ δὲ περὶ τοὺς Σωγανέας ἐγενόμην, ἐπιστήσας τὸ πλῆθος, καὶ παραινέσει χρησάμενος περὶ τοῦ μὴ πρὸς τὰς ὀργὰς καὶ ταῦτ' ἐπ' ἀνηκέστοις τιμωρίαις ὀξέως φέρεσθαι, κελεύω τοὺς καθ' ἡλικίαν ἤδη προβεβηκότας καὶ πρώτους παρ' αὐτοῖς ἑκατὸν ἄνδρας ὡς πορευσομένους εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν εὐτρεπίζεσθαι, μέμψιν ποιησομένους ἐπὶ τοῦ δήμου τῶν τὴν χώραν αὐτῶν διαστασιαζόντων· "καὶ ἂν ἐπικλασθῶσιν" ἔφην "πρὸς τοὺς λόγους ὑμῶν, παρακαλέσετε τὸ κοινὸν γράψαι πρὸς ἐμέ, μένειν κελεύοντας ἐπὶ τῇ Γαλιλαίᾳ, τοὺς δὲ περὶ τὸν Ἰωνάθην ἀναχωρεῖν ἐκεῖθεν." ταύτας αὐτοῖς τὰς ὑποθήκας δούς, ἐναρμοσαμένων τε ταχέως ἐκείνων, ἡμέρᾳ τρίτῃ μετὰ τὴν ἐκκλησίαν τὴν ἀποστολὴν ἐποιησάμην, συμπέμψας ὁπλίτας πενταποσίους. ἔγραψα δὲ καὶ τοῖς ἐν Σαμαρείᾳ φίλοις προνοήσασθαι τοῦ ἀσφαλῆ γενέσθαι τὴν πορείαν αὐτοῖς· ἤδη γὰρ ὑπὸ Ῥωμαίοις ἦν ἡ Σαμάρεια, καὶ πάντως ἔδει τοὺς ταχὺ βουλομένους ἀπελθεῖν δι' ἐκείνης πορεύεσθαι· τρισὶ γὰρ ἡμέραις ἀπὸ Γαλιλαίας ἔνεστιν οὕτως εἰς Ἱεροσόλυμα καταλῦσαι. συμπαρέπεμψα δὲ τοὺς πρέσβεις κἀγὼ μέχρι τῶν τῆς Γαλιλαίας ὅρων, φύλακας ἐπιστήσας ταῖς ὁδοῖς ὑπὲρ τοῦ μὴ ῥᾳδίως τινὰ μαθεῖν ἀπαλλαττομένους. καὶ ταῦτα πράξας ἐν Ἰάφοις τὴν διατριβὴν ἐποιούμην.

οἱ δὴ περὶ τὸν Ἰωνάθην διαμαρτόντες τῆς κατ' ἐμοῦ πράξεως, Ἰωάννην ἀπέλυσαν εἰς τὰ Γίσχαλα, αὐτοὶ δὲ εἰς τὴν Τιβεριέων πόλιν πεπόρευντο λήψεσθαι προσδοκῶντες αὐτὴν ὑποχείριον, ἐπειδὴ καὶ Ἰησοῦς ὁ κατὰ

Digitized by Google

τὸν καιρὸν τοῦτον ἐκείνων ἄρχων ἐγεγράφει πρὸς αὐτούς, πείσειν ἐπαγγελλόμενος τὸ πλῆθος ἐλθόντας ὑποδέχεσθαι καὶ αὐτοῖς ἐλέσθαι προστεθῆναι. ἐκεῖνοι μὲν ἐπὶ τοιαύταις ἐλπίσιν ἀπῆλθον, ἀπαγγέλλει δέ μοι ταῦτα Σίλας διὰ γραμμάτων, ὃν ἔφην τῆς Τιβεριάδος ἐπιμελητὴν καταλελοιπέναι, καὶ σπεύδειν ἠξίου. κἀγὼ ταχέως ὑπακούσας αὐτῷ καὶ παραγενόμενος εἰς κίνδυνον ἀπωλείας κατέστην ἐξ αἰτίας τοιαύτης. οἱ περὶ τὸν Ἰωνάθην γενόμενοι παρὰ τοῖς Τιβεριεῦσι, καὶ πολλοὺς πείσαντες ἀποστῆναί μου διαφόρους ὄντας, ὡς ἤκουσαν τὴν ἐμὴν παρουσίαν, δείσαντες περὶ αὑτῶν ἦλθον πρὸς ἐμέ, καὶ ἀσπασάμενοι μακαρίζειν ἔλεγον οὕτω περὶ τὴν Γαλιλαίαν ἀναστραφέντα, συνήδεσθαί τε διὰ τιμῆς ἀγομένῳ· κόσμον γὰρ αὐτῶν εἶναι τὴν ἐμὴν δόξαν ἔφασαν ὡς ἂν διδασκάλων τ' ἐμοῦ γενομένων καὶ πολιτῶν. δικαιοτέραν τε τῆς Ἰωάννου τὴν ἐμὴν πρὸς αὐτοὺς φιλίαν ὑπάρχειν ἔλεγον, καὶ σπεύδειν μὲν εἰς τὴν οἰκείαν ἀπελθεῖν, περιμένειν δ' ἕως ὑποχείριον τὸν Ἰωάννην ἐμοὶ ποιήσωσιν. καὶ ταῦτα λέγοντες ἐπώμοσαν τοὺς φρικωδεστάτους ὅρκους παρ' ἡμῖν, δι' οὓς ἀπιστεῖν οὐ θεμιτὸν ἡγούμην. καὶ δὴ παρακαλοῦσί με τὴν κατάλυσιν ἀλλαχοῦ ποιήσασθαι διὰ τὸ τὴν ἐπιοῦσαν ἡμέραν εἶναι σάββατον· ὀχλ[illegible]σθαι δὲ μὴ δεῖν ὑπ' αὐτῶν τὴν πόλιν
54 τῶν Τιβεριέων ἔφασκον. κἀγὼ μηδὲν ὑπονοήσας ἐς τὰς Ταριχαίας ἀπῆλθον, καταλιπὼν ὅμως ἐν τῇ πόλει τοὺς πολυπραγμονήσοντας εἴ τι περὶ ἡμῶν λέγοιτο. διὰ πάσης δὲ τῆς ὁδοῦ τῆς ἀπὸ Ταριχαιῶν εἰς Τιβεριάδα φερούσης ἐπέστησα πολλούς, ἵνα μοι δι' ἀλλήλων σημήνωσιν ἅπερ ἂν παρὰ τῶν ἐν τῇ πόλει καταλειφθέντων πυνθάνωνται. κατὰ τὴν ἐπιοῦσαν οὖν ἡμέραν συνάγονται πάντες εἰς τὴν προσευχήν, μέγιστον οἴκημα κολὺν ὄχλον ἐπιδέξασθαι δυνάμενον. εἰσελθὼν δὲ ὁ Ἰωνάθης

Digitized by Google

φανερῶς μὲν περὶ τῆς ἀποστάσεως οὐκ ἐτόλμα λέγειν, ἔφη δὲ στρατηγοῦ κρείττονος χρείαν τὴν πόλιν αὐτῶν ἔχειν. Ἰησοῦς δ' ἄρχων οὐδὲν ὑποστειλάμενος ἀναφανδὸν εἶπεν "ἄμεινόν ἐστιν, ὦ πολῖται, τέσσαρσιν ἡμᾶς ἀνδράσιν ὑπακούειν ἢ ἑνί, καὶ κατὰ γένος λαμπροῖς καὶ κατὰ σύνεσιν οὐκ ἀδόξοις." ὑπεδείκνυε δὲ τοὺς περὶ Ἰωνάθην. ταῦτ' εἰπόντα τὸν Ἰησοῦν ἐπῆνει παρελθὼν Ἰοῦστος, καί τινας ἐκ τοῦ δήμου συνέπειθεν. οὐκ ἠρέσκετο δὲ τοῖς λεχθεῖσι τὸ πλῆθος, καὶ πάντως ἂν εἰς στάσιν ἐχώρησαν, εἰ μὴ τὴν σύνοδον διέλυσεν ἐπελθοῦσα ἕκτη ὥρα, καθ' ἣν τοῖς σάββασιν ἀριστοποιεῖσθαι νόμιμόν ἐστιν ἡμῖν. καὶ οἱ περὶ τὸν Ἰωνάθην εἰς τὴν ἐπιοῦσαν ὑπερθέμενοι τὴν βουλὴν ἀπῆεσαν ἄπρακτοι. εὐθὺς δέ μοι τούτων ἀπαγγελθέντων πρωῒ διέγνων εἰς τὴν Τιβεριέων πόλιν ἀφικέσθαι. καὶ τῇ ἐπιούσῃ περὶ πρώτην ὥραν ἦκον ἀπὸ τῶν Ταριχαιῶν, καταλαμβάνω δὲ συναγόμενον ἤδη τὸ πλῆθος εἰς τὴν προσευχήν· ἐφ' ὅ τι δ' ἦν αὐτοῖς σύνοδος, οὐκ ἐγίνωσκον οἱ συλλεγόμενοι. οἱ δὲ περὶ τὸν Ἰωνάθην ἀπροσδοκήτως θεασάμενοί με παρόντα διεταράχθησαν· εἶτ' ἐπινοοῦσι διαδοῦναι λόγον ὅτι Ῥωμαίων ἱππεῖς ἐν τῇ μεθορίῳ πόρρω τριάκοντα σταδίων ἀπὸ τῆς πόλεως, κατὰ τόπον λεγόμενον Ὁμόνοιαν, εἰσὶν ἑωραμένοι. καὶ προσαγγελθέντων τούτων ἐξ ὑποβολῆς παρεκάλουν οἱ περὶ τὸν Ἰωνάθην μὴ περιιδεῖν ὑπὸ τῶν πολεμίων λεηλατουμένην αὐτῶν τὴν γῆν. ταῦτα δ' ἔλεγον δι' ἔννοίας ἔχοντες ἐμὲ προφάσει τῆς κατεπειγούσης βοηθείας μεταστήσαντες αὐτοὶ τὴν πόλιν ἐχθράν μοι κατασκευάσαι. ἐγὼ δὲ καίπερ εἰδὼς αὐτῶν τὸ ἐνθύμημα ὅμως 55
ὑπήκουσα, μὴ δόξαν παράσχω τοῖς Τιβεριεῦσιν οὐ προνοούμενος αὐτῶν τῆς ἀσφαλείας. ἐξῆλθον οὖν, καὶ γενόμενος κατὰ τὸν τόπον, ὡς οὐδ' ἴχνος πολεμίων εὗ-

Digitized by Google

ρον, ὑποστρέφω συντόνως ὀδεύσας, καὶ καταλαμβάνω τήν τε βουλὴν πᾶσαν συνεληλυθυῖαν καὶ τὸν δημοτικὸν ὄχλον, ποιουμένους τε πολλὴν κατηγορίαν μου τοὺς περὶ τὸν Ἰωνάθην ὡς τοῦ μὲν τὸν πόλεμον ἐπελαφρύνειν αὐτοῖς ἀμελοῦντος, ἐν τρυφαῖς δὲ διάγοντος. ταῦτα δὲ λέγοντες προύφερον ἐπιστολὰς τέσσαρας ὡς ἀπὸ τῶν ἐν τῇ μεθορίᾳ τῆς Γαλιλαίας γεγραμμένας πρὸς αὐτούς, ἐπὶ βοήθειαν ἥκειν παρακαλούντων (Ῥωμαίων γὰρ δύναμιν μέλλειν ἱππέων τε καὶ πεζῶν εἰς τρίτην ἡμέραν τὴν χώραν αὐτῶν λεηλατεῖν) ἐπισπεύδειν τε καὶ μὴ περιοφθῆναι δεομένων. ταῦτ' ἀκούσαντες οἱ Τιβεριεῖς, λέγειν ἀληθῆ δόξαντες αὐτούς, καταβοήσεις ἐποιοῦντο, μὴ καθέζεσθαί με δεῖν λέγοντες, ἀλλ' ἀπελθεῖν ἐπικουρήσοντα τοῖς ὁμοεθνέσιν αὐτῶν. πρὸς ταῦτ' ἐγὼ (συνῆκα γὰρ τὴν ἐπίνοιαν τῶν περὶ τὸν Ἰωνάθην) ὑπακούσεσθαι μὲν ἔφην ἑτοίμως, καὶ χωρὶς ἀναβολῆς ὁρμήσειν πρὸς τὸν πόλεμον ἐπηγγειλάμην· συνεβούλευον δ' ὅμως, ἐπεὶ τὰ γράμματα κατὰ τέσσαρας τόπους Ῥωμαίους σημαίνει προσβαλεῖν, εἰς πέντε μοίρας διελόντας τὴν δύναμιν ἑκάστῃ τούτων ἐπιστῆσαι τοὺς περὶ τὸν Ἰωνάθην καὶ τοὺς ἑταίρους αὐτοῦ· πρέπειν γὰρ ἀνδράσιν ἀγαθοῖς μὴ μόνον συμβουλεύειν, ἀλλὰ καὶ χρείας ἐπειγούσης ἡγουμένους βοηθεῖν· ἐγὼ γὰρ πλὴν μιᾶς μοίρας οὐκ ἔφην ἀφηγεῖσθαι δυνατὸς εἶναι. σφόδρα τῷ πλήθει συνήρεσεν ἡ ἐμὴ συμβουλία. κἀκείνους οὖν ἠνάγκαζον ἐπὶ τὸν πόλεμον ἐξιέναι. τοῖς δ' οὐχὶ μετρίως συνεχύθησαν αἱ γνῶμαι μὴ κατεργασαμένοις ἃ διενοήθησαν, ἐμοῦ τοῖς ἐπιχειρήμασιν αὐτῶν ἀντιστρατηγήσαντος.

56 εἷς δέ τις ἐξ αὐτῶν Ἀνανίας τοὔνομα, πονηρὸς ἀνὴρ καὶ κακοῦργος, εἰσηγεῖτο τοῖς πλήθεσι πανδημεὶ νηστείαν εἰς τὴν ἐπιοῦσαν τῷ θεῷ προθέσθαι, καὶ κατὰ

Digitized by Google

τὴν αὐτὴν ὥραν ἐκέλευσεν εἰς τὸν αὐτὸν τόπον ἀνόπλους παρεῖναι, τῷ θεῷ φανερὸν ποιήσοντας ὅτι μὴ τῆς παρ' ἐκείνου τυγχάνοντες βοηθείας πᾶν ὅπλον ἄχρηστον εἶναι νομίζουσιν. ταῦτα δ' ἔλεγεν οὐ δι' εὐσέβειαν, ἀλλ' ὑπὲρ τοῦ λαβεῖν ἄνοπλόν με καὶ τοὺς ἐμούς. κἀγὼ δι' ἀνάγκην ὑπήκουον, μὴ δόξω καταφρονεῖν τῆς περὶ τὴν εὐσέβειαν ὑποθήκης. ὡς οὖν ἀνεχωρήσαμεν ἐπὶ τὰ ἑαυτῶν, οἱ μὲν περὶ τὸν Ἰωνάθην γράφουσι τῷ Ἰωάννῃ, πρὸς αὐτοὺς ἔωθεν ἀφικέσθαι κελεύοντες μεθ' ὅσων ἂν στρατιωτῶν δυνηθῇ· λήψεσθαι γὰρ εὖ ἐμὲ ὑποχείριον καὶ ποιήσειν ὅπερ ἔχοι δι' εὐχῆς. δεξάμενος δὲ τὴν ἐπιστολὴν ἐκεῖνος ὑπακούειν ἔμελλεν. ἐγὼ δὲ τῆς ἐπιούσης ἡμέρας δύο τῶν περὶ ἐμὲ σωματοφυλάκων, τοὺς κατ' ἀνδρείαν δοκιμωτάτους καὶ κατὰ πίστιν βεβαίους, κελεύω ξιφίδια κρύψαντας ὑπὸ τὰς ἐσθῆτας ἐμοὶ συμπροελθεῖν, ἵν' εἴ γένοιτο παρὰ τῶν ἐχθρῶν ἐπίθεσις ἀμυνώμεθα. θώρακα δ' ἔλαβον αὐτός, καὶ μάχαιραν ὑπεζωσάμην ὡς οἷόν τε ἦν ἀφανέστατα, καὶ ἦλθον εἰς τὴν προσευχήν.

τοὺς μὲν οὖν σὺν ἐμοὶ πάντας ἐκκλεῖσαι προσέταξεν 57
Ἰησοῦς ὁ ἄρχων (αὐτὸς γὰρ ταῖς θύραις ἐφειστήκει), μόνον δὲ μετὰ τῶν φίλων εἰσελθεῖν εἴασεν. ἤδη δ' ἡμῶν τὰ νόμιμα ποιούντων καὶ εἰς εὐχὰς τραπομένων, ἀναστὰς ὁ Ἰησοῦς περὶ τῶν ληφθέντων ἐκ τοῦ ἐμπρησμοῦ τῆς βασιλικῆς αὐλῆς σκευῶν καὶ τοῦ ἀσήμου ἀργυρίου ἐπυνθάνετό μου παρὰ τίνι τυγχάνει κείμενα. ταῦτα δ' ἔλεγε διατρίβειν τὸν χρόνον βουλόμενος, ἕως ἂν ὁ Ἰωάννης παραγένηται. κἀγὼ πάντα Κάπελλον ἔχειν ἔφην καὶ τοὺς δέκα πρώτους Τιβεριέων, ἀνακρίναι δ' αὐτοὺς ἔφην εἰ ψεύδομαι. τῶν δὲ παρ' ἑαυτοῖς εἶναι λεγόντων, "οἱ δ' εἰκοσιν" εἶπε "χρυσοῦ οὓς ἔλαβες πωλήσας τινὰ σταθμὸν ἀσήμου, τί γεγόνασιν;" καὶ τούτους ἔφην δε-

Digitized by Google

δωκέναι πρέσβεσιν αὐτῶν ἐφόδιον πεμφθεῖσιν εἰς Ἱεροσόλυμα. πρὸς ταῦτα οἱ μὲν περὶ τὸν Ἰωνάθην οὐ καλῶς ἔφασαν πεποιηκέναι με δόντα τοῖς πρέσβεσι τὸν μισθὸν ἐκ τοῦ κοινοῦ. παροξυνθέντος δὲ τοῦ πλήθους ἐπὶ τούτοις (ἐνόησαν γὰρ τῶν ἀνθρώπων τὴν πονηρίαν) συνεὶς ἐγὼ στάσιν μέλλουσαν ἐξάπτεσθαι, καὶ προσεξερεθίσαι μᾶλλον βουλόμενος τὸν δῆμον ἐπὶ τοὺς ἀνθρώπους, "ἀλλ' εἴ γε μὴ ὀρθῶς" εἶπον "ἔπραξα δοὺς τὸν μισθὸν ἐκ τοῦ κοινοῦ τοῖς πρέσβεσιν ὑμῶν, παύσασθε χαλεπαίνοντες· ἐγὼ γὰρ τοὺς εἴκοσι χρυσοῦς αὐ-
58 τὸς ἀποτίσω." ταῦτ' εἰπόντος οἱ μὲν περὶ τὸν Ἰωνάθην ἡσύχασαν, ὁ δὲ δῆμος ἔτι μᾶλλον κατ' αὐτῶν παρωξύνθη, φανερὰν ἐπιδεικνυμένων τὴν ἄδικον πρὸς ἐμὲ δυσμένειαν. συνιδὼν δὲ τὴν μεταβολὴν Ἰησοῦς τὸν μὲν δῆμον ἐκέλευσεν ἀναχωρεῖν, προσμεῖναι δὲ τὴν βουλὴν ἠξίωσεν· οὐ γὰρ δύνασθαι θορυβουμένους περὶ πραγμάτων τοιούτων τὴν ἐξέτασιν ποιεῖσθαι. τοῦ δὲ δήμου βοῶντος μὴ καταλείψειν παρ' αὐτοῖς ἐμὲ μόνον, ἥκέ τις ἀγγέλλων κρύφα τοῖς περὶ τὸν Ἰησοῦν Ἰωάννην μετὰ τῶν ὁπλιτῶν πλησιάζειν. καὶ οἱ περὶ τὸν Ἰωνάθην οὐκέτι κατασχόντες αὑτούς, τάχα καὶ τοῦ θεοῦ προνοοῦντος τῆς ἐμῆς σωτηρίας (μὴ γὰρ ἂν γενομένου τούτου πάντως ὑπὸ τοῦ Ἰωάννου διεφθάρην), "παύσασθε" ἔφη, "ὦ Τιβεριεῖς, τὴν ζήτησιν εἴκοσι χρυσῶν ἕνεκεν· διὰ τούτους μὲν γὰρ οὐκ ἄξιός ἐστιν Ἰώσηπος ἀποθανεῖν, ὅτι δὲ τυραννεῖν μὲν ἐπεθύμησε, καὶ τὰ Γαλιλαίων πλήθη λόγοις ἀπατήσας τὴν ἀρχὴν αὐτῶν κατεκτήσατο." ταῦτα δὲ λέγοντος εὐθύς μοι τὰς χεῖρας ἐπέβαλλον ἀναιρεῖν τε ἐπειρῶντο. ὡς δ' εἶδον οἱ σὺν ἐμοὶ τὸ γινόμενον, σπασάμενοι τὰς μαχαίρας καὶ παίειν ἀπειλήσαντες εἰ βιάζοιντο, τοῦ τε δήμου λίθους ἀραμένου

Digitized by Google

καὶ βάλλειν ἐπὶ τὸν Ἰωνάθην ὁρμήσαντος, ἐξαρπάζουσί με τῆς τῶν πολεμίων βίας.

ἐπεὶ δὲ προελθὼν ὀλίγον ὑπαντιάζειν ἔμελλον τὸν 59
Ἰωάννην ἰόντα μετὰ τῶν ὁπλιτῶν, δείσας ἐκεῖνον μὲν ἐξέκλινα, διὰ στενωποῦ δέ τινος ἐπὶ τὴν λίμνην σωθεὶς καὶ πλοίου λαβόμενος, ἐμβὰς εἰς τὰς Ταριχαίας διεπεραιώθην, ἀπροσδοκήτως τὸν κίνδυνον διαφυγών. μεταπέμπομαί τε εὐθὺς τοὺς πρωτεύοντας τῶν Γαλιλαίων, καὶ φράζω τὸν τρόπον ᾧ παρασπονδηθεὶς ὑπὸ τῶν περὶ τὸν Ἰωνάθην καὶ τοὺς Τιβεριεῖς παρ' ὀλίγον διαφθαρείην ὑπ' αὐτῶν. ὀργισθὲν δ' ἐπὶ τούτοις τῶν Γαλιλαίων τὸ πλῆθος παρεκελεύετό μοι μηκέτι μέλλειν τὸν πρὸς αὐτοὺς πόλεμον ἐκφέρειν, ἀλλ' ἐπιτρέπειν αὐτοῖς ἐλθοῦσιν ἐπὶ τὸν Ἰωάννην ἄρδην αὐτὸν ἀφανίσαι καὶ τοὺς περὶ τὸν Ἰωνάθην. ἐπείχον δ' ὅμως αὐτοὺς ἐγὼ καίπερ οὕτως ὀργιζομένους, περιμένειν αὐτοὺς κελεύων ἕως μάθωμεν τί οἱ πεμφθέντες ὑπ' αὐτῶν εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν ἀπαγγελοῦσιν· μετὰ τῆς ἐκείνων γὰρ γνώμης τὰ δοκοῦντα πράξειν αὐτοὺς ἔφην. καὶ ταῦτ' εἰπὼν ἔπεισα. τότε δὴ καὶ Ἰωάννης, οὐ λαβούσης αὐτοῦ πέρας τῆς ἐνέδρας, ἀνεζεύγνυεν εἰς τὰ Γίσχαλα.

μετ' οὐ πολλὰς δ' ἡμέρας ἀφικνοῦνται πάλιν οὓς 60
ἐπέμψαμεν, καὶ ἀπήγγελλον σφόδρα τὸν δῆμον ἐπὶ τοὺς περὶ τὸν Ἄνανον καὶ τὸν Σίμωνα τὸν τοῦ Γαμαλιήλου παροξύνθαι, ὅτι χωρὶς γνώμης τοῦ κοινοῦ πέμψαντες εἰς τὴν Γαλιλαίαν ἐκπεσεῖν με παρεσκεύασαν. ἔφασαν δ' οἱ πρέσβεις ὅτι καὶ τὰς οἰκίας αὐτῶν ὁ δῆμος ὥρμησεν ἐμπιπράναι. ἔφερον δὲ καὶ γράμματα δι' ὧν οἱ τῶν Ἱεροσολυμιτῶν πρῶτοι, πολλὰ τοῦ δήμου δεηθέντος αὐτῶν, ἐμοὶ μὲν τὴν τῆς Γαλιλαίας ἀρχὴν ἐβεβαίουν, τοῖς δὲ περὶ τὸν Ἰωνάθην προσέτασσον εἰς τὴν οἰκείαν ὑποστρέφειν θᾶσσον. ἐντυχὼν οὖν ταῖς ἐπιστολαῖς εἰς Ἄρ-

Digitized by Google

βηλα κώμην ἀφικόμην, ἔνθα σύνοδον τῶν Γαλιλαίων ποιησάμενος ἐκέλευσα τοὺς πρέσβεις διηγεῖσθαι τὴν ἐπὶ τοῖς πεπραγμένοις ὑπὸ τῶν περὶ τὸν Ἰωνάθην ὀργὴν καὶ μισοπονηρίαν, καὶ ὡς κυρώσειαν ἐμοὶ τῆς χώρας αὐτῶν τὴν προστασίαν, τά τε πρὸς τοὺς περὶ τὸν Ἰωνάθην γεγραμμένα περὶ ἀπαλλαγῆς· πρὸς οὓς δὴ καὶ τὴν ἐπιστολὴν εὐθέως διεπεμψάμην, πολυπραγμονῆσαι τὸν κομίσαντα κελεύσας τί ποιεῖν μέλλουσιν.

61 δεξάμενοι δ' ἐκεῖνοι τὴν ἐπιστολὴν καὶ ταραχθέντες οὐχὶ μετρίως, μεταπέμπονται τὸν Ἰώαννην καὶ τοὺς ἐκ τῆς βουλῆς τῶν Τιβεριέων τούς τε πρωτεύοντας Γαβάρων, βουλήν τε προτιθέασι, σκοπεῖσθαι κελεύοντες τί πρακτέον ἐστὶν αὐτοῖς. Τιβεριεῦσι μὲν οὖν ἀντέχεσθαι μᾶλλον ἐδόκει τῶν πραγμάτων· οὐ δεῖν γὰρ ἔφασαν ἐγκαταλιπέσθαι τὴν πόλιν αὐτῶν ἅπαξ ἐκείνοις προστεθειμένην, ἄλλως τε μηδ' ἐμοῦ μέλλοντος αὐτῶν ἀφέξεσθαι· τοῦτο γὰρ ὡς ἠπειλημότος ἐμοῦ κατεψεύδοντο. ὁ δὲ Ἰώαννης οὐ μόνον τούτοις συνηρέσκετο, πορευθῆναι δὲ συνεβούλευεν αὐτῶν τοὺς δύο κατηγορήσοντάς μου πρὸς τὸ πλῆθος, ὅτι μὴ καλῶς τὰ κατὰ τὴν Γαλιλαίαν διοικῶ, καὶ πείσειν ῥᾳδίως αὐτοὺς ἔφη διά τε τὸ ἀξίωμα καὶ παντὸς πλήθους εὐτρέπτως ἔχοντος. δόξαντος οὖν τοῦ Ἰωάννου κρατίστην εἰσενηνοχέναι γνώμην, ἔδοξε δύο μὲν ἀπιέναι πρὸς τοὺς Ἱεροσολυμίτας, Ἰωνάθην καὶ Ἀνανίαν, τοὺς ἑτέρους δὲ δύο μένοντας ἐν τῇ Τιβεριάδι καταλιπεῖν. συνεπηγάγοντο δὲ φυ-
62 λακῆς ἕνεκα τῆς ἑαυτῶν ὁπλίτας ἑκατόν. Τιβεριεῖς δὲ τὰ μὲν τείχη προενόησαν ἀσφαλισθῆναι, τοὺς ἐνοίκους δὲ κελεύουσιν ἀναλαβεῖν τὰ ὅπλα· καὶ παρ' Ἰωάννου δὲ μετεπέμψαντο στρατιώτας οὐκ ὀλίγους συμμαχήσοντας, εἰ δεήσειεν, αὐτοῖς τὰ πρὸς ἐμέ. ἦν δὲ ὁ Ἰώαννης ἐν Γισχάλοις. οἱ τοίνυν περὶ τὸν Ἰωνάθην ἀναζεύξαν-

Digitized by Google

τες ἀπὸ τῆς Τιβεριάδος ὡς ἦκον εἰς Δαβάριττα κώμην ἐν ταῖς ἐσχατιαῖς τῆς Γαλιλαίας κειμένην ἐν τῷ μεγάλῳ πεδίῳ, περὶ μέσην νύκτα τοῖς ἐμοῖς φύλαξιν ἐμπίπτουσιν· οἳ καὶ κελεύσαντες αὐτοὺς τὰ ὅπλα καταθέσθαι ἐφύλασσον ἐν δεσμοῖς ἐπὶ τόπου, καθὼς αὐτοῖς ἐντετάλμην. γράφει δὲ πρός με ταῦτα δηλῶν Λευίς, ᾧ τὴν φυλακὴν ἐπεπιστεύκειν. παραλιπὼν οὖν ἡμέρας δύο καὶ μηδὲν ἐγνωκέναι προσποιησάμενος, πέμψας πρὸς τοὺς Τιβεριεῖς συνεβούλευον αὐτοῖς τὰ ὅπλα καταθεμένους ἀπολύειν τοὺς ἀνθρώπους εἰς τὴν ἑαυτῶν. οἳ δέ (δόξαν γὰρ εἶχον τοὺς περὶ τὸν Ἰωνάθην εἰς τὰ Ἱεροσόλυμα ἤδη διαπεπορεῦσθαι) βλασφήμους ἐποιήσαντο τὰς ἀποκρίσεις. μὴ καταπλαγεὶς δ' ἐγὼ καταστρατηγεῖν αὐτοὺς ἐπενόουν· πρὸς γὰρ τοὺς πολίτας ἐξάπτειν πόλεμον οὐκ ἐνόμιζον εὐσεβὲς εἶναι. βουλόμενος δ' αὐτοὺς ἀποσπάσαι τῶν Τιβεριέων, μυρίους ὁπλίτας τοὺς ἀρίστους ἐπιλέξας εἰς τρεῖς μοίρας διεῖλον, καὶ τούτους μὲν ἀφανῶς ἐν κώμαις προσέταξα λοχῶντας περιμένειν, χιλίους δὲ εἰς ἑτέραν κώμην, ὀρεινὴν μὲν ὁμοίως, ἀπέχουσαν δὲ τῆς Τιβεριάδος τέσσαρας σταδίους, εἰσήγαγον, κελεύσας ἐκείνους ἐπειδὰν λάβωσι σημεῖον εὐθὺς καταβαίνειν. αὐτὸς δὲ τῆς κώμης προελθὼν ἐν προύπτῳ καθεζόμην. οἱ δὲ Τιβεριεῖς ὁρῶντες ἐξέτρεχον συνεχῶς καὶ πολλὰ κατεκερτόμουν· τοσαύτη γοῦν ἀφροσύνη κατέσχεν αὐτοὺς ὥστε ποιήσαντες εὐπρεπῆ κλίνην προύθεσαν, καὶ περὶ αὐτὴν ἱστάμενοι ὠδύροντό με μετὰ παιδιᾶς καὶ γέλωτος. διετιθέμην δ' ἐγὼ τὴν ψυχὴν ἡδέως τὴν ἄνοιαν αὐτῶν ἐπιβλέπων.

βουλόμενος δὲ δι' ἐνέδρας λαβεῖν τὸν Σίμωνα καὶ 63
σὺν αὐτῷ τὸν Ἰωάζαρον, πέμψας πρὸς αὐτοὺς παρεκάλουν ὀλίγον τῆς πόλεως πορρωτέρω μετὰ φίλων πολλῶν τῶν φυλαξόντων αὐτοὺς ἐλθεῖν ὡς ἐμέ· βούλεσθαι γὰρ

Digitized by Google

ἔφην καταβὰς σπείσασθαι πρὸς αὐτοὺς καὶ διανείμασθαι τὴν προστασίαν τῆς Γαλιλαίας. Σίμων μὲν οὖν διά τε ἄνοιαν καὶ πρὸς ἐλπίδι κέρδους ἀπατηθεὶς οὐκ ὤκνησεν ἐλθεῖν, ὁ δὲ Ἰωάζαρος ἐνέδραν ὑποπτεύσας ἔμεινεν. ἀναβάντα δὴ τὸν Σίμωνα μετὰ φίλων τῶν παραφυλασσόντων αὐτὸν ὑπαντιάσας ἠσπαζόμην φιλοφρόνως καὶ χάριν ἔχειν ὡμολόγουν ἀναβάντι. μετ' οὐ πολὺ δὲ συμπεριπατῶν ὡς κατὰ μόνας τι βουλόμενος εἰπεῖν, ἐπεὶ πορρωτέρω τῶν φίλων ἀπήγαγον, μέσον ἀράμενος ἀγαγεῖν εἰς τὴν κώμην τοῖς μετ' ἐμοῦ φίλοις ἔδωκα. τοὺς ὁπλίτας δὲ καταβῆναι κελεύσας προσέβαλλον μετ' αὐτῶν τῇ Τιβεριάδι. μάχης δὲ γενομένης ἀμφοτέρωθεν καρτερᾶς, καὶ ὅσον οὔπω τῶν Τιβεριέων νικώντων (ἐπεφεύγεισαν γὰρ οἱ παρ' ἡμῖν ὁπλῖται), τὸ γινόμενον ἰδὼν καὶ τοὺς μετ' ἐμαυτοῦ παρακαλέσας νικῶντας ἤδη τοὺς Τιβεριεῖς εἰς τὴν πόλιν συνεδίωξα. ἑτέραν δὲ δύναμιν εἰσπέμψας διὰ τῆς λίμνης, προσέταξα τὴν πρώτην λαβοῦσιν οἰκίαν ἐμπρῆσαι. τούτου δὲ γενομένου νομίσαντες οἱ Τιβεριεῖς εἰλῆφθαι κατὰ κράτος αὐτῶν τὴν πόλιν, ὑπὸ φόβου ῥίπτουσι τὰ ὅπλα, μετὰ γυναικῶν δὲ καὶ τέκνων ἱκέτευον φείσασθαι τῆς πόλεως αὐτῶν. ἐγὼ δὲ πρὸς τὰς δεήσεις ἐπικλασθεὶς τοὺς μὲν στρατιώτας τῆς ὁρμῆς ἐπέσχον, αὐτὸς δέ (καὶ γὰρ ἑσπέρα κατέλαβεν) μετὰ τῶν ὁπλιτῶν ἀπὸ τῆς πολιορκίας ὑποστρέφας περὶ τὴν τοῦ σώματος θεραπείαν ἐγινόμην. καλέσας δὲ ἐπὶ τὴν ἑστίασιν τὸν Σίμωνα παρεμυθούμην περὶ τῶν γεγονότων, ὑπισχνούμην τε δοὺς ἐφόδια αὐτῷ καὶ τοῖς σὺν αὐτῷ παραπέμψειν εἰς Ἱεροσόλυμα μετὰ πάσης ἀσφαλείας.

64 κατὰ δὲ τὴν ἐπιοῦσαν ἡμέραν μυρίους ἐπαγόμενος ὁπλίτας ἦκον εἰς Τιβεριάδα, καὶ μεταπεμψάμενος εἰς τὸ στάδιον τοὺς πρώτους αὐτῶν τοῦ πλήθους ἐκέλευσα

Digitized by Google

φράζειν οἵτινες εἶεν αἴτιοι τῆς ἀποστάσεως. ἐνδειξαμένων δὲ τοὺς ἄνδρας, ἐκείνους μὲν δεδεμένους εἰς τὴν Ἰωταπάτην πόλιν ἐξέπεμψα, τοὺς δὲ περὶ τὸν Ἰωνάθην καὶ Ἀνανίαν λύσας τῶν δεσμῶν καὶ δοὺς ἐφόδια μετὰ Σίμωνος καὶ Ἰωαζάρου καὶ ὁπλιτῶν πεντακοσίων, οἳ παραφυλάξουσιν αὐτούς, ἐξέπεμψα εἰς τὰ Ἱεροσόλυμα. Τιβεριεῖς δὲ πάλιν προσελθόντες συγγινώσκειν αὐτοῖς παρεκάλουν περὶ τῶν πεπραγμένων, ἐπανορθώσεσθαι τὰς ἁμαρτίας τῇ μετὰ ταῦτα πρὸς ἐμὲ πίστει λέγοντες. τὰ δὲ ἐκ τῆς διαπαγῆς περισσεύσαντα σῶσαί με τοῖς ἀπολέσασιν ἐδέοντο. κἀγὼ τοῖς ἔχουσι προσέταττον εἰς μέσον πάντα φέρειν· ἀπειθούντων δὲ μέχρι πολλοῦ, θεασάμενός τινα τῶν περὶ ἐμὲ στρατιωτῶν λαμπροτέραν τοῦ συνήθους περικείμενον στολὴν ἐπυθόμην πόθεν ἔχοι, εἰπόντος δὲ ἐκ τῆς κατὰ πόλιν ἁρπαγῆς, ἐκεῖνον μὲν πληγαῖς ἐκόλασα, τοῖς δὲ ἄλλοις ἅπασιν ἠπείλησα μείζω τιμωρίαν ἐπιθήσειν μὴ κομίσασιν εἰς ἐμφανὲς ὅσα ἡρπάκεισαν. πολλῶν δὲ συναχθέντων, ἑκάστῳ τῶν Τιβεριέων τὸ ἐπιγνωσθὲν ἀπέδωκα.

γεγονὼς δ' ἐνταῦθα τῆς διηγήσεως βούλομαι πρὸς 65
Ἰοῦστον καὶ αὐτὸν τὴν περὶ τούτων πραγματείαν γεγραφότα, πρός τε τοὺς ἄλλους τοὺς ἱστορίαν μὲν γράφειν ὑπισχνουμένους, περὶ δὲ τὴν ἀλήθειαν ὀλιγώρους καὶ δι' ἔχθραν ἢ χάριν τὸ ψεῦδος οὐκ ἐντρεπομένους, μικρὰ διελθεῖν. πράττουσι μὲν γὰρ ὅμοιόν τι τοῖς περὶ συμβολαίων πλαστὰ γράμματα συντιθεῖσιν, τῷ δὲ μηδεμίαν ὁμοίως τιμωρίαν ἐκείνοις δεδιέναι καταφρονοῦσι τῆς ἀληθείας. Ἰοῦστος γοῦν συγγράφειν τὰς περὶ τούτων ἐπιχειρήσας πράξεις καὶ τὸν πόλεμον, ὑπὲρ τοῦ δοκεῖν φιλόπονος εἶναι ἐμοῦ μὲν κατέψευσται, ἠλήθευσε δὲ οὐδὲ περὶ τῆς πατρίδος. ὅθεν (ἀπολογή-

Digitized by Google

σασθαι γὰρ νῦν ἀνάγκην ἔχω καταψευδομαρτυρούμενος) ἐρῶ τὰ μέχρι νῦν σεσιωπημένα. καὶ μὴ θαυμάσῃ τις ὅτι μὴ πάλαι περὶ τούτων ἐδήλωσα· τῷ γὰρ ἱστορίαν ἀναγράφοντι τὸ μὲν ἀληθεύειν ἀναγκαῖον, ἔξεστι δ' ὅμως μὴ πικρῶς τὰς τινῶν πονηρίας ἐλέγχειν, οὐ διὰ τὴν πρὸς ἐκείνους χάριν ἀλλὰ διὰ τὴν αὐτοῦ μετριότητα.

πῶς οὖν (ἵνα φῶ πρὸς αὐτὸν ὡς παρόντα), Ἰοῦστε, δεινότατε συγγραφέων (τοῦτο γὰρ αὐχεῖς περὶ σεαυτοῦ) αἴτιοι γεγόναμεν ἐγώ τε καὶ Γαλιλαῖοι τῇ πατρίδι σου τῆς πρὸς Ῥωμαίους καὶ πρὸς τὸν βασιλέα στάσεως; πρότερον γὰρ ἢ ἐμὲ τῆς Γαλιλαίας στρατηγὸν ὑπὸ τοῦ κοινοῦ τῶν Ἱεροσολυμιτῶν χειροτονηθῆναι, σὺ καὶ πάντες Τιβεριεῖς οὐ μόνον ἀνειλήφατε τὰ ὅπλα, ἀλλὰ καὶ τὰς ἐν τῇ Συρίᾳ δέκα πόλεις ἐπολεμεῖτε. σὺ γοῦν τὰς κώμας αὐτῶν ἐνέπρησας, καὶ ὁ σὸς οἰκέτης ἐπὶ τῆς παρατάξεως ἐκείνης ἔπεσεν. ταῦτα δὲ οὐκ ἐγὼ λέγω μόνος, ἀλλὰ καὶ ἐν τοῖς Ἀεσπασιανοῦ τοῦ αὐτοκράτορος ὑπομνήμασιν οὕτω γέγραπται, καὶ τίνα τρόπον ἐν Πτολεμαΐδι Ἀεσπασιανοῦ κατεβόησαν οἱ τῶν δέκα πόλεων ἔνοικοι, τιμωρίαν ὑποσχεῖν σε τὸν αἴτιον ἀξιοῦντες. καὶ ἐδεδώκεις ἂν δίκην Ἀεσπασιανοῦ κελεύσαντος, εἰ μὴ βασιλεὺς Ἀγρίππας, λαβὼν ἐξουσίαν ἀποκτεῖναί σε, πολλὰ τῆς ἀδελφῆς Βερενίκης δεηθείσης οὐκ ἀνελὼν δεδεμένον ἐπὶ πολὺν χρόνον ἐφύλαξεν. καὶ αἱ μετὰ ταῦτα δὲ πολιτεῖαί σου σαφῶς ἐμφανίζουσι τόν τε βίον τὸν ἄλλον, καὶ ὅτι σὺ τὴν πατρίδα Ῥωμαίων ἀπέστησας· ὧν τὰ τεκμήρια κἀγὼ δηλώσω μετ' ὀλίγον. βούλομαι δ' εἰπεῖν καὶ πρὸς τοὺς ἄλλους Τιβεριεῖς ὀλίγα διὰ σέ, καὶ παραστῆσαι τοῖς ἐντυγχάνειν μέλλουσι ταῖς ἱστορίαις ὅτι μήτε φιλορώμαιοι μήτε φιλοβασιλεῖς γεγόνατε. τῶν ἐν τῇ Γαλιλαίᾳ πόλεων αἱ μέγισται

Digitized by Google

Σέπφωρις καὶ Τιβεριὰς ἡ σὴ πατρίς, ὦ Ἰοῦστε· ἀλλὰ Σέπφωρις μὲν ἐν τῷ μεσαιτάτῳ τῆς Γαλιλαίας κειμένη καὶ περὶ αὐτὴν κώμας ἔχουσα πολλάς, καί τι καὶ θρασύνεσθαι δυναμένη πρὸς Ῥωμαίους, εἴπερ ἠθέλησεν, εὐχερῶς, διεγνωκυῖα τῇ πρὸς τοὺς δεσπότας ἐμμένειν πίστει καὶ ἐμὲ τῆς πόλεως αὐτῶν ἐξέκλεισε, καὶ στρατεύσασθαί τινα τῶν πολιτῶν Ἰουδαίοις ἐκώλυσεν· ὅπως δὲ καὶ τὰ πρὸς ἡμᾶς ἀσφαλὴς εἴη, ἠπάτησάν με τείχεσιν αὐτῶν τὴν πόλιν ὀχυρῶσαι προτρέψαντες. καὶ παρὰ Κεστίου Γάλλου τοῦ τῶν ἐν τῇ Συρίᾳ Ῥωμαϊκῶν ταγμάτων ἡγεμονεύοντος φρουρὰν ἑκόντες ἐνεδέξαντο, καταφρονήσαντες ἐμοῦ τότε μέγα δυναμένου καὶ πᾶσι δι' ἐκπλήξεως ὄντος. πολιορκουμένης τε τῆς μεγίστης ἡμῶν πόλεως Ἱεροσολύμων, καὶ τοῦ κοινοῦ πάντων ἱεροῦ κινδυνεύοντος ἐν τῇ τῶν πολεμίων ἐξουσίᾳ γενέσθαι, συμμαχίαν οὐκ ἔπεμψαν, μὴ βουλόμενοι δοκεῖν κατὰ Ῥωμαίων ὅπλα λαβεῖν. ἡ δὲ σὴ πατρίς, ὦ Ἰοῦστε, κειμένη ἐν τῇ Γεννησαριτιδι λίμνῃ, καὶ ἀπέχουσα Ἵππου μὲν στάδια τριάκοντα Γαδάρων δὲ ἑξήκοντα Σκυθοπόλεως δὲ εἴκοσι καὶ ἑκατὸν τῆς ὑπηκόου βασιλεῖ, μηδεμιᾶς δὲ πόλεως Ἰουδαίων παρακειμένης, εἰ ἤθελε τὴν πρὸς Ῥωμαίους πίστιν φυλάττειν, ῥᾳδίως ἠδύνατο· καὶ γὰρ πολὺς ἦτε δῆμος καὶ ὅπλων εὐπορεῖτε. ἀλλ' ὡς σὺ φῄς, αἴτιος ἦμην ἐγὼ τότε. μετὰ ταῦτα δὲ τίς, ὦ Ἰοῦστε; πρὸ γὰρ τῆς Ἱεροσολύμων πολιορκίας οἶδας ὑπὸ Ῥωμαίοις ἐμὲ γενόμενον καὶ Ἰωτάπατα κατὰ κράτος ληφθέντα, φρούριά τε πολλά, πολύν τε Γαλιλαίων ὄχλον κατὰ τὴν μάχην πεσόντα. τότε οὖν ἐρρῆν ὑμᾶς πάντως ἀπηλλαγμένους τοῦ δι' ἐμὲ φόβου ᾠήθητε τὰ ὅπλα καὶ παραστῆσαι τῷ βασιλεῖ καὶ Ῥωμαίοις ὅτι δὴ οὐχ ἑκόντες ἀλλ' ἀναγκασθέντες ἐπὶ τὸν πρὸς αὐτοὺς ὡρμήσατε πόλεμον. ὑμεῖς δὲ καὶ περιε-

Digitized by Google

μείνατε Ἡσπασιανόν, ἕως αὐτὸς ἀφικόμενος μετὰ πάσης τῆς δυνάμεως προσέλθοι τοῖς τείχεσι, καὶ τότε διὰ φόβον τὰ ὅπλα κατέθεσθε· καὶ πάντως ἂν ὑμῶν ἡ πόλις ἥλω κατὰ κράτος, εἰ μὴ τῷ βασιλεῖ δεομένῳ καὶ τὴν ἄνοιαν ὑμῶν παραιτουμένῳ συνεχώρησεν Ἡσπασιανός. οὐκ ἐγὼ τοίνυν αἴτιος, ἀλλ' ὑμεῖς οἱ πολεμικὰ φρονήσαντες. ἢ οὐ μέμνησθε ὅτι τοσαυτάκις ὑμῶν ἐγκρατὴς γενόμενος οὐδένα διέφθειρα; στασιάζοντες δὲ ὑμεῖς πρὸς ἀλλήλους, οὐ διὰ τὴν πρὸς τὸν βασιλέα καὶ Ῥωμαίους εὔνοιαν, διὰ δὲ τὴν ὑμετέραν αὐτῶν πονηρίαν, ἑκατὸν ὀγδοήκοντα πέντε τῶν πολιτῶν ἀπεκτείνατε, κατὰ τὸν καιρὸν ἐκεῖνον ἐμοῦ πολιορκουμένου ἐν Ἰωταπάτοις ὑπὸ Ῥωμαίων. τί δ'; οὐχὶ κατὰ τὴν τῶν Ἱεροσολύμων πολιορκίαν δισχίλιοι Τιβεριέων ἐξητάσθησαν οἳ μὲν πεπτωκότες οἳ δὲ ληφθέντες αἰχμάλωτοι; ἀλλὰ σὺ πολέμιος οὐ γεγονέναι φήσεις, ὅτι πρὸς βασιλέα τότ' ἔφυγες. καὶ τοῦτο δὲ διὰ τὸν ἐξ ἐμοῦ φόβον φημί σε πεποιηκέναι. κἀγὼ μὲν πονηρός, ὡς λέγεις· ὁ δὲ βασιλεὺς Ἀγρίππας ὁ τὴν ψυχήν σοι συγχωρήσας ὑπὸ Ἡσπασιανοῦ θανεῖν κατακριθέντι, ὁ τοσούτοις δωρησάμενος χρήμασι, τίνος ἕνεκεν ὕστερον δὶς μὲν ἔδησε, τοσαυτάκις δὲ φυγεῖν τὴν πατρίδα προσέταξε, καὶ ἀποθανεῖν δὲ κελεύσας ἅπαξ τῇ ἀδελφῇ Βερενίκῃ πολλὰ δεηθείσῃ τὴν σὴν σωτηρίαν ἐχαρίσατο; καὶ μετὰ τοσαῦτα δέ σου κακουργήματα τάξιν ἐπιστολῶν σοι πιστεύσας, ὡς καὶ ταύτας σε εὗρε ῥᾳδιουργοῦντα, ἀπήλασε τῆς ὄψεως. ἀλλὰ περὶ μὲν τούτων ἐλέγχειν ἐπ' ἀκριβὲς ἐῶ, θαυμάζειν δ' ἔπεισί μοι τὴν σὴν ἀναίδειαν, ὅτι τολμᾷς λέγειν ἁπάντων τῶν τὴν πραγματείαν ταύτην γεγραφότων αὐτὸς ἄμεινον ἐξηγγελκέναι, μήτε τὰ πραχθέντα κατὰ τὴν Γαλιλαίαν ἐπιστάμενος (ἦς γὰρ ἐν Βηρυτῷ τότε παρὰ βασιλεῖ), μήθ'

Digitized by Google

ὅσα ἔπαθον Ῥωμαῖοι ἐπὶ τῆς Ἰωταπάτων πολιορκίας ἢ ἔδρασαν ἡμᾶς παρακολουθήσας, μήθ' ὅσα κατ' ἐμαυτὸν ἔπραξα πολιορκούμενος δυνηθεὶς πυθέσθαι· πάντες γὰρ οἱ ἀπαγγείλαντες ἂν διεφθάρησαν ἐπὶ τῆς παρατάξεως ἐκείνης. ἀλλ' ἴσως τὰ κατὰ τῶν Ἱεροσολυμιτῶν πραχθέντα μετ' ἀκριβείας φήσεις συγγεγραφέναι. καὶ πῶς οἷόν τε; οὔτε γὰρ πολέμῳ παρέτυχες οὔτε τὰ Καίσαρος ἀνέγνως ὑπομνήματα. μέγιστον δὲ τεκμήριον, τοῖς γὰρ Καίσαρος ὑπομνήμασιν ἐναντίαν πεποίησαι τὴν γραφήν. εἰ δὲ θαρρεῖς ἄμεινον ἁπάντων συγγεγραφέναι, διὰ τί ζώντων Οὐεσπασιανοῦ καὶ Τίτου τῶν αὐτοκρατόρων τῶν τὸν πόλεμον κατεργασαμένων, καὶ βασιλέως Ἀγρίππα περιόντος ἔτι καὶ τῶν ἐκ γένους αὐτοῦ πάντων, ἀνδρῶν τῆς Ἑλληνικῆς παιδείας ἐπὶ πλεῖστον ἠκόντων, τὴν ἱστορίαν οὐκ ἔφερες εἰς μέσον; πρὸ γὰρ εἴκοσιν ἐτῶν εἶχες γεγραμμένην, καὶ παρ' εἰδότων ἔμελλες τῆς ἀκριβείας τὴν μαρτυρίαν ἀποφέρεσθαι. νῦν δ' ὅτε ἐκεῖνοι μὲν οὐκέτι εἰσὶ μεθ' ἡμῶν, ἐλεγχθῆναι δ' οὐ νομίζεις, τεθάρρηκας. οὐ μὴν ἐγώ σοι τὸν αὐτὸν τρόπον περὶ τῆς ἐμαυτοῦ γραφῆς ἔδεισα, ἀλλ' αὐτοῖς ἐπέδωκα τοῖς αὐτοκράτορσι τὰ βιβλία, μόνον οὐ τῶν ἔργων ἔτι βλεπομένων· συνῄδειν γὰρ ἐμαυτῷ τετηρηκότι τὴν τῆς ἀληθείας παράδοσιν, ἐφ' ᾗ μαρτυρίας τεύξεσθαι προσδοκήσας οὐ διήμαρτον. καὶ ἄλλοις δὲ πολλοῖς εὐθὺς ἐπέδωκα τὴν ἱστορίαν, ὧν ἔνιοι καὶ παρατετεύχεισαν τῷ πολέμῳ, καθάπερ βασιλεὺς Ἀγρίππας καί τινες αὐτοῦ τῶν συγγενῶν. ὁ μὲν γὰρ αὐτοκράτωρ Τίτος οὕτως ἐκ μόνων αὐτῶν ἐβουλήθη τὴν γνῶσιν τοῖς ἀνθρώποις παραδοῦναι τῶν πράξεων, ὥστε χαράξας τῇ ἑαυτοῦ χειρὶ τὰ βιβλία δημοσιῶσαι προσέταξεν· ὁ δὲ βασιλεὺς Ἀγρίππας ἑξήκοντα δύο γέγραφεν ἐπιστολὰς τῇ τῆς ἀληθείας παραδόσει μαρτυρῶν.

Digitized by Google

ὧν δὴ καὶ δύο ὑπέταξα, καὶ βουληθέντι σοι τὰ γεγραμμένα γνῶναι πάρεστιν ἐξ αὐτῶν.

"Βασιλεὺς Ἀγρίππας Ἰωσήπῳ τῷ φιλτάτῳ χαίρειν. ἥδιστα διῆλθον τὴν βίβλον, καί μοι πολὺ ἐπιμελέστερον ἔδοξας τῶν ταῦτα συγγραψάντων ἠκριβωκέναι. πέμπε δέ μοι καὶ τὰς λοιπάς. ἔρρωσο, φίλτατε."

"Βασιλεὺς Ἀγρίππας Ἰωσήπῳ τῷ φιλτάτῳ χαίρειν. ἐξ ὧν ἔγραψας οὐδεμιᾶς ἔοικας χρῄζειν διδασκαλίας ὑπὲρ τοῦ μαθεῖν ἡμᾶς ὅλους ἀρχῆθεν. ὅταν μέντοι συντύχῃς μοι, καὶ αὐτός σε πολλὰ κατηχήσω τῶν ἀγνοουμένων."

οὕτω δέ μοι, ἀπαρτισθείσης τῆς ἱστορίας, Ἀγρίππας οὐ κολακεύων (οὐδὲ γὰρ ἐπέβαλλεν αὐτῷ) οὐδὲ εἰρωνευόμενος, ὡς σὺ φήσεις (πόρρω γὰρ ἦν ἐκεῖνος τοιαύτης κακοηθείας) ἀλλὰ τῇ ἀληθείᾳ ἐμαρτύρει καθάπερ πάντες οἱ ταῖς ἱστορίαις ἐντυγχάνοντες.

ἀλλὰ τὰ μὲν πρὸς τὸν Ἰοῦστον, ἀναγκαίαν λαβόντα
66 τὴν παρέκβασιν, μέχρι τούτων λελέχθω· διοικήσας δ' ἐγὼ τὰ κατὰ τὴν Τιβεριάδα καὶ καθίσας τῶν φίλων συνέδριον, ἐβουλευόμην περὶ τῶν πρὸς Ἰωάννην πραχθησομένων. ἐδόκει μὲν οὖν πᾶσι τοῖς Γαλιλαίοις ὁπλίσαντα πάντας ἀπελθεῖν ἐπὶ τὸν Ἰωάννην καὶ λαβεῖν παρ' αὐτοῦ δίκας ὡς πάσης τῆς στάσεως αἰτίου γεγονότος· οὐκ ἠρεσκόμην δ' ἐγὼ ταῖς γνώμαις αὐτῶν, προαίρεσιν ἔχων τὰς ταραχὰς χωρὶς φόνου καταστέλλειν. ὅθεν δὴ παρῆνεσα πᾶσαν εἰσενέγκασθαι πρόνοιαν ὑπὲρ τοῦ γνῶναι τὰ ὀνόματα τῶν ὑπὸ τῷ Ἰωάννῃ ὄντων. ποιησάντων δὲ ἐκείνων, γνοὺς ἐγὼ τοὺς ἀνθρώπους οἵτινες ἦσαν, ἐξέθηκα πρόγραμμα, διὰ τούτου πίστιν καὶ δεξιὰν προτείνων τοῖς μετὰ Ἰωάννου θελήσασι λαβεῖν μετάνοιαν, καὶ ἡμερῶν εἴκοσι χρόνον προέτεινα τοῖς βουλεύσασθαι θέλουσι περὶ

Digitized by Google

τῶν ἑαυτοῖς συμφερόντων. ἠπείλουν δέ, εἰ μὴ ῥίψουσι τὰ ὅπλα, καταπρήσειν αὐτῶν τὰς οἰκήσεις καὶ δημοσιώσειν τὰς οὐσίας. ταῦτα δὲ ἀκούσαντες οἱ ἄνθρωποι καὶ ταραχθέντες οὔ τι μετρίως, καταλείπουσι μὲν τὸν Ἰωάννην, τὰ δ' ὅπλα ῥίψαντες ἦκον πρός με τετρακισχίλιοι τὸν ἀριθμὸν ὄντες. μόνοι δὲ τῷ Ἰωάννῃ παρέμειναν οἱ πολῖται καὶ ξένοι τινὲς ἐκ τῆς Τυρίων μητροπόλεως, ὡς χίλιοι καὶ πεντακόσιοι.

Ἰωάννης μὲν οὖν οὕτω καταστρατηγηθεὶς ὑπ' ἐμοῦ τὸ λοιπὸν ἐν τῇ πατρίδι περίφοβος ἔμεινεν· κατὰ τοῦτον 67
δὲ τὸν καιρὸν Σεπφωρῖται θαρρήσαντες ἀναλαμβάνουσιν ὅπλα, πεποιθότες τῇ τε τῶν τειχῶν ὀχυρότητι καὶ τῷ πρὸς ἑτέροις ὄντα με ὁρᾶν. πέμπουσι δὴ πρὸς Κέστιον Γάλλον (Συρίας δ' ἦν οὗτος ἡγεμών) παρακαλοῦντες ἢ αὐτὸν ἧκειν θᾶττον παραληψόμενον αὐτῶν τὴν πόλιν, ἢ πέμψαι τοὺς φρουρήσοντας. ὁ δὲ Γάλλος ἐλεύσεσθαι μὲν ὑπέσχετο, πότε δὲ οὐ διεσάφησεν. κἀγὼ ταῦτα πυθόμενος, ἀναλαβὼν τοὺς σὺν ἐμοὶ στρατιώτας καὶ ὁρμήσας ἐπὶ τοὺς Σεπφωρίτας εἷλον αὐτῶν τὴν πόλιν κατὰ κράτος. λαβόμενοι δ' ἀφορμῆς οἱ Γαλιλαῖοι, καὶ παρεῖναι τοῦ μίσους τὸν καιρὸν οἰηθέντες (εἶχον γὰρ ἀπεχθῶς καὶ πρὸς ταύτην τὴν πόλιν), ὥρμησαν ὡς ἄρδην ἀφανίσοντες πάντας σὺν τοῖς ἐποίκοις. εἰσδραμόντες οὖν ἐνεπίμπρασαν αὐτῶν τὰς οἰκίας, ἐρήμους καταλαμβάνοντες· οἱ γὰρ ἄνθρωποι δείσαντες εἰς τὴν ἀκρόπολιν συνέφυγον. διήρπαζον δὲ πάντα, καὶ τρόπον οὐδένα πορθήσεως κατὰ τῶν ὁμοφύλων παρελίμπανον. ταῦτ' ἐγὼ θεασάμενος σφόδρα διετέθην ἀνιαρῶς, καὶ παύεσθαι προσέταττον αὐτοῖς, ὑπομιμνήσκων ὅτι τοιαῦτα δρᾶν ὁμοφύλους οὐκ ἔστιν ὅσιον. ἐπεὶ δ' οὔτε παρακαλοῦντος οὔτε προστάσσοντος ἤκουον, ἐνίκα δὲ τὸ μῖσος τὰς παραινέσεις, τοὺς

Digitized by Google

πιστοτάτους τῶν περὶ ἐμὲ φίλων ἐκέλευσα διαδοῦναι λόγους ὡς Ῥωμαίων μετὰ μεγάλης δυνάμεως κατὰ τὸ ἕτερον μέρος τῆς πόλεως εἰσβεβληκότων. ταῦτα δ' ἐποίουν ὑπὲρ τοῦ τῆς φήμης ἐμπεσούσης ἐπισχεῖν μὲν τῶν Γαλιλαίων τὰς ὁρμάς, διασῶσαι δὲ τὴν τῶν Σεπφωριτῶν πόλιν. καὶ τέλος προυχώρησε τὸ στρατήγημα. τῆς γὰρ ἀγγελίας ἀκούσαντες ἐφοβήθησαν ὑπὲρ αὑτῶν καὶ καταλιπόντες τὰς ἁρπαγὰς ἔφυγον, μάλιστα δὲ ἐπεὶ κἀμὲ τὸν στρατηγὸν ἑώρων ταὐτὰ ποιοῦντα· πρὸς γὰρ τὸ πιστὸν τῆς φήμης ἐσκηπτόμην ὁμοίως αὐτοῖς διατίθεσθαι. Σεπφωρῖται δὲ παρ' ἐλπίδα τὴν ἑαυτῶν ὑπὸ τοῦ ἐμοῦ σοφίσματος ἐσώθησαν.

68 καὶ Τιβεριὰς δὲ παρ' ὀλίγον ἀνηρπάσθη ὑπὸ Γαλιλαίων, τοιαύτης αἰτίας ὑποπεσούσης. τῶν ἐκ τῆς βουλῆς οἱ πρῶτοι γράφουσι πρὸς τὸν βασιλέα, παρακαλοῦντες ἀφικέσθαι πρὸς αὐτοὺς παραληψόμενον τὴν πόλιν. ὑπέσχετο δ' ὁ βασιλεὺς ἔρχεσθαι, καὶ τὰς ἐπιστολὰς ἀντιγράφει, καὶ τῶν περὶ κοιτῶνά τινι, Κρίσπῳ μὲν τοὔνομα, τὸ δὲ γένος Ἰουδαίῳ, δίδωσι πρὸς τοὺς Τιβεριεῖς φέρειν. τοῦτον κομίσαντα γράμματα γνωρίσαντες οἱ Γαλιλαῖοι καὶ συλλαβόντες ἄγουσιν ἐπ' ἐμέ· τὸ δὲ πᾶν πλῆθος, ὡς ἤκουσε, παροξυνθὲν ἐφ' ὅπλα τρέπεται. συναχθέντες δὲ πολλοὶ πολλαχόθεν κατὰ τὴν ἐποιοῦσαν ἦκον εἰς Ἀσωχὶν πόλιν, ἔνθα δὴ τὴν κατάλυσιν ἐποιούμην, καταβοήσεις τε σφόδρα ἐποιοῦντο, προδότιν ἀποκαλοῦντες τὴν Τιβεριάδα καὶ βασιλέως φίλην, ἐπιτρέπειν τε ἠξίουν αὐτοῖς καταβᾶσιν ἄρδην ἀφανίσαι· καὶ γὰρ πρὸς τοὺς Τιβεριεῖς εἶχον
69 ἀπεχθῶς ὡς πρὸς τοὺς Σεπφωρίτας. ἐγὼ δὲ ἀκούσας ἠπόρουν τίνα τρόπον ἐξαρπάσω τὴν Τιβεριάδα τῆς Γαλιλαίων ὀργῆς. ἀρνήσασθαι γὰρ οὐκ ἐδυνάμην μὴ γεγραφέναι τοὺς Τιβεριεῖς καλοῦντας τὸν

Digitized by Google

βασιλέα· ἤλεγχον γὰρ αἱ παρ' ἐκείνου πρὸς αὐτοὺς ἀντιγραφαὶ τὴν ἀλήθειαν. σύννους οὖν πολλὴν ὥραν γενόμενος, "ὅτι μὲν ἠδικήκασιν" εἶπον "Τιβεριεῖς, οἶδα κἀγώ, τὴν πόλιν τε ὑμᾶς οὐ κωλύσω διαρπάσαι. δεῖ δ' ὅμως καὶ μετὰ κρίσεως τὰ τηλικαῦτα πράττειν. οὐ γὰρ μόνοι Τιβεριεῖς προδόται τῆς ἐλευθερίας ἡμῶν γεγόνασιν, ἀλλὰ πολλοὶ καὶ τῶν ἐν Γαλιλαίᾳ δοκιμωτάτων. προσμείνατε δὲ μέχρι τοὺς αἰτίους ἀκριβῶς ἐκμάθω, καὶ τότε πάντας ὑποχειρίους ἕξετε, καὶ ὅσους ἰδίᾳ ἐπάξαι δυνήσεσθε." καὶ ταῦτα εἰπὼν ἔπεισα τὸ πλῆθος, καὶ παυσάμενοι τῆς ὀργῆς διελύθησαν. τὸν παρὰ βασιλέως δὲ πεμφθέντα δῆσαι κελεύσας, μετ' οὐ πολλὰς ἡμέρας ἐπί τινα τῶν ἐμαυτοῦ χρειῶν ἐπείγουσαν σκηψάμενος ἐκθημεῖν τῆς βασιλείας, καλέσας τὸν Κρίσπον λάθρᾳ προσέταξα μεθύσαι τὸν στρατιώτην φύλακα καὶ φυγεῖν πρὸς βασιλέα· μὴ γὰρ διωχθήσεσθαι. καὶ ὃ μὲν ταῖς ὑποθήκαις πεισθεὶς διέφυγε, Τιβεριὰς δὲ μέλλουσα δεύτερον ἀφανίζεσθαι στρατηγίᾳ τῇ ἐμῇ καὶ προνοίᾳ τῇ περὶ αὐτῆς ὀξὺν οὕτω κίνδυνον διέφυγεν.

κατὰ τοῦτον δὲ τὸν καιρὸν Ἰοῦστος ὁ Πίστου παῖς 70
λαθὼν ἐμὲ διαδιδράσκει πρὸς τὸν βασιλέα. τὴν αἰτίαν δέ, δι' ἣν τοῦτο ἔπραξεν, ἀφηγήσομαι. λαβόντος ἀρχὴν Ἰουδαίοις τοῦ πρὸς Ῥωμαίους πολέμου, Τιβεριεῖς διεγνώκεισαν ὑπακούειν βασιλεῖ καὶ Ῥωμαίων μὴ ἀφίστασθαι. πείθει δ' αὐτοὺς Ἰοῦστος ἐφ' ὅπλα χωρῆσαι, νεωτέρων αὐτὸς ἐφιέμενος πραγμάτων, καὶ δι' ἐλπίδος ἔχων ἄρξειν Γαλιλαίων τε καὶ τῆς ἑαυτοῦ πατρίδος. οὐ μὴν τῶν προσδοκηθέντων ἐπέτυχεν. Γαλιλαῖοί τε γὰρ ἐχθρῶς ἔχοντες πρὸς τοὺς Τιβεριεῖς διὰ μῆνιν ὧν ὑπ' αὐτοῦ πρὸ τοῦ πολέμου ἐπεπόνθεισαν, οὐκ ἠνείχοντο στρατηγοῦντος αὐτῶν Ἰούστου· κἀγὼ δὲ τὴν προστασίαν τῆς Γαλιλαίας πιστευθεὶς ὑπὸ τοῦ κοινοῦ

Digitized by Google

τῶν Ἱεροσολυμιτῶν πολλάκις εἰς τοσαύτην ἦκον ὀργὴν ὡς ὀλίγου δεῖν ἀποκτεῖναι τὸν Ἰοῦστον, φέρειν αὐτοῦ τὴν μοχθηρίαν οὐ δυνάμενος. δείσας οὖν ἐκεῖνος μὴ καὶ λάβῃ τέλος ἅπαξ ὁ θυμός, ἔπεμψε πρὸς βασιλέα, κρεῖσσον καὶ ἀσφαλέστερον οἰκήσειν παρ' ἐκείνῳ νομίζων.

71 Σεπφωρῖται δὲ παραδόξως τὸν πρῶτον κίνδυνον διαφυγόντες πρὸς Κέστιον Γάλλον ἔπεμψαν, καὶ ἥκειν παρεκάλουν ὡς αὐτοὺς θᾶττον παραληψόμενον τὴν πόλιν, ἢ πέμψειν δύναμιν τὴν ἀνακόψουσαν τὰς ἐπ' αὐτοὺς τῶν πολεμίων ἐπιδρομάς. καὶ τέλος ἔπεισαν τὸν Γάλλον πέμψαι δύναμιν αὐτοῖς ἱππικήν τε καὶ πεζικὴν πάνυ συχνήν, ἣν ἐλθοῦσαν νυκτὸς εἰσεδέξαντο. καπουμένης δὲ ὑπὸ τῆς Ῥωμαϊκῆς στρατιᾶς τῆς πέριξ χώρας, ἀναλαβὼν ἐγὼ τοὺς περὶ ἐμὲ στρατιώτας ἦκον εἰς Γάρις κώμην· ἔνθα βαλόμενος χάρακα πόρρω τῆς Σεπφωριτῶν πόλεως ἀπὸ σταδίων εἴκοσι, νυκτὸς ἐπ' αὐτὴν προσέμιξα καὶ τοῖς τείχεσι προσέβαλον, καὶ διὰ κλιμάκων ἐμβιβάσας συχνοὺς τῶν στρατιωτῶν ἐγκρατὴς τοῦ πλείστου τῆς πόλεως μέρους ἐγενόμην. μετ' οὐ πολὺ δὲ διὰ τὴν τῶν τόπων ἄγνοιαν ἀναγκασθέντες ὑπεχωρήσαμεν, ἀνελόντες Ῥωμαίων μὲν δυοκαίδεκα πεζοὺς δύο δὲ ἱππεῖς, ὀλίγους δὲ Σεπφωριτῶν, αὐτοὶ δὲ ἕνα μόνον ἀπεβάλομεν. γενομένης δὲ ὕστερον ἡμῖν κατὰ τὸ πεδίον μάχης πρὸς τοὺς ἱππεῖς, μέχρι πολλοῦ καρτερῶς διακινδυνεύσαντες ἡττήθημεν· περιελθόντων γὰρ τῶν Ῥωμαίων οἱ μετ' ἐμοῦ δείσαντες ἔφυγον εἰς τοὐπίσω. πίπτει δὲ ἐπὶ τῆς παρατάξεως ἐκείνης εἷς τῶν πεπιστευμένων τὴν τοῦ σώματός μου φυλακήν, Ἰοῦστος τοὔνομα, καὶ παρὰ βασιλεῖ ποτὲ τὴν αὐτὴν τάξιν ἐσχηκώς.

κατὰ τοῦτον δὲ τὸν καιρὸν ἡ παρὰ βασιλέως δύ-

Digitized by Google

ναμις ἦκεν ἱππική τε καὶ πεζική, καὶ Σύλλας ἐπ' αὐτῆς ἡγεμών, ὁ ἐπὶ τῶν σωματοφυλάκων. οὗτος οὖν βαλόμενος στρατόπεδον Ἰουλιάδος ἀπέχον σταδίους πέντε, φρουρὰν ἐπέστησε ταῖς ὁδοῖς, τῇ τε εἰς Κανὰ ἀγούσῃ καὶ τῇ εἰς Γάμαλα τὸ φρούριον, ὑπὲρ τοῦ τὰς παρὰ τῶν Γαλιλαίων ὠφελείας τοῖς ἐνοίκοις ἀποκλείειν. ταῦτα δ' ὡς ἐγὼ ἐπυθόμην, πέμπω δισχιλίους ὁπλίτας καὶ στρατηγὸν αὐτῶν Ἱερεμίαν· οἳ δὴ καὶ χάρακα θέντες ἀπὸ σταδίου τῆς Ἰουλιάδος πλησίον τοῦ Ἰορδάνου ποταμοῦ πλέον ἀκροβολισμῶν οὐδὲν ἔπραξαν, μέχρι τρισχιλίους ἐγὼ στρατιώτας ἀναλαβὼν ἦλθον πρὸς αὐτούς. κατὰ δὲ τὴν ἐπιοῦσαν ἡμέραν ἔν τινι φάραγγι καθίσας λόχον οὐκ ἄπωθεν αὐτῶν τοῦ χάρακος, προεκαλούμην τοὺς βασιλικοὺς εἰς μάχην, παραινέσας τοῖς μετ' ἐμοῦ στρατιώταις στρέψαι τὰ νῶτα μέχρις ἂν ἐπισπάσωνται τοὺς πολεμίους προελθεῖν. ὅπερ καὶ ἐγένετο· Σύλλας γὰρ εἰκάσας ταῖς ἀληθείαις τοὺς ἡμετέρους φεύγειν, παρελθὼν ἐπιδιώκειν οἷός τε ἦν, κατὰ νώτου δ' αὐτὸν λαμβάνουσιν οἱ ἐκ τῆς ἐνέδρας, καὶ σφόδρα πάντας ἐθορύβησαν. ἐγὼ δὲ εὐθὺς ὀξείᾳ χρησάμενος ὑποστροφῇ μετὰ τῆς δυνάμεως ὑπήντησα τοῖς βασιλικοῖς, καὶ εἰς φυγὴν ἔτρεψα. κἂν κατώρθωτό μοι κατὰ τὴν ἡμέραν ἐκείνην ἡ πρᾶξις μὴ ἐμποδὼν γενομένου δαίμονός τινος· ὁ γὰρ ἵππος ἐφ' ᾧ τὴν μάχην ἐποιούμην εἰς τελματώδη τόπον ἐμπεσὼν συγκατήνεγκέ με ἐπὶ τοὔδαφος, θραύσεως δὲ τῶν ἄρθρων γενομένης ἐπὶ τὸν καρπὸν τῆς χειρός, ἐκομίσθην εἰς κώμην Κεφαρνώμην λεγομένην. οἱ δὲ ἐμοὶ ταῦτ' ἀκούσαντες, καὶ δεδοικότες μή τι χεῖρον ἔπαθον, τῆς μὲν ἐπὶ πλεῖον διώξεως ἀπέσχοντο, ὑπέστρεφον δὲ περὶ ἐμὲ λίαν ἀγωνιῶντες. μεταπεμψάμενος οὖν ἰατροὺς καὶ θεραπευθεὶς τὴν ἡμέραν ἐκείνην αὐτοῦ κατέμεινα πυρέξας, δό-

Digitized by Google

ξαν τε τοῖς ἰατροῖς τῆς νυκτὸς εἰς Ταριχαίας μετεκομίσθην.

73 Σύλλας δὲ καὶ οἱ μετ' αὐτοῦ πυθόμενοι τὰ κατ' ἐμὲ πάλιν ἐθάρσησαν, καὶ γνόντες ἀμελεῖσθαι τὰ περὶ τὴν φυλακὴν τοῦ στρατοπέδου, διὰ νυκτὸς ἵππέων λόχον ἱδρύσαντες ἐν τῷ πέραν τοῦ Ἰορδάνου, γενομένης ἡμέρας εἰς μάχην ἡμᾶς προεκαλέσαντο. τῶν δ' ὑπακουσάντων καὶ μέχρι τοῦ πεδίου προελθόντων, ἐπιφανέντες οἱ ἐκ τῆς ἐνέδρας ἵππεῖς καὶ ταράξαντες αὐτοὺς εἰς φυγὴν ἔτρεψαν, ἔξ τε τῶν ἡμετέρων ἀπέκτειναν. οὐ μὴν μέχρι τέλους τὴν νίκην ἤγαγον· καταπεπλευκέναι γάρ τινας ὁπλίτας ἀκούσαντες ἀπὸ Ταριχαιῶν εἰς Ἰουλιάδα, φοβηθέντες ἀνεχώρησαν.

74 μετ' οὐ πολὺν δὲ χρόνον Ἡσπασιανὸς εἰς Τύρον ἀφικνεῖται καὶ σὺν αὐτῷ ὁ βασιλεὺς Ἀγρίππας. καὶ οἱ Τύριοι βλασφημεῖν ἤρξαντο τὸν βασιλέα, Τυρίων αὐτὸν καλοῦντες καὶ Ῥωμαίων πολέμιον· τὸν γὰρ στρατοπεδάρχην αὐτοῦ Φίλιππον ἔλεγον προδεδωκέναι τὴν βασιλικὴν αὐλὴν καὶ τὰς Ῥωμαίων δυνάμεις τὰς οὔσας ἐν Ἱεροσολύμοις κατὰ τὴν αὐτοῦ πρόσταξιν. Ἡσπασιανὸς δὲ ἀκούσας Τυρίοις μὲν ἐπέπληξεν ὑβρίζουσιν ἄνδρα καὶ βασιλέα καὶ Ῥωμαίοις φίλον, τῷ δὲ βασιλεῖ παρήνεσε πέμψαι Φίλιππον εἰς Ῥώμην, ὑφέξοντα λόγον Νέρωνι περὶ τῶν πεπραγμένων. Φίλιππος δὲ πεμφθεὶς οὐχ ἧκεν εἰς ὄψιν Νέρωνι· καταλαβὼν γὰρ αὐτὸν ἐν τοῖς ἐσχάτοις ὄντα διὰ τὰς ἐμπεσούσας ταραχὰς καὶ τὸν ἐμφύλιον πόλεμον, ὑπέστρεψε πρὸς τὸν βασιλέα. ἐπεὶ δὲ Ἡσπασιανὸς εἰς Πτολεμαΐδα παρεγένετο, οἱ πρῶτοι τῶν τῆς Συρίας δέκα πόλεων κατεβόων Ἰούστου τοῦ Τιβεριέως, ὅτι τὰς κώμας αὐτῶν ἐμπρήσειεν. παρέδωκεν οὖν αὐτὸν Ἡσπασιανὸς τῷ βασιλεῖ κολασθησόμενον ὑπὸ τῶν τῆς βασιλείας ὑποτελῶν. ὁ βασι-

Digitized by Google

λεὺς δ' αὐτὸν ἔδησεν, ἐπικρυψάμενος τοῦτο Οὐεσπασιανόν, ὡς ἀνωτέρω δεδήλωται. Σεπφωρῖται δ' ὕπαντήσαντες καὶ ἀσπασάμενοι Οὐεσπασιανὸν λαμβάνουσι δύναμιν καὶ στρατηγὸν Πλάκιδον, ἀναβάντες δὲ μετὰ τούτων... ἑπομένου μου ἄχρι τῆς εἰς Γαλιλαίαν Οὐεσπασιανοῦ ἀφίξεως. περὶ ἧς τίνα τρόπον ἐγένετο, καὶ πῶς περὶ Ταριχαίαν κώμην τὴν πρώτην πρὸς ἐμὲ μάχην ἐποιήσατο, καὶ ὡς ἐκεῖθεν εἰς τὰ Ἰωτάπατα ἀνεχώρησα, καὶ τὰ πεπραγμένα μοι κατὰ τὴν ταύτης πολιορκίαν, καὶ ὃν τρόπον ζῶν ληφθεὶς ἐδέθην, καὶ πῶς ἐλύθην, πάντα τε τὰ πεπραγμένα μοι κατὰ τὸν Ἰουδαϊκὸν πόλεμον καὶ τὴν Ἱεροσολύμων πολιορκίαν, μετ' ἀκριβείας ἐν ταῖς περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου βίβλοις ἀπήγγελκα. ἀναγκαῖον δ' ἐστίν, ὡς οἶμαι, καὶ ὅσα μὴ κατὰ τὸν Ἰουδαϊκὸν πόλεμον ἀνέγραψα τῶν ἐν τῷ βίῳ μου πεπραγμένων νῦν προσαναγράψαι.

τῆς γὰρ τῶν Ἰωταπάτων πολιορκίας λαβούσης τέ- 75
λος, γενόμενος παρὰ Ῥωμαίοις μετὰ πάσης ἐπιμελείας ἐφυλασσόμην, τὰ πολλὰ διὰ τιμῆς ἄγοντός με Οὐεσπασιανοῦ. καὶ δὴ κελεύσαντος αὐτοῦ ἠγαγόμην τινὰ παρθένον ἐκ τῶν αἰχμαλωτίδων τῶν κατὰ Καισάρειαν ἁλουσῶν ἐγχώριον· οὐ παρέμεινε δ' αὕτη μοι πολὺν χρόνον, ἀλλὰ λυθέντος καὶ μετὰ Οὐεσπασιανοῦ πορευθέντος εἰς τὴν Ἀλεξάνδρειαν ἀπηλλάγη. γυναῖκα δ' ἑτέραν ἠγαγόμην κατὰ τὴν Ἀλεξάνδρειαν. κἀκεῖθεν ἐπὶ τὴν Ἱεροσολύμων πολιορκίαν συμπεμφθεὶς Τίτῳ πολλάκις ἀποθανεῖν ἐκινδύνευσα, τῶν τε Ἰουδαίων διὰ σπουδῆς ἐχόντων ὑποχειρίου με λαβεῖν τιμωρίας ἕνεκεν, καὶ Ῥωμαίων, ὁσάκις νικηθεῖεν, πάσχειν τοῦτο κατ' ἐμὴν προδοσίαν δοκούντων συνεχεῖς καταβοήσεις ἐπὶ τοῦ αὐτοκράτορος ἐγίνοντο, κολάζειν με ὡς καὶ αὐτῶν προδότην ἀξιούντων. Τίτος δὲ Καῖσαρ τὰς τοῦ

Digitized by Google

πολέμου τύχας οὐκ ἀγνοῶν, σιγῇ τὰς ἐπ' ἐμὲ τῶν στρατιωτῶν ἐξέλυεν ὁρμάς. ἤδη δὲ κατὰ κράτος τῆς τῶν Ἱεροσολυμιτῶν πόλεως ἐχομένης, Τίτος Καῖσαρ ἔπειθέν με πολλάκις ἐκ τῆς κατασκαφῆς τῆς πατρίδος πᾶν ὅ τι θέλοιμι λαβεῖν· συγχωρεῖν γὰρ αὐτὸς ἔφασκεν. ἐγὼ δὲ τῆς πατρίδος πεσούσης μηδὲν ἔχων τιμιώτερον, ὧν τῶν ἐμαυτοῦ συμφορῶν εἰς παραμυθίαν λαβὼν φυλάξαιμι, σωμάτων ἐλευθέρων τὴν αἴτησιν ἐποιούμην Τίτον καὶ βιβλίων ἱερῶν, ⟨καὶ⟩ ἔλαβον χαρισαμένου Τίτου. μετ' οὐ πολὺ δὲ καὶ τὸν ἀδελφὸν μετὰ πεντήκοντα φίλων αἰτησάμενος οὐκ ἀπέτυχον. καὶ εἰς τὸ ἱερὸν δὲ πορευθεὶς Τίτου τὴν ἐξουσίαν δόντος, ἔνθα πολὺ πλῆθος αἰχμαλώτων ἐγκέκλειστο γυναικῶν τε καὶ τέκνων, ὅσους ἐπέγνων φίλων ἐμῶν καὶ συνήθων ὑπάρχοντας ἐρρυσάμην, περὶ ἑκατὸν καὶ ἐνενήκοντα ὄντας τὸν ἀριθμόν, καὶ οὐδὲ λύτρα καταθεμένους ἀπέλυσα, συγχωρήσας αὐτοὺς τῇ προτέρᾳ τύχῃ. πεμφθεὶς δὲ ὑπὸ Τίτου Καίσαρος σὺν Κερεαλίῳ καὶ χιλίοις ἱππεῦσιν εἰς κώμην τινὰ Θεκώαν λεγομένην, προκατανοήσων εἰ τόπος ἐπιτήδειός ἐστι χάρακα δέξασθαι, ὡς ἐκεῖθεν ὑποστρέφων εἶδον πολλοὺς αἰχμαλώτους ἀνεσταυρωμένους καὶ τρεῖς ἐγνώρισα συνήθεις μοι γενομένους, ἤλγησά τε τὴν ψυχήν, καὶ μετὰ δακρύων προσελθὼν Τίτῳ εἶπον. ὃ δ' εὐθὺς ἐκέλευσε καθαιρεθέντας αὐτοὺς θεραπείας ἐπιμελεστάτης τυχεῖν. καὶ οἱ μὲν δύο τελευτῶσι θεραπευόμενοι, ὁ δὲ τρίτος ἔζησεν.

76 ἐπεὶ δὲ κατέπαυσε τὰς ἐν τῇ Ἰουδαίᾳ ταραχὰς Τίτος, εἰκάσας τοὺς ἀγροὺς οὓς εἶχον ἐν τοῖς Ἱεροσολύμοις ἀνονήτους ἐσομένους μοι διὰ τὴν μέλλουσαν ἐκεῖ Ῥωμαίων φρουρὰν ἐγκαθέξεσθαι, ἔδωκεν ἑτέραν χώραν ἐν πεδίῳ· μέλλων τε ἀπαίρειν εἰς τὴν Ῥώμην σύμπλουν ἐδέξατό με, πᾶσαν τιμὴν ἀπονέμων. ἐπεὶ

Digitized by Google

δὲ εἰς τὴν Ῥώμην ἦκομεν, πολλῆς ἔτυχον παρὰ Ὀὲσπασιανοῦ προνοίας· καὶ γὰρ καὶ κατάλυσιν ἔδωκεν ἐν τῇ οἰκίᾳ τῇ πρὸ τῆς ἡγεμονίας αὐτῷ γενομένῃ, πολιτείᾳ τε Ῥωμαίων ἐτίμησε καὶ σύνταξιν χρημάτων ἔδωκεν, καὶ τιμῶν διετέλει μέχρι τῆς ἐκ τοῦ βίου μεταστάσεως, οὐδὲν τῆς πρὸς ἐμὲ χρηστότητος ὑφελών· ὅ μοι διὰ τὸν φθόνον ἤνεγκε κίνδυνον. Ἰουδαῖος γάρ τις, Ἰωνάθης τοὔνομα, στάσιν ἐξεγείρας ἐν Κυρήνῃ καὶ δισχιλίους τῶν ἐγχωρίων συναναπείσας ἐκείνοις μὲν αἴτιος ἀπωλείας ἐγένετο, αὐτὸς δὲ ὑπὸ τοῦ τῆς χώρας ἡγεμονεύοντος δεθεὶς καὶ ἐπὶ τὸν αὐτοκράτορα πεμφθεὶς ἔφασκεν ἐμὲ αὐτῷ ὅπλα πεπομφέναι καὶ χρήματα. οὐ μὴν Ὀὲσπασιανὸν ψευδόμενος ἔλαθεν, ἀλλὰ κατέγνω θάνατον αὐτοῦ, καὶ παραδοθεὶς ἀπέθανεν. πολλάκις δὲ καὶ μετὰ ταῦτα τῶν βασκαινόντων μοι τῆς εὐτυχίας κατηγορίας ἐπ' ἐμὲ συνθέντων, θεοῦ προνοίᾳ πάσας διέφυγον. ἔλαβον δὲ παρὰ Ὀεσπασιανοῦ δωρεὰν γῆν οὐκ ὀλίγην ἐν τῇ Ἰουδαίᾳ. καθ' ὃν δὴ καιρὸν καὶ τὴν γυναῖκα, μὴ ἀρεσκόμενος αὐτῆς τοῖς ἤθεσιν, ἀπεπεμψάμην, τριῶν παίδων γενομένην μητέρα, ὧν οἱ μὲν δύο ἐτελεύτησαν, εἷς δὲ ὃν Τρκανὸν προσηγορευσα περίεστιν. μετὰ ταῦτα ἠγαγόμην γυναῖκα κατωκηκυῖαν μὲν ἐν Κρήτῃ, τὸ δὲ γένος Ἰουδαίαν, γονέων εὐγενεστάτων καὶ τῶν κατὰ τὴν χώραν ἐπιφανεστάτων, ἤθει πολλῶν γυναικῶν διαφέρουσαν, ὡς ὁ μετὰ ταῦτα βίος αὐτῆς ἀπέδειξεν. ἐκ ταύτης δή μοι γίνονται παῖδες δύο, πρεσβύτερος μὲν Ἰοῦστος, Σιμωνίδης δὲ μετ' ἐκεῖνον, ὁ καὶ Ἀγρίππας ἐπικληθείς. ταῦτα μέντοι τὰ κατὰ τὸν οἶκον, διέμεινε δέ μοι ὅμοια καὶ τὰ παρὰ τῶν αὐτοκρατόρων. Ὀεσπασιανοῦ γὰρ τελευτήσαντος Τίτος τὴν ἀρχὴν διαδεξάμενος, ὁμοίαν τῷ πατρὶ τὴν τιμήν μοι διεφύλαξε,

Digitized by Google

πολλάκις τε κατηγορηθέντος οὐκ ἐπίστευσεν. διαδεξάμενος δὲ τοῦτον Δομετιανὸς καὶ προσηύξησε τὰς εἰς ἐμὲ τιμάς· τούς τε γὰρ κατηγορήσαντάς μου Ἰουδαίους ἐκόλασε, καὶ δοῦλον εὐνοῦχον, παιδαγωγὸν τοῦ παιδός μου, κατηγορήσαντα κολασθῆναι προσέταξεν. ἐμοὶ δὲ τῆς ἐν Ἰουδαίᾳ χώρας ἀτέλειαν ἔδωκεν, ἥπερ ἐστὶ μεγίστη τιμὴ τῷ λαβόντι. καὶ πολλὰ δ' ἡ τοῦ Καίσαρος γυνὴ Δομετία διετέλεσεν εὐεργετοῦσά με.

ταῦτα μὲν τὰ πεπραγμένα μοι διὰ τοῦ βίου ἐστίν, κρινέτωσαν δ' ἐξ αὐτῶν τὸ ἦθος, ὅπως ἂν ἐθέλωσιν, ἕτεροι. σοὶ δ' ἀποδεδωκώς, κράτιστε ἀνδρῶν Ἐπαφρόδιτε, τὴν πᾶσαν τῆς ἀρχαιολογίας ἀναγραφήν, ἐπὶ τοῦ παρόντος ἐνταῦθα καταπαύω τὸν λόγον.

Digitized by Google

FLAVII IOSEPHI

OPERA OMNIA

AB

IMMANUELE BEKKERO

RECOGNITA.

VOLUMEN QUINTUM.

LIPSIAE.
SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.
MDCCCLVI.

Digitized by Google

Digitized by Google

PRAEFATIO.

P. 3 v. 18. δὲ*: τε 7 5. ἐστασίασεν?* 29. καταστάσεις?* 20 15. εὐνοοῦν*: εὐνοῦν 16. πεζοί*: πεζῶν 22 3. ἐγκλίνουσι*: ἐκκλίνουσι 32 4. τὴν decrat* 42 14. γε*: τε 43 5. τε*: τὰν 57 7. καταλείποιτο*: καταλίποιτο 65 13. περὶ] πρὸς?* 66 2. τοῦτο*: τοῦτο τὸ 13. ὑποπεπτηχότες*: ὑποπεπτηκότες 67 32. καταλειπόντων*: καταλιπόντων 73 21. ἕνεκεν*: εἰ δὲ 74 30. ἀμυνάμενος*: ἀμυνόμενος 77 9. ἐπαφιεὶς?* 82 26. τῶν*: τῶν ἐν 86 26. ὥστε*: ὡς δὲ 93 10. συνοικίσας*: συνοικήσας 96 27. προέπεσεν*: προσέπεσεν 28. διαδοχήν?* 99 15. φιλίαν δὲ Ἀλεξάνδρου?* ἑταῖρος αὐτὸς?* 103 32. δὲ*: τε 107 6. διακόψῃ*: διακόψει 112 26. φείσεσθαι*: φείσασθαι 114 5. παραδοίη Dindorfius: παραδοῖ vel παραδιδοῖ 119 31. γε*: τε 122 7. ὠφελῶμαι?* 124 6. κτημάτων? an χρυσωμάτων?* 126 19. τε*: δὲ 131 6. ἐπιλάβοιντο?* 134 17 et 139 2. οὐδὲ*: οὔτε 142 16. δυστυχεῖν δι' ἔθους?* nisi τοῦ mavis duplex 143 18. δὲ*: τε 147 25. μήθ'*: μηδ' 148 15. ὧν*: παρ' ὧν 153 8. δίαιταν*: ὃ δίαιταν 30. ἐφορᾶν] μὴ δρᾶν Grotius 154 4. ἄλλους?* 157 10. πρόεστι?* 160 32. πρὸς Dindorfius: περὶ 166 28. δίδωσι*: δίδωσι μὲν 168 7. προαγαγὼν Dindorfius: παραγαγὼν 176 23. παρεγίνοντο*: παρεγένοντο 178 4. συνεισέπιπτον?* 23. αὐτὸς*: αὐτὸν 199 8. παθ' ὑμῶν suspecta 13.

Digitized by Google

ἦν*: ἐν 200 1. Τύριοι συχνοὺς μὲν?* 9. αὐτῶν τὰ?* 216 4. ἑώρα 218 29. οἶϱ?* 240 20. δὴ*: δὲ. cf. 246 1. 245 16. δὲ*: τε 255 20. τῷ*: τῶν 260 5. ὑπὸ*: ἀπὸ 278 23. ἐμὴν ὁρμὴν?* 281 25. τῷ Ἀγρίππα πλούτῳ*: τῶν Ἀγρίππα πλούτων 295 3. φύσει τε ὀχυρὸν?* 298 12. κἂν*: καὶ 301 17. τὸν μὲν*: μὲν τὸν 312 30. συνασπίζον; αὐτὸς γοῦν μέχρι?* 314 2. ὅτε?* 21. προηκίσαντο?* 318 18. κατειλημένον*: κατειλημμένον 319 20. συντάξεσθαι*: συντάξασθαι 320 19. τρόπος?* 325 17. ἐπανέστησαν*: ἐπανίστησαν 327 3. ἐπιστρέψειν*: ἐπιστρέφειν 339 13. μελαίνας*: μέλανας 345 20. ὡς — πλῆθος] haec transposui olim ante illa 21. δίχα — μυριάδες sita 350 6. τἀπ?* 352 12. διαδοχάς?* 354 2. ὁ Ἀλεξανδρείας?* an Ἀλεξάνδρεια?* 358 14. μὲν*: δὲ

Digitized by Google

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ

Digitized by Google

Digitized by Google

ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ
Η
ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ
ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

Ἐπειδὴ τὸν Ἰουδαίων πρὸς Ῥωμαίους πόλεμον συ- (1)
στάντα μέγιστον οὐ μόνον τῶν καθ' ἡμᾶς, σχεδὸν δὲ
καὶ ὧν ἀκοῇ παρειλήφαμεν ἢ πόλεων πρὸς πόλεις ἢ
ἐθνῶν ἔθνεσι συρραγέντων, οἱ μὲν οὐ παρατυχόντες τοῖς
πράγμασιν, ἀλλ' ἀκοῇ συλλέγοντες εἰκαῖα καὶ ἀσύμ-
φωνα διηγήματα, σοφιστικῶς ἀναγράφουσιν, οἱ παρα-
γενόμενοι δὲ ἢ κολακείᾳ τῇ πρὸς Ῥωμαίους ἢ μίσει τῷ
πρὸς Ἰουδαίους καταψεύδονται τῶν πραγμάτων, πε-
ριέχει δὲ αὐτοῖς ὅπου μὲν κατηγορίαν ὅπου δὲ ἐγκώ-
μον τὰ συγγράμματα, τὸ δ' ἀκριβὲς τῆς ἱστορίας οὐδα-
μοῦ, προυθέμην ἐγὼ τοῖς κατὰ τὴν Ῥωμαίων ἡγεμο-
νίαν, Ἑλλάδι γλώσσῃ μεταβαλών, ἃ τοῖς ἄνω βαρβάροις
τῇ πατρίῳ συντάξας ἀνέπεμψα πρότερον, ἀφηγήσα-
σθαι, Ἰώσηπος Ματθίου παῖς, γένει Ἑβραῖος ἐξ
Ἱεροσολύμων, ἱερεύς, αὐτός τε Ῥωμαίους πολεμήσας
τὰ πρῶτα καὶ τοῖς ὕστερον παρατυχὼν ἐξ ἀνάγκης.
γενομένου γάρ, ὡς ἔφην, μεγίστου τοῦδε τοῦ κινήμα- 2
τος, ἐν Ῥωμαίοις μὲν ἐνόσει τὰ οἰκεῖα, Ἰουδαίων δὲ
τὸ νεωτερίζον τότε τεταραγμένοις ἐπανέστη τοῖς καιροῖς,
ἀκμάζον κατά τε χεῖρα καὶ χρήμασιν, ὡς δι'
ὑπερβολὴν θορύβων τοῖς μὲν ἐν ἐλπίδι κτήσεως τοῖς

Digitized by Google

δ' ἐν ἀφαιρέσεως δέει γίνεσθαι τὰ πρὸς τὴν ἀνατολήν, ἐπειδὴ Ἰουδαῖοι μὲν ἅπαν τὸ ὑπὲρ Εὐφράτην ὁμόφυλον συνεπαρθήσεσθαι σφίσιν ἤλπισαν, Ῥωμαίους δὲ οἵ τε γείτονες Γαλάται παρεκίνουν καὶ τὸ Κελτικὸν οὐκ ἠρέμει, μεστὰ δὲ ἦν πάντα θορύβων μετὰ Νέρωνα, καὶ πολλοὺς μὲν βασιλειᾶν ὁ καιρὸς ἀνέπειθε, τὰ στρατιωτικὰ δὲ ἦρα μεταβολῆς ἐλπίδι λημμάτων. ἄτοπον οὖν ἡγησάμην περιιδεῖν πλαζομένην ἐπὶ τηλικούτοις πράγμασι τὴν ἀλήθειαν, καὶ Πάρθους μὲν καὶ Βαβυλωνίους Ἀράβων τε τοὺς πορρωτάτω καὶ τὸ ὑπὲρ Εὐφράτην ὁμόφυλον ἡμῖν Ἀδιαβηνούς τε γνῶναι διὰ τῆς ἐμῆς ἐπιμελείας ἀκριβῶς ὅθεν τε ἤρξατο καὶ δι' ὅσων ἐχώρησε παθῶν ὁ πόλεμος καὶ ὅπως κατέστρεψεν, ἀγνοεῖν δὲ Ἕλληνας ταῦτα καὶ Ῥωμαίων τοὺς μὴ ἐπιστρατευσαμένους, ἐντυγχάνοντας ἢ κολακείαις ἢ πλάσμασι.

3 καίτοι γε ἱστορίας αὐτὰς ἐπιγράφειν τολμῶσιν, ἐν αἷς πρὸς τῷ μηδὲν ὑγιὲς δηλοῦν καὶ τοῦ σκοποῦ δοκοῦσιν ἔμοιγε διαμαρτάνειν. βούλονται γὰρ μεγάλους μὲν τοὺς Ῥωμαίους ἀποδεικνύειν, καταβάλλουσι δὲ ἀεὶ τὰ Ἰουδαίων καὶ ταπεινοῦσιν· οὐχ ὁρῶ δὲ πῶς ἂν εἶναι μεγάλοι δοκοῖεν οἱ μικροὺς νενικηκότες· καὶ οὔτε τὸ μῆκος αἰδοῦνται τοῦ πολέμου οὔτε τὸ πλῆθος τῆς καμούσης Ῥωμαίων στρατιᾶς οὔτε τὸ μέγεθος τῶν στρατηγῶν, οἳ πολλὰ περὶ τοῖς Ἱεροσολύμοις ἱδρώσαντες, οἶμαι, ταπεινουμένου τοῦ κατορθώματος αὐτοῖς ἀδοξοῦσιν.

4 οὐ μὴν ἐγὼ τοῖς ἐπαίρουσι τὰ Ῥωμαίων ἀντιφιλονεικῶν αὔξειν τὰ τῶν ὁμοφύλων διέγνων, ἀλλὰ τὰ μὲν ἔργα μετ' ἀκριβείας ἑκατέρων διέξειμι, τοὺς δ' ἐπὶ τοῖς πράγμασι λόγους ἀνατίθημι τῇ διαθέσει, καὶ τοῖς ἐμαυτοῦ πάθεσι διδοὺς ἐπολοφύρεσθαι ταῖς τῆς πατρί-

Digitized by Google

δος συμφοραῖς. ὅτι γὰρ αὐτὴν στάσις οἰκεία καθεῖλε, καὶ τὰς Ῥωμαίων χεῖρας ἀκούσας καὶ τὸ πῦρ ἐπὶ τὸν ἅγιον ναὸν εἵλκυσαν οἱ Ἰουδαίων τύραννοι, μάρτυς αὐτὸς ὁ πορθήσας Τίτος Καῖσαρ, ἐν παντὶ τῷ πολέμῳ τὸν μὲν δῆμον ἐλεήσας ὑπὸ τῶν στασιαστῶν φρουρούμενον, πολλάκις δὲ ἐκὼν τὴν ἅλωσιν τῆς πόλεως ὑπερτιθέμενος, καὶ διδοὺς τῇ πολιορκίᾳ χρόνον εἰς μετάνοιαν τῶν αἰτίων. εἰ δέ τις ὅσα πρὸς τοὺς τυράννους ἢ τὸ ληστρικὸν αὐτῶν κατηγορικῶς λέγομεν, τοῖς ἀτυχήμασι τῆς πατρίδος ἐπιστένοντες, συκοφαντοίη, διδότω παρὰ τὸν τῆς ἱστορίας νόμον συγγνώμην τῷ πάθει· πόλιν γὰρ δὴ τῶν ὑπὸ Ῥωμαίους πασῶν τὴν ἡμετέραν ἐπὶ πλεῖστόν τε εὐδαιμονίας συνέβη προελθεῖν καὶ πρὸς ἔσχατον συμφορῶν αὖθις καταπεσεῖν. τὰ γοῦν πάντων ἀπ' αἰῶνος ἀτυχήματα πρὸς τὰ Ἰουδαίων ἡττᾶσθαί μοι δοκεῖ κατὰ σύγκρισιν, καὶ τούτων αἴτιος οὐδεὶς ἀλλόφυλος, ὥστε ἀμήχανον ἦν ὀδυρμῶν ἐπικρατεῖν. εἰ δέ τις οἴκτου σκληρότερος εἴη δικαστής, τὰ μὲν πράγματα τῇ ἱστορίᾳ προσκρινέτω, τὰς δ' ὀλοφύρσεις τῷ γράφοντι.

καίτοι γε ἐπιτιμήσαιμ' ἂν αὐτὸς δικαίως τοῖς Ἑλλήνων λογίοις, οἳ τηλικούτων κατ' αὐτοὺς πραγμάτων γεγενημένων, ἃ κατὰ σύγκρισιν ἐλαχίστους ἀποδείκνυσι τοὺς πάλαι πολέμους, τούτων μὲν κάθηνται κριταὶ τοῖς φιλοτιμουμένοις ἐπηρεάζοντες, ὧν εἰ καὶ τῷ λόγῳ πλεονεκτοῦσι, λείπονται τῇ προαιρέσει, αὐτοὶ δὲ τὰ Ἀσσυρίων ἢ τὰ Μήδων συγγράφουσιν ὥσπερ ἧττον καλῶς ὑπὸ τῶν ἀρχαίων συγγραφέων ἀπηγγελμένα. καίτοι τοσοῦτον τῆς ἐκείνων ἡττῶνται δυνάμεως ἐν τῷ γράφειν ὅσον καὶ τῆς γνώμης. τὰ γὰρ καθ' αὑτοὺς ἐσπούδαζον ἕκαστοι γράφειν, ὅπου καὶ τὸ παρατυχεῖν τοῖς πράγμασιν ἐποίει τὴν ἀπαγγελίαν ἐναργῆ καὶ τὸ ψεύ-

Digitized by Google

δεσθαι παρ' εἰδόσιν αἰσχρὸν ἦν. τό γε μὴν μνήμῃ τὰ μὴ προϊστορηθέντα διδόναι καὶ τὰ κατὰ τὸν ἴδιον χρόνον τοῖς μεθ' ἑαυτὸν συνιστάνειν ἐπαίνου καὶ μαρτυρίας ἄξιον· φιλόπονος δὲ οὐχ ὁ μεταποιῶν οἰκονομίαν καὶ τάξιν ἀλλοτρίαν, ἀλλ' ὁ μετὰ τοῦ καινὰ λέγειν καὶ τὸ σῶμα τῆς ἱστορίας κατασκευάζων ἴδιον. κἀγὼ μὲν ἀναλώμασι καὶ πόνοις μεγίστοις ἀλλόφυλος ὢν Ἕλλησί τε καὶ Ῥωμαίοις τὴν μνήμην τῶν κατορθωμάτων ἀνατίθημι· τοῖς δὲ γνησίοις πρὸς μὲν τὰ λήμματα καὶ τὰς δίκας κέχηνεν εὐθέως τὸ στόμα καὶ ἡ γλῶσσα λέλυται, πρὸς δὲ τὴν ἱστορίαν, ἔνθα χρὴ τἀληθῆ λέγειν καὶ μετὰ πολλοῦ πόνου τὰ πράγματα συλλέγειν, πεφίμωνται, παρέντες τοῖς ἀσθενεστέροις καὶ μηδὲ γινώσκουσι τὰς πράξεις τῶν ἡγεμόνων γράφειν. τιμάσθω δὴ παρ' ἡμῖν τὸ τῆς ἱστορίας ἀληθές, ἐπεὶ παρ' Ἕλλησιν ἀμελεῖται.

6 ἀρχαιολογεῖν μὲν δὴ τὰ Ἰουδαίων, τίνες τε ὄντες καὶ ὅπως ἀπανέστησαν Αἰγυπτίων, χώραν τε ὅσην ἐκῆλθον ἀλώμενοι καὶ πόσα ἔξῆς κατέλαβον καὶ πῶς μετανέστησαν, νῦν ἄκαιρον ᾠήθην εἶναι καὶ ἄλλως περιτόν, ἐπειδὴ καὶ Ἰουδαίων πολλοὶ πρὸ ἐμοῦ τὰ τῶν προγόνων συνετάξαντο μετ' ἀκριβείας, καί τινες Ἑλλήνων ἐκεῖνα τῇ πατρίῳ φωνῇ μεταβαλόντες οὐ πολὺ τῆς ἀληθείας διήμαρτον. ὅπου δὲ οἵ τε τούτων συγγραφεῖς ἐπαύσαντο καὶ οἱ ἡμέτεροι προφῆται, τὴν ἀρχὴν ἐκεῖθεν ποιήσομαι τῆς συντάξεως. τούτων δὲ τὰ μὲν τοῦ κατ' ἐμαυτὸν πολέμου διεξοδικώτερον καὶ μεθ' ὅσης ἂν ἐξεργασίας δύνωμαι δίειμι, τὰ δὲ προγενέστερα τῆς ἐμῆς ἡλι-
7 κίας ἐπιδραμῶν συντόμως, ὡς Ἀντίοχος ὁ κληθεὶς ἐπιφανὴς ἑλὼν κατὰ κράτος Ἱεροσόλυμα καὶ κατασχὼν ἔτεσι τρισὶ καὶ μησὶν ἓξ ὑπὸ τῶν Ἀσαμωναίου παίδων ἐκβάλλεται τῆς χώρας, ἔπειθ' ὡς οἱ τούτων

Digitized by Google

ἔκγονοι περὶ τῆς βασιλείας διαστασιάσαντες εἵλκυσαν εἰς τὰ πράγματα Ῥωμαίους καὶ Πομπήιον, καὶ ὡς Ἡρῴδης ὁ Ἀντιπάτρου κατέλυσε τὴν δυναστείαν αὐτῶν ἐπαγαγὼν Σόσσιον, ὅπως τε ὁ λαὸς μετὰ τὴν Ἡρῴδου τελευτὴν κατεστασίασεν, Αὐγούστου μὲν Ῥωμαίων ἡγεμονεύοντος, Κουιντιλίου δὲ Ὄαρου κατὰ τὴν χώραν ὄντος, καὶ ὡς ἔτει δωδεκάτῳ τῆς Νέρωνος ἀρχῆς ὁ πόλεμος ἀνερράγη, τά τε συμβάντα κατὰ Κέστιον, καὶ ὅσα παρὰ τὰς πρώτας ὁρμὰς ἐπῆλθον οἱ Ἰουδαῖοι τοῖς ὅπλοις, ὅπως τε τὰς περιοίκους ἐτειχί- 8
σαντο, καὶ ὡς Νέρων ἐπὶ τοῖς Κεστίου πταίσμασι δείσας περὶ τῶν ὅλων Ὀὐεσπασιανὸν ἐφίστησι τῷ πολέμῳ, καὶ ὡς οὗτος μετὰ τοῦ πρεσβυτέρου τῶν παίδων εἰς τὴν Ἰουδαίων χώραν ἐνέβαλεν, ὅσῃ τε χρώμενος Ῥωμαίων στρατιᾷ, καὶ ὅσοι σύμμαχοι ἐπόπησαν εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ ὡς τῶν πόλεων αὐτῆς ἃς μὲν κατὰ κράτος ἃς δὲ δι' ὁμολογίας ἔλαβεν. ἔνθα δὴ καὶ τὰ περὶ τῆς τῶν Ῥωμαίων ἐν πολέμοις εὐταξίας καὶ τὴν ἄσκησιν τῶν ταγμάτων, τῆς τε Γαλιλαίας ἑκατέρας τὰ διαστήματα καὶ τὴν φύσιν, καὶ τοὺς τῆς Ἰουδαίας ὅρους, ἔτι τε τῆς χώρας τὴν ἰδιότητα, λίμνας τε καὶ πηγὰς τὰς ἐν αὐτῇ, καὶ τὰ περὶ ἑκάστην πόλιν τῶν ἁλισκομένων πάθη μετ' ἀκριβείας, ὡς εἶδον ἢ ἔπαθον, δίειμι· οὐδὲ γὰρ τῶν ἐμαυτοῦ τι συμφορῶν ἀποκρύψομαι, μέλλων γε πρὸς εἰδότας ἐρεῖν. ἔπειθ' ὡς ἤδη καμνόντων Ἰουδαίοις τῶν 9
πραγμάτων θνήσκει μὲν Νέρων, Ὀὐεσπασιανὸς δὲ ἐπὶ Ἱεροσολύμων ὡρμημένος ὑπὸ τῆς ἡγεμονίας ἀνθέλκεται· τά τε γενόμενα περὶ ταύτης αὐτῷ σημεῖα, καὶ τὰς ἐπὶ Ῥώμης καταβάσεις, καὶ ὡς αὐτὸς ὑπὸ τῶν στρατιωτῶν ἄκων αὐτοκράτωρ ἀποδεικνυται, καὶ ὡς τούτου ἀποχωρήσαντος ἐπὶ διοικήσει τῶν ὅλων εἰς τὴν Αἴγυπτον ἐστασιάσθη τὰ Ἰουδαίων, ὅπως τε ἐπανέστησαν αὐ-

Digitized by Google

τοῖς οἱ τύραννοι, καὶ τὰς τούτων πρὸς ἀλλήλους διαφο-
10 ράς, καὶ ὡς ἄρας ἀπὸ τῆς Αἰγύπτου Τίτος δεύτερον
εἰς τὴν χώραν ἐνέβαλεν, ὅπως τε τὰς δυνάμεις καὶ ὅπου
καὶ πόσας συνήγαγε, καὶ ὅπως ἐκ τῆς στάσεως ἡ πόλις
διέκειτο παρόντος αὐτοῦ, προσβολάς τε ὅσας ἐποιήσατο
καὶ πόσα χώματα, περιβόλους τε τῶν τριῶν τειχῶν
καὶ τὰ μέτρα τούτων, τήν τε τῆς πόλεως ὀχυρότητα
καὶ τοῦ ἱεροῦ καὶ τοῦ ναοῦ τὴν διάθεσιν, ἔτι δὲ καὶ τού-
των καὶ τοῦ βωμοῦ τὰ μέτρα, πάντα μετ' ἀκριβείας,
ἔθη τε ἑορτῶν ἔνια καὶ τὰς ἑπτὰ ἁγνείας καὶ τὰς τῶν
ἱερέων λειτουργίας, ἔτι δὲ τὰς ἐσθῆτας τῶν ἱερέων
καὶ τοῦ ἀρχιερέως, καὶ οἷον ἦν τοῦ ναοῦ τὸ ἅγιον, οὐδὲν
οὔτε ἀποκρυπτόμενος οὔτε προστιθεὶς τοῖς πεφωραμέ-
11 νοις. ἔπειτα διέξειμι τήν τε τῶν τυράννων πρὸς τοὺς
ὁμοφύλους ὠμότητα καὶ τὴν Ῥωμαίων φειδὼ πρὸς τοὺς
ἀλλοφύλους, καὶ ὁσάκις Τίτος σῶσαι τὴν πόλιν καὶ τὸν
ναὸν ἐπιθυμῶν ἐπὶ δεξιὰς τοὺς στασιάζοντας προυκα-
λέσατο. διακρινῶ δὲ τὰ πάθη τοῦ δήμου καὶ τὰς συμ-
φοράς, ὅσα τε ὑπὸ τοῦ πολέμου καὶ ὅσα ὑπὸ τῆς στά-
σεως καὶ ὅσα ὑπὸ τοῦ λιμοῦ κακωθέντες ἐάλωσαν. πα-
ραλείψω δὲ οὐδὲ τὰς τῶν αὐτομόλων ἀτυχίας, οὐδὲ τὰς
τῶν αἰχμαλώτων κολάσεις, ὅπως τε ὁ ναὸς ἄκοντος
ἐνεπρήσθη Καίσαρος, καὶ ὅσα τῶν ἱερῶν κειμηλίων ἐκ
τοῦ πυρὸς ἡρπάγη, τήν τε τῆς ὅλης πόλεως ἅλωσιν, καὶ
τὰ πρὸ ταύτης σημεῖα καὶ τέρατα, καὶ τὴν αἰχμαλωσίαν
τῶν τυράννων, τῶν τε ἀνδραποδισθέντων τὸ πλῆθος,
καὶ εἰς ἣν ἕκαστοι τύχην διενεμήθησαν, καὶ ὡς Ῥωμαῖοι
μὲν ἐπεξῆλθον τὰ λείψανα τοῦ πολέμου καὶ τὰ ἐρύματα
τῶν χωρίων καθεῖλον, Τίτος δὲ πᾶσαν ἐπελθὼν τὴν χώ-
ραν κατεστήσατο, τήν τε ὑποστροφὴν αὐτοῦ τὴν εἰς Ἰτα-
λίαν καὶ τὸν θρίαμβον.

12 ταῦτα πάντα περιλαβὼν ἐν ἑπτὰ βιβλίοις, καὶ μηδε-

Digitized by Google

μίαν τοῖς ἐπισταμένοις τὰ πράγματα καὶ παρατυχοῦσι τῷ πολέμῳ καταλιπὼν ἢ μέμψεως ἀφορμὴν ἢ κατηγορίας, τοῖς γε τὴν ἀλήθειαν ἀγαπῶσιν, ἀλλὰ μὴ πρὸς ἡδονήν, ἀνέγραψα. ποιήσομαι δὲ ταύτην τῆς ἐξηγήσεως ἀρχὴν ἣν καὶ τῶν κεφαλαίων ἐποιησάμην.

στάσεως τοῖς δυνατοῖς Ἰουδαίων ἐμπεσούσης καθ' 1
ὃν καιρὸν Ἀντίοχος ὁ κληθεὶς ἐπιφανὴς διεφέρετο περὶ ὅλης Συρίας πρὸς Πτολεμαῖον τὸν ἕκτον (ἡ φιλοτιμία δ' ἦν αὐτοῖς περὶ δυναστείας, ἑκάστου τῶν ἐν ἀξιώματι μὴ φέροντος τοῖς ὁμοίοις ὑποτετάχθαι), Ὀνίας μὲν εἷς τῶν ἀρχιερέων ἐπικρατήσας ἐξέβαλε τῆς πόλεως τοὺς Τωβία υἱούς, οἳ δὲ καταφυγόντες πρὸς Ἀντίοχον ἱκέτευσαν αὐτοῖς ἡγεμόσι χρώμενον εἰς τὴν Ἰουδαίαν εἰσβαλεῖν. πείθεται ὁ βασιλεὺς ὡρμημένος πάλαι, καὶ μετὰ πλείστης δυνάμεως αὐτὸς ὁρμήσας τήν τε πόλιν αἱρεῖ κατὰ κράτος καὶ πολύ τι πλῆθος τῶν Πτολεμαίῳ προσεχόντων ἀνεῖλε, ταῖς τε ἁρπαγαῖς ἀνέδην ἐπαφεὶς τοὺς στρατιώτας αὐτὸς καὶ τὸν ναὸν ἐσύλησε, καὶ τὸν ἐνδελεχισμὸν τῶν καθ' ἡμέραν ἐναγισμῶν ἔπαυσεν ἐπ' ἔτη τρία καὶ μῆνας ἕξ. ὁ δὲ ἀρχιερεὺς Ὀνίας πρὸς Πτολεμαῖον διαφυγών, καὶ παρ' αὐτοῦ λαβὼν τόπον ἐν τῷ Ἡλιοπολίτῃ νομῷ, πολίχνην τε τοῖς Ἱεροσολύμοις εἰκασμένην καὶ ναὸν ἔκτισεν ὅμοιον· περὶ οὗ αὖθις κατὰ χώραν δηλώσομεν.

Ἀντιόχῳ γε μὴν οὔτε τὸ παρ' ἐλπίδα κρατῆσαι τῆς 2
πόλεως οὔθ' αἱ ἁρπαγαὶ καὶ ὁ τοσοῦτος φόνος ἤρκεσεν, ὑπὸ δὲ ἀκρασίας παθῶν, καὶ κατὰ μνήμην ὧν περὶ τὴν πολιορκίαν ἔπαθεν, ἠνάγκαζεν Ἰουδαίους, καταλύσαντας τὰ πάτρια, βρέφη τε αὐτῶν φυλάττειν ἀπερίτμητα καὶ σῦς ἐπιθύειν τῷ βωμῷ· πρὸς ἃ ἅπαντες μὲν ἠπείθουν, ἐσφάττοντο δὲ οἱ δοκιμώτατοι. καὶ Βακχίδης ὁ πεμφθεὶς ὑπ' Ἀντιόχου φρούραρχος, τῇ φυσικῇ προσ-

Digitized by Google

λαβὼν ὠμότητι τὰ ἀσεβῆ παραγγέλματα, παρανομίας οὐδεμίαν παρέλιπεν ὑπερβολήν, καὶ κατ' ἄνδρα τοὺς ἀξιολόγους αἰκιζόμενος, καὶ κοινῇ καθ' ἡμέραν ἐνδεικνύμενος ὅψιν ἀλώσεως τῇ πόλει, μέχρι ταῖς ὑπερβολαῖς τῶν ἀδικημάτων τοὺς πάσχοντας εἰς ἀμύνης τόλμαν ἠρέθισε.

3 Ματθίας γοῦν υἱὸς Ἀσαμωναίου, τῶν ἱερέων εἷς, ἀπὸ κώμης Μωδεεὶν ὄνομα, συνασπίσας μετὰ χειρὸς οἰκείας (πέντε γὰρ υἱεῖς ἦσαν αὐτῷ) κοπίσιν ἀναιρεῖ τὸν Βακχίδην· καὶ παραχρῆμα μὲν δείσας τὸ πλῆθος τῶν φρουρῶν εἰς τὰ ὄρη καταφεύγει, προσγενομένων δὲ ἀπὸ τοῦ δήμου πολλῶν αὐτῷ ἀναθαρρήσας κάτεισι, καὶ συμβαλὼν μάχῃ νικᾷ τοὺς Ἀντιόχου στρατηγοὺς καὶ τῆς Ἰουδαίας ἐξελαύνει. παρελθὼν δὲ ἀπὸ τῆς εὐπραγίας εἰς δυναστείαν, καὶ διὰ τὴν ἀπαλλαγὴν τῶν ἀλλοφύλων ἄρξας τῶν σφετέρων ἑκόντων, τελευτᾷ Ἰούδᾳ τῷ πρεσβυτάτῳ τῶν παίδων καταλιπὼν τὴν ἀρχήν.

4 Ὃ δέ (οὐδὲ γὰρ ἠρεμήσειν Ἀντίοχον ὑπελάμβανε) τάς τε ἐπιχωρίους συνεκρότει δυνάμεις, καὶ πρὸς Ῥωμαίους πρῶτος ἐποιήσατο φιλίαν, καὶ τὸν Ἐπιφανῆ πάλιν εἰς τὴν χώραν εἰσβαλόντα μετὰ καρτερᾶς πληγῆς ἀνέστειλεν. ἀπὸ δὲ θερμοῦ τοῦ κατορθώματος ὥρμησεν ἐπὶ τὴν ἐν τῇ πόλει φρουράν (οὔπω γὰρ ἐκκέκοπτο), καὶ ἐκβαλὼν ἀπὸ τῆς ἄνω πόλεως συνωθεῖ τοὺς στρατιώτας εἰς τὴν κάτω (τοῦτο δὲ τοῦ ἄστεως τὸ μέρος ἄκρα κέκληται), κυριεύσας δὲ τοῦ ἱεροῦ τόν τε χῶρον ἐκάθηρε πάντα καὶ περιετείχισε, καὶ τὰ πρὸς τὰς λειτουργίας σκεύη καινὰ κατασκευάσας εἰς τὸν ναὸν εἰσήνεγκεν ὡς τῶν προτέρων μεμιασμένων, βωμόν τε ᾠκοδόμησεν ἕτερον καὶ τῶν ἐναγισμῶν ἤρξατο. λαμβανούσης δὲ ἄρτι τὸ ἱερὸν κατάστημα τῆς πόλεως, τελευτᾷ μὲν Ἀντίοχος, κληρονόμος δὲ τῆς

Digitized by Google

βασιλείας αὐτοῦ καὶ τῆς πρὸς Ἰουδαίους ἀπεχθείας ὁ υἱὸς Ἀντίοχος γίνεται.

συναγαγὼν οὖν πεζῶν μυριάδας πέντε, ἱππεῖς δὲ εἰς πεντακισχιλίους, ἐλέφαντας δὲ ὀγδοήκοντα, ἐμβάλλει διὰ τῆς Ἰουδαίας εἰς τὴν ὀρεινήν. Βηθσουρὰν μὲν οὖν πολίχνην αἱρεῖ, κατὰ δὲ τὸν τόπον ὃς καλεῖται Βεθζαχαρίας, στενῆς οὔσης τῆς παρόδου, Ἰούδας ὑπήντα μετὰ τῆς δυνάμεως. πρὶν δὲ συνάψαι τὰς φάλαγγας, Ἐλεάζαρος ὁ ἀδελφὸς αὐτοῦ προϊδὼν τὸν ὑψηλότατον τῶν ἐλεφάντων πύργῳ τε μεγάλῳ καὶ περιχρύσοις προτειχίσμασι κεκοσμημένον, ὑπολαβὼν ἐπ' αὐτοῦ τὸν Ἀντίοχον εἶναι, τῶν τε ἰδίων προεκτρέχει πολὺ καὶ διακόψας τὸ στῖφος τῶν πολεμίων ἐπὶ τὸν ἐλέφαντα διήνυσεν. ἐφικέσθαι μὲν οὖν τοῦ δοκοῦντος εἶναι βασιλέως οὐχ οἷός τε ἦν διὰ τὸ ὕψος· ὃ δὲ τὸ θηρίον ὑπὸ τὴν γαστέρα πλήξας ἐπικατέσεισεν ἑαυτῷ καὶ συντριβεὶς ἐτελεύτησε, μηδὲν πλέον δράσας τοῦ μεγάλοις ἐπιβαλέσθαι, θέμενος εὐκλείας ἐν δευτέρῳ τὸ ζῆν. ὅ γε μὴν κυβερνῶν τὸν ἐλέφαντα ἰδιώτης ἦν· κἂν εἰ συνέβη δὲ εἶναι τὸν Ἀντίοχον, οὐδὲν πλέον ἤνυσεν ἂν ὁ τολμήσας τοῦ δοκεῖν ἐπ' ἐλπίδι μόνῃ λαμπροῦ κατορθώματος ἑλέσθαι τὸν θάνατον. γίνεται δὲ καὶ κληδὼν τἀδελφῷ τῆς ὅλης παρατάξεως· καρτερῶς μὲν γὰρ οἱ Ἰουδαῖοι καὶ μέχρι πολλοῦ διηγωνίσαντο, πλήθει δὲ ὑπερέχοντες οἱ βασιλικοὶ καὶ δεξιᾷ χρησάμενοι τύχῃ κρατοῦσι. καὶ πολλῶν ἀναιρεθέντων τοὺς λοιποὺς ἔχων Ἰούδας εἰς τὴν Γοφνιτικὴν τοπαρχίαν φεύγει. Ἀντίοχος δὲ παρελθὼν εἰς Ἱεροσόλυμα, καὶ καθίσας ὀλίγας ἡμέρας ἐν αὐτῇ, κατὰ σπάνιν τῶν ἐπιτηδείων ἀπανίσταται, καταλιπὼν μὲν φρουρὰν ὅσην ἀποχρήσειν ὑπελάμβανε, τὴν δὲ λοιπὴν δύναμιν ἀπαγαγὼν χειμεριοῦσάν εἰς τὴν Συρίαν.

πρὸς δὲ τὴν ὑποχώρησιν τοῦ βασιλέως Ἰούδας οὐκ 6

Digitized by Google

ἠρέμει, προσγενομένων δ' ἐκ τοῦ ἔθνους πολλῶν, καὶ τοὺς διασωθέντας ἐκ τῆς μάχης ἐπισυγκροτήσας, κατὰ κώμην Ἀδασὰν συμβάλλει τοῖς Ἀντιόχου στρατηγοῖς, καὶ φανεὶς ἄριστος κατὰ τὴν μάχην πολλούς τε τῶν πολεμίων ἀποκτείνας ἀναιρεῖται. καὶ μεθ' ἡμέρας ὀλίγας ὁ ἀδελφὸς αὐτοῦ Ἰωάννης ἐπιβουλευθεὶς ὑπὸ τῶν τὰ Ἀντιόχου φρονούντων τελευτᾷ.

2 διαδεξάμενος δὲ τοῦτον ὁ ἀδελφὸς Ἰωνάθης τά τε ἄλλα πρὸς τοὺς ἐπιχωρίους διὰ φυλακῆς ἦγεν ἑαυτόν, καὶ τῇ πρὸς Ῥωμαίους φιλίᾳ τὴν ἀρχὴν ἐκρατύνατο, πρός τε τὸν Ἀντίοχον παῖδα διαλλαγὰς ἐποιήσατο. οὐ μήν τι τούτων ἤρκεσεν αὐτῷ πρὸς ἀσφάλειαν· Τρύφων γὰρ ὁ τύραννος, ἐπίτροπος μὲν ὢν τοῦ Ἀντιόχου παιδός, ἐπιβουλεύων δ' αὐτῷ καὶ πρόσθεν ἀποσκευάζεσθαι τοὺς φίλους αὐτοῦ πειρώμενος, ἤκοντα τὸν Ἰωνάθην σὺν ὀλίγοις εἰς Πτολεμαΐδα πρὸς Ἀντίοχον δόλῳ συλλαμβάνει, καὶ δήσας ἐπὶ Ἰουδαίων στρατεύει· εἶτ' ἀπελαθεὶς ὑπὸ τοῦ Σίμωνος, ὃς ἦν ἀδελφὸς τοῦ Ἰωνάθου, καὶ πρὸς τὴν ἧτταν ὠργισμένος κτείνει τὸν Ἰωνάθην.

2 Σίμων δὲ γενναίως ἀφηγούμενος τῶν πραγμάτων αἱρεῖ μὲν Γάζαρά τε καὶ Ἰόπην καὶ Ἰάμνειαν τῶν προσοίκων, κατέσκαψε δὲ καὶ τὴν Ἄκραν τῶν φρουρῶν κρατήσας. αὖθις δὲ γίνεται καὶ Ἀντιόχῳ σύμμαχος κατὰ Τρύφωνος, ὃν ἐν Δώροις πρὸ τῆς ἐπὶ Μήδους στρατείας ἐπολιόρκει. ἀλλ' οὐκ ἐδυσώπησε τὴν τοῦ βασιλέως πλεονεξίαν, συνεξελὼν Τρύφωνα· μετ' οὐ πολὺ γὰρ Ἀντίοχος Κενδεβαῖον τὸν αὐτοῦ στρατηγὸν μετὰ δυνάμεως δηώσοντα τὴν Ἰουδαίαν ἔπεμψε καὶ καταδουλωσόμενον Σίμωνα. ὃ δέ, καίτοι γηραιὸς ὤν, νεανικώτερον ἀφηγήσατο τοῦ πολέμου· τοὺς μέντοι γε υἱεῖς ἐπ' αὐτὸν μετὰ τῶν ἐρρωμενεστάτων προεκπέμπει, αὐτὸς δὲ μοι-

Digitized by Google

ραν τῆς δυνάμεως ἀναλαβὼν ἐπῆει κατ' ἄλλο μέρος. πολλοὺς δὲ πολλαχοῦ κἀν τοῖς ὄρεσι προλοχίσας πάσαις κρατεῖ ταῖς ἐπιβολαῖς. καὶ νικήσας λαμπρῶς ἀρχιερεὺς ἀποδείκνυται, καὶ τῆς τῶν Μακεδόνων ἐπικρατείας μετὰ ἑκατὸν καὶ ἑβδομήκοντα ἔτη Ἰουδαίους ἀπαλλάττει.

Θνήσκει δὲ καὶ αὐτὸς ἐπιβουλευθεὶς ἐν συμποσίῳ 3 ὑπὸ Πτολεμαίου τοῦ γαμβροῦ, ὃς αὐτοῦ τήν τε γυναῖκα καὶ τοὺς δύο παῖδας ἐγκαθείρξας ἐπὶ τὸν τρίτον Ἰωάννην, ὃς καὶ Τρκανὸς ἐκαλεῖτο, τοὺς ἀναιρήσοντας ἐπεμψε. προγνοὺς δὲ τὴν ἔφοδον ὁ νεανίσκος παραγενέσθαι εἰς τὴν πόλιν ἠπείγετο, πλεῖστον τῷ λαῷ πεποιθὼς κατά τε μνήμην τῶν πατρῴων κατορθωμάτων καὶ μῖσος τῆς Πτολεμαίου παρανομίας. ὥρμησε δὲ καὶ Πτολεμαῖος εἰσελθεῖν καθ' ἑτέραν πύλην, ἐξεκρούσθη γε μὴν ὑπὸ τοῦ δήμου ταχέως, δεδεγμένων ἤδη τὸν Τρκανόν. καὶ ὃ μὲν παραχρῆμα ἀνεχώρησεν ἐπί τι τῶν ὑπὲρ Ἰεριχοῦντος ἐρυμάτων, ὃ Λαγὼν καλεῖται· κομισάμενος δὲ τὴν πατρῴαν ἀρχιερωσύνην Τρκανός, καὶ θύσας τῷ θεῷ, μετὰ τάχους ἐπὶ Πτολεμαῖον ὥρμησε, τιμωρήσων τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς.

προσβαλὼν δὲ τῷ φρουρίῳ τὰ μὲν ἄλλα κρείττων 4 ἦν, ἡττᾶτο δὲ δικαίου πάθους. ὁ γὰρ Πτολεμαῖος ὁπότε καταπονοῖτο, τήν τε μητέρα καὶ τοὺς ἀδελφοὺς αὐτοῦ προανάγων ἐπὶ τοῦ τείχους εἰς εὐσύνοπτον ἠκίζετο, καὶ διακρημνιεῖν, εἰ μὴ θᾶττον ἀπανασταίη, διηπείλει. πρὸς ἃ τὸν μὲν Τρκανὸν ὀργῆς πλείων οἶκτος εἰσῄει καὶ δέος, ἡ δὲ μήτηρ οὐδὲν οὔτε πρὸς τὰς αἰκίας οὔτε πρὸς τὸν ἀπειλούμενον αὐτῇ θάνατον ἐνδιδοῦσα χεῖρας ὤρεγε, καὶ κατηντιβόλει τὸν παῖδα μὴ πρὸς τὴν αὐτῆς ὕβριν ἐπικλασθέντα φείσασθαι τοῦ δυσσεβοῦς, ὡς αὐτῇ γε κρείττονα τὸν ἐκ Πτολεμαίου θάνατον ἀθανασίας εἶναι,

Digitized by Google

διδόντος δίκας ἐφ' οἷς εἰς τὸν οἶκον αὐτῶν παρηνόμησεν. ὁ δὲ Ἰωάννης ὁπότε μὲν ἐνθυμηθείη τὸ παράστημα τῆς μητρὸς καὶ κατακούσειε τῆς ἱκεσίας, ὥρμητο προσβαλεῖν, ἐπεὶ δὲ κατίδοι τυπτομένην τε καὶ σπαραττομένην, ἐθηλύνετο καὶ τοῦ πάθους ὅλος ἦν. τριβομένης δὲ διὰ ταῦτα τῆς πολιορκίας ἐπέστη τὸ ἀργὸν ἔτος, ὃ κατὰ ἑπταετίαν ἀργεῖται παρὰ Ἰουδαίοις ὁμοίως ταῖς ἑβδομάσιν ἡμέραις. κἀν τούτῳ Πτολεμαῖος ἀνεθεὶς τῆς πολιορκίας ἀναιρεῖ τοὺς ἀδελφοὺς Ἰωάννου σὺν τῇ μητρί, καὶ φεύγει πρὸς Ζήνωνα τὸν ἐπικληθέντα Κοτυλᾶν· Φιλαδελφείας δ' ἦν τύραννος.

5 Ἀντίοχος δὲ κατ' ὀργὴν ὧν ὑπὸ Σίμωνος ἔπαθε στρατεύσας εἰς τὴν Ἰουδαίαν ἐπολιόρκει τὸν Τρκανόν, προσκαθεζόμενος τοῖς Ἱεροσολύμοις. ὃ δὲ τὸν Δαυίδου τάφον ἀνοίξας, ὃς δὴ πλουσιώτατος βασιλέων ἐγένετο, καὶ ὑφελόμενος ὑπὲρ τρισχίλια τάλαντα χρημάτων, τόν τε Ἀντίοχον ἀπανίστησι τῆς πολιορκίας πείσας τριακοσίοις τα-
6 λάντοις, καὶ δὴ καὶ ξενοτροφεῖν πρῶτος Ἰουδαίων ἐκ τῆς περιουσίας ἤρξατο.

αὖθις γε μὴν ὡς Ἀντίοχος ἐπὶ Μήδους στρατεύσας καιρὸν ἀμύνης αὐτῷ παρεῖχεν, εὐθέως ὥρμησεν ἐπὶ τὰς ἐν Συρίᾳ πόλεις, κενάς, ὅπερ ἦν, τῶν μαχιμωτέρων ὑπολαμβάνων εὑρήσειν. Μηδάβην μὲν οὖν καὶ Σαμαίαν ἅμα ταῖς πλησίον, ἔτι δὲ Σίκιμα καὶ Γαριζὶν αὐτὸς αἱρεῖ· πρὸς αἷς τὸ Χουθαίων ἔθνος, οἳ περιῴκουν τὸ εἰκασθὲν τῷ ἐν
7 Ἱεροσολύμοις ἱερῷ. αἱρεῖ δὲ καὶ τῆς Ἰδουμαίας ἄλλας τε οὐκ ὀλίγας καὶ Ἄδωρεὸν καὶ Μάρισσαν. προελθὼν δὲ καὶ μέχρι Σαμαρείας, ἔνθα δὴ νῦν ἔστι Σεβαστὴ πόλις ὑφ' Ἡρώδου κτισθεῖσα τοῦ βασιλέως, καὶ πάντοθεν αὐτὴν ἀποτειχίσας, τοὺς υἱεῖς ἐπέστησε τῇ πολιορκίᾳ, Ἀριστόβουλον καὶ Ἀντίγονον· ὧν οὐδὲν ἀνιέντων, λιμοῦ μὲν εἰς τοσοῦτον προῆλθον οἱ κατὰ τὴν πόλιν ὡς ἅψα-

Digitized by Google

σθαι καὶ τῶν ἀηθεστάτων, ἐπεκαλοῦντο δὲ βοηθὸν Ἀντίοχον τὸν ἐπικληθέντα Ἀσπένδιον. κἀκεῖνος ἑτοίμως ὑπακούσας ὑπὸ τῶν περὶ Ἀριστόβουλον ἡττᾶται. καὶ ὃ μὲν μέχρι Σκυθοπόλεως διωχθεὶς ὑπὸ τῶν ἀδελφῶν ἐκφεύγει, οἱ δ' ἐπὶ τῆς Σαμαρείας ὑποστρέψαντες τό τε πλῆθος πάλιν εἰς τὸ τεῖχος συγκλείουσι, καὶ τὴν πόλιν ἑλόντες αὐτήν τε κατασκάπτουσι καὶ τοὺς ἐνοικοῦντας ἐξηνδραποδίσαντο. προχωρούντων δὲ τῶν κατορθωμάτων τὴν ὁρμὴν οὐ κατέψυξαν, ἀλλὰ προελθόντες ἅμα τῇ δυνάμει μέχρι τῆς Σκυθοπόλεως ταύτην τε κατέδραμον, καὶ τὴν ἐντὸς Καρμήλου τοῦ ὄρους χώραν ἅπασαν κατενείμαντο.

πρὸς δὲ τὰς εὐπραγίας αὐτοῦ τε Ἰωάννου καὶ τῶν 8
παίδων φθόνος ἐγείρει στάσιν τῶν ἐπιχωρίων, καὶ πολλοὶ κατ' αὐτῶν συνελθόντες οὐκ ἠρέμουν, μέχρι καὶ πρὸς φανερὸν πόλεμον ἐκριπισθέντες ἡττῶνται. τὸ λοιπὸν δ' ἐπιβιοὺς ἐν εὐδαιμονίᾳ Ἰωάννης, καὶ τὰ κατὰ τὴν ἀρχὴν κάλλιστα διοικήσας ἐν τρισὶ καὶ τριάκοντα ὅλοις ἔτεσιν, ἐπὶ πέντε υἱέσι τελευτᾷ, μακαριστότατος ὄντως καὶ κατὰ μηδὲν ἐάσας ἐφ' ἑαυτῷ μεμφθῆναι τὴν τύχην. τρία γοῦν τὰ κρατιστεύοντα μόνος εἶχε, τήν τε ἀρχὴν τοῦ ἔθνους καὶ τὴν ἀρχιερωσύνην καὶ προφητείαν· ὡμίλει γὰρ αὐτῷ τὸ δαιμόνιον ὡς μηδὲν τῶν μελλόντων ἀγνοεῖν, ὅς γε καὶ περὶ δύο τῶν πρεσβυτάτων υἱῶν, ὅτι μὴ διαμενοῦσι κύριοι τῶν πραγμάτων, προεῖδέ τε καὶ προεφήτευσεν· ὧν τὴν καταστροφὴν ἄξιον ἀφηγήσασθαι, παρ' ὅσον τῆς πατρῴας εὐδαιμονίας ἀπέκλιναν.

μετὰ γὰρ τὴν τοῦ πατρὸς τελευτὴν ὁ πρεσβύτερος 3
αὐτῶν Ἀριστόβουλος, τὴν ἀρχὴν εἰς βασιλείαν μεταθείς, περιτίθεται μὲν διάδημα πρῶτος μετὰ τετρακοσιοστὸν καὶ ἑβδομηκοστὸν πρῶτον ἔτος, πρὸς δὲ μῆνας τρεῖς, ἐξ οὗ

Digitized by Google

κατῆλθεν ὁ λαὸς εἰς τὴν χώραν ἀπαλλαγεὶς τῆς ἐν Βαβυλῶνι δουλείας· τῶν δὲ ἀδελφῶν τὸν μὲν μεθ' ἑαυτὸν Ἀντίγονον (ἐδόκει γὰρ ἀγαπᾶν) ἦγεν ἰσοτίμως, τοὺς δ' ἄλλους εἴργνυσι δήσας. δεσμεῖ δὲ καὶ τὴν μητέρα διενεχθεῖσαν περὶ τῆς ἐξουσίας (ταύτην γὰρ δὴ κυρίαν τῶν ὅλων ὁ Ἰωάννης ἀπολελοίπει), καὶ μέχρι τοσαύτης ὠμότητος προῆλθεν ὥστε καὶ λιμῷ διαφθεῖραι δεδεμένην.

2 περιέρχεται δὲ αὐτῷ ἡ τίσις εἰς τὸν ἀδελφὸν Ἀντίγονον, ὃν ἠγάπα τε καὶ τῆς βασιλείας κοινωνὸν εἶχε· κτείνει γὰρ καὶ τοῦτον ἐκ διαβολῶν, ἃς οἱ πονηροὶ τῶν κατὰ τὸ βασίλειον ἐνεσκευάσαντο. τὰ μὲν οὖν πρῶτα διηπίστει τοῖς λεγομένοις ὁ Ἀριστόβουλος, ἅτε δὴ καὶ τὸν ἀδελφὸν ἀγαπῶν καὶ διδοὺς φθόνῳ τὰ πολλὰ τῶν λογοποιουμένων· ὡς δ' ὁ Ἀντίγονος λαμπρὸς ἀπὸ τῆς στρατείας ἦλθεν εἰς τὴν ἑορτὴν ἣν ἦ σκηνοποιεῖσθαι πάτριον τῷ θεῷ, συνέβη μὲν κατ' ἐκείνας τὰς ἡμέρας νόσῳ χρήσασθαι τὸν Ἀριστόβουλον, τὸν δὲ Ἀντίγονον ἐπὶ τέλει τῆς ἑορτῆς ἀναβάντα μετὰ τῶν περὶ αὐτὸν ὁπλιτῶν, ὡς ἐνῆν μάλιστα κεκοσμημένον, προσκυνῆσαι τὸ πλέον ὑπὲρ τἀδελφοῦ. κἂν τούτῳ προσιόντες οἱ πονηροὶ τῷ βασιλεῖ τήν τε πομπὴν τῶν ὁπλιτῶν ἐδήλουν καὶ τὸ παράστημα τὸ Ἀντιγόνου μεῖζον ἢ κατ' ἰδιώτην, ὅτι τε παρείη μετὰ μεγίστων συνταγμάτων ἀναιρήσων αὐτόν· οὐ γὰρ ἀνέχεσθαι τιμὴν μόνον ἐκ βασιλείας ἔχειν, παρὸν
3 αὐτὴν κατασχεῖν. τούτοις κατὰ μικρὸν ἄκων ἐπίστευσεν Ἀριστόβουλος, καὶ προνοῶν τοῦ μήθ' ὑποπτεύων φανερὸς γενέσθαι καὶ προησφαλίσθαι πρὸς τὸ ἄδηλον, διίστησι μὲν τοὺς σωματοφύλακας ἔν τινι τῶν ὑπογαίων ἀλαμπεῖ (κατέκειτο δ' ἐν τῇ βάρει πρότερον καλουμένῃ, αὖθις δ' Ἀντωνίᾳ μετονομασθείσῃ), προστάξας ἀνόπλου μὲν ἀπέχεσθαι, κτείνειν δὲ τὸν Ἀντίγονον εἰ μετὰ

Digitized by Google

ὅπλων προσίοι. καὶ πρὸς αὐτὸν ἔπεμψε τοὺς προεροῦντας ἄνοπλον ἐλθεῖν. πρὸς τοῦτο πάνυ πανούργως ἡ βασίλισσα συντάσσεται μετὰ τῶν ἐπιβούλων· τοὺς γὰρ πεμφθέντας πείθουσι τὰ μὲν παρὰ τοῦ βασιλέως σιωπῆσαι, λέγειν δὲ πρὸς τὸν Ἀντίγονον ὡς ὁ ἀδελφὸς ἀκούσας ὅπλα τε αὐτῷ κατεσκευακέναι κάλλιστα καὶ πολεμικὸν κόσμον ἐν τῇ Γαλιλαίᾳ, διὰ μὲν τὴν ἀσθένειαν αὐτὸς ἐπιδεῖν ἕκαστα κωλυθείη, "νῦν δ' ἐπεὶ καὶ χωρίζεσθαι μέλλεις, θεάσαιτ' ἂν ἥδιστά σε ἐν τοῖς ὅπλοις." ταῦτ' ἀκούσας ὁ Ἀντίγονος (ἐνῆγε δ' ἡ τοῦ ἀδελφοῦ διάθεσις μηδὲν ὑποπτεύειν πονηρόν) ἐχώρει μετὰ τῶν ὅπλων ὡς πρὸς ἐπίδειξιν. γενόμενος δὲ κατὰ τὴν σκοτεινὴν πάροδον ἣ Στράτωνος ἐκαλεῖτο πύργος, ὑπὸ τῶν σωματοφυλάκων ἀναιρεῖται, βέβαιον ἀποδείξας ὅτι πᾶσαν εὔνοιαν καὶ φύσιν κόπτει διαβολή, καὶ οὐδὲν οὕτω τῶν ἀγαθῶν παθῶν ἰσχυρὸν ὃ τῷ φθόνῳ μέχρι παντὸς ἀντέχει.

Θαυμάσαι δ' ἄν τις ἐν τούτῳ καὶ Ἰούδαν (Ἐσσαῖος ἦν γένος, οὐκ ἔστιν ὅτε πταίσας ἢ ψευσθεὶς ἐν προαγγέλμασιν), ὃς ἐπειδὴ καὶ τότε τὸν Ἀντίγονον ἐθεάσατο παριόντα διὰ τοῦ ἱεροῦ, πρὸς τοὺς γνωρίμους ἀνέκραγεν (ἦσαν δ' οὐκ ὀλίγοι παρεδρεύοντες αὐτῷ τῶν μανθανόντων) "παπαῖ· νῦν ἐμοὶ καλόν" ἔφη "τὸ θανεῖν, ὅτε μοι προτέθνηκεν ἡ ἀλήθεια καί τι τῶν ὑπ' ἐμοῦ προρρηθέντων διέψευσται. ζῇ γὰρ Ἀντίγονος οὑτοσὶ σήμερον ὀφείλων ἀποθανεῖν. χωρίον δ' αὐτῷ πρὸς σφαγὴν Στράτωνος πύργος εἵμαρτο· καὶ τοῦτο μὲν ἀφ' ἑξακοσίων σταδίων ἐντεῦθεν ἐστίν, ὥραι δὲ τῆς ἡμέρας ἤδη τέσσαρες· ὁ δὴ χρόνος ἐκπρούει τὸ μάντευμα." ταῦτ' εἰπὼν σκυθρωπὸς ἐπὶ συννοίας ὁ γέρων διεκαρτέρει, καὶ μετ' ὀλίγον ἀνηρημένος Ἀντίγονος ἠγγέλλετο κατὰ τὸ ὑπόγαιον χωρίον ὃ δὴ καὶ αὐτὸ Στράτωνος ἐκαλεῖτο πύρ-

Digitized by Google

γος, ὁμωνύμως τῇ παραλίῳ Καισαρείᾳ. τοῦτο γοῦν τὸν μάντιν διετάραξεν.

6 Ἀριστοβούλῳ γε μὴν εὐθὺς ἡ περὶ τοῦ μύδους μεταμέλεια νόσον ἐνσκήπτει, καὶ πρὸς ἐννοίαις τοῦ φόνου τὴν ψυχὴν ἔχων ἀεὶ τεταραγμένην συνετήκετο, μέχρι τῶν σπλάγχνων ὑπ' ἀκράτου τῆς λύπης σπαραττομένων ἀθρόον αἷμα ἀναβάλλει. τοῦτό τις τῶν ἐν τῇ θεραπείᾳ παίδων ἐκφέρων, δαιμονίῳ προνοίᾳ σφάλλεται καθ' ὃν τόπον ὁ Ἀντίγονος ἐσφακτο, καὶ φαινομένοις ἔτι τοῖς ἀπὸ τοῦ φόνου σπίλοις τὸ αἷμα τοῦ κτείναντος ἐπεξέχεον. ἤρθη δ' εὐθὺς οἰμωγὴ τῶν θεασαμένων, ὥσπερ ἐπίτηδες τοῦ παιδὸς ἐκεῖ ἐπισπείσαντος τὸ αἷμα· τῆς δὲ βοῆς ἀκούσας ὁ βασιλεὺς τὴν αἰτίαν ἐπυνθάνετο, καὶ μηδενὸς τολμῶντος εἰπεῖν μᾶλλον ἐνέκειτο μαθεῖν ἐθέλων. τέλος δ' ἀπειλοῦντι καὶ βιαζομένῳ τἀληθὲς εἶπον. ὃ δὲ τούς τε ὀφθαλμοὺς ἐμπίπλησι δακρύων, καὶ στενάξας ὅσον ἦν αὐτῷ δύναμις, εἶπεν "οὐκ ἄρα θεοῦ μέγαν ὀφθαλμὸν ἐπ' ἔργοις ἀθεμίτοις λήσειν ἔμελλον, ἀλλά με ταχεῖα μέτεισι δίκη φόνου συγγενοῦς. μέχρι ποῦ μοι, σῶμα ἀναιδέστατον, τὴν ἀδελφῷ καὶ μητρὶ κατάκριτον ψυχὴν καθέξεις; μέχρι ποῦ δ' αὐτὸς ἐπισπείσω κατὰ μέρος τοὐμὸν αἷμα; λαβέτωσαν ἀθρόον τοῦτο, καὶ μηκέτι ταῖς ἐκ τῶν ἐμῶν σπλάγχνων χοαῖς ἐπειρωνευέσθω τὸ δαιμόνιον." ταῦτ' εἰπὼν εὐθέως τελευτᾷ, βασιλεύσας οὐ πλεῖον ἐνιαυτοῦ.

4 λύσασα δ' ἡ γυνὴ τοὺς ἀδελφοὺς αὐτοῦ, βασιλέα καθίστησιν Ἀλέξανδρον τὸν καθ' ἡλικίαν καὶ μετριότητα προύχειν δοκοῦντα. ὃ δὲ παρελθὼν εἰς τὴν ἐξουσίαν τὸν ἕτερον μὲν τῶν ἀδελφῶν βασιλειῶντα κτείνει, τὸν δὲ καταλειπόμενον, ἀγαπῶντα τὸ ζῆν δίχα πραγμάτων, εἶχεν ⟨ἐν τιμῇ⟩.

2 γίνεται δ' αὐτῷ καὶ πρὸς τὸν Λάθουρον ἐπικληθέντα

Digitized by Google

Πτολεμαῖον συμβολή, πόλιν Ἄσωχιν ἡρηκότα· καὶ πολλοὺς μὲν ἀνεῖλε τῶν πολεμίων, ἡ δὲ νίκη πρὸς τὸν Πτολεμαῖον ἔρρεψεν. ἐπεὶ δ' οὗτος ὑπὸ τῆς μητρὸς Κλεοπάτρας διωχθεὶς εἰς Αἴγυπτον ἀνεχώρησεν, Ἀλέξανδρος Γαδάρων τε πολιορκίᾳ κρατεῖ καὶ Ἀμαθοῦντος, ὃ δὴ μέγιστον μὲν ἦν ἔρυμα τῶν ὑπὲρ Ἰορδάνην, τὰ τιμιώτατα δὲ τῶν Θεοδώρου τοῦ Ζήνωνος κτημάτων ἦν ἐν αὐτῷ. ἐπελθὼν δ' ἐξαίφνης ὁ Θεόδωρος τά τε σφέτερα καὶ τὴν τοῦ βασιλέως ἀποσκευὴν αἱρεῖ, τῶν τε Ἰουδαίων εἰς μυρίους κτείνει. γίνεται δ' ἐπάνω τῆς πληγῆς Ἀλέξανδρος, καὶ τραπόμενος εἰς τὴν παράλιον αἱρεῖ Ῥαφίαν τε καὶ Γάζαν καὶ Ἀνθηδόνα τὴν αὖθις ὑφ' Ἡρώδου τοῦ βασιλέως Ἀγριππιάδα ἐπικληθεῖσαν.

ἐξανδραποδισαμένῳ δὲ ταύτας ἐπανίσταται τὸ Ἰου- 3
δαϊκὸν ἐν τῇ ἑορτῇ· μάλιστα γὰρ ἐν ταῖς εὐωχίαις αὐτῶν στάσις ἅπτεται. καὶ ἐδόκει μὴ ἂν κρείττων γενέσθαι τῆς ἐπιβουλῆς, εἰ μὴ τὸ ξενικὸν αὐτῷ παρεβοήθει. Πισίδαι καὶ Κίλικες ἦσαν· Σύρους γὰρ οὐκ ἐδέχετο μισθοφόρους διὰ τὴν ἔμφυτον αὐτῶν πρὸς τὸ ἔθνος ἀπέχθειαν. κτείνας δὲ τῶν ἐπαναστάντων ὑπὲρ ἑξακισχιλίους Ἀραβίας ἥπτετο, καὶ ταύτης ἐλὼν Γαλααδίτας τε καὶ Μωαβίτας, φόρον τε αὐτοῖς ἐπιτάξας, ἀνέστρεψεν ἐπὶ Ἀμαθοῦντα. Θεοδώρου δὲ πρὸς τὰς εὐπραγίας αὐτοῦ καταπλαγέντος, ἔρημον λαβὼν τὸ φρούριον κατέσκαψεν.

ἔπειτα συμβαλὼν Ὀβέδᾳ τῷ Ἀράβων βασιλεῖ προλο- 4
χίσαντι κατὰ τὴν Γαυλάνην, ἐνέδρας αὐτῷ γενομένης πᾶσαν ἀποβάλλει τὴν στρατιάν, συνωσθεῖσαν κατὰ βαθείας φάραγγος καὶ πλήθει καμήλων συντριβεῖσαν. διαφυγὼν δ' αὐτὸς εἰς Ἱεροσόλυμα, τῷ μεγέθει τῆς συμφορᾶς πάλαι μισοῦν τὸ ἔθνος ἠρέθισεν εἰς ἐπανάστασιν. γίνεται δὲ καὶ τότε κρείττων, καὶ μάχαις ἐπαλλήλοις οὐκ

Digitized by Google

ἔλαττον πεντακισμυρίων Ἰουδαίων ἀνεῖλεν ἐν ἓξ ἔτεσιν. οὐ μὴν ηὐφραίνετό γε ταῖς νίκαις, τὴν ἑαυτοῦ βασιλείαν ἀναλίσκων· ὅθεν παυσάμενος τῶν ὅπλων λόγοις ἐπεχείρει διαλύεσθαι πρὸς τοὺς ὑποτεταγμένους. οἳ δὲ μᾶλλον ἐμίσουν τὴν μετάνοιαν αὐτοῦ καὶ τοῦ τρόπου τὸ ἀνώμαλον. πυνθανομένῳ δὲ τὸ αἴτιον, καὶ τί ἂν ποιήσας κατεστείλειεν αὐτούς, "ἀποθανών" ἔλεγον· νεκρῷ γὰρ ἂν διαλλαγῆναι μόλις τῷ τοσαῦτα δράσαντι. ἅμα δὲ καὶ τὸν Εὔκαιρον ἐπικληθέντα Δημήτριον ἐπεκαλοῦντο. ῥᾳδίως δ' ὑπακούσαντος κατ' ἐλπίδα μειζόνων, καὶ μετὰ στρατιᾶς ἥκοντος, συνέμισγον οἱ Ἰουδαῖοι τοῖς συμμάχοις περὶ Σίκιμα.

δέχεται δ' ἑκατέρους Ἀλέξανδρος ἱππεῦσι μὲν χιλίοις, μισθοφόροις δὲ πεζοῖς ὀκτακισχιλίοις· παρῆν δὲ αὐτῷ καὶ τὸ εὐνοοῦν Ἰουδαϊκὸν εἰς μυρίους. τῶν δ' ἐναντίων ἱππεῖς μὲν ἦσαν τρισχίλιοι, πεζοὶ δὲ μύριοι τετρακισχίλιοι. καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν διακηρύσσοντες οἱ βασιλεῖς ἐπειρῶντο τῶν παρ' ἀλλήλοις ἀποστάσεων, Δημήτριος μὲν τοὺς Ἀλεξάνδρου μισθοφόρους Ἀλέξανδρος δὲ τοὺς ἅμα Δημητρίῳ Ἰουδαίους μεταπείσειν ἐλπίσας. ὡς δ' οὔτε οἱ Ἰουδαῖοι θυμῶν οὔθ' οἱ Ἕλληνες ἐπαύοντο πίστεως, διεκρίνοντο ἤδη τοῖς ὅπλοις συμπεσόντες. κρατεῖ δὲ τῇ μάχῃ Δημήτριος, καίπερ πολλὰ τῶν Ἀλεξάνδρου μισθοφόρων καὶ ψυχῆς ἔργα καὶ χειρὸς ἐπιδειξαμένων. χωρεῖ δὲ τὸ τέλος τῆς παρατάξεως παρὰ δόξαν ἀμφοτέροις· οὔτε γὰρ Δημητρίῳ παρέμειναν νικῶντι οἱ καλέσαντες, καὶ κατ' οἶκτον τῆς μεταβολῆς Ἀλεξάνδρῳ προσεχώρησαν εἰς τὰ ὄρη καταφυγόντι Ἰουδαίων ἑξακισχίλιοι. ταύτην τὴν ῥοπὴν οὐκ ἤνεγκε Δημήτριος, ἀλλ' ὑπολαβὼν ἤδη μὲν ἀξιόμαχον εἶναι πάλιν Ἀλέξανδρον, μεταῤῥεῖν δὲ καὶ πᾶν τὸ ἔθνος εἰς αὐτόν, ἀνεχώρησεν.

Digitized by Google

οὐ μὴν τό γε λοιπὸν πλῆθος ἀναχωρησάντων τῶν 6
συμμάχων κατέθεντο τὰς διαφοράς, συνεχὴς δὲ πρὸς
Ἀλέξανδρον ἦν αὐτοῖς ὁ πόλεμος, μέχρι πλείστους ἀπο-
κτείνας τοὺς λοιποὺς ἀπήλασεν εἰς Βεμέσελιν πόλιν, καὶ
ταύτην καταστρεψάμενος αἰχμαλώτους ἀνήγαγεν εἰς
Ἱεροσόλυμα. προύκοψε δ' αὐτῷ δι' ὑπερβολὴν ὀργῆς εἰς
ἀσέβειαν τὸ τῆς ὠμότητος· τῶν γὰρ ληφθέντων εἰς
ὀκτακοσίους ἀνασταυρώσας ἐν μέσῃ τῇ πόλει, γυναι-
κάς τε καὶ τέκνα αὐτῶν ἀπέσφαξε ταῖς ὄψεσι, καὶ ταῦτα
πίνων καὶ συγκατακείμενος ταῖς παλλακίσιν ἀφεώρα.
τοσαύτη δὲ κατάπληξις ἔσχε τὸν δῆμον ὥστε τῶν ἀν-
τισταστιαστῶν κατὰ τὴν ἐπιοῦσαν νύκτα φυγεῖν ὀκτα-
κισχιλίους ἐξ Ἰουδαίας ὅλης, οἷς ὅρος τῆς φυγῆς ὁ
Ἀλεξάνδρου θάνατος κατέστη. τοιούτοις ἔργοις ὀψὲ
καὶ μόλις ἡσυχίαν τῇ βασιλείᾳ πορίσας, ἀνεπαύσατο
τῶν ὅπλων.

γίνεται δὲ αὐτῷ πάλιν ἀρχὴ θορύβων Ἀντίοχος ὁ 7
καὶ Διόνυσος ἐπικληθείς, Δημητρίου μὲν ἀδελφὸς ὤν,
τελευταῖος δὲ τῶν ἀπὸ Σελεύκου. τοῦτον γὰρ δείσας
στρατεύεσθαι ἐπὶ τοὺς Ἄραβας ὡρμημένον, τὸ μὲν με-
ταξὺ τῆς ὑπὲρ Ἀντιπατρίδος παρορείου καὶ τῶν Ἰόπης
αἰγιαλῶν διαταφρεύει φάραγγι βαθείᾳ, πρὸ δὲ τῆς τά-
φρου τεῖχος ἤγειρεν ὑψηλόν, καὶ ξυλίνους πύργους ἐνε-
τεκτήνατο, τὰς εὐμαρεῖς ἐμβολὰς ἀποφράττων. οὐ μὴν
εἶρξαί γε τὸν Ἀντίοχον ἴσχυσεν· ἐμπρήσας γὰρ τοὺς πύρ-
γους καὶ τὴν τάφρον χώσας διήλαυνε μετὰ τῆς δυνάμεως.
θέμενος δ' ἐν δευτέρῳ τὴν πρὸς τὸν κωλύσαντα ἄμυναν
εὐθὺς ἐπὶ τοὺς Ἄραβας ἦει. τῶν δὲ ὁ βασιλεὺς ἀνα-
χωρῶν εἰς τὰ χρησιμώτερα τῆς χώρας πρὸς τὴν μάχην,
ἔπειτα τὴν ἵππον ἐξαίφνης ἐπιστρέψας (μυρία δ' ἦν τὸν
ἀριθμόν) ἀτάκτοις ἐπιπίπτει τοῖς περὶ τὸν Ἀντίοχον.
καρτερᾶς δὲ τῆς μάχης γενομένης, ἕως μὲν περιῆν Ἀν-

Digitized by Google

τίοχος, ἀντεῖχεν ἡ δύναμις αὐτοῦ, καίπερ ἀνέδην ὑπὸ τῶν Ἀράβων φονευόμενοι· πεσόντος δέ (καὶ γὰρ προεκινδύνευεν ἀεὶ τοῖς ἡττωμένοις παραβοηθῶν) ἐγκλίνουσι πάντες, καὶ τὸ μὲν πλεῖστον αὐτῶν ἐπί τε τῆς παρατάξεως κἀν τῇ φυγῇ διαφθείρεται, τοὺς δὲ λοιποὺς καταφυγόντας εἰς Κανὰ κώμην σπάνει τῶν ἐπιτηδείων ἀναλωθῆναι συνέβη πλὴν ὀλίγων ἅπαντας.

8 ἐκ τούτου Δαμασκηνοὶ διὰ τὸ πρὸς Πτολεμαῖον τὸν Μενναίου μῖσος Ἀρέταν ἐπάγονται, καὶ καθιστῶσι Κοίλης Συρίας βασιλέα. στρατεύεται δ' οὗτος ἐπὶ τὴν Ἰουδαίαν, καὶ μάχῃ νικήσας Ἀλέξανδρον κατὰ συνθήκας ἀνεχώρησεν. Ἀλέξανδρος δὲ Πέλλαν ἑλὼν ἐπὶ Γέρασαν ἦκει πάλιν, τῶν Θεοδώρου κτημάτων γλιχόμενος, καὶ τρισὶ τοὺς φρουροὺς περιβόλοις ἀποτειχίσας διὰ μάχης τὸ χωρίον παραλαμβάνει. καταστρέφεται δὲ καὶ Γαυλάνην καὶ Σελεύκειαν καὶ τὴν Ἀντιόχου φάραγγα καλουμένην· πρὸς οἷς Γάμαλα φρούριον καρτερὸν ἑλών, τὸν ἄρχοντα Δημήτριον ἐν αὐτῷ περιδύσας ἐκ πολλῶν ἐγκλημάτων, ἐπάνεισιν εἰς τὴν Ἰουδαίαν, τρία πληρώσας ἔτη τῆς στρατείας. ἀσμένως δ' ὑπὸ τοῦ ἔθνους προσεδέχθη διὰ τὴν εὐπραγίαν. καὶ λαμβάνει τὴν ἀνάπαυσιν τοῦ πολεμεῖν ἀρχὴν νόσου. τεταρταίοις δὲ περιόδοις πυρετῶν ἐνοχλούμενος ᾠήθη διακρούσεσθαι τὴν ἀρρωστίαν πάλιν ἀψάμενος πραγμάτων. διὸ δὴ στρατείαις ἀκαίροις ἑαυτὸν ἐπιδιδούς, καὶ βιαζόμενος παρὰ δύναμιν τὸ σῶμα πρὸς τὰς ἐνεργείας, ἀπήλλαξε. τελευτᾷ γοῦν ἐν μέσοις τοῖς θορύβοις στρεφόμενος, βασιλεύσας ἑπτὰ πρὸς τοῖς εἴκοσιν ἔτη.

5 καταλείπει δὲ τὴν βασιλείαν Ἀλεξάνδρᾳ τῇ γυναικί, πεπεισμένος ταύτῃ μάλιστ' ἂν ὑπακοῦσαι τοὺς Ἰουδαίους, ἐπειδὴ τῆς ὠμότητος αὐτοῦ μακρὰν ἀποδέουσα καὶ ταῖς παρανομίαις ἐνισταμένη τὸν δῆμον εἰς εὔνοιαν

Digitized by Google

προσηγάγετο. καὶ οὐ διήμαρτε τῆς ἐλπίδος· ἐκράτησε γὰρ τῆς ἀρχῆς τὸ γύναιον διὰ δόξαν εὐσεβείας· ἠκρίβου γὰρ δὴ τοῦ ἔθνους μάλιστα τὰ πάτρια, καὶ τοὺς πλημμελοῦντας εἰς τοὺς ἱεροὺς νόμους ἐξ ἀρχῆς ἀπεβάλλετο. δύο δ' αὐτῇ παίδων ὄντων ἐξ Ἀλεξάνδρου, τὸν μὲν πρεσβύτερον Ὑρκανὸν διά τε τὴν ἡλικίαν ἀποδείκνυσιν ἀρχιερέα, καὶ ἄλλως ὄντα νωθέστερον ἢ ὥστε ἐνοχλεῖν περὶ τῶν ὅλων, τὸν δὲ νεώτερον Ἀριστόβουλον διὰ θερμότητα κατεῖχεν ἰδιώτην.

παραφύονται δὲ αὐτῇ εἰς τὴν ἐξουσίαν Φαρισαῖοι, 2 σύνταγμά τι Ἰουδαίων δοκοῦν εὐσεβέστερον εἶναι τῶν ἄλλων καὶ τοὺς νόμους ἀκριβέστερον ἀφηγεῖσθαι. τούτοις περισσὸν δή τι προσεῖχεν ἡ Ἀλεξάνδρα, σεβομένη τὸ θεῖον. οἳ δὲ τὴν ἁπλότητα τῆς ἀνθρώπου κατὰ μικρὸν ὑπιόντες ἤδη καὶ διοικηταὶ τῶν ὅλων ἐγίνοντο, διώκειν τε καὶ κατάγειν οὓς ἐθέλοιεν, λύειν τε καὶ δεσμεῖν. καθόλου δ' αἱ μὲν ἀπολαύσεις τῆς βασιλείας ἐκείνων ἦσαν, τὰ δὲ ἀναλώματα καὶ αἱ δυσχέρειαι τῆς Ἀλεξάνδρας. δεινὴ δ' ἦν τὰ μείζω διοικεῖν, δύναμίν τε ἀεὶ συγκροτοῦσα διπλασίονα κατέστησε καὶ ξενικὴν συνήγαγεν οὐκ ὀλίγην, ὡς μὴ μόνον κρατύνασθαι τὸ οἰκεῖον ἔθνος, ἀλλὰ καὶ φοβερὰν τοῖς ἔξωθεν εἶναι δυνάσταις. ἐκράτει δὲ τῶν μὲν ἄλλων αὐτή, Φαρισαῖοι δ' αὐτῆς.

Διογένην γοῦν τινὰ τῶν ἐπισήμων, φίλον Ἀλεξάν- 3 δρῳ γεγενημένον, κτείνουσιν αὐτοί, σύμβουλον ἐγκαλοῦντες γεγονέναι περὶ τῶν ἀναστανρωθέντων ὑπὸ τοῦ βασιλέως ὀκτακοσίων. ἐνῆγον δὲ τὴν Ἀλεξάνδραν εἰς τὸ καὶ τοὺς ἄλλους διαχειρίσασθαι τῶν παροξυνάντων ἐπ' ἐκείνους τὸν Ἀλέξανδρον. ἐνδιδούσης δ' ὑπὸ δεισιδαιμονίας, ἀνῄρουν οὓς ἐθέλοιεν αὐτοί. προσφεύγουσι δ' Ἀριστοβούλῳ τῶν κινδυνευόντων οἱ προύχειν δοκοῦν-

Digitized by Google

τες. κἀκεῖνος πείθει τὴν μητέρα φείσασθαι μὲν διὰ το ἀξίωμα τῶν ἀνδρῶν, ἐκπέμψαι δ' αὐτούς, εἰ μὴ καθαροὺς ὑπείληφεν, ἐκ τῆς πόλεως. οἳ μὲν οὖν δοθείσης ἀδείας ἐσκεδάσθησαν ἀνὰ τὴν χώραν· Ἀλεξάνδρα δὲ ἐκπέμψασα ἐπὶ Δαμασκὸν στρατιάν (πρόφασις δ' ἦν Πτολεμαῖος ἀεὶ θλίβων τὴν πόλιν) ταύτην μὲν ἀπεδέξατο μηδὲν ἀξιόλογον ἐργασαμένην, Τιγράνην δὲ τὸν Ἀρμενίων βασιλέα προσκαθεζόμενον Πτολεμαΐδι καὶ πολιορκοῦντα Κλεοπάτραν συνθήκαις καὶ δώροις ὑπηγάγετο. φθάνει δ' ἐκεῖνος ἀπαναστὰς διὰ τὰς οἰκοι ταραχάς, ἐμβεβληκότος εἰς τὴν Ἀρμενίαν Λευκούλλου.

4 κἀν τούτῳ νοσούσης Ἀλεξάνδρας ὁ νεώτερος τῶν παίδων Ἀριστόβουλος τὸν καιρὸν ἁρπάσας μετὰ τῶν οἰκετῶν (εἶχε δὲ πολλούς, καὶ πάντας εὔνους διὰ τὴν θερμότητα) κρατεῖ μὲν τῶν ἐρυμάτων ἁπάντων, τοῖς δ' ἐκ τούτων χρήμασι μισθοφόρους ἀθροίσας ἑαυτὸν ἀποδείκνυσι βασιλέα. πρὸς ταῦτα ὀδυρόμενον τὸν Ὑρκανὸν ἡ μήτηρ οἰκτείρασα, τήν τε γυναῖκα καὶ τοὺς παῖδας τοὺς Ἀριστοβούλου καθείργνυσιν εἰς τὴν Ἀντωνίαν· φρούριον δ' ἦν τῷ βορείῳ κλίματι τοῦ ἱεροῦ προσκείμενον, πάλαι μέν, ὥς ἔφην, βᾶρις ὀνομαζόμενον, αὖθις δὲ ταύτης τυχὸν τῆς προσηγορίας ἐπικρατήσαντος Ἀντωνίου, καθάπερ ἀπό τε τοῦ Σεβαστοῦ καὶ Ἀγρίππα Σεβαστὴ καὶ Ἀγριππιὰς πόλεις ἕτεραι μετωνομάσθησαν. πρὶν δ' ἐπεξελθεῖν Ἀλεξάνδραν τὸν Ἀριστόβουλον τῆς τἀδελφοῦ καταλύσεως, τελευτᾷ, διοικήσασα τὴν ἀρχὴν ἔτεσιν ἐννέα.

6 καὶ κληρονόμος μὲν ἦν τῶν ὅλων Ὑρκανός, ᾧ καὶ ζῶσα τὴν βασιλείαν ἐνεχείρισε, δυνάμει δὲ καὶ φρονήματι προεῖχεν ὁ Ἀριστόβουλος. γενομένης δὲ αὐτοῖς περὶ τῶν ὅλων συμβολῆς περὶ Ἱεριχοῦντα, καταλιπόντες οἱ πλεῖστοι τὸν Ὑρκανὸν μεταβαίνουσι πρὸς τὸν

Digitized by Google

Ἀριστόβουλον. ὃ δὲ μετὰ τῶν συμμεινάντων φθάνει συμφυγὼν ἐπὶ τὴν Ἀντωνίαν, καὶ κυριεύσας τῶν πρὸς σωτηρίαν ὁμήρων (ταῦτα δ' ἦν ἡ Ἀριστοβούλου γυνὴ μετὰ τῶν τέκνων) ἀμέλει πρὶν ἀνηκέστου πάθους διελύθησαν, ὥστε βασιλεύειν μὲν Ἀριστόβουλον, Τρκανὸν δ' ἑκστάντα τῆς ἄλλης ἀπολαύειν τιμῆς ὥσπερ ἀδελφὸν βασιλέως. ἐπὶ τούτοις διαλλαγέντες ἐν τῷ ἱερῷ, καὶ τοῦ λαοῦ περιεστῶτος φιλοφρόνως ἀλλήλους ἀσπασάμενοι, διήμειψαν τὰς οἰκίας· Ἀριστόβουλος μὲν γὰρ εἰς τὰ βασίλεια, Τρκανὸς δ' ἀνεχώρησεν εἰς τὴν Ἀριστοβούλου οἰκίαν.

δέος δὲ τοῖς τε ἄλλοις τῶν Ἀριστοβούλου διαφόρων 2 ἐμπίπτει παρ' ἐλπίδα κρατήσαντος, καὶ μάλιστα Ἀντιπάτρῳ πάλαι διαμισουμένῳ. γένος δ' ἦν Ἰδουμαῖος, προγόνων τε ἕνεκα καὶ πλούτου καὶ τῆς ἄλλης ἰσχύος πρωτεύων τοῦ ἔθνους. οὗτος ἅμα καὶ τὸν Τρκανόν, Ἀρέτᾳ προσφυγόντα τῷ βασιλεῖ τῆς Ἀραβίας, ἀνακτήσασθαι τὴν βασιλείαν ἔπειθε, καὶ τὸν Ἀρέταν δέξασθαί τε τὸν Τρκανὸν καὶ καταγαγεῖν ἐπὶ τὴν ἀρχήν, πολλὰ μὲν τὸν Ἀριστόβουλον εἰς τὸ ἦθος διαβάλλων, πολλὰ δ' ἐπαινῶν τὸν Τρκανόν [παρῆνει δέξασθαι], καὶ ὡς πρέπον εἴη τὸν οὕτω λαμπρᾶς προεστῶτα βασιλείας ὑπερέχειν χεῖρα τῷ ἀδικουμένῳ· ἀδικεῖσθαι δὲ Τρκανὸν στερηθέντα τῆς κατὰ πρεσβεῖον αὐτῷ προσηκούσης ἀρχῆς. προκατασκευάσας δὲ ἀμφοτέρους, νύκτωρ ἀναλαβὼν τὸν Τρκανὸν ἐκ τῆς πόλεως ἀποδιδράσκει, καὶ συντόνῳ φυγῇ χρώμενος εἰς τὴν καλουμένην Πέτραν διασώζεται· βασίλειον αὖτη τῆς Ἀραβίας ἐστίν. ἔνθα τῷ Ἀρέτᾳ τὸν Τρκανὸν ἐγχειρίσας, καὶ πολλὰ μὲν καθομιλήσας πολλοῖς δὲ δώροις ὑπελθών, δοῦναι δύναμιν αὐτῷ πείθει τὴν κατάξουσαν αὐτόν. ἦν δ' αὕτη πεζῶν τε καὶ ἱππέων πέντε μυριάδες, πρὸς

Digitized by Google

ἦν οὐκ ἀντέσχεν Ἀριστόβουλος, ἀλλ' ἐν τῇ πρώτῃ συμβολῇ λειφθεὶς εἰς Ἱεροσόλυμα συνελαύνεται. κἂν ἔφθη κατὰ κράτος ληφθείς, εἰ μὴ Σκαῦρος ὁ Ῥωμαίων στρατηγός, ἐπαναστὰς αὐτῶν τοῖς καιροῖς, ἔλυσε τὴν πολιορκίαν· ὃς ἐπέμφθη μὲν εἰς Συρίαν ἀπὸ Ἀρμενίας ὑπὸ Πομπηίου Μάγνου πολεμοῦντος πρὸς Τιγράνην, παραγενόμενος δὲ εἰς Δαμασκὸν ἐαλωκυῖαν προσφάτως ὑπὸ Μετέλλου καὶ Λολλίου, καὶ τούτους μεταστήσας, ἐπειδὴ τὰ κατὰ τὴν Ἰουδαίαν ἐπύθετο, καθάπερ ἐφ' ἕρμαιον ἠπείχθη.

3 παρελθόντος γοῦν εἰς τὴν χώραν πρέσβεις εὐθέως ἦκον παρὰ τῶν ἀδελφῶν, ἑκατέρου βοηθεῖν αὐτῷ δεομένου. γίνεται δ' ἐπίπροσθεν τοῦ δικαίου τὰ παρὰ Ἀριστοβούλου τριακόσια τάλαντα· τοσοῦτον γὰρ λαβὼν Σκαῦρος ἐπικηρυκεύεται πρός τε Ὑρκανὸν καὶ τοὺς Ἄραβας, ἀπειλῶν Ῥωμαίους καὶ Πομπήιον, εἰ μὴ λύσειαν τὴν πολιορκίαν. ἀνεχώρησε δ' ἐκ τῆς Ἰουδαίας εἰς Φιλαδέλφειαν Ἀρέτας καταπλαγείς, καὶ πάλιν εἰς Δαμασκὸν Σκαῦρος. Ἀριστοβούλῳ δ' οὐκ ἀπέχρησε τὸ μὴ ἁλῶναι, πᾶσαν δὲ τὴν δύναμιν ἐπισυλλέξας εἵπετο τοῖς πολεμίοις, καὶ περὶ τὸν καλούμενον Παπυρῶνα συμβαλὼν αὐτοῖς ὑπὲρ ἑξακισχιλίους κτείνει, μεθ' ὧν καὶ τὸν ἀδελφὸν τὸν Ἀντιπάτρου, Φαλλίωνα.

4 Ὑρκανὸς δὲ καὶ Ἀντίπατρος τῶν Ἀράβων ἀφαιρεθέντες, μετέφερον ἐπὶ τοὺς ἐναντίους τὴν ἐλπίδα. καὶ ἐπειδὴ Πομπήιος ἐπιὼν τὴν Συρίαν εἰς Δαμασκὸν ἦκεν, ἐπ' αὐτὸν καταφεύγουσι· καὶ δίχα δώρων, αἷς καὶ πρὸς Ἀρέταν δικαιολογίαις χρώμενοι, κατηντιβόλουν μισῆσαι μὲν τὴν Ἀριστοβούλου βίαν, κατάγειν δ' ἐπὶ τὴν βασιλείαν τὸν καὶ τῷ τρόπῳ καὶ καθ' ἡλικίαν προσήκοντα. οὐ μὴν οὐδ' ὁ Ἀριστόβουλος ὑστέρει, πεποιθὼς τῇ

Digitized by Google

Σκαύρου δωροδοκίᾳ, παρῆν δὲ καὶ αὐτὸς ὡς οἷόν τε ἦν βασιλικώτατα κεκοσμηκὼς ἑαυτόν. ἀδοξήσας δὲ πρὸς τὰς θεραπείας, καὶ μὴ φέρων δουλεύειν ταῖς χρείαις ταπεινότερον τοῦ σχήματος, ἀπὸ Δίου πόλεως χωρίζεται.

πρὸς ταῦτ' ἀγανακτήσας Πομπήιος, πολλὰ καὶ τῶν περὶ Ὑρκανὸν ἱκετευόντων, ὥρμησεν ἐπ' Ἀριστόβουλον ἀναλαβὼν τήν τε Ῥωμαϊκὴν δύναμιν καὶ πολλοὺς ἐκ τῆς Συρίας συμμάχους. ἐπεὶ δὲ παρελαύνων Πέλλαν καὶ Σκυθόπολιν ἦκεν ἐς Κορέας, ὅθεν ἡ Ἰουδαίων ἄρχεται χώρα κατὰ τὴν μεσόγειον ἀνιόντων, ἀκούσας συμπεφευγέναι τὸν Ἀριστόβουλον εἰς Ἀλεξάνδρειον (τοῦτο δέ ἐστι φρούριον τῶν πάνυ φιλοτίμως ἐξησκημένων, ὑπὲρ ὄρους ὑψηλοῦ κείμενον), πέμψας καταβαίνειν αὐτὸν ἐκέλευσε. τῷ δὲ ἦν μὲν ὁρμή, καλουμένῳ δεσποτικώτερον, διακινδυνεύειν μᾶλλον ἢ ὑπακοῦσαι, καθεώρα δὲ τὸ πλῆθος ὁρῳδοῦν, καὶ παρῄνουν οἱ φίλοι σκέπτεσθαι τὴν Ῥωμαίων ἰσχὺν οὖσαν ἀνυπόστατον. οἷς πεισθεὶς κάτεισι πρὸς Πομπήιον, καὶ πολλὰ περὶ τοῦ δικαίως ἄρχειν ἀπολογηθεὶς ὑπέστρεψε πρὸς τὸ ἔρυμα. πάλιν τε τἀδελφοῦ προκαλουμένου καταβάς, καὶ διαλεχθεὶς περὶ τῶν δικαίων, ἄπεισι μὴ κωλύοντος τοῦ Πομπηίου. μέσος δ' ἦν ἐλπίδος καὶ δέους, καὶ κατῄει μὲν ὡς δυσωπήσων Πομπήιον πάντ' ἐπιτρέπειν αὐτῷ, πάλιν δ' ἀνέβαινεν εἰς τὴν ἄκραν, ὡς μὴ προκαταλύειν δόξειεν ἑαυτόν. ἐπεὶ μέντοι Πομπήιος ἐξίστασθαί τε τῶν φρουρίων ἐκέλευσεν αὐτῷ, καὶ παράγγελμα τῶν φρουράρχων ἐχόντων μόναις πειθαρχεῖν ταῖς αὐτογράφοις ἐπιστολαῖς, ἠνάγκαζεν αὐτὸν ἑκάστοις γράφειν ἐκχωρεῖν, ποιεῖ μὲν τὸ προσταχθέν, ἀγανακτήσας δὲ ἀνεχώρησεν εἰς Ἱεροσόλυμα καὶ παρεσκευάζετο πολεμεῖν πρὸς Πομπήιον.

Digitized by Google

6 ὃ δ' (οὐ γὰρ ἐδίδου χρόνον ταῖς παρασκευαῖς) εὐθέως εἶπετο, καὶ προσεπέρωσε τὴν ὁρμὴν ὁ Μιθραδάτου θάνατος, ἀγγελθεὶς αὐτῷ περὶ Ἱεριχοῦντα, ἔνθα τὸ τῆς Ἰουδαίας πιότατον φοίνικά τε πάμπολυν καὶ βάλσαμον τρέφει· τοῦτο λίθοις ὀξέσιν ἐπιτέμνοντες τὰ πρέμνα συλλέγουσι, κατὰ τὰς τομὰς ἐκδακρῦον. καὶ στρατοπεδευσάμενος ἐν τῷ χωρίῳ μίαν ἑσπέραν, ἔωθεν ἠπείγετο πρὸς τὰ Ἱεροσόλυμα. καταπλαγεὶς δὲ τὴν ἔφοδον Ἀριστόβουλος ἱκέτης ὑπαντᾷ, χρημάτων τε ὑποσχέσει καὶ τῷ μετὰ τῆς πόλεως ἐπιτρέπειν καὶ ἑαυτὸν χαλεπαίνοντα καταστέλλει τὸν Πομπήιον. οὐ μήν τι τῶν ὡμολογημένων ἔπραττε· πὸν γὰρ ἐπὶ τῇ κομιδῇ τῶν χρημάτων πεμφθέντα Γαβίνιον οἱ τὰ Ἀριστοβούλου φρονοῦντες οὐδὲ τῇ πόλει δέχονται.

7 πρὸς ταῦτα ἀγανακτήσας Πομπήιος Ἀριστόβουλον μὲν ἐφρούρει, πρὸς δὲ τὴν πόλιν ἐλθὼν περιεσκόπει ποῖ προσβαλεῖ· τήν τε γὰρ ὀχυρότητα τῶν τειχῶν δυσμεταχείριστον ἑώρα καὶ τὴν πρὸ τούτων φάραγγα φοβεράν, τό τε ἱερὸν ἐντὸς τῆς φάραγγος ὀχυρώτατα τετειχισμένον, ὥστε τοῦ ἄστεος ἀλισκομένου δευτέραν εἶναι κατα-
2 φυγὴν τοῦτο τοῖς πολεμίοις. διαπορουῦντος δ' ἐπὶ πολὺν χρόνον στάσις τοῖς ἔνδον ἐμπίπτει, τῶν μὲν Ἀριστοβούλου πολεμεῖν ἀξιούντων καὶ ῥύεσθαι τὸν βασιλέα, τῶν δὲ τὰ Ὑρκανοῦ φρονούντων ἀνοίγειν Πομπηίῳ τὰς πύλας· πολλοὺς δὲ τούτους ἐποίει τὸ δέος, ἀφορῶντας εἰς τὴν τῶν Ῥωμαίων εὐταξίαν. ἡττώμενον δὲ τὸ Ἀριστοβούλου μέρος εἰς τὸ ἱερὸν ἀνεχώρει, καὶ τὴν συνάπτουσαν ἀπ' αὐτοῦ τῇ πόλει γέφυραν ἀποκόψαντες ἀντισχεῖν εἰς ἔσχατον παρεσκευάζοντο. τῶν δὲ ἑτέρων δεχομένων Ῥωμαίους τῇ πόλει καὶ τὰ βασίλεια παραδιδόντων, ἐπὶ μὲν ταῦτα Πομπήιος ἕνα τῶν ὑφ' ἑαυτὸν στρατηγῶν Πίσωνα εἰσπέμπει μετὰ στρατιᾶς,

Digitized by Google

ὃς διαλαβὼν φρουρᾷ τὴν πόλιν, ἐπειδὴ τῶν εἰς τὸ ἱερὸν καταπεφευγότων οὐδένα λόγοις ἔπειθε συμβῆναι, τὰ πέριξ εἰς προσβολὰς ηὐτρέπιζεν, ἔχων τοὺς περὶ τὸν Τρκανὸν εἴς τε τὰς ἐπινοίας καὶ τὰς ὑπηρεσίας προθύμους. αὐτὸς δὲ κατὰ τὸ προσάρκτιον κλίμα τήν τε τάφρον ἔχου καὶ τὴν φάραγγα πᾶσαν, ὕλην συμφορούσης τῆς δυνάμεως. χαλεπὸν δ' ἦν τὸ ἀναπληροῦν διὰ βάθους ἄπειρον, καὶ τῶν Ἰουδαίων πάντα τρόπον εἰργόντων ἄνωθεν. κἂν ἀτέλεστος ἔμεινε τοῖς Ῥωμαίοις ὁ πόνος, εἰ μὴ τὰς ἑβδομάδας ἐπιτηρῶν ὁ Πομπήιος, ἐν αἷς παντὸς ἔργου διὰ τὴν θρησκείαν χεῖρας ἀπίσχουσιν Ἰουδαῖοι, τὸ χῶμα ὕψου, τῆς κατὰ χεῖρα συμβολῆς εἴργων τοὺς στρατιώτας· ὑπὲρ μόνου γὰρ τοῦ σώματος ἀμύνονται καὶ τοῖς σαββάτοις. ἤδη δ' ἀναπεπληρωμένης τῆς φάραγγος, πύργους ὑψηλοὺς ἐπιστήσας τῷ χώματι, καὶ προσαγαγὼν τὰς ἐκ Τύρου κομισθείσας μηχανάς, ἐπειρᾶτο τοῦ τείχους. ἀνέστελλον δὲ οἱ πετροβόλοι τοὺς καθύπερθε κωλύοντας· ἀντεῖχον δ' ἐπὶ πλεῖστον οἱ κατὰ τοῦτο τὸ μέρος πύργοι, μεγέθει τε καὶ κάλλει διαφέροντες. 3

ἔνθα δὴ τῶν Ῥωμαίων πολλὰ καποπαθούντων, ὁ Πομπήιος τά τε ἄλλα τῆς καρτερίας τοὺς Ἰουδαίους ἀπεθαύμασε, καὶ μάλιστα τοῦ μηδὲν παραλῦσαι τῆς θρησκείας ἐν μέσοις τοῖς βέλεσιν ἀνειλουμένους. ὥσπερ γὰρ εἰρήνης βαθείας κατεχούσης τὴν πόλιν, αἵ τε θυσίαι καθ' ἡμέραν καὶ οἱ ἐναγισμοὶ καὶ πᾶσα θεραπεία κατὰ τἀκριβὲς ἐξετελεῖτο τῷ θεῷ· καὶ οὐδὲ κατ' αὐτὴν τὴν ἅλωσιν, περὶ τῷ βωμῷ φονευόμενοι καθ' ἡμέραν, τῶν νομίμων εἰς τὴν θρησκείαν ἀπέστησαν. τρίτῳ γὰρ μηνὶ τῆς πολιορκίας μόλις ἕνα τῶν πύργων καταρρίψαντες εἰσέπιπτον εἰς τὸ ἱερόν. ὁ δὲ πρῶτος ὑπερβῆναι τολμήσας τὸ τεῖχος Σύλλα παῖς ἦν Φαῦστος Κορ- 4

Digitized by Google

νήλιος, καὶ μετ' αὐτὸν ἑκατοντάρχαι δύο, Φούριος καὶ Φάβιος. εἵπετο δὲ ἑκάστῳ τὸ ἴδιον στῖφος, καὶ περισχόντες πανταχῇ τοὺς Ἰουδαίους ἔκτεινον, οὓς μὲν τῷ ναῷ προσφεύγοντας, οὓς δὲ ἀμυνομένους πρὸς ὀλίγον. ἔνθα πολλοὶ τῶν ἱερέων, ξιφήρεις τοὺς πολεμίους ἐπιόντας βλέποντες, ἀθορύβως ἐπὶ τῆς θρησκείας ἔμειναν, σπένδοντες δὲ καὶ θυμιῶντες ἀπεσφάττοντο, καὶ τῆς πρὸς τὸ θεῖον θεραπείας ἐν δευτέρῳ τὴν σωτηρίαν τιθέμενοι. πλεῖστοι δ' ὑπὸ τῶν ὁμοφύλων ἀντιστασιαστῶν ἀνῃροῦντο, καὶ κατὰ τῶν κρημνῶν ἐρρίπτουν ἑαυτοὺς ἄπειροι· καὶ τὰ περὶ τὸ τεῖχος δ' ἔνιοι, μανιῶντες ἐν ταῖς ἀμηχανίαις, ὑπέπρησαν καὶ συγκαταφλέγονται. Ἰουδαίων μὲν οὖν ἀνῃρέθησαν μύριοι καὶ δισχίλιοι, Ῥωμαίων δὲ ὀλίγοι μὲν πάνυ νεκροί, τραυματίαι δ' ἐγένοντο πλείους.

6 οὐδὲν δ' οὕτως ἐν ταῖς τότε συμφοραῖς καθήψατο τοῦ ἔθνους ὡς τὸ τέως ἀόρατον ἅγιον ἐκκαλυφθὲν ὑπὸ τῶν ἀλλοφύλων. παρελθὼν γοῦν σὺν τοῖς περὶ αὐτὸν ὁ Πομπήιος εἰς τὸν ναόν, ἔνθα μόνῳ θεμιτὸν ἦν παριέναι τῷ ἀρχιερεῖ, τὰ ἔνδον ἐθεάσατο, λυχνίαν τε καὶ λύχνους καὶ τράπεζαν καὶ σπονδεῖα καὶ θυμιατήρια, ὁλόχρυσα πάντα, πλῆθός τε ἀρωμάτων σεσωρευμένων, καὶ τῶν ἱερῶν χρημάτων εἰς τάλαντα δισχίλια. οὔτε δὲ τούτων οὔτ' ἄλλου τινὸς τῶν ἱερῶν κειμηλίων ἥψατο, ἀλλὰ καὶ μετὰ μίαν τῆς ἁλώσεως ἡμέραν καθᾶραί τε τὸ ἱερὸν τοῖς νεωκόροις ἐκέλευσε καὶ τὰς ἐξ ἔθους ἐπιτελεῖν θυσίας, αὖθις ἀποδείξας Ὑρκανὸν ἀρχιερέα, τά τε ἄλλα προθυμότατον ἑαυτὸν ἐν τῇ πολιορκίᾳ παρασχόντα, καὶ διότι τὸ κατὰ τὴν χώραν πλῆθος ἀπέστησεν Ἀριστοβούλου συμπολεμεῖν ὡρμημένον. ἐκ τούτου, ὅπερ ἦν προσῆκον ἀγαθῷ στρατηγῷ, τὸν λαὸν εὐνοίᾳ πλέον ἢ δέει προσηγάγετο. ἐν δὲ τοῖς αἰχμαλώτοις

Digitized by Google

ἐλήφθη καὶ ὁ Ἀριστοβούλου πενθερός· ὁ δ' αὐτὸς ἦν καὶ θεῖος αὐτῷ. καὶ τοὺς μὲν αἰτιωτάτους τοῦ πολέμου πελέκει κολάζει, Φαῦστον δὲ καὶ τοὺς μετ' αὐτοῦ γενναίως ἀγωνισαμένους λαμπροῖς ἀριστείοις δωρησάμενος, τῇ τε χώρᾳ καὶ τοῖς Ἱεροσολύμοις ἐπιτάττει φόρον.

ἀφελόμενος δὲ τοῦ ἔθνους καὶ τὰς ἐν Κοίλῃ Συρίᾳ 7
πόλεις ὅσας εἶλεν, ὑπέταξε τῷ κατ' ἐκεῖνο καιροῦ Ῥωμαίων στρατηγῷ κατατεταγμένῳ, καὶ τοῖς ἰδίοις ὅροις περιέκλεισεν. ἀνακτίζει δὲ καὶ Γάδαρα, ὑπὸ Ἰουδαίων κατεστραμμένην, Γαδαρίτῃ τινὶ τῶν ἰδίων ἀπελευθέρων Δημητρίῳ χαριζόμενος. ἠλευθέρωσε δ' ἀπ' αὐτῶν καὶ τὰς ἐν τῇ μεσογείῳ πόλεις, ὅσας μὴ φθάσαντες κατέσκαψαν, Ἵππον Σκυθόπολίν τε καὶ Πέλλαν καὶ Σαμάρειαν καὶ Μάρισσαν, πρὸς αἷς Ἄζωτον καὶ Ἰάμνειαν καὶ Ἀρέθουσαν, ὁμοίως δὲ καὶ τὰς παραλίους, Γάζαν Ἰόπην Δῶρα, καὶ τὴν πάλαι μὲν Στράτωνος πύργον καλουμένην, ὕστερον δὲ μετακτισθεῖσαν ὑφ' Ἡρῴδου βασιλέως λαμπροτάτοις κατασκευάσμασι καὶ μετονομασθεῖσαν Καισάρειαν. ἃς πάσας τοῖς γνησίοις ἀποδοὺς πολίταις κατέταξεν εἰς τὴν Συριακὴν ἐπαρχίαν. παραδοὺς δὲ ταύτην τε καὶ τὴν Ἰουδαίαν καὶ τὰ μέχρις Αἰγύπτου καὶ Εὐφράτου Σκαύρῳ διέπειν, καὶ δύο τῶν ταγμάτων, αὐτὸς διὰ Κιλικίας εἰς Ῥώμην ἠπείγετο, τὸν Ἀριστόβουλον ἄγων μετὰ τῆς γενεᾶς αἰχμάλωτον. δύο δ' ἦσαν αὐτῷ θυγατέρες καὶ δύο υἱεῖς, ὧν ὁ ἕτερος μὲν Ἀλέξανδρος ἐκ τῆς ὁδοῦ διαδιδράσκει, σὺν δὲ ταῖς ἀδελφαῖς ὁ νεώτερος Ἀντίγονος εἰς Ῥώμην ἐκομίζετο.

κἀν τούτῳ Σκαῦρος εἰς τὴν Ἀραβίαν ἐμβαλὼν τῆς 8
μὲν Πέτρας εἴργετο ταῖς δυσχωρίαις, ἐπόρθει δὲ τὰ περὶ Πέλλαν, κἀν τούτῳ δὲ κακοπαθῶν· ἐλίμωττε γὰρ ἡ στρατιά. καὶ πρὸς τοῦτο Τρκανὸς ἐπεβοήθει, δι' Ἀντιπάτρου

Digitized by Google

τἀπιτήδεια πέμπων. ὃν καὶ καθίησι Σκαῦρος ὄντα συνήθη πρὸς Ἀρέταν, ὅπως ἐπὶ χρήμασι διαλύσαιτο τὸν πόλεμον. πείθεται δ' ὁ Ἄραψ τριακόσια δοῦναι τάλαντα, κἀπὶ τούτοις Σκαῦρος ἐξῆγε τῆς Ἀραβίας τὴν δύναμιν.

2 ὁ δ' ἀποδρὰς τῶν Ἀριστοβούλου παίδων Πομπήιον Ἀλέξανδρος, χρόνῳ συναγαγὼν χεῖρα συχνήν, βαρὺς ἦν Τρκανῷ καὶ τὴν Ἰουδαίαν κατέτρεχεν. ἐδόκει δ' ἂν τάχεως καταλῦσαι αὐτόν, ὅς γε ἤδη καὶ τὸ καταρριφθὲν ὑπὸ Πομπηίου τεῖχος ἐν Ἱεροσολύμοις ἀνακτίζειν ἐθάρρει προσελθών, εἰ μὴ Γαβίνιος εἰς Συρίαν πεμφθεὶς Σκαύρου διάδοχος τά τε ἄλλα γενναῖον ἀπέδειξεν ἑαυτὸν ἐν πολλοῖς καὶ ἐπ' Ἀλέξανδρον ὥρμησεν. ὃ δὲ δείσας πρὸς τὴν ἔφοδον δύναμίν τε πλείω συνέλεγεν, ὡς γενέσθαι μυρίους μὲν ὁπλίτας χιλίους δὲ καὶ πενταποσίους ἱππεῖς, καὶ τὰ ἐπιτήδεια τῶν χωρίων ἐτείχιζεν, Ἀλεξάνδρειόν τε καὶ Τρκάνειον καὶ Μαχαιροῦντα πρὸς τοῖς Ἀραβίοις ὄρεσι.

3 Γαβίνιος δὲ μετὰ μέρους τῆς στρατιᾶς Μάρκον Ἀντώνιον προπέμψας, αὐτὸς εἵπετο τὴν ὅλην ἔχων δύναμιν. οἱ δὲ περὶ Ἀντίπατρον ἐπίλεκτοι καὶ τὸ ἄλλο τάγμα τῶν Ἰουδαίων, ὧν Μάλιχος ἦρχε καὶ Πειθόλαος, συμμίξαντες τοῖς περὶ Μάρκον Ἀντώνιον ἡγεμόσιν, ὑπήντων Ἀλεξάνδρῳ. καὶ μετ' οὐ πολὺ παρῆν ἅμα τῇ φάλαγγι Γαβίνιος. ἐνουμένην δὲ τὴν τῶν πολεμίων δύναμιν οὐχ ὑπομείνας Ἀλέξανδρος ἀνεχώρει, καὶ πλησίον ἤδη Ἱεροσολύμων γενόμενος ἀναγκάζεται συμβαλεῖν, καὶ κατὰ τὴν μάχην ἑξακισχιλίους ἀποβαλών, ὧν τρισχίλιοι μὲν ἔπεσον τρισχίλιοι δὲ ἐξωγρήθησαν, φεύγει σὺν τοῖς καταλειφθεῖσιν εἰς Ἀλεξάνδρειον.

4 Γαβίνιος δὲ πρὸς τὸ Ἀλεξάνδρειον ἐλθών, ἐπειδὴ πολλοὺς εὗρεν ἐστρατοπεδευμένους, ἐπειρᾶτο συγγνώμης ὑποσχέσει περὶ τῶν ἡμαρτημένων πρὸ μάχης αὐ-

Digitized by Google

τοὺς προσαγαγέσθαι. μηδὲν δὲ μέτριον φρονούντων ἀποκτείνας πολλούς, τοὺς λοιποὺς κατέκλεισεν εἰς τὸ ἔρυμα. κατὰ ταύτην ἀριστεύει τὴν μάχην ὁ ἡγεμὼν Μάρκος Ἀντώνιος, πανταχοῦ μὲν γενναῖος ἀεὶ φανείς, οὐδαμοῦ δ' οὕτως. Γαβίνιος δὲ τοὺς ἐξαιρήσοντας τὸ φρούριον καταλιπὼν αὐτὸς ἀπήει, τὰς μὲν ἀπορθήτους πόλεις καθιστάμενος, τὰς δὲ κατεστραμμένας ἀνακτίζων. συνεπολίσθησαν γοῦν τούτου κελεύσαντος Σκυθόπολίς τε καὶ Σαμάρεια καὶ Ἀνθηδὼν καὶ Ἀπολλωνία καὶ Ἰάμνεια καὶ Ῥαφία καὶ Μάρισσά τε καὶ Ἀδώρεος καὶ Γάμαλα καὶ Ἄζωτος ἄλλαι τε πολλαί, τῶν οἰκητόρων ἀσμένως ἐφ' ἑκάστην συνθεόντων.

μετὰ δὲ τὴν τούτων ἐπιμέλειαν ἐπανελθὼν πρὸς τὸ Ἀλεξάνδρειον ἐπέρρωσε τὴν πολιορκίαν, ὥστε Ἀλέξανδρος ἀπογνοὺς περὶ τῶν ὅλων ἐπικηρυκεύεται πρὸς αὐτόν, συγγνωσθῆναί τε τῶν ἡμαρτημένων δεόμενος καὶ τὰ συμμένοντα φρούρια παραδιδούς, Τρκάνειον καὶ Μαχαιροῦντα· αὖθις δὲ καὶ τὸ Ἀλεξάνδρειον ἐνεχείρισεν. ἃ πάντα Γαβίνιος, ἐναγούσης τῆς Ἀλεξάνδρου μητρός, κατέσκαψεν, ὡς μὴ πάλιν ὁρμητήριον γένοιτο δευτέρου πολέμου. παρῆν δὲ μειλισσομένη τὸν Γαβίνιον κατὰ δέος τῶν ἐπὶ τῆς Ῥώμης αἰχμαλώτων, τοῦ τε ἀνδρὸς καὶ τῶν ἄλλων τέκνων. μετὰ δὲ ταῦτα εἰς Ἱεροσόλυμα Γαβίνιος Τρκανὸν καταγαγών, καὶ τὴν τοῦ ἱεροῦ παραδοὺς κηδεμονίαν αὐτῷ, καθίστησι τὴν ἄλλην πολιτείαν ἐπὶ προστασίᾳ τῶν ἀρίστων. διεῖλε δὲ πᾶν τὸ ἔθνος εἰς πέντε συνόδους, τὸ μὲν Ἱεροσολύμοις προστάξας, τὸ δὲ Γαδάροις, οἳ δ' ἵνα συντελῶσιν εἰς Ἀμαθοῦντα· τὸ δὲ τέταρτον εἰς Ἱεριχοῦντα κεκλήρωτο, καὶ τῷ πέμπτῳ Σέπφωρις ἀπεδείχθη πόλις τῆς Γαλιλαίας. ἀσμένως δὲ τῆς ἐξ ἑνὸς ἐπικρατείας ἐλευθερωθέντες τὸ λοιπὸν ἀριστοκρατίᾳ διῳκοῦντο.

Digitized by Google

6 μετ' οὐ πολύ γε μὴν αὐτοῖς ἀρχὴ γίνεται θορύβων Ἀριστόβουλος ἀποδρὰς ἐκ Ῥώμης, ὃς αὖθις πολλοὺς Ἰουδαίων ἐπισυνίστη, τοὺς μὲν ἐπιθυμοῦντας μεταβολῆς, τοὺς δ' ἀγαπῶντας αὐτὸν πάλαι. καὶ τὸ μὲν πρῶτον καταλαβόμενος τὸ Ἀλεξάνδρειον ἀνατειχίζειν ἐπειρᾶτο· ὡς δὲ Γαβίνιος ὑπὸ Σισέννᾳ καὶ Ἀντωνίῳ καὶ Σερβιλίῳ στρατιὰν ἔπεμψεν ἐπ' αὐτόν, γνοὺς ἀνεχώρει ἐπὶ Μαχαιροῦντος, καὶ τὸν μὲν ἄχρηστον ὄχλον ἀπεφορτίσατο, μόνους δ' ἐπήγετο τοὺς ὡπλισμένους, ὄντας εἰς ὀκτακισχιλίους, ἐν οἷς καὶ Πειθόλαος ἦν ὁ ἐξ Ἱεροσολύμων ὑποστράτηγος αὐτομολήσας μετὰ χιλίων. Ῥωμαῖοι δ' ἐπηκολούθουν, καὶ γενομένης συμβολῆς μέχρι πολλοῦ μὲν οἱ περὶ τὸν Ἀριστόβουλον διεκαρτέρουν γενναίως ἀγωνιζόμενοι, τέλος δὲ βιασθέντες ὑπὸ τῶν Ῥωμαίων πίπτουσι μὲν πεντακισχίλιοι, περὶ δὲ δισχιλίους ἀνέφυγον εἰς τινα λόφον. οἱ δὲ λοιποὶ χίλιοι σὺν Ἀριστοβούλῳ, διακόψαντες τὴν φάλαγγα τῶν Ῥωμαίων, εἰς Μαχαιροῦντα συνελαύνονται. ἔνθα δὴ τὴν πρώτην ἐσπέραν ὁ βασιλεὺς τοῖς ἐρειπίοις ἐναυλισάμενος ἐν ἐλπίσι μὲν ἦν ἄλλην συναθροίσειν δύναμιν, ἀνοχὴν τοῦ πολέμου διδόντος, καὶ τὸ φρούριον κακῶς ὠχύρου, προσπεσόντων δὲ Ῥωμαίων ἐπὶ δύο ἡμέρας ἀντισχὼν ὑπὲρ δύναμιν ἁλίσκεται, καὶ μετ' Ἀντιγόνου τοῦ παιδός, ὃς ἀπὸ Ῥώμης αὐτῷ συναπέδρα, δεσμώτης ἐπὶ Γαβίνιον ἀνήχθη, καὶ ἀπὸ Γαβινίου πάλιν εἰς Ῥώμην. τοῦτον μὲν οὖν ἡ σύγκλητος εἶρξε, τὰ τέκνα δ' αὐτοῦ διῆγεν εἰς Ἰουδαίαν, Γαβινίου δι' ἐπιστολῶν δηλώσαντος τῇ Ἀριστοβούλου γυναικὶ τοῦτο ἀντὶ τῆς παραδόσεως τῶν ἐρυμάτων ὡμολογηκέναι.

7 Γαβινίῳ δ' ἐπὶ Πάρθους ὡρμημένῳ στρατεύειν γίνεται Πτολεμαῖος ἐμπόδιον, ὃν ὑποστρέψας ἀπ' Εὐφράτου κατῆγεν εἰς Αἴγυπτον, ἐπιτηδείοις εἰς ἅπαντα

Digitized by Google

χρώμενος κατὰ τὴν στρατιὰν Ὑρκανῷ καὶ Ἀντιπάτρῳ· καὶ γὰρ χρήματα καὶ ὅπλα καὶ σῖτον καὶ ἐπικούρους ὁ Ἀντίπατρος προσῆγε, καὶ τοὺς ταύτῃ Ἰουδαίους, φρουροῦντας τὰς κατὰ τὸ Πηλούσιον ἐμβολάς, παρεᾶσαι Γαβίνιον ἔπεισε. τῆς δ' ἄλλης Συρίας πρὸς τὸν Γαβινίου χωρισμὸν κινηθείσης, καὶ Ἰουδαίους πάλιν ἀπέστησεν Ἀλέξανδρος ὁ Ἀριστοβούλου, μεγίστην δὲ συγκροτήσας δύναμιν ὥρμητο πάντας τοὺς κατὰ τὴν χώραν Ῥωμαίους ἀνελεῖν. πρὸς ὃ Γαβίνιος δείσας (ἤδη δὲ παρῆν ἀπ' Αἰγύπτου τοῖς τῇδε θορύβοις ἠπειγμένος) ἐπὶ τινὰς μὲν τῶν ἀφεστώτων Ἀντίπατρον προπέμψας μετέπεισε, συνέμενον δὲ Ἀλεξάνδρῳ τρεῖς μυριάδες, κἀκεῖνος ὥρμητο πολεμεῖν. οὕτως ἕξεσι πρὸς μάχην· ὑπήντων δ' οἱ Ἰουδαῖοι, καὶ συμβαλόντων περὶ τὸ Ἰταβύριον ὄρος μύριοι μὲν ἀναιροῦνται, τὸ δὲ λοιπὸν πλῆθος ἐσκεδάσθη φυγῇ. καὶ Γαβίνιος ἐλθὼν εἰς Ἱεροσόλυμα πρὸς τὸ Ἀντιπάτρου βούλημα κατεστήσατο τὴν πολιτείαν. ἔνθεν ὁρμήσας Ναβαταίων τε μάχῃ κρατεῖ, καὶ Μιθραδάτην καὶ Ὀρσάνην φυγόντας ἐκ Πάρθων κρύφα μὲν ἀπέπεμψε, παρὰ δὲ τοῖς στρατιώταις ἔλεγεν ἀποδρᾶναι.

κἀν τούτῳ Κράσσος αὐτῷ διάδοχος ἐλθὼν παρα- 8
λαμβάνει Συρίαν. οὗτος εἰς τὴν ἐπὶ Πάρθους στρατείαν τόν τε ἄλλον τοῦ ἐν Ἱεροσολύμοις ναοῦ χρυσὸν πάντα περιεῖλε, καὶ τὰ δισχίλια τάλαντα ἦρεν ὧν ἀπέσχετο Πομπήιος. διαβὰς δὲ τὸν Εὐφράτην αὐτός τε ἀπώλετο καὶ ὁ στρατὸς αὐτοῦ. περὶ ὧν οὐ νῦν καιρὸς λέγειν.

Πάρθους δὲ μετὰ τὸν Κράσσον ἐπιδιαβαίνειν εἰς 9
Συρίαν ὡρμημένους ἀνέκοπτε Κάσσιος εἰς τὴν ἐπαρχίαν διαφυγών. περιποιησάμενος δ' αὐτὴν ἐπὶ Ἰουδαίαν ἠπείγετο, καὶ Ταριχέας μὲν ἑλὼν εἰς τρισμυρίους Ἰου-

Digitized by Google

δαίων ἀνδραποδίζεται, κτείνει δὲ καὶ Πειθόλαον, τοὺς Ἀριστοβούλου στασιαστὰς ἐπισυνιστάντα· τοῦ φόνου δὲ ἦν σύμβουλος Ἀντίπατρος. τούτῳ γήμαντι γυναῖκα τῶν ἐπισήμων ἐξ Ἀραβίας, Κύπρον τοὔνομα, τέσσαρες μὲν υἱεῖς γίνονται, Φασάηλος καὶ ὁ βασιλεὺς αὖθις Ἡρώδης, πρὸς οἷς Ἰώσηπος καὶ Φερώρας, καὶ Σαλώμη θυγάτηρ. ἐξοικειούμενος δὲ τοὺς πανταχοῦ δυνατοὺς φιλίαις τε καὶ ξενίαις, μάλιστα προσηγάγετο τὸν Ἀράβων βασιλέα διὰ τὴν ἐπιγαμίαν· κἀπειδὴ τὸν πρὸς Ἀριστόβουλον ἀνείλετο πόλεμον, ἐκείνῳ παρακαταθήκην ἔπεμψε τὰ τέκνα. Κάσσιος δὲ κατὰ συνθήκας ἡσυχάζειν Ἀλέξανδρον ἀναγκάσας ἐπὶ τὸν Εὐφράτην ὑπέστρεψε, Πάρθους διαβαίνειν ἀνείρξων· περὶ ὧν ἐν ἑτέροις ἐροῦμεν.

9 Καῖσαρ δὲ Πομπηίου καὶ τῆς συγκλήτου φυγόντων ὑπὲρ τὸν Ἰόνιον Ῥώμης τε καὶ τῶν ὅλων κρατήσας, ἀνίησι μὲν τῶν δεσμῶν τὸν Ἀριστόβουλον, παραδοὺς δ' αὐτῷ δύο τάγματα κατὰ τάχος ἔπεμψεν εἰς Συρίαν, ταύτην τε ῥᾳδίως ἐλπίσας καὶ τὰ περὶ τὴν Ἰουδαίαν δι' αὐτοῦ προσάξεσθαι. φθάνει δὲ ὁ φθόνος καὶ τὴν Ἀριστοβούλου προθυμίαν καὶ τὰς Καίσαρος ἐλπίδας· φαρμάκῳ γοῦν ἀναιρεθεὶς ὑπὸ τῶν τὰ Πομπηίου φρονούντων, μέχρι πολλοῦ μὲν οὐδὲ ταφῆς ἐν τῇ πατρῴᾳ χώρᾳ μετεῖχεν, ἔκειτο δ' ἐν μέλιτι συντηρούμενος ὁ νεκρὸς αὐτοῦ, ἕως ὑπ' Ἀντωνίου Ἰουδαίοις ἐπέμφθη τοῖς βασιλικοῖς μνημείοις ἐνταφησόμενος.

2 ἀναιρεῖται δὲ καὶ ὁ υἱὸς αὐτοῦ Ἀλέξανδρος πελέκει ὑπὸ Σκιπίωνος ἐν Ἀντιοχείᾳ, Πομπηίου τοῦτ' ἐπιστείλαντος καὶ γενομένης κατηγορίας πρὸ τοῦ βήματος ὧν Ῥωμαίους ἔβλαψε. τοὺς δ' ἀδελφοὺς αὐτοῦ Πτολεμαῖος ὁ Μενναίου παραλαβών, ὃς ἐκράτει τῆς ὑπὸ τῷ Λιβάνῳ Χαλκίδος, Φιλιππίωνα τὸν υἱὸν ἐπ' αὐτοὺς εἰ

Digitized by Google

Ἀσκάλωνα πέμπει. κἀκεῖνος ἀποσπάσας τῆς Ἀριστοβούλου γυναικὸς Ἀντίγονον καὶ τὰς ἀδελφὰς αὐτοῦ πρὸς τὸν πατέρα ἀνήγαγεν. ἄλους δ' ἔρωτι γαμεῖ τὴν νεωτέραν, καὶ μετὰ ταῦθ' ὑπὸ τοῦ πατρὸς δι' αὐτὴν κτείνεται· γαμεῖ γὰρ Πτολεμαῖος τὴν Ἀλεξάνδραν, ἀνελὼν τὸν υἱόν, καὶ διὰ τὸν γάμον κηδεμονικώτερος ἦν πρὸς τοὺς αὐτῆς ἀδελφούς.

Ἀντίπατρος δὲ μετὰ τὴν Πομπηίου τελευτὴν με- 3
ταβὰς ἐθεράπευε Καίσαρα· κἀπειδήπερ Μιθραδάτης ὁ Περγαμηνός, μεθ' ἧς ἦγεν ἐπ' Αἴγυπτον δυνάμεως, εἰργόμενος τῶν κατὰ τὸν Πηλούσιον ἐμβολῶν ἐν Ἀσκάλωνι κατείχετο, τούς τε Ἄραβας ξένος ὢν ἔπεισεν ἐπικουρῆσαι, καὶ αὐτὸς ἦκεν ἄγων Ἰουδαίων εἰς τρισχιλίους ὁπλίτας. παρώρμησε δὲ καὶ τοὺς ἐν Συρίᾳ δυνατοὺς ἐπὶ τὴν βοήθειαν, τῶν τ' ἐποίκων τοῦ Λιβάνου Πτολεμαῖον καὶ Ἰάμβλιχον, δι' οὓς αἱ ταύτῃ πόλεις ἑτοίμως συνεφήψαντο τοῦ πολέμου. καὶ θαρρῶν ἤδη Μιθραδάτης τῇ προσγενομένῃ δι' Ἀντίπατρον ἰσχύι πρὸς τὸ Πηλούσιον ἐξελαύνει, κωλυόμενός τε διεξελθεῖν ἐπολιόρκει τὴν πόλιν. γίνεται δὲ κἀν τῇ προσβολῇ διασημότατος Ἀντίπατρος· τὸ γὰρ καθ' αὑτὸν μέρος τοῦ τείχους διαρρήξας πρῶτος εἰσεπήδησεν εἰς τὴν πόλιν μετὰ τῶν σὺν αὐτῷ.

καὶ Πηλούσιον μὲν ἑάλω, πρόσω δ' αὐτοὺς ἰόντας 4
εἶργον αὖθις οἱ τὴν Ὀνίου προσαγορευομένην χώραν κατέχοντες Ἰουδαῖοι Αἰγύπτιοι. τούτους δὲ Ἀντίπατρος οὐ μόνον μὴ κωλύειν ἔπεισεν, ἀλλὰ καὶ τὰ ἐπιτήδεια τῇ δυνάμει παρασχεῖν. ὅθεν οὐδ' οἱ κατὰ τὴν Μέμφιν ἔτι εἰς χεῖρας ἦλθον, ἑκούσιοι δὲ προσέθεντο Μιθραδάτῃ. κἀκεῖνος ἤδη τὸ Δέλτα περιελθὼν συνέβαλλε τοῖς λοιποῖς Αἰγυπτίοις εἰς μάχην κατὰ χῶρον ὃς Ἰουδαίων στρατόπεδον καλεῖται. κινδυνεύοντα δὲ αὐτὸν ἐν τῇ

Digitized by Google

παρατάξει σὺν ὅλῳ τῷ δεξιῷ κέρατι ῥύεται περιελθὼν Ἀντίπατρος παρὰ τὸν αἰγιαλὸν τοῦ ποταμοῦ· τῶν γὰρ καθ' ἑαυτὸν ἐκράτει τὸ λαιὸν ἔχων κέρας. ἔπειτα προσπεσὼν τοῖς διώκουσι Μιθραδάτην ἀπέκτεινέ τε πολλούς, καὶ μέχρι τοσούτου τοὺς καταλειπομένους ἐδίωξεν ὡς καὶ τὸ στρατόπεδον αὐτῶν ἑλεῖν· ὀγδοήκοντα δὲ μόνους τῶν ἰδίων ἀπέβαλε, καὶ Μιθραδάτης ἐν τῇ τροπῇ περὶ ὀκτακοσίους. σωθεὶς δ' αὐτὸς παρ' ἐλπίδα, μάρτυς ἀβάσκανος γίνεται πρὸς Καίσαρα τῶν Ἀντιπάτρου κατορθωμάτων.

ὃ δὲ τότε μὲν τὸν ἄνδρα τοῖς ἐπαίνοις καὶ ταῖς ἐλπίσιν εἰς τοὺς ὑπὲρ ἑαυτοῦ κινδύνους ἐπέρρωσεν, ἐν οἷς πᾶσι παραβολώτατος ἀγωνιστὴς γενόμενος, καὶ πολλὰ τρωθεὶς καθ' ὅλου σχεδὸν τοῦ σώματος εἶχε τὰ σημεῖα τῆς ἀρετῆς· αὖθις δὲ καταστησάμενος τὰ κατὰ τὴν Αἴγυπτον, ὡς ἐπανῆκεν εἰς Συρίαν, πολιτείᾳ τε αὐτὸν τῇ Ῥωμαίων ἐτίμησε καὶ ἀτελείᾳ, τῆς τε ἄλλης τιμῆς καὶ φιλοφρονήσεως ἕνεκεν ζηλωτὸν ἐποίησε, καὶ τὴν ἀρχιερωσύνην δὲ δι' αὐτὸν ἐπεκύρωσεν Ὑρκανῷ.

κατ' αὐτὸ δὲ καὶ Ἀντίγονος ὁ Ἀριστοβούλου πρὸς τὸν Καίσαρα παρών, γίνεται παραδόξως Ἀντιπάτρῳ μείζονος προκοπῆς αἴτιος. δέον γοῦν ἀποδύρεσθαι περὶ τοῦ πατρὸς πεφαρμάχθαι δοκοῦντος ἐκ τῶν πρὸς Πομπήιον διαφορῶν, καὶ περὶ τἀδελφοῦ τὴν Σκιπίωνος ὠμότητα μέμφεσθαι, καὶ ῥηδὲν εἰς τὸν ἔλεον παραμῖξαι φθονερὸν πάθος, ὃ δ' ἐπὶ τούτοις Ὑρκανοῦ καὶ Ἀντιπάτρου κατηγόρει παρελθών, ὡς παρανομώτατα μὲν αὐτὸν μετὰ τῶν ἀδελφῶν πάσης ἀπελαύνοιεν τῆς πατρίου γῆς, πολλὰ δ' εἰς τὸ ἔθνος αὐτοὶ διὰ κόρον ἐξυβρίζοιεν, καὶ ὅτι τὴν εἰς Αἴγυπτον συμμαχίαν οὐκ ἐπ' εὐνοίᾳ αὐτῷ πέμψειαν, ἀλλὰ κατὰ δέος τῶν πάλαι διαφορῶν, καὶ τὴν πρὸς Πομπήιον φιλίαν ἀποσκευαζόμενοι.

Digitized by Google

πρὸς ταῦθ' ὁ Ἀντίπατρος ἀπορρίψας τὴν ἐσθῆτα τὸ 2
πλῆθος ἐπεδείκνυε τῶν τραυμάτων, καὶ περὶ μὲν τῆς εἰς
Καίσαρα εὐνοίας οὐκ ἔφη λόγου δεῖν αὐτῷ (κεκραγέναι
γὰρ τὸ σῶμα σιωπῶντος), Ἀντιγόνου δὲ θαυμάζειν τὴν
τόλμαν, εἰ πολεμίου Ῥωμαίων υἱὸς ὢν καὶ Ῥωμαίων δρα-
πέτου, καὶ τὸ νεωτεροποιὸς εἶναι καὶ στασιώδης αὐτὸς
πατρῷον ἔχων, παρὰ τῷ Ῥωμαίων ἡγεμόνι κατηγορεῖν
ἐπικεχείρηκεν ἑτέρων, καὶ πειρᾶται τυχεῖν ἀγαθοῦ τινός,
δέον ἀγαπᾶν ὅτι ζῇ· καὶ γὰρ νῦν ἐφίεσθαι πραγμάτων
οὐ τοσοῦτον δι' ἀπορίαν, ἀλλ' ἵνα Ἰουδαίους διασα-
σιάσῃ παρελθὼν καὶ χρήσηται κατὰ τῶν δόντων ταῖς
ἀφορμαῖς.

τούτων Καῖσαρ ἀκούσας Ὑρκανὸν μὲν ἀξιώτερον 3
τῆς ἀρχιερωσύνης ἀπεφήνατο, Ἀντιπάτρῳ δὲ δυναστείας
αἱρεσιν ἔδωκεν. ὃ δ' ἐπὶ τῷ τιμήσαντι τὸ μέτρον τῆς τι-
μῆς θέμενος πάσης ἐπίτροπος Ἰουδαίας ἀποδείκνυται,
καὶ προσεπιτυγχάνει τὰ τείχη τῆς πατρίδος ἀνακτίσαι
κατεστραμμένα. τὰς μὲν δὴ τιμὰς ταύτας Καῖσαρ ἐπέ-
στελλεν ἐν τῷ Καπετωλίῳ χαραχθῆναι, τῆς τε αὐτοῦ δι-
καιοσύνης σημεῖον καὶ τῆς τοῦ ἀνδρὸς ἀρετῆς ἐσόμενον·
Ἀντίπατρος δὲ Καίσαρα προπέμψας ἐκ τῆς Συρίας εἰς 4
Ἰουδαίαν ὑπέστρεψεν. καὶ πρῶτον μὲν τὸ τεῖχος ἀνεδεί-
ματο τῆς πατρίδος ὑπὸ Πομπηίου κατεστραμμένον, καὶ
τοὺς ἀνὰ τὴν χώραν θορύβους ἐπιὼν κατέστελλεν, ἀπει-
λητὴς ἅμα καὶ σύμβουλος ὢν ἑκάστοις, ὅτι τὰ μὲν Ὑρ-
κανοῦ φρονοῦντες ἐν ὅλβῳ καὶ καθ' ἡσυχίαν βιώσονται,
τῶν τε ἰδίων κτημάτων καὶ κοινῆς εἰρήνης ἀπολαύοντες,
εἰ δὲ πείθοιντο ταῖς ψυχραῖς ἐλπίσι τῶν νεωτερίζειν ἐπὶ
κέρδεσιν οἰκείοις ἐθελόντων, αὐτόν τε πειράσουσιν ἀντὶ
κηδεμόνος δεσπότην καὶ Ὑρκανὸν ἀντὶ βασιλέως τύραν-
νον, Ῥωμαίους γε μὴν καὶ Καίσαρα πολεμίους ἀνθ'
ἡγεμόνων καὶ φίλων· οὐ γὰρ ἀνέξεσθαι μετακινούμε-

Digitized by Google

νον ἐκ τῆς ἀρχῆς ὃν αὐτοὶ κατέστησαν. ἅμα δὲ ταῦτα λέγων δι' ἑαυτοῦ καθίστατο τὴν χώραν, ὁρῶν τὸν Ὑρκανὸν νωθῆ τε καὶ βασιλείας ἀτονώτερον. Φασάηλον μὲν δή, τῶν παίδων τὸν πρεσβύτατον, Ἱεροσολύμων καὶ τῶν πέριξ στρατηγὸν καθίστησι, τὸν δὲ μετ' αὐτὸν Ἡρώδην ἐπὶ τοῖς ἴσοις ἔστειλεν εἰς τὴν Γαλιλαίαν κομιδῇ νέον. ὃ δὲ ὢν φύσει δραστήριος ὕλην εὐθέως εὑρίσκει τῷ φρονήματι, καὶ καταλαβὼν Ἐζεκίαν τὸν ἀρχιλῃστὴν τὰ προσεχῆ τῇ Συρίᾳ κατατρέχοντα μετὰ μεγίστου στίφους, αὐτόν τε συλλαβὼν ἀποκτείνει καὶ πολλοὺς τῶν λῃστῶν. ὃ δὴ μάλιστα τοῖς Σύροις κατώρθωκε κεχαρισμένον· ὑμνεῖτο γοῦν ἀνά τε τὰς κώμας καὶ ἐν ταῖς πόλεσιν Ἡρώδης ὡς εἰς εἰρήνην αὐτοῖς παρὼν καὶ τὰς κτήσεις ἀνασεσωκώς. γίνεται δ' ἐκ τούτου καὶ Σέξτῳ Καίσαρι γνώριμος, ὄντι συγγενεῖ τοῦ μεγάλου Καίσαρος καὶ διοικοῦντι τὴν Συρίαν. πρὸς δὲ τὸν ἀδελφὸν εὐδοκιμοῦντα καὶ Φασάηλος ἐφιλοτιμεῖτο τὴν ἀγαθὴν ἔριν, τοὺς ἐν τοῖς Ἱεροσολύμοις εὐνουστέρους καθιστάμενος, καὶ δι' αὐτοῦ μὲν ἔχων τὴν πόλιν, μηδὲν δ' ἀπειροκάλως εἰς τὴν ἐξουσίαν ἐξυβρίζων.

ἔνθεν Ἀντιπάτρῳ θεραπεία τε ἦν ἐκ τοῦ ἔθνους βασιλικὴ καὶ τιμαὶ παρὰ πάντων ὡς δεσπότῃ τῶν ὅλων· οὐ μὴν αὐτὸς τῆς πρὸς Ὑρκανὸν εὐνοίας ἢ πίστεώς τι μετεκίνησεν. ἀμήχανον δ' ἐν εὐπραγίαις φθόνον διαφυγεῖν. Ὑρκανὸς γοῦν ἤδη μὲν καὶ καθ' ἑαυτὸν ἡσυχῇ πρὸς τὸ κλέος τῶν νεανίσκων ἐδάκνετο, μάλιστα δ' ἐλύπει τὰ Ἡρώδου κατορθώματα· καὶ κήρυκες ἐπάλληλοι τῆς καθ' ἕκαστον εὐδοξίας προστρέχοντες, πολλοὶ δὲ τῶν ἐν τοῖς βασιλείοις βασκάνων ἠρέθιζον, οἷς ἢ τὸ τῶν παίδων ἢ τὸ Ἀντιπάτρου σωφρονικὸν προσίστατο, λέγοντες ὡς Ἀντιπάτρῳ καὶ τοῖς υἱοῖς αὐτοῦ παραχωρήσας τῶν πραγμάτων καθέζοιτο τοὔνομα μόνον βασιλέως ἔχων

Digitized by Google

ἔρημον ἐξουσίας· καὶ μέχρι ποῦ πλανηθήσεται καθ' ἑαυτοῦ βασιλεῖς ἐπιτρέφων; οὐδὲ γὰρ εἰρωνεύεσθαι τὴν ἐπιτροπὴν αὐτοὺς ἔτι, φανεροὺς δ' εἶναι δεσπότας παρωσαμένους ἐκεῖνον, εἴ γε μήτε ἐντολὰς δόντος μήτε ἐπιστείλαντος αὐτοῦ τοσούτους παρὰ τὸν Ἰουδαίων νόμον ἀνῄρηκεν Ἡρώδης· ὅν, εἰ μὴ βασιλεύς ἐστιν ἀλλ' ἔτι ἰδιώτης, δεῖν ἐπὶ δίκην ἥκειν, ἀποδώσοντα λόγον αὐτῷ τε καὶ τοῖς πατρίοις νόμοις, οἳ κτείνειν ἀκρίτως οὐκ ἀφιᾶσι.

τούτοις κατὰ μικρὸν Ὑρκανὸς ἐξεκαίετο, καὶ τὴν 7
ὀργὴν τελευταῖον ἐκρήξας ἐκάλει κριθησόμενον τὸν Ἡρώδην. ὃ δὲ καὶ τοῦ πατρὸς παραινοῦντος καὶ τῶν πραγμάτων διδόντων παρρησίαν ἀνῄει, φρουραῖς διαλαβὼν πρότερον τὴν Γαλιλαίαν. ἦει δὲ μετὰ καρτεροῦ στίφους, ὡς μήτε καταλύειν δόξειεν Ὑρκανὸν ἀδρὰν ἄγων δύναμιν, μήτε γυμνὸς ἐμπέσοι τῷ φθόνῳ. Σέξτος δὲ Καῖσαρ δείσας περὶ τῷ νεανίᾳ, μή τι παρὰ τοῖς ἐχθροῖς ἀποληφθεὶς πάθῃ, πέμπει πρὸς τὸν Ὑρκανὸν τοὺς παραγγελοῦντας διαρρήδην ἀπολύειν Ἡρώδην τῆς φονικῆς δίκης. ὃ δὲ καὶ ἄλλως ὡρμημένος (ἠγάπα γὰρ Ἡρώδην) ἀποψηφίζεται.

καὶ ὃς ὑπολαμβάνων ἄκοντος τοῦ βασιλέως δια- 8
φυγεῖν, εἰς Δαμασκὸν ἀνεχώρησε πρὸς Σέξτον, παρασκευαζόμενος οὐδ' αὖθις ὑπακοῦσαι καλοῦντι. καὶ πάλιν οἱ πονηροὶ παρώξυνον Ὑρκανόν, κατ' ὀργήν τε οἴχεσθαι τὸν Ἡρώδην λέγοντες καὶ παρεσκευασμένον κατ' αὐτοῦ. πιστεύων δ' ὁ βασιλεὺς οὐκ εἶχεν ὅ τι χρὴ δρᾶν, ὡς ἑώρα μεῖζονα τὸν διάφορον. ἐπεὶ δὲ ὑπὸ Σέξτου Καίσαρος στρατηγὸς ἀνεδείχθη Κοίλης Συρίας καὶ Σαμαρείας, οὐ μόνον τε κατ' εὔνοιαν τὴν ἐκ τοῦ ἔθνους ἀλλὰ καὶ δυνάμει φοβερὸς ἦν, εἰς ἔσχατον δέους κατέπεσεν, ὅσον οὔπω προσδοκῶν ἐπ' αὐτὸν ὁρμήσειν μετὰ στρατιᾶς.

Digitized by Google

9 καὶ οὐ διήμαρτε τῆς οἰήσεως· ὁ γὰρ Ἡρώδης κατ' ὀργὴν τῆς περὶ τὴν δίκην ἀπειλῆς στρατιὰν ἀθροίσας ἐπὶ Ἱεροσολύμων ἦγε, καταλύσων τὸν Ὑρκανόν. κἂν ἔφθη τοῦτο ποιήσας, εἰ μὴ προεξελθόντες ὅ τε πατὴρ καὶ ἀδελφὸς ἔκλασαν αὐτοῦ τὴν ὁρμήν, παρακαλοῦντες αὐτὸν ἀπειλῇ καὶ ἀνατάσει μόνῃ μετρῆσαι τὴν ἄμυναν, φείσασθαι δὲ τοῦ βασιλέως ὑφ' οὗ μέχρι τοσαύτης δυνάμεως προῆλθε· δεῖν τε, εἰ κληθεὶς ἐπὶ δίκην παρῴξυνται, καὶ περὶ τῆς ἀφέσεως εὐχαριστεῖν, καὶ μὴ πρὸς μὲν τὸ σκυθρωπὸν ἀπαντᾶν, περὶ δὲ τῆς σωτηρίας ἀχάριστον εἶναι. εἰ δὲ δὴ λογιστέον εἴη καὶ πολέμου ῥοπὰς βραβεύεσθαι τῷ θεῷ, πλεῖον εἶναι τῆς στρατιᾶς τὸ ἄδικον. διὸ δὴ καὶ περὶ τῆς νίκης οὐ χρῆναι κατὰ πᾶν εὔελπιν εἶναι, μέλλοντά γε συμβάλλειν βασιλεῖ καὶ συντρόφῳ καὶ πολλάκις μὲν εὐεργέτῃ, χαλεπῷ δὲ οὐδέποτε, πλὴν ὅσον πονηροῖς συμβούλοις χρώμενος ἐπισείσειεν αὐτῷ σκιὰν ἀδικήματος. πείθεται τούτοις Ἡρώδης, ὑπολαβὼν εἰς τὰς ἐλπίδας αὔταρκες εἶναι καὶ τὸ τὴν ἰσχὺν ἐπιδείξασθαι τῷ ἔθνει.

10 κἀν τούτῳ γίνεται περὶ Ἀπάμειαν ταραχὴ Ῥωμαίων καὶ πόλεμος ἐμφύλιος, Καικιλίου μὲν Βάσσου διὰ τὴν εἰς Πομπήιον εὔνοιαν δολοφονήσαντος Σέξτου Καίσαρα καὶ τὴν ἐκείνου δύναμιν παραλαβόντος, τῶν δ' ἄλλων Καίσαρος στρατηγῶν ἐπὶ τιμωρίᾳ τοῦ φόνου Βάσσῳ συμβαλόντων μετὰ πάσης τῆς δυνάμεως. οἷς καὶ διὰ τὸν ἀνῃρημένον καὶ διὰ τὸν περιόντα Καίσαρα, φίλους ὄντας ἀμφοτέρους, ὁ Ἀντίπατρος διὰ τῶν παίδων ἔπεμψε συμμαχίαν. μηκυνομένου δὲ τοῦ πολέμου Μοῦρκος μὲν
11 ἀπὸ τῆς Ἰταλίας Σέξτου παραγίνεται διάδοχος, συνίστανται δὲ Ῥωμαίοις κατὰ τοῦτον τὸν καιρὸν ὁ μέγας πόλεμος, Κασσίου καὶ Βρούτου κτεινάντων δόλῳ Καίσαρα, κατασχόντα τὴν ἀρχὴν ἐπ' ἔτη τρία καὶ μῆνας ἑπτά.

Digitized by Google

μεγίστου δὲ ἐπὶ τῷ φόνῳ γενομένου κινήματος καὶ διαστασιασθέντων τῶν δυνατῶν, ἕκαστος ἐλπίσιν οἰκείαις ἐχώρει πρὸς ὃ συμφέρειν ὑπελάμβανε. καὶ δὴ ἦκε Κάσσιος εἰς Συρίαν, καταληψόμενος τὰς περὶ Ἀπάμειαν δυνάμεις. ἔνθα Βάσσῳ τε Μοῦρκον καὶ τὰ διεστῶτα τάγματα διαλλάξας, ἐλευθεροῖ μὲν Ἀπάμειαν τῆς πολιορκίας, ἡγούμενος δ' αὐτὸς τῆς στρατιᾶς ἐπῄει φορολογῶν τὰς πόλεις, καὶ παρὰ δύναμιν τὰς εἰσπράξεις ποιούμενος.

κελευσθὲν δὲ καὶ Ἰουδαίοις εἰσενεγκεῖν ἑπτακόσια 2
τάλαντα, δείσας Ἀντίπατρος τὴν ἀπειλὴν τοῦ Κασσίου τοῖς τε υἱοῖς διεῖλεν εἰσπράττειν τὰ χρήματα καί τισιν ἄλλοις τῶν ἐπιτηδείων κατὰ τάχος, ἐν οἷς καὶ Μαλίχῳ τινὶ τῶν διαφόρων. οὕτως ἤπειγεν ἡ ἀνάγκη. πρῶτος δ' ἀπεμειλίξατο Κάσσιον Ἡρώδης, τὴν ἑαυτοῦ μοῖραν ἐκ τῆς Γαλιλαίας κομίσας ἑκατὸν τάλαντα, καὶ διὰ τοῦτο ἐν τοῖς μάλιστα φίλος ἦν. τοὺς δὲ λοιποὺς εἰς βραδυτῆτα κακίσας αὐταῖς ἐθυμοῦτο ταῖς πόλεσι. Γόφναν γοῦν καὶ Ἀμμαοῦν καὶ δύο ἑτέρας τῶν ταπεινοτέρων ἐξανδραποδισάμενος ἐχώρει μὲν ὡς καὶ Μάλιχον ἀναιρήσων, ὅτι μὴ σπεύσας εἰσέπραξεν· ἐπέσχε δὲ τήν τε τούτου καὶ τὴν τῶν ἄλλων πόλεων ἀπώλειαν Ἀντίπατρος, ταχέως ἑκατὸν ταλάντοις θεραπεύσας Κάσσιον.

οὐ μὴν Μάλιχος, ἀναχωρήσαντος Κασσίου, τῆς χά- 3
ριτος ἀπεμνημόνευσεν Ἀντιπάτρῳ, κατὰ δὲ τοῦ πολλάκις σωτῆρος ἐπιβουλὴν ἐνεσκευάζετο, σπεύδων ἀνελεῖν τὸν ἐμπόδιον αὐτοῦ τοῖς ἀδικήμασιν ὄντα. Ἀντίπατρος δὲ τήν τε ἰσχὺν καὶ τὸ πανοῦργον τἀνδρὸς ὑποδείσας διαβαίνει τὸν Ἰορδάνην, στρατὸν ἀθροίσων εἰς τὴν τῆς ἐπιβουλῆς ἄμυναν. φωραθεὶς δὲ Μάλιχος ἀναιδείᾳ τῶν Ἀντιπάτρου παίδων περιγίνεται· τόν τε γὰρ Ἱεροσολύμων φρουρὸν Φασάηλον καὶ Ἡρώδην πεπιστευμένον τὰ ὅπλα,

Digitized by Google

πολλαῖς ἀπολογίαις καὶ ὅρκοις ἐγκητεύσας, διαλλακτὰς αὐτῷ πρὸς τὸν πατέρα πείθει γενέσθαι. πάλιν γοῦν ὑπ' Ἀντιπάτρου σώζεται, πείσαντος Μοῦρκον τὸν τότε στρατηγοῦντα Συρίας, ὃς ὥρμητο κτεῖναι Μάλιχον ἐφ' οἷς ἐνεωτέρισε.

4 συστάντος δὲ τοῦ πρὸς Κάσσιον καὶ Βροῦτον πολέμου Καίσαρί τε τῷ νέῳ καὶ Ἀντωνίῳ, Κάσσιος καὶ Μοῦρκος στρατιὰν ἀθροίσαντες ἐκ τῆς Συρίας, ἐπειδὴ μέγα μέρος εἰς τὰς χρείας Ἡρώδης ἔδοξε συμβεβλῆσθαι, τότε μὲν αὐτὸν Συρίας ἁπάσης ἐπιμελητὴν καθιστᾶσι, δύναμιν πεζήν τε καὶ ἱππικὴν δόντες, μετὰ δὲ τὴν τοῦ πολέμου κατάλυσιν ἀποδείξειν Κάσσιος ὑπέσχετο καὶ Ἰουδαίας βασιλέα. συνέβη δ' Ἀντιπάτρῳ τήν τε ἰσχὺν τοῦ παιδὸς καὶ τὴν ἐλπίδα αἰτίαν ἀπωλείας γενέσθαι. ταῦτα γὰρ δείσας ὁ Μάλιχος διαφθείρει τινὰ τῶν βασιλικῶν οἰνοχόων χρήμασι, δοῦναι φάρμακον Ἀντιπάτρῳ. καὶ ὃ μὲν ἀγώνισμα τῆς Μαλίχου παρανομίας γενόμενος κατὰ τὸ συμπόσιον θνήσκει, τά τε ἄλλα δραστήριος ἀνὴρ ἐν ἀφηγήσει πραγμάτων καὶ τὴν ἀρχὴν ἀνακτησάμενός
5 τε Ὑρκανῷ καὶ διαφυλάξας· Μάλιχος δὲ καθ' ὑπόνοιαν τῆς φαρμακείας ὀργιζόμενον τὸ πλῆθος ἀρνούμενος ἔπειθεν, καὶ δυνατώτερον ἑαυτὸν κατεσκεύαζεν ὁπλίτας συγκροτῶν. οὐ γὰρ ἠρεμήσειν Ἡρώδην ὑπελάμβανεν, ὃς δὴ καὶ παρῆν αὐτίκα στρατὸν ἄγων ἐπὶ τιμωρίᾳ τοῦ πατρός. Φασαήλου δὲ τοῦ ἀδελφοῦ συμβουλεύσαντος αὐτῷ μὴ φανερῶς τὸν ἄνδρα μετιέναι (διαστασιάσειν γὰρ τὸ πλῆθος), τότε μὲν ἀπολογούμενόν τε προσίεται τὸν Μάλιχον καὶ τῆς ὑπονοίας ἀπολύειν ὁμολογεῖ, λαμπράν τε πομπὴν ἐπὶ τῇ πατρικῇ κηδείᾳ ἐτέλε-
6 σεν, τραπεὶς δ' ἐπὶ Σαμάρειαν στάσει τεταραγμένην κατεστήσατο τὴν πόλιν· ἔπειτα καθ' ἑορτὴν ὑπέστρεφεν εἰς Ἱεροσόλυμα, τοὺς ὁπλίτας ἄγων. καὶ πέμπων Ὑρκα-

Digitized by Google

νός (ἐνῆγε γὰρ δεδοικὼς τὴν ἔφοδον Μάλιχος) ἐκώλυε τοὺς ἀλλοφύλους εἰσαγαγεῖν ἐφ' ἁγνεύοντας τοὺς ἐπιχωρίους. ὁ δὲ τῆς προφάσεως καταφρονήσας καὶ τοῦ προστάσσοντος εἰσέρχεται διὰ νυκτός. καὶ πάλιν Μάλιχος προσιὼν ἐκλαιεν Ἀντίπατρον· ἀνθυπεκρίνετο δὲ μόλις Ἡρώδης τὸν θυμὸν ἐπέχων, καὶ Κασσίῳ δι' ἐπιστολῶν τὴν τοῦ πατρὸς ἀναίρεσιν ἀπωδύρετο, καὶ ἄλλως μισοῦντι Μάλιχον. ὃ δ' αὐτῷ μετιέναι τὸν φονέα τοῦ πατρὸς ἀντεπιστείλας, καὶ τοῖς ὑφ' ἑαυτὸν χιλιάρχοις λάθρᾳ προσέταξεν Ἡρώδῃ βοηθεῖν εἰς πρᾶξιν δικαίαν. κἀπειδὴ Λαοδίκειαν ἑλόντος αὐτοῦ συνήεσαν οἱ 7 πανταχόθεν δυνατοὶ δωρεάς τε καὶ στεφάνους φέροντες, Ἡρώδης μὲν τοῦτον τῇ τιμωρίᾳ τὸν καιρὸν ἀφώρισε, Μάλιχος δ' ὑποπτεύσας, ὡς ἐν Τύρῳ γίνεται, τόν τε υἱὸν ὁμηρεύοντα παρὰ τοῖς Τυρίοις ὑπεξαγαγεῖν ἔγνω λάθρᾳ, καὶ αὐτὸς εἰς τὴν Ἰουδαίαν ἀποδρᾶναι παρεσκευάζετο. παρῴξυνε δ' αὐτὸν ἡ τῆς σωτηρίας ἀπόγνωσις ἐνθυμεῖσθαι καὶ μείζονα· τό τε γὰρ ἔθνος ἐπαναστήσειν Ῥωμαίοις ἤλπισε, Κασσίου τῷ πρὸς Ἀντώνιον πολέμῳ περισπωμένου, καὶ βασιλεύσειν αὐτὸς Τρπανὸν καταλύσας εὐμαρῶς. ἐπεγέλα δὲ ἄρα τὸ χρεὼν 8 αὐτοῦ ταῖς ἐλπίσιν. ὁ γοῦν Ἡρώδης προϊδόμενος αὐτοῦ τὴν ὁρμὴν τόν τε Τρκανὸν κἀκεῖνον ἐπὶ δεῖπνον καλεῖ, παρεστῶτα δ' ἔπειτα τῶν οἰκετῶν τινὰ πρὸς ἑαυτὸν καλέσας ἐξέπεμψεν ὡς ἐπὶ τὴν τοῦ δείπνου παρασκευήν, τῷ δὲ ὄντι προειπεῖν τοῖς χιλιάρχοις ἐξελθεῖν ἐπὶ τὴν ἐνέδραν. κἀκεῖνοι τῶν Κασσίου προσταγμάτων ἀναμνησθέντες ἐπὶ τὸν πρὸ τῆς πόλεως αἰγιαλὸν ἐξῆσαν ξιφήρεις. ἔνθα περιστάντες τὸν Μάλιχον πολλοῖς τραύμασιν ἀναιροῦσιν. Τρκανὸς δὲ παραχρῆμα μὲν ἐκλυθεὶς ὑπ' ἐκπλήξεως ἔπεσε, μόλις δ' ἀνενεγκὼν Ἡρώδην διηρώτα τίς ὁ κτείνας εἴη Μάλιχον. ἀποκριναμένου δέ τινος

Digitized by Google

τῶν χιλιάρχων "τὸ Κασσίου πρόσταγμα," "Κάσσιος ἄρα" ἔφη "κἀμὲ καὶ τὴν πατρίδα μου σώζει, τὸν ἀμφοτέρων ἐπίβουλον ἀνελών." εἴτε δὲ φρονῶν Τρκανὸς οὕτως εἰθ' ὑπὸ δέους ὁμόσε τῇ γε πράξει χωρῶν εἶπεν, ἄδηλον ἦν.

ἀλλὰ γὰρ Μάλιχον μὲν οὕτως Ἡρώδης μετῆλθεν· 12 Κασσίου δὲ ἀναχωρήσαντος ἐκ τῆς Συρίας πάλιν στάσις ἐν Ἱεροσολύμοις γίνεται, Ἕλικος μετὰ στρατιᾶς ἐπαναστάντος Φασαήλῳ, καὶ κατὰ τὴν ὑπὲρ Μαλίχου τιμωρίαν ἀμύνεσθαι θέλοντος Ἡρώδην εἰς τὸν ἀδελφόν. Ἡρώδης δὲ ἔτυχε μὲν ὢν παρὰ Φαβίῳ τῷ στρατηγῷ κατὰ Λαμασκόν, ὡρμημένος δὲ βοηθεῖν ὑπὸ νόσου κατείχετο. κἀν τούτῳ Φασάηλος καθ' ἑαυτὸν Ἕλικος περιγενόμενος Τρκανὸν ὠνείδιζεν εἰς ἀχαριστίαν, ὧν τε Ἕλικι συμπράξειε, καὶ ὅτι περιορῴη τὸν ἀδελφὸν τὸν Μαλίχου τὰ φρούρια καταλαμβάνοντα· πολλὰ γὰρ ἤδη κατείληπτο, καὶ τὸ πάντων ὀχυρώτατον Μασάδα.

2 οὐ μὴν αὐτῷ τι πρὸς τὴν Ἡρώδου βίαν ἤρκεσεν, ὃς ἀναρρωσθεὶς τά τε ἄλλα παραλαμβάνει, κἀκεῖνον ἐκ τῆς Μασάδας ἱκέτην ἀφῆκεν. ἐξήλασε δὲ καὶ ἐκ τῆς Γαλιλαίας Μαρίωνα τὸν Τυρίων τύραννον, ἤδη τρία κατεσχηκότα τῶν ἐρυμάτων· τοὺς δὲ ληφθέντας Τυρίους ἔσωσε μὲν πάντας, ἔστι δ' οὓς καὶ δωρησάμενος ἀπέπεμψεν, εὔνοιαν ἑαυτῷ παρὰ τῆς πόλεως καὶ τῷ τυράννῳ μῖσος παρασκευαζόμενος. ὁ δὲ Μαρίων ἠξίωτο μὲν τῆς τυραννίδος ὑπὸ Κασσίου, τυραννίσι πᾶσαν διαλαβόντος τὴν Συρίαν· κατὰ δὲ τὸ πρὸς Ἡρώδην ἔχθος κατήγαγεν Ἀντίγονον τὸν Ἀριστοβούλου, καὶ τὸ πλέον διὰ Φάβιον, ὃν Ἀντίγονος χρήμασι προσποιησάμενος βοηθὸν εἶχε τῆς καθόδου. χορηγὸς δ' ἦν ἁπάντων ὁ κηδεστὴς Πτολεμαῖος Ἀντιγόνῳ.

Digitized by Google

πρὸς οὓς Ἡρώδης ἀντιταξάμενος ἐπὶ τῶν ἐμβολῶν 3
τῆς Ἰουδαίας κρατεῖ τῇ μάχῃ, καὶ τὸν Ἀντίγονον ἐξε-
λάσας ὑπέστρεψεν εἰς Ἱεροσόλυμα, πᾶσιν ἀγαπητὸς ὢν
ἐπὶ τῷ κατορθώματι. καὶ γὰρ οἱ μὴ προσέχοντες πάλαι
τότε ᾠκείωντο διὰ τὴν πρὸς Ὑρκανὸν ἐπιγαμίαν αὐτῷ.
πρότερον μὲν γὰρ ἦκτο γυναῖκα τῶν ἐπιχωρίων οὐκ
ἄσημον (Δωρὶς ἐκαλεῖτο), ἐξ ἧς ἐγέννησεν Ἀντίπατρον·
τότε δὲ γήμας τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυ-
γατέρα, θυγατριδῆν τε Ὑρκανοῦ, Μαριάμμην, οἰκεῖος τῷ
βασιλεῖ γίνεται.

ἐπεὶ δὲ Κάσσιον περὶ Φιλίππους ἀνελόντες ἀνεχώ- 4
ρησαν εἰς μὲν Ἰταλίαν Καῖσαρ ἐπὶ δὲ τὴν Ἀσίαν Ἀντώ-
νιος, πρεσβευομένων τῶν ἄλλων πόλεων πρὸς Ἀντώ-
νιον εἰς Βιθυνίαν ἦκον καὶ Ἰουδαίων οἱ δυνατοί, κατη-
γοροῦντες Φασαήλου τε καὶ Ἡρώδου, βίᾳ μὲν αὐτοὺς
κρατεῖν τῶν πραγμάτων, ὄνομα δὲ μόνον περιεῖναι Ὑρ-
κανῷ τίμιον. πρὸς ἃ παρὼν Ἡρώδης, καὶ τεθεραπευ-
κὼς οὐκ ὀλίγοις Ἀντώνιον χρήμασιν, οὕτω διέθηκεν ὡς
μηδὲ λόγου τῶν ἐχθρῶν ἀνέχεσθαι. καὶ τότε μὲν οὕτω
διελύθησαν, αὖθις δὲ οἱ ἐν τέλει Ἰουδαίων ἑκατὸν ἄν- 5
δρες ἦκον εἰς τὴν πρὸς Ἀντιόχειαν Δάφνην ἐπ' Ἀντώ-
νιον, ἤδη τῷ Κλεοπάτρας ἔρωτι δεδουλωμένον· οἳ
προστησάμενοι τοὺς ἀξιώματι καὶ λόγῳ σφῶν δυνατω-
τάτους κατηγόρουν τῶν ἀδελφῶν. ὑπήντα δὲ Μεσσά-
λας ἀπολογούμενος, συμπαρεστῶτος Ὑρκανοῦ διὰ τὸ
κῆδος. καὶ Ἀντώνιος ἀκούσας ἑκατέρων Ὑρκανοῦ διε-
πυνθάνετο τοὺς ἐπιτηδειοτέρους ὄντας ἄρχειν. τοῦ δὲ
τοὺς περὶ τὸν Ἡρώδην προκρίναντος, ἡσθείς (ἦν γὰρ
ἤδη καὶ ξένος αὐτοῖς πατρῷος, δεχθεὶς ὑπ' Ἀντιπά-
τρου φιλοφρόνως ὅτε εἰς τὴν Ἰουδαίαν σὺν Γαβινίῳ
παρέβαλε) τετράρχας ἀποδείκνυσι τοὺς ἀδελφούς, πᾶσαν
διοικεῖν τὴν Ἰουδαίαν ἐπιτρέπων. προσαγανακτούντων 6

Digitized by Google

δὲ τῶν πρέσβεων πεντεκαίδεκα μὲν συλλαβὼν εἶργνυσιν, οὓς καὶ ἀνελεῖν ὥρμησε, τοὺς δὲ λοιποὺς μεθ' ὕβρεως ἀπήλασε. πρὸς ὃ μείζων ἐν τοῖς Ἱεροσολύμοις γίνεται ταραχή. χιλίους γοῦν πάλιν ἔπεμψαν πρέσβεις εἰς Τύρον, ἔνθα διέτριβεν Ἀντώνιος ἐπὶ Ἱεροσολύμων ὡρμημένος. ἐπὶ τούτους κεκραγότας ἐκπέμπει τὸν ἄρχοντα τῶν Τυρίων, κολάζειν προστάξας οὓς ἂν λάβῃ, συγκατασκευάζειν τε τὴν ἀρχὴν τοῖς ὑπ' αὐτοῦ κατασταθεῖσι τετράρχαις. πρὸ δὲ τούτου πολλὰ παρῄνει προελθὼν ἐπὶ τὸν αἰγιαλὸν Ἡρώδῃ σὺν Τρκανῷ, μήθ' ἑαυτοῖς ἀπωλείας αἰτίους μήτε τῇ πατρίδι πολέμου γίνεσθαι, φιλονεικοῦντας ἀκρίτως. τῶν δὲ ἔτι μᾶλλον ἀγανακτούντων Ἀντώνιος ἐκπέμψας ὁπλίτας πολλοὺς μὲν ἀπέκτεινε πολλοὺς δὲ ἔτρωσεν· ὧν οἵ τε πεσόντες ταφῆς καὶ οἱ τραυματίαι θεραπείας ἠξιώθησαν ὑπὸ Τρκανοῦ. οὐ μὴν οἱ διαφυγόντες ἠρέμουν, ἀλλὰ τὰ κατὰ τὴν πόλιν συνταράσσοντες παρώξυναν τὸν Ἀντώνιον ὥστε καὶ τοὺς δεσμώτας ἀποκτεῖναι.

13 μετὰ δὲ ἔτη δύο Βαρζαφάρνου τοῦ Πάρθων σατράπου σὺν Πακόρῳ τῷ βασιλέως υἱῷ Συρίαν κατασχόντος, Λυσανίας διαδεδεγμένος ἤδη τὴν ἀρχὴν τοῦ πατρὸς τελευτήσαντος (Πτολεμαῖος δ' ἦν οὗτος ὁ Μενναίου) πείθει τὸν σατράπην ὑποσχέσει χιλίων ταλάντων καὶ πεντακοσίων γυναικῶν καταγαγεῖν ἐπὶ βασιλείᾳ τὸν Ἀντίγονον, καταλῦσαι δὲ τὸν Τρκανόν. τούτοις ὑπαχθεὶς Πάκορος αὐτὸς μὲν ἦει κατὰ τὴν παράλιον, Βαρζαφάρνην δὲ διὰ τῆς μεσογείου προσέταξεν ἐμβαλεῖν. τῶν δ' ἐπιθαλαττίων Τύριοι Πάκορον οὐκ ἐδέξαντο, καίτοι Πτολεμαέων καὶ Σιδωνίων δεδεγμένων. ὃ δὲ οἰνοχόῳ τινὶ τῶν βασιλικῶν ὁμωνύμῳ μοῖραν τῆς ἵππου παραδοὺς ἐμβαλεῖν ἐκέλευσεν εἰς τὴν Ἰουδαίαν, κατασκεψόμενόν τε τὰ τῶν πολεμίων καὶ πρὸς ἃ δέοι βοηθήσοντα

Digitized by Google

Ἀντιγόνῳ. τῶν δὲ λῃζομένων τὸν Κάρμηλον, πολλοὶ 2
Ἰουδαῖοι συνδραμόντες πρὸς Ἀντίγονον προθύμους
ἑαυτοὺς ἐπὶ τὴν εἰσβολὴν παρεῖχον. ὃ δ' αὐτοὺς ἐπὶ τὸν
καλούμενον Δρυμὸν προέπεμψε, τὸ χωρίον καταλα-
βεῖν· ἐν ᾧ γενομένης συμβολῆς ὡσάμενοι τοὺς πολε-
μίους καὶ διώξαντες ἐπὶ Ἱεροσολύμων ἔθεον, γενόμενοι
δὲ πλείους μέχρι τῶν βασιλείων προῆλθον. Ὑρκανοῦ
δὲ καὶ Φασαήλου δεξαμένων αὐτοὺς κρατερῷ στίφει,
μάχη κατὰ τὴν ἀγορὰν συρρήγνυται, καθ' ἣν τρεψάμε-
νοι τοὺς πολεμίους οἱ περὶ Ἡρώδην κατακλείουσιν εἰς
τὸ ἱερόν, καὶ φρουροὺς αὐτῶν ἄνδρας ἑξήκοντα ταῖς
πλησίον οἰκίαις ἐγκατέστησαν. τούτους μὲν οὖν ὁ στα-
σιάζων πρὸς τοὺς ἀδελφοὺς λαὸς ἐπελθὼν ἐμπίπρησιν,
Ἡρώδης δὲ τοῦ δήμου πολλοὺς κατ' ὀργὴν τῶν ἀπο-
λωλότων ἀναιρεῖ συμβαλών. καὶ καθ' ἡμέραν ἐπεκθεόν-
των ἀλλήλοις κατὰ λόχους φόνος ἦν ἀδιάλειπτος.

ἐνστάσης δὲ ἑορτῆς ἣ πεντηκοστὴ καλεῖται, τά τε 3
περὶ τὸ ἱερὸν πάντα καὶ ἡ πόλις ὅλη πλήθους τῶν ἀπὸ
τῆς χώρας ἀναπίμπλαται, τὸ πλέον ὁπλιτῶν. καὶ Φα-
σάηλος μὲν τὸ τεῖχος, Ἡρώδης δὲ μετ' οὐ πολλῶν ἐφορού-
ρει τὰ βασίλεια, καὶ τοῖς πολεμίοις ἐπιδραμὼν ἀσυν-
τάκτοις κατὰ τὸ προσάρκτιον πλείστους μὲν ἀναιρεῖ,
τρέπεται δὲ πάντας, καὶ τοὺς μὲν εἰς τὴν πόλιν τοὺς δὲ
εἰς τὸ ἱερὸν τοὺς δὲ εἰς τὸ ἔξω χαράκωμα συγκλείει.
κἀν τούτῳ διαλλακτὴν μὲν Ἀντίγονος παρακαλεῖ Πά-
κορον εἰσαφεῖναι, Φασάηλος δὲ πεισθεὶς τῇ τε πόλει
καὶ ξενίᾳ τὸν Πάρθον εἰσδέχεται μετὰ πεντακοσίων ἱπ-
πέων, προφάσει μὲν ἥκοντα τοῦ παῦσαι τὴν στάσιν, τὸ
δ' ἀληθὲς Ἀντιγόνῳ βοηθόν. τὸν γοῦν Φασάηλον ἐνε-
δρεύων ἀνέπεισε πρὸς Βαρζαφάρνην πρεσβεύσασθαι
περὶ καταλύσεως, καίτοι γε πολλὰ ἀποτρέποντος Ἡρώ-
δου καὶ παραινοῦντος ἀνελεῖν τὸν ἐπίβουλον, ἀλλὰ μὴ

Digitized by Google

ταῖς ἐπιβουλαῖς ἑαυτὸν ἐκδιδόναι· φύσει γὰρ ἀπίστους
εἶναι τοὺς βαρβάρους. ἔξεισι δ' Ὑρκανὸν παραλαβὼν
καὶ Πάκορος, ὡς ἥττον ὑποπτεύοιτο, καὶ καταλικὼν
παρ' Ἡρώδῃ τινὰς τῶν ἐλευθέρων καλουμένων ἱππέων,
τοῖς λοιποῖς προέπεμπε Φασάηλον.

4 ὡς δ' ἐγένοντο κατὰ τὴν Γαλιλαίαν, τοὺς μὲν ἐπι-
χωρίους ἀφεστῶτας καὶ ἐν τοῖς ὅπλοις ὄντας καταλαμ-
βάνουσι, τῷ σατράπῃ δ' ἐνετύγχανον πανούργως σφό-
δρα, καὶ ταῖς φιλοφρονήσεσι τὰς ἐπιβουλὰς καλύπτειν
ἐνεκελεύοντο. δῶρα γοῦν δοὺς αὐτοῖς, ἔπειτ' ἀναχω-
ροῦντας ἑλόχα. τοῖς δὲ αἴσθησις γίνεται τῆς ἐπιβουλῆς,
καταχθεῖσιν εἴς τι τῶν παραθαλασσίων χωρίων, ὃ κα-
λεῖται Ἐκδίππων· ἐκεῖ γὰρ τήν τε ὑπόσχεσιν ἤκουσαν
τῶν χιλίων ταλάντων, καὶ ὡς Ἀντίγονος τὰς πλείστας
τῶν παρ' αὐτοῖς γυναικῶν ἐν ταῖς πεντακοσίαις καθω-
σίωσε Πάρθοις, ὅτι τε προελοχίζοντο μὲν αὐτοῖς αἱ νύ-
κτες ὑπὸ τῶν βαρβάρων ἀεί, πάλαι δ' ἂν καὶ συνελή-
φθησαν, εἰ μὴ περιέμενον ἐν Ἱεροσολύμοις Ἡρώδην
πρότερον λαβεῖν, ὡς μὴ προπυθόμενος τὰ κατ' αὐτοὺς
φυλάξαιτο. ταῦτ' οὐκέτι λόχος ἦν μόνον, ἀλλὰ καὶ φύ-
λακας ἤδη πόρρωθεν αὐτῶν ἔβλεπον.

5 οὐ μὴν Φασάηλος, καίτοι πολλὰ παραινοῦντος
Ὀφελλίου φεύγειν (πέπυστο γὰρ οὗτος παρὰ Σαρα-
μάλλα τοῦ πλουσιωτάτου τότε Σύρων τὴν σύνταξιν τῆς
ἐπιβουλῆς ὅλην), καταλιπεῖν Ὑρκανὸν ὑπέμεινεν, ἀλλὰ
τῷ σατράπῃ προσελθὼν ἄντικρυς ὠνείδιζε τὴν ἐπιβου-
λήν, καὶ μάλισθ' ὅτι γένοιτο τοιοῦτος χρημάτων ἕνε-
κεν· πλείω γε μὴν αὐτὸς ὑπὲρ σωτηρίας δώσειν ὧν
Ἀντίγονος ὑπὲρ βασιλείας ὑπέσχηται. πρὸς ταῦτα
πανούργως ὁ Πάρθος ἀπολογίαις τε καὶ ὅρκοις ἀπο-
σκευασάμενος τὴν ὑποψίαν ᾤχετο πρὸς Πάκορον. εὐ-
θέως δὲ τῶν καταλειφθέντων Πάρθων οἷς προσετέ-

Digitized by Google

τακτο Φασάηλόν τε καὶ Ὑρκανὸν συνελάμβανον, τά τε ἄλλα πρὸς τῇ ἐπιορκίᾳ καὶ τὸ ἄπιστον αὐτοῖς καταρωμένους.

ἐν δὲ τούτῳ καὶ τὸν Ἡρώδην ὁ πεμφθεὶς οἰνο- 6
χόος ἐπεβούλευε συλλαβεῖν, ἔξω τοῦ τείχους ἀπατήσας προελθεῖν, ὥσπερ ἐντολὰς εἶχεν. ὃ δ' ἀπ' ἀρχῆς ὑποπτεύων τοὺς βαρβάρους, καὶ τότε πεπυσμένος εἰς τοὺς πολεμίους ἐμπεπτωκέναι τὰ μηνύοντα τὴν ἐπιβουλὴν αὐτῷ γράμματα, προελθεῖν οὐκ ἐβούλετο, καίτοι μάλα ἀξιοπίστως τοῦ Πακόρου φάσκοντος δεῖν αὐτὸν ὑπαντῆσαι τοῖς τὰς ἐπιστολὰς κομίζουσιν· οὔτε γὰρ ἑαλωκέναι τοῖς πολεμίοις αὐτάς, καὶ περιέχειν οὐκ ἐπιβουλὴν ἀλλ' ὁπόσα διεπράξατο Φασάηλος. ἔτυχε δὲ παρ' ἄλλων προακηκοὼς τὸν ἀδελφὸν συνειλημμένον, καὶ προσῄει ἡ Ὑρκανοῦ θυγάτηρ Μαριάμμη, συνετωτάτη γυναικῶν, καταντιβολοῦσα μὴ προϊέναι, μηδ' ἐμπιστεύειν ἑαυτὸν ἤδη φανερῶς ἐπιχειροῦσι τοῖς βαρβάροις.

ἔτι δὲ τῶν περὶ Πάκορον σκεπτομένων πῶς ἂν 7
κρύφα τὴν ἐπιβουλὴν ἀπαρτίσειαν (οὐ γὰρ ἐκ τοῦ φανεροῦ οἷόντε ἦν ἀνδρὸς οὕτω συνετοῦ περιγενέσθαι), προλαβὼν Ἡρώδης μετὰ τῶν οἰκειοτάτων προσώπων νύκτωρ ἐπὶ Ἰδουμαίας ἐχώρει λάθρᾳ τῶν πολεμίων. αἰσθόμενοι δ' οἱ Πάρθοι κατεδίωκον. κἀκεῖνος τὴν μὲν μητέρα καὶ τὴν ἀδελφὴν καὶ τὴν καθωμολογημένην παῖδα μετὰ τῆς μητρὸς καὶ τοῦ νεωτάτου τῶν ἀδελφῶν προστάξας ὁδεύειν, αὐτὸς ἀσφαλῶς μετὰ τῶν θεραπόντων ἀνέκοπτε τοὺς βαρβάρους, καὶ πολλοὺς κατὰ πᾶσαν προσβολὴν ἀποκτείνας εἰς Μασάδαν τὸ φρούριον ἀφίκτο.

καὶ βαρυτέρους κατὰ τὴν φυγὴν Πάρθων Ἰου- 8
δαίους ἐπείρασεν, ἐνοχλήσαντας μὲν διηνεκῶς, ἀπὸ δ'

Digitized by Google

ἑξήκοντα τῆς πόλεως σταδίων καὶ παραταξαμένους ἐπιεικῶς πολὺν χρόνον. ἔνθα κρατήσας Ἡρώδης καὶ πολλοὺς αὐτῶν ἀποκτείνας, αὖθις εἰς μνήμην τοῦ κατορθώματος ἔκτισε τὸ χωρίον καὶ βασιλείοις πολυτελεστάτοις ἐκόσμησε, καὶ ἀκρόπολιν ὀχυρωτάτην ἀνεδείματο, Ἡρώδειόν τε ἐκάλεσεν ἀφ' ἑαυτοῦ. τηνικαῦτά γε μὴν φεύγοντες καθ' ἡμέραν αὐτῷ προσεγίνοντο πολλοί. καὶ κατὰ Θρῆσαν γενομένῳ τῆς Ἰδουμαίας Ἰώσηπος ἀδελφὸς ὑπαντήσας συνεβούλευε τοὺς πολλοὺς τῶν ἑπομένων ἀποφορτίσασθαι· μὴ γὰρ ἂν τοσοῦτον ὄχλον δέξασθαι τὴν Μασάδαν. ἦσαν δ' ὑπὲρ ἐννεακισχιλίους. πεισθεὶς οὖν Ἡρώδης τοὺς μὲν βαρυτέρους τῆς χρείας διαφῆκεν ἀνὰ τὴν Ἰδουμαίαν, δοὺς ἐφόδια, μετὰ δὲ τῶν ἀναγκαιοτάτων τοὺς ἁλικιωτάτους κατασχὼν εἰς τὸ φρούριον διασώζεται. καταλιπὼν δ' ἐνταῦθα ταῖς γυναιξὶν ὀκτακοσίους φύλακας καὶ διαρκῆ τἀπιτήδεια πρὸς πολιορκίαν, αὐτὸς εἰς τὴν Ἀραβικὴν Πέτραν ἠπείγετο.

9 Πάρθοι δ' ἐν Ἱεροσολύμοις ἐφ' ἁρπαγὴν τραπόμενοι τῶν φυγόντων εἰς τὰς οἰκίας εἰσέπιπτον καὶ τὸ βασίλειον, ἀπεχόμενοι μόνον τῶν Ὑρκανοῦ χρημάτων· ἦν δ' οὐ πλείω τριακοσίων ταλάντων. ἐπεύγχανον δὲ καὶ τῶν ἄλλων οὐχ ὅσοις ἤλπισαν· ὁ γὰρ Ἡρώδης ἐκ πολλοῦ τὴν ἀπιστίαν τῶν βαρβάρων ὑφορώμενος, εἰς τὴν Ἰδουμαίαν τὰ λαμπρότατα τῶν κειμηλίων προανεσκεύαστο, καὶ τῶν αὐτῷ προσεχόντων ὁμοίως ἕκαστος. Πάρθοι δὲ μετὰ τὰς ἁρπαγὰς ἐπὶ τοσοῦτον ὕβρεως ἐχώρησαν ὡς ἐμπλῆσαι μὲν ἀκηρύκτου πολέμου τὴν χώραν ἅπασαν, ἀνάστατον δὲ ποιῆσαι τὴν Μαρισσαίων πόλιν, μὴ μόνον τε καταστῆσαι βασιλέα Ἀντίγονον, ἀλλὰ καὶ παραδοῦναι αὐτῷ Φασάηλον καὶ Ὑρκανὸν δεσμώτας αἰκίσασθαι. ὃ δὲ Ὑρκανοῦ μὲν προσπεσόντος αὐτὸς τὰ ὦτα λωβᾶται τοῖς ὀδοῦσιν, ὡς μηδὲ αὖθις ἐν μεταβολῇ

Digitized by Google

ποτὲ δύναιτο τὴν ἀρχιερωσύνην ἀπολαβεῖν· δεῖ γὰρ ὁλοκλήρους ἀρχιερᾶσθαι· τῆς Φασαήλου δὲ ἀρετῆς ὑστερίζει, φθάσαντος πέτρᾳ προσαράξαι τὴν κεφαλήν, ὥς γε σιδήρου καὶ χειρῶν εἴργετο. κἀκεῖνος μέν, Ἡρώδου γνήσιον ἑαυτὸν ἀποδείξας ἀδελφὸν καὶ Τρκανὸν ἀγεννέστατον, ἀνδρειότατα θνήσκει, ποιησάμενος τὴν καταστροφὴν τοῖς κατὰ τὸν βίον ἔργοις πρέπουσαν· κατέχει δὲ καὶ ἄλλος λόγος, ὡς ἀνενέγκαι μὲν ἐκ τῆς τότε πληγῆς, πεμφθεὶς δ' ἰατρὸς ὑπ' Ἀντιγόνου, θεραπεῦσαι δῆθεν αὐτόν, ἐμπλήσειε τὸ τραῦμα δηλητηρίων φαρμάκων καὶ διαφθείρειεν αὐτόν. ὁπότερον δ' ἂν ἀληθὲς ᾖ, τὴν ἀρχὴν ἔχει λαμπράν. φασὶ γοῦν αὐτὸν καὶ πρὶν ἐκπνεῦσαι, πυθόμενον παρὰ γυναίου τινὸς ὡς Ἡρώδης διαφύγοι, "νῦν" εἰπεῖν "εὔθυμος ἄπειμι, τὸν μετελευσόμενον τοὺς ἐχθροὺς ζῶντα καταλιπών."

ὃ μὲν οὖν οὕτω τελευτᾷ, Πάρθοι δέ, καίτοι διαρτηκότες ὧν μάλιστα ἐπεθύμουν γυναικῶν, καθιστᾶσι μὲν ἐν Ἱεροσολύμοις Ἀντιγόνῳ τὰ πράγματα, δεσμώτην δ' Τρκανὸν ἀνάγουσιν εἰς τὴν Παρθυηνήν.

Ἡρώδης δὲ συντονώτερον ἤλαυνεν εἰς τὴν Ἀραβίαν, ὡς ἔτι τἀδελφοῦ ζῶντος ἐπειγόμενος χρήματα παρὰ τοῦ βασιλέως λαβεῖν, οἷς μόνοις πείσειν ὑπὲρ Φασαήλου τὴν τῶν βαρβάρων ἤλπισε πλεονεξίαν. ἐλογίζετο γάρ, εἰ τῆς πατρῴας φιλίας ἀμνημονέστερος ὁ Ἄραψ γένοιτο καὶ τοῦ δοῦναι δωρεὰν μικρολογώτερος, δανείσασθαι παρ' αὐτοῦ τὰ λύτρα, ῥύσιον θεὶς τὸν τοῦ λυτρουμένου παῖδα· καὶ γὰρ ἐπήγετο τὸν ἀδελφιδοῦν ὄντα ἐτῶν ἑπτά. τάλαντα δὲ ἦν ἕτοιμος τριακόσια δοῦναι, προστησάμενος Τυρίους παρακαλοῦντας. τὸ χρεὼν δ' ἄρα τὴν αὐτοῦ σπουδὴν ἐφθάκει, καὶ Φασαήλου τεθνηκότος εἰς κενὸν Ἡρώδης φιλάδελφος ἦν. οὐ μὴν οὐδὲ παρὰ Ἄραψιν εὗρισκε φιλίαν μένουσαν· ὁ

Digitized by Google

γοῦν βασιλεὺς αὐτῶν Μάλιχος προπέμψας κατὰ τάχος ἐκ τῆς χώρας προσέτασσεν ἀναστρέφειν, προφάσει μὲν χρώμενος Πάρθοις (ἐπικηρυκεύσασθαι γὰρ αὐτοὺς ἐκβαλεῖν Ἡρώδην τῆς Ἀραβίας), τῷ δὲ ὄντι προαιρούμενος κατασχεῖν τὰ Ἀντιπάτρου χρέα, καὶ μηδὲν εἰς τὰς ἐκείνου δωρεὰς ἀντιπαρασχεῖν χρήζουσι τοῖς τέκνοις δυσωπεῖσθαι. συμβούλοις δ' ἐχρῆτο τῆς ἀναιδείας τοῖς ὁμοίως ἀποστερεῖν τὰς Ἀντιπάτρου παρακαταθήκας ἐθέλουσιν· ἦσαν δὲ περὶ αὐτὸν οἱ δυνατώτατοι.

2 Ἡρώδης μὲν δὴ πολεμίους τοὺς Ἄραβας εὑρὼν δι' ἃ φιλτάτους ἤλπισε, καὶ τοῖς ἀγγέλοις ἀποκρινάμενος ὡς ὑπηγόρευε τὸ πάθος, ὑπέστρεφεν ἐπ' Αἴγυπτον. καὶ τὴν μὲν πρώτην ἐσπέραν κατά τι τῶν ἐπιχωρίων ἱερῶν αὐλίζεται, τοὺς ἀπολειφθέντας ἀναλαβών· τῇ δ' ἑξῆς εἰς Ῥινοκούρουραν προσελθόντι τὰ περὶ τὴν τὰδελφοῦ τελευτὴν ἀπαγγέλλεται. προσλαβὼν δὲ πένθους ὅσον ἦν, ὡς ἀπεθήκατο φροντίδας, ἦει προσωτέρω. καὶ δὴ βραδέως ὁ Ἄραψ μετανοήσας ἔπεμψε διὰ τάχους τοὺς ἀνακαλέσοντας τὸν ὑβρισμένον. ἔφθανε δὲ καὶ τούτους Ἡρώδης εἰς Πηλούσιον ἀφικόμενος, ἔνθα τῆς παρόδου μὴ τυγχάνων ὑπὸ τῶν ἐφορμούντων τοῖς ἡγεμόσιν ἐντυγχάνει. κἀκεῖνοι τήν τε φήμην καὶ τὸ ἀξίωμα τἀνδρὸς αἰδεσθέντες προπέμπουσιν αὐτὸν εἰς Ἀλεξάνδρειαν. ὃ δὲ παρελθὼν εἰς τὴν πόλιν ἐδέχθη μὲν λαμπρῶς ὑπὸ Κλεοπάτρας, στρατηγὸν ἐλπιζούσης ἕξειν εἰς ἃ παρεσκευάζετο· διακρουσάμενος δὲ τὰς παρακλήσεις τῆς βασιλίδος, καὶ μήτε τὴν ἀκμὴν τοῦ χειμῶνος ὑποδείσας μήτε τοὺς κατὰ τὴν Ἰταλίαν θορύβους,

3 ἐπὶ Ῥώμης ἔπλει. κινδυνεύσας δὲ περὶ τὴν Παμφυλίαν, καὶ τοῦ φόρτου τὸ πλεῖον ἐκβαλών, μόλις εἰς Ῥόδον διασώζεται, σφόδρα τῷ πρὸς Κάσσιον πολέμῳ τετρυχωμένην. δεχθεὶς δὲ ὑπὸ Πτολεμαίου καὶ Σαπφινίου

Digitized by Google

τῶν φίλων, καίπερ ἐν ἀπορίᾳ χρημάτων ὤν, ναυπηγεῖται τριήρη μεγίστην, ἐν ᾗ μετὰ τῶν φίλων εἰς Βρεντέσιον καταπλεύσας, κἀκεῖθεν εἰς Ῥώμην ἐπειχθείς, πρώτῳ διὰ τὴν πατρῴαν φιλίαν ἐνετύγχανεν Ἀντωνίῳ, καὶ τάς τε αὐτοῦ καὶ τοῦ γένους συμφορὰς ἐκδιηγεῖτο, ὅτι τε τοὺς οἰκειοτάτους ἐν φρουρίῳ καταλιπὼν πολιορκουμένους διὰ χειμῶνος πλεύσειεν ἐπ' αὐτὸν ἱκέτης.

Ἀντωνίου δὲ ἥπτετο πρὸς τὴν μεταβολὴν οἴκτος, καὶ κατὰ μνήμην μὲν τῆς Ἀντιπάτρου ξενίας, τὸ δὲ ὅλον καὶ διὰ τὴν αὐτοῦ τοῦ παρόντος ἀρετήν, ἔγνωκε τότε βασιλέα καθιστᾶν Ἰουδαίων ὃν πρότερον αὐτὸς ἐποίησε τετράρχην. ἐνῆγε δ' οὐκ ἔλαττον τῆς εἰς Ἡρῴδην φιλοτιμίας ἡ πρὸς Ἀντίγονον διαφορά· τοῦτον γὰρ δὴ στασιώδη τε καὶ Ῥωμαίων ἐχθρὸν ὑπελάμβανε. Καίσαρα μὲν οὖν εἶχεν ἑτοιμότερον αὐτοῦ, τὰς Ἀντιπάτρου στρατείας ἀνανεούμενον, ἃς κατ' Αἴγυπτον αὐτοῦ τῷ πατρὶ συνδιήνεγκε, τήν τε ξενίαν καὶ τὴν ἐν ἅπασιν εὔνοιαν, ὁρῶντά γε μὴν καὶ τὸ Ἡρῴδου δραστήριον. συνῆγε δὲ καὶ τὴν βουλήν, ἐν ᾗ Μεσσάλας καὶ μετ' αὐτὸν Ἀτρατῖνος, παραστησάμενοι τὸν Ἡρῴδην, τάς τε πατρῴας εὐεργεσίας καὶ τὴν αὐτοῦ πρὸς Ῥωμαίους εὔνοιαν διεξῆσαν, ἀποδεικνύντες ἅμα καὶ πολέμιον τὸν Ἀντίγονον ἐξ ὧν οὐ μόνον διηνέχθη τάχιον, ἀλλ' ὅτι καὶ τότε διὰ Πάρθων λάβοι τὴν ἀρχήν, Ῥωμαίους ὑπερειδών. τῆς δὲ συγκλήτου πρὸς ταῦτα κεκινημένης, ὡς παρελθὼν Ἀντώνιος καὶ πρὸς τὸν κατὰ Πάρθων πόλεμον βασιλεύειν Ἡρῴδην συμφέρειν ἔλεγεν, ἐπιψηφίζονται πάντες. λυθείσης δὲ τῆς βουλῆς Ἀντώνιος μὲν καὶ Καῖσαρ μέσον ἔχοντες Ἡρῴδην ἐξῆσαν, προῆγον δὲ σὺν ταῖς ἄλλαις ἀρχαῖς οἱ ὕπατοι, θύσοντές τε καὶ τὸ δόγμα ἀναθήσοντες εἰς τὸ Καπετώλιον. τὴν δὲ πρώτην Ἡρῴδου τῆς βασιλείας ἡμέραν Ἀντώνιος εἱστία αὐτόν.

Digitized by Google

15 παρὰ δὲ τὸν χρόνον τοῦτον Ἀντίγονος ἐπολιόρκει τοὺς ἐν Μασάδᾳ, τοῖς μὲν ἄλλοις ἐπιτηδείοις διαρκουμένους, σπανίζοντας δὲ ὕδατος. διὸ καὶ Ἰώσηπος ὁ ἀδελφὸς Ἡρώδου σὺν διακοσίοις τῶν οἰκείων δρασμὸν ἐβουλεύετο εἰς Ἄραβας, ἀκηκοὼς τῶν εἰς Ἡρώδην ἁμαρ- 5 τημάτων Μαλίχῳ μεταμέλειν. κἂν ἔφθη καταλιπὼν τὸ φρούριον, εἰ μὴ περὶ τὴν νύκτα τῆς ἐξόδου συνέβη πλεῖστον ὗσαι· τῶν γὰρ ἐκδοχείων ὕδατος ἀναπλησθέντων οὐκέτ' ἔχρηζε φυγῆς, ἀλλ' ἐπεξήεσαν ἤδη τοῖς περὶ Ἀντίγονον, καὶ τὰ μὲν φανερῶς συμπλεκόμενοι τὰ δὲ λο- 10 χῶντες συχνοὺς διέφθειρον. οὐ μὴν ἐν ἅπασιν εὐστόχουν, ἔστι δ' ὅπῃ καὶ αὐτοὶ πταίοντες ἀνέστρεφον.

2 κἀν τούτῳ Ὄεντίδιος ὁ Ῥωμαίων στρατηγός, πεμφθεὶς ἐκ Συρίας Πάρθους ἀνείργειν, μετ' ἐκείνους εἰς Ἰουδαίαν παρέβαλε, λόγῳ μὲν ὡς βοηθήσων τοῖς περὶ 15 Ἰώσηπον, ἔργῳ δ' Ἀντίγονον ἀργυριούμενος. ἔγγιστα γοῦν Ἱεροσολύμων αὐλισάμενος, ὡς ἐνεπλήσθη χρημάτων, αὐτὸς μὲν ἀνεχώρει μετὰ τῆς πλείστης δυνάμεως, Σίλωνα δὲ σὺν μέρει τινὶ καταλέλοιπεν, ὡς μὴ κατάφωρον τὸ λῆμμα ποιήσειε πάντας ἀπαναστήσας. Ἀντίγο- 20 νος δὲ πάλιν ἐλπίζων Πάρθους ἐπαμύνειν αὐτῷ, καὶ Σίλωνα τέως ἐθεράπευσεν, ὡς μηδὲν ἐνοχλοίη πρὸς τὰς ἐλπίδας.

3 ἤδη δὲ Ἡρώδης καταπεπλευκὼς ἐκ τῆς Ἰταλίας εἰς Πτολεμαΐδα, καὶ συναγηοχὼς δύναμιν οὐκ ὀλίγην ξένων 25 τε καὶ ὁμοφύλων, ἤλαυνε διὰ τῆς Γαλιλαίας ἐπ' Ἀντίγονον, συλλαμβανόντων Ὄεντιδίου τε καὶ Σίλωνος, οὓς Λέλλιος ὑπ' Ἀντωνίου πεμφθεὶς Ἡρώδην συγκατάγειν ἔπεισεν. ἐτύγχανε δὲ Ὄεντίδιος μὲν ἐν ταῖς πόλεσι τὰς διὰ Πάρθους ταραχὰς καθιστάμενος, Σίλων δ' ἐν Ἰου- 30 δαίᾳ χρήμασιν ὑπ' Ἀντιγόνου διεφθαρμένος. οὐ μὴν Ἡρώδης ἰσχύος ἠπόρει, προϊόντι δὲ αὐτῷ καθ' ἡμέραν

Digitized by Google

ἠΰξετο τὰ τῆς δυνάμεως, καὶ πλὴν ὀλίγων, πᾶσα ἡ Γαλιλαία προσέθετο. προύκειτο μὲν οὖν τὸ ἀναγκαιότατον ἀγώνισμα Μασάδα, καὶ τὸ ῥύσασθαι πρῶτον τοὺς οἰκείους ἐκ τῆς πολιορκίας. γίνεται δ' ἐμπόδιον Ἰόπη· ταύτην γὰρ ἐχρῆν πολεμίαν οὖσαν ἐξελεῖν πρότερον, ὡς μὴ χωροῦντος ἐπὶ Ἱεροσολύμων κατὰ νώτου τι τοῖς ἐχθροῖς ἔρυμα καταλείποιτο. συνῆπτε δὲ καὶ Σίλων ἀσμένως τῆς ἀπαναστάσεως πρόφασιν εὑρών. ὡς δὲ προσέκειντο Ἰουδαῖοι διώκοντες, ἐπὶ τούτους Ἡρῴδης ἐκδραμὼν μετ' ὀλίγου στίφους τρέπεται ταχέως, καὶ Σίλωνα διασώζει κακῶς ἀμυνόμενον.

ἔπειτα Ἰόπην ἑλὼν πρὸς τὴν Μασάδαν ῥυσόμενος 4
τοὺς οἰκείους ἠπείγετο. καὶ τῶν ἐπιχωρίων οὓς μὲν πατρῴα φιλία προσῆγεν, οὓς δὲ τὸ αὐτοῦ κλέος, οὓς δὲ τῆς ἐξ ἀμφοῖν εὐεργεσίας ἀμοιβή, πλείστους γε μὴν ἐλπὶς ὡς ἐκ βασιλέως βεβαίου. δυσκίνητος δὲ ἤδη δύναμις ἤθροιστο. προϊόντα δ' Ἀντίγονος ἐνήδρευε, τἀπιτήδεια τῶν παρόδων προλοχίζων, ἐν οἷς οὐδὲν ἦ μικρὰ τοὺς πολεμίους ἔβλαπτεν. Ἡρῴδης δὲ τούς τε ἐκ Μασάδας οἰκείους παραλαβὼν ῥᾳδίως καὶ Ῥῆσαν τὸ φρούριον, ἦει πρὸς τὰ Ἱεροσόλυμα. συνῆπτε δὲ αὐτῷ τὸ μετὰ Σίλωνος στρατιωτικόν, καὶ πολλοὶ τῶν ἐκ τῆς πόλεως τὴν ἰσχὺν καταπλαγέντες.

στρατοπεδευσαμένου δὲ κατὰ τὸ πρὸς δύσιν κλίμα 5
τοῦ ἄστεος, οἱ ταύτῃ φύλακες ἐτόξευόν τε καὶ ἐξηκόντιζον εἰς αὐτούς· ἄλλοι δὲ κατὰ στίφος ἐκθέοντες ἀπεπειρῶντο τῶν προτεταγμένων. Ἡρῴδης δὲ τὸ μὲν πρῶτον κηρύσσειν περὶ τὸ τεῖχος ἐκέλευεν ὡς ἐπ' ἀγαθῷ τε παρείη τοῦ δήμου καὶ ἐπὶ σωτηρίᾳ τῆς πόλεως, μηδὲν μη δὲ τοὺς φανεροὺς ἐχθροὺς ἀμυνόμενος, δώσων δὲ καὶ τοῖς διαφορωτάτοις ἀμνηστίαν. ἐπεὶ δὲ ἀντιπαρηγοροῦντες οἱ περὶ τὸν Ἀντίγονον οὔτε κατακούειν

Digitized by Google

τῶν κηρυγμάτων εἶων τινὰς οὔτε μεταβάλλεσθαι, τὸ λοιπὸν ἀμύνασθαι τοὺς ἀπὸ τοῦ τείχους ἐπέτρεπε τοῖς σφετέροις· οἳ δὲ ταχέως ἅπαντας ἀπὸ τῶν πύργων ἐτρέψαντο τοῖς βέλεσιν.

6 ἔνθα δὴ καὶ Σίλων ἀπεκαλύψατο τὴν δωροδοκίαν. ἐπισκευασάμενος γὰρ πολλοὺς τῶν στρατιωτῶν σπάνιν ἐπιτηδείων ἀναβοᾶν, καὶ χρήματά τε εἰς τροφὰς ἀπαιτεῖν, ἀπαγαγεῖν τε σφᾶς χειμεριοῦντας εἰς τοὺς ἐπιτηδείους τόπους, ἐπειδὴ τὰ περὶ τὴν πόλιν ἦν ἔρημα, πάντα τῶν περὶ Ἀντίγονον προανασκευασαμένων, ἐκίνει τε τὸ στρατόπεδον καὶ ἀναχωρεῖν ἐπειρᾶτο. Ἡρώδης δ' ἐντυγχάνων τοῖς τε ὑπὸ τὸν Σίλωνα ἡγεμόσι καὶ κατὰ πλῆθος τοῖς στρατιώταις, ἐδεῖτο μὴ καταλιπεῖν αὐτὸν ὑπό τε Καίσαρος καὶ Ἀντωνίου καὶ τῆς συγκλήτου προπεμφθέντα· λύσειν γὰρ αὐθημερὸν αὐτῶν τὰς ἀπορίας. καὶ μετὰ τὴν δέησιν εὐθέως ὁρμήσας αὐτὸς εἰς τὴν χώραν, τοσαύτην αὐτοῖς ἐπιτηδείων ἀφθονίαν ἐκόμισεν ὡς πάσας ἀποκόψαι τὰς Σίλωνος προφάσεις. εἵς τε τὰς ἑξῆς ἡμέρας μὴ διαλιπεῖν τὴν χορηγίαν προνοούμενος, ἐπέστελλε τοῖς περὶ Σαμάρειαν (ᾠκείωτο δὲ ἡ πόλις αὐτῷ) σῖτον καὶ οἶνον καὶ ἔλαιον καὶ βοσκήματα κατάγειν εἰς Ἰεριχοῦντα. ταῦτ' ἀκούσας Ἀντίγονος διέπεμψε περὶ τὴν χώραν, εἴργειν καὶ λοχᾶν τοὺς σιτηγοὺς κελεύων. οἱ δ' ὑπήκουον, καὶ πολὺ πλῆθος ὁπλιτῶν ὑπὸ τὴν Ἰεριχοῦντα συνηθροίσθη· διεκαθέζοντο δ' ἐπὶ τῶν ὀρέων παραφυλάσσοντες τοὺς τἀπιτήδεια ἐκκομίζοντας. οὐ μὴν Ἡρώδης ἠρέμει, δέκα δὲ σπείρας ἀναλαβών, ὧν πέντε μὲν Ῥωμαϊκαὶ πέντε δ' Ἰουδαίων ἦσαν, ἔχουσαι καὶ μισθοφόρους μιγάδας, πρὸς οἷς ὀλίγους τῶν ἱππέων, ἐπὶ τὴν Ἰεριχοῦντα παραγίνεται. καὶ τὴν μὲν πόλιν καταλελειμμένην εὑρίσκει, πεντακοσίους δὲ τὰ ἄκρα κατειληφότας σὺν γυναιξὶ καὶ γενεαῖς. αὐτοὺς

Digitized by Google

μὲν οὖν ἀπολύει λαβών· Ῥωμαῖοι δ' εἰσπεσόντες τὸ λοιπὸν ἄστυ διήρπασαν, πλήρεις καταλαμβάνοντες τὰς οἰκίας παντοίων κειμηλίων. Ἱεριχοῦντος μὲν οὖν φρουρὰν ὁ βασιλεὺς καταλιπὼν ὑπέστρεψε, καὶ χειμεριοῦσαν τὴν Ῥωμαίων στρατιὰν εἰς τὰς προσκεχωρηκυίας διαφῆκεν Ἰδουμαίαν καὶ Γαλιλαίαν καὶ Σαμάρειαν. ἐπέτυχε δὲ καὶ Ἀντίγονος παρὰ τῆς Σίλωνος δωροδοκίας ὑποδέξασθαι τοῦ στρατοῦ μοῖραν ἐν Λύδδοις, θεραπεύων Ἀντώνιον.

καὶ Ῥωμαῖοι μὲν ἐν ἀφθόνοις διῆγον ἀνειμένοι 16
τῶν ὅπλων, Ἡρῴδης δ' οὐκ ἠρέμει, ἀλλὰ τὴν μὲν Ἰδουμαίαν δισχιλίοις πεζοῖς καὶ τετρακοσίοις ἱππεῦσι διελάμβανε, πέμψας τὸν ἀδελφὸν Ἰώσηπον, ὡς μή τι νεωτερισθείη πρὸς Ἀντίγονον· αὐτὸς δὲ τὴν μητέρα, καὶ ὅσους ἐκ Μασάδας οἰκείους ἐξήγαγε, μεταγαγὼν εἰς Σαμάρειαν καὶ καταστησάμενος ἀσφαλῶς, ᾔει τὰ λοιπὰ τῆς Γαλιλαίας καταστρεψόμενος καὶ τὰς Ἀντιγόνου φρουρὰς ἐξελάσων.

πρὸς δὲ τὴν Σέπφωριν ἐν νιφετῷ σφοδροτάτῳ δια- 2
νύσας ἀκμητὶ παραλαμβάνει τὴν πόλιν, πρὸ τῆς ἐφόδου τῶν φυλάκων ἐκφυγόντων. ἔνθα τοὺς ἑπομένους ὑπὸ τοῦ χειμῶνος κακωθέντας ἀναλαβών (πολλὴ δ' ἦν ἀφθονία τῶν ἐπιτηδείων) ἐπὶ τοὺς ἐν τοῖς σπηλαίοις ὥρμητο ληστάς, οἳ πολλὴν τῆς χώρας κατατρέχοντες οὐκ ἐλάττω κακὰ πολέμου διετίθεσαν τοὺς ἐπιχωρίους. προπέμψας δὲ πεζῶν τρία τέλη καὶ μίαν ἴλην ἱππέων πρὸς Ἄρβηλα κώμην, αὐτὸς μετὰ τεσσαράκοντα ἡμέρας ἐπῆλθε μετὰ τῆς λοιπῆς δυνάμεως. οὐ μὴν πρὸς τὴν ἔφοδον ἔδεισαν οἱ πολέμιοι, μετὰ δὲ τῶν ὅπλων ἀπήντων, τὴν μὲν ἐμπειρίαν πολεμικὴν ἔχοντες, τὸ δὲ θράσος ληστρικόν. συμβαλόντες γοῦν τῷ σφετέρῳ δεξιῷ τὸ εὐώνυμον κέρας τῶν Ἡρῴδου τρέπονται. περιελθὼν δὲ ταχέως

Digitized by Google

Ἡρώδης ἐκ τοῦ καθ' ἑαυτὸν δεξιοῦ προσεβοήθει, καὶ τὸ μὲν οἰκεῖον ἐπέστρεφεν ἐκ τῆς φυγῆς, τοῖς δὲ διώκουσιν ἐμπίπτων ἀνέκοπτε τὴν ὁρμήν, μέχρι τὰς κατὰ στόμα προσβολὰς μὴ φέροντες ἐνέκλιναν.

3 ὃ δὲ ἕως Ἰορδάνου κτείνων εἵπετο, καὶ πολὺ μὲν αὐτῶν μέρος διέφθειρεν, οἱ λοιποὶ δ' ὑπὲρ τὸν ποταμὸν ἐσκεδάσθησαν, ὥστε τὴν Γαλιλαίαν κεκαθάρθαι φόβων, πλὴν καθ' ὅσον οἱ τοῖς σπηλαίοις ἐμφωλεύοντες ὑπελείποντο, καὶ ἐπὶ τούτοις ἔδει διατριβῆς. διὸ δὴ πρῶτον τοῖς στρατιώταις τὰς ἐκ τῶν πεπονημένων ἐπικαρπίας ἀπεδίδου, διανέμων ἑκάστῳ δραχμὰς ἑκατὸν πεντήκοντα ἀργυρίου, καὶ τοῖς ἡγεμόσι πολυπλασίονα διέπεμψεν εἰς οὓς ἐχειμέριζον σταθμούς. Φερώρᾳ δὲ τῷ νεωτάτῳ τῶν ἀδελφῶν ἐπέστελλε τῆς τε ἀγορᾶς αὐτοῖς ποιεῖσθαι πρόνοιαν καὶ τειχίζειν Ἀλεξάνδρειον. κἀκεῖνος ἀμφοτέρων ἐπεμελήθη.

4 ἐν δὲ τούτῳ περὶ μὲν Ἀθήνας διῆγεν Ἀντώνιος, Ὄβιδιος δ' ἐπὶ τὸν πρὸς Πάρθους πόλεμον Σίλωνά τε καὶ Ἡρώδην μετεπέμπετο, καταστήσασθαι πρότερον ἐπιστέλλων τὰ περὶ Ἰουδαίαν. Ἡρώδης δὲ ἀσμένως Σίλωνα πρὸς Ὄβιδιον ἀπολύσας, αὐτὸς ἐπὶ τοὺς ἐν τοῖς σπηλαίοις ἐστράτευσεν. τὰ δὲ σπήλαια ταῦτα πρὸς ἀποκρήμνοις ὄρεσιν ἦν, οὐδαμόθεν προσιτά, πλαγίας δὲ ἀνόδους μόνον ἔχοντα στενωτάτας· ἡ δὲ κατὰ μέτωπον αὐτῶν πέτρα κατέτεινεν εἰς βαθυτάτας φάραγγας, ὄρθιος ἐκπρέπουσα ταῖς χαράδραις, ὥστε τὸν βασιλέα μέχρι πολλοῦ μὲν ἀπορεῖν πρὸς τὸ ἀμήχανον τοῦ τόπου, τὸ τελευταῖον δ' ἐπινοίᾳ χρήσασθαι σφαλερωτάτῃ. τοὺς γοῦν ἀλκίμους καθιμῶν ἐν λάρναξιν ἐνίει τοῖς στομίοις· οἱ δὲ ἀπέσφαττόν τε αὐτοὺς σὺν γενεαῖς, καὶ πῦρ ἐνίεσαν τοῖς ἀμυνομένοις. βουληθεὶς δ' ἐξ αὐτῶν καὶ περισωσαί τινας Ἡρώδης ἐκήρυξεν ἀποχωρεῖν πρὸς αὐτόν.

Digitized by Google

τῶν δὲ ἐθελούσιος μὲν οὐδεὶς προσέθετο, καὶ τῶν βιαζομένων δὲ πολλοὶ τῆς αἰχμαλωσίας προείλοντο θάνατον. ἔνθα καὶ τῶν γηραιῶν τις, ἑπτὰ παίδων πατήρ, μετὰ τῆς μητρὸς δεομένους τοὺς παῖδας ἐπιτρέψαι σφίσιν ἐξελθεῖν ἐπὶ δεξιᾷ κτείνει τρόπῳ τοιῷδε· καθ' ἕνα προϊέναι κελεύσας αὐτὸς ἵστατο παρὰ τὸ στόμιον, καὶ τὸν ἀεὶ προϊόντα τῶν υἱῶν ἀπέσφαττεν. ἐξ ἀπόπτου δὲ Ἡρώδης ἐπιβλέπων τῷ τε πάθει συνεχεῖτο καὶ τῷ πρεσβύτῃ δεξιὰν ὤρεγε, φείσασθαι τῶν τέκνων παρακαλῶν. ὃ δὲ πρὸς οὐδὲν ἐνδοὺς τῶν λεγομένων, ἀλλὰ καὶ προσονειδίσας τὸν Ἡρώδην εἰς ταπεινότητα, ἐπὶ τοῖς παισὶν ἀναιρεῖ καὶ τὴν γυναῖκα, καὶ καταβαλὼν κατὰ τοῦ κρημνοῦ τοὺς νεκροὺς τὸ τελευταῖον καὶ ἑαυτὸν ἔρριψεν.

χειροῦται μὲν οὕτω τὰ σπήλαια καὶ τοὺς ἐν αὐτοῖς Ἡρώδης· καταλιπὼν δὲ τοῦ στρατοῦ μοῖραν ὅσην ἀποχρήσειν ὑπελάμβανε πρὸς τὰς ἐπαναστάσεις, καὶ Πτολεμαῖον ἐπ' αὐτῆς, ἐπὶ Σαμάρειαν ὑπέστρεφεν, ὁπλίτας μὲν τρισχιλίους ἱππεῖς δὲ ἄγων ἑξακοσίους ἐπ' Ἀντίγονον. ἔνθα πρὸς τὴν ἀποχώρησιν αὐτοῦ λαβόντες ἄδειαν οἷς ἔθος ἦν θορυβεῖν τὴν Γαλιλαίαν, κτείνουσι μὲν Πτολεμαῖον τὸν στρατηγὸν ἀδοκήτως προσπεσόντες, ἐπόρθουν δὲ τὴν χώραν, ποιούμενοι τὰς ἀναφυγὰς εἰς τὰ ἕλη καὶ τὰ δυσερεύνητα τῶν χωρίων. πυθόμενος δὲ Ἡρώδης τὴν ἐπανάστασιν διὰ τάχους ἐπεβοήθει, καὶ πολὺ μὲν αὐτῶν πλῆθος διέφθειρε, τὰ φρούρια δὲ πάντα πολιορκίας ἐξελών, ἐπιτίμιον τῆς μεταβολῆς εἰσεπράξατο παρὰ τῶν πολεμίων ἑκατὸν τάλαντα.

ἤδη δὲ Πάρθων μὲν ἐξεληλαμένων, ἀνῃρημένου δὲ Πακόρου, Ὄεντίδιος, ἐπιστείλαντος Ἀντωνίου, συμμάχους πέμπει Ἡρώδῃ κατὰ Ἀντιγόνου χιλίους ἱππεῖς καὶ δύο τάγματα. τούτων τὸν στρατηγὸν Μαχαιρᾶν Ἀντίγονος ἱκέτευε δι' ἐπιστολῶν ἑαυτῷ βοηθὸν ἀφικέ-

Digitized by Google

σθαι, πολλὰ περί τε τῆς Ἡρώδου βίας καὶ ἐπηρείας τῆς βασιλείας ἀποδυρόμενος, καὶ χρήματα δώσειν ὑπισχνούμενος. ὁ δέ (οὐ γὰρ κατεφρόνει τοῦ πέμψαντος, ἄλλως τε καὶ πλέον Ἡρώδου διδόντος) εἰς μὲν τὴν προδοσίαν οὐχ ὑπήκουσεν, ὑποκρινόμενος δὲ φιλίαν κατάσκοπος ἦει τῶν Ἀντιγόνου πραγμάτων, Ἡρώδῃ μὴ πεισθεὶς ἀποτρέποντι. προαισθόμενος δὲ αὐτοῦ τὴν διάνοιαν Ἀντίγονος τήν τε πόλιν ἀπέκλεισε καὶ ἀπὸ τῶν τειχῶν ὡς πολέμιον ἠμύνατο, μέχρις αἰδούμενος Μαχαιρᾶς εἰς Ἀμμαοῦντα πρὸς Ἡρώδην ἐχώρει, καὶ πρὸς τὴν διαμαρτίαν τεθυμωμένος ὅσοις ἐπετύγχανεν Ἰουδαίοις ἀνῄρει, μηδεμίαν τῶν Ἡρωδείων φειδὼ ποιούμενος, ἀλλ' ὡς Ἀντιγονείοις χρώμενος ἅπασιν.

7 ἐφ' οἷς χαλεπήνας Ἡρώδης ὥρμησε μὲν ἀμύνασθαι Μαχαιρᾶν ὡς πολέμιον, κρατήσας δὲ τῆς ὀργῆς ἤλαυνε πρὸς Ἀντώνιον κατηγορήσων τῆς Μαχαιρᾶ παρανομίας. ὃ δὲ ἐν διαλογισμῷ τῶν ἡμαρτημένων γενόμενος ταχέως μεταδιώκει τε τὸν βασιλέα καὶ πολλὰ δεηθεὶς ἑαυτῷ διαλλάττει. οὐ μὴν Ἡρώδης ἐπαύσατο τῆς πρὸς Ἀντώνιον ὁρμῆς· ἀκηκοὼς δὲ αὐτὸν μετὰ πολλῆς δυνάμεως προσπολεμοῦντα Σαμοσάτοις (πόλις δέ ἐστιν Εὐφράτου πλησίον καρτερά) θᾶττον ἠπείγετο, τὸν καιρὸν ἐπιτήδειον ὁρῶν πρός τε ἐπίδειξιν ἀνδρείας καὶ τοῦ μᾶλλον ἀρέσασθαι τὸν Ἀντώνιον. γίνεται γοῦν ἐπελθὼν τέλος αὐτοῖς τῆς πολιορκίας, πολλοὺς μὲν τῶν βαρβάρων ἀποκτείνας, πολλὴν δὲ ἀποτεμόμενος λείαν· ὥστε τὸν μὲν Ἀντώνιον θαυμάζοντα καὶ πάλαι τῆς ἀρετῆς αὐτόν, τότε μᾶλλον οὕτως ἔχειν, καὶ πολὺ προσθεῖναι ταῖς τε ἄλλαις τιμαῖς αὐτοῦ καὶ ταῖς εἰς τὴν βασιλείαν ἐλπίσιν, Ἀντίοχον δὲ τὸν βασιλέα ἀναγκασθῆναι τὰ Σαμόσατα παραδοῦναι.

17 κἀν τούτῳ θραύεται τὰ κατὰ τὴν Ἰουδαίαν Ἡρώ-

Digitized by Google

δου πράγματα. κατελελοίπει μὲν γὰρ Ἰώσηπον τὸν ἀδελφὸν ἐπὶ τῶν ὅλων, παραγγείλας μηδὲν μέχρι τῆς ὑποστροφῆς αὐτοῦ παρακινεῖν πρὸς Ἀντίγονον· οὐ γὰρ δὴ βέβαιον εἶναι Μαχαιρᾶν σύμμαχον ἐξ ὧν ἔδρασεν· ὃ δὲ ὡς ἤκουσεν ὄντα πορρωτάτω τὸν ἀδελφόν, ἀμελήσας τῶν παραγγελμάτων ἐπὶ Ἱεριχοῦντος ἐχώρει μετὰ πέντε σπειρῶν, ἃς συνέπεμψε Μαχαιρᾶς. ἦει δὲ τὸν σῖτον ἁρπάσων ἐν ἀκμῇ τοῦ θέρους. ἐπιθεμένων δ' ἐν τοῖς ὄρεσι καὶ ταῖς δυσχωρίαις τῶν ἐναντίων αὐτός τε θνήσκει, μάλα γενναῖος ἐν τῇ μάχῃ φανείς, καὶ τὸ Ῥωμαϊκὸν πᾶν διαφθείρεται· νεοσύλλεκτοι γὰρ ἐκ τῆς Συρίας ἦσαν αἱ σπεῖραι, καὶ οὐδὲν αὐταῖς ἀνεκέκρατο τῶν πάλαι στρατιωτῶν καλουμένων, ἐπαμύνειν τοῖς ἀπείροις πολέμου δυνάμενον.

Ἀντιγόνῳ δὲ οὐκ ἀπέχρησεν ἡ νίκη, προῆλθε δὲ 2
εἰς τοσοῦτον ὀργῆς ὥστε καὶ νεκρὸν αἰκίσασθαι τὸν Ἰώσηπον· κρατήσας γοῦν τῶν σωμάτων ἀποτέμνει τὴν κεφαλὴν αὐτοῦ, καίτοι πεντήκοντα τάλαντα λύτρον αὐτῆς Φερώρα τἀδελφοῦ διδόντος. τὰ δὲ τῆς Γαλιλαίας μετὰ τὴν Ἀντιγόνου νίκην ἐνεωτερίσθη πρὸς τοσοῦτον ὥστε τοὺς τὰ Ἡρώδου φρονοῦντας τῶν δυνατῶν προσάγοντες εἰς τὴν λίμνην κατέδυσαν οἱ προσέχοντες Ἀντιγόνῳ. μετεβάλλετο δὲ πολλὰ καὶ τῆς Ἰδουμαίας, ἔνθα Μαχαιρᾶς ἀνετείχιζέ τι τῶν ἐρυμάτων· Γιτθᾶ καλεῖται. τούτων δὲ οὐδέν πω πέπυστο Ἡρώδης. μετὰ γὰρ τὴν Σαμοσάτων ἅλωσιν Ἀντώνιος μὲν καταστήσας ἐπὶ τῆς Συρίας Σόσσιον, καὶ προστάξας Ἡρώδῃ βοηθεῖν ἐπ' Ἀντίγονον, αὐτὸς εἰς Αἴγυπτον ἀνεχώρησε, Σόσσιος δὲ δύο μὲν τάγματα προαπέστειλεν εἰς Ἰουδαίαν Ἡρώδῃ συμμαχῶν, αὐτὸς δὲ μετὰ τῆς λοιπῆς δυνάμεως ἠκολούθει σχεδόν. ὄντι δὲ Ἡρώδῃ κατὰ τὴν πρὸς Ἀντιόχειαν 3
Δάφνην ὄνειροι σαφεῖς τὸν τοῦ ἀδελφοῦ θάνατον προ-

Digitized by Google

σημαίνουσι, καὶ μετὰ ταραχῆς ἐκθορόντι τῆς κοίτης εἰσῆεσαν ἄγγελοι τῆς συμφορᾶς. ὃ δὲ ὀλίγον μὲν προσοιμώξας τῷ πάθει, τὸ πλεῖον δὲ τοῦ πένθους ὑπερθέμενος, ἐπὶ τοὺς ἐχθροὺς ἠπείγετο. ποιούμενος δὲ τὴν πορείαν ὑπὲρ δύναμιν, καὶ διανύσας ἐπὶ τὸν Λίβανον, ὀκτακοσίους μὲν τῶν περὶ τὸ ὄρος προσλαμβάνει συμμάχους, Ῥωμαίων δὲ ἓν τάγμα ταύτῃ συνῆψε. μεθ' ὧν οὐ περιμείνας ἡμέραν εἰς τὴν Γαλιλαίαν ἐνέβαλε, τούς τε πολεμίους ὑπαντιάσαντας εἰς ὃ καταλελοίπεσαν χωρίον τρέπεται. καὶ προσέβαλλε μὲν συνεχῶς τῷ φρουρίῳ, πρὶν δὲ ἑλεῖν, χειμῶνι βιασθεὶς χαλεπωτάτῳ ταῖς πλησίον ἐνστρατοπεδεύεται κώμαις. ἐπεὶ δ' αὐτῷ μετ' ὀλίγας μὲν ἡμέρας καὶ τὸ δεύτερον παρ' Ἀντωνίου τάγμα συνέμιξε, δείσαντες τὴν ἰσχὺν οἱ πολέμιοι διὰ νυκτὸς ἐξέλιπον τὸ ἔρυμα.

4 καὶ τὸ λοιπὸν ᾔει διὰ Ἰεριχοῦντος, σπεύδων ὡς τάχιστα τοὺς τἀδελφοῦ φονεῖς μετελθεῖν. ἔνθα καὶ δαιμόνιον αὐτῷ συμβαίνει τέρας, ἐξ οὗ παρ' ἐλπίδα σωθεὶς ἀνδρὸς θεοφιλεστάτου δόξαν ἀπηνέγκατο. πολλοὶ μὲν γὰρ αὐτῷ τῶν ἐν τέλει κατ' ἐκείνην συνειστιάθησαν τὴν ἑσπέραν, διαλυθέντος δὲ τοῦ συμποσίου μετὰ τὸ πάντας ἐξελθεῖν εὐθέως ὁ οἶκος συνέπεσεν. τοῦτο καὶ κινδύνων καὶ σωτηρίας κοινὸν ἐπὶ τῷ μέλλοντι πολέμῳ κρίνας εἶναι σημεῖον, ὑπὸ τὴν ἕω διεκίνει τὴν στρατιάν· καὶ τῶν ἐναντίων εἰς ἑξακισχιλίους ἀπὸ τῶν ὀρῶν κατατρέχοντες ἀπεπειρῶντο τῶν προτεταγμένων, κατὰ χεῖρα μὲν συμπλέκεσθαι τοῖς Ῥωμαίοις οὐ σφόδρα θαρροῦντες, πόρρωθεν δὲ χερμάσι καὶ παλτοῖς ἔβαλλον ὥστε συχνοὺς κατατιτρώσκειν. ἐν ᾧ καὶ αὐτὸς Ἡρώδης παρελαύνων παλτῷ κατὰ τὴν πλευρὰν ἀκοντίζεται.

5 βουλόμενος δὲ ὁ Ἀντίγονος μὴ μόνον τόλμῃ τῶν σφετέρων ἀλλὰ καὶ πλήθει περιεῖναι δοκεῖν, Πάππον

Digitized by Google

τινὰ τῶν ἑταίρων μετὰ στρατιᾶς ἐπὶ Σαμάρειαν ἐπιπέμπει. τούτων μὲν οὖν ἦν Μαχαιρᾶς ἀγώνισμα, Ἡρώδης δὲ τὴν πολεμίαν καταδραμὼν πέντε μὲν πολίχνας καταστρέφεται, δισχιλίους δὲ τῶν ἐν αὐταῖς διαφθείρει, καὶ τὰς οἰκίας ἐμπρήσας ὑπέστρεψεν ἐπὶ τὸ στρατόπεδον· ἡῦλιστο δὲ περὶ τὴν καλουμένην Κανᾶ κώμην.

προσεγίνετο δ' αὐτῷ καθ' ἡμέραν πολὺ πλῆθος 6
Ἰουδαίων ἔκ τε αὐτῆς Ἰεριχοῦντος καὶ τῆς ἄλλης χώρας, οἳ μὲν διὰ μῖσος τὸ πρὸς Ἀντίγονον, οἳ δ' ἐπὶ τοῖς αὐτοῦ κατορθώμασι κεκινημένοι. τούς γε μὴν πολλοὺς ἐνῆγεν ἐπιθυμία μεταβολῆς ἄλογος. καὶ ὃ μὲν ἠπείγετο συμβαλεῖν, οἱ δὲ περὶ Πάππον οὔτε πρὸς τὸ πλῆθος οὔτε περὶ τὴν ὁρμὴν ὑποδείσαντες αὐτοῦ προθύμως ἀντεπεξῆλθον. γενομένης δὲ τῆς παρατάξεως τὰ μὲν ἄλλα μέρη πρὸς ὀλίγον ἀντέσχον, Ἡρώδης δὲ κατὰ μῆνιν τοῦ φονευθέντος ἀδελφοῦ παραβαλλόμενος, ὡς ἂν τίσαιτο τοὺς αἰτίους τοῦ φόνου, ταχέως τῶν καθ' ἑαυτὸν ἐκράτει, καὶ μετ' ἐκείνους ἐπὶ τὸ συνεστὸς ἀεὶ τρεπόμενος ἅπαντας διώκει. φόνος τε ἦν πολύς, τῶν μὲν εἰς τὴν κώμην συνεξωθουμένων ἐξ ἧς ὥρμηντο, τοῦ δὲ προσκειμένου τοῖς ὑστάτοις καὶ κτείνοντος ἀπείρους. συνεισπίπτει δὲ τοῖς πολεμίοις εἴσω, καὶ πᾶσα μὲν ὁπλιτῶν οἰκία νένακτο, τὰ τέγη δὲ ἦν ὕπερθεν ἀμυνομένων κατάπλεα. κἀπειδὴ περιῆν τῶν ἔξωθεν, τὰς οἰκήσεις σπαράττων εἶλκε τοὺς ἔνδοθεν, καὶ τοῖς μὲν πολλοῖς ἐπικατασείων τοὺς ὀρόφους ἀθρόως ἀνῄρει, τοὺς ὑποφυγόντας δὲ τῶν ἐρειπίων οἱ στρατιῶται ξιφήρεις ἀνεδέχοντο, καὶ τοσοῦτον ἐσωρεύθη νεκρῶν πλῆθος ὥστε τὰς ὁδοὺς ἀποφραγῆναι τοῖς κρατοῦσι. ταύτην τὴν πλῃγὴν οὐκ ἤνεγκαν οἱ πολέμιοι· τὸ γοῦν ἐπισυλλεγόμενον αὐτῶν πλῆθος ὡς ἐθεάσατο τοὺς ἀνὰ τὴν κώμην διεφθαρμένους, εἰς φυγὴν διεσκεδάσθη. κἂν

Digitized by Google

εὐθέως τῇ νίκῃ τεθαρρηκὼς Ἡρώδης ἐπὶ Ἱεροσολύμων ἤλασεν, εἰ μὴ χειμῶνι διεκωλύθη σφοδροτάτῳ. τοῦτο ἐμπόδιον ἐκείνῳ τε παντελοῦς κατορθώματος καὶ ἥττης τῷ Ἀντιγόνῳ κατέστη, βουλευομένῳ καταλιπεῖν ἤδη τὴν πόλιν.

7 Ἡρώδης δὲ πρὸς ἑσπέραν ἤδη τοὺς φίλους κεκμηκότας ἐπὶ θεραπείᾳ τοῦ σώματος διαφείς, καὶ αὐτὸς ὡς ἦν ἔτι θερμὸς ἐκ τῶν ὅπλων λουσόμενος ᾔει στρατιωτικώτερον· εἷς γοῦν αὐτῷ παῖς εἵπετο. καὶ πρὶν εἰς τὸ βαλανεῖον εἰσελθεῖν, ἐναντίον αὐτοῦ τις ἐκτρέχει τῶν πολεμίων ξιφήρης, ἔπειτα δεύτερος καὶ τρίτος καὶ ἓξ πλείους. οὗτοι καταπεφεύγεσαν μὲν ἐκ τῆς παρατάξεως εἰς τὸ βαλανεῖον ὡπλισμένοι· τέως δὲ ὑποπεπτηχότες καὶ διαλανθάνοντες, ὡς ἐθεάσαντο τὸν βασιλέα, λυθέντες ὑπ' ἐκπλήξεως αὐτὸν μὲν παρέτρεχον γυμνὸν ὄντα τρέμοντες, ἐπὶ δὲ τὰς ἐξόδους ἐχώρουν. τῶν μὲν οὖν ἄλλων οὐδεὶς παρῆν κατὰ τύχην ὁ συλληψόμενος τοὺς ἄνδρας, Ἡρώδῃ δὲ ἀπέχρη τὸ μηδὲν παθεῖν, ὥστε διαφεύγουσι πάντες.

8 τῇ δ' ὑστεραίᾳ Πάππον μὲν τὸν Ἀντιγόνου στρατηγὸν καρατομήσας (ἀνῄρητο δὲ ἐπὶ τῆς παρατάξεως), πέμπει τὴν κεφαλὴν Φερώρᾳ τῷ ἀδελφῷ, ποινὴν τοῦ φονευθέντος αὐτῶν ἀδελφοῦ· καὶ γὰρ οὗτος ἦν ὁ τὸν Ἰώσηπον ἀνελών. λωφήσαντος δὲ τοῦ χειμῶνος ἤλαυνεν ἐπὶ Ἱεροσολύμων, καὶ μέχρι τοῦ τείχους ἀναγαγὼν τὴν δύναμιν (συνήγετο δὲ αὐτῷ τρίτον ἔτος ἐξ οὗ βασιλεὺς ἐν Ῥώμῃ ἀπεδέδεικτο) πρὸ τοῦ ἱεροῦ στρατοπεδεύεται· ταύτῃ γὰρ ἦν ἐπίμαχον, καθ' ὃ καὶ πρὶν εἶλε Πομπήιος τὴν πόλιν. διελὼν δὲ εἰς ἔργα τὴν στρατιὰν καὶ τεμὼν τὰ προάστεια, τρία μὲν ἐγείρει χώματα, καὶ πύργους ἐποικοδομεῖν αὐτοῖς κελεύσας, καταλιπὼν τοὺς ἀνυστικωτάτους τῶν ἑταίρων ἐπὶ τῶν ἔργων, αὐτὸς εἰς Σα-

Digitized by Google

μάρειαν ἦσι, τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου μετιὼν θυγατέρα, καθωμολογημένην, ὡς ἔφαμεν, αὐτῷ, καὶ πάρεργον ποιεῖται τῆς πολιορκίας τὸν γάμον· ἤδη γὰρ ὑπερηφάνει τοὺς πολεμίους.

γήμας δὲ ὑπέστρεψεν ἐπὶ Ἱεροσολύμων μετὰ μείζονος δυνάμεως· συνῆπτε δὲ αὐτῷ καὶ Σόσσιος μετὰ πλείστης στρατιᾶς, ἱππέων τε καὶ πεζῶν, ἣν προεκπέμψας διὰ τῆς μεσογείου τὴν πορείαν αὐτὸς διὰ Φοινίκης ἐποιήσατο. συναθροισθείσης δὲ τῆς ὅλης δυνάμεως, εἰς ἑνδεκα μὲν τέλη πεζῶν, ἱππεῖς δὲ ἑξακισχιλίους δίχα τῶν ἀπὸ Συρίας συμμάχων, οἳ μέρος οὐκ ὀλίγον ἦσαν, καταστρατοπεδεύονται τοῦ βορείου τείχους πλησίον, αὐτὸς μὲν πεποιθὼς τοῖς τῆς συγκλήτου δόγμασι, δι' ὧν βασιλεὺς ἀπεδέδεικτο, Σόσσιος δὲ Ἀντωνίῳ τῷ πέμψαντι τὴν ὑπ' αὐτῷ στρατιὰν Ἡρώδῃ σύμμαχον. 9

τῶν δὲ ἀνὰ τὴν πόλιν Ἰουδαίων τὸ πλῆθος ποικίλως ἐτετάρακτο. καὶ γὰρ περὶ τὸν ναὸν ἀθροιζόμενον τὸ ἀσθενέστερον εὐδαίμονα καὶ πολλῷ θειοδέστερον τὸν τελευτήσαντα πρὸς τοὺς παιρουὺς ἐλογοποίει· καὶ τῶν τολμηροτέρων κατὰ στῖφος ἦσαν λῃστεῖαι πολύτροποι, καὶ μάλιστα περὶ τὴν πόλιν ἁρπαζόντων, ἐπειδὴ μήτε ἵπποις μήτε ἀνδράσιν ὑπελέλειπτο τροφή. τοῦ γε μὴν μαχίμου τὸ εὐτακτότερον ἐτέτακτο πρὸς ἄμυναν τῆς πολιορκίας, τούς τε χωννύντας εἴργον ἀπὸ τοῦ τείχους, καὶ τοῖς ὀργάνοις ἀντιμηχανώμενον ἀεί τι κώλυμα καινότερον. ἐν οὐδενὶ δὲ οὕτως ὡς ἐν ταῖς μεταλλείαις πεφιῦσαν τῶν πολεμίων. 18

τῷ δὲ βασιλεῖ πρὸς μὲν τὰς λῃστείας ἀντεπενοήθησαν λόχοι, δι' ὧν ἀνέστελλε τὰς διεκδρομάς, πρὸς δὲ τὴν τῶν ἐπιτηδείων ἀπορίαν αἱ πόρρωθεν συγκομιδαί. τῶν δὲ μαχομένων περιῆν τῇ Ῥωμαίων ἐμπειρίᾳ, καίτοι τόλμης οὐδεμίαν καταλειπόντων ὑπερβολήν. φανερῶς 2

Digitized by Google

μὲν οὖν οὐ συνερρήγνυντο τοῖς Ῥωμαίοις ἐπὶ προύπτῳ τῷ θανάτῳ, διὰ δὲ τῶν ὑπονόμων ἐν μέσοις αὐτοῖς ἐξαπίνης ἐφαίνοντο, καὶ πρὶν κατασεισθῆναί τι τοῦ τείχους ἕτερον ἀντωχύρουν· καθόλου τε εἰπεῖν οὔτε χερσὶν οὔτε ἐπινοίαις ἔκαμνον, εἰς ἔσχατον ἀντισχεῖν διεγνωκότες. ἀμέλει τηλικαύτης δυνάμεως περικαθεζομένης πέντε μησὶ διήνεγκαν τὴν πολιορκίαν, ἕως τῶν Ἡρώδου τινὲς ἐπιλέκτων ἐπιβῆναι τοῦ τείχους θαρρήσαντες εἰσπίπτουσιν εἰς τὴν πόλιν, ἐφ' οἷς ἑκατοντάρχαι Σοσσίου. πρῶτα δὲ τὰ περὶ τὸ ἱερὸν ἡλίσκετο, καὶ τῆς δυνάμεως ἐπεισχυθείσης πανταχοῦ φόνος ἦν μυρίος, τῶν μὲν Ῥωμαίων ἐπὶ τῇ τριβῇ τῆς πολιορκίας θιωργισμένων, τοῦ δὲ περὶ Ἡρώδην Ἰουδαϊκοῦ μηδένα ὑπολιπέσθαι σπεύδοντος ἀντίπαλον. ἐσφάττοντο δὲ παμπληθεῖς, ἔν τε τοῖς στενωποῖς καὶ κατὰ τὰς οἰκίας συνωθούμενοι καὶ τῷ ναῷ προσφεύγοντες· ἦν δὲ οὔτε νηπίων οὔτε γηραιῶν ἔλεος οὔτε ἀσθενείας γυναικῶν, ἀλλὰ καίτοι γε περιπέμποντος τοῦ βασιλέως καὶ φείδεσθαι παρακαλοῦντος οὐδεὶς ἐκράτησε τῆς δεξιᾶς, ἀλλ' ὥσπερ μεμηνότες πᾶσαν ἡλικίαν ἐπεξῄεσαν. ἔνθα καὶ Ἀντίγονος, μήτε τῆς πάλαι μήτε τῆς τότε τύχης ἔννοιαν λαβών, κάτεισι μὲν ἀπὸ τῆς βάρεως, προσπίπτει δὲ τοῖς Σοσσίου ποσί. κἀκεῖνος μηδὲν αὐτὸν οἰκτείρας πρὸς τὴν μεταβολήν, ἐπεγέλασέ τε ἀκρατῶς καὶ Ἀντιγόνην ἐκάλεσεν. οὐ μὴν ὡς γυναϊκά γε καὶ φρουρᾶς ἐλεύθερον ἀφῆκεν, ἀλλ' ὃ μὲν δεθεὶς ἐφυλάττετο.

3 πρόνοια δὲ ἦν Ἡρώδῃ κρατοῦντι τῶν πολεμίων τότε κρατῆσαι καὶ τῶν ἀλλοφύλων συμμάχων· ὥρμητο γὰρ τὸ ξενικὸν πλῆθος ἐπὶ θέαν τε τοῦ ἱεροῦ καὶ τῶν κατὰ τὸν ναὸν ἁγίων. ὁ δὲ βασιλεὺς τοὺς μὲν παρακαλῶν, τοῖς δὲ ἀπειλούμενος, ἔστι δὲ οὓς καὶ τοῖς ὅπλοις ἀνέστελλεν, ἤττης χαλεπωτέραν τὴν νίκην ὑπολαμβά-

Digitized by Google

νων, εἴ τι τῶν ἀθεάτων παρ' αὐτῶν ὀφθείη. διεκώλυσε δὲ ἤδη καὶ τὰς κατὰ τὴν πόλιν ἁρπαγάς, πολλὰ διατεινάμενος πρὸς Σόσσιον, εἰ χρημάτων τε καὶ ἀνδρῶν τὴν πόλιν Ῥωμαῖοι κενώσαντες καταλείψουσιν αὐτὸν ἐρημίας βασιλέα, καὶ ὡς ἐπὶ τοσούτων πολιτῶν φόνῳ βραχὺ καὶ τὴν τῆς οἰκουμένης ἡγεμονίαν ἀντάλλαγμα κρίνοι. τοῦ δὲ ἀντὶ τῆς πολιορκίας τὰς ἁρπαγὰς δικαίως τοῖς στρατιώταις ἐπιτρέπειν φαμένου, αὐτὸς ἔφη διανεμεῖν ἐκ τῶν ἰδίων χρημάτων τοὺς μισθοὺς ἑκάστοις. οὕτω τε τὴν λοιπὴν ἐξωνησάμενος πατρίδα, τὰς ὑποσχέσεις ἐπλήρωσε· λαμπρῶς μὲν γὰρ ἕκαστον στρατιώτην, ἀναλόγως δὲ τοὺς ἡγεμόνας, βασιλικώτατα δὲ αὐτὸν ἐδωρήσατο Σόσσιον, ὡς μηδένα χρημάτων ἀπελθεῖν δεόμενον. Σόσσιος δὲ χρυσοῦν ἀναθεὶς τῷ θεῷ στέφανον ἀνέζευξεν ἀπὸ Ἱεροσολύμων, ἄγων δεσμώτην Ἀντίγονον Ἀντωνίῳ.

τοῦτον μὲν οὖν, φιλοψυχήσαντα μέχρις ἐσχάτου διὰ ψυχρᾶς ἐλπίδος, ἄξιος τῆς ἀγεννείας πέλεκυς ἐκδέχεται· βασιλεὺς δὲ Ἡρώδης διακρίνας τὸ κατὰ τὴν πόλιν 4
πλῆθος, τοὺς μὲν τὰ αὐτοῦ φρονήσαντας εὐνουστέρους ταῖς τιμαῖς καθίστατο, τοὺς δὲ Ἀντιγονείους ἀνῄρει. καὶ κατὰ σπάνιν ἤδη χρημάτων ὅσον εἶχε κόσμον κατανομιστεύσας, Ἀντωνίῳ καὶ τοῖς περὶ αὐτὸν ἀνέπεμψεν. οὐ μὴν εἰσάπαξ ἐξωνήσατο τὸ μηδὲν παθεῖν· ἤδη γὰρ Ἀντώνιος τῷ Κλεοπάτρας ἔρωτι διεφθαρμένος ἥττων ἦν ἐν πᾶσι τῆς ἐπιθυμίας, Κλεοπάτρα δὲ διεξελθοῦσα τὴν γενεὰν τὴν ἑαυτῆς ὡς μηδένα τῶν ἀφ' αἵματος ὑπολιπέσθαι, τὸ λοιπὸν περὶ τοὺς ἔξωθεν ἐφόνα, καὶ τοὺς ἐν τέλει Σύρων διαβάλλουσα πρὸς τὸν Ἀντώνιον ἀναιρεῖν ἔπειθεν, ὡς ἂν τῶν κτήσεων ἑκάστου ῥᾳδίως γενομένη δεσπότις. ἔτι δὲ ἐκτείνουσα τὴν πλεονεξίαν ἐπὶ Ἰουδαίους καὶ Ἄραβας, ὑπειργάζετο τοὺς ἑκατέρων βασιλεῖς Ἡρώδην καὶ Μάλιχον ἀναιρεθῆναι.

Digitized by Google

μέχρι γοῦν τῶν προσταγμάτων ἐπινεύσας Ἀντώνιος τὸ κτεῖναι μὲν ἄνδρας ἀγαθοὺς καὶ βασιλεῖς τηλικούτους ἀνόσιον ἡγεῖτο, τὸ δὲ τούτων ἔγγιον φίλος εἶναι διεκρούσατο. πολλὰ δὲ τῆς χώρας αὐτῶν ἀποτεμόμενος, καὶ δὴ καὶ τὸν ἐν Ἰεριχοῦντι φοινικῶνα, ἐν ᾧ γεννᾶται τὸ βάλσαμον, δίδωσιν αὐτῇ, πόλεις τε, πλὴν Τύρου καὶ Σιδῶνος, τὰς ἐντὸς Ἑλευθέρου ποταμοῦ πάσας. ὧν γενομένη κυρία, καὶ προπέμψασα μέχρις Εὐφράτου τὸν Ἀντώνιον ἐπιστρατεύοντα Πάρθοις, ἦκεν εἰς Ἰουδαίαν δι' Ἀπαμείας καὶ Λαμασκοῦ. κἀνταῦθα μεγάλαις μὲν αὐτῆς τὴν δυσμένειαν δωρεαῖς Ἡρῴδης ἐκμειλίσσεται, μισθοῦται δὲ καὶ τὰ τῆς βασιλείας ἀπορραγέντα χωρία διακοσίων ταλάντων εἰς ἕκαστον ἐνιαυτόν, προπέμπει δὲ αὐτὴν μέχρι Πηλουσίου, πάσῃ θεραπείᾳ καταχρώμενος. καὶ μετ' οὐ πολὺ παρῆν ἐκ Πάρθων Ἀντώνιος, ἄγων αἰχμάλωτον Ἀρταβάζην τὸν Τιγράνου παῖδα, δῶρον Κλεοπάτρᾳ· μετὰ γὰρ τῶν χρημάτων καὶ τῆς λείας ἁπάσης ὁ Πάρθος εὐθὺς αὐτῇ ἐχαρίσθη.

19 τοῦ δὲ Ἀκτιακοῦ πολέμου συνερρωγότος παρεσκεύαστο μὲν Ἡρῴδης Ἀντωνίῳ συνεξορμᾶν, ὡς ἤδη τῶν τε ἄλλων τῶν κατὰ Ἰουδαίαν ἀπηλλαγμένος θορύβων, καὶ κεκρατηκὼς Τρκανίας, ὃ δὴ χωρίον ἡ Ἀντιγόνου κατεῖχεν ἀδελφή. διεκλείσθη γε μὴν πανούργως ὑπὸ τῆς Κλεοπάτρας συμμετασχεῖν τῶν κινδύνων Ἀντωνίῳ· τοῖς γὰρ βασιλεῦσιν, ὡς ἔφαμεν, ἐπιβουλεύουσα, πείθει τὸν Ἀντώνιον Ἡρῴδῃ ἐμπιστεῦσαι τὸν πρὸς Ἄραβας πόλεμον, ἵν' ἢ κρατήσαντος Ἀραβίας ἢ κρατηθέντος Ἰουδαίας γένηται δεσπότις, καὶ θατέρῳ τῶν δυναστῶν καταλύσῃ τὸν ἕτερον.

2 ἔρρεψε μέντοι καθ' Ἡρῴδην τὸ βούλευμα. πρῶτον μὲν γὰρ ῥύσια πολεμίων ἄγων καὶ πολὺ συγκροτήσας ἱππικὸν ἐπαφίησιν αὐτοῖς περὶ Διόσπολιν, ἐκρά-

Digitized by Google

τηδέ τε καίτοι καρτερῶς ἀντιπαραταξαμένων. πρὸς δὲ τὴν ἧτταν γίνεται μέγα κίνημα τῶν Ἀράβων· καὶ συναθροισθέντες εἰς Κάναθα τῆς Κοίλης Συρίας ἄπειροι τὸ πλῆθος τοὺς Ἰουδαίους ἔμενον. ἔνθα μετὰ τῆς δυνάμεως Ἡρώδης ἐπελθὼν ἐπειρᾶτο προμηθέστερον ἀφηγεῖσθαι τοῦ πολέμου, καὶ στρατόπεδον ἐκέλευσε τειχίζειν. οὐ μὴν ὑπήκουσε τὸ πλῆθος, ἀλλὰ τῇ προτέρᾳ νίκῃ τεθαρρηκότες ὥρμησαν ἐπὶ τοὺς Ἄραβας, καὶ πρὸς τὴν πρώτην ἐμβολὴν τραπέντας ἐδίωκον. ἐπιβουλεύεται δὲ Ἡρώδης ἐν τῇ διώξει, τοὺς ἐκ τῶν Κανάθων ἐπιχωρίους ἀνέντος Ἀθηνίωνος, ὃς ἦν αὐτῷ τῶν Κλεοπάτρας στρατηγῶν ἀεὶ διάφορος. πρὸς γὰρ τὴν τούτων ἐπίθεσιν ἀναθαρρήσαντες οἱ Ἄραβες ἐπιστρέφονται, καὶ συνάψαντες τὸ πλῆθος περὶ πετρώδη καὶ δύσβατα χωρία τρέπονται τοὺς Ἡρώδου, πλεῖστόν τε αὐτῶν φόνον εἰργάσαντο. οἱ δὲ διασωθέντες ἐκ τῆς μάχης εἰς Ὄρμιζα καταφεύγουσιν, ὅπου καὶ τὸ στρατόπεδον αὐτῶν περισχόντες αὖτανδρον εἷλον οἱ Ἄραβες. μετ' οὐ πολὺ δὲ τῆς συμφορᾶς βοήθειαν ἄγων Ἡρώδης καρᾷ τῆς χρείας ὕστερος.

ταύτης τῆς πληγῆς αἴτιον αὐτῷ τὸ τῶν ταξιαρχῶν ἀπειθὲς κατέστη· μὴ γὰρ ἐξαπιναίου τῆς συμβολῆς γενομένης, οὐκ ἂν Ἀθηνίων εὗρε καιρὸν ἐπιβουλῆς. ἐτιμωρήσατο μέντοι τοὺς Ἄραβας αὖθις ἀεὶ τὴν χώραν κατατρέχων, ὡς ἀνακαλέσασθαι τὴν μίαν αὐτοῖς νίκην πολλάκις. ἀμυνομένῳ δὲ τοὺς ἐχθροὺς ἐπιπίπτει συμφορὰ δαιμόνιος ἄλλη, κατ' ἔτος μὲν τῆς βασιλείας ἕβδομον, ἀκμάζοντος δὲ τοῦ περὶ Ἄκτιον πολέμου. ἀρχομένου γὰρ ἔαρος ἡ γῆ σεισθεῖσα βοσκημάτων μὲν πλῆθος ἄπειρον ἀνθρώπων δὲ τρεῖς διέφθειρε μυριάδας. τὸ δὲ στρατιωτικὸν ἔμεινεν ἀβλαβές· ὕπαιθρον γὰρ ηὐλίζετο. κἀν τούτῳ τοὺς Ἄραβας ἐπὶ

Digitized by Google

μεῖζον θάρσος ἦρεν ἡ φήμη, προσλογοποιοῦσα τοῖς σκυθρωποῖς ἀεί τι χαλεπώτερον ὡς πάσης Ἰουδαίας κατερριμμένης. οἰηθέντες γοῦν ἐρήμου τῆς χώρας κρατήσειν ὥρμησαν εἰς αὐτήν, προθυσάμενοι τοὺς πρέσβεις οἳ παρὰ Ἰουδαίων ἔτυχον ἥκοντες πρὸς αὐτούς. πρὸς δὲ τὴν ἐμβολὴν καταπλαγὲν τὸ ἔθνος καὶ μεγέθει συμφορῶν ἐπαλλήλων ἔκλυτον συναγαγὼν Ἡρώδης ἐπειρᾶτο παρορμᾶν ἐπὶ τὴν ἄμυναν, λέγων τοιάδε.

4 "παραλογώτατά μοι δοκεῖ τὸ παρὸν ὑμῶν καθάπτεσθαι δέος. πρὸς μέν γε τὰς δαιμονίους πληγὰς ἀθυμεῖν εἰκὸς ἦν· τὸ δ' αὐτὸ καὶ πρὸς ἀνθρωπίνην ἔφοδον πάσχειν ἀνάνδρων. ἐγὼ γὰρ τοσοῦτον ἀποδέω κατεπτηχέναι τοὺς πολεμίους μετὰ τὸν σεισμὸν ὥσθ' ὑπολαμβάνειν τὸν θεὸν Ἄραψι δέλεαρ τοῦτο καθεῖναι τοῦ δοῦναι δίκας ἡμῖν· οὐ γὰρ τοσοῦτον ὅπλοις ἢ χερσὶ πεποιθότες ὅσον ταῖς αὐτομάτοις ἡμῶν συμφοραῖς ἦκον· σφαλερὰ δὲ ἐλπὶς οὐκ ἐξ ἰδίας ἰσχύος ἀλλ' ἐξ ἀλλοτρίας ἠρτημένη κακοπραγίας. οὔτε δὲ τὸ δυστυχεῖν οὔτε τὸ ἐναντίον ἐν ἀνθρώποις βέβαιον, ἀλλ' ἔστιν ἰδεῖν ἐπαμειβομένην εἰς ἑκάτερον τὴν τύχην. καὶ τοῦτο μάθοιτε ἂν ἐξ οἰκείων ὑποδειγμάτων. τῇ γοῦν προτέρᾳ μάχῃ κρατούντων ἐκράτησαν ἡμῶν οἱ πολέμιοι, καὶ κατὰ τὸ εἰκὸς νῦν ἁλώσονται κρατήσειν δοκοῦντες. τὸ μὲν γὰρ ἄγαν πεποιθὸς ἀφύλακτον, οἱ φόβοι δὲ διδάσκουσι προμήθειαν· ὥστε ἔμοιγε κἀκ τοῦ δεδοικότος ὑμῶν παρίστασθαι θαρρεῖν. ὅτε γὰρ ἐθρασύνεσθε πέρα τοῦ δέοντος κατὰ τῶν ἐχθρῶν, παρὰ τὴν ἐμὴν γνώμην ἐξορμήσαντες, καιρὸν ἔσχεν ἡ Ἀθηνίωνος ἐνέδρα· νυνὶ δὲ ὁ ὄκνος ὑμῶν καὶ τὸ δοκοῦν ἄθυμον ἀσφάλειαν ἐμοὶ νίκης ἐγγυᾶται. χρὴ μέντοι μέχρι τοῦ μέλλειν οὕτως ἔχειν, ἐν δὲ τοῖς ἔργοις ἐγεῖραι τὰ φρονήματα καὶ πεῖσαι τοὺς ἀσεβεστά-

Digitized by Google

τους ὡς οὔτε ἀνθρώπειόν τι κακὸν οὔτε δαιμόνιόν ποτε ταπεινώσει τὴν Ἰουδαίων ἀνδραγαθίαν, ἐφ' ὅσον τὰς ψυχὰς ἔχουσιν, οὐδὲ περιόψεταί τις Ἄραβα τῶν ἑαυτοῦ ἀγαθῶν δεσπότην γενόμενον, ὃν παρὰ λόγον πολλάκις αἰχμάλωτον ἔλαβεν. μηδὲ ὑμᾶς ταρασσέτω τὰ τῶν ἀψύχων κινήματα, μηδὲ ὑπολαμβάνετε τὸν σεισμὸν ἑτέρας συμφορᾶς ἕτερον γεγονέναι σημεῖον· φυσικὰ γὰρ τὰ τῶν στοιχείων πάθη, καὶ οὐδὲν ἀνθρώποις πλέον ἢ τὴν ἐν αὐτοῖς βλάβην ἐπιφέρει. λοιμοῦ μὲν γὰρ καὶ λιμοῦ καὶ τῶν χθονίων βρασμῶν προγένοιτο ἄν τι σημεῖον βραχύτερον· αὐτὰ δὲ ταῦτα περιγραφὴν ἔχει τὸ μέγεθος. ἐπεὶ τί δύναται τοῦ σεισμοῦ μεῖζον ἡμᾶς βλάψαι καὶ κρατήσας ὁ πόλεμος; τέρας μέντοι μέγιστον ἀλώσεως γέγονε τοῖς ἐχθροῖς, οὐκ αὐτομάτως οὐδὲ διὰ χειρὸς ἀλλοτρίας, οἳ πρέσβεις ἡμετέρους παρὰ τὸν πάντων ἀνθρώπων νόμον ὠμῶς ἀπέκτειναν, καὶ τοιαῦτα τῷ θεῷ θύματα περὶ τοῦ πολέμου κατέστεψαν. ἀλλ' οὐ διαφεύξονται τὸν μέγαν ὀφθαλμὸν αὐτοῦ καὶ τὴν ἀνίκητον δεξιάν, δώσουσι δὲ ἡμῖν αὐτίκα δίκας, ἄν τι τοῦ πατρίου φρονήματος ἕνεκεν σπεύσαντες τιμωροὶ τῶν παρεσπονδημένων ἀναφανῶμεν. ἴτω τις οὐχ ὑπὲρ γυναικὸς οὐδὲ τέκνων οὐδ' ὑπὲρ κινδυνευούσης πατρίδος, ἀλλ' ὑπὲρ τῶν πρέσβεων ἀμυνόμενος. ἐκεῖνοι στρατηγοῦσι τοῦ πολέμου τῶν ζώντων ἡμῶν ἄμεινον. προκινδυνεύσω δὲ κἀγὼ χρώμενος ὑμῖν πειθηνίοις· εὖ γὰρ ἴστε τὴν ἑαυτῶν ἀνδρείαν ἀνυπόστατον, ἐὰν μὴ προπετείᾳ τινὶ βλαβῆτε."

τούτοις παρακροτήσας τὸν στρατόν, ὡς ἑώρα προθύμους, ἔθυε τῷ θεῷ, καὶ μετὰ τὴν θυσίαν διέβαινε τὸν Ἰορδάνην ποταμὸν μετὰ τῆς δυνάμεως. στρατοπεδευσάμενος δὲ περὶ Φιλαδέλφειαν, ἐγγὺς τῶν πολεμίων,

Digitized by Google

περὶ τοῦ μεταξὺ φρουρίου πρὸς αὐτοὺς ἠκροβολίζετο, βουλόμενος ἐν τάχει συμβαλεῖν· ἔτυχον γὰρ κἀκεῖνοί τινας προπεπομφότες τοὺς καταληψομένους τὸ ἔρυμα. τούτους μὲν οὖν ἀπεκρούσαντο ταχέως οἱ πεμφθέντες ὑπὸ τοῦ βασιλέως, καὶ τὸν λόφον κατέσχον· αὐτὸς δὲ καθ' ἡμέραν προάγων τὴν δύναμιν εἰς μάχην παρέτασσε, καὶ προυκαλεῖτο τοὺς Ἄραβας. ὡς δὲ οὐδεὶς ἐπεξῄει (δεινὴ γάρ τις αὐτοὺς κατάπληξις εἶχε, καὶ πρὸ τοῦ πλήθους ὁ στρατηγὸς Ἔλθεμος αὖος ἦν τῷ δέει), προσελθὼν ἐσπάρασσεν αὐτῶν τὸ χαράκωμα. κἂν τούτῳ συναναγκασθέντες ἐξίασιν ἐπὶ τὴν μάχην ἄτακτοι καὶ πεφυρμένοι τοῖς ἱππεῦσιν οἱ πεζοί. πλήθει μὲν οὖν τῶν Ἰουδαίων περιῆσαν, ἐλείποντο δὲ ταῖς προθυμίαις· καίτοι διὰ τὴν ἀπόγνωσιν τῆς νίκης ἦσαν καὶ αὐτοὶ παράβολοι. διὸ μέχρι μὲν ἀντεῖχον, οὐ πολὺς ἦν αὐτῶν φόνος· ὡς δὲ ὑπέδειξαν αὐτῶν τὰ νῶτα, πολλοὶ μὲν ὑπὸ τῶν Ἰουδαίων πολλοὶ δὲ ὑπὸ σφῶν αὐτῶν συμπατούμενοι διεφθείροντο. πεντακισχίλιοι γοῦν ἔπεσον ἐν τῇ τροπῇ, τὸ δὲ λοιπὸν πλῆθος ἔφθη συνωσθὲν εἰς τὸ χαράκωμα. τούτους περισχὼν ἐπολιόρκει· καὶ μέλλοντας ἁλώσεσθαι τοῖς ὅπλοις προκατήπειγεν ἡ δίψα, τῶν ὑδάτων ἐπιλιπόντων. ὑπερηφάνει δὲ πρεσβευομένους ὁ βασιλεύς, καὶ λύτρα διδόντων πεντακόσια τάλαντα μᾶλλον ἐνέκειτο. τοῦ δὲ δίψους ἐκκαίοντος, ἐξιόντες κατὰ πλῆθος ἐνεχείριζον σφᾶς αὐτοὺς τοῖς Ἰουδαίοις ἑκόντες, ὡς πέντε μὲν ἡμέραις τετρακισχιλίους θεθῆναι, τῇ δὲ ἕκτῃ τὸ λειπόμενον πλῆθος ὑπ' ἀπογνώσεως ἐξελθεῖν ἐπὶ μάχην. οἷς συμβαλὼν Ἡρώδης πάλιν εἰς ἑπτακισχιλίους κτείνει. τηλικαύτῃ δὲ πληγῇ τὴν Ἀραβίαν ἀμυνάμενος καὶ σβέσας τῶν ἀνδρῶν τὰ φρονήματα προύκοψεν ὥστε καὶ προστάτης ὑπὸ τοῦ ἔθνους αἱρεθῆναι.

Digitized by Google

μεταλαμβάνει δὲ αὐτὸν εὐθέως ἡ περὶ τῶν ὅλων πραγμάτων φροντὶς διὰ τὴν πρὸς Ἀντώνιον φιλίαν, Καίσαρος ἤδη περὶ Ἄκτιον νενικηκότος. παρεῖχε μέντοι δέους πλέον ἢ ἔπασχεν. οὔπω γὰρ ἐαλωκέναι Καίσαρ Ἀντώνιον ἔκρινεν, Ἡρώδου συμμένοντος. ὅ γε μὴν βασιλεὺς ὁμόσε χωρῆσαι τῷ κινδύνῳ διέγνω· καὶ πλεύσας εἰς Ῥόδον ἔνθα διέτριβε Καῖσαρ, πρόσεισιν αὐτῷ δίχα διαδήματος, τὴν μὲν ἐσθῆτα καὶ τὸ σχῆμα ἰδιώτης, τὸ δὲ φρόνημα βασιλεύς. μηδὲν γοῦν τῆς ἀληθείας ὑποστειλάμενος ἄντικρυς εἶπεν "ἐγώ, Καῖσαρ, ὑπ' Ἀντωνίου τῶν Ἰουδαίων βασιλεὺς γενόμενος, ἐν πᾶσιν ὁμολογῶ γεγονέναι βασιλεὺς χρήσιμος Ἀντωνίῳ. καὶ οὐδὲ τοῦτο ἂν ὑπεστειλάμην εἰπεῖν, ὅτι πάντως ἄν με μετὰ τῶν ὅπλων ἐπείρασας, εἰ μὴ διεκώλυσαν Ἄραβες. καὶ συμμαχίαν μέντοι γε αὐτῷ κατὰ τὸ δυνατὸν καὶ σίτου πολλὰς ἔπεμψα μυριάδας. ἀλλ' οὐδὲ μετὰ τὴν ἐν Ἀκτίῳ πληγὴν κατέλιπον τὸν εὐεργέτην, ἐγενόμην δὲ σύμβουλος ἄριστος, ὡς οὐκέτι χρήσιμος ἤμην σύμμαχος, μίαν εἶναι λέγων τῶν πταισθέντων διόρθωσιν, τὸν Κλεοπάτρας θάνατον, ἣν ἀνελόντι καὶ χρήματα καὶ τείχη πρὸς ἀσφάλειαν καὶ στρατιὰν καὶ ἐμαυτὸν ὑπισχνούμην κοινωνὸν τοῦ πρὸς σὲ πολέμου. τοῦ δὲ ἄρα τὰς ἀκοὰς ἀπέφραξαν οἱ Κλεοπάτρας ἵμεροι καὶ θεὸς ὁ σοὶ τὸ κρατεῖν χαρισάμενος. συννήττημαι δὴ Ἀντωνίῳ, καὶ τέθεικα μετὰ τῆς ἐκείνου τύχης τὸ διάδημα. πρὸς σὲ δὲ ἦλθον ἔχων τὴν ἀρετὴν τῆς σωτηρίας ἐλπίδα, καὶ προύλαβον ἐξετασθήσεσθαι ποταπὸς φίλος, οὐ τίνος ἐγενόμην."

πρὸς ταῦτα Καῖσαρ "ἀλλὰ σώζου γε" ἔφη "καὶ βασίλευε νῦν βεβαιότερον· ἄξιος γὰρ εἶ πολλῶν ἄρχειν, οὕτω φιλίας προϊστάμενος. πειρῶ δὲ καὶ τοῖς εὐτυχεστέροις διαμένειν πιστός· ὡς ἔγωγε λαμπροτάτας ὑπὲρ τοῦ σοῦ

Digitized by Google

φρονήματος ἐλπίδας ἔχω. καλῶς μέντοι γε ἐποίησεν Ἀντώνιος Κλεοπάτρᾳ πεισθεὶς μᾶλλον ἢ σοί· καὶ γὰρ σὲ κεκερδήκαμεν ἐκ τῆς ἀνοίας αὐτοῦ. κατάρχεις δέ, ὡς ἔοικεν, εὐποιίας· διό μοι γράφει Κύιντος Δίδιος συμμαχίαν σε πεπομφέναι πρὸς τοὺς μονομάχους αὐτῷ. νῦν μὲν οὖν δόγματι τὸ βέβαιόν σοι τῆς βασιλείας ἐξαγγέλλω· πειράσομαι δὲ καὶ αὖθις ἀγαθόν σέ τι ποιεῖν, ὡς μὴ ζητοίης Ἀντώνιον."

3 τούτοις φιλοφρονησάμενος τὸν βασιλέα, καὶ περιθεὶς αὐτῷ τὸ διάδημα, δόγματι διεσήμαινε τὴν δωρεάν, ἐν ᾧ πολλὰ μεγαλοφρόνως εἰς ἔπαινον τοῦ ἀνδρὸς ἐφθέγξατο. ὁ δὲ δώροις ἐπιμειλιξάμενος αὐτὸν ἐξῃτεῖτό τινα τῶν Ἀντωνίου φίλων Ἀλέξανδρον, ἱκέτην γενόμενον· ἐνίκα δὲ ἡ Καίσαρος ὀργή, πολλὰ καὶ χαλεπὰ μεμφομένου τὸν ἐξαιτούμενον, οἷς διεκρούσατο τὴν δέησιν. μετὰ δὲ ταῦτα πορευόμενον ἐπ' Αἴγυπτου διὰ Συρίας Καίσαρα παντὶ τῷ βασιλικῷ πλούτῳ δεξάμενος Ἡρώδης τότε πρῶτον καὶ συνιππάσατο ποιουμένῳ περὶ Πτολεμαΐδα τῆς δυνάμεως ἐξέτασιν, εἰστίασέ τε σὺν ἅπασι τοῖς φίλοις· μεθ' οὓς καὶ τῇ λοιπῇ στρατιᾷ πρὸς εὐωχίαν πάντα διέδωκε. προυνόησε δὲ καὶ διὰ τῆς ἀνύδρου πορευομένοις μέχρι Πηλουσίου παρασχεῖν ὕδωρ ἄφθονον, ἐπανιοῦσί τε ὁμοίως· οὐδὲ ἔστιν ὅ τι τῶν ἐπιτηδείων ἐνεδέησε τῇ δυνάμει. δόξα γοῦν αὐτῷ τε Καίσαρι καὶ τοῖς στρατιώταις παρέστη, πολλῷ βραχυτέραν Ἡρώδῃ περιεῖναι βασιλείαν πρὸς ἃ παρέσχεν. διὰ τοῦτο, ὡς ἦκεν εἰς Αἴγυπτον, ἤδη Κλεοπάτρας καὶ Ἀντωνίου τεθνεώτων, οὐ μόνον αὐτοῦ ταῖς ἄλλαις τιμαῖς, ἀλλὰ καὶ τῇ βασιλείᾳ προσέθηκε τήν τε ὑπὸ Κλεοπάτρας ἀποτμηθεῖσαν χώραν καὶ ἔξωθεν Γάδαρα καὶ Ἵππον καὶ Σαμάρειαν, πρὸς δὲ τούτοις τῶν παραλίων Γάζαν καὶ Ἀνθηδόνα καὶ Ἰόπην καὶ πύργον Στράτωνος. ἐδωρή-

Digitized by Google

σατο δὲ αὐτῷ καὶ πρὸς φυλακὴν τοῦ σώματος τετρακοσίους Γαλάτας, οἳ πρότερον ἐδορυφόρουν Κλεοπάτραν. οὐδὲν δὲ οὕτως ἐνῆγεν αὐτὸν εἰς τὰς δωρεὰς ὡς τὸ μεγαλόφρον τοῦ λαμβάνοντος.

μετὰ δὲ τὴν πρώτην Ἀκτιάδα προστίθησιν αὐτοῦ τῇ 4
βασιλείᾳ τόν τε Τράχωνα καλούμενον καὶ τὴν προσεχῆ Βαταναίαν τε καὶ Αὐρανῖτιν χώραν ἐξ αἰτίας τοιᾶσδε. Ζηνόδωρος ὁ τὸν Λυσανίου μεμισθωμένος οἶκον οὐ διέλειπεν ἐπαφεὶς τοὺς ἐκ τοῦ Τράχωνος λῃστὰς Δαμασκηνοῖς. οἳ δὲ ἐπὶ Ὄαρρωνα τὸν ἡγεμόνα τῆς Συρίας καταφυγόντες ἐδεήθησαν δηλῶσαι τὴν συμφορὰν αὐτῶν Καίσαρι. Καῖσαρ δὲ γνοὺς ἀντεπέστελλεν ἐξαιρεθῆναι τὸ ληστήριον. στρατεύσας οὖν Ὄαρρων ἐκάθηρέ τε τῶν ἀνδρῶν τὴν γῆν καὶ ἀφαιρεῖται Ζηνόδωρον, ἣν ὕστερον Καῖσαρ, ὡς μὴ γένοιτο πάλιν ὁρμητήριον τοῖς λῃσταῖς ἐπὶ τὴν Δαμασκόν, Ἡρῴδῃ δίδωσιν. κατέστησε δὲ αὐτὸν καὶ Συρίας ὅλης ἐπίτροπον, ἔτει δεκάτῳ πάλιν ἐλθὼν εἰς τὴν ἐπαρχίαν, ὡς μηδὲν ἐξείη δίχα τῆς ἐκείνου συμβουλίας τοῖς ἐπιτρόποις διοικεῖν. ἐπεὶ δὲ τελευτᾷ Ζηνόδωρος, προσένειμεν αὐτῷ καὶ τὴν μεταξὺ Τράχωνος καὶ τῆς Γαλιλαίας γῆν ἅπασαν. ὃ δὲ τούτων Ἡρῴδῃ μεῖζον ἦν, ὑπὸ μὲν Καίσαρος ἐφιλεῖτο μετ' Ἀγρίππαν, ὑπ' Ἀγρίππα δὲ μετὰ Καίσαρα. ἔνθεν ἐπὶ πλεῖστον μὲν εὐδαιμονίας προύκοψεν, εἰς μεῖζον δὲ ἐξήρθη φρόνημα, καὶ τὸ πλέον τῆς μεγαλονοίας ἐπέτεινεν εἰς εὐσέβειαν.

πεντεκαιδεκάτῳ γοῦν ἔτει τῆς βασιλείας αὐτόν τε 21
τὸν ναὸν ἐπεσκεύασε, καὶ τὴν περὶ αὐτὸν ἀνετειχίσατο χώραν τῆς οὔσης διπλασίαν, ἀμέτροις μὲν χρησάμενος τοῖς ἀναλώμασιν, ἀνυπερβλήτῳ δὲ τῇ πολυτελείᾳ. τεκμήριον δὲ ἦσαν αἱ μεγάλαι στοαὶ περὶ τὸ ἱερὸν καὶ τὸ βόρειον ἐπ' αὐτῷ φρούριον· ἃς μὲν γὰρ ἀνῳκοδόμησεν ἐκ

Digitized by Google

Θεμελίων, τὸ δὲ ἐπεσκεύασε πλούτῳ δαφιλεῖ, κατ' οὐδὲν τῶν βασιλείων ἔλαττον· ὃ Ἀντωνίαν ἐκάλεσεν εἰς τὴν Ἀντωνίου τιμήν. τό γε μὴν ἑαυτοῦ βασίλειον κατὰ τὴν ἄνω δειμάμενος πόλιν, δύο τοὺς μεγίστους καὶ περικαλλεστάτους οἴκους, οἷς οὐδ' ὁ ναός πῃ συνεκρίνετο, προσηγόρευσεν ἀπὸ τῶν φίλων, τὸν μὲν Καισάρειον τὸν δὲ Ἀγρίππειον.

2 ἀλλὰ γὰρ οὐκ οἴκοις μόνον τὴν μνήμην αὐτῶν καὶ τὰς ἐπικλήσεις περιέγραψε, διέβη δὲ εἰς ὅλας πόλεις αὐτῷ τὸ φιλότιμον. ἐν μέν γε τῇ Σαμαρείτιδι πόλιν καλλίστῳ περιβόλῳ τειχισάμενος ἐπὶ σταδίους εἴκοσι, καὶ καταγαγὼν ἑξακισχιλίους εἰς αὐτὴν οἰκήτορας, γῆν τε τούτοις προσνείμας λιπαρωτάτην, καὶ ἐν μέσῳ τῷ κτίσματι ναόν τε ἐνιδρυσάμενος τῷ Καίσαρι μέγιστον καὶ περὶ αὐτὸν τέμενος ἀποδείξας τριῶν ἡμισυ σταδίων, τὸ ἄστυ Σεβαστὴν ἐκάλεσεν. ἑξαίρετον δὲ τοῖς ἐν αὐτῷ παρέσχεν εὐνομίαν.

3 ἐπὶ τούτοις δωρησαμένου τοῦ Καίσαρος αὐτὸν ἑτέρας προσθέσει χώρας, ὃ δὲ κἀν ταύτῃ ναὸν αὐτῷ λευκῆς μαρμάρου καθιδρύσατο παρὰ τὰς Ἰορδάνου πηγάς· καλεῖται δὲ Πάνειον ὁ τόπος. ἔνθα καὶ κορυφὴ μέν τις ὄρους εἰς ἄπειρον ὕψος ἀνατείνεται, παρὰ δὲ τὴν ὑπώρειον λαγόνα συνηρεφὲς ἄντρον ὑπανοίγει, δι' οὗ βαραθρώδης κρημνὸς εἰς ἀμέτρητον ἀπορρῶγα βαθύνεται, πλήθει τε ὕδατος ἀσαλεύτου, καὶ τοῖς καθιεμῶσί τι πρὸς ἔρευναν γῆς οὐδὲν μῆκος ἐξαρκεῖ. τοῦ δὲ ἄντρου κατὰ τὰς ἔξωθεν ῥίζας ἀνατέλλουσιν αἱ πηγαί· καὶ γένεσις μέν, ὡς ἔνιοι δοκοῦσιν, ἔνθεν Ἰορδάνου, τὸ δὲ ἀκριβὲς ἐν τοῖς ἑξῆς δηλώσομεν.

4 ὁ δὲ βασιλεὺς καὶ ἐν Ἰεριχοῖ μεταξὺ Κύπρου τοῦ φρουρίου καὶ τῶν προτέρων βασιλείων ἄλλα κατασκευασάμενος ἀμείνω καὶ χρησιμώτερα πρὸς τὰς ἐπιδημίας,

Digitized by Google

ἀπὸ τῶν αὐτῶν ὠνόμασε φίλων. καθόλου τε εἰπεῖν, οὐκ ἔστιν ὅντινα τῆς βασιλείας ἐπιτήδειον τόπον τῆς πρὸς Καίσαρα τιμῆς γυμνὸν εἴασεν. ἐπειδὴ δὲ τὴν ἰδίαν χώραν ἐπλήρωσε ναῶν, εἰς τὴν ἐπαρχίαν αὐτοῦ τὰς τιμὰς ὑπερεξέχεε, καὶ πολλαῖς πόλεσιν ἐνιδρύσατο Καισάρεια. κατιδὼν δὲ κἀν τοῖς παραλίοις πόλιν ἤδη μὲν κάμνουσαν (Στράτωνος ἐκαλεῖτο πύργος), διὰ δὲ εὐφυΐαν τοῦ χωρίου δέξασθαι δυναμένην τὸ φιλότιμον αὐτοῦ, πᾶσαν ἀνέκτισε λευκῷ λίθῳ καὶ λαμπροτάτοις ἐκόσμησε βασιλείοις, ἐν ᾗ μάλιστα τὸ φύσει μεγαλόνουν ἐπεδείξατο. μεταξὺ γὰρ Δώρων καὶ Ἰόππης, ὧν ἡ πόλις μέση κεῖται, πᾶσαν εἶναι συμβέβηκε τὴν παραλίαν ἀλίμενον, ὡς πάντα τὸν τὴν Φοινίκην ἐπ' Αἰγύπτου παραπλέοντα σαλεύειν ἐν πελάγει διὰ τὴν ἐκ λιβὸς ἀπειλήν, ᾧ καὶ μετρίως ἐπαυρίζοντι τηλικοῦτον ἐγείρεται κῦμα πρὸς ταῖς πέτραις ὥστε τὴν ὑποστροφὴν τοῦ κύματος ἐπὶ πλεῖστον ἐξαγριοῦν τὴν θάλασσαν. ἀλλ' ὁ βασιλεὺς τοῖς ἀναλώμασι καὶ τῇ φιλοτιμίᾳ νικήσας τὴν φύσιν μείζονα μὲν τοῦ Πειραιέως λιμένα κατεσκεύασεν, ἐν δὲ τοῖς μυχοῖς αὐτοῦ βαθεῖς ὅρμους ἑτέρους. καθ' ἅπαν δὲ ἔχων 6 ἀντιπράσσοντα τὸν τόπον, ἐφιλονείκησε πρὸς τὴν δυσχέρειαν, ὡς τὴν μὲν ὀχυρότητα τῆς δομήσεως δυσάλωτον εἶναι τῇ θαλάσσῃ, τὸ δὲ κάλλος ὡς ἐπὶ μηδενὶ δυσκόλῳ κεκοσμῆσθαι. συμμετρησάμενος γὰρ ὅσον εἰρήκαμεν τῷ λιμένι μέγεθος, καθίει λίθους ἐπ' ὀργυιὰς εἴκοσιν εἰς τὸ πέλαγος, ὧν ἦσαν οἱ πλεῖστοι μῆκος ποδῶν πεντήκοντα, βάθος ἐννέα, εὖρος δέκα· τινὲς δὲ καὶ μείζους. ἐπεὶ δὲ ἀνεπληρώθη τὸ βάθος, οὕτως ἤδη τὸ ὑπερέχον τοῦ πελάγους τεῖχος ἐπὶ διακοσίους πόδας ηὐρύνετο, ὧν οἱ μὲν ἑκατὸν προυδεδόμητο πρὸς τὴν ἀνακοπὴν τοῦ κύματος (προκυμία γοῦν ἐκλήθη), τὸ δὲ λοιπὸν ὑπόκειται τῷ περιθέοντι λιθίνῳ τείχει.

Digitized by Google

τοῦτο δὲ πύργοις διείληπται μεγίστοις, ὧν ὁ προύχων καὶ περικαλλέστατος ἀπὸ τοῦ Καίσαρος προγόνου Δρού-
7 σειον κέκληται. ψαλίδες δὲ πυκναὶ πρὸς καταγωγὴν τῶν ἐνορμιζομένων· καὶ τὸ πρὸ αὐτῶν πᾶν κύκλῳ νάγμα τοῖς ἀποβαίνουσι πλατὺς περίπατος. ὁ δὲ εἴσπλους βό- 5
ρειος (αἰθριώτατος γὰρ ἀνέμων τῷ τόπῳ βορέας), καὶ ἐπὶ τοῦ στόματος κολοσσοὶ τρεῖς ἑκατέρωθεν ὑπεστηριγμένοι κίοσιν, ὧν τοὺς μὲν ἐκ λαιᾶς χειρὸς εἰσπλέοντος πύργος ναστὸς ἀνέχει, τοὺς δὲ ἐκ δεξιοῦ δύο ὀρθοὶ λίθοι συνεζευγμένοι, τοῦ κατὰ θάτερον χείλος πύργου 10
μείζονες. προσεχεῖς δὲ οἰκίαι τῷ λιμένι, λευκοῦ καὶ αὐταὶ λίθου, καὶ κατατείνοντες ἐπ' αὐτὸν οἱ στενωποὶ τοῦ ἄστεος, πρὸς ἓν διάστημα μεμετρημένοι. καὶ τοῦ στόματος ἄντικρυς ναὸς Καίσαρος ἐπὶ γηλόφου, κάλλει καὶ μεγέθει διάφορος· ἐν δὲ αὐτῷ κολοσσὸς Καίσαρος, οὐκ 15
ἀποδέων τοῦ Ὀλυμπίασι Διός, ᾧ καὶ προσείκασται, Ῥώμης δὲ ἴσος Ἥρᾳ τῇ κατ' Ἄργος. ἀνέθηκε δὲ τῇ μὲν ἐπαρχίᾳ τὴν πόλιν, τοῖς ταύτῃ δὲ πλοιζομένοις τὸν λιμένα, Καίσαρι δὲ τὴν τιμὴν τοῦ κτίσματος· Καισάρειαν γοῦν
8 ὠνόμασεν αὐτήν. τά γε μὴν λοιπὰ τῶν ἔργων, ἀμφιθέα- 20
τρον καὶ θέατρον καὶ ἀγοράν, ἄξια τῆς προσηγορίας ἐνιδρύσατο. καὶ πενταετηρικοὺς ἀγῶνας καταστησάμενος ὁμοίως ἐκάλεσεν ἀπὸ τοῦ Καίσαρος, πρῶτος αὐτὸς ἆθλα μέγιστα προθεὶς ἐπὶ τῆς ἑκατοστῆς ἐνενηκοστῆς καὶ δευτέρας ὀλυμπιάδος, ἐν οἷς οὐ μόνον οἱ νικῶντες ἀλλὰ 25
καὶ οἱ μετ' αὐτοὺς καὶ οἱ τρίτοι τοῦ βασιλικοῦ πλούτου μετελάμβανον.

ἀνακτίσας δὲ καὶ Ἀνθηδόνα τὴν παράλιον καταρριφεῖσαν ἐν πολέμοις, Ἀγρίππειον προσηγόρευσεν· τοῦ δὲ αὐτοῦ φίλου δι' ὑπερβολὴν εὐνοίας καὶ ἐπὶ τῆς 30
πύλης ἐχάραξε τὸ ὄνομα, ἣν αὐτὸς ἐν τῷ ναῷ κατεσκεύασεν.

Digitized by Google

φιλοπάτωρ γε μήν, εἰ καί τις ἕτερος. καὶ γὰρ τῷ 9
πατρὶ μνημεῖον κατέστησε πόλιν, ἣν ἐν τῷ καλλίστῳ τῆς
βασιλείας πεδίῳ κτίσας ποταμοῖς τε καὶ δένδρεσι πλου-
σίαν ὠνόμασεν Ἀντιπατρίδα. καὶ τὸ ὑπὲρ Ἰεριχοῦντος
φρούριον ὀχυρότητι καὶ κάλλει διάφορον τειχίσας, ἀνέ-
θηκε τῇ μητρὶ προσειπὼν Κύπρον, Φασαήλῳ δὲ τῷ
ἀδελφῷ τὸν ἐν Ἱεροσολύμοις ὁμώνυμον πύργον, οὗ τό
τε σχῆμα καὶ τὴν ἐν τῷ μεγέθει πολυτέλειαν διὰ τῶν
ἑξῆς δηλώσομεν. καὶ πόλιν ἄλλην κτίσας κατὰ τὸν
ἀπὸ Ἰεριχοῦς ἰόντων αὐλῶνα πρὸς βορέαν Φασαηλίδα
ὠνόμασεν.

παραδοὺς δὲ αἰῶνι τούς τε οἰκείους καὶ φίλους, 10
οὐδὲ τῆς αὐτοῦ μνήμης ἠμέλησεν, ἀλλὰ φρούριον ἐπι-
τειχίσας τῷ πρὸς Ἀραβίαν ὄρει προσηγόρευσεν Ἡρώ-
δειον ἀφ' ἑαυτοῦ. τὸν δὲ μαστοειδῆ κολωνὸν ὄντα χει-
ροποίητον, ἑξηκοντα σταδίων ἄπωθεν Ἱεροσολύμων,
ἐκάλεσε μὲν ὁμοίως, ἐξήσκησε δὲ φιλοτιμότερον. στρογ-
γύλοις μὲν γὰρ τὴν ἄκραν πύργοις περιέσχεν, ἐπλήρωσε
δὲ τὸν περίβολον βασιλείοις πολυτελεστάτοις, ὡς μὴ
μόνον τὴν ἔνδον τῶν οἰκημάτων ὄψιν εἶναι λαμπράν,
ἀλλὰ καὶ τοῖς ἔξωθεν τοίχοις καὶ θριγκοῖς καὶ στέγαις
περικεχύσθαι τὸν πλοῦτον δαψιλῆ. πόρρωθεν δὲ μεγί-
στοις ἀναλώμασιν ὑδάτων πλῆθος εἰσήγαγε, καὶ βαθμοῖς
διακοσίοις λευκοτάτης μαρμάρου τὴν ἄνοδον διέλαβεν·
ἦν γὰρ δὴ τὸ γεώλοφον ἐπιεικῶς ὑψηλὸν καὶ πᾶν χειρο-
ποίητον. κατεσκεύασε δὲ καὶ περὶ τὰς ῥίζας ἄλλα βασί-
λεια, τήν τε ἀποσκευὴν καὶ τοὺς φίλους δέξασθαι δυνά-
μενα, ὥστε τῷ μὲν πάντα ἔχειν πόλιν εἶναι δοκεῖν τὸ
ἔρυμα, τῇ περιγραφῇ δὲ βασίλειον.

τοσαῦτα δ' οὖν κτίσας πλείσταις καὶ τῶν ἔξω πό- 11
λεων τὸ μεγαλόψυχον ἐπεδείξατο, Τριπόλει μὲν καὶ Δα-
μασκῷ καὶ Πτολεμαΐδι γυμνάσια, Βύβλῳ δὲ τεῖχος, ἐξέ-

Digitized by Google

δρας τε καὶ στοὰς καὶ ναοὺς καὶ ἀγορὰς Βηρυτῷ κατασκευάσας καὶ Τύρῳ, Σιδῶνί γε μὴν καὶ Δαμασκῷ θέατρα, Λαοδικεῦσι δὲ τοῖς παραλίοις ὑδάτων εἰσαγωγήν, Ἀσκαλωνίταις δὲ βαλανεῖα καὶ κρήνας πολυτελεῖς, πρὸς δὲ περίστυλα θαυμαστὰ τήν τε ἐργασίαν καὶ τὸ μέγεθος· εἰσὶ δὲ οἷς ἄλση καὶ λειμῶνας ἀνέθηκεν. πολλαὶ δὲ πόλεις, ὥσπερ κοινωνοὶ τῆς βασιλείας, καὶ χώραν ἔλαβον παρ' αὐτοῦ· γυμνασιαρχίας δὲ ἄλλας ἐπετησίους τε καὶ διηνεκέσιν ἐδωρήσατο προσόδοις κατατάξας, ὥσπερ Κῴοις, ἵνα μηδέποτε ἐκλείπῃ τὸ γέρας. σῖτόν γε μὴν πᾶσιν ἐχορήγησε τοῖς δεομένοις, καὶ τῇ Ῥόδῳ χρήματα μὲν εἰς ναυτικοῦ κατασκευὴν παρέσχε πολλαχοῦ καὶ πολλάκις, ἐμπρησθὲν δὲ τὸ Πύθιον ἰδίοις ἀναλώμασιν ἄμεινον ἀνεδείματο. τί δεῖ λέγειν τὰς εἰς Λυκίους ἢ Σαμίους δωρεάς, ἢ τὴν δι' ὅλης τῆς Ἰωνίας, ἐν οἷς ἐδεήθησαν ἕκαστοι, δαψίλειαν; ἀλλ' Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι Νικοπολῖταί τε καὶ τὸ κατὰ Μυσίαν Πέργαμον οὐ τῶν Ἡρώδου γέμουσιν ἀναθημάτων; τὴν δὲ Ἀντιοχέων τῶν ἐν Συρίᾳ πλατεῖαν οὐ φευκτὴν οὖσαν ὑπὸ βορβόρου κατέστρωσέ τε, σταδίων εἴκοσι τὸ μῆκος οὖσαν, ξεστῇ μαρμάρῳ, καὶ πρὸς τὰς ὑετῶν ἀποφυγὰς ἐκόσμησεν ἰσομήκει στοᾷ;

12 ταῦτα μὲν ἄν τις εἴποι ἴδια τῶν εὖ παθόντων δήμων ἑκάστου· τὸ δὲ Ἠλείοις χαρισθὲν οὐ μόνον κοινὸν τῆς Ἑλλάδος ἀλλ' ὅλης τῆς οἰκουμένης δῶρον, εἰς ἣν ἡ δόξα τῶν Ὀλυμπίασιν ἀγώνων διικνεῖται· τούτους γὰρ δὴ καταλυομένους ἀπορίᾳ χρημάτων ὁρῶν, καὶ τὸ μόνον λείψανον τῆς ἀρχαίας Ἑλλάδος ὑπορρέον, οὐ μόνον ἀγωνοθέτης ἧς ἐπέτυχε πενταετηρίδος εἰς Ῥώμην παραπλέων ἐγένετο, ἀλλὰ καὶ πρὸς τὸ διηνεκὲς πόρους χρημάτων ὑπέδειξεν, ὡς μηδέποτε ἀγωνοθετοῦσαν τὴν μνήμην αὐτοῦ ἐπιλιπεῖν. ἀνήνυτον δ' ἂν εἴη χρεῶν διαλύσεις

Digitized by Google

ἢ φόρων ἐπεξιέναι, καθάπερ Φασαηλίταις καὶ Βαλανεώταις καὶ τοῖς περὶ τὴν Κιλικίαν πολιχνίοις τὰς ἐτησίους εἰσφορὰς ἐπεσκούφισεν. πλεῖστόν γε μὴν αὐτοῦ τῆς μεγαλονοίας ἔθρασυνεν ὁ φόβος, ὡς μὴ δόξειεν ἐπίφθονος ἢ τι θηρᾶσθαι μεῖζον, εὐεργετῶν τὰς πόλεις πλέον τῶν ἐχόντων.

ἐχρήσατο δὲ καὶ σώματι πρὸς τὴν ψυχὴν ἀναλόγῳ, 13
κυνηγέτης μὲν ἄριστος ἀεὶ γενόμενος, ἐν ᾧ μάλιστα δι' ἐμπειρίας ἱππικῆς ἐπετύγχανε· μιᾷ γοῦν ἡμέρᾳ ποτὲ τεσσαράκοντα θηρίων ἐκράτησεν. ἔστι δὲ καὶ συοτρόφος μὲν ἡ χώρα, τὸ πλέον δ' ἐλάφων καὶ ὄνων ἀγρίων εὔπορος. πολεμιστὴς δὲ ἀνυπόστατος· πολλοὶ γοῦν κἀν ταῖς γυμνασίαις αὐτὸν κατεπλάγησαν, ἀκοντιστήν τε ἰθυβολώτατον καὶ τοξότην εὐστοχώτατον ἰδόντες. πρὸς δὲ τοῖς ψυχικοῖς καὶ τοῖς σωματικοῖς προτερήμασιν ἐχρήσατο δεξιᾷ καὶ τύχῃ· καὶ γὰρ σπανίως ἔπταισεν ἐν πολέμῳ, καὶ τῶν πταισμάτων οὐκ αὐτὸς αἴτιος ἀλλ' ἢ προδοσία τινῶν ἢ προπέτεια στρατιωτῶν ἐγένετο.

τάς γε μὴν ὑπαίθρους εὐπραγίας ἡ τύχη τοῖς κατ' 22
οἶκον ἀνιαροῖς ἐνεμέσησε, καὶ κακοδαιμονεῖν ἐκ γυναικὸς ἤρξατο, περὶ ἣν μάλιστα ἐσπούδασεν. ἐπειδὴ γὰρ εἰς τὴν ἀρχὴν παρῆλθεν, ἀποπεμψάμενος ἣν ἰδιώτης ὢν ἤγετο γαμετήν, ἧ γένος ἦν ἐξ Ἱεροσολύμων, Δωρὶς ὄνομα, γαμεῖ Μαριάμμην τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα, δι' ἣν αὐτῷ στασιασθῆναι συνέβη τὸν οἶκον, καὶ τάχιον μέν, μάλιστα δὲ μετὰ τὴν ἐκ Ῥώμης ἄφιξιν. πρῶτον μὲν γὰρ τὸν ἐκ τῆς Δωρίδος υἱὸν Ἀντίπατρον διὰ τοὺς ἐκ Μαριάμμης ἐφυγάδευσε τῆς πόλεως, μόναις ταῖς ἑορταῖς ἀφεὶς κατιέναι. ἔπειτα τὸν πάππον τῆς γυναικὸς Ὑρκανόν, ἐκ Πάρθων πρὸς αὐτὸν ἐλθόντα, δι' ὑπόνοιαν ἐπιβουλῆς ἀνεῖλεν, ὃν ἠχμαλωτίσατο μὲν Βαρ-

Digitized by Google

ζαφάρνης καταδραμὼν Συρίαν, ἐξητήσαντο δὲ κατ' οἶκτον οἱ ὑπὲρ Εὐφράτην ὁμοεθνεῖς. καὶ εἴ γε τούτοις ἐπείσθη παραινοῦσι μὴ διαβῆναι πρὸς Ἡρώδην, οὐκ ἂν παρεπώλετο. δέλεαρ δὲ αὐτῷ θανάτου τῆς γαμωνῆς ὁ γάμος κατέστη· τούτῳ γὰρ πεποιθὼς καὶ περισσόν τι τῆς πατρίδος ἐφιέμενος ἦκε. παρώξυνε δὲ Ἡρώδην οὐκ αὐτὸς ἀντιποιούμενος βασιλείας, ἀλλ' ἐπειδὴ τὸ βασιλεύειν ἐπέβαλλεν αὐτῷ.

2 τῶν δὲ ἐκ Μαριάμμης πέντε τέκνων αὐτῷ γενομένων δύο μὲν θυγατέρες τρεῖς δὲ ἦσαν υἱεῖς. καὶ τούτων ὁ νεώτατος μὲν ἐν Ῥώμῃ παιδευόμενος τελευτᾷ· δύο δὲ τοὺς πρεσβυτέρους βασιλικῶς ἦγε, διά τε τὴν μητρῴαν εὐγένειαν καὶ ὅτι βασιλεύοντι γεγόνεισαν αὐτῷ. τὸ δὲ τούτων ἰσχυρότερον, ὁ Μαριάμμης ἔρως συνήργει, καθ' ἡμέραν ἐκκαίων Ἡρώδην λαβρότερον, ὡς μηδενὸς τῶν διὰ τὴν στεργομένην λυπηρῶν αἰσθάνεσθαι. τοσοῦτον δὲ ἦν μῖσος εἰς αὐτὸν τῆς Μαριάμμης ὅσος ἐκείνου πρὸς αὐτὴν ἔρως. ἔχουσα δὲ τὴν μὲν ἀπέχθειαν ἐκ τῶν πραγμάτων εὔλογον, τὴν δὲ παρρησίαν ἐκ τοῦ φιλεῖσθαι, φανερῶς ὠνείδιζεν αὐτῷ τὰ κατὰ τὸν πάππον Ὑρκανὸν καὶ τὸν ἀδελφὸν Ἀριστόβουλον. οὐδὲ γὰρ τούτου καίπερ ὄντος παιδὸς ἐφείσατο, δοὺς μὲν αὐτῷ τὴν ἀρχιερωσύνην ἑπτακαιδεκαέτει, μετὰ δὲ τὴν τιμὴν κτείνας εὐθέως, ἐπειδὴ τὴν ἱερὰν ἐσθῆτα λαβόντι καὶ τῷ βωμῷ προσελθόντι καθ' ἑορτὴν ἄθρουν ἐπεδάκρυσε τὸ πλῆθος. πέμπεται μὲν οὖν ὁ παῖς διὰ νυκτὸς εἰς Ἱεριχοῦντα, ἐκεῖ δὲ κατ' ἐντολὴν ὑπὸ τῶν Γαλατῶν βαπτιζόμενος ἐν κολυμβήθρᾳ τελευτᾷ.

3 διὰ ταῦτα Ἡρώδην τε ὠνείδιζεν ἡ Μαριάμμη, καὶ τὴν ἀδελφὴν αὐτοῦ καὶ τὴν μητέρα δειναῖς ἐξύβριζε λοιδορίαις. ἀλλ' ὃ μὲν πεφίμωτο τοῖς ἰμέροις, δεινὴ δὲ τὰς γυναῖκας ἀγανάκτησις εἰσῄει, καὶ πρὸς ὃ μάλιστα κινή-

Digitized by Google

σειν τὸν Ἡρώδην ἔμελλον, εἰς μοιχείαν διέβαλλον αὐτήν, ἄλλα τε πολλὰ πρὸς τὸ πιθανὸν ἐνσκευαζόμεναι, καὶ κατηγοροῦσαι διότι τὴν εἰκόνα τὴν ἑαυτῆς πέμψειεν εἰς Αἴγυπτον Ἀντωνίῳ, καὶ δι' ὑπερβολὴν ἀσελγείας ἀποῦσαν δεῖξειεν ἑαυτὴν ἀνθρώπῳ γυναικομανοῦντι καὶ βιάζεσθαι δυναμένῳ. τοῦτο ὥσπερ σκηπτὸς ἐμπεσὼν ἐτάραξεν Ἡρώδην, μάλιστα μὲν διὰ τὸν ἔρωτα ζηλοτύπως ἔχοντα, λογιζόμενον δὲ καὶ τὴν Κλεοπάτρας δεινότητα, δι' ἣν Λυσανίας τε ὁ βασιλεὺς ἀνῄρητο καὶ Μάλιχος ὁ Ἄραψ· οὐ γὰρ ἀφαιρέσει γαμετῆς ἐμέτρει τὸν κίνδυνον, ἀλλὰ θανάτῳ.

μέλλων οὖν ἀποδημήσειν Ἰωσήπῳ τῷ ἀνδρὶ Σαλώμης τῆς ἀδελφῆς αὐτοῦ (πιστὸς δὲ ἦν καὶ διὰ τὸ κῆδος εὔνους) παρατίθεται τὴν γυναῖκα, κρύφα δοὺς ἐντολὰς ἀναιρεῖν αὐτὴν εἰ κἀκεῖνον Ἀντώνιος. ὁ δὲ Ἰώσηπος οὔτι κακοήθως, ἀλλὰ τὸν ἔρωτα τοῦ βασιλέως παραστῆσαι τῇ γυναικὶ βουλόμενος, ὡς οὐδὲ ἀποθανὼν αὐτῆς ὑπομένοι διαζευχθῆναι, τὸ ἀπόρρητον ἐκφέρει. κἀκείνη πρὸς ἐπανήκοντα τὸν Ἡρώδην, πολλά τε περὶ τοῦ πρὸς αὐτὴν συμπαθοῦς ἐν ταῖς ὁμιλίαις ἐπομνύμενον καὶ ὡς οὐδὲ ἐρασθείη ποτὲ γυναικὸς ἄλλης, "πάνυ γοῦν" εἶπε "ταῖς πρὸς Ἰώσηπον ἐντολαῖς ἐπεδείξω τὸν εἰς ἡμᾶς ἔρωτα, κτεῖναί με προστάξας."

ἔκφρων εὐθέως ἀκούσας τὸ ἀπόρρητον ἦν, καὶ οὐκ ἄν ποτε τὸν Ἰώσηπον ἐξαγγεῖλαι τὴν ἐντολὴν φάμενος εἰ μὴ διαφθείρειεν αὐτήν, ἐνεθουσίᾳ τῷ πάθει, καὶ τῆς κοίτης ἐξαλλόμενος ἀνέδην ἐν τοῖς βασιλείοις ἀνειλεῖτο. κἀν τούτῳ Σαλώμη ἡ ἀδελφὴ τὸν καιρὸν εἰς τὰς διαβολὰς ἁρπάσασα τὴν εἰς τὸν Ἰώσηπον ἐβεβαίωσεν ὑποψίαν. ὃ δὲ ὑπ' ἀκράτου ζηλοτυπίας ἐκμανεὶς παραχρῆμα κτείνειν προσέταξεν ἀμφοτέρους. μετάνοια δ' εὐθέως εἵπετο τῷ πάθει, καὶ τοῦ θυμοῦ πεσόντος ὁ ἔρως πά-

Digitized by Google

λιν ἀνεζωπυρεῖτο. τοσαύτη δὲ ἦν φλεγμονὴ τῆς ἐπιθυμίας ὡς μηδὲ τεθνάναι δοκεῖν αὐτήν, ὑπὸ δὲ κακώσεως ὡς ζώσῃ προσλαλεῖν, μέχρι τῷ χρόνῳ διαχθεὶς τὸ πένθος ἀνάλογον τὴν λύπην ἔσχε τῇ πρὸς περιοῦσαν διαθέσει.

23 κληρονομοῦσι δὲ τῆς μητρῴας οἱ παῖδες ὀργῆς, καὶ τοῦ μύσους ἔννοιαν λαμβάνοντες ὡς πολέμιον ὑφεώρων τὸν πατέρα, καὶ πρότερον μὲν ἐπὶ Ῥώμης παιδευόμενοι, πλέον δὲ ὡς εἰς Ἰουδαίαν ὑπέστρεψαν. συνηνδροῦτο δ' αὐτῶν ταῖς ἡλικίαις ἡ διάθεσις. ἐπεὶ δὲ γάμων ἔχοντες ὥραν, ὃ μὲν τῆς τηθίδος Σαλώμης, ἣ τῆς μητρὸς αὐτῶν κατηγόρησεν, ὃ δὲ ἔγημεν Ἀρχελάου τοῦ Καππαδοκῶν βασιλέως θυγατέρα, προσελάμβανον ἤδη τῷ μίσει καὶ παρρησίαν. ἐκ δὲ τοῦ θράσους αὐτῶν ἀφορμὰς οἱ διαβάλλοντες ἐλάμβανον, καὶ φανερώτερον ἤδη τῷ βασιλεῖ διελέγοντό τινες, ὡς ἐπιβουλεύοιτο μὲν ὑπ' ἀμφοτέρων τῶν υἱῶν, ὁ δὲ Ἀρχελάῳ κηδεύσας καὶ φεύγειν παρασκευάζοιτο, τῷ πενθερῷ πεποιθώς, ἵνα ἐπὶ Καίσαρος αὐτοῦ κατηγορήσῃ. ἀναπλησθεὶς δὲ τῶν διαβολῶν Ἡρῴδης ὥσπερ ἐπιτείχισμα τοῖς υἱοῖς κατάγει τὸν ἐκ τῆς Δωρίδος Ἀντίπατρον, καὶ πάντα τρόπον προτιμᾶν ἄρχεται.

2 τοῖς δὲ ἀφόρητος ἦν ἡ μεταβολή, καὶ τὸν ἐξ ἰδιώτιδος μητρὸς ὁρῶντες προκόπτοντα, διὰ τὴν αὐτῶν εὐγένειαν οὐκ ἐκράτουν τῆς ἀγανακτήσεως, ἐφ' ἑκάστου δὲ τῶν ἀνιαρῶν τὴν ὀργὴν ἐξέφαινον. ὥς τε οἱ μὲν καθ' ἡμέραν προσίσταντο μᾶλλον, ὁ δὲ Ἀντίπατρος ἤδη καὶ δι' αὐτὸν ἐσπουδάζετο, δεινότατος μὲν ὢν ἐν ταῖς πρὸς τὸν πατέρα κολακείαις, διαβολὰς δὲ κατὰ τῶν ἀδελφῶν ποικίλας ἐνσκευαζόμενος, καὶ τὰ μὲν αὐτὸς λογοποιῶν τὰ δὲ τοὺς ἐπιτηδείους φημίζειν καθιείς, μέχρι παντάπασι τοὺς ἀδελφοὺς ἀπέρρηξε τῆς βασιλικῆς

Digitized by Google

ἐλπίδος. καὶ γὰρ ἐν ταῖς διαθήκαις καὶ φανερῶς αὐτὸς ἦν ἤδη διάδοχος· ὡς βασιλεὺς γοῦν ἐπέμφθη καὶ πρὸς Καίσαρα, τῷ τε κόσμῳ καὶ ταῖς ἄλλαις θεραπείαις πλὴν διαδήματος χρώμενος. χρόνῳ δὲ ἐξίσχυσεν εἰσαγαγεῖν ἐπὶ τὴν Μαριάμμης κοίτην τὴν μητέρα· δυσὶ δὲ ὅπλοις κατὰ τῶν ἀδελφῶν χρώμενος, κολακείᾳ καὶ διαβολῇ, τὸν βασιλέα καὶ περὶ θανάτου τῶν υἱῶν ὑπειργάσατο.

τὸν γοῦν Ἀλέξανδρον σύρας μέχρι Ῥώμης ὁ πατὴρ 3
τῆς ἐφ' ἑαυτῷ φαρμακείας ἔκρινεν ἐπὶ Καίσαρος. ὃ δὲ εὑρὼν μόλις ὁλοφυρμοῦ παρρησίαν καὶ δικαστὴν ἐμπειρότερον Ἀντιπάτρου καὶ Ἡρῴδου φρονιμώτερον, τὰ μὲν ἁμαρτήματα τοῦ πατρὸς αἰδημόνως ὑπεστείλατο, τὰς δὲ αὐτοῦ διαβολὰς ἰσχυρῶς ἀπεδύσατο· καθαρὸν δὲ καὶ τὸν ἀδελφὸν ἀποδείξας κοινωνοῦντα τῶν κινδύνων, οὕτως ἤδη τό τε Ἀντιπάτρου πανοῦργον καὶ τὴν αὐτῶν ἀτιμίαν ἀπωδύρετο. συνήργει δὲ αὐτῷ μετὰ καθαροῦ τοῦ συνειδότος ἡ περὶ λόγους ἰσχύς· ἦν γὰρ δὴ δεινότατος εἰπεῖν. καὶ τὸ τελευταῖον φάμενος ὡς τῷ πατρὶ κτείνειν αὐτοὺς ἔστιν, εἰ δὴ προτίθεται τὸ ἔγκλημα, προήγαγε μὲν εἰς δάκρυα πάντας, τὸν δὲ Καίσαρα διέθηκεν οὕτως ὡς ἀπογνῶναι μὲν αὐτῶν τὰ κατηγορημένα, διαλλάξαι δὲ Ἡρῴδην εὐθέως. αἱ διαλλαγαὶ δὲ ἐπὶ τούτοις ἦσαν, ὥστε ἐκείνους μὲν τῷ πατρὶ πάντα πειθαρχεῖν, τὸν δὲ τὴν βασιλείαν καταλιπεῖν ᾧ βούλεται.

μετὰ ταῦτα δὲ ἀπὸ Ῥώμης ὑπέστρεφεν ὁ βασιλεύς, 4
τῶν μὲν ἐγκλημάτων ἀφεικέναι τοὺς υἱεῖς δοκῶν, τῆς δὲ ὑπονοίας οὐκ ἀπηλλαγμένος· παρηκολούθει γὰρ Ἀντίπατρος ἡ τοῦ μίσους ὑπόθεσις, ἀλλ' εἴς γε τὸ φανερὸν τὴν ἀπέχθειαν οὐκ ἐξέφερε, τὸν διαλλακτὴν αἰδούμενος. ὡς δὲ τὴν Κιλικίαν παραπλέων κατῆρεν εἰς Ἐλεοῦσαν, εἱστία μὲν αὐτοὺς φιλοφρόνως Ἀρχέλαος, ὑπὲρ τῆς τοῦ

Digitized by Google

γαμβροῦ σωτηρίας εὐχαριστῶν καὶ ταῖς διαλλαγαῖς ἐφηδόμενος, ὡς ἂν καὶ τάχιον γεγραφὼς τοῖς ἐπὶ Ῥώμης φίλοις συλλαμβάνεσθαι περὶ τὴν δίκην Ἀλεξάνδρῳ. προπέμπει δὲ μέχρι Ζεφυρίου, θῶρα δοὺς μέχρι τριάκοντα ταλάντων.

ὡς δὲ εἰς Ἱεροσόλυμα Ἡρώδης ἀφικνεῖται, συναγαγὼν τὸν λαὸν καὶ τοὺς τρεῖς υἱεῖς παραστησάμενος ἀπελογεῖτο περὶ τῆς ἀποδημίας, καὶ πολλὰ μὲν ηὐχαρίστει τῷ θεῷ, πολλὰ δὲ Καίσαρι κατασταμένῳ τὸν οἶκον αὐτοῦ τεταραγμένον, καὶ μεῖζόν τι τοῖς υἱοῖς παρασχόντι τῆς βασιλείας τὴν ὁμόνοιαν, "ἣν αὐτός" ἔφη "συναρμόσω μᾶλλον. ὁ μὲν γὰρ κύριον ἐμὲ τῆς ἀρχῆς καὶ δικαστὴν τοῦ διαδόχου κατέστησεν, ἐγὼ δὲ μετὰ τοῦ συμφέροντος ἐμαυτῷ κἀκεῖνον ἀμειβόμενος, τούσδε τοὺς τρεῖς παῖδας ἀποδείκνυμι βασιλέας, καὶ τῆς γνώμης πρῶτον τὸν θεὸν σύμψηφον, ἔπειτα καὶ ὑμᾶς παρακαλῶ γενέσθαι. τῷ μὲν γὰρ ἡλικία, τοῖς δὲ εὐγένεια τὴν διαδοχὴν προξενεῖ. τό γε μὴν μέγεθος τῆς βασιλείας ἀρκεῖ καὶ πλείοσιν. οὓς δὲ Καῖσαρ μὲν ἥνωσε, καθίστησι δὲ πατήρ, ὑμεῖς τηρήσατε, μήτε ἀδίκους μήτε ἀνωμάλους τὰς τιμὰς διδόντες, ἑκάστῳ δὲ κατὰ πρεσβεῖον· οὐ γὰρ τοσοῦτον εὐφραινεῖ τις τὸν παρ' ἡλικίαν θεραπευόμενον ὅσον ὀδυνήσει τὸν ἀτιμούμενον. οὓς γε μὴν ἑκάστῳ συνεῖναι δεήσει συγγενεῖς καὶ φίλους, ἐγὼ διανεμῶ, καὶ τῆς ὁμονοίας ἐκείνους ἐγγυητὰς καταστήσομαι, σαφῶς ἐπιστάμενος ὅτι τὰς στάσεις καὶ τὰς φιλονεικίας γεννῶσιν αἱ τῶν συνδιατριβόντων κακοήθειαι· κἂν ὦσιν οὗτοι χρηστοί, τηροῦσι τὰς στοργάς. ἀξιῶ δὲ οὐ μόνον τούτους ἀλλὰ καὶ τοὺς ἐν τῇ στρατιᾷ μου ταξιάρχους ἐν ἐμοὶ μόνῳ τὰς ἐλπίδας ἔχειν ἐπὶ τοῦ παρόντος. οὐ γὰρ βασιλείαν ἀλλὰ τιμὴν βασιλείας τοῖς υἱοῖς παραδίδωμι· καὶ τῶν μὲν ἡδέων ὡς ἄρχοντες ἀπολαύσουσι, τὸ βάρος δὲ τῶν πραγμάτων

Digitized by Google

ἐμόν ἐστι, κἂν μὴ θέλω. σκεπτέσθω δὲ ἕκαστος τήν τε ἡλικίαν μου καὶ τὴν ἀγωγὴν τοῦ βίου καὶ τὴν εὐσέβειαν. οὔτε γὰρ οὕτως εἰμὶ γέρων ὥστ' ἂν ἀπελπισθῆναι ταχέως, οὔτε εἰς τρυφὴν ἐκδιαιτώμενος, ἢ καὶ νέους ἐπιτέμνεται· τό τε θεῖον οὕτω τεθεραπεύκαμεν ὥστε ἂν ἐπὶ μήκιστον βίον προελθεῖν. ὁ δὲ τοὺς ἐμοὺς παῖδας θεραπεύων ἐπὶ τῇ ἐμῇ καταλύσει, δώσει μοι καὶ περὶ ἐκείνων δίκας. οὐ γὰρ ἐγὼ φθονῶν τοῖς ἐξ ἐμοῦ γεγεννημένοις ἀνακόπτω τὴν εἰς αὐτοὺς φιλοτιμίαν, ἐπιστάμενος δὲ τοῖς νέοις γίνεσθαι τὰς σπουδὰς θράσους ἐφόδιον. εἴ γε μὴν ἕκαστος ἐνθυμηθείη τῶν προσιόντων ὅτι χρηστὸς μὲν ὢν παρ' ἐμοῦ λήψεται τὴν ἀμοιβήν, στασιάζων δὲ καὶ παρὰ τῷ θεραπευομένῳ τὸ κακόηθες ἀνόνητον ἕξει, πάντας οἶμαι τὰ ἐμὰ φρονήσειν, τουτέστι τὰ τῶν ἐμῶν υἱῶν· καὶ γὰρ τούτοις συμφέρει κρατεῖν ἐμὲ κἀμὲ τούτοις ὁμονοεῖν. ὑμεῖς δέ, ὦ παῖδες ἀγαθοί, πρῶτον μὲν ἐνθυμούμενοι τὴν ἱερὰν φύσιν, ἧς καὶ παρὰ θηρίοις αἱ στοργαὶ μένουσιν, ἔπειτα τὸν ποιησάμενον ἡμῶν τὰς διαλλαγὰς Καίσαρα, τρίτον ἐμὲ τὸν ἐν οἷς ἔξεστιν ἐπιτάσσειν παρακαλοῦντα, μείνατε ἀδελφοί. δίδωμι δὲ ὑμῖν ἐσθῆτά τε ἤδη καὶ θεραπείαν βασιλικήν· ἐπεύχομαι δὲ καὶ τῷ θεῷ τηρῆσαι τὴν ἐμὴν κρίσιν, ἂν ὁμονοῆτε." ταῦτα εἰπών, καὶ φιλοφρόνως ἕκαστον κατασπασάμενος τῶν υἱῶν, διέλυσε τὸ πλῆθος, τοὺς μὲν συνευχομένους τοῖς εἰρημένοις, ὅσοι δὲ ἐπεθύμουν μεταβολῆς, μηδὲ ἀκηκοέναι προσποιουμένους.

συναπῆει δὲ τοῖς ἀδελφοῖς ἡ στάσις, καὶ χείρους 24
τὰς ἐπ' ἀλλήλοις ὑπονοίας ἔχοντες ἀπηλλάγησαν, Ἀλέξανδρος μὲν καὶ Ἀριστόβουλος ὀδυνώμενοι κεκρῶμένον Ἀντιπάτρῳ τὸ πρεσβεῖον, Ἀντίπατρος δὲ καὶ τοῦ δευτερεύειν νεμεσῶν τοῖς ἀδελφοῖς. ἀλλ' ὁ μὲν ποικιλώ-

Digitized by Google

τατος ὢν τὸ ἦθος, ἐχεμυθεῖν τε ἤδει καὶ πολλῷ τῷ πανούργῳ χρώμενος τὸ πρὸς αὐτοὺς ἐκάλυπτε μῖσος· τοῖς δὲ δι' εὐγένειαν πᾶν τὸ νοηθὲν ἦν ἐπιγλώσσης. καὶ παροξύνοντες μὲν ἐνέκειντο πολλοί, πλείους δὲ τῶν φίλων παρεδύνοντο κατάσκοποι. πᾶν δὲ τὸ παρ' Ἀλεξάνδρῳ λαληθὲν εὐθέως ἦν παρ' Ἀντιπάτρῳ, καὶ μετὰ προσθήκης μετέβαινεν ἀπὸ Ἀντιπάτρου πρὸς Ἡρώδην. οὔτε δ' ἁπλῶς φθεγξάμενος ὁ νεανίας ἀνυπεύθυνος ἦν, ἀλλ' εἰς διαβολὴν τὸ ῥηθὲν ἐστρέφετο, καὶ μετρίως παρρησιασαμένου μέγιστα τοῖς ἐλαχίστοις προσεπλάττετο. καθίει δὲ Ἀντίπατρος ἀεὶ τοὺς ἐρεθίζοντας, ὅπως αὐτὸ τὸ ψεῦδος ἔχοι τὰς ἀφορμὰς ἀληθεῖς· κἀκ τῶν φημιζομένων ἔν τι διελεγχθὲν ἅπασι πίστιν ἐπετίθει. καὶ τῶν μὲν αὐτοῦ φίλων ἦ φύσει στεγανώτατος ἦν ἕκαστος, ἢ κατεσκευάζετο δωρεαῖς, ὡς μηδὲν ἐκφέρεσθαι τῶν ἀπορρήτων· καὶ τὸν Ἀντιπάτρου βίον οὐκ ἂν ἁμάρτοι τις εἰπὼν κακίας μυστήριον. τοὺς γὰρ Ἀλεξάνδρῳ συνόντας χρήμασι διαφθείρων ἢ κολακείαις ὑπιών, αἷς πάντα κατειργάσατο, ἐπεποιήκει προδότας καὶ τῶν πραττομένων ἢ λαλουμένων φῶρας. πάντα δὲ περιεσκεμμένως δραματουργῶν τὰς πρὸς Ἡρώδην ὁδοὺς ταῖς διαβολαῖς ἐποιεῖτο τεχνικωτάτας, αὐτὸς μὲν ἀδελφοῦ προσωπεῖον ἐπικείμενος, καθιεὶς δὲ μηνυτὰς ἑτέρους. κἀπειδάν ἀπαγγελθείη τι κατ' Ἀλεξάνδρου, παρελθὼν ὑπεκρίνετο, καὶ διασύρειν τὸ ῥηθὲν ἀρξάμενος ἔπειτα κατεσκεύαζεν ἡσυχῇ, καὶ πρὸς ἀγανάκτησιν ἐξῆγε τὸν βασιλέα. πάντα δ' εἰς ἐπιβουλὴν ἀνήγετο, καὶ τὸ δοκεῖν τῇ σφαγῇ τοῦ πατρὸς ἐφεδρεύειν Ἀλέξανδρον· οὐδὲν γὰρ οὕτω πίστιν ἐχορήγει ταῖς διαβολαῖς ὡς ἀπολογούμενος Ἀντίπατρος ὑπὲρ αὐτοῦ.

2 τούτοις Ἡρώδης ἐξαγριούμενος, ὅσον ὑφῄρει καθ' ἡμέραν τῆς πρὸς τὰ μειράκια στοργῆς, τοσοῦτον Ἀν-

Digitized by Google

τιπάτρῳ προσετίθει. συναπέκλιναν δὲ καὶ τῶν κατὰ τὸ βασίλειον οἳ μὲν ἑκόντες οἳ δὲ ἐξ ἐπιτάγματος, ὥσπερ Πτολεμαῖος ὁ τιμιώτατος τῶν φίλων, οἵ τε ἀδελφοὶ τοῦ βασιλέως καὶ πᾶσα ἡ γενεά. πάντα γὰρ Ἀντίπατρος ἦν, καὶ τὸ πικρότατον Ἀλεξάνδρῳ, πάντα ἦν ἡ Ἀντιπάτρου μήτηρ, σύμβουλος κατ' αὐτῶν μητρυιᾶς χαλεπωτέρα, καὶ πλεῖόν τι προγόνων μισοῦσα τοὺς ἐκ βασιλίδος. πάντες μὲν οὖν ἐπὶ ταῖς ἐλπίσιν ἐθεράπευον Ἀντίπατρον ἤδη, συναφίστα δὲ ἕκαστον τὰ τοῦ βασιλέως προστάγματα, παραγγείλαντος τοῖς τιμιωτάτοις μήτε προσιέναι μήτε προσέχειν τοῖς περὶ Ἀλέξανδρον. φοβερὸς δὲ ἦν οὐ μόνον τοῖς ἐκ τῆς βασιλείας ἀλλὰ καὶ τοῖς ἔξωθεν φίλοις· οὐδενὶ γὰρ βασιλέων τοσαύτην Καῖσαρ ἔδωκε τιμὴν ὥστε τὸν ἀπ' αὐτοῦ φεύγοντα καὶ μὴ προσηκούσης πόλεως ἐξαγαγεῖν. τὰ δὲ μειράκια τὰς μὲν διαβολὰς ἠγνόει, παρ' ὃ καὶ μᾶλλον ἀφυλάκτως ἐνέπιπτον αὐταῖς (οὐδενὶ γὰρ ὁ πατὴρ φανερῶς ἀπεμέμφετο), συνίει δὲ κατὰ μικρὸν ἐκ τοῦ ψύγματος καὶ ὅτι πρὸς τὸ λυποῦν μᾶλλον ἐτραχύνετο. διέθηκε δὲ πρὸς αὐτὰ καὶ τὸν θεῖον Φερώραν Ἀντίπατρος ἐχθρωδῶς, καὶ τὴν τηθίδα Σαλώμην, ὡς ἂν γαμετὴν οὖσαν, καθομιλῶν ἀεὶ καὶ παροξύνων. συνήργει δὲ καὶ πρὸς τὴν ταύτης ἀπέχθειαν ἡ Ἀλεξάνδρου γυνὴ Γλαφύρα, γενεαλογοῦσα τὴν αὐτῆς εὐγένειαν, καὶ ὡς πασῶν τῶν κατὰ τὸ βασίλειον εἴη δεσπότις, κατὰ πατέρα μὲν ἀπὸ Τημένου κατὰ μητέρα δὲ ἀπὸ Λαρείου τοῦ Ὑστάσπεως οὖσα· πολλὰ δὲ ὠνείδιζεν εἰς δυσγένειαν τήν τε ἀδελφὴν τὴν Ἡρῴδου καὶ τὰς γυναῖκας, ὧν ἑκάστη δι' εὐμορφίαν, οὐκ ἀπὸ γένους ἠρέθη. πολλαὶ δὲ ἦσαν, ὡς ἂν ἐφιεμένου τε πατρίως Ἰουδαίοις γαμεῖν πλείους, καὶ τοῦ βασιλέως ἡδομένου πλείοσιν, αἳ πᾶσαι διὰ τὸ μεγάλαυχον τῆς Γλαφύρας καὶ τὰς λοιδορίας ἐμίσουν Ἀλέξανδρον.

Digitized by Google

3 τὴν δὲ δὴ Σαλώμην, καίτοι πενθερὰν οὖσαν, αὐτὸς Ἀριστόβουλος ἑαυτῷ διεστασίασεν, ὠργισμένην καὶ πρότερον ἐπὶ ταῖς ἐκ Γλαφύρας βλασφημίαις. ὠνείδιζε γὰρ τῇ γυναικὶ συνεχῶς τὴν ταπεινότητα, καὶ ὡς αὐτὸς μὲν ἰδιώτιν, ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος γήμαι βασιλίδα. τοῦτο κλαίουσα τῇ Σαλώμῃ διήγγειλεν ἡ θυγάτηρ. προσετίθει δὲ ὅτι καὶ τῶν ἄλλων ἀδελφῶν τὰς μὲν μητέρας ἀπειλοῖεν οἱ περὶ Ἀλέξανδρον, ἐπειδὰν παραλάβωσι τὴν βασιλείαν, ἱστουργοὺς ἅμα ταῖς δούλαις ποιήσειν, αὐτοὺς δὲ κωμῶν γραμματεῖς, ἐπισκώπτοντες ὡς παιδευομένους ἐπιμελῶς. πρὸς ἃ τὴν ὀργὴν οὐ κατέχουσα Σαλώμη πάντα διήγγειλεν Ἡρώδῃ· σφόδρα δ' ἦν ἀξιόπιστος κατὰ γαμβροῦ λέγουσα. καί τις ἑτέρα διαβολὴ συνέδραμεν ἡ τὸν θυμὸν ὑπεκκαύσασα τοῦ βασιλέως· ἤκουσε γὰρ αὐτοὺς συνεχῶς ἀνακαλεῖσθαι μὲν τὴν μητέρα, καὶ κατοιμώζειν δὲ ἐπαρωμένους αὐτῷ, πολλάκις δὲ αὐτοῦ διαδιδόντος τῶν Μαριάμμης ἐσθήτων τινὰ ταῖς μεταγενεστέραις γυναιξίν, ἀπειλεῖν ὡς ἀντὶ τῶν βασιλικῶν ἐν τάχει περιθήσουσιν ἑαυταῖς ἐκ τριχῶν πεποιημένας.

4 διὰ ταῦτα καίτοι τὸ φρόνημα τῶν νεανίσκων ὑποδείσας, ὅμως οὐκ ἀπέκοπτε τὴν ἐλπίδα τῆς διορθώσεως, ἀλλὰ προσκαλεσάμενος αὐτούς (καὶ γὰρ εἰς Ῥώμην ἐκπλεύσειν ἔμελλε) βραχέα μὲν ἠπείλησεν ὡς βασιλεύς, τὰ πολλὰ δὲ ἐνουθέτησεν ὡς πατήρ, καὶ φιλεῖν τοὺς ἀδελφοὺς παρεκᾶλει, διδοὺς τῶν προημαρτημένων ἄφεσιν, εἰ πρὸς τὸ μέλλον ἀμείνους γένοιντο. οἱ δὲ τὰς μὲν διαβολὰς ἀπεσκευάζοντο, ψευδεῖς εἶναι λέγοντες, πιστώσεσθαι δὲ τὴν ἀπολογίαν τοῖς ἔργοις ἔφασκον· δεῖν μέντοι κἀκεῖνον ἀποφράττειν τὰς λογοποιίας τῷ μὴ πιστεύειν ῥᾳδίως· οὐ γὰρ ἐπιλείψειν τοὺς καταψευσομένους αὐτῶν, ἕως ἂν ὁ πειθόμενος ᾖ.

Digitized by Google

τούτοις ὡς πατέρα πείσαντες ταχέως τὸν μὲν ἐν χερσὶ φόβον διεκρούσαντο, τὴν δὲ εἰς τὰ μέλλοντα λύπην προσέλαβον· ἔγνωσαν γὰρ τήν τε Σαλώμην ἐχθρὰν καὶ τὸν θεῖον Φερώραν. ἦσαν δὲ βαρεῖς μὲν ἀμφότεροι καὶ χαλεποί, Φερώρας δὲ μείζων, ὃς πάσης μὲν ἐκοινώνει τῆς βασιλείας πλὴν διαδήματος, προσόδου δὲ ἰδίας ἑκατὸν εἶχε τάλαντα, τὴν δὲ πέραν Ἰορδάνου πᾶσαν ἐκαρποῦτο χώραν, λαβὼν παρὰ τἀδελφοῦ δῶρον, ὃς αὐτὸν ἐποίησε καὶ τετράρχην, αἰτησάμενος παρὰ Καίσαρος, βασιλικῶν τε γάμων ἠξίωσε συνοικίσας ἀδελφὴν τῆς ἰδίας γυναικός. μετὰ δὲ τὴν ἐκείνης τελευτὴν καθωσίωσε τὴν πρεσβυτάτην τῶν αὐτοῦ θυγατέρων ἐπὶ προικὶ τριακοσίοις ταλάντοις. ἀλλ' ἀπέδρα Φερώρας τὸν βασιλικὸν γάμον πρὸς ἔρωτα δούλης. ἐφ' ᾧ χαλεπήνας Ἡρώδης τὴν μὲν θυγατέρα τῷ πρὸς Πάρθων ὕστερον ἀναιρεθέντι συνέζευξεν ἀδελφιδῷ, Φερώρᾳ δὲ μετ' οὐ πολὺ τὴν ὀργὴν ἀνίει, διδοὺς συγγνώμην τῇ νόσῳ. 5

διεβάλλετο δὲ καὶ πάλαι μέν, ἔτι ζώσης τῆς βασιλίδος, ἐπιβουλεύειν αὐτῷ φαρμάκοις· τότε δὲ πλεῖστοι μηνυταὶ προσῆλθον, ὡς καίπερ φιλαδελφότατον ὄντα Ἡρώδην εἰς πίστιν ὑπαχθῆναι τῶν λεγομένων καὶ δέος. πολλοὺς δὲ τῶν ἐν ὑπονοίᾳ βασανίσας τελευταῖον ἦλθεν ἐπὶ τοὺς Φερώρα φίλους, ὧν ἐπιβουλὴν μὲν ἄντικρυς ὡμολόγησεν οὐδείς, ὅτι δὲ τὴν ἐρωμένην ἁρπασάμενος εἰς Πάρθους ἀποδρᾶναι παρεσκευάζετο, συμμέτοχος δὲ τοῦ σκέμματος αὐτῷ καὶ τῆς φυγῆς Κοστόβαρος ὁ Σαλώμης ἀνήρ, ᾧ συνῴκισεν αὐτὴν ὁ βασιλεὺς ἐπὶ μοιχείᾳ τοῦ προτέρου διαφθαρέντος. ἦν δὲ ἐλευθέρα διαβολῆς οὐδὲ Σαλώμη· καὶ γὰρ αὐτῆς Φερώρας ὁ ἀδελφὸς κατηγόρει, συνθήκας περὶ γάμου ποιουμένης πρὸς Συλλαῖον τὸν Ὀβόδα τοῦ Ἀράβων βασιλέως ἐπίτρο- 6

Digitized by Google

πον, ὃς ἦν ἐχθρότατος Ἡρῴδῃ. διειλεγθεῖσα δὲ καὶ τοῦτο καὶ πάντα ὅσα Φερώρας ἐνεπίλει, συγγινώσκει- [illegible] καὶ αὐτὸν δὲ Φερώραν ὁ βασιλεὺς ἀπέλυσε τῶν [illegible]

[illegible] δὲ ἐπ' Ἀλέξανδρον ὁ χειμὼν τῆς οἰκίας, [illegible] τὴν ἐπὶ τὸν κεφαλὴν ὅλος ἀπηρείσατο. τρεῖς [illegible] τῷ βασιλεῖ τιμιώτατοι. καὶ δῆλον ἐξ ὧν [illegible] μὲν γὰρ οἰνοχοεῖν προσετέτακτο, τῷ [illegible] ὃ δὲ αὐτὸν κατεκοίμιζέ τε καὶ [illegible] τούτους εἰς τὰ παιδικὰ δώροις μεγά- [illegible] Ἀλέξανδρος. μηνυθὲν δὲ τῷ βασιλεῖ διη- [illegible] καὶ τὴν μὲν συνουσίαν εὐθέως ὠμο- [illegible] καὶ τὰς εἰς αὐτὴν ὑποσχέσεις, ὧν [illegible] τὸν Ἀλεξάνδρου λέγοντος ὡς οὐκ ἐν [illegible] ἔχειν, ἀναιδεῖ γέροντι καὶ βα- [illegible] ἢ διὰ τοῦτο αὐτὸν οἴονται καὶ [illegible] ὃς καὶ παρὰ ἄκοντος διαδέξε- [illegible] καὶ εἰς μεγάλην τε τοὺς μὲν ἐχθροὺς [illegible] εὐδαίμονας ποιήσει καὶ μακα- [illegible] εἶναι δὲ καὶ θεραπείαν [illegible] Ἀλεξάνδρου λαθραίαν, τούς τε [illegible] καὶ τοὺς ταξιάρχους κρύφα [illegible]

[illegible] Ἡρῴδην τοῦτος ἐξεφόβησεν ὡς μηδὲ [illegible] ἐκφέρειν, ἀλλὰ κατα- [illegible] καὶ μεθ' ἡμέραν ἕκαστα [illegible] ἢ ἀκούσεσθαι διερευνᾶ, καὶ τοὺς ἐν [illegible] πάσης ἀπῆρε. δεινῆς δὴ ἀνομίας ἐκλή- [illegible] τι βασιλεῖ. καὶ γὰρ ἐχθρὸν ἡ μῖσος ἴδιον ἕκα- [illegible] ἔκλασεν τὰς διαβολάς. καὶ πολλοὶ πρὸς τοὺς δια- [illegible] φωνοῦντα τῷ βασιλικῷ θυμῷ κατεχρῶντο. καὶ τὸ μὲν ψεῦδος εἶχε παραχρῆμα πίστιν, αἱ κολάσεις δὲ τῶν

Digitized by Google

διαβολῶν ἦσαν ὠκύτεραι. κατηγόρητο γοῦν τις ἄρτι κατηγορήσας, καὶ τῷ πρὸς αὐτοῦ διελεγχθέντι συναπήγετο. τὰς γὰρ ἐξετάσεις τοῦ βασιλέως ὁ περὶ τῆς ψυχῆς κίνδυνος ὑπετέμνετο. προύβη δὲ εἰς τοσοῦτον πικρίας ὡς μηδὲ τῶν ἀκαταιτιάτων τινὶ προσβλέπειν ἡμέρως, εἶναι δὲ καὶ τοῖς φίλοις ἀπηνέστατος. πολλοῖς γοῦν αὐτῶν ἀπείπε τὸ βασίλειον· καὶ πρὸς οὓς οὐκ εἶχε χειρὸς ἐξουσίαν, τῷ λόγῳ χαλεπὸς ἦν. συνεπέβη δὲ Ἀντίπατρος ἐν ταῖς συμφοραῖς Ἀλεξάνδρῳ, καὶ στῖφος ποιήσας τῶν συγγενῶν οὐκ ἔστιν ἥντινα διαβολὴν παρέλιπε. προήχθη γέ τοι πρὸς τοσοῦτον δέους ὁ βασιλεὺς ὑπὸ τῆς τερατείας αὐτοῦ καὶ τῶν συνταγμάτων ὥστε ἐφεστάναι δοκεῖν αὐτῷ τὸν Ἀλέξανδρον ξιφήρη. συλλαβὼν γοῦν αὐτὸν ἔδησεν ἐξαπίνης, καὶ πρὸς βάσανον ἐχώρει τῶν φίλων αὐτοῦ. σιγῶντες δὲ ἀπέθνησκον οἱ πολλοὶ καὶ μηδὲν ὑπὲρ τὸ συνειδὸς εἰπόντες· οἳ δὲ ὑπὸ τῶν ἀλγηδόνων ψεύσασθαι βιασθέντες ἔλεγον ὡς ἐπιβουλεύοι τε αὐτῷ μετὰ Ἀριστοβούλου τοῦ ἀδελφοῦ, καὶ παραφυλάττοι κυνηγοῦντα κτείνας εἰς Ῥώμην ἀποδρᾶναι. τούτοις, καίπερ οὐ πιθανοῖς οὖσιν ἀλλ' ὑπὸ τῆς ἀνάγκης ἐσχεδιασμένοις, ὁ βασιλεὺς ἐπίστευεν ἡδέως, παραμυθίαν λαμβάνων τοῦ δῆσαι τὸν υἱὸν τὸ μὴ δοκεῖν ἀδίκως.

ὁ δὲ Ἀλέξανδρος ἐπεὶ τὸν πατέρα μεταπείθειν ἀμήχανον ἑώρα, τοῖς δεινοῖς ὁμόσε χωρεῖν διέγνω, καὶ τέσσαρας κατὰ τῶν ἐχθρῶν βίβλους συνταξάμενος προσωμολόγει μὲν τὴν ἐπιβουλήν, κοινωνοὺς δὲ ἀπεδείκνυε τοὺς πλείστους αὐτῶν, πρὸ δὲ πάντων Φερώραν καὶ Σαλώμην· ταύτην γὰρ δὴ καὶ μιγῆναί ποτε αὐτῷ μὴ θέλοντι, νύκτωρ εἰσβιασαμένην. αἵ τε οὖν βίβλοι παρῆσαν εἰς χεῖρας Ἡρῴδῃ, πολλὰ καὶ δεινὰ κατὰ τῶν δυνατῶν βοῶσαι, καὶ διὰ τάχους εἰς Ἰουδαίαν Ἀρχέλαος

Digitized by Google

πον, ὃς ἦν ἐχθρότατος Ἡρώδῃ. διελεγχθεῖσα δὲ καὶ τοῦτο καὶ πάντα ὅσα Φερώρας ἐνεκάλει, συγγινώσκεται. καὶ αὐτὸν δὲ Φερώραν ὁ βασιλεὺς ἀπέλυσε τῶν ἐγκλημάτων.

7 μετέβαινε δὲ ἐπ' Ἀλέξανδρον ὁ χειμὼν τῆς οἰκίας, καὶ περὶ τὴν ἐκείνου κεφαλὴν ὅλος ἀπηρείσατο. τρεῖς ἦσαν εὐνοῦχοι τῷ βασιλεῖ τιμιώτατοι. καὶ δῆλον ἐξ ὧν ἐλειτούργουν· τῷ μὲν γὰρ οἰνοχοεῖν προσετέτακτο, τῷ δὲ δεῖπνον προσφέρειν, ὃ δὲ αὐτὸν κατεκοίμιζέ τε καὶ συγκατεκλίνετο. τούτους εἰς τὰ παιδικὰ δώροις μεγάλοις ὑπήγετο ὁ Ἀλέξανδρος. μηνυθὲν δὲ τῷ βασιλεῖ διηλέγχοντο βασάνοις, καὶ τὴν μὲν συνουσίαν εὐθέως ὡμολόγουν, ἐξέφερον δὲ καὶ τὰς εἰς αὐτὴν ὑποσχέσεις, ὃν τρόπον ἀπατηθεῖεν ὑπ' Ἀλεξάνδρου λέγοντος ὡς οὐκ ἐν Ἡρώδῃ δέοι τὰς ἐλπίδας ἔχειν, ἀναιδεῖ γέροντι καὶ βαπτομένῳ τὰς κόμας, εἰ μὴ διὰ τοῦτο αὐτὸν οἴονται καὶ νέον, αὐτῷ δὲ προσέχειν, ὃς καὶ παρὰ ἄκοντος διαδέξεται τὴν βασιλείαν, οὐκ εἰς μακράν τε τοὺς μὲν ἐχθροὺς ἀμυνεῖται τοὺς φίλους δ' εὐδαίμονας ποιήσει καὶ μακαρίους, πρὸ πάντων δ' αὐτούς. εἶναι δὲ καὶ θεραπείαν τῶν δυνατῶν περὶ τὸν Ἀλέξανδρον λαθραίαν, τούς τε ἡγεμόνας τοῦ στρατιωτικοῦ καὶ τοὺς ταξιάρχους κρύφα πρὸς αὐτὸν συνιέναι.

8 ταῦτα τὸν Ἡρώδην οὕτως ἐξεφόβησεν ὡς μηδὲ παραχρῆμα τολμῆσαι τὰς μηνύσεις ἐκφέρειν, ἀλλὰ κατασκόπους ὑποπέμπων νύκτωρ καὶ μεθ' ἡμέραν ἕκαστα τῶν πραττομένων ἢ λεγομένων διηρεύνα, καὶ τοὺς ἐν ταῖς ὑποψίαις εὐθέως ἀνῄρει. δεινῆς δὴ ἀνομίας ἐπλήσθη τὸ βασίλειον. κατὰ γὰρ ἔχθραν ἢ μῖσος ἴδιον ἕκαστος ἔπλασσε τὰς διαβολάς, καὶ πολλοὶ πρὸς τοὺς διαφόρους φονῶντι τῷ βασιλικῷ θυμῷ κατεχρῶντο. καὶ τὸ μὲν ψεῦδος εἶχε παραχρῆμα πίστιν, αἱ κολάσεις δὲ τῶν

Digitized by Google

διαβολῶν ἦσαν ὠκύτεραι. κατηγόρητο γοῦν τις ἄρτι κατηγορήσας, καὶ τῷ πρὸς αὐτοῦ διελεγχθέντι συναπήγετο. τὰς γὰρ ἐξετάσεις τοῦ βασιλέως ὁ περὶ τῆς ψυχῆς κίνδυνος ὑπετέμνετο. προύβη δὲ εἰς τοσοῦτον πικρίας ὡς μηδὲ τῶν ἀκαταιτιάτων τινὶ προσβλέπειν ἡμέρως, εἶναι δὲ καὶ τοῖς φίλοις ἀπηνέστατος. πολλοῖς γοῦν αὐτῶν ἀπείπε τὸ βασίλειον· καὶ πρὸς οὓς οὐκ εἶχε χειρὸς ἐξουσίαν, τῷ λόγῳ χαλεπὸς ἦν. συνεπέβη δὲ Ἀντίπατρος ἐν ταῖς συμφοραῖς Ἀλεξάνδρῳ, καὶ στῖφος ποιήσας τῶν συγγενῶν οὐκ ἔστιν ἥντινα διαβολὴν παρέλιπε. προήχθη γέ τοι πρὸς τοσοῦτον δέους ὁ βασιλεὺς ὑπὸ τῆς τερατείας αὐτοῦ καὶ τῶν συνταγμάτων ὥστε ἐφεστάναι δοκεῖν αὐτῷ τὸν Ἀλέξανδρον ξιφήρη. συλλαβὼν γοῦν αὐτὸν ἔδησεν ἐξαπίνης, καὶ πρὸς βάσανον ἐχώρει τῶν φίλων αὐτοῦ. σιγῶντες δὲ ἀπέθνησκον οἱ πολλοὶ καὶ μηδὲν ὑπὲρ τὸ συνειδὸς εἰπόντες· οἳ δὲ ὑπὸ τῶν ἀληθόνων ψεύσασθαι βιασθέντες ἔλεγον ὡς ἐπιβουλεύοι τε αὐτῷ μετὰ Ἀριστοβούλου τοῦ ἀδελφοῦ, καὶ παραφυλάττοι κυνηγοῦντα κτείνας εἰς Ῥώμην ἀποδρᾶναι. τούτοις, καίπερ οὐ πιθανοῖς οὖσιν ἀλλ' ὑπὸ τῆς ἀνάγκης ἐσχεδιασμένοις, ὁ βασιλεὺς ἐπίστευεν ἡδέως, παραμυθίαν λαμβάνων τοῦ δῆσαι τὸν υἱὸν τὸ μὴ δοκεῖν ἀδίκως.

ὁ δὲ Ἀλέξανδρος ἐπεὶ τὸν πατέρα μεταπείθειν ἀμήχανον ἑώρα, τοῖς δεινοῖς ὁμόσε χωρεῖν διέγνω, καὶ τέσσαρας κατὰ τῶν ἐχθρῶν βίβλους συνταξάμενος προσωμολόγει μὲν τὴν ἐπιβουλήν, κοινωνοὺς δὲ ἀπεδείκνυε τοὺς πλείστους αὐτῶν, πρὸ δὲ πάντων Φερώραν καὶ Σαλώμην· ταύτην γὰρ δὴ καὶ μιγῆναί ποτε αὐτῷ μὴ θέλοντι, νύκτωρ εἰσβιασαμένην. αἵ τε οὖν βίβλοι παρῆσαν εἰς χεῖρας Ἡρώδῃ, πολλὰ καὶ δεινὰ κατὰ τῶν δυνατῶν βοῶσαι, καὶ διὰ τάχους εἰς Ἰουδαίαν Ἀρχέλαος

Digitized by Google

ἀφικνεῖται, περὶ τῷ γαμβρῷ καὶ τῇ θυγατρὶ δείσας. γίνεται δὲ βοηθὸς αὐτοῖς μάλα προμηθής, καὶ τέχνῃ τὴν τοῦ βασιλέως ἀπειλὴν διεκρούσατο. συμβαλὼν γὰρ εὐθέως αὐτῷ "ποῦ ποτέ ἐστιν ὁ ἀλιτήριός μου γαμβρός;" ἐβόα· "ποῦ δὲ τὴν πατροκτόνον ὄψομαι κεφαλήν, ἣν ταῖς ἐμαυτοῦ χερσὶ διασπαράξω; προσθήσω δὲ καὶ τὴν θυγατέρα μου τῷ καλῷ νυμφίῳ· καὶ γὰρ εἰ μὴ κεκοινώνηκε τοῦ σκέμματος, ὅτι τοιούτου γέγονε γυνή, μεμίανται. θαυμάζω δὲ καὶ σὲ τὸν ἐπιβουλευθέντα τῆς ἀνεξικακίας, εἰ ζῇ μέχρι νῦν Ἀλέξανδρος. ἐγὼ γὰρ ἠπειγόμην ἀπὸ Καππαδοκίας ὡς τὸν μὲν εὑρήσων πάλαι δεδωκότα δίκας, μετὰ δὲ σοῦ περὶ τῆς θυγατρὸς ἐξετάσων, ἣν κἀκείνῳ, σὲ καὶ τὸ σὸν ἀξίωμα βλέπων, ἐνεγύησα. νῦν δὲ περὶ ἀμφοῖν ἡμῖν βουλευτέον. κἂν ᾖς λίαν πατὴρ τοῦ κολάζειν υἱὸν ἐπίβουλον ἀτονώτερος, ἀμείψωμεν τὰς δεξιὰς καὶ γενώμεθα τῆς ἀλλήλων ὀργῆς διάδοχοι."

2 τούτοις περικομπήσας καίπερ παρατεταγμένον Ἡρῴδην ὑπάγεται. δίδωσι γοῦν αὐτῷ τὰς συνταχθείσας ὑπ' Ἀλεξάνδρου βίβλους ἀναγνῶναι, καὶ καθ' ἕκαστον ἐφιστὰς κεφάλαιον συνεσκέπτετο. λαμβάνει δὲ ὁ Ἀρχέλαος ἀφορμὴν τοῦ στρατηγήματος, καὶ κατὰ μικρὸν εἰς τοὺς ἐγγεγραμμένους καὶ Φερώραν μετῆγε τὴν αἰτίαν. ὡς δὲ ἑώρα πιστεύοντα τὸν βασιλέα, "σκεπτέον" ἔφη "μήποτε τὸ μειράκιον ὑπὸ τοσούτων εἴη πονηρῶν ἐπιβουλευόμενον, οὐχ ὑπὸ τοῦ μειρακίου σύ." καὶ γὰρ οὐδὲ ὁρᾶν αἰτίαν ἐξ ἧς ἂν εἰς τηλικοῦτον μύσος προέπεσεν, ἀπολαῦον μὲν ἤδη βασιλείας, ἐλπίζον δὲ καὶ διαδοχῆς, εἰ μή τινες ἦσαν ἀναπείθοντες καὶ τὸ τῆς ἡλικίας εὔκολον ἐπὶ κακῷ μεταχειριζόμενοι· διὰ γὰρ τῶν τοιούτων ἐξαπατᾶσθαι μὲν οὐ νέους μόνον ἀλλὰ καὶ γέροντας, οἴκους δὲ λαμπροτάτους καὶ βασιλείας ὅλας ἀνατρέπεσθαι.

Digitized by Google

συνήνει τοῖς λεγομένοις Ἡρώδης, καὶ τὴν μὲν πρὸς 3
Ἀλέξανδρον ὀργὴν ἐπανίει κατ' ὀλίγον, πρὸς δὲ Φερώ-
ραν παρωξύνετο· τῶν γὰρ τεσσάρων βιβλίων οὗτος ἦν
ἡ ὑπόθεσις. ὃς κατιδὼν τό τε τοῦ βασιλέως ὀξύρροπον
καὶ τὴν Ἀρχελάου φιλίαν παρ' αὐτῷ πάντων κρατοῦσαν,
ὡς οὐκ ἐνῆν εὐσχήμων σωτηρία, τὴν δι' ἀναιδείας ἐπο-
ρίζετο. καταλείψας γοῦν Ἀλέξανδρον προσέφυγεν Ἀρχε-
λάῳ. κἀκεῖνος οὐχ ὁρᾶν ἔφη πῶς ἂν αὐτὸν ἐξαιτήσαιτο
τοσούτοις ἐνεχόμενον ἐγκλήμασιν, ἐξ ὧν σαφῶς ἀποδεί-
κνυται τοῦ βασιλέως ἐπίβουλος καὶ τῶν παρόντων τῷ
μειρακίῳ κακῶν αἴτιος γεγονώς, εἰ μὴ βούληται τὸ πα-
νοῦργον καὶ τὰς ἀρνήσεις ἀφεὶς προσομολογῆσαι μὲν
τὰ κατηγορημένα, συγγνώμην δὲ αἰτήσασθαι παρὰ
τἀδελφοῦ καὶ φιλοῦντος· εἰς γὰρ τοῦτο πάντα τρόπον
αὐτῷ συνεργήσειν. πείθεται Φερώρας, καὶ κατασκευ- 4
άσας αὐτόν, ὡς ἂν οἰκτρότατος φανείη, μελαίνῃ τε
ἐσθῆτι καὶ δακρύοις, προσπίπτει τοῖς Ἡρώδου ποσίν,
ὡς πολλάκις ἔτυχε, συγγνώμην αἰτούμενος, καὶ μιαρὸν
μὲν ἑαυτὸν ὁμολογῶν (δεδρακέναι γὰρ πάντα ὅσα κατη-
γόρητο), παρακοπὴν δὲ φρενῶν καὶ μανίαν ὀδυρόμενος,
ἧς αἴτιον εἶναι τὸν ἔρωτα τῆς γυναικὸς ἔλεγε. παραστή-
σας δὲ κατήγορον καὶ μάρτυν αὐτοῦ Φερώραν Ἀρχέ-
λαος οὕτως ἤδη παρῃτεῖτο, καὶ τὴν Ἡρώδου κατέστελ-
λεν ὀργήν, χρώμενος οἰκείοις ὑποδείγμασι· καὶ γὰρ
αὐτὸς πολλῷ χαλεπώτερα πάσχων ὑπὸ τοῦ ἀδελφοῦ,
τῆς ἀμύνης ἐπίπροσθεν τίθεσθαι τὸ τῆς φύσεως δί-
καιον. ἐν γὰρ ταῖς βασιλείαις, ὥσπερ ἐν μεγάλοις
σώμασιν, ἀεί τι μέρος φλεγμαίνειν ὑπὸ τοῦ βάρους,
ὅπερ ἀποκόπτειν μὲν οὐ χρῆναι, θεραπεύειν δὲ πραό-
τερον.

πολλὰ τοιαῦτα λέγων Ἡρώδην μὲν ἐπὶ Φερώραν 5
μεθίσσεται, διέμενε δ' αὐτὸς ἀγαναπτῶν πρὸς Ἀλέξαν-

Digitized by Google

δρον, καὶ τὴν θυγατέρα διαζεύξας ἀπάξειν ἔφασκεν, ἕως περιέστησεν Ἡρῴδην ἀντιπαρακαλεῖν ὑπὲρ τοῦ μειρακίου, καὶ πάλιν αὐτῷ μνηστεύεσθαι τὴν θυγατέρα. σφόδρα δὲ ἀξιοπίστως Ἀρχέλαος ᾧ βούλεται συνοικίζειν αὐτὴν ἐπέτρεπε, πλὴν Ἀλεξάνδρου· περὶ πλείστου γὰρ ποιεῖσθαι τηρεῖν πρὸς αὐτὸν τὰ τῆς ἐπιγαμίας δίκαια. φαμένου δὲ τοῦ βασιλέως θῶρον ἕξειν παρ' αὐτοῦ τὸν υἱόν, εἰ μὴ λύσειε τὸν γάμον, ὄντων μὲν αὐτοῖς ἤδη καὶ τέκνων, στεργομένης δ' οὕτως ὑπὸ τοῦ μειρακίου τῆς γυναικός, ἣν παραμένουσαν μὲν ἔσεσθαι δυσώπημα τῶν ἡμαρτημένων, ἀπορραγεῖσαν δὲ αἰτίαν τῆς εἰς ἅπαντα ἀπογνώσεως (μαλακωτέρας γὰρ γίνεσθαι τὰς τόλμας πάθεσιν οἰκείοις περισπωμένας), κατανεύσας μόλις Ἀρχέλαος διαλλάσσεταί τε καὶ διαλλάσσει τῷ νεανίσκῳ τὸν πατέρα. δεῖν μέντοι πάντως ἔφη πέμπειν αὐτὸν εἰς Ῥώμην, Καίσαρι διαλεξόμενον· γεγραφέναι γὰρ αὐτὸς ἐκείνῳ περὶ πάντων.

6 τὸ μὲν οὖν Ἀρχελάου στρατήγημα, δι' οὗ τὸν γαμβρὸν ἐρρύσατο, πέρας εἶχε, μετὰ δὲ τὰς διαλλαγὰς ἐν εὐωχίαις καὶ φιλοφρονήσεσι διῆγον. ἀπιόντα δὲ αὐτὸν Ἡρῴδης δωρεῖται ταλάντων ἑβδομήκοντα δώροις, θρόνῳ τε χρυσῷ διαλίθῳ καὶ εὐνούχοις καὶ παλλακίδι, ἥτις ἐκαλεῖτο Πανυχίς, τῶν τε φίλων ἐτίμησεν ἕκαστον κατ' ἀξίαν. ὁμοίως δὲ καὶ οἱ συγγενεῖς, προστάξαντος τοῦ βασιλέως, πάντες Ἀρχελάῳ λαμπρὰ δῶρα ἔδοσαν. προεπέμφθη δὲ ὑπό τε Ἡρῴδου καὶ τῶν δυνατῶν μέχρις Ἀντιοχείας.

26 μετ' οὐ πολὺ δὲ εἰς τὴν Ἰουδαίαν παρέβαλεν ἀνὴρ πολὺ τῶν Ἀρχελάου στρατηγημάτων δυνατώτερος, ὃς οὐ μόνον τὰς ὑπ' ἐκείνου πολιτευθείσας Ἀλεξάνδρῳ διαλλαγὰς ἀνέτρεψεν, ἀλλὰ καὶ ἀπωλείας αἴτιος αὐτῷ κατέστη. ὃς ἦν Λάκων, Εὐρυκλῆς τοὔνομα, πόθῳ χρη-

Digitized by Google

μάτων εἰς τὴν βασιλείαν προσφθαρείς· οὐ γὰρ ἀντεῖχεν ἔτι ἡ Ἑλλὰς αὐτοῦ τῇ πολυτελείᾳ. λαμπρὰ δὲ Ἡρώδῃ δῶρα προσενεγκών, ὃ δέλεαρ ὢν ἐθηρᾶτο, καὶ παραχρῆμα πολλαπλασίω λαβών, οὐδὲν ἡγεῖτο τὴν καθαρὰν δόσιν, εἰ μὴ δι' αἵματος ἐμπορεύσαιτο τὴν βασιλείαν. περιέρχεται γοῦν τὸν βασιλέα κολακείᾳ καὶ δεινότητι λόγων καὶ περὶ αὐτοῦ ψευδέσιν ἐγκωμίοις. ταχέως δὲ συνιδὼν τὸν Ἡρώδου τρόπον, καὶ πάντα λέγων τε καὶ πράττων τὰ πρὸς ἡδονὴν αὐτῷ, φίλος ἐν τοῖς πρώτοις γίνεται· καὶ γὰρ ὁ βασιλεὺς διὰ τὴν πατρίδα καὶ πάντες οἱ περὶ αὐτὸν ἡδέως προετίμων τὸν Σπαρτιάτην.

ὃ δὲ ἐπεὶ τὰ σαθρὰ τῆς οἰκίας κατέμαθε, τάς τε 2
τῶν ἀδελφῶν διαφοράς, καὶ ὅπως διέκειτο πρὸς ἕκαστον ὁ πατήρ, Ἀντιπάτρου μὲν ξενίᾳ προκατείληπτο, φιλίᾳ δὲ Ἀλέξανδρον ὑπεκρίνετο, ψευσάμενος ἑταῖρον αὐτὸν εἶναι καὶ Ἀρχελάου πάλαι. διὸ δὴ καὶ ταχέως ὡς δεδοκιμασμένος ἐδέχθη· συνίστα δὲ ἑαυτὸν εὐθέως καὶ Ἀριστοβούλῳ τῷ ἀδελφῷ. πάντων δὲ ἀποπειραθεὶς τῶν προσώπων ἄλλον ἄλλως ὑπῄει. γίνεται δὲ προηγουμένως μισθωτὸς Ἀντιπάτρου καὶ προδότης Ἀλεξάνδρου, τῷ μὲν ὀνειδίζων εἰ πρεσβύτατος ὢν περιόψεται τοὺς ἐφεδρεύοντας αὐτοῦ ταῖς ἐλπίσιν, Ἀλεξάνδρῳ δὲ εἰ γεγενημένος ἐκ βασιλίδος, καὶ βασιλίδι συνοικῶν, ἐάσει διαδέχεσθαι τὴν ἀρχὴν τὸν ἐξ ἰδιώτιδος, καὶ ταῦτα μεγίστην ἀφορμὴν ἔχων Ἀρχέλαον. ἦν δὲ πιστὸς τῷ μειρακίῳ σύμβουλος, τὴν Ἀρχελάου φιλίαν πλασάμενος. δι' ὃ μηδὲν ὑποστελλόμενος Ἀλέξανδρος τά τε κατ' Ἀντίπατρον ἀπωδύρετο πρὸς αὐτόν, καὶ ὡς Ἡρώδης αὐτῶν τὴν μητέρα κτείνας οὐ παράδοξον εἰ καὶ αὐτοὺς ἀφαιρεῖται τὴν ἐκείνης βασιλείαν. ἐφ' οἷς ὁ Εὐρυκλῆς οἰκτείρειν τε καὶ συναλγεῖν ὑπεκρίνετο. τὰ δὲ αὐτὰ καὶ τὸν Ἀριστόβουλον εἰπεῖν δελεά-

Digitized by Google

σας, καὶ ταῖς κατὰ τοῦ πατρὸς μέμψεσιν ἐνδησάμενος ἀμφοτέρους, ᾤχετο φέρων Ἀντιπάτρῳ τὰ ἀπόρρητα. προσεψεύδετο δ' ἐπιβουλὴν ὡς ἐνεδρευόντων αὐτὸν τῶν ἀδελφῶν, καὶ μόνον οὐκ ἐπιφερόντων ἤδη τὰ ξίφη. λαβὼν δὲ ἐπὶ τούτοις χρημάτων πλῆθος, ἐπαιγέτης ἦν Ἀντιπάτρου πρὸς τὸν πατέρα. τὸ δὲ τελευταῖον ἐργολαβήσας τὸν Ἀριστοβούλου καὶ Ἀλεξάνδρου θάνατον, κατήγορος αὐτῶν ἐπὶ τοῦ πατρὸς γίνεται. καὶ προσελθὼν ἀντιδιδόναι τὸ ζῆν ἔφασκεν Ἡρῴδῃ τῶν εἰς αὐτὸν εὐεργεσιῶν, καὶ τὸ φῶς ἀμοιβὴν τῆς ξενίας ἀντιπαρέχειν. πάλαι γὰρ ἐπ' αὐτὸν ἠκονῆσθαι ξίφος καὶ τὴν Ἀλεξάνδρου τετονῶσθαι δεξιάν, ἐμποδὼν δὲ αὐτὸς γεγονέναι τῷ τάχει, συνεργεῖν ὑποκριθείς· φάναι γὰρ τὸν Ἀλέξανδρον ὡς οὐκ ἀγαπᾷ βασιλεύσας αὐτὸς Ἡρῴδης ἐν ἀλλοτρίοις, καὶ μετὰ τὸν τῆς μητρὸς αὐτῶν φόνον τὴν ἐκείνης ἀρχὴν σπαθήσας, ἀλλ' ἔτι καὶ νόθον εἰσάγει διάδοχον, Ἀντιπάτρῳ τῷ φθόρῳ τὴν παππῴαν αὐτῶν βασιλείαν προτείνων. τιμωρήσειν γε μὴν αὐτὸν τοῖς Τρκανοῦ καὶ Μαριάμμης δαίμοσιν· οὐδὲ γὰρ πρέπειν αὐτὸν διαδέξασθαι παρὰ τοιούτου πατρὸς τὴν ἀρχὴν δίχα φόνου. πολλὰ δὲ εἶναι τὰ παροξύνοντα καθ' ἡμέραν, ὥστε μηδὲ λαλιᾶς τινὰ τρόπον ἀσυκοφάντητον καταλελεῖφθαι. περὶ μὲν γὰρ εὐγενείας ἑτέρων μνείας γινομένης, αὐτὸς ἀλόγως ὑβρίζεσθαι, τοῦ πατρὸς λέγοντος "ὁ μόνος εὐγενὴς Ἀλέξανδρος, καὶ τὸν πατέρα δι' ἀγένειαν ἀδοξῶν·" κατὰ δὲ τὰς θήρας προσκρούειν μὲν σιωπῶν, ἐπαινέσας δὲ προσακούειν εἴρων. πανταχοῦ δὲ ἀμείλικτον εὑρίσκειν τὸν πατέρα, καὶ μόνῳ φιλόστοργον Ἀντιπάτρῳ· δι' ὃν ἡδέως καὶ τεθνήξεσθαι, μὴ κρατήσας τῆς ἐπιβουλῆς. κτείνανται δὲ εἶναι σωτηρίας ἀφορμὴν πρῶτον μὲν Ἀρχέλαον ὄντα κηδεστήν, πρὸς ὃν διαφεύξεσθαι ῥᾳδίως, ἔπειτα

Digitized by Google

Καίσαρα, μέχρι νῦν ἀγνοοῦντα. τὸν Ἡρώδου τρόπον. οὐ γὰρ ὡς πρότερον αὐτῷ παραστήσεσθαι πεφρικὼς τὸν ἐφεστῶτα πατέρα, οὐδὲ φθέγξεσθαι περὶ τῶν αὐτοῦ μόνον ἐγκλημάτων, ἀλλὰ πρῶτον μὲν κηρύξειν τὰς τοῦ ἔθνους συμφορὰς καὶ τοὺς μέχρι ψυχῆς φορολογουμένους, ἔπειτα εἰς οἵας τρυφὰς καὶ πράξεις τὰ δι' αἵματος πορισθέντα χρήματα ἀναλωθείη, τούς τε ἐξ ἡμῶν πλουτήσαντας, οἷοι, καὶ τὰς θεραπευθείσας πόλεις, ἐπὶ τίσιν· ζητήσειν δὲ καὶ τὸν πάππον ἐκεῖ καὶ τὴν μητέρα, καὶ τὰ τῆς βασιλείας μύση πάντα κηρύξειν· ἐφ' οἷς οὐ κριθήσεσθαι πατροκτόνος.

τοιαῦτα κατ' Ἀλεξάνδρου τερατευσάμενος ὁ Εὐρυ- 3
κλῆς ἐπῆνει πολλὰ τὸν Ἀντίπατρον, ὡς ἄρα μόνος τε εἴη φιλοπάτωρ καὶ διὰ τοῦτο μέχρι νῦν τῆς ἐπιβουλῆς ἐμπόδιον. μήπω δὲ καλῶς ὁ βασιλεὺς ἐπὶ τοῖς πρώτοις κατεσταλμένος εἰς ἀνήκεστον ὀργὴν ἐξαγριοῦται. καὶ πάλιν λαβὼν καιρὸν Ἀντίπατρος ἑτέρους κατὰ τῶν ἀδελφῶν ὑπέπεμπε κατηγόρους, λέγειν ὅτι Ἰουκούνδῳ καὶ Τυράννῳ λάθρᾳ διαλέγοιντο, τοῖς ἱππάρχοις μέν ποτε τοῦ βασιλέως γενομένοις, τότε δ' ἐκ τινῶν προσκρουσμάτων ἀποπεπτωκόσι τῆς τάξεως. ἐφ' οἷς Ἡρώδης ὑπεραγανακτήσας εὐθέως ἐβασάνισε τοὺς ἄνδρας. ἀλλ' οἳ μὲν οὐδὲν τῶν διαβληθέντων ὡμολόγουν, προεκομίσθη δέ τις πρὸς τὸν Ἡρώδου φρούραρχον ἐπιστολὴ παρ' Ἀλεξάνδρου, παρακαλοῦντος ἵνα αὐτὸν δέξηται τῷ φρουρίῳ μετ' Ἀριστοβούλου τοῦ ἀδελφοῦ κτείναντα τὸν πατέρα, καὶ παράσχῃ τοῖς ὅπλοις χρήσασθαι καὶ ταῖς ἄλλαις ἀφορμαῖς. ταύτην Ἀλέξανδρος μὲν ἔλεγε τέχνασμα εἶναι Διοφάντου (γραμματεὺς δ' ἦν ὁ Διόφαντος τοῦ βασιλέως, τολμηρὸς ἀνὴρ καὶ δεινὸς μιμήσασθαι πάσης χειρὸς γράμματα· πολλὰ γοῦν παραχαράξας τελευταῖον ἐπὶ τούτῳ καὶ κτείνεται)· βασανίσας

Digitized by Google

δὲ τὸν φρούραρχον Ἡρώδης οὐδὲν ἤκουσεν οὐδὲ παρ' ἐκείνου τῶν διαβεβλημένων.

4 ἀλλὰ καίτοι τοὺς ἐλέγχους εὑρίσκων ἀσθενεῖς, τοὺς υἱοὺς ἐκέλευσε τηρεῖν, ἔτι μέντοι λελυμένους· τὸν δὲ λυμεῶνα τῆς οἰκίας καὶ δραματουργὸν ὅλου τοῦ μύσους 5 Εὐρυκλέα, σωτῆρα καὶ εὐεργέτην καλῶν, πεντήκοντα δωρεῖται ταλάντοις. ὃ δὲ τὴν ἀκριβῆ φήμην φθάσας εἰς Καππαδοκίαν ἀργυρίζεται καὶ παρ' Ἀρχελάου, τολμήσας εἰπεῖν ὅτι καὶ διαλλάξειεν Ἡρώδην Ἀλεξάνδρῳ. διάρας δὲ εἰς τὴν Ἑλλάδα τοῖς ἐκ κακῶν κτηθεῖσιν εἰς 10 ὅμοια κατεχρήσατο· δὶς γοῦν ἐπὶ Καίσαρος κατηγορηθεὶς ἐπὶ τῷ στάσεως ἐμπλῆσαι τὴν Ἀχαΐαν καὶ περιδύειν τὰς πόλεις φυγαδεύεται.

κἀκεῖνον μὲν οὕτως ἡ Ἀριστοβούλου καὶ Ἀλε-
5 ξάνδρου ποινὴ περιῆλθεν, ἄξιον δὲ ἀντιθεῖναι τὸν 15 Κῷον Εὐάρατον τῷ Σπαρτιάτῃ· καὶ γὰρ οὗτος ὢν ἐν τοῖς μάλιστα φίλος Ἀλεξάνδρῳ, καὶ κατὰ τὸν αὐτὸν Εὐρυκλεῖ καιρὸν ἐπιδημήσας, πυνθανομένῳ τῷ βασιλεῖ περὶ ὧν ἐκεῖνος διέβαλλεν ὅρκοις μηδὲν ἀκηκοέναι παρὰ τῶν μειρακίων ἐπιστώσατο. οὐ μὴν ὤνησε γέ τι τοὺς ἀθλίους· 20 μόνων γὰρ ἦν τῶν κακῶν ἀκροατὴς ἑτοιμότατος Ἡρώδης, καὶ κεχαρισμένος αὐτῷ πᾶς ὁ συμπιστεύων καὶ συναγανακτῶν.

27 παρώξυνε δὲ αὐτοῦ καὶ Σαλώμη τὴν ἐπὶ τοῖς τέκνοις ὠμότητα. ταύτην γὰρ συνδήσασθαι τοῖς κινδύ- 25 νοις ὁ Ἀριστόβουλος θέλων, οὖσαν ἐκυρὰν καὶ τηθίδα, διαπέμπεται σώζειν αὐτὴν παραινῶν· παρεσκευάσθαι γὰρ βασιλέα κτείνειν αὐτὴν διαβληθεῖσαν ἐφ' οἷς καὶ πρότερον, ὅτι Συλλαίῳ τῷ Ἄραβι γήμασθαι σπουδάζουσα λάθρᾳ τὰ τοῦ βασιλέως ἀπόρρητα διαγγέλλοι 30 πρὸς αὐτὸν ἐχθρὸν ὄντα. τοῦθ' ὥσπερ τελευταία θύελλα χειμαζομένους τοὺς νεανίσκους ἐπεβάπτισεν· ἡ γὰρ

Digitized by Google

Σαλώμη δραμοῦσα πρὸς βασιλέα τὴν παραίνεσιν ἐμήνυσε. κἀκεῖνος μηκέτι κατερήσας δεσμεῖ μὲν ἀμφοτέρους τοὺς υἱεῖς, καὶ διαχωρίζει ἀπ' ἀλλήλων, πέμπει δὲ πρὸς Καίσαρα διὰ τάχους Ὑολούμνιόν τε τὸν στρατοπεδάρχην καὶ τὸν φίλον Ὄλυμπον, ἐγγράφως τὰς μηνύσεις φέροντας. οἳ δὲ ὡς εἰς Ῥώμην πλεύσαντες ἀπέδοσαν τὰ ἀπὸ τοῦ βασιλέως γράμματα, σφόδρα μὲν ἠχθέσθη Καῖσαρ ἐπὶ τοῖς νεανίσκοις, οὐ μὴν ᾤετο δεῖν ἀφελέσθαι τὸν πατέρα τὴν κατὰ τῶν υἱῶν ἐξουσίαν. ἀντιγράφει γοῦν κύριον μὲν αὐτὸν καθιστάς, εὖ μέντοι ποιήσειν λέγων, εἰ μετὰ κοινοῦ συνεδρίου τῶν τε ἰδίων συγγενῶν καὶ τῶν κατὰ τὴν ἐπαρχίαν ἡγεμόνων ἐξετάσειε τὴν ἐπιβουλήν· κἂν μὲν ἐνέχωνται, κτείνειν, ἂν δὲ μόνον ὥσι δρασμὸν βεβουλευμένοι, κολάσειν μετριώτερον.

τούτοις Ἡρώδης πείθεται, καὶ παραγενόμενος εἰς 2
Βηρυτόν, ἔνθα προσέταξε Καῖσαρ, συνήγαγε τὸ δικαστήριον. προκαθέζονται δὲ οἱ ἡγεμόνες, γραφὲν αὐτοῖς ὑπὸ Καίσαρος, Σατουρνῖνός τε καὶ οἱ περὶ Πεδάνιον πρέσβεις· σὺν οἷς καὶ Ὑολούμνιος ὁ ἐπίτροπος, ἔπειτα οἱ τοῦ βασιλέως συγγενεῖς καὶ φίλοι, Σαλώμη τε καὶ Φερώρας, μεθ' οὓς οἱ πάσης Συρίας ἄριστοι, πλὴν Ἀρχελάου τοῦ βασιλέως· τοῦτον γὰρ ὄντα κηδεστὴν Ἀλεξάνδρου δι' ὑποψίας εἶχεν Ἡρώδης. τούς γε μὴν υἱεῖς οὐ προήγαγεν εἰς τὴν δίκην, μάλα προμηθῶς· ἤδει γὰρ ὅτι καὶ μόνον ὀφθέντες ἐλεηθήσονται πάντως· εἰ δὲ δὴ καὶ λόγου μεταλάβοιεν, ῥᾳδίως Ἀλέξανδρον ἀπολύσεσθαι τὰς αἰτίας. ἀλλ' οἱ μὲν ἐν Πλατάνῃ, κώμῃ Σιδωνίων, ἐφρουροῦντο, καταστὰς δὲ ὁ βασιλεὺς 3
ὡς πρὸς παρόντας διετείνετο. κατηγόρει τε τὴν μὲν ἐπιβουλὴν ἀσθενῶς, ὡς ἂν ἀπορούμενος εἰς αὐτὴν ἐλέγχων, λοιδορίας δὲ καὶ σκώμματα καὶ ὕβρεις καὶ πλημ-

Digitized by Google

μελείας μυρίας εἰς αὐτόν, ἃ· καὶ θανάτου χαλεπώτερα τοῖς συνέδροις ἀπέφαινεν. ἔπειτα μηδενὸς ἀντιλέγοντος ἐποικτισάμενος ὡς αὐτὸς ἁλίσκοιτο καὶ νικῶν νίκην πικρὰν κατὰ τέκνων, ἐπηρώτα τὴν γνώμην ἕκαστον. καὶ πρῶτος Σατουρνῖνος ἀπεφήνατο κατακρίνειν μὲν τῶν νεανίσκων, ἀλλ' οὐ θάνατον· οὐ γὰρ εἶναι θεμιτὸν αὐτῷ, τριῶν παρεστώτων τέκνων, ἑτέρου τέκνοις ἀπώλειαν ἐπιψηφίσασθαι. σύμψηφοι δὲ αὐτῷ καὶ οἱ δύο πρεσβευταὶ γίνονται, καὶ τούτοις ἕτεροί τινες ἠκολούθησαν. Ὀλούμνιος δὲ τῆς σκυθρωπῆς ἀποφάσεως ἤρξατο, καὶ μετ' αὐτὸν πάντες θάνατον κατακρίνουσι τῶν μειρακίων, οἳ μὲν κολακεύοντες οἳ δὲ μισοῦντες Ἡρώδην, καὶ οὐδεὶς δι' ἀγανάκτησιν. ἔνθα δὴ μετέωρος ἦ τε Συρία πᾶσα καὶ τὸ Ἰουδαϊκὸν ἦν, ἐκδεχόμενοι τὸ τέλος τοῦ δράματος· οὐδεὶς μέντοι ὑπελάμβανεν ἔσεσθαι μέχρι τεκνοκτονίας ὠμὸν Ἡρώδην. ὃ δὲ σύρας τοὺς υἱεῖς εἰς Τύρον, κἀκεῖθεν διαπλεύσας εἰς Καισάρειαν, τρόπον ἀναιρέσεως τοῖς μειρακίοις ἐσκέπτετο.

4 παλαιὸς δέ τις τοῦ βασιλέως στρατιώτης ὄνομα Τήρων, ἔχων υἱὸν σφόδρα συνήθη καὶ φίλον Ἀλεξάνδρῳ, καὶ αὐτὸς ἠγαπηκὼς ἰδίᾳ τὰ μειράκια, δι' ὑπερβολὴν ἀγανακτήσεως ἔκφρων ἐγένετο, καὶ τὸ μὲν πρῶτον ἐβόα περιιὼν πεπατῆσθαι τὸ δίκαιον, ἀπολωλέναι τὴν ἀλήθειαν, συγκεχύσθαι τὴν φύσιν, ἀνομίας γέμειν τὸν βίον, καὶ πάνθ' ὅσα μὴ φειδομένῳ τοῦ ζῆν ὑπηγόρευε τὸ πάθος. τέλος δὲ καὶ τῷ βασιλεῖ τολμήσας προσελθεῖν, "ἀλλ' ἐμοὶ μέν" ἔφη "κακοδαιμονέστατος εἶναι δοκεῖς, ὅστις κατὰ τῶν φιλτάτων πείθῃ τοῖς πονηροτάτοις, εἴ γε Φερώρα καὶ Σαλώμης καταγνοὺς πολλάκις θάνατον, πιστεύεις τούτοις κατὰ τῶν τέκνων, οἵ σε τῶν γνησίων περικόπτοντες διαδόχων ἐπ' Ἀντιπάτρῳ καταλείπουσι μόνῳ, τὸν αὐτοῖς εὐμεταχείριστον αἱρούμενοι βασιλέα.

Digitized by Google

σκῆψαι μέντοι γε μή ποτε κἀκείνῳ γένηται μῖσος ἐν τοῖς στρατιώταις ὁ τῶν ἀδελφῶν θάνατος· οὐ γὰρ ἔστιν ὅστις οὐκ ἐλεεῖ τὰ μειράκια, τῶν δὲ ἡγεμόνων καὶ φανερῶς ἀγανακτοῦσι πολλοί." ταῦθ' ἅμα λέγων ὠνόμαζε τοὺς ἀγανακτοῦντας. ὁ δὲ βασιλεὺς εὐθέως ἐκείνους τε καὶ αὐτὸν καὶ τὸν υἱὸν αὐτοῦ συνελάμβανεν. ἐφ' ᾧ τῶν ἐκ τῆς αὐλῆς τις κουρέων, Τρύφων ὄνομα, προεκπηδήσας ἔκ τινος φρενοβλαβείας ἑαυτοῦ μηνυτὴς γίνεται· "κἀμέ" γὰρ ἔφη "Τήρων οὗτος ἀνέπειθεν, ὅταν θεραπεύω τῷ ξυρῷ σε διαχρήσασθαι, μεγάλας τέ μοι παρ' Ἀλεξάνδρου δωρεὰς ὑπισχνεῖτο." ταῦτα ἀκούσας Ἡρώδης τόν τε Τήρωνα σὺν τῷ παιδὶ καὶ τὸν κουρέα βασάνοις διήλεγχε. καὶ τῶν μὲν ἀρνουμένων, τοῦ δὲ μηδὲν πλέον λέγοντος, στρεβλοῦν ἐκέλευσε τὸν Τήρωνα σφοδρότερον. ὁ δὲ υἱὸς οἰκτείρας ὑπέσχετο τῷ βασιλεῖ πάντα μηνύσειν, εἰ χαρίσαιτο τὸν πατέρα αὐτῷ. κἀκείνου δόντος εἶπεν ὡς ὁ πατὴρ αὐτοῦ, πεισθεὶς Ἀλεξάνδρῳ, θελήσειεν αὐτὸν ἀνελεῖν. τοῦτο οἱ μὲν εἰς ἀπαλλαγὴν τῆς τοῦ πατρὸς αἰκίας πεπλάσθαι, τινὲς δὲ ἀληθὲς ἔλεγον. Ἡρώδης γε μὴν ἐν ἐκκλησίᾳ τῶν τε ἡγεμόνων καὶ Τήρωνος κατηγορήσας, τὸν λαὸν ἐπ' αὐτοὺς ἐστρατολόγησεν· αὐτόθι γοῦν ἀναιροῦνται μετὰ τοῦ κουρέως, ξύλοις βαλλόμενοι καὶ λίθοις. πέμψας δὲ καὶ τοὺς υἱεῖς εἰς Σεβαστήν, οὖσαν οὐ πόρρω τῆς Καισαρείας, προσέταξεν ἀποπνῖξαι. καὶ τελεσθέντος αὐτῷ ταχέως τοῦ προστάγματος, τοὺς νεκροὺς εἰς Ἀλεξάνδρειον ἐκέλευσεν ἀνακομισθῆναι τὸ φρούριον, συνταφησομένους Ἀλεξάνδρῳ τῷ μητροπάτορι.

τὸ μὲν οὖν Ἀλεξάνδρου καὶ Ἀριστοβούλου τέλος τοιοῦτον· Ἀντιπάτρῳ δὲ ἀδήριτον ἔχοντι τὴν διαδοχὴν μῖσος ἄφορητον ἐκ τοῦ ἔθνους ἐπεγείρεται, πάντων ἐπισταμένων ὅτι τὰς διαβολὰς τοῖς ἀδελφοῖς πάσας ἐπισυν-

Digitized by Google

τάξειεν οὗτος. ὑποικούρει δὲ καὶ δέος οὐ μέτριον, αὐξανομένην ὁρῶντι τὴν τῶν ἀνηρημένων γενεάν. ἦσαν γὰρ Ἀλεξάνδρῳ μὲν ἐκ Γλαφύρας υἱεῖς δύο, Τιγράνης καὶ Ἀλέξανδρος, Ἀριστοβούλῳ δὲ ἐκ Βερενίκης τῆς Σαλώμης θυγατρὸς Ἡρώδης μὲν καὶ Ἀγρίππας καὶ Ἀριστόβουλος υἱοί, θυγατέρες δὲ Ἡρωδιὰς καὶ Μαριάμμη. τὴν μὲν οὖν Γλαφύραν Ἡρώδης μετὰ τῆς προικὸς ἀπέπεμψεν εἰς Καππαδοκίαν, ὡς ἀνεῖλεν Ἀλέξανδρον, τὴν Ἀριστοβούλου δὲ Βερενίκην συνῴκισε θείῳ πρὸς μητρὸς Ἀντιπάτρου· τὴν γὰρ Σαλώμην οὖσαν διάφορον ἐξοικειούμενος ὁ Ἀντίπατρος τοῦτον ἐπραγματεύσατο τὸν γάμον. περιέθει δὲ καὶ Φερώραν δώροις τε καὶ ταῖς ἄλλαις θεραπείαις, καὶ τοὺς Καίσαρος φίλους, οὐκ ὀλίγα πέμπων εἰς τὴν Ῥώμην χρήματα. οἵ γε μὴν περὶ Σατουρνῖνον ἐν Συρίᾳ πάντες ἐπλήσθησαν τῶν ἀπ' αὐτοῦ δωρεῶν. ἐμισεῖτο δὲ διδοὺς πλεῖον, ὡς ἂν οὐκ ἐκ τοῦ μεγαλοψύχου χαριζόμενος ἀλλ' ἀναλίσκων κατὰ δέος. συνέβαινε δὴ τοὺς μὲν λαμβάνοντας οὐδὲν μᾶλλον εὖνους γίνεσθαι, χαλεπωτέρους δὲ ἐχθροὺς οἷς μὴ διδῷη. λαμπροτέρας δὲ καθ' ἡμέραν ἐποιεῖτο τὰς διαδόσεις, ὁρῶν τὸν βασιλέα, παρ' ἃς αὐτὸς ἐλπίδας εἶχεν, ἐπιμελούμενον τῶν ὀρφανῶν, καὶ τὴν ἐπὶ τοῖς ἀνηρημένοις μετάνοιαν ἐμφαίνοντα δι' ὧν ἠλέει τοὺς ἐξ ἐκείνων.

2 συναγαγὼν γάρ ποτε Ἡρώδης συγγενεῖς τε καὶ τοὺς φίλους, παραστησάμενός τε τὰ παιδία καὶ δακρύων ἐμπλήσας τοὺς ὀφθαλμούς, εἶπεν "ἐμὲ τοὺς πατέρας τούτων σκυθρωπὸς ἀφείλετο δαίμων, ταῦτα δέ μοι μετὰ τῆς φύσεως συνίστησιν ἔλεος ὀρφανίας. πειρῶμαι δέ, εἰ καὶ πατὴρ ἐγενόμην ἀτυχέστατος, πάππος γοῦν φανῆναι μετριώτερος, καὶ μετ' ἐμὲ κηδεμόνας αὐτοῖς καταλιπεῖν τοὺς ἐμοὶ φιλτάτους. ἐγγυῶ δὲ τὴν μὲν σήν, Φερώρα, θυγατέρα τῷ πρεσβυτέρῳ τῶν ἀδελφῶν Ἀλεξάνδρου

Digitized by Google

παίδων, ἵνα ἧς αὐτῷ κηδεμὼν ἀναγκαῖος, τῷ σῷ δὲ παιδί, Ἀντίπατρε, τὴν Ἀριστοβούλου θυγατέρα· γένοιο γὰρ ἂν οὕτω πατὴρ τῆς ὀρφανῆς. καὶ τὴν ἀδελφὴν αὐτῆς ὁ ἐμὸς Ἡρώδης λήψεται, πρὸς μητρὸς ὢν ἀρχιερέως πάππου. ὁ ἀγαπῶν μὲν οὖν ἐμὲ ταύτην ἐχέτω τὴν γνώμην, ἣν διακόψῃ μηδεὶς ἐμὲ φιλῶν· ἐπεύχομαι δὲ καὶ τῷ θεῷ συναρμόσασθαι τοὺς γάμους ἐπὶ συμφέροντι τῆς ἐμῆς βασιλείας καὶ τῶν ἐμῶν ἐκγόνων, τά τε παιδία ταυτὶ γαληνοτέροις ἐπιδεῖν ὄμμασιν ἢ τοὺς πατέρας αὐτῶν."

Ἔτι ταῦτα εἰπὼν ἐδάκρυσέ τε καὶ τῶν παίδων συν- 3
ήρμοσε τὰς δεξιάς· ἔπειτα κατασπασάμενος ἕκαστον φιλοφρόνως διέλυσε τὸν σύλλογον. ἐπαχνώθη δ' εὐθὺς Ἀντίπατρος, καὶ δῆλος ἦν ἅπασιν ὀδυνώμενος· ὑπελάμβανε γὰρ εἶναι καὶ παρὰ τῷ πατρὶ τὴν τῶν ὀρφανῶν τιμὴν ἑαυτοῦ κατάλυσιν, αὖθίς τε κινδυνεύσειν περὶ τῶν ὅλων, εἰ πρὸς Ἀρχελάῳ καὶ Φερώραν ὄντα τετράρχην βοηθὸν ἔχοιεν οἱ Ἀλεξάνδρου παῖδες. συνελογίζετο δὲ τὸ ἑαυτοῦ μῖσος καὶ τὸν τῶν ὀρφανῶν ἔλεον ἐκ τοῦ ἔθνους, ὅση τε σπουδὴ ζώντων, καὶ ὅση μνήμη παρὰ Ἰουδαίοις τῶν δι' αὐτὸν ἀπολωλότων ἦν ἀδελφῶν. ἔγνω δὴ πάντα τρόπον διακόπτειν τὰς ἐγγύας. καὶ τὸ μὲν 4
ὑπιέναι πανούργως ἔδεισε τὸν πατέρα χαλεπὸν ὄντα καὶ πρὸς τὰς ὑποψίας κινούμενον εὐθέως, ἐτόλμησε δὲ προσελθὼν ἱκετεύειν ἄντικρυς μὴ στερίσκειν αὐτὸν ἧς ἠξίωσε τιμῆς, μηδὲ αὐτῷ μὲν ὄνομα βασιλείας, δύναμιν δὲ ὑπάρχειν ἄλλοις· οὐ γὰρ κρατήσειν τῶν πραγμάτων, εἰ πρὸς Ἀρχελάῳ πάππῳ καὶ Φερώραν κηδεστὴν ὁ Ἀλεξάνδρου παῖς προσλάβοι. κατηντιβόλει δὲ πολλῆς οὔσης γενεᾶς κατὰ τὸ βασίλειον μεταθεῖναι τοὺς γάμους. ἦσαν γὰρ δὴ τῷ βασιλεῖ γυναῖκες μὲν ἐννέα, τέκνα δὲ ἐκ τῶν ἑπτά, αὐτὸς μὲν Ἀντίπατρος ἐκ Δωρίδος, Ἡρώδης δὲ ἐκ Μαριάμμης τῆς τοῦ ἀρχιερέως θυγατρός, Ἀντίπας δὲ

Digitized by Google

καὶ Ἀρχέλαος ἐκ Μαλθάκης τῆς Σαμαρείτιδος, καὶ θυγάτηρ Ὀλυμπιάς, ἣν ὁ ἀδελφιδοῦς αὐτοῦ Ἰώσηπος εἶχεν, ἐκ δὲ τῆς Ἱεροσολυμίτιδος Κλεοπάτρας Ἡρώδης καὶ Φίλιππος, ἐκ δὲ Παλλάδος Φασάηλος. ἐγένοντο δὲ αὐτῷ καὶ ἄλλαι θυγατέρες, Ῥωξάνη τε καὶ Σαλώμη, ἡ μὲν ἐκ Φαίδρας ἡ δὲ ἐξ Ἐλπίδος. δύο δὲ εἶχεν ἀτέκνους, ἀνεψιάν τε καὶ ἀδελφιδῆν, χωρὶς δὲ τούτων δύο ἀδελφὰς Ἀλεξάνδρου καὶ Ἀριστοβούλου τὰς ἐκ Μαριάμμης. οὔσης δὲ πολυπροσώπου τῆς γενεᾶς ὁ Ἀντίπατρος ἐδεῖτο μετατεθῆναι τοὺς γάμους. χαλεπῶς δὲ ὁ βασιλεὺς ἠγανάκτησε καταμαθὼν αὐτοῦ τὸ πρὸς τοὺς ὀρφανοὺς ἦθος, ἔννοιά τε αὐτῷ παρέστη περὶ τῶν ἀνηρημένων, μή ποτε κἀκεῖνοι γένοιντο τῶν Ἀντιπάτρου διαβολῶν ἀγώνισμα. τότε μὲν οὖν πολλὰ πρὸς ὀργὴν ἀποκρινάμενος ἀπελαύνει τὸν Ἀντίπατρον, αὖθις δ' ὑπαχθεὶς αὐτοῦ ταῖς κολακείαις μεθηρμόσατο, καὶ αὐτῷ μὲν τὴν Ἀριστοβούλου συνῴκισε θυγατέρα, τὸν δὲ υἱὸν αὐτοῦ τῇ Φερώρα θυγατρί.

6 καταμάθοι δ' ἄν τις ὅσον ἴσχυσεν ἐν τούτῳ κολακεύων Ἀντίπατρος, ἐκ τοῦ Σαλώμην ἐν ὁμοίοις οὖσαν ἀποτυχεῖν. ταύτην γὰρ δή, καίπερ οὖσαν ἀδελφὴν καὶ πολλὰ διὰ Ἰουλίας τῆς Καίσαρος γυναικὸς ἱκετεύουσαν γαμηθῆναι τῷ Ἄραβι Συλλαίῳ, διωμόσατο μὲν ἐχθροτάτην ἕξειν εἰ μὴ παύσαιτο τῆς σπουδῆς, τὸ δὲ τελευταῖον ἄκουσαν Ἀλεξᾷ τινὶ τῶν φίλων συνῴκισε, καὶ τῶν θυγατέρων αὐτῆς τὴν μὲν τῷ Ἀλεξᾷ παιδί, τὴν δὲ ἑτέραν τῷ πρὸς μητρὸς Ἀντιπάτρου θείῳ. τῶν δὲ ἐκ Μαριάμμης θυγατέρων ἡ μὲν ἀδελφῆς υἱὸν Ἀντίπατρον εἶχεν, ἡ δὲ ἀδελφοῦ Φασάηλον.

29 διακόψας δὲ τὰς τῶν ὀρφανῶν ἐλπίδας ὁ Ἀντίπατρος, καὶ πρὸς τὸ συμφέρον αὐτῷ τὰς ἐπιγαμίας ποιησάμενος, ὡς ἐπὶ βεβαίοις μὲν ὥρμει ταῖς ἐλπίσι, προσ-

Digitized by Google

βάλων δὲ τῇ πακτᾷ τὸ πεποιθὸς ἀπόρρητος ἦν· τὸ γὰρ ἑκάστου μῖσος ἀποσκευάσασθαι μὴ δυνάμενος, ἐκ τοῦ φοβερὸς εἶναι τὴν ἀσφάλειαν ἐπορίζετο. συνήργει δὲ καὶ Φερώρας ὡς ἂν ἤδη βασιλεῖ βεβαίῳ. γίνεται δὲ καὶ γυναικῶν συναγμα κατὰ τὴν αὐλήν, ὃ νεωτέρους ἐκίνησε θορύβους. ἡ γὰρ Φερώρα γυνὴ, μετὰ τῆς μητρὸς καὶ τῆς ἀδελφῆς προσλαβοῦσα τὴν Ἀντιπάτρου μητέρα, πολλὰ μὲν ἠσέλγαινε κατὰ τὸ βασίλειον, ἐτόλμησε δὲ καὶ τοῦ βασιλέως ὑβρίσαι δύο θυγατέρας· διὸ μάλιστα αὐτὴν ἐκεῖνος προβέβλητο· μισούμεναί γε μὴν ὑπ' αὐτοῦ τῶν ἄλλων ἐπεκράτουν. μόνη δὲ τῆς ὁμοιότητος αὐτῶν ἀντίπαλος ἦν Σαλώμη, καὶ βασιλεῖ διέβαλλε τὴν σύνοδον, ὡς οὐκ ἐπ' ἀγαθῷ τῶν αὐτοῦ πραγμάτων εἴη. γνοῦσαι δὲ ἐκεῖναι τὴν διαβολήν, καὶ ὡς ἀγανακτήσειεν Ἡρῴδης, τῆς μὲν φανερᾶς συνόδου καὶ τῶν φιλοφρονήσεων ἐπαύσαντο, τοὐναντίον δὲ ὑπεκρίνοντο καὶ διαφέρεσθαι πρὸς ἀλλήλας ἀκούοντος βασιλέως, αἷς συνυπεκρίνετο καὶ Ἀντίπατρος, ἐν τῷ φανερῷ προσκρούων Φερώρᾳ· συνουσίαι δὲ ἦσαν αὐτῶν λάθρᾳ καὶ κῶμοι νυκτερινοί, τήν τε ὁμόνοιαν ἡ παρατήρησις ἐπέτεινεν. ἠγνόει δὲ οὐδὲν Σαλώμη τῶν πραττομένων, καὶ πάνθ' Ἡρῴδῃ διήγγελλεν.

ἐξεκαίετο δ' ἐκεῖνος εἰς ὀργήν, καὶ μάλιστα ἐπὶ τὴν 2
Φερώρα γυναῖκα· ταύτην γὰρ πλέον ἡ Σαλώμη διέβαλλεν. ἀθροίσας γοῦν συνέδριον τῶν τε φίλων καὶ συγγενῶν, ἄλλα τε πολλὰ τῆς ἀνθρώπου κατηγόρει καὶ τὴν εἰς τὰς αὐτοῦ θυγατέρας ὕβριν, ὅτι τε Φαρισαίοις μὲν χορηγήσειε μισθοὺς κατ' αὐτοῦ, καὶ τὸν ἀδελφὸν αὐτῷ κατασκευάσειε πολέμιον, ἐνδησαμένη φαρμάκοις. τελευταῖον δὲ εἰς Φερώραν ἀπέστρεψε τὸν λόγον, δυοῖν θάτερον ἑλέσθαι λέγων, ἢ αὐτὸν ἀδελφὸν ἢ τὴν γυναῖκα. τοῦ δὲ θάττον ἀπολείψειν τὸ ζῆν ἢ τὴν γυναῖκα

Digitized by Google

φήσαντος, οὐκ ἔχων ὅτι χρὴ θρᾶν, μετέβαινεν ἐπ' Ἀντίπατρον, ᾧ παρήγγειλε μήτε τῇ Θεοῦρα γυναικὶ μήτε αὐτῷ μήτε ἄλλῳ τινὶ τῶν ἐκείνης διαλέγεσθαι. ὃ δὲ φανερῶς μὲν οὐ μετέβαινε τὸ πρόσταγμα, λάθρᾳ δὲ διενυκτέρευε σὺν ἐκείνοις. καὶ δεδοικὼς ἐπιβουλεύουσαν τὴν Σαλώμην πραγματεύεται διὰ τῶν ἐπὶ τῆς Ἰταλίας φίλων τὴν εἰς Ῥώμην ἀποδημίαν αὐτῷ. γραψάντων γὰρ ἐκείνων δεῖν Ἀντίπατρον περιφθῆναι διὰ χρόνου πρὸς Καίσαρα, ὃ δὲ οὔ τι μελλήσας ἐξέπεμψε, θεραπείαν τε λαμπρὰν καὶ πλεῖστα δοὺς χρήματα, τήν τε διαθήκην κομίζειν, ἐν ᾗ βασιλεὺς μὲν Ἀντίπατρος ἐγέγραπτο, Ἀντιπάτρου δὲ Ἡρώδης διάδοχος ὁ ἐκ Μαριάμμης τῆς τοῦ ἀρχιερέως θυγατρὸς γεγονώς.

3 ἔπλευσε δὲ καὶ Συλλαῖος ὁ Ἄραψ ἐπὶ Ῥώμης, ἠμελημένως μὲν τῶν Καίσαρος προσταγμάτων, ἀγωνιούμενος δὲ πρὸς Ἀντίπατρον περὶ ὧν ἐδεδίκαστο Νικολάῳ τάχιον. οὐ μικρὸς δὲ αὐτῷ καὶ πρὸς Ἀρέταν ἦν ἀγὼν τὸν αὐτοῦ βασιλέα· τούτου γὰρ ἄλλους τε φίλους ἀνῃρήκει καὶ Σόεμον, τῶν ἐν Πέτρᾳ τὸν δυνατώτατον. πείσας δὲ πολλοῖς χρήμασι Φαβᾶτον τὸν Καίσαρος διοικητήν, ἐχρῆτο βοηθῷ καὶ καθ' Ἡρώδου. πλείονα δὲ δοὺς Ἡρώδης ἀφίστησί τε ἀπὸ Συλλαίου Φαβᾶτον, καὶ δι' αὐτοῦ τὰ κελευσθέντα ὑπὸ Καίσαρος εἰσέπραττεν. ὃ δὲ μηδὲν ἀποδοὺς ἔτι καὶ κατηγόρει Φαβάτου πρὸς Καίσαρα, διοικητὴν εἶναι λέγων οὐ τοῦ ἐκείνου, τῶν δὲ Ἡρώδου συμφερόντων. ἐφ' οἷς ὀργισθεὶς Φαβᾶτος (ἦν δὲ ἔτι παρ' Ἡρώδῃ μάλιστα τιμώμενος) γίνεται προδότης Συλλαίου τῶν ἀπορρήτων, τῷ τε βασιλεῖ φησὶν ὅτι Συλλαῖος διαφθείρειεν αὐτοῦ τὸν σωματοφύλακα Κόρινθον χρήμασιν, ὃν δεῖ φυλάττεσθαι. πείθεται δ' ὁ βασιλεύς· καὶ γὰρ ἐτέθραπτο μὲν ὁ Κόρινθος ἐν τῇ βασιλείᾳ, γένος δ' ἦν Ἄραψ. συλλαμβάνει δ'

Digitized by Google

εὐθέως οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ δύο ἑτέρους Ἄραβας, εὑρὼν παρ' αὐτῷ, τὸν μὲν φίλον Σύλλαιον τὸν δὲ φύλαρχον. οἳ δὲ βαρανιζόμενοι πεῖσαι Κόριμθον ὡμολόγησαν ἐπὶ πολλοῖς χρήμασιν Ἡρώδην ἀνελεῖν. οὗτοι μὲν οὖν ἀνακριθέντες καὶ παρὰ Σατορνίνῳ τῷ ὑπάτῳ τὴν Συρίαν ἀνεπέμφθησαν εἰς Ῥώμην, Ἡρώδης δ' οὐκ ἀνίει Φερώραν βιαζόμενος ἀπαλλαγῆναι τῆς γυναικός· οὐδ' ἐπενόει μηχανὴν δι' ἧς ἂν τιμωρήσαιτο τὴν ἄνθρωπον, πολλὰς τοῦ μίσους ἔχων αἰτίας, ἕως ὑπεραλγήσας σὺν αὐτῇ καὶ τὸν ἀδελφὸν ἐκβάλλει. Φερώρας δὲ ἀγαπήσας τὴν ὕβριν, ἀπαλλάσσεται μὲν εἰς τὴν ἑαυτοῦ τετραρχίαν, ὀμόσας ἕξειν ἕνα τῆς φυγῆς ὅρον τὸν Ἡρώδου θάνατον καὶ μηδέποτε πρὸς ζῶντα ὑποστρέψειν, ἐπανῆλθε δὲ οὐδὲ πρὸς νοσοῦντα τὸν ἀδελφόν, καίτοι λιπαρῶς μεταπεμπόμενον· ἐβούλετο γὰρ αὐτῷ τινὰς ἐντολὰς καταλείψειν ὡς τεθνηξόμενος. ἀλλ' ὃ μὲν παρ' ἐλπίδα σώζεται, μετ' οὐ πολὺ δὲ νοσεῖ Φερώρας, εὑρίσκεται δὲ Ἡρώδης μετριώτερος· καὶ γὰρ ἦκει πρὸς αὐτὸν καὶ συμπαθῶς ἐθεράπευεν. οὐ μὴν ὑπερίσχυσε τοῦ πάθους· μετὰ γὰρ ἡμέρας ὀλίγας ἀποθνήσκει Φερώρας, ὃν καίπερ ἀγαπήσας Ἡρώδης μέχρι τελευταίας ἡμέρας, ὅμως καὶ αὐτὸν ἀνελεῖν ἐφημίσθη φαρμάκῳ. τόν γε μὴν νεκρὸν εἰς Ἱεροσόλυμα κομίσας πένθος τε μέγιστον ὅλῳ τῷ ἔθνει κατήγγειλε, καὶ κηδείας ἠξίωσε λαμπροτάτης.

ἕνα μὲν δὴ τῶν Ἀλεξάνδρου καὶ Ἀριστοβούλου φονέων τοιοῦτον περιέρχεται τέλος, μετέβαινε δ' ἐπὶ τὸν αὐθέντην Ἀντίπατρον ἡ ποινή, τὸν Φερώρα θάνατον ἀρχὴν λαβοῦσα. τῶν τούτου γάρ τινες ἀπελεύθερων κατηφεῖς τῷ βασιλεῖ προσελθόντες, τὸν ἀδελφὸν αὐτοῦ διεφθάρθαι φαρμάκοις ἔλεγον· προσενεγκεῖν μὲν γὰρ αὐτῷ τι τὴν γυναῖκα τῶν οὐ συνήθως

Digitized by Google

ἐσκευασμένων, φαγόντα δὲ εὐθέως εἰς τὴν νόσον κατα-
πεσεῖν. ἀγηοχέναι τε πρὸ ὀλίγου ἡμερῶν τὴν μητέρα
ταύτης καὶ τὴν ἀδελφὴν γύναιον ἐκ τῆς Ἀραβίας φαρ-
μάκων ἔμπειρον, ὅπως φίλτρον σκευάσῃ τῷ Φερώρᾳ,
δεδωκέναι δὲ ἀντὶ τούτου θανάσιμον Συλλαίου πραγμα-
τευσαμένου· τοῦτο γὰρ ἦν γνώριμον.

2 πλησθεὶς οὖν ὁ βασιλεὺς ὑποψίας πλείοσι, θερα-
παίνας τε καί τινας τῶν ἐλευθέρων ἐβασάνιζεν. ἐβόα
δέ τις ἐν ταῖς ἀλγηδόσι "θεὸς ὁ γῆν καὶ οὐρανὸν διέ-
πων μετέλθοι τὴν τούτων ἡμῖν τῶν κακῶν αἰτίαν,
τὴν Ἀντιπάτρου μητέρα." ταύτης τῆς ἀρχῆς ὁ βασι-
λεὺς λαβόμενος ἐπεξῄει πρόσω τὴν ἀλήθειαν ἐπιζη-
τῶν. ἡ δὲ γυνὴ τήν τε φιλίαν τῆς Ἀντιπάτρου μη-
τρὸς πρὸς Φερώραν καὶ τὰς ἐκείνου γυναῖκας ἐδήλου,
καὶ τὰς λαθραίας αὐτῶν συνόδους, ὅτι τε Φερώρας
καὶ Ἀντίπατρος σὺν ἐκείναις πίνοιεν, ὑποστρέφοντες
ἀπὸ τοῦ βασιλέως, δι' ὅλης νυκτός, μηδένα μήτε οἰ-
κέτην μήτε θεράπαιναν ἐῶντες παρατυγχάνειν. μία
δὴ τῶν ἐλευθέρων ταῦτα μηνύει.

3 τὰς δὲ δούλας χωρὶς ἑκάστην Ἡρῴδης ἐβασάνι-
ζεν. ἐρρήθη δὲ παρὰ πάσαις τὰ προειρημένα συμφώ-
νως, καὶ διότι κατὰ συνθήκην Ἀντίπατρος μὲν εἰς
Ῥώμην Φερώρας δὲ ὑποχωρήσειεν εἰς τὴν Περαίαν.
πολλάκις γὰρ αὐτοὺς διαλαλεῖν ὡς μετ' Ἀλέξανδρον
καὶ Ἀριστόβουλον ἐπ' αὐτοὺς Ἡρῴδης διαβήσεται καὶ
τὰς αὐτῶν γυναῖκας· οὐ γὰρ φείσεσθαι μετὰ Μαριάμ-
μην καὶ τοὺς ἐξ ἐκείνης ἑτέρου τινός, ὥστε ἄμεινον
εἶναι ὡς πορρωτάτω φυγεῖν τοῦ θηρίου. πολλάκις
δὲ ἀποδυρόμενον πρὸς τὴν μητέρα τὸν Ἀντίπατρον εἰ-
πεῖν ὡς αὐτὸς μὲν εἴη πολιὸς ἤδη, νεάζοι δὲ καθ' ἡμέ-
ραν ὁ πατήρ, φθάσαι δ' ἂν τάχα καὶ τελευτήσας πρὶν
ἄρξασθαι βασιλείας ἀληθοῦς· εἰ δὲ καί ποτε ἐκεῖνος

Digitized by Google

τελευτήσειε (πότε δ' ἂν γενέσθαι τοῦτο;) παντάπασιν αὐτῷ τὴν ἀπόλαυσιν τῆς διαδοχῆς γενέσθαι σύντομον. ὑποβλαστάνειν δὲ τὰς τῆς ὕδρας κεφαλάς, τοὺς Ἀριστοβούλου καὶ Ἀλεξάνδρου παῖδας. ἀφῃρῆσθαι δὲ αὐτὸν ὑπὸ τοῦ πατρὸς καὶ τὴν ἐπὶ τέκνοις ἐλπίδα· διάδοχον γὰρ οὐ τῶν αὐτοῦ τινὰ παίδων μετὰ τὴν τελευτήν, ἀλλὰ τὸν Μαριάμμης Ἡρώδην γεγραφέναι. καὶ κατὰ τοῦτό γε παντάπασι παραγηρᾶν, οἰόμενον αὐτοῦ καὶ διαθήκας μενεῖν κυρίας· αὐτὸν γὰρ προνοήσειν μηδένα τῆς γενεᾶς ἀπολιπεῖν. ὄντα γε μὴν τῶν πώποτε πατέρων μισοτεκνότατον Ἡρώδην πολλῷ μᾶλλον εἶναι μισάδελφον· δοῦναι γοῦν αὐτῷ πρφὴν ἑκατὸν τάλαντα ἐπὶ τῷ μὴ διαλέγεσθαι Φερώρᾳ. τοῦ δὲ εἰπόντος "τί γὰρ αὐτὸν ἐβλάπτομεν;" ἀποκρίνασθαι τὸν Ἀντίπατρον "εἶθε πάνθ' ἡμᾶς ἀφελόμενος γυμνοὺς ἐάσειε ζῶντας. ἀλλ' ἀμήχανον ἐκφυγεῖν οὕτω φονικὸν θηρίον, παρ' ᾧ μηδὲ φιλεῖν τινὰς ἔξεστι φανερῶς. λάθρᾳ γοῦν ἀλλήλοις σύνεσμεν, ἐξέσται δὲ φανερῶς, ἐὰν σχῶμέν ποτε ἀνδρῶν φρόνημα καὶ χεῖρας."

ταῦτα ἔλεγον αἱ βασανιζόμεναι, καὶ ὅτι Φερώρας 4
βουλεύσαιτο φεύγειν μετ' αὐτῶν εἰς Περαίαν. ἐπίστευσε δὲ πᾶσιν Ἡρώδης τοῖς λεγομένοις ἐκ τῶν ἑκατὸν ταλάντων· μόνῳ γὰρ Ἀντιπάτρῳ διείλεκτο περὶ αὐτῶν. ἀποσκήπτει δὲ εἰς τὴν πρώτην ὁ θυμὸς Δωρίδα τὴν Ἀντιπάτρου μητέρα· καὶ γυμνώσας αὐτὴν παντὸς οὗ ἐδεδώρητο κόσμου (πολλῶν δ' ἦν ταλάντων) ἐκβάλλει δεύτερον. τὰς δὲ Φερώρα γυναῖκας ἀπὸ τῶν βασάνων ἐτημέλει διηλλαγμένος. ἐπτόητο δὲ τῷ φόβῳ, καὶ πρὸς πᾶσαν ὑπόνοιαν ἐξερριπίζετο, πολλούς τε τῶν οὐκ αἰτίων εἶλκεν εἰς βασάνους, δεδοικὼς μή τινα τῶν αἰτίων παραλίπῃ.

κἀν τούτῳ τρέπεται πρὸς τὸν Σαμαρείτην Ἀντίπα- 5

Digitized by Google

τρον, ὃς ἦν ἐπίτροπος Ἀντιπάτρου. βασανίζων δὲ αὐτὸν ἤκουσεν ὅτι μεταπέμψαιτο μὲν Ἀντίπατρος ἐξ Αἰγύπτου δηλητήριον φάρμακον ἐπ' αὐτὸν διά τινος τῶν ἑταίρων Ἀντιφίλου, λάβοι δὲ παρ' ἐκείνου Θευδίων ὁ θεῖος Ἀντιπάτρου, καὶ παραδοίη Φερώρᾳ· τούτῳ γὰρ ἐντείλασθαι τὸν Ἀντίπατρον Ἡρώδην ἀνελεῖν, ἕως αὐτός ἐστιν ἐν Ῥώμῃ τῆς ὑπονοίας κεχωρισμένος, Φερώραν δὲ παραθέσθαι τῇ γυναικὶ τὸ φάρμακον. ταύτην ὁ βασιλεὺς μεταπεμψάμενος αὐτίκα τὸ ληφθὲν ἐκέλευσε κομίζειν. ἡ δὲ ἔξεισιν ὡς κομιοῦσά, ῥίπτει δ' ἑαυτὴν ἀπὸ τοῦ τέγους, τόν τε ἔλεγχον καὶ τὴν ἐκ τοῦ βασιλέως αἰκίαν φθάνουσα. προνοίᾳ δέ, ὡς ἔοικε, θεοῦ μετιόντος Ἀντίπατρον οὐκ ἐπὶ κεφαλὴν ἀλλ' ἐπὶ θάτερα πεσοῦσα διασώζεται. κομισθεῖσαν δὲ αὐτὴν ὁ βασιλεὺς ἀνακτησάμενος (κεκάρωτο γὰρ ἐκ τοῦ πτώματος) ἠρώτα διʼ ἣν αἰτίαν ῥίψειεν ἑαυτήν, εἰ μὲν εἴποι τἀληθές, ἀφήσειν πάσης τιμωρίας ἐπομνύμενος, εἰ δὲ ὑποστείλαιτο, δαπανήσειν αὐτῆς ἐν βασάνοις τὸ σῶμα καὶ μηδὲ τάφῳ καταλείψειν.

6 πρὸς ταῦτα ἡ γυνὴ διαλιποῦσα μικρόν, "καὶ τί γάρ" εἶπεν "ἔτι φείδομαι τῶν ἀπορρήτων, Φερώρα τεθνεῶτος, ἢ σώζουσα τὸν ἀπολέσαντα πάντας ἡμᾶς Ἀντίπατρον; ἄκουε, βασιλεῦ, καὶ μετὰ σοῦ θεός, μάρτυς ἐμοὶ τῆς ἀληθείας, πλανηθῆναι μὴ δυνάμενος. ὅτε ἀποθνήσκοντι Φερώρᾳ παρεκαθέζου δεδακρυμένος, τότε με προσκαλεσάμενος ἐκεῖνος ἦ πολύ γε ἔφη, γύναι, τῆς εἰς ἐμαυτὸν διανοίας τοῦ ἀδελφοῦ διήμαρτον, τὸν οὕτω στέργοντα μισήσας, καὶ κτεῖναι βουλευσάμενος τὸν οὕτως ἐπ' ἐμοὶ μηδὲ τεθνεῶτί πω συγχεόμενον. ἀλλ' ἐγὼ μὲν ἀπέχω τῆς ἀσεβείας τὸ ἐπιτίμιον· σὺ δὲ ὃ φυλάττεις κατ' αὐτοῦ φάρμακον ὑπ' Ἀντιπάτρου καταλειφθὲν ἡμῖν φέρε, καὶ βλέποντός μου ταχέως ἀφάνισον, ἵνα μὴ

Digitized by Google

καὶ καθ' Ἅδου φέροιμι τὸν ἀλάστορα.' κελεύσαντος ἐκόμισα, καὶ πλεῖστον μὲν εἰς τὸ πῦρ ὁρῶντος αὐτοῦ κατεκένωσα, βραχὺ δὲ ἐμαυτῇ πρὸς τὰ ἄθηλα καὶ τὸν ἐκ σοῦ φόβον ἐτήρησα."

ταῦτα εἰποῦσα προκομίζει τὴν πυξίδα, βραχὺ παν- 7
τάπασιν ἔχουσαν τοῦ φαρμάκου. βασιλεὺς δ' ἐπὶ τὴν μητέρα τὴν Ἀντιφίλου καὶ τὸν ἀδελφὸν τὰς βασάνους μετέφερε· κἀκεῖνοι τὸν Ἀντίφιλον κομίσαι τε ἀπ' Αἰγύπτου τὴν πυξίδα ὡμολόγουν, καὶ λαβεῖν παρ' ἀδελφοῦ τὸ φάρμακον ἔφασκον, ἰατρεύοντος ἐν Ἀλεξανδρείᾳ. περιιόντες δ' οἱ Ἀλεξάνδρου καὶ Ἀριστοβούλου δαίμονες ἅπαν τὸ βασίλειον, ἐρευνηταί τε καὶ μηνυταὶ τῶν ἀθήλων ἐγένοντο, τούς τε πορρωτάτω τῆς ὑποψίας ὄντας ἔσυρον εἰς τοὺς ἐλέγχους. εὑρίσκεται γοῦν καὶ ἡ τοῦ ἀρχιερέως θυγάτηρ Μαριάμμη τῆς ἐπιβουλῆς συνίστωρ· βασανιζόμενοι τοῦτο ἀπέδειξαν καὶ αὐτῆς οἱ ἀδελφοί. βασιλεὺς δὲ τῆς μητρῴας τόλμης τὸν υἱὸν ἠμύνατο· τὸν γοῦν ἐξ αὐτῆς Ἡρῴδην, ὄντα διάδοχον Ἀντιπάτρου, τῆς διαθήκης ἐξήλειψεν.

ἐπὶ τούτοις καὶ Βάθυλλος εἰς τοὺς ἐλέγχους συνέ- 31
δραμεν, ἡ τελευταία πίστις τῶν Ἀντιπάτρῳ βεβουλευμένων. ἦν μὲν γὰρ ἀπελεύθερος αὐτοῦ, κομίζων δὲ ἦκεν ἄλλο δηλητήριον, ἰοὺς ἀσπίδων καὶ χυλοὺς ἑτέρων ἑρπετῶν, ἵν' εἰ τὸ πρῶτον ἀσθενήσειε φάρμακον, τούτῳ Φερώρας μετὰ τῆς γυναικὸς ὁπλίσαιτο κατὰ τοῦ βασιλέως. πάρεργον δὲ τῆς ἐπὶ τὸν πατέρα τόλμης ἐκόμιζε τὰς κατὰ τῶν ἀδελφῶν ἐσκευωρημένας ἐπιστολὰς ὑπ' Ἀντιπάτρου. ἦσαν δὲ Ἀρχέλαος καὶ Φίλιππος βασιλέως παῖδες ἐπὶ Ῥώμης παιδευόμενοι, μειράκιά τε ἤδη καὶ φρονήματος μεστοί. τούτους ἐπανακύπτοντας αὐτοῦ ταῖς ἐλπίσιν ἀποσκευάσασθαι σπεύδων Ἀντίπατρος ἃς μὲν πλάσσεται κατ' αὐτῶν ἐπιστολὰς ἐξ ὀνόματος

Digitized by Google

πῶν ἐπὶ Ῥώμης φίλων, οὓς δὲ πείθει γράψαι διαφθείρας χρήμασιν, ὡς πολλὰ μὲν βλασφημοῖεν τὸν πατέρα, φανερῶς δὲ Ἀλέξανδρον καὶ Ἀριστόβουλον ὀδύροιντο, πρός τε τὴν μετάκλησιν ἀγανακτοῖεν. ἤδη δὲ αὐτοὺς ὁ πατὴρ μετεπέμπετο, καὶ τοῦτο ἦν μάλιστα ταράσσον Ἀντίπατρον.

2 ἔτι δὲ καὶ πρὸ τῆς ἀποδημίας, ἐν Ἰουδαίᾳ μένων, τοιαύτας κατ' αὐτῶν ἀπὸ Ῥώμης ἠγόραζεν ἐπιστολάς, καὶ προσιὼν τέως ἀνύποπτος ἦν τῷ πατρί, περὶ τῶν ἀδελφῶν δὲ ἀπελογεῖτο, τὰ μὲν ψευδῆ λέγων εἶναι τῶν γραφομένων, τὰ δὲ νεότητος ἁμαρτήματα. τηνικαῦτά γε μὴν τοῖς γράφουσι κατὰ τῶν ἀδελφῶν πλεῖστα δοὺς χρήματα, συμφύρειν ἐπειρᾶτο τὸν ἔλεγχον, ἐσθῆτας πολυτελεῖς καὶ στρωμνὰς ποικίλας ἐκπώματά τε ἀργυρᾶ καὶ χρυσᾶ συνωνούμενος, ἄλλα τε πολλὰ τῶν κειμηλίων, ἵνα τῷ πλήθει τῆς εἰς ταῦτα δαπάνης τοὺς εἰς ἐκεῖνα μισθοὺς ἐγκατακρύψῃ. διακόσια γοῦν ἀναλώματος ἀνήνεγκε τάλαντα, καὶ τούτων μεγίστη πρόφασις ἦν ἡ πρὸς Συλλαῖον δίκη. πάντων δὲ αὐτοῦ τότε καὶ τῶν βραχυτέρων ἐν τῷ μείζονι κακῷ διακαλυφθέντων, ὅτε αἱ μὲν βάσανοι πᾶσαι τὴν πατροκτονίαν αἱ δὲ ἐπιστολαὶ δευτέρας ἀδελφοκτονίας κεκράγεσαν, ὅμως οὐδεὶς τῶν εἰς Ῥώμην ἀφικνουμένων ἀπήγγειλεν αὐτῷ τὰς ἐν Ἰουδαίᾳ τύχας, καίτοι μεταξὺ τῶν ἐλέγχων καὶ τῆς ἐπανόδου διελθόντων ἑπτὰ μηνῶν· τοσοῦτον πρὸς αὐτὸν ἐκ πάντων μῖσος ἦν. τάχα δὲ καὶ τοὺς ἀπαγγέλλειν προαιρουμένους οἱ τῶν ἀνῃρημένων δαίμονες ἀδελφῶν ἐφίμουν. γράφει γοῦν ἀπὸ Ῥώμης ἄφιξιν αὐτοῦ ταχεῖαν εὐαγγελιζόμενος, καὶ ὡς ὑπὸ Καίσαρος μετὰ τιμῆς ἀπολυθείη.

3 βασιλεὺς δὲ εἰς χεῖρας λαβεῖν σπεύδων τὸν ἐπίβουλον, καὶ δεδοικὼς μή ποτε προγονοὺς φυλάξηται, δι'

Digitized by Google

ἐπιστολῶν ἀνθυπεκρίνετο, τά τε ἄλλα φιλοφρονούμενος καὶ σπεύδειν παρακαλῶν· θήσεσθαι γὰρ αὐτοῦ καὶ τὰς πρὸς τὴν μητέρα μέμψεις ἐπειχθέντος. οὐ γὰρ ἠγνόει τὴν ἐκβολὴν τῆς μητρὸς Ἀντίπατρος. πρότερον μὲν οὖν εἰλήφει τὴν περὶ τῆς Φερώρα τελευτῆς ἐπιστολὴν ἐν Τάραντι, καὶ μέγιστον ἐποιήσατο πένθος, ὃ καί τινες ὡς ἐπὶ θείῳ καθύμνουν. ἦν δέ, ὡς ἔοικεν, ἐπὶ διαμαρτίᾳ τῆς ἐπιβουλῆς ἡ σύγχυσις, καὶ οὐ Φερώραν κλαίοντος ἀλλὰ τὸν ὑπηρέτην. ἤδη δὲ καὶ φόβος ἐπῄει τις αὐτὸν τῶν τετελεσμένων, μή ποτε φωραθείη τὸ φάρμακον. τότε δὲ ἐν Κιλικίᾳ λαβὼν ἣν προειρήκαμεν παρὰ τοῦ πατρὸς ἐπιστολήν, παραχρῆμα μὲν ἔσπευδεν· ὡς δὲ εἰς Κελένδεριν κατέπλει, λαμβάνει τις αὐτὸν ἔννοια τῶν περὶ τὴν μητέρα κακῶν, προμαντευομένης ἤδη καθ' ἑαυτῆς τῆς ψυχῆς. οἱ μὲν οὖν προμηθέστεροι τῶν φίλων συνεβούλευον μὴ πρότερον ἐμπίπτειν τῷ πατρὶ πρὶν πυθέσθαι σαφῶς δι' ἃς αἰτίας ἐξέβαλεν αὐτοῦ τὴν μητέρα· δεδιέναι γὰρ μή ποτε προσθήκη γένοιτο τῶν κατ' ἐκείνης διαβολῶν. οἱ δὲ ἀσκεπτότεροι, καὶ τὴν πατρίδα σπεύδοντες ἰδεῖν μᾶλλον ἢ τὸ συμφέρον Ἀντιπάτρῳ σκοποῦντες, ἐπείγεσθαι παρῄνουν, καὶ μὴ τῇ μελλήσει παρασχεῖν τῷ πατρὶ μὲν ὑποψίαν φαύλην τοῖς διαβάλλουσι δ' ἀφορμήν· καὶ γὰρ νῦν εἴ τι κεκίνηται κατ' αὐτοῦ, παρὰ τὴν ἀπουσίαν γεγονέναι· μηδὲ γὰρ ἂν τολμῆσαι παρόντος. ἄτοπον δὲ εἶναι δι' ἀθήλους ὑποψίας προδήλων ἀγαθῶν στερίσκεσθαι, καὶ μὴ θᾶττον ἀποδοῦναι μὲν ἑαυτὸν τῷ πατρί, κομίσασθαι δὲ τὴν βασιλείαν ἐπ' αὐτῷ μόνῳ σαλεύουσαν. πείθεται τούτοις (ἐνῆγε γὰρ τὸ δαιμόνιον), καὶ διαπεράσας εἰς τὸν Σεβαστὸν τὸν λιμένα τῆς Καισαρείας κατάγεται.

παρυπήντησε δὲ αὐτῷ παρὰ δόξαν ἐρημία πολλή, 4
πάντων ἐκτρεπομένων καὶ μηδενὸς προσιέναι τολμῶν-

Digitized by Google

τος· ἐμισεῖτο μὲν γὰρ ἐπ' ἴσης, καὶ τότε φανῆναι τὸ μῖσος ἔσχε παρρησίαν· πολλοὺς δὲ ὁ ἐκ τοῦ βασιλέως φόβος ἀπέστρεφεν, ἐπειδὴ πᾶσα πόλις ἤδη τῆς κατ' Ἀντιπάτρου φήμης πεπλήρωτο, καὶ μόνος ἠγνόει τὰ καθ' ἑαυτὸν Ἀντίπατρος· οὔτε γὰρ προεπέμφθη λαμπρότερόν τις ἐκείνου πλέοντος ἐπὶ Ῥώμης, οὔτε ἀτιμότερον ὑπεδέχθη. ὃ δὲ ἤδη μὲν ὑπενόει τὰς οἴκοι συμφοράς, ἔτι δὲ πανουργίᾳ ὑπεκρύπτετο, καὶ τῷ δέει τεθνηκὼς ἔνδοθεν σοβαρὸς εἶναι τὸ πρόσωπον ἐβιάζετο. φυγὴ δ' ἦν οὐκέτι, οὐδὲ ἐκ τῶν περιεχόντων ἀνάδυσις. καὶ σαφὲς μὲν οὐδὲ ἐκεῖ τι τῶν οἴκοθεν ἀπηγγέλλετο διὰ τὴν ἐκ τοῦ βασιλέως ἀπειλήν, ὑπελείπετο δ' ἐλπὶς ἱλαρωτέρα, τάχα μὲν μηδὲν πεφωρᾶσθαι, τάχα δ' εἴ τι καὶ περώραται, διασκεδάσειν ἀναιδείᾳ καὶ δόλοις, ἅπερ ἦν αὐτῷ μόνα τῆς σωτηρίας ἐφόδια.

φραξάμενος οὖν αὐτοῖς ἦκεν εἰς τὸ βασίλειον δίχα τῶν φίλων· οὗτοι γὰρ ὑβρισθέντες ἐπὶ τοῦ πρώτου πυλῶνος εἴρχθησαν. ἔτυχε δὲ ἔνδον ὢν ὁ τῆς Συρίας ἡγεμὼν Ὄαρος. ὃ δὲ εἰσεισι πρὸς τὸν πατέρα, καὶ τῇ τόλμῃ παρακρατήσας ἑαυτὸν ἤγγισεν ὡς ἀσπασόμενος. κἀκεῖνος τὰς χεῖρας προβαλὼν καὶ τὴν κεφαλὴν παρακλίνας, "ἔστιν" ἐξεβόησε "καὶ τοῦτο πατροκτόνου, τὸ περιπλέκεσθαί μοι θέλειν ἐν τηλικαύταις αἰτίαις ὄντα. φθείρου, δυσσεβεστάτη κεφαλή, μηδέ μου ψαύσῃς πρὶν ἀποσκευάσασθαι τὰ ἐγκλήματα. δίδωμι δέ σοι δικαστήριον καὶ δικαστὴν εὐκαίρως ἥκοντα Ὄαρον. ἴθι, καὶ σκέπτου τὴν ἀπολογίαν εἰς αὔριον· παρέχω γάρ σοι καιρὸν τοῖς πανουργήμασι." πρὸς ταῦτα μηδὲν ὑπ' ἐκπλήξεως ἀποκρίνασθαι δυνηθεὶς αὐτὸς ὑπέστρεψε. παραγενόμεναι δὲ πρὸς αὐτὸν διηγήσαντο πάντας τοὺς ἐλέγχους ἥ τε μήτηρ καὶ ἡ γυνή.

καὶ τότε μὲν ἀνανήψας ἐν σκέψει τῆς ἀπολογίας ἦν,

Digitized by Google

τῇ δὲ ἐπιούσῃ συνέδριον μὲν ὁ βασιλεὺς ἀθροίζει τῶν 32
συγγενῶν καὶ φίλων, εἰσκαλεῖ δὲ καὶ τοὺς Ἀντιπάτρου
φίλους. προκαθέζεται δ' αὐτὸς ἅμα Υ̓άρῳ, καὶ τοὺς
μηνυτὰς ἅπαντας ἐκέλευσεν εἰσαγαγεῖν· ἐν οἷς εἰσή-
χθησαν καὶ τῆς Ἀντιπάτρου μητρὸς οἰκέται τινὲς οὐ
πρὸ πολλοῦ συνειλημμένοι, γράμματα κομίζοντες ἀπ'
αὐτῆς πρὸς τὸν υἱὸν τοιάδε "ἐπείπερ πεφώραται πάν-
τα ἐκεῖνα παρὰ τῷ πατρί σου, μὴ παραγίνου πρὸς αὐ-
τόν, ἂν μή τινα πορίσῃ παρὰ Καίσαρος δύναμιν." τού-
των σὺν τοῖς ἄλλοις εἰσηγμένων Ἀντίπατρος εἰσέρχεται,
καὶ πεσὼν πρηνὴς πρὸ τῶν ποδῶν τοῦ πατρός "ἱκετεύω,
πάτερ," ἔφη "μηδέν μου προκατεγνωκέναι, παρασχεῖν
δέ μοι τὰς ἀκοὰς ἀκεραίους εἰς τὴν ἀπολογίαν· ἀποδεί-
ξω γὰρ ἐμαυτὸν καθαρόν, ἂν σὺ θέλῃς."

ὃ δ' αὐτῷ σιγᾶν ἐγκραγὼν πρὸς τὸν Υ̓άρον εἶπεν 2
"ἀλλ' ὅτι μὲν καὶ σύ, Υ̓άρε, καὶ πᾶς δικαστὴς ὅσιος
Ἀντίπατρον ἐξώλη κρινεῖ πέπεισμαι· δέδοικα δὲ μὴ κά-
μοῦ μισήσῃς τὴν τύχην, κἀμὲ κρίνῃς πάσης ἄξιον συμ-
φορᾶς, τοιούτους υἱοὺς γεγεννηκότα. χρὴ δέ με διὰ
τοῦτο ἐλεεῖσθαι μᾶλλον, ὅτι πρὸς οὕτω μιαροὺς καὶ
φιλοστοργότατος πατὴρ ἐγενόμην. τοὺς μὲν γὰρ προ-
τέρους βασιλείας τε ἔτι νέους ἀξιώσας, καὶ πρὸς τοῖς
ἐν Ῥώμῃ τροφείοις φίλους Καίσαρος ζηλωτούς τε ποιή-
σας βασιλεῦσιν ἑτέροις, εὗρον ἐπιβούλους, οἳ τεθνή-
κασι τὸ πλέον Ἀντιπάτρῳ· νέῳ γὰρ ὄντι καὶ διαδόχῳ
τούτῳ μάλιστα τὴν ἀσφάλειαν ἐποριζόμην. τὸ δὲ μια-
ρὸν τοῦτο θηρίον τῆς ἐμῆς ὑπερεμπλησθὲν ἀνεξικα-
κίας ἤνεγκε κατ' ἐμοῦ τὸν κόρον. ἔδοξα γὰρ αὐτῷ
πολὺν ζῆν χρόνον, καὶ τὸ ἐμὸν γῆρας ἐβαρύνθη, βα-
σιλεύς τ' οὐχ ὑπέμενεν, εἰ μὴ διὰ πατροκτονίας, γενέ-
σθαι, δίκαιά γε βουλευσάμενος, ὅτι καταγαγὼν αὐτὸν
ἐκ τῆς χώρας ἀπερριμμένον, καὶ παρωσάμενος τοὺς ἐκ

Digitized by Google

βασιλίδος μοι γεγεννημένους, ἀπέδειξα τῆς ἀρχῆς διάδοχον. ἐξομολογοῦμαί σοι, Ὄαρε, τὴν ἐμαυτοῦ φρενοβλάβειαν. ἐγὼ τοὺς υἱοὺς ἐκείνους κατ' ἐμαυτοῦ παρώξυνα, δικαίας αὐτῶν ἀποκόψας ἐλπίδας δι' Ἀντίπατρον. καὶ τί μὲν ἐκείνους ἠὐεργέτησα τηλικοῦτον ἡλίκον τοῦτον; ᾧ γε ζῶν μὲν ὀλίγου δεῖν παρεχώρησα τῆς ἐξουσίας, φανερῶς δὲ ταῖς διαθήκαις ἐνέγραψα τῆς ἀρχῆς διάδοχον, καὶ πρόσοδον μὲν ἰδίᾳ πεντήκοντα ταλάντων ἔνειμα, τῶν δὲ ἐμῶν ἐχορήγησα χρημάτων ἀνέδην, πλέοντι δὲ νῦν εἰς Ῥώμην ἔδωκα τριακόσια τάλαντα. Καίσαρι δὲ ἐξ ὅλης τῆς γενεᾶς μόνον ὡς σωτῆρα τοῦ πατρὸς παρεθέμην. τί δὲ ἐκεῖνοι τοιοῦτον ἠσέβησαν οἷον Ἀντίπατρος; ἢ τίς ἔλεγχος ἠνέχθη κατ' αὐτῶν ἡλίκος ἀποδείκνυσι τοῦτον ἐπίβουλον; ἀλλὰ φθέγγεσθαί τι τετόλμηκεν ὁ πατροκτόνος, καὶ πάλιν δόλοις τὴν ἀλήθειαν ἐπικαλύψειν ἐλπίζει. Ὄαρε, σοὶ φυλακτέον· ἐγὼ γὰρ οἶδα τὸ θηρίον, καὶ προορῶμαι τὴν μέλλουσαν ἀξιοπιστίαν καὶ τὸν ἐπίπλαστον ὀλοφυρμόν. οὗτός ἐστιν ὁ παραινῶν ἐμοί ποτε φυλάττεσθαι ζῶντα Ἀλέξανδρον καὶ μὴ πᾶσι πιστεύειν τὸ σῶμα· οὗτος ὁ μέχρι τῆς κοίτης εἰσάγων, καὶ μή μέ τις ἐνεδρεύοι περιβλέπων· οὗτος ὁ ταμίας τῶν ὕπνων καὶ χορηγὸς τῆς ἀμεριμνίας, ὁ παραμυθούμενος τὴν ἐπὶ τοῖς ἀνῃρημένοις λύπην καὶ διακρίνων τὴν τῶν ζώντων εὔνοιαν ἀδελφῶν, ὁ ὑπερασπιστὴς ὁ ἐμός, ὁ σωματοφύλαξ. ὅταν ἀναμνησθῶ, Ὄαρε, τὸ πανοῦργον ἐν ἑκάστῳ καὶ τὴν ὑπόκρισιν, ἀπιστία με τοῦ ζῆν εἰσέρχεται, καὶ θαυμάζω πῶς οὕτω βαθὺν ἐπίβουλον διέφυγον. ἀλλ' ἐπεὶ δαίμων τις ἐρημοῖ τὸν ἐμὸν οἶκον καί μοι τοὺς φιλτάτους ἐπανίστησιν ἀεί, κλαύσομαι μὲν ἐγὼ τὴν ἄδικον εἱμαρμένην καὶ κατ' ἐμαυτὸν στενάξω τὴν ἐρημίαν, διαφεύξεται δ' οὐδεὶς διψήσας τοῦ-

Digitized by Google

μὸν αἷμα, κἂν διὰ πάντων μου τῶν τέκνων ὁ ἔλεγχος ἔλθῃ."

τοιαῦτα λέγων αὐτὸς μὲν ὑπὸ συγχύσεως ἐνεκόπη, 3
Νικολάῳ δέ, ἑνὶ τῶν φίλων, λέγειν τὰς ἀποδείξεις ἐκέ-
λευε. μεταξὺ δὲ ὁ Ἀντίπατρος ἐπάρας τὴν κεφαλήν
(ἔμενε γὰρ δὴ βεβλημένος πρὸ τῶν ποδῶν τοῦ πατρός)
ἐβόα "σύ, πάτερ, ὑπὲρ ἐμοῦ πεποίησαι τὴν ἀπολογίαν.
πῶς γὰρ ἐγὼ πατροκτόνος, ὃν ὁμολογεῖς αὐτὸς φύλακα
διὰ παντὸς ἐσχηκέναι; τερατείαν δέ μου καὶ ὑπόκρισιν
λέγεις τὴν εὐσέβειαν. πῶς οὖν ὁ πανοῦργος οὕτως ἐν
τοῖς ἄλλοις ἄφρων ἐγενόμην, ὡς μὴ νοεῖν ὅτι λαθεῖν
οὐδὲ ἀνθρώπους ῥᾴδιον τηλικοῦτον μῦσος ἐνσκευαζό-
μενον, τὸν δὲ ἀπ' οὐρανοῦ δικαστὴν ἀμήχανον, ὃς ἐφο-
ρᾷ πάντα καὶ πανταχοῦ πάρεστιν; ἢ τὸ τῶν ἀδελφῶν
τέλος ἠγνόουν, οὓς ὁ θεὸς οὕτω μετῆλθε τῆς εἰς σὲ κα-
κοβουλίας; τί δέ με καὶ παρώξυνε κατὰ σοῦ; βασιλείας
ἐλπίς; ἀλλ' ἐβασίλευον. ὑπόνοια μίσους; οὐ γὰρ ἐστερ-
γόμην; φόβος ἐκ σοῦ τις ἄλλος; ἀλλὰ μὴν σὲ τηρῶν
ἑτέροις φοβερὸς ἦμην. ἔνδεια χρημάτων; καὶ τίνι μᾶλ-
λον ἐξῆν ἀναλίσκειν; εἰ δ' ἐξωλέστατος πάντων ἀνθρώ-
πων ἐγενόμην καὶ θηρίου ψυχὴν εἶχον ἀνημέρου, πάτερ,
οὐκ ἂν ταῖς σαῖς εὐεργεσίαις ἐνικήθην, ὃν κατήγαγες
μέν, ὡς ἔφης αὐτός, προέκρινας δὲ τοσούτων τέκνων,
ἀπέδειξας δὲ ζῶν βασιλέα, δι' ὑπερβολὴν δὲ τῶν ἄλλων
ἀγαθῶν ἐποίησας ἐπίφθονον; ὦ τάλας ἐγὼ τῆς πικρᾶς
ἀποδημίας, ὡς πολὺν ἔδωκα καιρὸν τῷ φθόνῳ καὶ μα-
κρὰν τοῖς ἐπιβουλεύουσι διωρίαν. σοὶ δέ, πάτερ, καὶ
τοῖς σοῖς ἀγῶσιν ἀπεδήμουν, ἵνα μὴ Συλλαῖος τοῦ σοῦ
γήρως καταφρονήσῃ. Ῥώμη μοι μάρτυς τῆς εὐσεβείας,
καὶ ὁ τῆς οἰκουμένης προστάτης Καῖσαρ, ὁ φιλοπάτορά
με πολλάκις εἰπών. λάβε, πάτερ, τὰ παῦ αὐτοῦ γράμ-
ματα. ταῦτα τῶν ἐνθάδε διαβολῶν πιστότερα, ταῦτα

Digitized by Google

ἀπολογία μοι μόνη· τούτοις τῆς εἰς σὲ φιλοστοργίας τεκμηρίοις χρῶμαι. μέμνησο δὲ ὡς οὐχ ἑκὼν ἔπλεον, ἐπιστάμενος τὴν ἐμφωλεύουσαν τοῖς βασιλείοις κατ' ἐμοῦ δυσμένειαν. σὺ δέ με, πάτερ, ἄκων ἀπώλεσας, ἀναγκάσας καιρὸν διαβολῆς δοῦναι τῷ φθόνῳ. πάρειμι δὲ ἐπὶ τοὺς ἐλέγχους, πάρειμι διὰ γῆς καὶ θαλάσσης οὐδὲν οὐδαμῇ παθὼν ὁ πατροκτόνος. ἀλλὰ μήπω τούτῳ ὠφέλημαι τῷ τεκμηρίῳ. κατέγνωσμαι γὰρ καὶ παρὰ θεῷ καὶ παρὰ σοί, πάτερ· κατεγνωσμένος δὲ δέομαι μὴ ταῖς ἄλλων βασάνοις πιστεύειν, ἀλλὰ κατ' ἐμοῦ φερέσθω τὸ πῦρ, ὀδευέτω διὰ τῶν ἐμῶν σπλάγχνων τὰ ὄργανα. μὴ φείδεσθε ὁλοφυρμοῦ τοῦ μιαροῦ σώματος. εἰ γάρ εἰμι πατροκτόνος, οὐκ ὀφείλω θνήσκειν ἀβασάνιστος." τοιαῦτα μετὰ ὁλοφυρμοῦ καὶ δακρύων ἐκβοῶν τούς τε ἄλλους ἅπαντας καὶ τὸν Ὄθρον εἰς οἶκτον προυκαλέσατο. μόνον δὲ ὁ Θυμὸς Ἡρώδην ἄδακρυν διεκράτει, τοὺς ἐλέγχους ἀληθεῖς ἐπιστάμενον.

4 ἐν τούτῳ, τοῦ βασιλέως κελεύσαντος, Νικόλαος πολλὰ πρὸς τὸ πανοῦργον τὸ Ἀντιπάτρου προειπὼν καὶ τὸν ἐπ' αὐτῷ διαχέας ἔλεον, ἔπειτα πικρὰν κατηγορίαν κατετείνατο, πάντα μὲν τὰ κατὰ τὴν βασιλείαν κακουργήματα περιτιθεὶς αὐτῷ, μάλιστα δὲ τὴν ἀναίρεσιν τῶν ἀδελφῶν, ἀποδεικνὺς ταῖς ἐκείνου διαβολαῖς ἀπολωλότας. ἐπιβουλεύειν δὲ αὐτὸν ἔλεγε καὶ τοῖς περιοῦσιν ὡς ἐφέδροις τῆς διαδοχῆς· τὸν γὰρ παρασκευάσαντα πατρὶ φάρμακον πότε ἂν ἀδελφῶν ἀποσχέσθαι; προελθὼν δὲ ἐπὶ τὸν ἔλεγχον τῆς φαρμακείας, τάς τε μηνύσεις ἐξῆς ἀπεδείκνυε καὶ περὶ Φερώρα κατεσκετλίαζεν, ὅτι κἀκεῖνον Ἀντίπατρος ποιήσειεν ἀδελφοκτόνον, καὶ τοὺς φιλτάτους τῷ βασιλεῖ διαφθείρας ὅλον τοῦ μύσους ἀναπλήσειε τὸν οἶκον. ἄλλα τε πολλὰ πρὸς τούτοις εἰπὼν καὶ ἀποδείξας καταπαύει τὸν λόγον.

Digitized by Google

Ὄθαρος δὲ κελεύσας ἀπολογεῖσθαι τὸν Ἀντίπατρον, 5
ὡς οὐδὲν πλέον ἐκεῖνος εἰπὼν ἢ "θεός ἐστί μοι τοῦ μηδὲν ἀδικεῖν μάρτυς" ἔκειτο σιγῶν, αἰτήσας τὸ φάρμακον δίδωσί τινι τῶν ἐπὶ θανάτῳ κατακρίτων δεσμώτῃ πιεῖν. τοῦ δὲ παραχρῆμα τελευτήσαντος, ὁ μὲν Ὄθαρος ἀπορρήτους ποιήσας τὰς πρὸς Ἡρώδην ὁμιλίας, καὶ τὰ περὶ τὸ συνέδριον Καίσαρι γράψας, μετὰ μίαν ἡμέραν χωρίζεται· δεσμεῖ δ' ὁ βασιλεὺς Ἀντίπατρον, καὶ πρὸς Καίσαρα τοὺς δηλώσοντας τὴν συμφορὰν ἐξέπεμψεν.

μετὰ δὲ ταῦτα καὶ κατὰ Σαλώμης ἐπίβουλος Ἀντί- 6
πατρος εὑρίσκεται. τῶν γὰρ Ἀντιφίλου τις οἰκετῶν ἦκεν ἐπιστολὰς κομίζων ἀπὸ Ῥώμης παρὰ Ἰουλίας θεραπαινίδος, Ἀκμῆς τοὔνομα. καὶ παρὰ μὲν ταύτης ἐπέσταλτο βασιλεῖ τὰς παρὰ Σαλώμης ἐπιστολὰς ἐν τοῖς Ἰουλίας εὑρηκέναι γράμμασι, πεπομφέναι τε αὐτῷ λάθρᾳ δι' εὔνοιαν· αἱ δὲ τῆς Σαλώμης λοιδορίας τε τοῦ βασιλέως περιεῖχον πικροτάτας καὶ κατηγορίαν μεγίστην. ταύτας δὲ πλάσας Ἀντίπατρος καὶ τὴν Ἀκμὴν διαφθείρας ἔπεισεν Ἡρώδῃ πέμψαι. διηλέγχθη δὲ ἐκ τῆς πρὸς αὐτὸν ἐπιστολῆς· καὶ γὰρ ἐκείνῳ τὸ γύναιον ἔγραψεν "ὡς ἠβουλήθης, ἔγραψά σου τῷ πατρὶ καὶ τὰς ἐπιστολὰς ἐκείνας ἔπεμψα, πεπεισμένη τὸν βασιλέα μὴ φείσεσθαι τῆς ἀδελφῆς, ὅταν ἀναγνῷ. καλῶς δὲ ποιήσεις, ἐπειδὰν ἀπαρτισθῇ πάντα, μνημονεύσας ὧν ὑπέσχου."

ταύτης φωραθείσης τῆς ἐπιστολῆς καὶ τῶν κατὰ 7
Σαλώμης ἐνσκευασθεισῶν, ἔννοια μὲν ἐμπίπτει τῷ βασιλεῖ τάχα καὶ κατ' Ἀλεξάνδρου πλασθῆναι γράμματα, περιαλγὴς δὲ ἦν ὑπὸ τοῦ πάθους ὡς παρ' ὀλίγον καὶ τὴν ἀδελφὴν ἀποκτείνας δι' Ἀντίπατρον. οὐκέτι οὖν ἀνεβάλλετο λαβεῖν τιμωρίαν ὑπὲρ ἁπάντων. ὡρμημένος δὲ ἐπὶ τὸν Ἀντίπατρον ἐπεσχέθη νόσῳ χαλεπῇ.

Digitized by Google

περὶ μέντοι τῆς Ἀκμῆς καὶ τῶν κατὰ Σαλώμης ἐσκευωρημένων ἐπέστειλε Καίσαρι, τήν τε διαθήκην αἰτήσας μετέγραφε, καὶ βασιλέα μὲν ἀπεδείκνυεν Ἀντίπαν, ἀμελῶν τῶν πρεσβυτάτων, Ἀρχελάου καὶ Φιλίππου (διεβεβλήκει γὰρ καὶ τούτους Ἀντίπατρος), Καίσαρι δὲ σὺν τοῖς διὰ χρημάτων δώροις κατέλιπε χίλια τάλαντα, τῇ τε γυναικὶ καὶ τέκνοις αὐτοῦ καὶ φίλοις καὶ ἀπελευθέροις περὶ πεντακόσια. ἀπένειμε δὲ καὶ τοῖς ἄλλοις ἅπασι τῆς τε χώρας οὐκ ὀλίγα καὶ τῶν χρημάτων, λαμπροτάταις τε δωρεαῖς ἐτίμα Σαλώμην τὴν ἀδελφήν.

ἐν μὲν οὖν ταῖς διαθήκαις ταῦτα διωρθώσατο,
33 προῆει δ' αὐτῷ πρὸς τὸ χαλεπώτερον ἡ νόσος, ἅτε δὴ τῶν ἀρρωστημάτων ἐν γήρᾳ καὶ ἀθυμίᾳ ἐπιπεσόντων· ἦν μὲν γὰρ ἤδη σχεδὸν ἐτῶν ἑβδομήκοντα, τεταπείνωτο δὲ τὴν ψυχὴν ταῖς περὶ τῶν τέκνων συμφοραῖς, ὡς μηδὲ ἐν ὑγείᾳ τι τῶν ἡδέων προσίεσθαι. τῆς νόσου δὲ ἦν ἐπίτασις ζῶν Ἀντίπατρος, ὃν οὐκ ἐν παρέργῳ, ᾗσας δὲ προῄρητο ἀνελεῖν.

2 γίνεται δ' ἐν ταῖς συμφοραῖς αὐτοῦ καὶ δημοτική τις ἐπανάστασις. δύο ἦσαν σοφισταὶ κατὰ τὴν πόλιν, μάλιστα δοκοῦντες ἀκριβοῦν τὰ πάτρια, καὶ διὰ τοῦτο ἐν ἅπαντι τῷ ἔθνει μεγίστης ἠξιωμένοι δόξης, Ἰούδας τε υἱὸς Σεπφωραίου καὶ Ματθίας ἕτερος Μαργάλου. τούτοις οὐκ ὀλίγοι προσήεσαν τῶν νέων ἐξηγουμένοις τοὺς νόμους, καὶ συνῆγον ὁσημέραι τῶν ἠβώντων στρατόπεδον. οἳ τότε τὸν βασιλέα πυνθανόμενοι ταῖς ἀθυμίαις ὑπεκρέοντα καὶ τῇ νόσῳ, λόγον καθίεσαν εἰς τοὺς γνωρίμους ὡς ἄρα καιρὸς ἐπιτηδειότατος εἴη τιμωρεῖν ἤδη τῷ θεῷ καὶ τὰ κατασκευασθέντα παρὰ τοὺς πατρίους νόμους ἔργα κατασπᾶν· ἀθέμιτον γὰρ εἶναι κατὰ τὸν ναὸν ἢ εἰκόνας ἢ προτομὰς ἢ ζῴου τινὸς ἐπώνυμον

Digitized by Google

ἔργον εἶναι. κατεσκευάκει δὲ ὁ βασιλεὺς ὑπὲρ τὴν μεγάλην πύλην ἀετὸν χρυσοῦν, ὃν δὴ τότε παρῆνουν ἐκκόπτειν οἱ σοφισταί, καλὸν εἶναι λέγοντες, εἰ καί τις γένοιτο κίνδυνος, ὑπὲρ τοῦ πατρίου νόμου θνήσκειν· τοῖς γὰρ οὕτω τελευτῶσιν ἀθάνατόν τε τὴν ψυχὴν καὶ τὴν ἐν ἀγαθοῖς αἴσθησιν αἰώνιον παραμένειν, τοὺς δὲ ἀγεννεῖς καὶ τῆς αὐτῶν σοφίας ἀπείρους ἀγνοοῦντας φιλοψυχεῖν καὶ πρὸ τοῦ δι' ἀρετῆς τὸν ἐκ νόσου θάνατον αἱρεῖσθαι.

ἅμα δὲ τοῖς ἐκείνων λόγοις διεφημίσθη καὶ θνήσκειν 3
ὁ βασιλεύς, ὥστε θαρραλεώτερον ἥπτοντο τῆς ἐπιχειρήσεως οἱ νέοι· μέσης γοῦν ἡμέρας, καὶ πολλῶν κατὰ τὸ ἱερὸν ἀναστρεφομένων, σχοίνοις παχείαις καθιμήσαντες σφᾶς αὐτοὺς ἀπὸ τοῦ τέγους, τὸν χρυσοῦν ἐκεῖνον ἀετὸν ἐξέκοπτον πελέκεσιν. ἠγγέλθη δὲ εὐθέως τῷ βασιλέως στρατηγῷ, κἀκεῖνος μετὰ χειρὸς οὐκ ὀλίγης ἀναδραμὼν περὶ τεσσαράκοντα νεανίας συλλαμβάνει καὶ κατήγαγε πρὸς τὸν βασιλέα. πυνθανομένῳ δὲ αὐτῷ πρῶτον εἰ τολμήσειαν τὸν χρυσοῦν ἀετὸν ἐκκόπτειν, ὡμολόγουν· ἔπειτα, τίνος κελεύσαντος, ἀπεκρίναντο τοῦ πατρίου νόμου. τί δὲ οὕτω γεγήθασι διερωτήσαντος, ἀναιρεῖσθαι μέλλοντες ἔλεγον, ὅτι πλειόνων ἀγαθῶν ἀπολαύσουσι μετὰ τὴν τελευτήν.

ἐπὶ τούτοις ὁ βασιλεὺς δι' ὑπερβολὴν ὀργῆς κρείττων 4
τῶν τῆς νόσου γενόμενος πρόεισιν εἰς ἐκκλησίαν, καὶ πολλὰ τῶν ἀνδρῶν κατηγορήσας ὡς ἱεροσύλων καὶ προφάσει τοῦ νόμου πειραζόντων τι μεῖζον, κολάζειν ἠξίου ὡς ἀσεβεῖς. ὁ δὲ δῆμος δείσας μὴ διὰ πολλῶν ὁ ἔλεγχος ἔλθῃ, παρεκάλει πρῶτον μὲν τοὺς ὑποθεμένους τὴν πρᾶξιν, ἔπειτα τοὺς ἐν αὐτῇ συλληφθέντας κολάσαντα, τοῖς λοιποῖς τὴν ὀργὴν ἀφεῖναι. πείθεται μόλις ὁ βασιλεύς, καὶ τοὺς μὲν καθιμήσαντας ἑαυ-

Digitized by Google

τοὺς ἅμα τοῖς σοφισταῖς κατέκαυσε ζῶντας, τοὺς λοιποὺς δὲ τῶν συλληφθέντων παρέδωκε τοῖς ὑπηρέταις ἀνελεῖν.

5 ἔνθεν αὐτοῦ τὸ σῶμα πᾶν ἡ νόσος διαλαβοῦσα ποικίλοις πάθεσι διεμερίζετο. πυρετὸς μὲν γὰρ ἦν οὐ λάβρος, κνησμὸς δ' ἀφόρητος τῆς ἐπιφανείας ὅλης, καὶ κώλου συνεχεῖς ἀλγηδόνες, περί τε τοὺς πόδας ὥσπερ ὑδρωπιῶντος οἰδήματα, τοῦ τε ἤτρου φλεγμονή, καὶ αἰδοίου σηπεδὼν σκώληκας γεννῶσα. πρὸς τούτοις ὀρθόπνοια καὶ δύσπνοια καὶ σπασμοὶ ἁπάντων τῶν μελῶν, ὥστε τοὺς ἐπιθειάζοντας ποινὴν εἶναι τῶν σοφιστῶν τὰ νοσήματα λέγειν. ὃ δὲ παλαίων τοσούτοις πάθεσιν ὅμως τοῦ ζῆν ἀντείχετο, σωτηρίαν τε ἤλπιζε καὶ θεραπείας ἐπενόει. διαβὰς γοῦν τὸν Ἰορδάνην τοῖς κατὰ Καλλιρρόην θερμοῖς ἐκέχρητο. ταῦτα δὲ ἔξεισι μὲν εἰς τὴν Ἀσφαλτῖτιν λίμνην, ὑπὸ γλυκύτητος δ' ἐστὶ καὶ πότιμα. δόξαν δ' ἐνταῦθα τοῖς ἰατροῖς ἐλαίῳ θερμῷ πᾶν ἀναθάλψαι τὸ σῶμα, χαλασθὲν εἰς ἐλαίου πλήρη πύελον, ἐκλύει τε τοὺς ὀφθαλμοὺς καὶ ὡς τεθνεὼς ἀνέστρεψε. θορύβου δὲ τῶν θεραπόντων γενομένου πρὸς μὲν τὴν φωνὴν ἀνήνεγκεν, εἰς δὲ τὸ λοιπὸν ἀπογνοὺς τὴν σωτηρίαν, τοῖς τε στρατιώταις ἀνὰ δραχμὰς πεντήκοντα ἐκέλευσε διανεῖμαι καὶ πολλὰ χρήματα τοῖς ἡγεμόσι καὶ τοῖς φίλοις.

6 αὐτὸς δὲ ὑποστρέφων ὡς εἰς Ἰεριχοῦντα παραγίνεται, μελαγχολῶν ἤδη καὶ μόνον οὐχὶ αὐτῷ τι τῷ θανάτῳ ἀπειλῶν προέκοψεν εἰς ἐπιβολὴν ἀθεμίτου πράξεως. τοὺς γὰρ ἀφ' ἑκάστης κώμης ἐπισήμους ἄνδρας ἐξ ὅλης Ἰουδαίας συναγαγὼν εἰς τὸν καλούμενον Ἱππόδρομον ἐκέλευσε συγκλεῖσαι. προσκαλεσάμενος δὲ Σαλώμην τὴν ἀδελφὴν καὶ τὸν ἄνδρα ταύτης Ἀλεξᾶν, "οἶδα" ἔφη "Ἰουδαίους τὸν μὲν ἐμὸν ἑορτάσοντας θάνατον, δύνα-

Digitized by Google

μαι δὲ πενθεῖσθαι δι' ἑτέρων καὶ λαμπρὸν ἐπιτάφιον σχεῖν, ἂν ὑμεῖς θελήσητε ταῖς ἐμαῖς ἐντολαῖς ὑπουργῆσαι. τούσδε τοὺς φρουρουμένους ἄνδρας, ἐπειδὰν ἐκπνεύσω, τάχιστα κτείνατε, περιστήσαντες τοὺς στρατιώτας, ἵνα πᾶσα Ἰουδαία καὶ πᾶς οἶκος ἄκων ἐπ' ἐμοὶ δακρύσῃ."

ταῦτα ἐνετέλλετο, καὶ παρὰ τῶν ἐν Ῥώμῃ πρέσβεων 7
ἦκον ἐπιστολαί, δι' ὧν Ἀκμὴ μὲν ἀνῃρημένη κελεύσαντος Καίσαρος ἐθηλοῦτο, θανάτῳ δὲ Ἀντίπατρος κατάκριτος· ἔγραφόν γε μὴν ὡς εἰ καὶ φυγαδεύειν αὐτὸν ἐθελήσειεν ὁ πατήρ, ἐπιτρέποι Καῖσαρ. ὃ δὲ βραχὺ μὲν πρὸς τὴν ἐπιθυμίαν ἀνήνεγκεν, αὖθις δέ (καὶ γὰρ ἐνδεία τροφῆς καὶ βηχὶ σπασμώδει διετείνετο) τῶν ἀλγηδόνων ἡττηθεὶς φθάσαι τὴν εἱμαρμένην ἐπεβάλετο. λαβὼν δὲ μῆλον ἤτησε καὶ μαχαίριον (εἰώθει γὰρ ἀποτέμνων ἐσθίειν), ἔπειτα περιαθρήσας μή τις ὁ κωλύων εἴη, ἐπῆρε τὴν δεξιὰν ὡς πλήξων ἑαυτόν. προσδραμὼν δὲ ἐκώλυσεν Ἀχίαβος ὁ ἀνεψιὸς αὐτοῦ, τὴν χεῖρα κατασχών. οἰμωγὴ δ' εὐθὺς ἤρθη μεγίστη κατὰ τὸ βασίλειον ὡς οἰχομένου τοῦ βασιλέως· καὶ ταχέως ἀκούσας Ἀντίπατρος ἀνεθάρρει τε, καὶ γεγηθὼς τοὺς φύλακας ἱκέτευεν ἐπὶ χρήμασιν ἐξαφιέναι λύσαντας αὐτόν. ὁ δὲ ἡγεμὼν οὐ μόνον ἐκώλυσεν, ἀλλὰ καὶ βασιλεῖ δραμὼν ἀνήγγειλε τὴν ἐπιβουλήν. ἀνέκραγε δὲ ἐκεῖνος ἰσχυρότερον τῆς νόσου, καὶ παραχρῆμα πέμψας τοὺς δορυφόρους ἀπέκτεινε τὸν Ἀντίπατρον. θάψαι δὲ τὸν νεκρὸν αὐτοῦ προστάξας ἐν Ἰερικοῦντι, πάλιν τὰς διαθήκας ἐπανορθοῦται, καὶ διάδοχον μὲν Ἀρχέλαον τὸν πρεσβύτατον υἱόν, ἀδελφὸν δὲ Ἀντίπα, γράφει, τετράρχην δὲ Ἀντίπαν.

μετὰ δὲ τὴν ἀναίρεσιν τοῦ παιδὸς ἐπιβιοὺς πέντε 8
ἡμέρας τελευτᾷ, βασιλεύσας ἀφ' οὗ μὲν ἀποκτείνας

Digitized by Google

Ἀντίγονον ἐκράτησε τῶν πραγμάτων ἔτη τέσσαρα καὶ τριάκοντα, ἀφ' οὗ δὲ ὑπὸ Ῥωμαίων ἀπεδείχθη βασιλεὺς ἑπτὰ καὶ τριάκοντα, καὶ κατὰ μὲν τὰ ἄλλα πάντα τύχῃ δεξιᾷ χρησάμενος, εἰ καί τις ἕτερος, ὅστις γε κατεκτήσατο βασιλείαν ἰδιώτης ὤν, καὶ τοσούτῳ χρόνῳ φυλάξας ἰδίοις τέκνοις κατέλιπεν, ἐν δὲ τοῖς κατ' οἶκον ἀτυχέστατος. πρὶν δὲ γνῶναι τὴν τελευτὴν αὐτοῦ τὸ στρατιωτικόν, προελθοῦσα μετ' ἀνδρὸς ἡ Σαλώμη διαφῆκε τοὺς δεσμώτας οὓς κτείνειν ὁ βασιλεὺς ἐνετείλατο, μεταπεισθῆναι αὐτὸν λέγουσα, καὶ πάλιν ἀναπέμπειν ἕκαστον εἰς τὰ ἴδια. τούτων δὲ οἰχομένων ἐδήλου ἤδη τοῖς στρατιώταις, καὶ συνῆγεν αὐτοὺς εἰς ἐκκλησίαν μετὰ τοῦ λοιποῦ πλήθους ἐν τῷ καθ' Ἱεριχοῦντα ἀμφιθεάτρῳ. ἔνθα παρελθὼν Πτολεμαῖος ὁ καὶ τὸν σημαντῆρα δακτύλιον παρὰ τοῦ βασιλέως πεπιστευμένος, τόν τε βασιλέα κατευδαιμονίζει καὶ τὸ πλῆθος παρακαλεῖ, τήν τε ἀπολειφθεῖσαν τοῖς στρατιώταις ἀνεγίνωσκεν ἐπιστολήν, ἐν ᾗ πολλὰ περὶ τῆς εἰς τὸν διάδοχον εὐνοίας παρεκάλει. μετὰ δὲ τὴν ἐπιστολὴν λύσας τὰς διαθήκας ἀνεγίνωσκεν, ἐν αἷς Φίλιππος μὲν τοῦ Τράχωνος καὶ τῶν γειτνιώντων χωρίων κληρονόμος, τετράρχης δέ, ὡς προείπομεν, Ἀντίπας, βασιλεὺς δὲ Ἀρχέλαος ἀπεδείκνυτο. τούτῳ δὲ τόν τε δακτύλιον τὸν ἑαυτοῦ Καίσαρι φέρειν ἐνετέλλετο, καὶ τὰς διοικήσεις τῆς βασιλείας σεσημασμένας· κύριον γὰρ ἁπάντων ὢν διατάξειε καὶ βεβαιωτὴν τῶν διαθηκῶν εἶναι Καίσαρα· τά γε μὴν λοιπὰ κατὰ τὰς προτέρας διαθήκας φυλάττειν.

9 βοὴ δὲ εὐθὺς ἐγένετο τῶν Ἀρχελάῳ συνηδομένων, καὶ κατὰ στῖφος οἱ στρατιῶται μετὰ τοῦ πλήθους προσιόντες ὑπισχνοῦντο μὲν τὴν ἑαυτῶν εὔνοιαν, συνηύχοντο δὲ καὶ τὴν παρὰ τοῦ θεοῦ. μετὰ ταῦτα πρὸς

Digitized by Google

ταφὴν ἐτράποντο τοῦ βασιλέως. παρέλιπε δὲ οὐδὲν ὁ Ἀρχέλαος εἰς πολυτέλειαν, ἀλλὰ πάντα τὸν βασίλειον κόσμον προήνεγκε συμπομπεύσοντα τῷ νεκρῷ· κλίνη μὲν ὁλόχρυσος ἦν διάλιθος, στρωμνὴ δὲ ἁλουργὴς ποικίλη, τὸ σῶμα δὲ ἐπ' αὐτῆς πορφύρᾳ κεκαλυμμένον. καὶ διάθημα μὲν ἐπέκειτο τῇ κεφαλῇ, στέφανος δὲ ὑπὲρ αὐτοῦ χρυσοῦς, τὸ δὲ σκῆπτρον παρὰ τὴν δεξιάν. καὶ περὶ μὲν τὴν κλίνην οἵ τε υἱεῖς καὶ τὸ πλῆθος τῶν συγγενῶν, ἐφ' οἷς οἱ δορυφόροι καὶ τὸ Θρᾴκιον στῖφος, Γερμανοί τε καὶ Γαλάται, διεσκευασμένοι πάντες ὡς εἰς πόλεμον. προῆγε δὲ ἡ λοιπὴ δύναμις, ὡπλισμένοι τοῖς ἡγεμόσι καὶ ταξιάρχοις ἀκολουθοῦντες ἐν κόσμῳ· πεντακόσιοι δὲ ὑπ' αὐτοῖς τῶν οἰκετῶν καὶ ἀπελευθέρων ἀρωματοφόροι. σταδίους δὲ ἑκομίσθη τὸ σῶμα διακοσίους εἰς Ἠρώδειον, ὅπου κατὰ τὰς ἐντολὰς ἐτάφη. καὶ τὰ μὲν περὶ Ἠρώδην τοιοῦτον ἔσχε πέρας.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Ἀρχελάῳ δὲ νέων ἦρξε θορύβων ἡ τῆς ἐπὶ Ῥώμην 1
ἀποδημίας ἀνάγκη. πενθήσας γὰρ ἡμέρας ἑπτὰ τὸν πατέρα, καὶ τὴν ἐπιτάφιον ἑστίασιν πολυτελῆ τῷ πλήθει παρασχών (ἔθος δὲ τοῦτο παρὰ Ἰουδαίοις πολλοῖς πενίας αἴτιον διὰ τὸ πλῆθος ἑστιᾶν οὐκ ἄνευ ἀνάγκης· εἰ γὰρ παραλίποι τις, οὐχ ὅσιος), μεταλαμβάνει μὲν ἐσθῆτα λευκήν, πρόεισι δὲ εἰς τὸ ἱερόν, ἔνθα ποικίλαις αὐτὸν εὐφημίαις ὁ λαὸς ἐκδέχεται. κἀκεῖνος τὸ πλῆθος ἀφ' ὑψηλοῦ βήματος καὶ χρυσοῦ θρόνου δεξιωσάμενος, τῆς τε σπουδῆς ἣν ἐνεδείξαντο περὶ τὴν κηδείαν τοῦ πατρὸς εὐχαριστεῖ, καὶ τῆς πρὸς αὐτὸν θεραπείας ὡς πρὸς βέ-

Digitized by Google

βαιον ἤδη βασιλέα. φείδεσθαί γε μὴν ἐπὶ τοῦ παρόντος οὐ μόνον ἔφη τῆς ἐξουσίας ἀλλὰ καὶ τῶν ὀνομάτων, ἕως ἂν αὐτῷ Καῖσαρ ἐπικυρώσῃ τὴν διαδοχήν, ὁ κατὰ τὰς διαθήκας τῶν ὅλων δεσπότης· οὐδὲ γὰρ ἐν Ἰεριχοῦντι τῆς στρατιᾶς τὸ διάδημα περιαπτούσης αὐτῷ δέχεσθαι. τοῦ μέντοι προθύμου καὶ τῆς εὐνοίας, ὥσπερ τοῖς στρατιώταις, οὕτω καὶ τῷ δήμῳ πλήρεις ἀποδώσειν τὰς ἀμοιβάς, ὁπότ' ἂν ὑπὸ τῶν κρατούντων βασιλεὺς ἀποδειχθῇ βέβαιος· σπουδάσειν γὰρ ἐν πᾶσι πρὸς αὐτοὺς φανῆναι τοῦ πατρὸς ἀμείνων.

2 ἐπὶ τούτοις ἡδόμενον τὸ πλῆθος εὐθέως ἀπεπειρᾶτο τῆς διανοίας αὐτοῦ μεγάλοις αἰτήμασιν· οἱ μὲν γὰρ ἐβόων ἐπικουφίζειν τὰς εἰσφοράς, οἱ δὲ ἀναιρεῖν τὰ τέλη, τινὲς δὲ ἀπολύειν τοὺς δεσμώτας. ἐπένευέ δ' ἑτοίμως ἅπασι, θεραπεύων τὸ πλῆθος. ἔπειτα θύσας μετὰ τῶν φίλων ἐν εὐωχίᾳ ἦν. ἔνθα δὴ περὶ δείλην ἀθροισθέντες οὐκ ὀλίγοι τῶν νεωτερίζειν προαιρουμένων ἤρξαντο τοῦ ἰδίου πένθους, ὅτε τὸ κοινὸν ἐπὶ τῷ βασιλεῖ πέπαυτο, κατολοφυρόμενοι τοὺς κολασθέντας ὑφ' Ἡρώδου διὰ τὸν ἐκκοπέντα χρυσοῦν ἀετὸν τῆς πύλης τοῦ ναοῦ. ἦν δὲ τὸ πένθος οὐχ ὑπεσταλμένον, ἀλλ' οἰμωγαὶ διαπρύσιοι καὶ θρῆνος ἐγκέλευστος κοπετοί τε περιηχοῦντες ὅλην τὴν πόλιν, ὡς ἂν ἐπ' ἀνδράσιν οὓς ἔφασκον ὑπὲρ τῶν πατρίων νόμων καὶ τοῦ ναοῦ παραπολέσθαι. τιμωρεῖν δὲ αὐτοῖς ἀνεβόων ἐκ τῶν ὑφ' Ἡρώδου τετιμημένων χρῆναι, καὶ πρῶτον τὸν ὑπ' ἐκείνου κατασταθέντα παύειν ἀρχιερέα· προσήκειν γὰρ αὐ-
3 τοῖς εὐσεβέστερον αἱρεῖσθαι καὶ καθαρώτερον. πρὸς ἃ παρωξύνετο μὲν Ἀρχέλαος, ἐπείχετο δὲ τὴν ἄμυναν ὑπὸ τῆς περὶ τὴν ἔξοδον ἐπείξεως, δεδοικὼς μήποτε τὸ πλῆθος ἐκπολεμώσας κατασχεθείῃ τῷ κινήματι. διὸ πειθοῖ μᾶλλον ἢ βίᾳ καταστέλλειν ἐπειρᾶτο τοὺς νεωτε-

Digitized by Google

ρίζοντας, καὶ τὸν στρατηγὸν ὑποπέμψας παύσασθαι παρεκάλει. τοῦτον εἰς τὸ ἱερὸν παρελθόντα, πρὶν φθέγξασθαί τι, λίθοις ἀπήλαυνον οἱ στασιασταί, καὶ τοῖς μετ' αὐτὸν ἐπὶ σωφρονισμῷ προσιοῦσιν (ἐνίει δὲ πολλοὺς Ἀρχέλαος) πάντα πρὸς ὀργὴν ἀπεκρίναντο, δῆλοί τε ἦσαν οὐκ ἠρεμήσοντες εἰ πλήθους ἀπολάβοιντο. καὶ δὴ τῆς τῶν ἀζύμων ἐνστάσης ἑορτῆς (πάσχα παρὰ τοῖς Ἰουδαίοις καλεῖται, πολύ τι θυμάτων πλῆθος ἐκδεχομένη) κάτεισι μὲν ἄπειρος ἐκ τῆς χώρας λεὼς ἐπὶ τὴν θρησκείαν, οἱ δὲ τοὺς σοφιστὰς πενθοῦντες ἐν τῷ ἱερῷ συνεστήκεισαν, τροφὴν τῇ στάσει ποριζόμενοι. πρὸς ὃ δείσας Ἀρχέλαος, πρὶν δι' ὅλου τοῦ πλήθους δραμεῖν τὴν νόσον, ὑποπέμπει μετὰ σπείρας χιλίαρχον, προστάξας βίᾳ τοὺς ἐξάρχοντας τῆς στάσεως κατασχεῖν. πρὸς οὓς τὸ πλῆθος ἅπαν παροξύνεται, καὶ τοὺς μὲν πολλοὺς τῆς σπείρας βάλλοντες λίθοις διέφθειραν, ὁ δὲ χιλίαρχος ἐκφεύγει τραυματίας μόλις. ἔπειθ' οἱ μὲν ὡς μηδενὸς δεινοῦ γεγονότος ἐτράποντο πρὸς τὴν θυσίαν, οὐ μὴν Ἀρχελάῳ δίχα φόνου καθεκτὸν ἔτι τὸ πλῆθος ἐφαίνετο. τὴν δὲ στρατιὰν ἐπαφίησιν αὐτοῖς ὅλην, τοὺς μὲν πεζοὺς διὰ τῆς πόλεως ἀθρόους, τοὺς δὲ ἱππεῖς ἀνὰ τὸ πεδίον· οἱ θύουσιν ἑκάστοις ἐξαίφνης προσπεσόντες διαφθείρουσι μὲν περὶ τρισχιλίους, τὸ δὲ λοιπὸν πλῆθος εἰς τὰ πλησίον ὄρη διεσκέδασαν. εἶπόντο δὲ κήρυκες Ἀρχελάου κελεύοντες ἕκαστον ἀναχωρεῖν ἐπ' οἶκου, καὶ πάντες ᾤχοντο τὴν ἑορτὴν ἀπολιπόντες.

αὐτὸς δὲ μετὰ τῆς μητρὸς καὶ τῶν φίλων Ποπλᾶ καὶ 2
Πτολεμαίου καὶ Νικολάου κατῄει πρὸς θάλασσαν, καταλιπὼν ἐπίτροπόν τε τῶν βασιλείων καὶ κηδεμόνα τῶν οἰκείων Φίλιππον. συνεξῄει δὲ ἅμα τοῖς τέκνοις Σαλώμη καὶ οἱ τοῦ βασιλέως ἀδελφοί τε καὶ γαμβροί, τὸ

Digitized by Google

μὲν δοκεῖν, συναγωνιούμενοι περὶ τῆς διαδοχῆς Ἀρχελάῳ, τὸ δ' ἀληθές, κατηγορήσοντες περὶ τῶν κατὰ τὸ ἱερὸν παρανομηθέντων.

2 συναντᾷ δ' αὐτοῖς κατὰ Καισάρειαν Σαβῖνος ὁ τῆς Συρίας ἐπίτροπος εἰς Ἰουδαίαν ἀνιὼν ἐπὶ φυλακῇ τῶν Ἡρῴδου χρημάτων. τοῦτον ἐπέσχε προσωτέρω χωρεῖν ὕβρος ἐπελθών, ὃν διὰ Πτολεμαίου πολλὰ δεηθεὶς Ἀρχέλαος μετεπέμψατο. τότε μὲν οὖν Σαβῖνος Ἀρῳ χαριζόμενος οὔτ' ἐπὶ τὰς ἄκρας ἔσπευσεν οὔτε τὰ ταμιεῖα τῶν πατρῴων χρημάτων ἀπέκλεισεν Ἀρχελάῳ, μέχρι δὲ τῆς Καίσαρος διαγνώσεως ἠρεμήσειν ὑπέσχετο. διέτριβε δὲ ἐπὶ τῆς Καισαρείας. ὡς δὲ τῶν ἐμποδιζόντων ὃ μὲν εἰς Ἀντιόχειαν ἀπῆρεν, Ἀρχέλαος δὲ εἰς Ῥώμην ἀνήχθη, διὰ τάχους ἐπὶ Ἱεροσολύμων ὁρμήσας παραλαμβάνει τὰ βασίλεια, καὶ μεταπεμπόμενος τούς τε φρουράρχους καὶ διοικητὰς ἐπειρᾶτο διερευνᾶν τοὺς τῶν χρημάτων ἀναλογισμοὺς τάς τε ἄκρας παραλαμβάνειν. οὐ μὴν οἱ φρούραρχοι τῶν Ἀρχελάου κατημέλουν ἐντολῶν, ἀνέμενον δὲ φρουροῦντες ἕκαστα καὶ τὴν φρουρὰν ἀνατιθέντες Καίσαρι μᾶλλον ἢ Ἀρχελάῳ.

3 κἂν τούτῳ πάλιν Ἀντίπας ἀμφισβητῶν περὶ τῆς βασιλείας ἐπέξεισιν, ἀξιῶν τῆς ἐπιδιαθήκης τὴν διαθήκην εἶναι κυριωτέραν, ἐν ᾗ βασιλεὺς αὐτὸς ἐγέγραπτο. συλλήψεσθαι δ' αὐτῷ προϋπέσχετο Σαλώμη καὶ πολλοὶ τῶν σὺν Ἀρχελάῳ πλεόντων συγγενῶν. ἐπήγετο δὲ τὴν μητέρα καὶ τὸν ἀδελφὸν Νικολάου Πτολεμαῖον, ῥοπὴν εἶναι δοκοῦντα διὰ τὴν παρ' Ἡρῴδῃ πίστιν· γεγόνει γὰρ δὴ τῶν φίλων τιμιώτατος ἐκείνῳ. πλεῖστον μέντοι πεποίθει διὰ δεινότητα λόγων Εἰρηναίῳ τῷ ῥήτορι, δι' ὃν καὶ τοὺς νουθετοῦντας εἴκειν Ἀρχελάῳ κατὰ τὸ πρεσβεῖον καὶ τὰς ἐπιδιαθήκας διεκρούσατο. μεθίστατο δὲ ἐν Ῥώμῃ πάντων πρὸς αὐτὸν ἡ σπουδὴ τῶν συγγενῶν,

Digitized by Google

οἷς διὰ μίσους ἦν Ἀρχέλαος. καὶ προηγουμένως μὲν ἕκαστος αὐτονομίας ἐπεθύμει, στρατηγῷ Ῥωμαίων διοικουμένης· εἰ δὲ τούτου διαμαρτάνοιεν, βασιλεύειν Ἀντίπαν ἤθελον.

συνήργει δὲ αὐτοῖς εἰς τοῦτο καὶ Σαβῖνος δι' ἐπιστολῶν, κατηγορήσας μὲν Ἀρχελάου παρὰ Καίσαρι, πολλὰ δ' ἐπαινέσας Ἀντίπαν. συντάξαντες δὴ τὰ ἐγκλήματα οἱ περὶ Σαλώμην ἐνεχείρισαν Καίσαρι· καὶ μετ' αὐτοὺς Ἀρχέλαος τά τε κεφάλαια τῶν ἑαυτοῦ δικαίων γράψας καὶ τὸν δακτύλιον τοῦ πατρὸς καὶ τοὺς λόγους εἰσπέμπει διὰ Πτολεμαίου. προσκεψάμενος δὲ ὁ Καῖσαρ τὰ παρ' ἀμφοῖν κατ' ἰδίαν, τό τε μέγεθος τῆς βασιλείας καὶ τὸ πλῆθος τῆς προσόδου, πρὸς οἷς τὸν ἀριθμὸν τῆς Ἡρῴδου γενεᾶς, προσαναγνοὺς δὲ καὶ τὰ παρὰ Ὕάρου καὶ Σαβίνου περὶ τούτων ἐπεσταλμένα, συνέδριον μὲν ἀθροίζει τῶν ἐν τέλει Ῥωμαίων, ἐν ᾧ καὶ τὸν ἐξ Ἀγρίππα καὶ Ἰουλίας τῆς θυγατρὸς θετὸν παῖδα Γάιον πρώτως ἐκάθισεν, ἀποδίδωσι δὲ λόγον αὐτοῖς.

ἔνθα καταστὰς ὁ Σαλώμης υἱὸς Ἀντίπατρος (ἦν δὲ τῶν ἐναντιουμένων Ἀρχελάῳ δεινότατος εἰπεῖν) κατηγόρει, φάσκων τοῖς μὲν λόγοις ἀμφισβητεῖν ἄρτι περὶ βασιλείας Ἀρχέλαον, τοῖς δ' ἔργοις πάλαι γεγονέναι βασιλέα, κατειρωνεύεσθαι δὲ τῶν Καίσαρος ἀκοῶν, ὃν διὰ καστὴν τῆς διαδοχῆς οὐ περιέμεινεν, εἴ γε μετὰ τὴν Ἡρῴδου τελευτὴν ἐγκαθέτους μὲν ὑποπέμψας τοὺς περιθήσοντας αὐτῷ τὸ διάδημα, προκαθίσας δὲ ἐπὶ θρόνου καὶ χρηματίσας ὡς βασιλεύς, τάξεις τε τῆς στρατιᾶς ἀμείψας καὶ προκοπὰς χαρισάμενος, ἔτι δὲ τῷ δήμῳ πάντα κατανεύσας ὅσων ὡς παρὰ βασιλέως τυχεῖν ἠξίουν, καὶ τοὺς ἐπὶ μεγίσταις αἰτίαις ὑπὸ τοῦ πατρὸς δεδεμένους λύσας, νῦν ἥκει παρὰ τοῦ δεσπότου σκιὰν

Digitized by Google

αἰτησόμενος βασιλείας ἧς ἥρπασεν ἑαυτῷ τὸ σῶμα, καὶ ποιῶν οὐ τῶν πραγμάτων ἀλλὰ τῶν ὀνομάτων κύριον Καίσαρα. προσωνείδιζε δὲ ὡς καὶ τὸ πένθος κατειρωνεύσατο τοῦ πατρός, μεθ' ἡμέραν μὲν ἐπισχηματίζων τὸ πρόσωπον εἰς λύπην, νύκτωρ δὲ μέχρι κώμων μεθυσκόμενος, ἐν ᾧ καὶ τὴν ταραχὴν τοῦ πλήθους ἐκ τῆς ἐπὶ τούτοις ἀγανακτήσεως ἔλεγε γεγονέναι. καὶ τὸν ἀγῶνα παντὸς τοῦ λόγου ἐναπηρείσατο τῷ πλήθει τῶν περὶ τὸν ναὸν φονευθέντων, οὓς ἐλήλυθέναι μὲν ἐφ' ἑορτήν, παρὰ δὲ ταῖς ἰδίαις θυσίαις ὠμῶς ἀπεσφάχθαι· καὶ τοσοῦτον ἐν τῷ ἱερῷ σεσωρεῦσθαι νεκρῶν πλῆθος, ὅσον οὐδ' ἂν ἀλλόφυλος ἐσώρευσε πόλεμος ἐπελθὼν ἀκήρυκτος. ταύτην μέντοι τὴν ὠμότητα προσκεψάμενον αὐτοῦ καὶ τὸν πατέρα μηδ' ἐλπίδος αὐτὸν ἀξιῶσαί ποτε βασιλικῆς, ἢ ὅτε χεῖρον τὴν ψυχὴν κάμνων τοῦ σώματος ἀκρατὴς ἦν ὑγιαίνοντος λογισμοῦ, καὶ οὐδὲ ὃν ἔγραφεν ἐν ταῖς ἐπιδιαθήκαις ᾔδει διάδοχον, καὶ ταῦτα μηδὲν τὸν ἐν ταῖς διαθήκαις μέμψασθαι δυνάμενος, ὃν ἔγραψεν ὑγιαίνων μὲν τὸ σῶμα, καθαρὰν δὲ τὴν ψυχὴν ἔχων πάθους παντός. εἰ μέντοι καὶ κυριωτέραν τὴν τοῦ κάμνοντος κρίσιν τιθείη τις, ἀποκεχειροτονῆσθαι βασιλείας Ἀρχέλαον ὑφ' ἑαυτοῦ τοῖς εἰς αὐτὴν παρανομηθεῖσιν· ποταπὸν γὰρ ἂν γενέσθαι λαβόντα τὴν ἀρχὴν παρὰ Καίσαρος τὸν πρὶν λαβεῖν τοσούτους ἀνηρηκότα;

6 πολλὰ τοιαῦτα διεξελθὼν Ἀντίπατρος, καὶ τοὺς πλείστους τῶν συγγενῶν παραστησάμενος ἐφ' ἑκάστῳ τῶν κατηγορημένων μάρτυρας, καταπαύει τὸν λόγον. ἀνίσταται δὲ Νικόλαος ὑπὲρ Ἀρχελάου, καὶ τὸν μὲν ἐν τῷ ἱερῷ φόνον ἀναγκαῖον ἀπέφαινε (πολεμίους γὰρ γεγονέναι τοὺς ἀνηρημένους οὐ τῆς βασιλείας μόνον ἀλλὰ καὶ τοῦ δικάζοντος αὐτὸν Καίσαρος), τῶν δὲ ἄλλων ἐγ-

Digitized by Google

κλημάτων συμβούλους ἀπεδείκνυεν αὐτοὺς τοὺς κατηγόρους γεγονέναι. τήν γε μὴν ἐπιδιαθήκην ἠξίου διὰ τοῦτο μάλιστα εἶναι κυρίαν, ὅτι βεβαιωτὴν ἐν αὐτῇ Καίσαρα καθίστατο τοῦ διαδόχου· ὁ γὰρ σωφρονῶν ὥστε τῷ δεσπότῃ τῶν ὅλων παραχωρεῖν τῆς ἐξουσίας, οὐ δή που περὶ κληρονόμου κρίσιν ἐσφάλλετο, σωφρονῶν δὲ ἤρειτο καὶ τὸν καθιστάμενον ὁ γινώσκων τὸν καθιστάντα.

διεξελθόντος δὲ πάντα καὶ Νικολάου παρελθὼν ὁ 7 Ἀρχέλαος προπίπτει τῶν Καίσαρος γονάτων ἡχυσῇ. κἀκεῖνος αὐτὸν μάλα φιλοφρόνως ἀναστήσας ἐνέφηνε μὲν ὡς ἄξιος εἴη τῆς πατρῴας διαδοχῆς, οὐ μήν τι βέβαιον ἀπεφήνατο, διαλύσας δὲ τοὺς συνέδρους ἐκείνης τῆς ἡμέρας, καθ' ἑαυτὸν περὶ ὧν διήκουσεν ἐσκέπτετο, εἴτε χρὴ τῶν ἐν ταῖς διαθήκαις καταστῆσαί τινα διάδοχον, εἴτε καὶ πάσῃ τῇ γενεᾷ διανεῖμαι τὴν ἀρχήν· ἐδόκει γὰρ ἐπικουρίας χρῄζειν τὸ πλῆθος τῶν προσώπων.

πρὶν δ' ὁρίσαι τι περὶ τούτων Καίσαρα, τελευτᾷ μὲν 3 ἡ Ἀρχελάου μήτηρ Μαλθάκη νοσήσασα, παρὰ Ὄαρου δ' ἐκομίσθησαν ἐκ Συρίας ἐπιστολαὶ περὶ τῆς Ἰουδαίων ἀποστάσεως. ἦν προϊδόμενος Ὄαρος (ἀνέβη γὰρ δὴ μετὰ τὸν Ἀρχελάου πλοῦν εἰς Ἱεροσόλυμα τοὺς παρακινοῦντας καθέξων, ἐπειδὴ πρόδηλον ἦν τὸ ἔθνος οὐκ ἠρεμῆσον) ἓν τι τῶν τριῶν ἀπὸ Συρίας ταγμάτων, ὅπερ ἦκεν ἄγων, ἐν τῇ πόλει καταλείπει, καὶ αὐτὸς μὲν ὑπέστρεψεν εἰς Ἀντιόχειαν, ἐπελθὼν δὲ Σαβῖνος ἀφορμὴν αὐτοῖς παρέσχε νεωτεροποιίας. τούς τε γὰρ φρουροὺς παραδιδόναι τὰς ἄκρας ἐβιάζετο καὶ πικρῶς τὰ βασίλεια χρήματα διηρεύνα, πεποιθὼς οὐ μόνον τοῖς ὑπὸ Ὄαρου καταλειφθεῖσι στρατιώταις ἀλλὰ καὶ πλήθει δούλων ἰδίων, οὓς ἅπαντας ὁπλίσας ὑπηρέταις ἐχρῆτο τῆς πλεονεξίας. ἐνστάσης δὲ τῆς πεντηκοστῆς (οὕτω καλοῦσί τινα ἑορτὴν Ἰουδαῖοι

Digitized by Google

παρ' ἑπτὰ γινομένην ἑβδομάδας, κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν προσηγορίαν ἔχουσαν) οὐχ ἡ συνήθης θρησκεία συνήγαγε τὸν δῆμον, ἀλλ' ἀγανάκτησις. συνέβαινε γοῦν πλῆθος ἄπειρον ἔκ τε τῆς Γαλιλαίας καὶ Ἰδουμαίας Ἰεριχοῦντός τε καὶ τῆς ὑπὲρ Ἰορδάνην Περαίας. ὑπερεῖχε δὲ πλήθει καὶ προθυμίαις ἀνδρῶν ὁ γνήσιος ἐξ αὐτῆς Ἰουδαίας λαός. διανείμαντες δὲ σφᾶς αὐτοὺς εἰς τρία μέρη τριχῇ στρατοπεδεύονται, πρός τε τῷ βορείῳ τοῦ ἱεροῦ κλίματι, καὶ πρὸς τῷ μεσημβρινῷ κατὰ τὸν ἱππόδρομον, ἡ δὲ τρίτη μοῖρα πρὸς τοῖς βασιλείοις κατὰ δύσιν· περικαθεζόμενοι δὲ πάντοθεν τοὺς Ῥωμαίους ἐπολιόρκουν.

2 ὁ δὲ Σαβῖνος πρός τε τὸ πλῆθος αὐτῶν ὑποδείσας καὶ τὰ φρονήματα, συνεχεῖς μὲν ἀγγέλους ἔπεμπε παρὰ Ὄῆρον, ἐπαμύνειν ἐν τάχει δεόμενος ὡς εἰ βραδύνοι κατακοπησομένου τοῦ τάγματος, αὐτὸς δὲ ἐπὶ τὸν ὑψηλότατον τοῦ φρουρίου πύργον ἀναβάς, ὃς ἐκαλεῖτο Φασάηλος, ἐπώνυμον ἔχων ἀδελφὸν Ἡρῴδου διαφθαρέντα ὑπὸ Πάρθων, ἐντεῦθεν κατέσειε τοῖς ἐν τῷ τάγματι στρατιώταις ἐπιχειρεῖν τοῖς πολεμίοις· δι' ἔκπληξιν γὰρ οὐδὲ εἰς τοὺς σφετέρους καταβαίνειν ἐθάρρει. παραπεισθέντες δὲ οἱ στρατιῶται προπηδῶσιν εἰς τὸ ἱερόν, καὶ μάχην καρτερὰν τοῖς Ἰουδαίοις συνάπτουσιν, ἐν ᾗ μέχρι μὲν οὐδεὶς καθύπερθεν ἐπήμυνε, περιῆσαν ἐμπειρίᾳ πολέμου τῶν ἀπείρων· ἐπεὶ δὲ πολλοὶ Ἰουδαίων ἀναβάντες ἐπὶ τὰς στοὰς κατὰ κεφαλῆς αὐτῶν ἠφίεσαν τὰ βέλη, συνετρίβοντο πολλοί, καὶ οὔτε τοὺς ἄνωθεν βάλλοντας ἀμύνασθαι ῥᾴδιον ἦν, οὔτε τοὺς συστάδην μαχο-
3 μένους ὑπομένειν. καταπονούμενοι δὲ πρὸς ἀμφοτέρων ὑπεμπιπρᾶσι τὰς στοάς, ἔργα θαυμάσια μεγέθους τε καὶ πολυτελείας ἔνεκεν. οἱ δὲ ἐπ' αὐτῶν ὑπὸ τῆς φλογὸς ἐξαίφνης περισχεθέντες πολλοὶ μὲν ἐν αὐτῇ διεφθείροντο

Digitized by Google

πολλοὶ δ' ὑπὸ τῶν πολεμίων, πηδῶντες εἰς αὐτούς, τινὲς δ' εἰς τοὐπίσω κατὰ τοῦ τείχους κατεκρημνίζοντο, ἔνιοι δ' ὑπ' ἀμηχανίας τοῖς ἰδίοις ξίφεσι τὸ κῦρ ἔφθανον. ὅσοι δὲ καθερπύσαντες ἀπὸ τῶν τειχῶν ἦξαν εἰς τοὺς Ῥωμαίους, εὐμεταχείριστοι διὰ τὴν ἔκπληξιν ἦσαν, μέχρι τῶν μὲν ἀπολωλότων τῶν δ' ὑπὸ τοῦ δέους σκεδασθέντων, ἐρήμῳ τῷ τοῦ θεοῦ θησαυρῷ προσπεσόντες οἱ στρατιῶται περὶ τετρακόσια τάλαντα διήρπασαν· ὧν ὅσα μὴ διεκλάπη Σαβῖνος ἤθροισεν.

Ἰουδαίους δὲ ἥ τε τῶν ἔργων καὶ ἡ τῶν ἀνδρῶν 4
φθορὰ πολὺ πλείους καὶ μαχιμωτέρους ἐπισυνέστησε Ῥωμαίοις, καὶ περισχόντες τὰ βασίλεια ἅπαντας ἠπείλουν διαφθείρειν, εἰ μὴ θᾶττον ἀπίοιεν· ὑπισχνοῦντο γὰρ ἄδειαν τῷ Σαβίνῳ βουλομένῳ μετὰ τοῦ τάγματος ἐξιέναι. συνελάμβανον δ' αὐτοῖς οἱ πλεῖστοι τῶν βασιλικῶν αὐτομολήσαντες. τὸ μέντοι πολεμικώτατον μέρος, Σεβαστηνοὶ τρισχίλιοι, Ῥοῦφός τε καὶ Γρᾶτος ἐπὶ τούτοις, ὧν μὲν τοὺς πεζοὺς τῶν βασιλικῶν ἔχων ὑφ' ἑαυτόν, Ῥοῦφος δὲ τοὺς ἱππεῖς, ὧν ἑκάτερος καὶ χωρὶς ὑπηκόου δυνάμεως δι' ἀλκὴν καὶ σύνεσιν ἦν πολέμου φοπή, προσέθεντο Ῥωμαίοις. Ἰουδαῖοι μὲν οὖν ἐνέκειντο τῇ πολιορκίᾳ, τῶν τειχέων ἅμα πειρώμενοι τοῦ φρουρίου καὶ τοῖς περὶ τὸν Σαβῖνον ἐμβοῶντες ἀπιέναι, μηδ' ἐμποδὼν αὐτοῖς γίνεσθαι διὰ χρόνου πολλοῦ κομιζομένοις τὴν πάτριον αὐτονομίαν· Σαβῖνῳ δὲ ἀγαπητὸν μὲν ἦν ὑπεξελθεῖν, ἠπίστει δὲ ταῖς ὑποσχέσεσι, καὶ τὸ πρᾶον αὐτῶν δέλεαρ εἰς ἐνέδραν ὑπώπτευεν, ἅμα δὲ καὶ τὴν ἐξ Ὄάρου βοήθειαν ἐλπίζων διέφερε τὴν πολιορκίαν.

ἐν δὲ τούτῳ καὶ τὰ κατὰ τὴν χώραν πολλαχόθεν 4
ἐταράσσετο, καὶ συχνοὺς βασιλειᾶν ὁ καιρὸς ἀνέπειθε. κατὰ μέν γε τὴν Ἰδουμαίαν δισχίλιοι τῶν ὑφ' Ἡρῴδῃ πάλαι στρατευσαμένων συστάντες ἔνοπλοι διεμάχοντο

Digitized by Google

τοῖς βασιλικοῖς, ὃς Ἀχίαβος ὁ ἀνεψιὸς βασιλέως ἀπὸ τῶν ἐρυμνοτάτων χωρίων ἐπολέμει, ἀποφεύγων τὴν ἐν τοῖς πεδίοις συμπλοκήν. ἐν δὲ Σεπφώρει τῆς Γαλιλαίας Ἰούδας υἱὸς Ἐζεκίου τοῦ κατατρέχοντός ποτε τὴν χώραν ἀρχιληστοῦ καὶ χειρωθέντος ὑφ' Ἡρώδου τοῦ βασιλέως, συστήσας πλῆθος οὐκ ὀλίγον ἀναρρήγνυσι τὰς βασιλικὰς ὁπλοθήκας, καὶ τοὺς περὶ αὐτὸν ὁπλίσας τοῖς τὴν δυνα-
2 στείαν ζηλοῦσιν ἐπιχειρεῖ. κατὰ δὲ τὴν Περαίαν Σίμων τις τῶν βασιλικῶν δούλων, εὐμορφίᾳ σώματος καὶ μεγέθει πεποιθώς, περιτίθησι μὲν ἑαυτῷ καὶ διάδημα, περιιὼν δὲ μεθ' ὧν ἤθροισε λῃστῶν τά τε ἐν Ἰεριχοῖ βασίλεια καταπίμπρησι καὶ πολλὰς ἑτέρας τῶν πολυτελῶν ἐπαύλεις, ἁρπαγὰς ῥᾳδίους ἐκ τοῦ πυρὸς ποριζόμενος ἑαυτῷ. κἂν ἔφθη πᾶσαν οἰκησιν εὐπρεπῆ καταφλέξας, εἰ μὴ Γρᾶτος ὁ τῶν βασιλικῶν πεζῶν ἡγεμὼν τούς τε Τραχωνίτας τοξότας καὶ τὸ μαχιμώτατον τῶν Σεβαστηνῶν ἀναλαβὼν ὑπηντίασε τὸν ἄνδρα. τῶν μὲν οὖν πεζῶν συχνοὶ διεφθάρησαν ἐν τῇ μάχῃ, τὸν Σίμωνα δ' αὐτόν, ἀναφεύγοντα δι' ὀρθίου φάραγγος, ὁ Γρᾶτος ὑποτέμνεται, καὶ φεύγοντος ἐκ πλαγίου τὸν αὐχένα πλήξας ἀπέρραξε. κατεφλέγη δὲ καὶ τὰ πλησίον Ἰορδάνου βασίλεια κατὰ Βηθαράμαθον, στασιασάντων ἑτέρων τινῶν ἐκ τῆς Περαίας.

3 τότε καὶ ποιμήν τις ἀντιποιήσασθαι βασιλείας ἐτόλμησεν· Ἀθρογγαῖος ἐκαλεῖτο. προυξένει δ' αὐτῷ τὴν ἐλπίδα σώματος ἰσχὺς καὶ ψυχὴ θανάτου καταφρονοῦσα, πρὸς δὲ τούτοις ἀδελφοὶ τέσσαρες ὅμοιοι. τούτων ἑκάστῳ λόχον ὑποζεύξας ἕνοπλον, ὥσπερ στρατηγοῖς ἐχρῆτο καὶ σατράπαις ἐπὶ τὰς καταδρομάς, αὐτὸς δέ, καθάπερ βασιλεύς, τῶν σεμνοτέρων ἥπτετο πραγμάτων. τότε μὲν οὖν ἑαυτῷ περιτίθησι διάδημα, διέμεινε δ' ὕστερον οὐκ ὀλίγῳ χρόνῳ τὴν χώραν κατατρέχων σὺν τοῖς ἀδελ-

Digitized by Google

φοῖς. καὶ τὸ κτείνειν αὐτοῖς προηγούμενον μὲν ἦν Ῥωμαίους τε καὶ τοὺς βασιλικούς, διέφευγε δ' οὐδὲ Ἰουδαίων εἴ τις εἰς χεῖρας ἔλθοι φέρων κέρδος. ἐτόλμησε δέ ποτε Ῥωμαίων λόχον ἄθρουν περισχεῖν κατ' Ἐμμαοῦντα· εἶτα δὲ οὗτοι καὶ ὅπλα διεκόμιζον τῷ τάγματι. τὸν μὲν οὖν ἑκατοντάρχην αὐτῶν Ἄρειον καὶ τεσσαράκοντα τοὺς γενναιοτάτους κατηκόντισαν· οἱ δὲ λοιποὶ κινδυνεύοντες τὸ αὐτὸ παθεῖν, Γράτου σὺν τοῖς Σεβαστηνοῖς ἐπιβοηθήσαντος ἐξέφυγον. πολλὰ τοιαῦτα τοὺς ἐπιχωρίους καὶ τοὺς ἀλλοφύλους παρ' ὅλον τὸν πόλεμον ἐργασάμενοι μετὰ χρόνον οἱ μὲν τρεῖς ἐχειρώθησαν, ὑπ' Ἀρχελάου μὲν ὁ πρεσβύτατος, οἱ δὲ ἐξῆς δύο Γράτῳ καὶ Πτολεμαίῳ περιπεσόντες· ὁ δὲ τέταρτος Ἀρχελάῳ προσεχώρησε κατὰ δεξιάν. τοῦτο μὲν δὴ τὸ τέλος αὐτοὺς ὕστερον ἐξεδέχετο· τότε δὲ λῃστρικοῦ πολέμου τὴν Ἰουδαίαν πᾶσαν ἐνέπλησαν.

Ὑάρῳ δὲ δεξαμένῳ τὰ παρὰ Σαβίνου καὶ τῶν ἡγεμόνων γράμματα δεῖσαί τε περὶ τοῦ τάγματος ὅλου παρέστη καὶ σπεύδειν ἐπὶ τὴν βοήθειαν. ἀναλαβὼν δὴ τὰ λοιπὰ δύο τάγματα καὶ τὰς σὺν αὐτοῖς τέσσαρας ἴλας ἱππέων ἐπὶ Πτολεμαΐδος ἦει, προστάξας ἐκεῖ καὶ τοὺς παρὰ τῶν βασιλέων καὶ δυναστῶν ἐπικούρους συνελθεῖν. προσέλαβε δὲ καὶ παρὰ Βηρυτίων, διερχόμενος τὴν πόλιν, χιλίους καὶ πεντακοσίους ὁπλίτας. ἐπεὶ δὲ εἰς τὴν Πτολεμαΐδα τό τε ἄλλο συμμαχικὸν πλῆθος αὐτῷ παρῆν, καὶ κατὰ τὸ πρὸς Ἡρῴδην ἔχθος Ἀρέτας ὁ Ἄραψ οὐκ ὀλίγην ἄγων δύναμιν ἱππικήν τε καὶ πεζικήν, μέρος τε τῆς στρατιᾶς εὐθέως ἔπεμπεν εἰς τὴν Γαλιλαίαν γειτνιῶσαν τῇ Πτολεμαΐδι καὶ Γάιον ἡγεμόνα τῶν αὐτοῦ φίλων, ὃς τούς τε ὑπαντιάσαντας τρέπεται, καὶ Σέπφωριν πόλιν ἑλὼν αὐτὴν μὲν ἐμπίπρησι, τοὺς δὲ ἐνοικοῦντας ἀνδραποδίζεται. μετὰ δὲ τῆς ὅλης δυνά-

Digitized by Google

μεως αὐτὸς Οὔαρος εἰς Σαμάρειαν ἐλάσας τῆς μὲν πόλεως ἀπέσχετο, μηδὲν ἐν τοῖς τῶν ἄλλων θορύβοις παρακεκινηκυῖαν εὑρών, αὐλίζεται δὲ περί τινα κώμην Ἄρουν καλουμένην. κτῆμα δὲ ἦν Πτολεμαίου, καὶ διὰ τοῦτο ὑπὸ τῶν Ἀράβων διηρπάσθη, μηνιόντων καὶ τοῖς Ἡρώδου φίλοις. ἔνθεν εἰς Σαμφὼ πρόεισι, κώμην ἑτέραν ἐρυμνήν, ἣν ὁμοίως διήρπασαν, τάς τε προσόδους πάσας ὅσαις ἐπετύγχανον. πυρὸς δὲ καὶ φόνου πεπλήρωτο πάντα, καὶ πρὸς τὰς ἁρπαγὰς τῶν Ἀράβων οὐδὲν ἀντεῖχε. κατεφλέγη δὲ καὶ Ἐμμαοῦς φυγόντων τῶν οἰκητόρων, Οὐάρου δι' ὀργὴν τῶν περὶ Ἄρειον ἀποσφαγέντων κελεύσαντος.

2 ἔνθεν εἰς Ἱεροσόλυμα προελθὼν ὀφθείς τε μόνον μετὰ τῆς δυνάμεως τὰ στρατόπεδα τῶν Ἰουδαίων διεσκέδασε. καὶ οἳ μὲν ᾤχοντο φυγόντες ἀνὰ τὴν χώραν· δεξάμενοι δὲ αὐτὸν οἱ κατὰ τὴν πόλιν ἀπεσκευάζοντο τὰς αἰτίας τῆς ἀποστάσεως, αὐτοὶ μὲν μηδὲν παρακινῆσαι λέγοντες, διὰ δὲ τὴν ἑορτὴν ἀναγκαίως δεξάμενοι τὸ πλῆθος συμπολιορκηθῆναι μᾶλλον Ῥωμαίοις ἢ συμπολεμῆσαι τοῖς ἀποστᾶσι. προϋπηντήκεσαν δὲ αὐτῷ Ἰώσηπός τε ὁ ἀνεψιὸς Ἀρχελάου καὶ σὺν Ῥούφῳ Γρᾶτος, ἄγοντες ἅμα τῷ βασιλικῷ στρατῷ καὶ τοὺς Σεβαστηνούς, οἵ τε ἀπὸ τοῦ Ῥωμαϊκοῦ τάγματος τὸν συνήθη τρόπον κεκοσμημένοι. Σαβῖνος γὰρ οὐδ' εἰς ὄψιν ὑπομείνας ἐλθεῖν Οὐάρῳ προεξῆλθε τῆς πόλεως ἐπὶ θάλασσαν. Οὔαρος δὲ μοῖραν τῆς στρατιᾶς ἐπὶ τοὺς αἰτίους τοῦ κινήματος ἔπεμπε περὶ τὴν χώραν, καὶ πολλῶν ἀγομένων τοὺς μὲν ἧττον θορυβώδεις φανέντας ἐφρούρει, τοὺς δ' αἰτιωτάτους ἀνεσταύρωσε περὶ δισχιλίους.

3 ἠγγέλη δ' αὐτῷ περὶ τὴν Ἰδουμαίαν ἔτι συμμένειν μυρίους ὁπλίτας. ὃ δὲ τοὺς μὲν Ἄραβας εὑρὼν οὐ συμμάχων ἦθος ἔχοντας ἀλλ' ἰδίῳ πάθει στρατευομένους,

Digitized by Google

καὶ πέρα τῆς αὐτοῦ προαιρέσεως τὴν χώραν κακοῦντας ἔχθει τῷ πρὸς Ἡρώδην, ἀποπέμπεται, μετὰ δὲ τῶν ἰδίων ταγμάτων ἐπὶ τοὺς ἀφεστῶτας ἠπείγετο. κἀκεῖνοι, πρὶν εἰς χεῖρας ἐλθεῖν, Ἀχιάβου συμβουλεύσαντος σφᾶς αὐτοὺς παρέδοσαν. Ὄαρος δὲ τῷ πλήθει μὲν ἠφίει τὰς αἰτίας, τοὺς δὲ ἡγεμόνας ἐξετασθησομένους ἔπεμψεν ἐπὶ Καίσαρα. Καῖσαρ δὲ τοῖς μὲν ἄλλοις συνέγνω, τινὰς δὲ τῶν τοῦ βασιλέως συγγενῶν (ἦσαν γὰρ σὺν αὐτοῖς ἔνιοι προσήκοντες Ἡρώδῃ κατὰ γένος) κολάσαι προσέταξεν, ὅτι κατ' οἰκείου βασιλέως ἐστρατεύσαντο.

Ὄαρος μὲν οὖν τοῦτον τὸν τρόπον καταστησάμενος τὰ ἐν Ἱεροσολύμοις, καὶ φρουρὰν καταλιπὼν τὸ καὶ πρότερον τάγμα, εἰς Ἀντιόχειαν ἐπάνεισιν· Ἀρχελάῳ δ' ἐπὶ 6
Ῥώμης πάλιν ἄλλη συνίστατο δίκη πρὸς Ἰουδαίους, οἳ πρὸ τῆς ἀποστάσεως, ἐπιτρέψαντος Ὄάρου, πρέσβεις ἐξεληλύθεισαν περὶ τῆς τοῦ ἔθνους αὐτονομίας. ἦσαν δὲ πεντήκοντα μὲν οἱ παρόντες, συμπαρίσταντο δὲ αὐτοῖς τῶν ἐπὶ Ῥώμης Ἰουδαίων ὑπὲρ ὀκτακισχιλίους. ἀθροίσαντος δὲ Καίσαρος συνέδριον τῶν ἐν τέλει Ῥωμαίων καὶ τῶν φίλων ἐν τῷ κατὰ τὸ Παλάτιον Ἀπόλλωνος ἱερῷ (κτίσμα δ' ἦν ἴδιον αὐτοῦ, θαυμασίῳ πολυτελείᾳ κεκοσμημένον), μετὰ μὲν τῶν πρεσβευτῶν τὸ Ἰουδαϊκὸν πλῆθος ἔστη, σὺν δὲ τοῖς φίλοις ἄντικρυς Ἀρχέλαος, τῶν δὲ τούτου συγγενῶν οἱ φίλοι παρ' οὐδετέροις, συμπαρίστασθαι μὲν Ἀρχελάῳ διὰ μῖσος καὶ φθόνον οὐχ ὑπομένοντες, ὀφθῆναι δὲ μετὰ τῶν κατηγόρων ὑπὸ Καίσαρος αἰδούμενοι. ἐπὶ τούτοις παρῆν καὶ Φίλιππος ὁ ἀδελφὸς Ἀρχελάου, προπεμφθεὶς κατ' εὔνοιαν ὑπὸ Ὄάρου, δυοῖν ἕνεκα, Ἀρχελάῳ τε συναγωνίσασθαι, κἂν διανέμῃ τὸν Ἡρώδου Καῖσαρ οἶκον πᾶσι τοῖς ἐκγόνοις, κλήρου τινὸς ἀξιωθῆναι.

ἐπιτραπὲν δὲ λέγειν τοῖς κατηγόροις, τὰς Ἡρώδου 2

Digitized by Google

παρανομίας πρῶτον διεξῆεσαν, οὐ βασιλέα λέγοντες, ἀλλὰ τῶν πώποτε τυραννησάντων ὠμότατον ἐνηνοχέναι τύραννον. πλείστων γοῦν ἀνηρημένων ὑπ' αὐτοῦ, τοιαῦτα πεπονθέναι τοὺς καταλειφθέντας ὥστε μακαρίζεσθαι τοὺς ἀπολωλότας· βεβασανικέναι γὰρ οὐ μόνον τὰ σώματα τῶν ὑποτεταγμένων ἀλλὰ καὶ τὰς πόλεις. τὰς μὲν γὰρ ἰδίας λελωβῆσθαι, τὰς δὲ τῶν ἀλλοφύλων κεκοσμηκέναι, καὶ τὸ τῆς Ἰουδαίας αἷμα κεχαρίσθαι τοῖς ἔξωθεν δήμοις· ἀντὶ δὲ τῆς παλαιᾶς εὐδαιμονίας καὶ τῶν πατρίων νόμων πενίας τὸ ἔθνος καὶ παρανομίας ἐσχάτης πεπληρωκέναι. καθόλου τε πλείους ὑπομεμενηκέναι τὰς ἐξ Ἡρώδου συμφορὰς ἐν ὀλίγοις ἔτεσιν Ἰουδαίους ὧν ἐν ἅπαντι τῷ χρόνῳ μετὰ τὴν ἐκ Βαβυλῶνος ἀναχώρησιν ἔπαθον οἱ πρόγονοι, Ξέρξου βασιλεύοντος ἐπαναστραφέντες. εἰς τοσοῦτον μέντοι ταπεινότητος ἐκ τοῦ δυστυχεῖν ἔθους προελθεῖν ὥστε ὑπομεῖναι τῆς πικρᾶς δουλείας καὶ διαδοχὴν αὐθαίρετον. Ἀρχέλαον γοῦν τὸν τηλικούτου τυράννου παῖδα μετὰ τὴν τοῦ πατρὸς τελευτὴν βασιλέα τε προσειπεῖν ἑτοίμως, καὶ συμπενθῆσαι τὸν Ἡρώδου θάνατον αὐτῷ, καὶ συνευξασθαι περὶ τῆς διαδοχῆς. τὸν δέ, ὥσπερ ἀγωνιάσαντα μὴ νόθος υἱὸς δόξειεν Ἡρώδου, προοιμιάσασθαι τὴν βασιλείαν τρισχιλίων πολιτῶν φόνῳ, καὶ τοσαῦτα μὲν παρεστακέναι θύματα περὶ τῆς ἀρχῆς τῷ θεῷ, τοσούτοις δὲ ἐμπεπληκέναι νεκροῖς τὸ ἱερὸν ἐν ἑορτῇ. τοὺς μέντοι περιλειφθέντας ἐκ τοσούτων κακῶν εἰκότως ἐπεστράφθαι ἤδη ποτὲ πρὸς τὰς συμφοράς, καὶ πολέμου νόμῳ ἐθέλειν τὰς πληγὰς κατὰ προσώπου δέχεσθαι, δεῖσθαι δὲ Ῥωμαίων ἐλεῆσαί τε τὰ τῆς Ἰουδαίας λείψανα καὶ μὴ τὸ περισσὸν αὐτῆς ἀπορρῖψαι τοῖς ὠμῶς σπαράσσουσι, συνάψαντας δὲ τῇ Συρίᾳ τὴν χώραν αὐτῶν διοικεῖν ὑπὸ ἰδίοις ἡγεμόσιν· ἐπιδείξεσθαι γὰρ ὡς οἱ νῦν

Digitized by Google

στασιώδεις διαβαλλόμενοι καὶ πολεμικοὶ φέρειν οἴδασι μετρίους ἡγεμόνας.

Ἰουδαῖοι μὲν οὖν τῆς κατηγορίας κατέληξαν εἰς τοιαύτην ἀξίωσιν· ἀναστὰς δὲ Νικόλαος ἀπελύσατο μὲν τὰς εἰς τοὺς βασιλεῖς αἰτίας, κατηγόρει δὲ τοῦ ἔθνους τό τε δύσαρκτον καὶ τὸ δυσπειθὲς φύσει πρὸς τοὺς βασιλέας, συνδιέβαλλε δὲ καὶ τοὺς Ἀρχελάου συγγενεῖς, ὅσοι πρὸς τοὺς κατηγόρους ἀφειστήκεσαν.

τότε μὲν οὖν Καῖσαρ ἀκούσας ἑκατέρων διέλυσε 3
τὸ συνέδριον, μετὰ δὲ ἡμέρας ὀλίγας τὸ μὲν ἥμισυ τῆς βασιλείας Ἀρχελάῳ δίδωσιν, ἐθνάρχην προσειπών, ὑποσχόμενος δὲ καὶ βασιλέα ποιήσειν ἐὰν ἄξιον ἑαυτὸν παράσχῃ, τὸ δὲ λοιπὸν ἥμισυ διελὼν εἰς δύο τετραρχίας δυσὶν ἑτέροις παισὶν Ἡρῴδου δίδωσι, τὴν μὲν Φιλίππῳ, τὴν δὲ Ἀντίπᾳ τῷ πρὸς Ἀρχέλαον ἀμφισβητοῦντι περὶ τῆς βασιλείας. ἐγένετο δὲ ὑπὸ τούτῳ μὲν ἥ τε Περαία καὶ Γαλιλαία, πρόσοδος διακοσίων ταλάντων, Βαταναία δὲ καὶ Τράχων Αὐρανῖτίς τε καὶ μέρη τινὰ τοῦ Ζήνωνος οἴκου τὰ περὶ Ἰάμνειαν, πρόσοδον ἔχοντα ταλάντων ἑκατόν, ὑπὸ Φιλίππῳ τέτακτο. τῆς Ἀρχελάου δ' ἐθναρχίας Ἰδουμαία τε καὶ Ἰουδαία πᾶσα καὶ Σαμαρεῖτις ἦν, κεκουφισμένη τετάρτῳ μέρει τῶν φόρων εἰς τιμὴν τοῦ μὴ μετὰ τῶν ἄλλων ἀποστῆναι. πόλεις δὲ ὑπηκόους παρέλαβε Στράτωνός τε πύργον καὶ Σεβαστὴν καὶ Ἰόπην καὶ Ἱεροσόλυμα· τὰς γὰρ Ἑλληνίδας, Γάζαν καὶ Γάδαρα καὶ Ἵππον, ἀποτεμόμενος τῆς βασιλείας προσέθηκε Συρίᾳ. πρόσοδος δὲ ἦν τῆς Ἀρχελάῳ δοθείσης χώρας τετρακοσίων ταλάντων. Σαλώμη δέ, πρὸς οἷς ὁ βασιλεὺς ἐν ταῖς διαθήκαις κατέλιπεν, Ἰαμνείας τε καὶ Ἀζώτου καὶ Φασαηλίδος ἀποδείκνυται δεσπότις· χαρίζεται δὲ αὐτῇ Καῖσαρ καὶ τὰ ἐν Ἀσκάλωνι βασίλεια. συνήγετο δὲ ἐκ

Digitized by Google

πάντων ἑξήκοντα προσόδου τάλαντα. τὸν δὲ οἶκον αὐτῆς ὑπὸ τὴν Ἀρχελάου ἐθναρχίαν ἔταξε. τῆς δὲ ἄλλης Ἡρῴδου γενεᾶς ἕκαστος τὸ καταλειφθὲν ἐν ταῖς διαθήκαις ἐκομίζετο. ὑσὶ δὲ αὐτοῦ θυγατράσι παρθένοις Καῖσαρ ἔξωθεν χαρίζεται πεντήκοντα μυριάδας ἀργυρίου, καὶ συνῴκισεν αὐτὰς τοῖς Φερώρα παισί. μετὰ δὲ τὸν οἶκον ἐπιδιένειμεν αὐτοῖς τὴν αὐτῷ καταλειφθεῖσαν ὑφ' Ἡρῴδου δωρεάν, οὖσαν χιλίων ταλάντων, εὐτελῆ τινὰ τῶν κειμηλίων εἰς τὴν τοῦ κατοιχομένου τιμὴν ἐξελόμενος.

7 κἀν τούτῳ νεανίας τις Ἰουδαῖος μὲν τὸ γένος, τραφεὶς δ' ἐν Σιδῶνι παρά τινι τῶν Ῥωμαϊκῶν ἀπελευθέρων, δι' ὁμοιότητα μορφῆς ψευδόμενος ἑαυτὸν Ἀλέξανδρον τὸν ἀναιρεθέντα ὑφ' Ἡρῴδου, κατ' ἐλπίδα τοῦ λήσειν ἦκεν εἰς Ῥώμην. συνεργὸς δ' ἦν τις ὁμόφυλος αὐτῷ πάντα τὰ κατὰ τὴν βασιλείαν ἐπιστάμενος, ὑφ' οὗ διδαχθεὶς ἔλεγεν ὡς οἱ πεμφθέντες ἐπὶ τὴν ἀναίρεσιν αὐτοῦ τε καὶ Ἀριστοβούλου δι' οἶκτον ἐκπλέψειαν αὐτοὺς ὁμοίων ὑποβολῇ σωμάτων. τούτοις γοῦν τοὺς ἐν Κρήτῃ Ἰουδαίους ἐξαπατήσας καὶ λαμπρῶς ἐφοδιασθεὶς διέπλευσεν εἰς Μῆλον· ἔνθα συναγείρας πολλῷ πλέον δι' ὑπερβολὴν ἀξιοπιστίας ἀνέπεισε καὶ τοὺς ἰδιοξένους εἰς Ῥώμην αὐτῷ συνεκπλεῦσαι. καταχθεὶς δὲ εἰς Δικαιάρχειαν δῶρά τε παμπληθῆ παρὰ τῶν ἐκεῖ Ἰουδαίων λαμβάνει, καὶ καθάπερ βασιλεὺς ὑπὸ τῶν πατρῴων προεπέμφθη φίλων. προεληλύθει δ' εἰς τοσοῦτον πίστεως τὸ τῆς μορφῆς ὅμοιον, ὥστε τοὺς ἑωρακότας Ἀλέξανδρον καὶ σαφῶς ἐπισταμένους διόμνυσθαι τοῦτον εἶναι. τό γε μὴν Ἰουδαϊκὸν ἐν Ῥώμῃ πᾶν ἐξεχύθη πρὸς τὴν θέαν αὐτοῦ, καὶ πλῆθος ἄπειρον ἦν περὶ τοὺς στενωποὺς δι' ὧν κομίζοιτο. καὶ γὰρ δὴ προῆλθον εἰς τοσοῦτον φρενοβλαβείας οἱ Μήλιοι ὥστε

Digitized by Google

φορείῳ τε αὐτὸν κομίζειν καὶ θεραπείαν βασιλικὴν ἰδίοις παρασχεῖν ἀναλώμασι. Καῖσαρ δὲ γινώσκων ἀκριβῶς τοὺς Ἀλεξάνδρου χαρακτῆρας (κατηγόρητο γὰρ ὑφ' Ἡρώδου παρ' αὐτῷ), συνεώρα μὲν καὶ πρὶν ἰδεῖν τὸν ἄνθρωπον τὴν τῆς ὁμοιότητος ἀπάτην, διδοὺς δέ τι καὶ πίστεως ταῖς ἱλαρωτέραις ἐλπίσι, Κέλαδόν τινα πέμπει τῶν σαφῶς ἐπισταμένων Ἀλέξανδρον, κελεύσας ἀγαγεῖν αὐτῷ τὸν νεανίσκον. ὃ δὲ ὡς εἶδεν, ἐτεκμήρατο μὲν τάχιστα καὶ τὰς διαφορὰς τοῦ προσώπου, τὸ δὲ ὅλον σῶμα σκληρότερόν τε καὶ δουλοφανὲς καταμαθὼν ἐνόησε πᾶν τὸ σύνταγμα. πάνυ δὲ αὐτὸν παρώξυνεν ἡ τόλμα τῶν ὑπ' αὐτοῦ λεγομένων. τοῖς γὰρ πυνθανομένοις περὶ Ἀριστοβούλου σώζεσθαι μὲν κἀκεῖνον ἔλεγεν, ἀπολελεῖφθαι δ' ἐπίτηδες ἐν Κύπρῳ τὰς ἐπιβουλὰς φυλασσόμενον· ἧττον γὰρ ἐπιχειρεῖσθαι διεζευγμένους. ἀπολαβόμενος δὲ αὐτὸν κατ' ἰδίαν, "μισθόν" ἔφη "παρὰ Καίσαρος ἔχεις τὸ ζῆν τοῦ μηνῦσαι τὸν ἀναπείσαντά σε πλάσασθαι τηλικαῦτα." κἀκεῖνος αὐτῷ δηλώσειν εἰπὼν ἔπεται πρὸς Καίσαρα, καὶ τὸν Ἰουδαῖον ἐνδείκνυται καταχρησάμενον αὐτοῦ τῇ ὁμοιότητι πρὸς ἐργασίαν· τοσαῦτα γὰρ εἰληφέναι δῶρα καθ' ἑκάστην πόλιν ὅσα ζῶν Ἀλέξανδρος οὐκ ἔλαβε. γελάσας δὲ Καῖσαρ ἐπὶ τούτοις τὸν μὲν ψευδαλέξανδρον δι' εὐεξίαν σώματος ἐγκατέταξε τοῖς ἑρέταις, τὸν ἀναπείσαντα δὲ ἐκέλευσεν ἀναιρεθῆναι. Μηλίοις δὲ ἤρκεσεν ἐπιτίμιον τῆς ἀνοίας τὰ ἀναλώματα. 2

παραλαβὼν δὲ τὴν ἐθναρχίαν Ἀρχέλαος, καὶ κατὰ μνήμην τῶν πάλαι διαφορῶν οὐ μόνον Ἰουδαίοις ἀλλὰ καὶ Σαμαρεῦσι χρησάμενος ὠμῶς, πρεσβευσαμένων ἑκατέρων κατ' αὐτοῦ πρὸς Καίσαρα ἔτει τῆς ἀρχῆς ἐνάτῳ φυγαδεύεται μὲν εἰς Βίενναν πόλιν τῆς Γαλατίας αὐτός, ἡ οὐσία δ' αὐτοῦ τοῖς Καίσαρος θησαυροῖς ἐγκατατάσ- 3

Digitized by Google

σεται. πρὶν κληθῆναι δὲ αὐτὸν ὑπὸ τοῦ Καίσαρος, ὄναρ ἰδεῖν φασὶ τοιόνδε. ἔδοξεν ὁρᾶν στάχυς ἐννέα, πλήρεις καὶ μεγάλους, ὑπὸ βοῶν καταβιβρωσκομένους. μεταπεμψάμενος δὲ τοὺς μάντεις καὶ τῶν Χαλδαίων τινάς, ἐπυνθάνετο τί σημαίνειν δοκοῖεν. ἄλλων δὲ ἄλλως ἐξηγουμένων, Σίμων τις Ἐσσαῖος τὸ γένος ἔφη τοὺς μὲν στάχυς ἐνιαυτοὺς νομίζειν, τοὺς δὲ βοῦς μεταβολὰς πραγμάτων διὰ τὸ τὴν χώραν ἀροτριῶντας ἀλλάσσειν, ὥστε βασιλεύσειν μὲν αὐτὸν τὸν τῶν σταχύων ἀριθμόν, ἐν ποικίλαις δὲ πραγμάτων μεταβολαῖς γενόμενον τελευτήσειν. ταῦτα ἀκούσας Ἀρχέλαος μετὰ πέντε ἡμέρας ἐπὶ τὴν δίκην μετεκλήθη.

4 ἄξιον δὲ μνήμης ἡγησάμην καὶ τὸ τῆς γυναικὸς αὐτοῦ Γλαφύρας ὄναρ, ἥπερ ἦν θυγάτηρ μὲν Ἀρχελάου τοῦ Καππαδοκῶν βασιλέως, γυνὴ δ' Ἀλεξάνδρου γεγονυῖα τὸ πρῶτον, ὃς ἦν ἀδελφὸς μὲν Ἀρχελάου περὶ οὗ διέξιμεν, υἱὸς δ' Ἡρώδου τοῦ βασιλέως, ὑφ' οὗ καὶ ἀνῃρέθη καθάπερ προδεδηλώκαμεν, μετὰ δὲ τὸν ἐκείνου θάνατον συνῴκησεν Ἰόβᾳ τῷ βασιλεύοντι Λιβύης, οὗ τελευτήσαντος ἐπανελθοῦσαν αὐτὴν καὶ χηρεύουσαν παρὰ τῷ πατρὶ θεασάμενος ὁ ἐθνάρχης Ἀρχέλαος ἐπὶ τοσοῦτον ἔρωτος ἦλθεν ὥστε παραχρῆμα τὴν συνοικοῦσαν αὐτῷ Μαριάμμην ἀποπεμψάμενος ἐκείνην ἀγαγέσθαι. παραγενομένη τοίνυν εἰς Ἰουδαίαν, μετ' ὀλίγον τοῦ ἀφίξεως χρόνον, ἔδοξεν ἐπιστάντα τὸν Ἀλέξανδρον αὐτῇ λέγειν "ἀπέχρη μὲν ὁ κατὰ Λιβύην σοι γάμος, σὺ δὲ οὐκ ἀρκεσθεῖσα τούτῳ πάλιν ἐπὶ τὴν ἐμὴν ἑστίαν ἀνακάμπτεις, τρίτον ἄνδρα, καὶ ταῦτα τὸν ἀδελφόν, ὦ τολμηρά, τὸν ἐμὸν ἠρημένη. πλὴν οὐ περιόψομαι τὴν ὕβριν, ἀπολήψομαί σε καὶ μὴ θέλουσαν." τοῦτο διηγησαμένη τὸ ὄναρ δύο μόλις ἡμέρας ἐβίω.

8 τῆς δὲ Ἀρχελάου χώρας εἰς ἐπαρχίαν περιγραφεί-

Digitized by Google

σης ἐπίτροπός τις ἱππικῆς παρὰ Ῥωμαίοις τάξεως Κωπώνιος πέμπεται, μέχρι τοῦ κτείνειν λαβὼν παρὰ τοῦ Καίσαρος ἐξουσίαν. ἐπὶ τούτου τις ἀνὴρ Γαλιλαῖος Ἰούδας ὄνομα εἰς ἀπόστασιν ἐνῆγε τοὺς ἐπιχωρίους, καλίζων εἰ φόρον τε Ῥωμαίοις τελεῖν ὑπομενοῦσι καὶ μετὰ τὸν θεὸν οἷσουσι θνητοὺς δεσπότας. ἦν δὲ οὗτος σοφιστὴς ἰδίας αἱρέσεως, οὐδὲν τοῖς ἄλλοις προσεοικώς. τρία γὰρ παρὰ Ἰουδαίοις εἴδη φιλοσοφεῖται, καὶ τοῦ 2 μὲν αἱρετισταὶ Φαρισαῖοι τοῦ δὲ Σαδδουκαῖοι, τρίτον δέ, ὃ δὴ καὶ δοκεῖ σεμνότητα ἀσκεῖν, Ἐσσηνοὶ καλοῦνται, Ἰουδαῖοι μὲν γένος ὄντες, φιλάλληλοι δὲ καὶ τῶν ἄλλων πλέον. οὗτοι τὰς μὲν ἡδονὰς ὡς κακίαν ἀποστρέφονται, τὴν δὲ ἐγκράτειαν καὶ τὸ μὴ τοῖς πάθεσιν ὑποκίπτειν ἀρετὴν ὑπολαμβάνουσι. καὶ γάμου μὲν ὑπεροψία παρ' αὐτοῖς, τοὺς δ' ἀλλοτρίους παῖδας ἐκλαμβάνοντες, ἁπαλοὺς ἔτι πρὸς τὰ μαθήματα, συγγενεῖς ἡγοῦνται καὶ τοῖς ἤθεσι τοῖς ἑαυτῶν ἐντυποῦσι, τὸν μὲν γάμον καὶ τὴν ἐξ αὐτοῦ διαδοχὴν οὐκ ἀναιροῦντες, τὰς δὲ τῶν γυναικῶν ἀσελγείας φυλασσόμενοι, καὶ μηδεμίαν τηρεῖν πεπεισμένοι τὴν πρὸς ἕνα πίστιν. κατα- 3 φρονηταὶ δὲ πλούτου, καὶ θαυμάσιον παρ' αὐτοῖς τὸ κοινωνικόν, οὐδὲ ἔστιν εὑρεῖν κτήσει τινὰ παρ' αὐτοῖς ὑπερέχοντα. νόμος γὰρ τοὺς εἰς τὴν αἵρεσιν εἰσιόντας δημεύειν τῷ τάγματι τὴν οὐσίαν, ὥστε ἐν ἅπασι μήτε πενίας ταπεινότητα φαίνεσθαι μήθ' ὑπεροχὴν πλούτου, τῶν δὲ ἑκάστου κτημάτων ἀναμεμιγμένων μίαν ὥσπερ ἀδελφοῖς ἅπασιν οὐσίαν εἶναι. κηλῖδα δὲ ὑπολαμβάνουσι τὸ ἔλαιον, κἂν ἀλιφῇ τις ἄκων, σμήχεται τὸ σῶμα· τὸ γὰρ αὐχμεῖν ἐν καλῷ τίθενται, λευχειμονεῖν τε διὰ παντός. χειροτονητοὶ δὲ οἱ τῶν κοινῶν ἐπιμεληταί, καὶ αἱρετοὶ πρὸς ἁπάντων εἰς τὰς χρείας ἕκαστοι.

μία δὲ οὐκ ἔστιν αὐτῶν πόλις, ἀλλ' ἐν ἑκάστῃ κα- 4

Digitized by Google

τοικοῦσι πολλοί. καὶ τοῖς ἑτέρωθεν ἥκουσιν αἱρετισταῖς ἀναπέπταται τὰ παρ' αὐτοῖς ὁμοίως ὥσπερ ἴδια, καὶ πρὸς οὓς οὐ πρότερον εἶδον εἰσίασιν ὡς συνηθεστάτους· διὸ καὶ ποιοῦνται τὰς ἀποδημίας οὐδὲν μὲν ὅλως ἐπικομιζόμενοι, διὰ δὲ τοὺς λῃστὰς ἔνοπλοι. κηδεμὼν δὲ ἐν ἑκάστῃ πόλει τοῦ τάγματος ἑξαιρέτως τῶν ξένων ἀποδείκνυται, ταμιεύων ἐσθῆτα καὶ τὰ ἐπιτήδεια. κατάστολὴ δὲ καὶ σχῆμα σώματος ὅμοιον τοῖς μετὰ φόβου παιδαγωγουμένοις παισίν. οὔτε δὲ ἐσθῆτας οὔτε ὑποδήματα ἀμείβουσι πρὶν ἢ διαρραγῆναι τὸ πρότερον παντάπασιν ἢ δαπανηθῆναι τῷ χρόνῳ. οὐδὲν δὲ ἐν ἀλλήλοις οὔτε ἀγοράζουσιν οὔτε πωλοῦσιν, ἀλλὰ τῷ χρῄζοντι διδοὺς ἕκαστος τὰ παρ' αὐτοῦ τὸ παρ' ἐκείνου χρήσιμον ἀντικομίζεται. καὶ χωρὶς δὲ τῆς ἀντιδόσεως ἀκώλυτος ἡ μετάληψις αὐτοῖς ὧν ἂν ἐθελήσωσι.

πρός γε μὴν τὸ θεῖον ἰδίως εὐσεβεῖς· πρὶν γὰρ ἀνασχεῖν τὸν ἥλιον οὐδὲν φθέγγονται τῶν βεβήλων, πατρίους δέ τινας εἰς αὐτὸν εὐχάς, ὥσπερ ἱκετεύοντες ἀνατεῖλαι. μετὰ ταῦτα πρὸς ἃς ἕκαστοι τέχνας ἴσασιν ὑπὸ τῶν ἐπιμελητῶν διαφίενται, καὶ μέχρι πέμπτης ὥρας ἐργασάμενοι συντόνως ἔπειτα πάλιν εἰς ἓν ἀθροίζονται χωρίον, ζωσάμενοί τε σκεπάσμασι λινοῖς οὕτως ἀπολούονται τὸ σῶμα ψυχροῖς ὕδασι, καὶ μετὰ ταύτην τὴν ἁγνείαν εἰς ἴδιον οἴκημα συνίασιν, ἔνθα μηδενὶ τῶν ἑτεροδόξων ἐπιτέτραπται παρελθεῖν· αὐτοί τε καθαροὶ καθάπερ εἰς ἁγιόν τι τέμενος παραγίνονται τὸ δειπνητήριον. καὶ καθισάντων μεθ' ἡσυχίας ὁ μὲν σιτοποιὸς ἐν τάξει παρατίθησιν ἄρτους, ὁ δὲ μάγειρος ἓν ἀγγεῖον ἑξ ἑνὸς ἐδέσματος ἑκάστῳ παρατίθησι. προκατεύχεται δὲ ὁ ἱερεὺς τῆς τροφῆς, καὶ γεύσασθαί τινα πρὶν τῆς εὐχῆς ἀθέμιτον. ἀριστοποιησάμενος δὲ ἐπεύχεται πάλιν· ἀρχόμενοί τε καὶ παυόμενοι γεραίρουσι τὸν θεὸν ὡς χορη-

Digitized by Google

γὸν τῆς τροφῆς. ἔπειτα ὡς ἱερὰς καταθέμενοι τὰς ἐσθῆτας πάλιν ἐπ' ἔργα μέχρι δείλης τρέπονται. δειπνοῦσι δὲ ὑποστρέψαντες ὁμοίως, συγκαθεζομένων τῶν ξένων οἳ τύχοιεν αὐτοῖς παρόντες. οὐδὲ κραυγή ποτε τὸν οἶκον οὐδὲ θόρυβος μολύνει, τὰς δὲ λαλιὰς ἐν τάξει παραχωροῦσιν ἀλλήλοις, καὶ τοῖς ἔξωθεν ὡς μυστήριόν τι φρικτὸν ἡ τῶν ἔνδον σιωπὴ καταφαίνεται. τούτου δὲ αἴτιον ἡ διηνεκὴς νῆψις καὶ τὸ μετρεῖσθαι παρ' αὐτοῖς τροφὴν καὶ ποτὸν μέχρι κόρου.

τῶν μὲν οὖν ἄλλων οὐκ ἔστιν ὅ τι μὴ τῶν ἐπιμελη- 6
τῶν προσταξάντων ἐνεργοῦσι· δύο δὲ ταῦτα παρ' αὐτοῖς αὐτεξούσια, ἐπικουρία καὶ ἔλεος. βοηθεῖν τε γὰρ τοῖς ἀξίοις, ὁπόταν δέωνται, καὶ καθ' ἑαυτοὺς ἐφίεται καὶ τροφὰς ἀπορουμένοις ὀρέγειν, τὰς δὲ εἰς τοὺς συγγενεῖς μεταδόσεις οὐκ ἔξεστι ποιεῖσθαι δίχα τῶν ἐπιτρόπων. ὀργῆς ταμίαι δίκαιοι, θυμοῦ καθεκτικοί, πίστεως προστάται, εἰρήνης ὑπουργοί. καὶ πᾶν μὲν τὸ ῥηθὲν ὑπ' αὐτῶν ἰσχυρότερον ὅρκου, τὸ δὲ ὀμνύειν περιίστανται, χεῖρόν τι τῆς ἐπιορκίας ὑπολαμβάνοντες· ἤδη γὰρ κατεγνῶσθαί φασι τὸ ἀπιστούμενον δίχα θεοῦ. σπουδάζουσι δὲ ἐκτόπως περὶ τὰ τῶν παλαιῶν συγγράμματα, μάλιστα τὰ πρὸς ὠφέλειαν ψυχῆς καὶ σώματος ἐκλέγοντες. ἔνθεν αὐτοῖς πρὸς θεραπείαν παθῶν ῥίζαι τε ἀλεξητήριοι καὶ λίθων ἰδιότητες ἀνερευνῶνται.

τῷ δὲ ζηλοῦντι τὴν αἵρεσιν αὐτῶν οὐκ εὐθὺς ἡ πά- 7
ροδος, ἀλλ' ἐπ' ἐνιαυτὸν ἔξω μένοντι τὴν αὐτὴν ὑποτίθενται δίαιταν, ἀξινάριόν τε καὶ τὸ προειρημένον περίζωμα καὶ λευκὴν ἐσθῆτα δόντες. ἐπειδὰν δὲ τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισι μὲν ἔγγιον τῇ διαίτῃ καὶ καθαρωτέρων τῶν πρὸς ἁγνείαν ὑδάτων μεταλαμβάνει, παραλαμβάνεται δὲ εἰς τὰς συμβιώσεις οὐδέπω. μετὰ γὰρ τὴν τῆς καρτερίας ἐπίδειξιν δυσὶν

Digitized by Google

ἄλλοις ἔτεσι τὸ ἦθος δοκιμάζεται, καὶ φανεὶς ἄξιος οὕτως εἰς τὸν ὅμιλον ἐγκρίνεται. πρὶν δὲ τῆς κοινῆς ἅψασθαι τροφῆς, ὅρκους αὐτοῖς ὄμνυσι φρικώδεις, πρῶτον μὲν εὐσεβήσειν τὸ θεῖον, ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια φυλάξειν καὶ μήτε κατὰ γνώμην βλάψειν τινὰ μήτε ἐξ ἐπιτάγματος, μισήσειν δὲ ἀεὶ τοὺς ἀδίκους καὶ συναγωνιεῖσθαι τοῖς δικαίοις, τὸ πιστὸν ἀεὶ παρέξειν πᾶσι, μάλιστα δὲ τοῖς κρατοῦσιν· οὐ γὰρ δίχα θεοῦ περιγίνεσθαί τινι τὸ ἄρχειν· κἂν αὐτὸς ἄρχῃ, μηδέ ποτ' ἐξυβρίσειν εἰς τὴν ἐξουσίαν, μηδὲ ἐσθῆτι ἢ τινι πλείονι κόσμῳ τοὺς ὑποτεταγμένους ὑπερλαμπρύνεσθαι. τὴν ἀλήθειαν ἀγαπᾶν ἀεὶ καὶ τοὺς ψευδομένους ἐλέγχειν προβάλλεσθαι. χεῖρας κλοπῆς καὶ ψυχὴν ἀνοσίου κέρδους καθαρὰν φυλάξειν. καὶ μήτε κρύψειν τι τοὺς αἱρετιστὰς μήτε ἑτέροις αὐτῶν τι μηνύσειν, κἂν μέχρι θανάτου τις βιάζηται. πρὸς τούτοις ὀμνύουσι μηδενὶ μὲν μεταδοῦναι τῶν δογμάτων ἑτέρως ἢ ὡς αὐτὸς μετέλαβεν, ἀφέξεσθαι δὲ λῃστείας, καὶ συντηρήσειν ὁμοίως τά τε τῆς αἱρέσεως αὐτῶν βιβλία καὶ τὰ τῶν ἀγγέλων ὀνόματα. τοιούτοις μὲν ὅρκοις τοὺς προσιόντας ἐξα-
8 σφαλίζονται, τοὺς δὲ ἐπ' ἀξιοχρέοις ἁμαρτήμασιν ἁλόντας ἐκβάλλουσι τοῦ τάγματος. ὁ δὲ ἐκκριθεὶς οἰκτίστῳ πολλάκις μόρῳ διαφθείρεται· τοῖς γὰρ ὅρκοις καὶ τοῖς ἔθεσιν ἐνδεδεμένος οὐδὲ τῆς παρὰ τοῖς ἄλλοις τροφῆς δύναται μεταλαμβάνειν, ποηφαγῶν δὲ καὶ λιμῷ τὸ σῶμα τηκόμενος διαφθείρεται. διὸ δὴ πολλοὺς ἐλεήσαντες ἐν ταῖς ἐσχάταις ἀναπνοαῖς ἀνέλαβον, ἱκανὴν ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν τὴν μέχρι θανάτου βάσανον ἡγούμενοι.

9 περὶ δὲ τὰς κρίσεις ἀκριβέστατοι καὶ δίκαιοι· καὶ δικάζουσι μὲν οὐκ ἐλάττους τῶν ἑκατὸν συνελθόντες, τὸ δὲ ὁρισθὲν ὑπ' αὐτῶν ἀκίνητον. σέβας δὲ μέγιστον

Digitized by Google

παρ' αὐτοῖς μετὰ τὸν θεὸν τὸ ὄνομα τοῦ νομοθέτου· κἂν βλασφημήσῃ τις εἰς τοῦτον, κολάζεται θανάτῳ. τοῖς δὲ πρεσβυτέροις ὑπακούειν καὶ τοῖς πλείοσιν ἐν καλῷ τίθενται· δέκα γοῦν συγκαθεζομένων, οὐκ ἂν λαλήσειέ τις ἀκόντων τῶν ἐννέα. καὶ τὸ πτύσαι δὲ εἰς μέσους ἢ τὸ δεξιὸν μέρος φυλάσσονται, καὶ ταῖς ἑβδομάσιν ἔργων ἐφάπτεσθαι, διαφορώτατα Ἰουδαίων ἁπάντων. οὐ μόνον γὰρ τροφὰς ἑαυτοῖς πρὸ ἡμέρας μιᾶς παρασκευάζουσιν, ὡς μηδὲ πῦρ ἐνανοιεν ἐκείνην τὴν ἡμέραν, ἀλλ' οὐδὲ σκεῦός τι μετακινῆσαι θαρροῦσιν, οὐδὲ ἀποπατεῖν. ταῖς δὲ ἄλλαις ἡμέραις βόθρον ὀρύσσοντες βάθος ποδιαῖον τῇ σκαλίδι (τοιοῦτον γάρ ἐστι τὸ διδόμενον ὑπ' αὐτῶν ἀξινίδιον τοῖς νεοσυστάτοις) καὶ περικαλύψαντες θοἰμάτιον, ὡς μὴ τὰς αὐγὰς ὑβρίζοιεν τοῦ θεοῦ, θακεύουσιν εἰς αὐτόν, ἔπειτα τὴν ἀνορυχθεῖσαν γῆν ἐφέλκουσιν εἰς τὸν βόθρον. καὶ τοῦτο ποιοῦσι τοὺς ἐρημοτέρους τόπους ἐκλεγόμενοι. καίπερ δὲ φυσικῆς οὔσης τῆς τῶν σωματικῶν λυμάτων ἐκκρίσεως, ἀπολούεσθαι μετ' αὐτὴν καθάπερ μεμιαμμένοις ἔθιμον.

διῄρηνται δὲ κατὰ χρόνον τῆς ἀσκήσεως εἰς μοίρας τέσσαρας, καὶ τοσοῦτον οἱ μεταγενέστεροι τῶν προγενεστέρων ἐλαττοῦνται ὥστε, εἰ ψαύσειαν αὐτῶν, ἐκείνους ἀπολούεσθαι καθάπερ ἀλλοφύλῳ συμφυρέντας. καὶ μακρόβιοι μὲν ὡς τοὺς πολλοὺς ὑπὲρ ἑκατὸν παρατείνειν ἔτη, διὰ τὴν ἁπλότητα τῆς διαίτης, ἔμοιγε δοκεῖν, καὶ τὴν εὐταξίαν, καταφρονηταὶ δὲ τῶν δεινῶν, καὶ τὰς μὲν ἀλγηδόνας νικῶντες τοῖς φρονήμασι, τὸν δὲ θάνατον, εἰ μετ' εὐκλείας προσίοι, νομίζοντες ἀθανασίας ἀμείνω. διήλεγξε δ' αὐτῶν ἐν ἅπασι τὰς ψυχὰς ὁ πρὸς Ῥωμαίους πόλεμος, ἐν ᾧ στρεβλούμενοι καὶ λυγιζόμενοι καιόμενοί τε καὶ κλώμενοι, καὶ διὰ πάντων ὁδεύοντες

Digitized by Google

τῶν βασανιστηρίων ὀργάνων, ἵνα ἢ βλασφημήσωσι τὸν νομοθέτην ἢ φάγωσί τι τῶν ἀσυνήθων, οὐδέτερόν τι ὑπέμειναν παθεῖν, ἀλλ' οὐδὲ κολακεῦσαί ποτε τοὺς αἰκιζομένους ἢ δακρῦσαι· μειδιῶντες δὲ ἐν ταῖς ἀλγηδόσι καὶ κατειρωνευόμενοι τῶν τὰς βασάνους προσφερόντων εὔθυμοι τὰς ψυχὰς ἠφίεσαν ὡς πάλιν κομιούμενοι. καὶ γὰρ ἔρρωται παρ' αὐτοῖς ἥδε ἡ δόξα, φθαρτὰ μὲν εἶναι τὰ σώματα καὶ τὴν ὕλην οὐ μόνιμον αὐτοῖς, τὰς δὲ ψυχὰς ἀθανάτους ἀεὶ διαμένειν, καὶ συμπλέκεσθαι μέν, ἐκ τοῦ λεπτοτάτου φοιτώσας αἰθέρος, ὥσπερ εἱρκταῖς τοῖς σώμασιν ἐγγύ τινι φυσικῇ κατασπωμένας, ἐπειδὰν δὲ ἀνεθῶσι τῶν κατὰ σάρκα δεσμῶν, οἷον δὴ μακρᾶς δουλείας ἀπηλλαγμένας, τότε χαίρειν καὶ μετεώρους φέρεσθαι. καὶ ταῖς μὲν ἀγαθαῖς, ὁμοδοξοῦντες παισὶν Ἑλλήνων, ἀποφαίνονται τὴν ὑπὲρ ὠκεανὸν δίαιταν ἀποκεῖσθαι, καὶ χῶρον οὔτε ὄμβροις οὔτε νιφετοῖς οὔτε καύμασι βαρυνόμενον, ἀλλ' ὃν ἐξ ὠκεανοῦ πραῢς ἀεὶ ζέφυρος ἐπιπνέων ἀναψύχει· ταῖς δὲ φαύλαις ζοφώδη καὶ χειμέριον ἀφορίζονται μυχόν, γέμοντα τιμωριῶν ἀδιαλείπτων. δοκοῦσι δέ μοι κατὰ τὴν αὐτὴν ἔννοιαν Ἕλληνες τοῖς τε ἀνδρείοις αὐτῶν, οὓς ἥρωας καὶ ἡμιθέους καλοῦσι, τὰς μακάρων νήσους ἀνατεθεικέναι, ταῖς δὲ τῶν πονηρῶν ψυχαῖς καθ' Ἅιδου τὸν ἀσεβῶν χῶρον, ἔνθα καὶ κολαζομένους τινὰς μυθολογοῦσι, Σισύφους καὶ Ταντάλους καὶ Ἰξίονας καὶ Τιτυούς, πρῶτον μὲν ἀιδίους ὑφιστάμενοι τὰς ψυχάς, ἔπειτα εἰς προτροπὴν ἀρετῆς καὶ κακίας ἀποτροπήν· τούς τε γὰρ ἀγαθοὺς γίνεσθαι κατὰ τὸν βίον ἀμείνους ἐλπίδι τιμῆς καὶ μετὰ τὴν τελευτήν, τῶν τε κακῶν ἐμποδίζεσθαι τὰς ὁρμὰς δέει, προσδοκώντων, εἰ καὶ λάθοιεν ἐν τῷ ζῆν, μετὰ τὴν διάλυσιν ἀθάνατον τιμωρίαν ὑφέξειν.

Digitized by Google

τάδε μὲν οὖν Ἐσσηνοὶ περὶ ψυχῆς θεολογοῦσιν, ἄφυκτον δέλεαρ τοῖς ἅπαξ γευσαμένοις τῆς σοφίας αὐτῶν ἐγκαθιέντες· εἰσὶ δὲ ἐν αὐτοῖς οἳ καὶ τὰ μέλλοντα προγινώσκειν ὑπισχνοῦνται, βίβλοις ἱεραῖς καὶ διαφόροις ἀγνείαις καὶ προφητῶν ἀποφθέγμασιν ἐμπαιδοτριβούμενοι. σπάνιον δὲ εἴ ποτε ἐν ταῖς προαγορεύσεσιν ἀστοχήσουσιν. 12

ἔστι δὲ καὶ ἕτερον Ἐσσηνῶν τάγμα, δίαιταν μὲν καὶ ἔθη καὶ νόμιμα τοῖς ἄλλοις ὁμοφρονοῦν, διεστὸς δὲ τῇ κατὰ γάμον δόξῃ. μέγιστον γὰρ ἀποκόπτειν οἴονται τοῦ βίου μέρος, τὴν διαδοχήν, τοὺς μὴ γαμοῦντας, μᾶλλον δέ, εἰ πάντες τὸ αὐτὸ φρονήσειαν, ἐκλιπεῖν ἅπαν τὸ γένος τάχιστα. δοκιμάζοντες μέντοι τριετίᾳ τὰς γαμετάς, ἐπειδὰν τρὶς καθαρθῶσιν εἰς πεῖραν τοῦ δύνασθαι τίκτειν, οὕτως ἄγονται. ταῖς δὲ ἐγκύμοσιν οὐχ ὁμιλοῦσιν, ἐκδεικνύμενοι τὸ μὴ δι' ἡδονὴν ἀλλὰ τέκνων χρείαν γαμεῖν. λουτρὰ δὲ ταῖς γυναιξὶν ἀμπεχομέναις ἐνδύματα, καθάπερ τοῖς ἀνδράσιν ἐν περιζώματι. 13

τοιαῦτα μὲν ἔθη τοῦδε τοῦ τάγματος, δύο δὲ τῶν προτέρων Φαρισαῖοι μὲν οἱ δοκοῦντες μετ' ἀκριβείας ἐξηγεῖσθαι τὰ νόμιμα καὶ τὴν πρώτην ἀπάγοντες αἵρεσιν, εἱμαρμένῃ τε καὶ θεῷ προσάπτουσι πάντα, καὶ τὸ μὲν πράττειν τὰ δίκαια καὶ μὴ κατὰ τὸ πλεῖστον ἐπὶ τοῖς ἀνθρώποις κεῖσθαι, βοηθεῖν δὲ εἰς ἕκαστον καὶ τὴν εἱμαρμένην· ψυχὴν δὲ πᾶσαν μὲν ἄφθαρτον, μεταβαίνειν δὲ εἰς ἕτερον σῶμα τὴν τῶν ἀγαθῶν μόνην, τὴν δὲ τῶν φαύλων ἀιδίῳ τιμωρίᾳ κολάζεσθαι. Σαδδουκαῖοι δέ, τὸ δεύτερον τάγμα, τὴν μὲν εἱμαρμένην παντάπασιν ἀναιροῦσι, καὶ τὸν θεὸν ἔξω τοῦ δρᾶν τι κακὸν ἢ ἐφορᾶν τίθενται, φασὶ δὲ ἐπ' ἀνθρώποις ἐκλογῇ τό τε καλὸν καὶ τὸ κακὸν προκεῖσθαι, καὶ τὸ κατὰ γνώμην ἑκάστῳ τού- 14

Digitized by Google

των ἑκατέρῳ προσιέναι. ψυχῆς τε τὴν διαμονὴν καὶ τὰς καθ' Ἅιδου τιμωρίας καὶ τιμὰς ἀναιροῦσι. καὶ Φαρισαῖοι μὲν φιλάλληλοί τε καὶ τὴν εἰς τὸ κοινὸν ὁμόνοιαν ἀσκοῦντες, Σαδδουκαίων δὲ καὶ πρὸς ἀλλήλους τὸ ἦθος ἀγριώτερον, αἵ τε ἐπιμιξίαι πρὸς τοὺς ὁμοίους ἀπηνεῖς ὡς πρὸς ἀλλοτρίους.

τοιαῦτα μὲν περὶ τῶν ἐν Ἰουδαίοις φιλοσοφούντων
9 εἶχον εἰπεῖν, τῆς Ἀρχελάου δὲ ἐθναρχίας μεταπεσούσης εἰς ἐπαρχίαν οἱ λοιποί, Φίλιππός τε καὶ Ἡρῴδης ὁ κληθεὶς Ἀντίπας, διῴκουν τὰς ἑαυτῶν τετραρχίας· Σαλώμη γὰρ τελευτῶσα Ἰουλίᾳ τῇ τοῦ Σεβαστοῦ γυναικὶ τήν τε αὐτῆς τοπαρχίαν καὶ Ἰάμνειαν καὶ τοὺς ἐν Φασαηλίδι φοινικῶνας κατέλιπεν: μεταβάσης δὲ εἰς Τιβέριον τὸν Ἰουλίας υἱὸν τῆς Ῥωμαίων ἡγεμονίας μετὰ τὴν Αὐγούστου τελευτήν, ἀφηγησαμένου τῶν πραγμάτων ἔτεσιν ἑπτὰ καὶ πεντήκοντα, πρὸς δὲ μησὶν ἓξ καὶ ἡμέραις δυοῖν, διαμείναντες ἐν ταῖς τετραρχίαις ὅ τε Ἡρῴδης καὶ Φίλιππος, ὁ μὲν πρὸς ταῖς Ἰορδάνου πηγαῖς ἐν Πανεάδι πόλιν κτίζει Καισάρειαν, κἀν τῇ κάτω Γαυλανιτικῇ Ἰουλιάδα, Ἡρῴδης δὲ ἐν μὲν τῇ Γαλιλαίᾳ Τιβεριάδα, ἐν δὲ τῇ Περαίᾳ φερώνυμον Ἰουλίας.

2 πεμφθεὶς δὲ εἰς Ἰουδαίαν ἐπίτροπος ὑπὸ Τιβερίου Πιλᾶτος νύκτωρ κεκαλυμμένας εἰς Ἱεροσόλυμα παρεισκομίζει τὰς Καίσαρος εἰκόνας, αἳ σημαῖαι καλοῦνται. τοῦτο μεθ' ἡμέραν μεγίστην ταραχὴν ἤγειρεν Ἰουδαίων οἵ τε γὰρ ἐγγὺς πρὸς τὴν ὄψιν ἐξεπλάγησαν ὡς πεπατημένων αὐτοῖς τῶν νόμων (οὐδὲν γὰρ ἀξιοῦσιν ἐν τῇ πόλει δείκηλον τίθεσθαι), καὶ πρὸς τὴν ἀγανάκτησιν τῶν κατὰ τὴν πόλιν ἄθρους ἐκ τῆς χώρας λαὸς συνέρρευσεν. ὁρμήσαντες δὲ πρὸς τὸν Πιλᾶτον εἰς Καισάρειαν ἱκέτευον ἐξενεγκεῖν Ἱεροσολύμων τὰς σημαίας καὶ τηρεῖν αὐτοῖς τὰ πάτρια. Πιλάτου δ' ἀρνουμένου περὶ τὴν

Digitized by Google

ἱκεσίαν, πρηνεῖς καταπεσόντες ἐπὶ πέντε ἡμέρας καὶ νύκτας ἴσας ἀκίνητοι διεκαρτέρουν. τῇ δὲ ἑξῆς ὁ Πι- 3
λᾶτος καθίσας ἐπὶ βήματος ἐν τῷ μεγάλῳ σταδίῳ, καὶ προσκαλεσάμενος τὸ πλῆθος ὡς ἀποκρίνεσθαι δῆθεν αὐτοῖς θέλων, δίδωσι τοῖς στρατιώταις σημεῖον ἐκ συντάγματος κυκλώσασθαι τοὺς Ἰουδαίους τοῖς ὅπλοις. περιστάσης δὲ τριστοιχεὶ τῆς φάλαγγος, οἱ Ἰουδαῖοι μὲν ἀχανεῖς ἦσαν πρὸς τὸ ἀδόκητον τῆς ὄψεως, Πιλᾶτος δὲ κατακόψειν εἰπὼν αὐτοὺς εἰ μὴ προσδέξαιντο τὰς Καίσαρος εἰκόνας, γυμνοῦν τὰ ξίφη τοῖς στρατιώταις ἐνευεν. οἱ δὲ Ἰουδαῖοι καθάπερ ἐκ συνθήματος ἀθρόοι καταπεσόντες καὶ τοὺς αὐχένας παρακλίναντες ἑτοίμους εἰς ἀναίρεσιν σφᾶς ἐβόων μᾶλλον ἢ τὸν νόμον παραβῆναι. ὑπερθαυμάσας δ' ὁ Πιλᾶτος τὸ τῆς δεισιδαιμονίας ἄκρατον, ἐκκομίσαι μὲν αὐτίκα τὰς σημαίας Ἱεροσολύμων κελεύει, μετὰ δὲ ταῦτα ταραχὴν ἑτέραν ἐκίνει, 4
τὸν ἱερὸν θησαυρόν (καλεῖται δὲ κορβανᾶς) εἰς καταγωγὴν ὑδάτων ἐξαναλίσκων. κατῆγε δὲ ἀπὸ τετρακοσίων σταδίων. πρὸς τοῦτο τοῦ πλήθους ἀγανάκτησις ἦν, καὶ τοῦ Πιλάτου παρόντος εἰς Ἱεροσόλυμα περιστάντες τὸ βῆμα κατεβόων. ὃ δέ (προῄδει γὰρ αὐτῶν τὴν ταραχήν) τῷ πλήθει τοὺς στρατιώτας ἐνόπλους ἐσθήσεσιν ἰδιωτικαῖς κεκαλυμμένους ἐγκαταμίξας, καὶ ξίφει μὲν χρήσασθαι κωλύσας, ξύλοις δὲ παίειν τοὺς κεκραγότας ἐγκελευσάμενος, σύνθημα δίδωσιν ἀπὸ τοῦ βήματος, τυπτόμενοι δ' οἱ Ἰουδαῖοι πολλοὶ μὲν ὑπὸ τῶν πληγῶν, πολλοὶ δ' ὑπὸ σφῶν αὐτῶν ἐν τῇ φυγῇ καταπατηθέντες ἀπώλοντο. πρὸς δὲ τὴν συμφορὰν τῶν ἀνῃρημένων καταπλαγὲν τὸ πλῆθος ἐσιώπησε.

κἀν τούτῳ κατήγορος Ἡρώδου τοῦ τετραρχοῦντος 5
Ἀγρίππας υἱὸς Ἀριστοβούλου, ὃν ὁ πατὴρ Ἡρώδης ἀπέκτεινε, παραγίνεται πρὸς Τιβέριον. τοῦ δὲ μὴ προσ-

Digitized by Google

δεξαμένου τὴν κατηγορίαν, μένων ἐπὶ Ῥώμης τούς τε ἄλλους τῶν γνωρίμων ἐθεράπευε, καὶ μάλιστα τὸν Γερμανικοῦ παῖδα Γάιον, ἰδιώτην ἔτι ὄντα. καὶ δή ποτε ἑστιῶν αὐτὸν τά τε ἄλλα ποικίλως ἐφιλοφρονεῖτο, καὶ τελευταῖον τὰς χεῖρας ἀνατείνας φανερῶς ἠΰξατο θᾶττον αὐτὸν θεάσασθαι τῶν ὅλων δεσπότην, ἀποθανόντος Τιβερίου. τοῦτό τις τῶν οἰκετῶν αὐτοῦ διαγγέλλει Τιβερίῳ, καὶ ὃς ἀγανακτήσας εἴργνυσι τὸν Ἀγρίππαν καὶ μετ' αἰκίας εἶχεν ἐπὶ μῆνας ἓξ ἐν δεσμωτηρίῳ, μέχρις αὐτὸς ἐτελεύτησεν ἡγεμονεύσας ἔτη δύο πρὸς τοῖς εἴκοσι καὶ τρεῖς ἡμέρας ἐπὶ μησὶν ἕξ. ἀποδειχθεὶς δὲ Γάιος Καῖσαρ ἀνίησί τε τῶν δεσμῶν τὸν Ἀγρίππαν, καὶ τῆς Φιλίππου τετραρχίας (ἐτεθνήκει γὰρ οὗτος) καθίστησι βασιλέα. παραγενόμενος δὲ εἰς τὴν ἀρχὴν Ἀγρίππας φθόνῳ τὰς Ἡρῴδου τοῦ τετράρχου διήγειρεν ἐπιθυμίας. ἐνῆγε δὲ μάλιστα τοῦτον εἰς ἐλπίδα βασιλείας Ἡρῳδιὰς ἡ γυνή, κατονειδίζουσα τὴν ἀργίαν, καὶ φαμένη παρὰ τὸ μὴ βούλεσθαι πλεῖν ἐπὶ Καίσαρα στερίσκεσθαι μείζονος ἀρχῆς· ὅπου γὰρ Ἀγρίππαν ἐξ ἰδιώτου βασιλέα πεποίηκεν, ἢ πού γε ἂν ἐκεῖνον διαναστήσειεν ἐπὶ τετράρχου. τούτοις ἀναπεισθεὶς Ἡρῴδης ἦκε πρὸς Γάιον, ὑφ' οὗ τῆς πλεονεξίας ἐπιτιμᾶται φυγῇ εἰς Ἰσπανίαν· ἠκολούθησε γὰρ αὐτῷ κατήγορος Ἀγρίππας, ᾧ καὶ τὴν τετραρχίαν τὴν ἐκείνου προσέθηκε Γάιος.

καὶ Ἡρῴδης μὲν ἐν Ἰσπανίᾳ, συμφυγούσης αὐτῷ καὶ τῆς γυναικός, τελευτᾷ· Γάιος δὲ Καῖσαρ ἐπὶ τοσοῦτον ἐξύβρισεν εἰς τὴν τύχην ὥστε θεὸν μὲν αὐτὸν καὶ δοκεῖν καὶ βούλεσθαι καὶ καλεῖσθαι, τῶν τε εὐγενεστάτων ἀνδρῶν ἀκροτομῆσαι τὴν πατρίδα, ἐκτεῖναι δὲ τὴν ἀσέβειαν καὶ ἐπὶ Ἰουδαίους. Πετρώνιον γοῦν μετὰ στρατιᾶς ἐπὶ Ἱεροσολύμων ἔπεμψεν ἐγκαθιδρύσοντα τῷ ναῷ τοὺς ἀνδριάντας αὐτοῦ, προστάξας, εἰ μὴ δέξαιντο

Digitized by Google

Ἰουδαῖοι, τούς τε κωλύοντας ἀνελεῖν καὶ πᾶν τὸ λοιπὸν ἔθνος ἐξανδραποδίσασθαι. θεῷ δὲ ἄρα τῶν προσταγμάτων ἔμελε. καὶ Πετρώνιος μὲν σὺν τρισὶ τάγμασι καὶ πολλοῖς ἐκ τῆς Συρίας συμμάχοις εἰς τὴν Ἰουδαίαν ἤλαυνεν ἐκ τῆς Ἀντιοχείας, Ἰουδαίων δὲ οἳ μὲν ἠπίστουν ἔτι ταῖς τοῦ πολέμου φήμαις, οἳ δὲ πιστεύοντες ἦσαν ἐν ἀμηχάνῳ πρὸς τὴν ἄμυναν. ταχὺ δὲ ἐχώρει διὰ πάντων τὸ δέος, ἤδη παρούσης εἰς τὴν Πτολεμαΐδα τῆς στρατιᾶς.

πρόσεστι δ' ἡ πόλις αὕτη τῆς Γαλιλαίας παράλιος 2 κατὰ τὸ μέγα πεδίον ἐκτισμένη, περιέχεται δὲ ὄρεσιν, ἐκ μὲν τοῦ πρὸς ἀνατολὴν κλίματος ἀπὸ σταδίων ἑξήκοντα τῷ τῆς Γαλιλαίας, ἀπὸ δὲ τοῦ μεσημβρινοῦ τῷ Καρμήλῳ διέχοντι σταδίους ἑκατὸν εἴκοσι, τῷ δὲ ὑψηλοτάτῳ κατ' ἄρκτον, ὃ καλοῦσι Κλίμακα Τυρίων οἱ ἐπιχώριοι· καὶ τοῦτο δὲ σταδίους ἀφέστηκεν ἑκατόν. τοῦ δὲ ἄστεως ἀπὸ δύο σταδίων ὁ καλούμενος Βήλαιος ποταμὸς παραρρεῖ παντάπασιν ὀλίγος, παρ' ᾧ τὸ Μέμνονος μνημεῖον ἔστιν, ἔχον ἐγγὺς αὐτοῦ τόπον ἑκατονταπήχη θαύματος ἄξιον. κυκλοτερὴς μὲν γάρ ἐστι καὶ κοῖλος, ἀναδίδωσι δὲ τὴν ὑαλίνην ψάμμον, ἣν ὅταν ἐκκενώσῃ πολλὰ πλοῖα προσσχόντα, πάλιν ἀναπληροῦται τὸ χωρίον, κατασυρόντων μὲν ὥσπερ ἐπίτηδες τότε τῶν ἀνέμων εἰς αὐτὸ τὴν ἔξωθεν ἀργὴν ψάμμον, τοῦ δὲ μετάλλου πᾶσαν εὐθέως μεταβάλλοντος εἰς ὕαλον. θαυμασιώτερον τούτου μοι δοκεῖν, τὸ τὴν ὑπερχυθεῖσαν ὕαλον ἐκ τοῦ τόπου πάλιν γίνεσθαι ψάμμον εἰκαίαν.

τὸ μὲν οὖν χωρίον τοῦτο τοιαύτην εἴληφε φύσιν, Ἰουδαῖοι δὲ μετὰ γυναικῶν καὶ τέκνων ἀθροισθέντες 3 εἰς τὸ πεδίον τὸ πρὸς Πτολεμαΐδα καθικέτευον τὸν Πετρώνιον ὑπὲρ τῶν πατρίων νόμων πρῶτον, ἔπειτα ὑπὲρ ἑαυτῶν. ὃ δὲ πρός τε τὸ πλῆθος καὶ τὰς δεήσεις

Digitized by Google

ἐνδοὺς τὴν μὲν στρατιὰν καὶ τοὺς ἀνδριάντας ἐν Πτολεμαΐδι καταλείπει, προελθὼν δὲ εἰς τὴν Γαλιλαίαν καὶ συγκαλέσας τὸ πλῆθος καὶ τοὺς γνωρίμους πάντας εἰς τὴν Τιβεριάδα, τήν τε Ῥωμαίων διεξῄει δύναμιν καὶ τὰς Καίσαρος ἀπειλάς, ἔτι δὲ καὶ τὴν ἀξίωσιν ἀπέφηνεν ἀγνώμονα· πάντων γὰρ τῶν ὑποτεταγμένων ἐθνῶν κατὰ πόλιν συγκαθιδρυκότων τοῖς ἄλλοις θεοῖς καὶ τὰς Καίσαρος εἰκόνας, τὸ μόνους ἐκείνους ἀντιτάσσεσθαι πρὸς τοῦτο σχεδὸν ἀφισταμένων εἶναι καὶ μεστὸν ὕβρεως. 4 τῶν δὲ τὸν νόμον καὶ τὸ πάτριον ἦθος προτειναμένων, καὶ ὡς οὐδὲ θεοῦ τι δείκηλον, οὐχ ὅπως ἀνδρός, οὐ κατὰ τὸν ναὸν μόνον ἀλλ' οὐδὲ ἐν εἰκαίῳ τινὶ τόπῳ τῆς χώρας θέσθαι θεμιτὸν εἴη, ὑπολαβὼν ὁ Πετρώνιος "ἀλλὰ μὴν κἀμοὶ φυλακτέος ὁ τοὐμοῦ δεσπότου νόμος" ἔφη· "παραβὰς γὰρ αὐτὸν καὶ φεισάμενος ὑμῶν ἀπολοῦμαι δικαίως. πολεμήσει δὲ ὑμᾶς ὁ πέμψας ἐμέ, οὐκ ἐγώ· καὶ γὰρ αὐτὸς ὥσπερ ὑμεῖς ἐπιτάσσομαι." πρὸς ταῦτα τὸ πλῆθος πᾶν ἐβόα πρὸ τοῦ νόμου πάσχειν ἑτοίμως ἔχειν. καταστείλας δὲ ὁ Πετρώνιος αὐτῶν τὴν βοήν, "πολεμήσετε" εἶπεν "ἆρα Καίσαρι;" καὶ Ἰουδαῖοι περὶ μὲν Καίσαρος καὶ τοῦ δήμου τῶν Ῥωμαίων δὶς τῆς ἡμέρας θύειν ἔφασαν, εἰ δὲ βούλεται τὰς εἰκόνας ἐγκαθιδρύειν, πρότερον αὐτὸν δεῖν ἅπαν τὸ Ἰουδαίων ἔθνος προθύσασθαι· παρέχειν δὲ σφᾶς αὐτοὺς ἑτοίμους εἰς σφαγὴν ἅμα τέκνοις καὶ γυναιξίν. ἐπὶ τούτοις θαῦμα καὶ οἶκτος εἰσῄει τὸν Πετρώνιον τῆς τε ἀνυπερβλήτου θρησκείας τῶν ἀνδρῶν καὶ τοῦ πρὸς θάνατον ἑτοίμου παραστήματος. καὶ τότε μὲν ἄπρακτοι διελύθησαν, 5 ταῖς δ' ἑξῆς ἀθροίσας τε τοὺς δυνατοὺς κατ' ἰδίαν καὶ τὸ πλῆθος ἐν κοινῷ συλλέγων ποτὲ μὲν παρεκάλει ποτὲ δὲ συνεβούλευε, τὸ μέντοι πλέον διηπείλει, τήν τε Ῥωμαίων ἐπανατεινόμενος ἰσχὺν καὶ τοὺς Γαΐου θυμοὺς

Digitized by Google

τήν τε ἰδίαν πρὸς τούτοις ἀνάγκην. πρὸς δὲ μηδεμίαν πεῖραν ἐνδιδόντων, ὡς ἑώρα καὶ τὴν χώραν κινδυνεύουσαν ἄσπορον μεῖναι (κατὰ γὰρ ὥραν σπόρου πεντήκοντα ἡμέρας ἀργὰ προσδιέτριβεν αὐτῶν τὰ πλήθη), τελευταῖον ἀθροίσας αὐτούς, καὶ "παρακινδυνευτέον ἐμοὶ μᾶλλον" εἰπών, "ἢ γὰρ τοῦ θεοῦ συνεργοῦντος πείσας Καίσαρα σωθήσομαι μεθ' ὑμῶν ἡδέως, ἢ παροξυνθέντος ὑπὲρ τοσούτων ἑτοίμως ἐπιδώσω τὴν ἐμαυτοῦ ψυχήν," διαφῆκε τὸ πλῆθος πολλὰ κατευχόμενον αὐτῷ, καὶ παραλαβὼν τὴν στρατιὰν ἐκ τῆς Πτολεμαΐδος ὑπέστρεψεν εἰς Ἀντιόχειαν. ἔνθεν εὐθέως ἐπέστελλε Καίσαρι τήν τε ἐμβολὴν τὴν εἰς Ἰουδαίαν ἑαυτοῦ καὶ τὰς τοῦ ἔθνους ἱκετείας, ὅτι τε, εἰ μὴ βούλοιτο πρὸς τοῖς ἀνδράσι καὶ τὴν χώραν ἀπολέσαι, δέοι φυλάττειν τε αὐτοὺς τὸν νόμον καὶ παριέναι τὸ πρόσταγμα. ταύταις ταῖς ἐπιστολαῖς οὐ σφόδρα μετρίως Γάιος ἀντέγραψεν, ἀπειλῶν Πετρωνίῳ θάνατον, ὅτι τῶν προσταγμάτων αὐτοῦ βραδὺς ὑπηρέτης ἐγένετο. ἀλλὰ τοὺς μὲν τούτων γραμματοφόρους συνέβη χειμασθῆναι τρεῖς μῆνας ἐν τῇ θαλάσσῃ, τὸν δὲ Γαΐου θάνατον ἄλλοι καταγγέλλοντες εὐπλόουν· ἔφθη γοῦν τὰς περὶ τούτου λαβεῖν Πετρώνιος ἐπιστολὰς ἑπτὰ καὶ εἴκοσιν ἡμέρας ἢ τὰς καθ' ἑαυτοῦ.

Γαΐου δὲ ἡγεμονεύσαντος ἔτη τρία καὶ μῆνας ὀκτὼ καὶ δολοφονηθέντος, ἁρπάζεται μὲν ὑπὸ τῶν ἐν Ῥώμῃ στρατευμάτων εἰς τὴν ἀρχὴν Κλαύδιος, ἡ δὲ σύγκλητος, ἐξηγουμένων τῶν ὑπάτων Σεντίου Σατουρνίνου καὶ Πομπωνίου Σεκούνδου, τρισὶ ταῖς συμμενούσαις σπείραις ἐπιτρέψασα φυλάττειν τὴν πόλιν, εἰς τὸ Καπετώλιον ἠθροίσθη, καὶ διὰ τὴν ὠμότητα τὴν Γαΐου Κλαυδίῳ πολεμεῖν ἐψηφίζετο· καταστήσεσθαι γὰρ δι' ἀριστοκρατίας, ὥσπερ οὖν πάλαι διῳκεῖτο, τὴν ἀρχήν, ἢ κρινεῖν ψήφῳ τὸν ἄξιον τῆς ἡγεμονίας. 11

Digitized by Google

2 συνέβη δὲ τηνικαῦτα προσεπιδημοῦντα τὸν Ἀγρίππαν τήν τε σύγκλητον καλοῦσαν εἰς συμβουλίαν πέμψαι καὶ Κλαύδιον ἐκ τῆς παρεμβολῆς, ὅπως πρὸς ἃ δέοι χρήσιμος αὐτῷ γένοιτο. κἀκεῖνος συνιδὼν τὸν ἤδη τῇ δυνάμει Καίσαρα πρὸς Κλαύδιον ἄπεισιν. ὃ δὲ αὐτὸν πρεσβευτὴν πρὸς τὴν σύγκλητον ἀναπέμπει, δηλοῦντα τὴν αὐτοῦ προαίρεσιν, ὅτι πρῶτον μὲν ἄκων ὑπὸ τῶν στρατιωτῶν ἁρπαγείη, καὶ οὔτε τὴν ἐκείνων σπουδὴν ἐγκαταλιπεῖν δίκαιον οὔτε ἀσφαλὲς τὴν αὐτοῦ τύχην κρίνοι· καὶ γὰρ καὶ τὸ τυχεῖν τῆς ἡγεμονικῆς κλήσεως ἐπικίνδυνον εἶναι· ἔπειτα ὅτι διοικήσοι τὴν ἀρχὴν ὥσπερ ἀγαθὸς προστάτης, οὐχ ὡς τύραννος· ἀρκεῖσθαι γὰρ τῇ τιμῇ τῆς προσηγορίας, τὴν δὲ ἐφ' ἑκάστῳ τῶν πραγμάτων βουλὴν πᾶσιν ἀποδώσειν· καὶ γὰρ εἰ μὴ φύσει μέτριος ἦν, ἱκανὸν ὑπόδειγμα σωφροσύνης αὐτῷ προκεῖσθαι τὸν Γαΐου θάνατον.

3 ταῦτα ἀπήγγελλεν Ἀγρίππας. ἡ δὲ βουλὴ ἀπεκρίνατο καὶ στρατῷ καὶ γνώμαις ἀγαθαῖς πεποιθυῖα δουλείαν ἑκούσιον οὐχ ὑπομενεῖν. καὶ Κλαύδιος ὡς ἤκουσε τὰ παρὰ τῆς βουλῆς, πάλιν ἔπεμψε τὸν Ἀγρίππαν ἀπαγγελοῦντα αὐτοῖς ὅτι προδοῦναι μὲν τοὺς εἰς αὐτὸν ὁμόσαντας οὐχ ὑπομένει, πολεμήσει δὲ ἄκων πρὸς οὓς ἥκιστα βούλοιτο· δεῖν μέντοι προαποδειχθῆναι τῷ πολέμῳ χωρίον ἔξω τῆς πόλεως· οὐ γὰρ ὅσιον διὰ τὴν αὐτῶν κακοβουλίαν ὁμοφύλῳ φόνῳ μιαίνεσθαι τὰ τεμένη τῆς πατρίδος. ὃ μὲν οὖν ἀκούσας ταῦτα τοῖς βουλευταῖς
4 ἀπήγγειλεν· μεταξὺ δὲ τῶν μετὰ τῆς συγκλήτου στρατιωτῶν τις σπασάμενος τὸ ξίφος, "ἄνδρες" ἐβόησε "συστρατιῶται, τί παθόντες ἀδελφοκτονεῖν αἱρούμεθα καὶ κατὰ τῶν μετὰ Κλαυδίου συγγενῶν ὁρμᾶν, ἔχοντες μὲν αὐτοκράτορα μηδὲν μεμφθῆναι δυνάμενον, τοσαῦτα δὲ δίκαια πρὸς οὓς μετὰ τῶν ὅπλων χωρεῖν μέλλομεν;"

Digitized by Google

ταῦτα εἰπὼν διὰ μέσης ὥρμησε τῆς βουλῆς πάντας τοὺς συστρατιώτας ἐφελκόμενος. οἱ δὲ εὐπατρίδαι παραχρῆμα μὲν πρὸς τὴν ἀπόλειψιν περιδεῶς ἔσχον, αὖθις δὲ ὡς ἀποστροφὴ σωτήριος οὐ κατεφαίνετο, τὴν τῶν στρατιωτῶν ὁδὸν ἠπείγοντο πρὸς Κλαύδιον. ὑπήντων δ' αὐτοῖς πρὸ τοῦ τείχους γυμνοῖς τοῖς ξίφεσιν οἱ σφοδρότερον κολακεύοντες τὴν τύχην· κἂν συνέβη κινδυνεῦσαι τοὺς προάγοντας πρὶν γνῶναι τὴν ὁρμὴν τῶν στρατιωτῶν Κλαύδιον, εἰ μὴ προσδραμὼν Ἀγρίππας αὐτῷ τὸ κινδύνευμα τῆς πράξεως ἐδήλωσεν, ὅτι τε, εἰ μὴ κατάσχοι τὴν ὁρμὴν τῶν ἐπὶ τοὺς εὐπατρίδας λελυσσηκότων, ἀπολέσας δι' οὓς τὸ κρατεῖν ἐστὶ περίοπτον, ἐρημίας ἔσοιτο βασιλεύς.

ταῦτα ἀκούσας Κλαύδιος ἐπέσχε τὰς ὁρμὰς τοῦ στρατιωτικοῦ, προσδέχεταί τε τὴν σύγκλητον εἰς τὸ στρατόπεδον, καὶ φιλοφρονησάμενος ἔξεισι σὺν αὐτοῖς αὐτίκα θύσων τῷ θεῷ τὰ περὶ τῆς ἡγεμονίας χαριστήρια. καὶ τὸν Ἀγρίππαν εὐθέως ἐδωρεῖτο τῇ πατρῴᾳ βασιλείᾳ πάσῃ, προστιθεὶς ἔξωθεν καὶ τὰς ὑπ' Αὐγούστου δοθείσας Ἡρῴδῃ Τραχωνῖτιν καὶ Αὐρανῖτιν, χωρὶς δὲ τούτων ἑτέραν βασιλείαν τὴν Λυσανίου καλουμένην. καὶ τῷ μὲν δήμῳ διατάγματι τὴν δωρεὰν ἐδήλου, τοῖς ἄρχουσι δὲ προσέταξεν ἐγχαράξαντας δέλτοις χαλκαῖς τὴν δόσιν εἰς τὸ Καπετώλιον ἀναθεῖναι. δωρεῖται δὲ αὐτοῦ καὶ τὸν ἀδελφὸν Ἡρῴδην (ὁ δὲ αὐτὸς καὶ γαμβρὸς ἦν Βερενίκῃ συνοικῶν) βασιλείᾳ τῇ Χαλκίδι.

ταχέως δέ, ὡς ἂν ἐκ τοσαύτης ἀρχῆς, πλοῦτος Ἀγρίππᾳ προσέρρει, καὶ τοῖς χρήμασιν αὐτὸς οὐκ εἰς μικρὰ κατεχρῆτο, τηλικοῦτον δὲ περιβάλλειν ἤρξατο τοῖς Ἱεροσολύμοις τεῖχος ἡλίκον ἂν τελεσθὲν ἀνήνυτον τὴν ἐν Ῥωμαίοις ἐποίησε πολιορκίαν. ἀλλ' ἔφθη πρὶν ὑψῶσαι τὸ ἔργον τελευτήσας ἐν Καισαρείᾳ, βεβασιλευκὼς μὲν

Digitized by Google

ἔτη τρία, πρότερον δὲ τῶν τετραρχιῶν τρισὶν ἑτέροις ἔτεσιν ἀφηγησάμενος. καταλείπει δὲ τρεῖς μὲν θυγατέρας ἐκ Κύπρου γεγεννημένας, Βερενίκην Μαριάμμην Δρούσιλλαν, υἱὸν δὲ ἐκ τῆς αὐτῆς Ἀγρίππαν. οὗ παντάπασιν ὄντος νηπίου, πάλιν τὰς βασιλείας Κλαύδιος ἐπαρχίαν ποιήσας ἐπίτροπον πέμπει Κούσπιον Φᾶδον, ἔπειτα Τιβέριον Ἀλέξανδρον, οἳ μηδὲν παρακινοῦντες τῶν πατρίων ἐθῶν ἐν εἰρήνῃ τὸ ἔθνος διεφύλαξαν. μετὰ ταῦτα καὶ ὁ βασιλεύων τῆς Χαλκίδος Ἡρώδης τελευτᾷ, καταλιπὼν ἐκ μὲν τῆς ἀδελφιδῆς Βερενίκης δύο παῖδας, Βερενικιανόν τε καὶ Τρκανόν, ἐκ δὲ τῆς προτέρας Μαριάμμης Ἀριστόβουλον. ἐτεθνήκει δὲ αὐτῷ καὶ ἕτερος ἀδελφὸς Ἀριστόβουλος ἰδιώτης, καταλιπὼν Ἰωτάπην θυγατέρα. οὗτοι μὲν οὖν ἦσαν· ὡς προεῖπον, Ἀριστοβούλου τοῦ Ἡρώδου παῖδες, Ἀριστόβουλος δὲ καὶ Ἀλέξανδρος ἐκ Μαριάμμης Ἡρώδῃ ἐγεγόνεισαν, οὓς ὁ πατὴρ ἀνεῖλεν. ἡ δὲ Ἀλεξάνδρου γενεὰ τῆς μεγάλης Ἀρμενίας ἐβασίλευσε.

12 μετὰ δὲ τὴν Ἡρώδου τελευτήν, ὃς ἦρξε τῆς Χαλκίδος, καθίστησι Κλαύδιος εἰς τὴν βασιλείαν τοῦ θείου τὸν Ἀγρίππα υἱὸν Ἀγρίππαν· τῆς δὲ ἄλλης ἐπαρχίας διαδέχεται τὴν ἐπιτροπὴν ἀπὸ Ἀλεξάνδρου Κούμανος, ἐφ' οὗ θόρυβοί τε ἦρξαντο καὶ φθορὰ πάλιν Ἰουδαίων ἐγένετο. συνελήλυθότος γὰρ τοῦ πλήθους ἐπὶ τὴν ἑορτὴν τῶν ἀζύμων εἰς Ἱεροσόλυμα, καὶ τῆς Ῥωμαϊκῆς σπείρας ὑπὲρ τὴν τοῦ ἱεροῦ στοὰν ἐφεστώσης (ἔνοπλοι δὲ ἀεὶ τὰς ἑορτὰς παραφυλάττουσιν, ὡς μή τι νεωτερίζοι τὸ πλῆθος συνηθροισμένον), εἷς τις τῶν στρατιωτῶν ἀνασυράμενος τὴν ἐσθῆτα καὶ κατακύψας ἀσχημόνως προσαπέστρεψε τοῖς Ἰουδαίοις τὴν ἕδραν, καὶ τῷ σχήματι φωνὴν ὁμοίαν ἐπεφθέγξατο. πρὸς τοῦτο πᾶν μὲν τὸ πλῆθος ἠγανάκτησε, καὶ κατεβόων τοῦ Κου-

Digitized by Google

μάνου κολάζειν τὸν στρατιώτην· οἱ δὲ ἧττον νήφοντες τῶν νέων καὶ τὸ φύσει στασιῶδες ἐκ τοῦ ἔθνους ἐχώρουν ἐπὶ μάχην, λίθους τε ἁρπάσαντες εἰς τοὺς στρατιώτας ἔβαλλον. καὶ Κούμανος δείσας μὴ τοῦ λαοῦ παντὸς ἐπ' αὐτὸν ὁρμὴ γένοιτο, πλείους ὁπλίτας μεταπέμπεται. τῶν δὲ ταῖς στοαῖς ἐπιχειρούντων φόβος ἐμπίπτει τοῖς Ἰουδαίοις ἀκατάσχετος, καὶ τραπέντες ἐκ τοῦ ἱεροῦ διέφυγον εἰς τὴν πόλιν. τοσαύτη δὲ περὶ τὰς ἐξόδους βία συνωθουμένων ἐγένετο ὥστε πατηθέντας ἀπ' ἀλλήλων καὶ συντριβέντας ὑπὲρ τοὺς μυρίους ἀποθανεῖν, γενέσθαι δὲ τὴν ἑορτὴν πένθος μὲν ὅλῳ τῷ ἔθνει θρῆνον δὲ καθ' ἑκάστην οἰκίαν.

μεταλαμβάνει δὲ ταύτην τὴν συμφορὰν ληστρικὸς 2
ἄλλος θόρυβος. κατὰ γὰρ τὴν Βαιθωρὼ δημοσίαν ὁδὸν
Στεφάνου τινὸς δούλου Καίσαρος ἀποσκευὴν κομιζομένην διήρπασαν λησταὶ προσπεσόντες. Κούμανος δὲ περιπέμψας τοὺς ἐκ τῶν πλησίον κωμῶν δεσμώτας ἐκέλευσεν ἀνάγεσθαι πρὸς αὐτόν, ἐπικαλῶν ὅτι μὴ διώξαντες τοὺς λῃστὰς συλλάβοιεν. ἔνθα στρατιωτῶν τις εὑρὼν ἔν τινι κώμῃ τὸν ἱερὸν νόμον διέρρηξέ τε τὸ βιβλίον καὶ εἰς πῦρ κατέβαλεν. Ἰουδαῖοι δὲ ὡς ὅλης αὐτοῖς τῆς χώρας καταφλεγείσης συνεχύθησαν, καὶ καθάπερ ὀργάνῳ τινὶ τῇ δεισιδαιμονίᾳ συνελκόμενοι εἰς ἓν κήρυγμα πάντες εἰς Καισάρειαν ἐπὶ Κούμανον συνέδραμον, ἱκετεύοντες τὸν οὕτως εἰς τὸν θεὸν καὶ τὸν νόμον αὐτῶν ἐξυβρίσαντα μὴ περιιδεῖν ἀτιμώρητον. ὁ δέ, οὐ γὰρ ἠρεμήσειν τὸ πλῆθος εἰ μὴ τύχοι παραμυθίας, συνιδὼν ἠξίου προσάγειν τε τὸν στρατιώτην καὶ διὰ μέσων τῶν αἰτιωμένων ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ κελεύει.

καὶ Ἰουδαῖοι μὲν ἀνεχώρουν, αὖθις δὲ Γαλιλαίων 3
καὶ Σαμαρέων γίνεται συμβολή. κατὰ γὰρ τὴν Γη-

Digitized by Google

μὰν καλουμένην κώμην, ἥτις ἐν τῷ μεγάλῳ πεδίῳ κεῖται τῆς Σαμαρείτιδος, πολλῶν ἀναβαινόντων Ἰουδαίων ἐπὶ τὴν ἑορτὴν ἀναιρεῖταί τις Γαλιλαῖος. πρὸς τοῦτο πλεῖστοι μὲν ἐκ τῆς Γαλιλαίας συνέδραμον ὡς πολεμήσοντες τοῖς Σαμαρεῦσιν, οἱ γνώριμοι δὲ αὐτῶν ἐλθόντες πρὸς Κούμανον ἠντιβόλουν πρὶν ἀνηκέστου πάθους εἰς τὴν Γαλιλαίαν διαβάντα τιμωρήσασθαι τοὺς αἰτίους τοῦ φόνου· μόνως γὰρ ἂν οὕτως διαλυθῆναι πρὸ πολέμου τὸ πλῆθος. Κούμανος μὲν οὖν ἐν δευτέρῳ τὰς ἐκείνων ἱκεσίας τῶν ἐν χερσὶ πραγμάτων
4 θέμενος ἀπράκτους ἀπέπεμψε τοὺς ἱκέτας, ἀγγελθὲν δὲ τὸ πάθος εἰς Ἱεροσόλυμα τοῦ πεφονευμένου τὰ πλήθη συνετάραξε, καὶ τῆς ἑορτῆς ἀφέμενοι πρὸς τὴν Σαμάρειαν ἐξώρμησαν ἀστρατήγητοι καὶ μηδενὶ τῶν ἀρχόντων κατέχοντι πειθόμενοι. τοῦ ληστρικοῦ δὲ αὐτῶν καὶ στασιώδους Δειναίου τις υἱὸς Ἐλεάζαρος καὶ Ἀλέξανδρος ἐξῆρχον, οἳ τοῖς ὁμόροις τῆς Ἀκραβατηνῆς τοπαρχίας προσπεσόντες αὐτούς τε ἀνῄρουν μηδεμιᾶς ἡλικίας φειδὼ ποιούμενοι, καὶ τὰς κώμας ἀνεπίμπρα-
5 σαν. Κούμανος δὲ ἀναλαβὼν ἀπὸ τῆς Καισαρείας μίαν ἴλην ἱππέων καλουμένην Σεβαστηνῶν ἐξεβοήθει τοῖς πορθουμένοις, καὶ τῶν περὶ τὸν Ἐλεάζαρον πολλοὺς μὲν συνέλαβε πλείστους δὲ ἀπέκτεινε. πρὸς δὲ τὸ λοιπὸν πλῆθος τῶν πολεμεῖν τοῖς Σαμαρεῦσιν ὡρμημένων οἱ ἄρχοντες τῶν Ἱεροσολύμων ἐκδραμόντες σάκκους ἀμπεχόμενοι καὶ τέφραν τῶν κεφαλῶν καταχέοντες ἱκέτευον ἀναχωρεῖν, καὶ μὴ διὰ τὴν εἰς Σαμαρεῖς ἄμυναν ἐπὶ Ἱεροσόλυμα Ῥωμαίους παροξύνειν, ἐλεῆσαι δὲ τὴν πατρίδα καὶ τὸν ναὸν τέκνα τε καὶ γυναῖκας ἰδίας, καὶ μὴ πάντα κινδυνεύειν δι' ἑνὸς ἐκδικίαν Γαλιλαίου παραπολέσθαι. τούτοις πεισθέντες οἱ Ἰουδαῖοι διελύθησαν. ἐτράποντο δὲ πολλοὶ πρὸς λῃστείαν

Digitized by Google

διὰ τὴν ἄδειαν, καὶ κατὰ πᾶσαν τὴν χώραν ἁρπαγαί τε ἦσαν καὶ τῶν θρασυτέρων ἐπαναστάσεις.

καὶ τῶν Σαμαρέων οἱ δυνατοὶ πρὸς Οὐμμίδιον Κουαδρᾶτον, ὃς ἦν ἡγεμὼν τῆς Συρίας, εἰς Τύρον παραγενόμενοι δίκην τινὰ παρὰ τῶν πορθησάντων τὴν χώραν λαβεῖν ἠξίουν. παρόντες δὲ καὶ οἱ γνώριμοι τῶν Ἰουδαίων καὶ ὁ ἀρχιερεὺς Ἰωνάθης, υἱὸς Ἀνάνου, κατάρξαι μὲν ἔλεγον τῆς ταραχῆς Σαμαρέας διὰ τὸν φόνον, αἴτιον δὲ τῶν ἀποβεβηκότων Κούμανον γεγονέναι, μὴ θελήσαντα τοὺς αὐθέντας τοῦ σφαγέντος ἐπεξελθεῖν. Κουαδρᾶτος δὲ τότε μὲν ἑκατέρους ὑπερτίθεται, φήσας, 6
ἐπειδὰν εἰς τοὺς τόπους παραγένηται, διερευνήσειν ἕκαστα, αὖθις δὲ προελθὼν εἰς Καισάρειαν τοὺς ὑπὸ Κουμάνου ζωγρηθέντας ἀνεσταύρωσε πάντας. ἐκεῖθέν τε εἰς Λύδδα παραγενόμενος πόλιν διήκουσε τῶν Σαμαρέων, καὶ μεταπεμψάμενος ὀκτωκαίδεκα τῶν Ἰουδαίων, οὓς ἐπέπυστο μετεσχηκέναι τῆς μάχης, πελέκει διεχρήσατο· δύο δὲ ἑτέρους τῶν δυνατωτάτων καὶ τοὺς ἀρχιερεῖς Ἰωνάθην καὶ Ἀνανίαν, τόν τε τούτου παῖδα Ἄνανον καί τινας ἄλλους Ἰουδαίων γνωρίμους, ἀνέπεμψεν ἐπὶ Καίσαρα, ὁμοίως δὲ καὶ Σαμαρέων τοὺς ἐπιφανεστάτους. παρήγγειλε δὲ καὶ Κουμάνῳ καὶ Κέλερι τῷ χιλιάρχῳ πλεῖν ἐπὶ Ῥώμης, δώσοντας Κλαυδίῳ λόγον ὑπὲρ τῶν γεγενημένων. ταῦτα διαπραξάμενος ἀπὸ τῶν Λύδδων ἀνέβαινεν εἰς Ἱεροσόλυμα, καὶ καταλαβὼν τὸ πλῆθος ἄγον τὴν τῶν ἀζύμων ἑορτὴν ἀθορύβως, εἰς Ἀντιόχειαν ἐπανῆλθεν.

κατὰ δὲ τὴν Ῥώμην Καίσαρ ἀκούσας Κουμάνου 7
καὶ Σαμαρέων (παρῆν δὲ καὶ Ἀγρίππας ἐκθύμως ὑπεραγωνιζόμενος Ἰουδαίων, ἐπειδὴ καὶ Κουμάνῳ πολλοὶ τῶν δυνατῶν παρίσταντο), Σαμαρέων μὲν κατηγνοὺς τρεῖς ἀνελεῖν προσέταξε τοὺς δυνατωτάτους, Κούμανον

Digitized by Google

δὲ ἐφυγάδευσε, Κέλερα δὲ δεσμώτην ἀναπέμψας εἰς Ἱεροσόλυμα παραδοθῆναι Ἰουδαίοις πρὸς αἰκίαν ἐκέλευσε, καὶ περισυρέντα τὴν πόλιν οὕτω τὴν κεφαλὴν ἀποκοπῆναι.

8 μετὰ ταῦτα Ἰουδαίας μὲν ἐπίτροπον Φήλικα τὸν Πάλλαντος ἀδελφὸν ἐκπέμπει τῆς τε Γαλιλαίας καὶ Σαμαρείας καὶ Περαίας· ἐκ δὲ τῆς Χαλκίδος Ἀγρίππαν εἰς μείζονα βασιλείαν μετατίθησι, δοὺς αὐτῷ τήν τε Φιλίππου γενομένην τετραρχίαν (αὕτη δὲ ἦν Βαταναία καὶ Τραχωνῖτις καὶ Γαυλανῖτις), προσέθηκε δὲ τήν τε Λυσανίου βασιλείαν καὶ τὴν Ἄβάρου γενομένην ἐπαρχίαν. αὐτὸς δὲ διοικήσας τὴν ἡγεμονίαν ἔτεσι τρισὶ καὶ δέκα, πρὸς δὲ μησὶν ὀκτὼ καὶ εἴκοσιν ἡμέραις, τελευτᾷ, καταλιπὼν Νέρωνα τῆς ἀρχῆς διάδοχον, ὃν ταῖς Ἀγριππίνης τῆς γυναικὸς ἀπάταις ἐπὶ κληρονομίᾳ τῆς ἀρχῆς εἰσεποιήσατο, καίπερ υἱὸν ἔχων γνήσιον Βρεττανικὸν ἐκ Μεσσαλίνης τῆς προτέρας γυναικός, καὶ Ὀκταβίαν θυγατέρα τὴν ὑπ' αὐτοῦ ζευχθεῖσαν Νέρωνι. ἐγεγόνει δὲ αὐτῷ καὶ ἐκ Πετίνης Ἀντωνία.

13 ὅσα μὲν οὖν Νέρων δι' ὑπερβολὴν εὐδαιμονίας τε καὶ πλούτου παραφρονήσας ἐξύβρισεν εἰς τὴν τύχην, ἢ τίνα τρόπον τόν τε ἀδελφὸν καὶ τὴν γυναῖκα καὶ τὴν μητέρα διεξῆλθεν, ἀφ' ὧν εἰς τοὺς εὐγενεστάτους μετήνεγκε τὴν ὠμότητα, καὶ ὡς τελευταῖον ὑπὸ φρενοβλαβείας ἐξώκειλεν εἰς σκηνὴν καὶ θέατρον, ἐπειδὴ δι' ὄχλου πᾶσίν ἐστι, παραλείψω, τρέψομαι δὲ ἐπὶ τὰ Ἰουδαίοις κατ' αὐτὸν γενόμενα.

2 τὴν μὲν οὖν μικρὰν Ἀρμενίαν δίδωσι βασιλεύειν Ἀριστοβούλῳ τῷ Ἡρῴδου, τῇ δὲ Ἀγρίππα βασιλείᾳ τέσσαρας πόλεις προστίθησι σὺν ταῖς τοπαρχίαις, Ἄβιλα μὲν καὶ Ἰουλιάδα κατὰ τὴν Περαίαν, Ταριχέας δὲ καὶ Τιβεριάδα τῆς Γαλιλαίας, εἰς δὲ τὴν λοιπὴν Ἰουδαίαν Φή-

Digitized by Google

λικα κατέστησεν ἐπίτροπον. οὗτος τόν τε ἀρχιλῃστὴν Ἐλεάζαρον ἔτεσιν εἴκοσι τὴν χώραν δῃωσάμενον καὶ πολλοὺς τῶν σὺν αὐτῷ ζωγρήσας ἀνέπεμψεν εἰς Ῥώμην. τῶν δὲ ἀνασταυρωθέντων ὑπ' αὐτοῦ λῃστῶν καὶ τῶν ἐπὶ κοινωνίᾳ φωραθέντων δημοτῶν, οὓς ἐκόλασεν, ἄπειρόν τι πλῆθος ἦν.

καθαρθείσης δὲ τῆς χώρας ἕτερον εἶδος λῃστῶν ἐν 3
Ἱεροσολύμοις ὑπεφύετο, οἱ καλούμενοι σικάριοι, μεθ' ἡμέραν καὶ ἐν μέσῃ τῇ πόλει φονεύοντες ἀνθρώπους. μάλιστα δὲ ἐν ταῖς ἑορταῖς μισγόμενοι τῷ πλήθει καὶ ταῖς ἐσθῆσιν ὑποκρύπτοντες μικρὰ ξιφίδια, τούτοις ἔνυττον τοὺς διαφόρους, ἔπειτα πεσόντων μέρος ἐγίνοντο τῶν ἐπαγανακτούντων οἱ πεφονευκότες· διὸ καὶ παντάπασιν ὑπ' ἀξιοπιστίας ἦσαν ἀνεύρετοι. πρῶτος μὲν οὖν ὑπ' αὐτῶν Ἰωνάθης ὁ ἀρχιερεὺς ἀποσφάττεται· μετὰ δὲ αὐτὸν καθ' ἡμέραν ἀνῃροῦντο πολλοί. καὶ τῶν συμφορῶν ὁ φάβος ἦν χαλεπώτερος, ἑκάστου καθάπερ ἐν πολέμῳ καθ' ὥραν τὸν θάνατον προσδεχομένου. προεσκοποῦντο δὲ πόρρωθεν τοὺς διαφόρους. καὶ οὐδὲ τοῖς φίλοις προσιοῦσιν ἔτι πίστις ἦν, ἐν μέσαις δὲ ταῖς ὑπονοίαις καὶ ταῖς φυλακαῖς ἀνῃροῦντο· τοσοῦτον τῶν ἐπιβουλευόντων τὸ τάχος ἦν καὶ τοῦ λαθεῖν ἡ τέχνη.

συνέστη δὲ πρὸς τούτοις στῖφος ἕτερον πονηρῶν, 4
χειρὶ μὲν καθαρώτερον, ταῖς γνώμαις δὲ ἀσεβέστερον, ὅπερ οὐδὲν ἧττον τῶν σφαγέων τὴν εὐδαιμονίαν τῆς πόλεως ἐλυμήνατο. πλάνοι γὰρ ἄνθρωποι καὶ ἀπατεῶνες, προσχήματι θειασμοῦ νεωτερισμοὺς καὶ μεταβολὰς πραγματευόμενοι, δαιμονᾶν τὸ πλῆθος ἀνέπειθον, καὶ προῆγον εἰς τὴν ἐρημίαν ὡς ἐκεῖ τοῦ θεοῦ δείξοντος αὐτοῖς σημεῖα ἐλευθερίας. ἐπὶ τούτοις ὁ Φῆλιξ (ἐδόκει γὰρ ἀποστάσεως εἶναι καταβολή)

Digitized by Google

πέμψας ἱππεῖς καὶ πεζοὺς ὁπλίτας πολὺ πλῆθος διέφθειρε.

5 μείζονι δὲ ταύτης πληγῇ Ἰουδαίους ἐκάκωσεν ὁ Αἰγύπτιος ψευδοπροφήτης. παραγενόμενος γὰρ εἰς τὴν χώραν ἄνθρωπος γόης καὶ προφήτου πίστιν ἐπιθεὶς ἑαυτῷ περὶ τρισμυρίους μὲν ἀθροίζει τῶν ἠπατημένων, προαγαγὼν δὲ αὐτοὺς ἐκ τῆς ἐρημίας εἰς τὸ Ἐλαιῶν καλούμενον ὄρος, ἐκεῖθεν οἷόστε ἦν εἰς Ἱεροσόλυμα παρελθεῖν βιάζεσθαι, καὶ κρατήσας τῆς τε Ῥωμαϊκῆς φρουρᾶς καὶ τοῦ δήμου τυραννεῖν, χρώμενος τοῖς συνεισπεσοῦσι δορυφόροις. φθάνει δὲ αὐτοῦ τὴν ὁρμὴν Φῆλιξ ὑπαντιάσας μετὰ τῶν Ῥωμαϊκῶν ὁπλιτῶν, καὶ πᾶς ὁ δῆμος συνεφήψατο τῆς ἀμύνης, ὥστε συμβολῆς γενομένης τὸν μὲν Αἰγύπτιον φυγεῖν μετ' ὀλίγων, διαφθαρῆναι δὲ καὶ ζωγρηθῆναι πλείστους τῶν σὺν αὐτῷ, τὸ δὲ λοιπὸν πλῆθος σκεδασθὲν ἐπὶ τὴν ἑαυτῶν ἕκαστον διαλαθεῖν.

6 κατεσταλμένων δὲ καὶ τούτων, ὥσπερ ἐν νοσοῦντι σώματι, πάλιν ἕτερον μέρος ἐφλέγμαινεν. οἱ γὰρ γόητες καὶ ληστρικοὶ συναχθέντες πολλοὺς εἰς ἀπόστασιν ἐνῆγον καὶ πρὸς ἐλευθερίαν παρεκρότουν, θάνατον ἐπιτιμῶντες τοῖς πειθαρχοῦσι τῇ Ῥωμαίων ἡγεμονίᾳ, καὶ πρὸς βίαν ἀφαιρεθήσεσθαι λέγοντες τοὺς ἑκουσίως δουλεύειν προαιρουμένους. μεριζόμενοι δὲ εἰς τὴν χώραν κατὰ λόχους διήρπαζόν τε τὰς τῶν δυνατῶν οἰκίας καὶ αὐτοὺς ἀνῄρουν καὶ τὰς κώμας ἐνεπίμπρασαν, ὥστε τῆς ἀπονοίας αὐτῶν πᾶσαν τὴν Ἰουδαίαν ἀναπίμπλασθαι.

καὶ οὗτος μὲν ὁ πόλεμος καθ' ἡμέραν ἀνερριπίζετο,
7 ἑτέρα δὲ ταραχὴ συνίσταται περὶ Καισάρειαν, τῶν ἀναμεμιγμένων Ἰουδαίων πρὸς τοὺς ἐν αὐτῇ Σύρους στασιασάντων. οἱ μὲν γὰρ ἠξίουν σφετέραν εἶναι τὴν πόλιν,

Digitized by Google

Ἰουδαῖον γεγονέναι τὸν κτίστην αὐτῆς λέγοντες (ἦν δὲ Ἡρώδης ὁ βασιλεύς), οἱ δὲ ἕτεροι τὸν οἰκιστὴν μὲν προσωμολόγουν Ἰουδαῖον, αὐτὴν μέντοι γε τὴν πόλιν Ἑλλήνων ἔφασαν· οὐ γὰρ ἂν ἀνδριάντας καὶ ναοὺς ἐγκαθιδρῦσαι Ἰουδαίοις αὐτὴν ἀνατιθέντα. διὰ ταῦτα μὲν ἡμφισβήτουν ἑκάτεροι, προῆει δὲ αὐτοῖς τὸ φιλόνεικον εἰς ὅπλα, καὶ καθ' ἡμέραν οἱ θρασύτεροι παρ' ἀμφοῖν προεπήδων ἐπὶ μάχην· οὔτε γὰρ Ἰουδαίων οἱ γεραιοὶ τοὺς ἰδίους στασιαστὰς κατέχειν οἷοί τε ἦσαν, καὶ τοῖς Ἕλλησιν αἶσχος ἐδόκει Ἰουδαίων ἐλαττοῦσθαι. προεῖχον δὲ οἳ μὲν πλούτῳ καὶ σωμάτων ἀλκῇ, τὸ δὲ Ἑλληνικὸν τῇ παρὰ τῶν στρατιωτῶν ἀμύνῃ· τὸ γὰρ πλέον Ῥωμαίοις τῆς ἐκεῖ δυνάμεως ἐκ Συρίας ἦν κατειλεγμένον, καὶ καθάπερ συγγενεῖς ἦσαν εἰς τὰς βοηθείας ἕτοιμοι. τοῖς γε μὴν ἐπάρχοις φροντὶς ἦν ἀναστέλλειν τὴν ταραχήν, καὶ τοὺς μαχιμωτέρους ἑκατέρωθεν ἀεὶ συλλαμβάνοντες ἐκόλαζον μάστιξι καὶ δεσμοῖς. οὐ μὴν τὰ πάθη τῶν συλλαμβανομένων ἐνεποίει τοῖς καταλειπομένοις ἀνακοπὴν ἢ δέος, ἀλλ' ἔτι μᾶλλον παρωξύνοντο πρὸς τὴν στάσιν. νικῶντας δέ ποτε τοὺς Ἰουδαίους παρελθὼν εἰς τὴν ἀγορὰν ὁ Φῆλιξ μετὰ ἀπειλῆς ἐκέλευσεν ἀναχωρεῖν· τῶν δὲ μὴ πειθομένων ἐπιπέμψας τοὺς στρατιώτας ἀναιρεῖ συχνούς, ὧν διαρπαγῆναι συνέβη καὶ τὰς οὐσίας. μενούσης δὲ τῆς στάσεως, ἐπιλέξας ἑκατέρωθεν τοὺς γνωρίμους ἔπεμψε πρέσβεις ἐπὶ Νέρωνα διαλεξομένους περὶ τῶν δικαίων.

διαδεξάμενος δὲ παρὰ τούτου τὴν ἐπιτροπὴν Φῆ- 14
στος τὸ μάλιστα λυμαινόμενον τὴν χώραν ἐπεξῄει· τῶν γοῦν λῃστῶν συνέλαβε τοὺς πλείστους καὶ διέφθειρεν οὐκ ὀλίγους. ἀλλ' οὐχ ὁ μετὰ Φῆστον Ἀλβῖνος τὸν αὐτὸν τρόπον ἐξηγήσατο τῶν πραγμάτων, οὐκ ἔστι δὲ ἥντινα κακουργίας ἰδέαν παρέλιπεν. οὐ μόνον γοῦν ἐν

Digitized by Google

τοῖς πολιτικοῖς πράγμασιν ἔκλεπτε καὶ διήρπαζε τὴν ἑκάστων οὐσίαν, οὐδὲ τὸ πᾶν ἔθνος ἐβάρει ταῖς εἰσφοραῖς, ἀλλὰ καὶ τοὺς ἐπὶ ληστείᾳ δεδεμένους ὑπὸ τῆς παρ' ἑκάστοις βουλῆς ἢ τῶν προτέρων ἐπιτρόπων ἀπελύτρου τοῖς συγγενέσι, καὶ μόνος ὁ μὴ δοὺς τοῖς δεσμωτηρίοις ὡς πονηρὸς ἐγκατελείπετο. τηνικαῦτα καὶ τῶν νεωτερίζειν βουλομένων ἐν Ἱεροσολύμοις ἐθάρσησαν αἱ τόλμαι, καὶ χρήμασι μὲν οἱ δυνατοὶ τὸν Ἀλβῖνον προσελάμβανον ὥστε τοῦ στασιάζειν αὐτοῖς παρέχειν ἄδειαν, τοῦ δημοτικοῦ δὲ τὸ μὴ χαῖρον ἡσυχίᾳ πρὸς τοὺς Ἀλβίνου κοινωνοὺς ἀπέκλινεν. ἕκαστος δὲ τῶν πονηρῶν ἴδιον στῖφος ὑπεξωσμένος αὐτὸς μὲν ὥσπερ ἀρχιληστὴς ἢ τύραννος προανεῖχεν ἐκ τοῦ λόχου, τοῖς δορυφοροῦσι δὲ πρὸς ἁρπαγὰς τῶν μετρίων κατεχρῆτο. συνέβαινε δὲ τοὺς μὲν ἀφῃρημένους ὑπὲρ ὧν ἀγανακτεῖν ἐχρῆν σιωπᾶν, τοὺς ἁπλῆγας δέ, δέει τοῦ μὴ τὰ αὐτὰ παθεῖν, καὶ κολακεύειν τὸν ἄξιον κολάσεως. καθόλου δὲ ἡ μὲν παρρησία πάντων περικέκοπτο, τυραννὶς δὲ ἦν διὰ πλειόνων, καὶ τὰ σπέρματα τῆς μελλούσης ἁλώσεως ἐκτότε τῇ πόλει κατεβάλλετο.

2 τοιοῦτον δὲ ὄντα τὸν Ἀλβῖνον ἀπέδειξεν ὁ μετὰ τοῦτον ἐλθὼν Γέσσιος Φλῶρος δικαιότατον κατὰ σύγκρισιν. ὃ μέν γε λάθρᾳ τὰ πολλὰ καὶ μεθ' ὑποστολῆς ἐκακούργησε, Γέσσιος δὲ τὰς εἰς τὸ ἔθνος παρανομίας ἐπόμπευσε, καὶ ὥσπερ ἐπὶ τιμωρίᾳ κατακρίτων πεμφθεὶς δήμιος οὔτε ἁρπαγῆς τινὰ τρόπον οὔτε αἰκίας παρέλιπεν. ἦν δὲ ἐν μὲν τοῖς ἐλεεινοῖς ὠμότατος, ἐν δὲ τοῖς αἰσχροῖς ἀναιδέστατος· οὔτε δὲ πλείω τις ἀπιστίαν τῆς ἀληθείας κατέχεεν οὔτε ἐν τῷ πανουργεῖν δολιωτέρας ὁδοὺς ἐπενόησεν. ᾧ τὸ μὲν κατ' ἄνδρα κερδαίνειν μικρὸν ἐδόκει, πόλεις δὲ ὅλας ἐξεδίδυσκε καὶ δήμους ἀθρόους ἐλυμαίνετο, καὶ μόνον οὐκ ἐκήρυξεν ἀνὰ τὴν

Digitized by Google

χώραν πᾶσιν ἐξεῖναι λῃστεύειν, ἐφ' ᾧ μέρος αὐτὸς λήψεται τῶν ληφύρων. διὰ γοῦν τὴν ἐκείνου πλεονεξίαν πάσας ἐρημωθῆναι συνέβη τὰς τοπαρχίας καὶ πολλοὺς τῶν πατρίων ἐθῶν ἐξαναστάντας φυγεῖν εἰς τὰς ἀλλοφύλους ἐπαρχίας.

μέχρι μὲν οὖν ἐν Συρίᾳ Κέστιος Γάλλος ἦν προδιέπων τὴν ἐπαρχίαν, οὐδὲ πρεσβεύσασθαί τις πρὸς αὐτὸν ἐτόλμησε κατὰ τοῦ Φλώρου· παραγενόμενον δὲ εἰς Ἱεροσόλυμα τῆς τῶν ἀζύμων ἑορτῆς ἐνστάσης περιστὰς ὁ δῆμος, οὐκ ἐλάττους τριακοσίων μυριάδων, ἱκέτευον ἐλεῆσαι τὰς τοῦ ἔθνους συμφοράς, καὶ τὸν λυμεῶνα τῆς χώρας Φλῶρον ἐκκράγεσαν. ὃ δὲ παρὼν καὶ τῷ Κεστίῳ παρεστὼς διεχλεύαζε τὰς φωνάς. ὅ γε μὴν Κέστιος τὴν ὁρμὴν τοῦ πλήθους καταστείλας, καὶ δοὺς ἔμφασιν ὡς πρὸς τὸ μέλλον αὐτοῖς τὸν Φλῶρον κατασκευάσειε μετριώτερον, ὑπέστρεψεν εἰς Ἀντιόχειαν. προέπεμψε δὲ αὐτὸν μέχρι Καισαρείας Φλῶρος ἑξαπατῶν, καὶ πόλεμον ἤδη τῷ ἔθνει θυμούμενος ἐπορίζετο, ᾧ μόνῳ συγκρύψειν τὰς αὐτοῦ παρανομίας ὑπελάμβανεν· εἰρήνης μὲν γὰρ οὔσης κατηγόρους ἕξειν ἐπὶ Καίσαρος Ἰουδαίους προσεδόκα, πραγματευσάμενος δὲ ἀπόστασιν αὐτῶν τῷ μείζονι κακῷ περισπάσειν τὸν ἔλεγχον αὐτῶν ἀπὸ τῶν μετριωτέρων.

ὃ μὲν οὖν, ὡς ἂν ἀπορραγείη τὸ ἔθνος, καθ' ἡμέραν ἐπέτεινεν αὐτοῖς τὰς συμφοράς· ἐν δὲ τούτῳ καὶ οἱ Καισαρέων Ἕλληνες, νικήσαντες παρὰ Νέρωνι τῆς πόλεως ἄρχειν, τὰ τῆς κρίσεως ἐκόμισαν γράμματα, καὶ προσελάμβανε τὴν ἀρχὴν ὁ πόλεμος δωδεκάτῳ μὲν ἔτει τῆς Νέρωνος ἡγεμονίας, ἑπτακαιδεκάτῳ δὲ τῆς Ἀγρίππα βασιλείας, Ἀρτεμισίου μηνός. πρὸς δὲ τὸ μέγεθος τῶν ἐξ αὐτοῦ συμφορῶν οὐκ ἀξίαν ἔσχε πρόφασιν. οἱ γὰρ ἐν Καισαρείᾳ Ἰουδαῖοι συναγωγὴν ἔχοντες παρὰ χωρίον

Digitized by Google

οὐ δεσπότης ἦν τις Ἕλλην Καισαρεύς, πολλάκις μὲν κτήσασθαι τὸν τόπον ἐσπούδασαν, τιμὴν πολλαπλασίονα τῆς ἀξίας διδόντες· ὡς δὲ ὑπερορῶν τὰς δεήσεις πρὸς ἐπήρειαν ἔτι καὶ προσῳκοδόμει τὸ χωρίον ἐκεῖνος, ἐργαστήρια κατασκευαζόμενος, στενὴν δὲ καὶ παντάπασι βιαίαν πάροδον ἀπέλιπεν αὐτοῖς, τὸ μὲν πρῶτον οἱ θερμότεροι τῶν νέων προπηδῶντες οἰκοδομεῖν ἐκώλυον, ὡς δὲ τούτους εἶργε τῆς βίας Φλῶρος, ἀμηχανοῦντες οἱ δυνατοὶ τῶν Ἰουδαίων, σὺν οἷς ὁ τελώνης Ἰωάννης, πείθουσι τὸν Φλῶρον ἀργυρίου ταλάντοις ὀκτὼ διακωλῦσαι τὸ ἔργον. ὃ δὲ πρὸς μόνον τὸ λαβεῖν ὑποσχόμενος πάντα συμπράξειν, λαβὼν ἔξεισι τῆς Καισαρείας εἰς Σεβαστήν, καὶ καταλείπει τὴν στάσιν αὐτεξούσιον, ὥσπερ ἄδειαν πεπρακὼς Ἰουδαίοις τοῦ μάχεσθαι.

5 τῆς δὲ ἐπιούσης ἡμέρας ἑβδομάδος οὔσης, τῶν Ἰουδαίων εἰς τὴν συναγωγὴν ἀθροισθέντων, στασιαστής τις Καισαρεὺς γάστραν καταστρέψας καὶ παρὰ τὴν εἴσοδον αὐτῶν θέμενος ἐπέθυεν ὄρνεις. τοῦτο τοὺς Ἰουδαίους ἀνηκέστως παρῴξυνεν, ὡς ὑβρισμένων μὲν αὐτοῖς τῶν νόμων, μεμιασμένου δὲ τοῦ χωρίου. τὸ μὲν οὖν εὐσταθὲς καὶ πρᾶον ἐπὶ τοὺς ἡγεμόνας καταφεύγειν πάλιν ᾤετο χρῆναι, τὸ στασιῶδες δὲ καὶ ἐν νεότητι φλεγμαῖνον ἐξεκαίετο πρὸς μάχην. παρεσκευασμένοι δὲ εἱστήκεσαν οἱ τῶν Καισαρέων στασιασταί (τὸν γὰρ ἐπιθύσαντα προπεπόμφεσαν ἐκ συντάγματος), καὶ ταχέως ἐγένετο ἡ συμβολή. προσελθὼν δὲ Ἰουκοῦνδος ὁ διακωλύειν τεταγμένος ἵππαρχης τήν τε γάστραν αἴρει καὶ καταπαύειν ἐπειρᾶτο τὴν στάσιν. ἡττωμένου δὲ αὐτοῦ τῆς τῶν Καισαρέων βίας, Ἰουδαῖοι τοὺς νόμους ἁρπάσαντες ἀνεχώρησαν εἰς Νάρβατα· χώρα τις αὐτῶν οὕτω καλεῖται, σταδίους ἑξήκοντα διέχουσα τῆς Και-

Digitized by Google

σαρείας. οἱ δὲ περὶ τὸν Ἰωάννην δυνατοὶ δώδεκα πρὸς Φλῶρον ἐλθόντες εἰς Σεβαστὴν ἀπωδύροντο περὶ τῶν πεπραγμένων, καὶ βοηθεῖν ἱκέτευον, αἰδημόνως ὑπομιμνήσκοντες τῶν ὀκτὼ ταλάντων. ὁ δὲ καὶ συλλαβὼν ἔδησε τοὺς ἄνδρας, αἰτιώμενος ὑπὲρ τοῦ τοὺς νόμους ἐξενεγκεῖν τῆς Καισαρείας.

πρὸς τοῦτο τοῖς ἐν Ἱεροσολύμοις ἀγανάκτησις ἦν, 6 ἔτι μέντοι τοὺς θυμοὺς κατεῖχον. ὁ δὲ Φλῶρος ὥσπερ ἠργολαβηκὼς ἐκριπίζει τὸν πόλεμον, καὶ πέμψας ἐπὶ τὸν ἱερὸν θησαυρὸν ἐξαίρει ἑπτακαίδεκα τάλαντα, σκηψάμενος εἰς τὰς Καίσαρος χρείας. σύγχυσις δ' εὐθέως εἶχε τὸν δῆμον, καὶ συνδραμόντες εἰς τὸ ἱερὸν βοαῖς διαπρυσίοις τὸ Καίσαρος ἀνεκάλουν ὄνομα, καὶ τῆς Φλώρου τυραννίδος ἐλευθεροῦν σφᾶς ἱκέτευον. ἔνιοι δὲ τῶν στασιαστῶν λοιδορίας αἰσχίστους εἰς τὸν Φλῶρον ἐκεκράγεσαν, καὶ κανοῦν περιφέροντες ἐπῄτουν αὐτῷ κέρματα καθάπερ ἀκλήρῳ καὶ ταλαιπώρῳ. τούτοις οὐκ ἐνετράπη τὴν φιλαργυρίαν, ἀλλ' ἐπὶ τὸ μᾶλλον χρηματίσασθαι προσωργίσθη. δέον γοῦν εἰς Καισάρειαν ἐλθόντα σβέσαι τὸ τοῦ πολέμου πῦρ ἐκεῖθεν ἀρχόμενον καὶ τῆς ταραχῆς ἀνελεῖν τὰς αἰτίας, ἐφ' ᾧ καὶ μισθὸν ἔλαβεν, ὁ δὲ μετὰ στρατιᾶς ἱππικῆς τε καὶ πεζικῆς ἐπὶ Ἱεροσολύμων ὥρμησεν, ἵνα τοῖς Ῥωμαίων ὅπλοις ἐργάσηται τὸ βουλόμενον, καὶ τῷ δέει καὶ ταῖς ἀπειλαῖς περιδύσῃ τὴν πόλιν.

ὁ δὲ δῆμος προδυσωπῆσαι τὴν ὁρμὴν αὐτοῦ βουλό- 7 μενος, ὑπαντᾷ τοῖς στρατιώταις μετ' εὐφημίας, καὶ τὸν Φλῶρον θεραπευτικῶς ἐκδέχεσθαι παρεσκεύαστο. κἀκεῖνος προπέμψας σὺν ἱππεῦσι πεντήκοντα Καπίτωνα ἑκατοντάρχην ἀναχωρεῖν αὐτοὺς ἐκέλευσε, καὶ μὴ πρὸς ὃν οὕτως ἐλοιδόρησαν αἰσχρῶς εἰρωνεύεσθαι τὰς νῦν φιλοφρονήσεις· δεῖν γὰρ αὐτούς, εἴπερ γενναῖοί εἰσι καὶ

Digitized by Google

παρρησιασταί, σκώπτειν μὲν αὐτὸν καὶ παρόντα, φαίνεσθαι δὲ μὴ μόνον ἐν τοῖς λόγοις ἀλλὰ καὶ ἐν τοῖς ὅπλοις φιλελευθέρους. τούτοις καταπλαγὲν τὸ πλῆθος, ἅμα καὶ τῶν περὶ Καπίτωνα ἱππέων εἰς μέσους φερομένων, διεσκεδάσθη πρὶν ἀσπάσασθαι τὸν Φλῶρον ἢ τοῖς στρατιώταις φανερὸν ποιῆσαι τὸ πειθήνιον. ἀναχωρήσαντες δὲ εἰς τὰς οἰκίας μετὰ δέους καὶ ταπεινότητος διενυκτέρευσαν.

8 Φλῶρος δὲ τότε μὲν ἐν τοῖς βασιλείοις αὐλίζεται, τῇ δὲ ὑστεραίᾳ βῆμα πρὸ αὐτῶν θέμενος καθέζεται, καὶ προσελθόντες οἵ τε ἀρχιερεῖς καὶ δυνατοὶ τό τε γνωριμώτατον τῆς πόλεως πᾶν παρέστησαν τῷ βήματι. τούτοις ὁ Φλῶρος ἐκέλευσε τοὺς λοιδορήσαντας αὐτὸν ἐκδοῦναι, φάμενος αὐτοὺς ἀπολαύσειν τῆς ἀμύνης, εἰ μὴ προσάγοιεν τοὺς αἰτίους. οἱ δὲ τὸν μὲν δῆμον ἀπέφαινον εἰρηνικὰ φρονοῦντα, τοῖς δὲ παραφθεγξαμένοις ἠτοῦντο συγγνώμην· ἐν γὰρ τοσούτῳ πλήθει θαυμαστὸν μὲν οὐδὲν εἶναί τινας θρασυτέρους καὶ δι' ἡλικίαν ἄφρονας, ἀμήχανον δὲ τῶν ἡμαρτηκότων τὴν διάκρισιν γενέσθαι, ἑκάστου μετανοοῦντός τε καὶ δι' ἃ δέδοικεν ἀρνουμένου. δεῖν μέντοι γε ἐκεῖνον προνοεῖν τῆς κατὰ τὸ ἔθνος εἰρήνης, καὶ βουλεύεσθαι Ῥωμαίοις περισώζειν τὴν πόλιν, καὶ μᾶλλον διὰ τοὺς πολλοὺς ἀκαταιτιάτους συγγνῶναι καὶ τοῖς ὀλίγοις πλημμελήσασιν ἢ δι' ὀλίγους πονηροὺς ταράξαι δῆμον ἀγαθὸν τοσοῦτον.

9 πρὸς ταῦτα μᾶλλον παροξυνθεὶς ἐμβοᾷ τοῖς στρατιώταις διαρπάζειν τε τὴν ἄνω καλουμένην ἀγορὰν καὶ κτείνειν τοὺς ἐντυγχάνοντας. οἱ δὲ ἐπιθυμίᾳ κέρδους προσλαμβάνοντες ἡγεμονικὴν παρακέλευσιν οὐ μόνον ἐφ' ὃν ἐπέμφθησαν τόπον ἥρπαζον, ἀλλ' εἰς πάσας ἐμπηδῶντες τὰς οἰκίας ἔσφαζον τοὺς οἰκήτορας. φυγὴ

Digitized by Google

δ' ἦν ἐκ τῶν στενωπῶν καὶ φόνος τῶν καταλαμβανομένων, τρόπος τε ἁρπαγῆς οὐδεὶς παρελιμπάνετο. καὶ πολλοὺς τῶν μετρίων συλλαμβάνοντες ἐπὶ τὸν Φλῶρον ἦγον, οὓς μάστιξι προαικισάμενος ἀνεσταύρωσεν. ὁ γοῦν σύμπας τῶν ἐκείνης ἀπολομένων τῆς ἡμέρας ἀριθμὸς σὺν γυναιξὶ καὶ παιδίοις (οὐδὲ γὰρ νηπίων ἀπέσχοντο) περὶ τρισχιλίους καὶ ἑξακοσίους συνήχθη. βαρυτέραν δὲ ἐποίει τὴν συμφορὰν τὸ καινὸν τῆς Ῥωμαίων ὠμότητος. ὃ γὰρ μηδεὶς πρότερον, τότε Φλῶρος ἐτόλμησεν, ἄνδρας ἱππικοῦ τάγματος μαστιγῶσαι πρὸ τοῦ βήματος καὶ σταυρῷ προσηλῶσαι· ὧν εἰ καὶ τὸ γένος Ἰουδαῖον, ἀλλὰ τὸ γοῦν ἀξίωμα Ῥωμαϊκὸν ἦν.

κατὰ τοῦτον τὸν καιρὸν ὁ μὲν βασιλεὺς Ἀγρίππας ἔτυχεν εἰς τὴν Ἀλεξάνδρειαν πεπορευμένος, ὅπως Ἀλεξάνδρῳ συνησθείη πεπιστευμένῳ τὴν Αἴγυπτον ὑπὸ Νέρωνος καὶ πεμφθέντι διέπειν· τὴν δὲ ἀδελφὴν αὐτοῦ Βερενίκην παροῦσαν ἐν Ἱεροσολύμοις καὶ τὴν παρανομίαν τῶν στρατιωτῶν ἀποθεωμένην δεινὸν εἰσήει πάθος, καὶ πολλάκις τούς τε ἱππάρχους αὐτῆς καὶ σωματοφύλακας πέμπουσα πρὸς Φλῶρον ἐδεῖτο παύσασθαι τοῦ φόνου. καὶ ὃ μὲν οὔτε εἰς τὸ πλῆθος τῶν ἀναιρουμένων οὔτε εἰς τὴν εὐγένειαν τῆς παρακαλούσης ἀλλ' εἰς μόνον τὸ λυσιτελὲς τὸ ἐκ τῶν ἁρπαγῶν ἀποβλέπων παρήκουσεν· ἡ δὲ ὁρμὴ τῶν στρατιωτῶν ἐλύσσησε καὶ κατὰ τῆς βασιλίδος. οὐ μόνον γοῦν ἐν ὄμμασιν αὐτῆς ᾐκίζοντο τοὺς ἁλισκομένους καὶ διέφθειρον, ἀλλὰ κἂν αὐτὴν ἀνεῖλον, εἰ μὴ καταφυγεῖν εἰς τὴν βασιλικὴν αὐλὴν ἔφθη, κἀκεῖ διενυκτέρευσε μετὰ φυλακῆς, δεδοικυῖα τὴν τῶν στρατιωτῶν ἔφοδον. ἐπεδήμει δὲ ἐν τοῖς Ἱεροσολύμοις εὐχὴν ἐκτελοῦσα τῷ θεῷ. τοὺς γὰρ ἢ νόσῳ καταπονουμένους ἤ τισιν ἄλλαις

Digitized by Google

ἀνάγκαις ἔθος εὔχεσθαι πρὸ τριάκοντα ἡμερῶν ἧς ἀποδώσειν μέλλοιεν θυσίας οἴνου τε ἀφέξεσθαι καὶ ξυρήσεσθαι τὰς κόμας. ἃ δὴ τότε τελοῦσα Βερενίκη γυμνόπους τε πρὸ τοῦ βήματος ἱκέτευσε τὸν Φλῶρον, καὶ πρὸς τῷ μὴ τυχεῖν αἰδοῦς αὐτὴν τὸν περὶ τοῦ ζῆν κίνδυνον ἐπείρασεν.

2 ταῦτα μὲν οὖν ἐκκαιδεκάτῃ μηνὸς Ἀρτεμισίου συνέβη, τῇ δὲ ἐπιούσῃ τὸ μὲν πλῆθος ὑπερπαθῆσαν εἰς τὴν ἄνω συνέρρευσεν ἀγοράν, καὶ βοαῖς ἐξαισίοις περὶ τῶν ἀπολωλότων ἀπωδύροντο· τὸ πλέον δὲ ἦσαν εἰς τὸν Φλῶρον ἐπίφθονοι φωναί. πρὸς ὃ δείσαντες οἱ δυνατοὶ σὺν τοῖς ἀρχιερεῦσι τὰς ἐσθῆτας περιερρήξαντο, καὶ προσπίπτοντες ἑκάστοις ἐδέοντο παύσασθαι καὶ μὴ πρὸς οἷς πεπόνθασιν εἰς ἀνήκεστόν τι τὸν Φλῶρον ἐρεθίζειν. ἐπείσθη δὲ τὸ πλῆθος ταχέως αἰδοῖ τε τῶν παρακαλούντων καὶ κατ' ἐλπίδα τοῦ μηδὲν ἔτι τὸν Φλῶρον εἰς αὐτοὺς παρανομήσειν.

3 ὃ δὲ σβεσθείσης τῆς ταραχῆς ἤχθετο, καὶ πάλιν αὐτὴν ἀνάψαι πραγματευόμενος τούς τε ἀρχιερεῖς σὺν τοῖς γνωρίμοις μεταπέμπεται, καὶ μόνον ἔφη τεκμήριον ἔσεσθαι τοῦ μηδὲν ἔτι τὸν δῆμον νεωτερίσειν, εἰ προελθόντες ὑπαντήσουσι τοῖς ἀπὸ Καισαρείας ἀνιοῦσι στρατιώταις. παρεγίνοντο δὲ δύο σπεῖραι. τῶν δὲ ἔτι συγκαλούντων τὸ πλῆθος, προπέμψας διεδήλου τοῖς τῶν σπειρῶν ἑκατοντάρχαις ὅπως παραγγείλωσι τοῖς ὑφ' ἑαυτοὺς μήτε ἀντασπάσασθαι τοὺς Ἰουδαίους, κἂν τι κατ' αὐτοῦ φθέγξωνται χρήσασθαι τοῖς ὅπλοις. οἱ δὲ ἀρχιερεῖς εἰς τὸ ἱερὸν τὴν πληθὺν συναγαγόντες ὑπαντᾶν τοῖς Ῥωμαίοις παρεκάλουν, καὶ πρὸ ἑνηκέστου πάθους τὰς σπείρας δεξιοῦσθαι. τούτοις τὸ στασιῶδες ἠπείθει, καὶ διὰ τοὺς ἀπολωλότας τὸ πλῆθος ἔρρεπε πρὸς τοὺς θρασυτέρους.

Digitized by Google

ἔνθα δὴ πᾶς μὲν ἱερεὺς πᾶς δ' ὑπηρέτης τοῦ θεοῦ, τὰ ἅγια σκεύη προκομίσαντες, καὶ τὸν κόσμον ἐν ᾧ λειτουργεῖν ἔθος ἦν αὐτοῖς ἀναλαβόντες, κιθαρισταί τε καὶ ὑμνῳδοὶ μετὰ τῶν ὀργάνων προσπίπτοντες, κατηντιβόλουν φυλάξαι τὸν ἱερὸν κόσμον αὐτοῖς, καὶ μὴ πρὸς ἁρπαγὴν τῶν θείων κειμηλίων Ῥωμαίους ἐρεθίσαι. τοὺς δὲ ἀρχιερεῖς αὐτοὺς ἦν ἰδεῖν καταμωμένους μὲν τῆς κεφαλῆς κόνιν, γυμνοὺς δὲ τὰ στέρνα τῶν ἐσθήτων περιερρηγμένων. ὀνομαστὶ δὲ ἕκαστον τῶν γνωρίμων καὶ κοινῇ τὸ πλῆθος ἱκέτευον μὴ δι' ἐλαχίστης πλημμελείας προδοῦναι τὴν πατρίδα τοῖς ἐπιθυμοῦσι πορθῆσαι. τίνα γὰρ ἢ τοῖς στρατιώταις φέρειν ὠφέλειαν τὸν ἀπὸ Ἰουδαίων ἀσπασμόν, ἢ διόρθωσιν αὐτοῖς τῶν συμβεβηκότων τὸ μὴ νῦν προελθεῖν; εἰ δὲ δὴ δεξιώσαιντο τοὺς προσίοντας ὡς ἔθος, Φλώρου μὲν ἀποκοπήσεσθαι τὴν ἀφορμὴν τοῦ πολέμου, κερδήσειν δὲ αὐτοὺς τὴν πατρίδα καὶ τὸ μηδὲν παθεῖν πλέον. ἄλλως τε καὶ τὸ πείθεσθαι στασιάζουσιν ὀλίγοις, δέον αὐτοὺς δῆμον ὄντας τοσοῦτον συναναγκάζειν κἀκείνους συγγνωμονεῖν, δεινῆς ἀκρασίας εἶναι. 4

τούτοις μειλισσόμενοι τὸ πλῆθος ἅμα καὶ τῶν στασιαστῶν οὓς μὲν ἀπειλαῖς οὓς δὲ αἰδοῖ κατέστειλαν. ἔπειτα ἐξηγούμενοι μεθ' ἡσυχίας τε καὶ κόσμου τοῖς στρατιώταις ὑπήντων καὶ πλησίον γενομένους ἠσπάσαντο. τῶν δὲ μηδὲν ἀποκριναμένων οἱ στασιασταὶ Φλώρου κατεβόων. τοῦτο δὲ ἦν σύνθημα κατ' αὐτῶν δεδομένον. αὐτίκα γοῦν οἱ στρατιῶται περισχόντες αὐτοὺς ἔπαιον ξύλοις, καὶ φεύγοντας οἱ ἱππεῖς καταδιώκοντες συνεπάτουν. ἔπιπτον δὲ πολλοὶ μὲν ὑπὸ Ῥωμαίων τυπτόμενοι, πλείους δὲ ὑπ' ἀλλήλων βιαζόμενοι. δεινὸς δὲ περὶ τὰς πύλας ὠθισμὸς ἦν, καὶ φθάνειν ἑκάστου σπεύδοντος βραδυτέρα μὲν ἡ φυγὴ πᾶ- 5

Digitized by Google

σιν ἐγίνετο, τῶν δὲ σφαλέντων ἀπώλεια δεινή· πνιγόμενοι γὰρ καὶ κλώμενοι πλήθει τῶν ἐπιβαινόντων ἠφανίζοντο, καὶ οὐδὲ πρὸς ταφήν τις γνώριμος τοῖς ἰδίοις κατελείπετο. συνέπιπτον δὲ καὶ στρατιῶται παίοντες ἀνέδην τοὺς καταλαμβανομένους, καὶ διὰ τῆς Βεζεθὰ καλουμένης ἀνώθουν τὸ πλῆθος, βιαζόμενοι παρελθεῖν καὶ κρατῆσαι τοῦ τε ἱεροῦ καὶ τῆς Ἀντωνίας. ὧν καὶ Φλῶρος ἐφιέμενος ἐξήγαγεν ἐκ τῆς βασιλικῆς αὐλῆς τοὺς σὺν αὐτῷ, καὶ πρὸς τὸ φρούριον ἐλθεῖν ἠγωνίζετο. διήμαρτέ γε μὴν τῆς ἐπιβολῆς· ὁ γὰρ δῆμος ἄντικρυς ἐπιστραφεὶς εἶργε τὴν ὁρμήν, καὶ διαστάντες ἐπὶ τῶν τεγῶν τοὺς Ῥωμαίους ἔβαλλον. καταπονούμενοι δὲ τοῖς ὕπερθε βέλεσι, καὶ διακόψαι τὸ τοὺς στενωποὺς ἐμφράξαν πλῆθος ἀσθενήσαντες, ἀνεχώρουν εἰς τὸ πρὸς τοῖς βασιλείοις στρατόπεδον.

6 οἱ δὲ στασιασταὶ δείσαντες μὴ πάλιν ἐπελθὼν ὁ Φλῶρος κρατήσῃ τοῦ ἱεροῦ διὰ τῆς Ἀντωνίας, ἀναβάντες εὐθέως τὰς συνεχεῖς στοὰς τοῦ ἱεροῦ πρὸς τὴν Ἀντωνίαν διέκοψαν. τοῦτο ἔψυξε τὴν Φλώρου πλεονεξίαν· τῶν γὰρ τοῦ θεοῦ θησαυρῶν ἐφιέμενος, καὶ διὰ τοῦτο παρελθεῖν ἐπιθυμῶν εἰς τὴν Ἀντωνίαν, ὡς ἀπερράγησαν αἱ στοαί, τὴν ὁρμὴν ἀνετράπη. καὶ μεταπεμψάμενος τούς τε ἀρχιερεῖς καὶ τὴν βουλήν, αὐτὸς μὲν ἐξιέναι τῆς πόλεως ἔφη, φρουρὰν δὲ καταλείψειν αὐτοῖς ὅσην ἂν ἀξιώσωσι. τῶν δὲ πάντα περὶ ἀσφαλείας καὶ τοῦ μηδὲν νεωτερίσειν ὑποσχομένων, εἰ μίαν αὐτοῖς καταλείψει σπεῖραν, μὴ μέντοι τὴν μαχεσαμένην (πρὸς γὰρ ταύτην ἀπεχθῶς δι' ἃ πέπονθεν ἔχειν τὸ πλῆθος), ἀλλάξας τὴν σπεῖραν ὡς ἠξίουν, μετὰ τῆς λοιπῆς δυνάμεως ὑπέστρεψεν εἰς Καισάρειαν.

16 ἑτέραν δὲ ἐπιβολὴν τῷ πολέμῳ πορίζόμενος ἐπέστελλε Κεστίῳ, Ἰουδαίων ἀπόστασιν καταψευδόμενος,

Digitized by Google

τήν τε ἀρχὴν τῆς μάχης περιθεὶς αὐτοῖς, καὶ θρᾶσαι λέγων ἐκείνους ἃ πεπόνθασιν. οὐ μὴν οὐδ' οἱ τῶν Ἱεροσολύμων ἄρχοντες ἐσίγησαν, ἀλλ' αὐτοί τε καὶ Βερενίκη τῷ Κεστίῳ περὶ ὧν Φλῶρος εἰς τὴν πόλιν παρηνόμησεν ἔγραφον. ὃ δὲ τὰ παρ' ἀμφοῖν ἀναγνοὺς μετὰ τῶν ἡγεμόνων ἐβρυλεύετο. καὶ τοῖς μὲν αὐτῶν ἐδόκει Κέστιον μετὰ στρατιᾶς ἀναβαίνειν, ἢ τιμωρησόμενον τὴν ἀπόστασιν εἰ γέγονεν, ἢ βεβαιοτέρους καταστήσοντα Ἰουδαίους καὶ συμμένοντας, αὐτῷ δὲ προπέμψαι τινὰ τῶν ἑταίρων τὸν κατασκεψόμενον τὰ πράγματα καὶ τὰ φρονήματα τῶν Ἰουδαίων πιστῶς ἀγγελοῦντα. πέμπει δή τινα τῶν χιλιάρχων Νεαπολιτανόν, ὃς ἀπὸ τῆς Ἀλεξανδρείας ὑποστρέψαντι περιτυχὼν Ἀγρίππᾳ τῷ βασιλεῖ κατὰ Ἰάμνειαν τὸν πέμψαντα καὶ τὰς αἰτίας ἐδήλωσεν. ἔνθα καὶ Ἰου- 2
δαίων οἵ τε ἀρχιερεῖς ἅμα τοῖς δυνατοῖς καὶ ἡ βουλὴ παρῆν δεξιουμένη τὸν βασιλέα. μετὰ δὲ τὴν εἰς ἐκεῖνον θεραπείαν ἀπωδύροντο τὰς ἑαυτῶν συμφορὰς καὶ τὴν Φλώρου διεξῆεσαν ὠμότητα. πρὸς ἣν ἠγανάκτει μὲν Ἀγρίππας, στρατηγικῶς δὲ τὴν ὀργὴν εἰς οὓς ἠλέει Ἰουδαίους μετέφερε, ταπεινοῦν αὐτῶν βουλόμενος τὰ φρονήματα, καὶ τῷ μὴ δοκεῖν ἀδίκως τι παθεῖν τῆς ἀμύνης ἀποτρέπων. οἳ μὲν οὖν, ὡς ἂν ὄντες ἔκκριτοι καὶ διὰ τὰς αὐτῶν κτήσεις ἐπιθυμοῦντες εἰρήνης, συνίεσαν εὐνοϊκὴν τὴν ἐπίπληξιν τοῦ βασιλέως· ὁ δὲ δῆμος ἐκ τῶν Ἱεροσολύμων ἐπὶ ἑξήκοντα προελθὼν σταδίους ἐδεξιοῦτο τὸν Ἀγρίππαν καὶ τὸν Νεαπολιτανόν. ἐκώκυον δὲ αἱ τῶν ἀπεσφαγμένων γυναῖκες προεκθέουσαι, καὶ πρὸς τὴν τούτων οἰμωγὴν ὁ δῆμος εἰς ὀλοφυρμοὺς τραπόμενος ἐπικουρεῖν τὸν Ἀγρίππαν ἱκέτευε· τῷ τε Νεαπολιτανῷ κατεβόων ὅσα πάθοιεν ὑπὸ Φλώρου, καὶ παρελθοῦσιν εἰς τὴν πόλιν τήν τε ἀγορὰν ἠρημωμένην ὑπεδείκνυσαν καὶ πεπορθημένας τὰς οἰκίας. ἔπειτα

Digitized by Google

διʼ Ἀγρίππα πείθουσι τὸν Νεαπολιτανὸν σὺν ἑνὶ θεράποντι περιελθεῖν μέχρι τοῦ Σιλωὰμ τὴν πόλιν, ἵνα γνῷ Ἰουδαίους τοῖς μὲν ἄλλοις ἅπασι Ῥωμαίοις εἴκοντας, μόνῳ δὲ ἀπεχθανομένους Φλώρῳ διʼ ὑπερβολὴν τῆς εἰς αὐτοὺς ὠμότητος. ὃ δὲ ὡς διοδεύσας πεῖραν ἔλαβεν ἱκανὴν τῆς πραότητος αὐτῶν, εἰς τὸ ἱερὸν ἀνέβαινεν. ἔνθα συγκαλέσας τὸ πλῆθος, καὶ πολλὰ μὲν εἰς πίστιν αὐτοὺς τὴν πρὸς Ῥωμαίους ἐπαινέσας, πολλὰ δὲ εἰς τὸ τηρεῖν τὴν εἰρήνην προτρεψάμενος, καὶ τοῦ θεοῦ προσκυνήσας ὅσον ἐξῆν τὰ ἅγια, πρὸς Κέστιον ἐπανῆει.

3 τὸ δὲ πλῆθος τῶν Ἰουδαίων ἐπὶ τὸν βασιλέα καὶ τοὺς ἀρχιερεῖς τραπόμενον πρέσβεις κατὰ Φλώρου πέμπειν ἠξίου πρὸς Νέρωνα, καὶ μὴ σιωπήσαντας ἐπὶ τοσούτῳ φόνῳ καταλιπεῖν ἑαυτοῖς ὑπόνοιαν ἀποστάσεως· δόξειν γὰρ αὐτοὺς κατάρξαι τῶν ὅπλων, εἰ μὴ φθάσαντες ἐνδείξαιντο τὸν κατάρξαντα. φανεροὶ δὲ ἦσαν οὐκ ἠρεμήσοντες, εἰ τὴν πρεσβείαν τις ἀποκωλύοι. Ἀγρίππᾳ δὲ τὸ μὲν χειροτονεῖν Φλώρου κατηγόρους ἐπίφθονον ἐδόκει, τὸ περιιδεῖν δὲ Ἰουδαίους εἰς πόλεμον ἐκριπισθέντας οὐδὲ αὐτῷ λυσιτελὲς κατεφαίνετο. προσκαλεσάμενος δὴ εἰς τὸν ξυστὸν τὸ πλῆθος, καὶ παραστησάμενος ἐν περιόπτῳ τὴν ἀδελφὴν Βερενίκην ἐπὶ τῆς Ἀσαμωναίων οἰκίας (αὕτη γὰρ ἦν ἐπάνω τοῦ ξυστοῦ πρὸς τὸ πέραν τῆς ἄνω πόλεως, καὶ γέφυρα τῷ ξυστῷ τὸ ἱερὸν συνῆπτεν), ἔλεξε τοιάδε.

4 "εἰ μὲν ἑώρων πάντας ὑμᾶς πολεμεῖν Ῥωμαίοις ὡρμημένους, καὶ μὴ τοῦ δήμου τὸ καθαρώτατον καὶ εἰλικρινέστατον εἰρήνην ἄγειν προηρημένους, οὔτ' ἂν παρῆλθον εἰς ὑμᾶς οὔτε συμβουλεύειν ἐθάρσησα· περισσὸς γὰρ ὑπὲρ τοῦ τὰ δέοντα ποιεῖν πᾶς λόγος, ὅταν ᾖ τῶν ἀκουόντων πάντων πρὸς τὸ χεῖρον ὁμόνοια. ἐπεὶ

Digitized by Google

δὲ τινὰς μὲν ἡλικία τῶν ἐν πολέμῳ κακῶν ἀπείρατος, τινὰς δὲ ἐλπὶς ἀλόγιστος ἐλευθερίας, ἐνίους δὲ πλεονεξία παροξύνει καὶ τὸ παρὰ τῶν ἀσθενεστέρων, ἐὰν τὰ πράγματα συγχυθῇ, κέρδος, ὅπως αὐτοί τε σωφρονισθέντες μεταβάλωνται καὶ μὴ τῆς ἐνίων κακοβουλίας οἱ ἀγαθοὶ παραπολαύσωσιν, ᾠήθην δεῖν ἐπὶ τὸ αὐτὸ πάντας ὑμᾶς συναγαγὼν εἰπεῖν ἃ νομίζω συμφέρειν. θορυβήσῃ δέ μοι μηδείς, ἐὰν μὴ τὰ πρὸς ἡδονὴν ἀκούῃ· τοῖς μὲν γὰρ ἀνηκέστως ἐπὶ τὴν ἀπόστασιν ὡρμημένοις ἔνεστι καὶ μετὰ τὴν ἐμὴν παραίνεσιν τὰ αὐτὰ φρονεῖν, ἐμοὶ δὲ διαπίπτει καὶ πρὸς τοὺς ἀκούειν ἐθέλοντας ὁ λόγος, ἐὰν μὴ παρὰ πάντων ἡσυχία γένηται. οἶδα μὲν οὖν ὅτι πολλοὶ τὰς ἐκ τῶν ἐπιτρόπων ὕβρεις καὶ τὰ τῆς ἐλευθερίας ἐγκώμια τραγῳδοῦσιν· ἐγὼ δέ, πρὶν ἐξετάζειν τίνες ὄντες καὶ τίσιν ἐπιχειρεῖτε πολεμεῖν, πρῶτον διαζεύξω τὴν συμπλοκὴν τῶν προφάσεων. εἰ μὲν γὰρ ἀμύνεσθε τοὺς ἀδικοῦντας, τί σεμνύνετε τὴν ἐλευθερίαν; εἰ δὲ τὸ δουλεύειν ἀφόρητον ἡγεῖσθε, περισσὴ πρὸς τοὺς ἡγεμόνας ἡ μέμψις· καὶ γὰρ ἐκείνων μετριαζόντων αἰσχρὸν ὁμοίως τὸ δουλεύειν. σκοπεῖτε δὲ καὶ καθ' ἕκαστον τούτων ὡς ἔστι μικρὰ τοῦ πολεμεῖν ἡ ὑπόθεσις, καὶ πρῶτά γε τὰ τῶν ἐπιτρόπων ἐγκλήματα. θεραπεύειν δέ, οὐκ ἐρεθίζειν δεῖ τὰς ἐξουσίας. ὅταν δὲ τῶν μικρῶν ἁμαρτημάτων τοὺς ἐξονειδισμοὺς ποιῆσθε μεγάλους, καθ' ἑαυτῶν τοὺς ὀνειδιζομένους ἀπελέγχετε, καὶ παρέντες τὸ λάθρᾳ καὶ μετ' αἰδοῦς ὑμᾶς βλάπτειν πορθοῦσι φανερῶς. οὐδὲν δὲ οὕτω τὰς πληγὰς ὡς τὸ φέρειν ἀναστέλλει, καὶ τὸ τῶν ἀδικουμένων ἡσύχιον τοῖς ἀδικοῦσι γίνεται διατροπή. φέρε δὲ εἶναι τοὺς Ῥωμαίων ὑπηρέτας ἀνηκέστως χαλεπούς· οὕπω Ῥωμαῖοι πάντες ἀδικοῦσιν ὑμᾶς, οὐδὲ Καῖσαρ, πρὸς οὓς αἱρεῖσθε τὸν πόλεμον. οὐ γὰρ ἐξ ἐντολῆς ἦκει τις πονηρὸς ἀπ' ἐκεί-

Digitized by Google

νων, οὐδέ γε τοὺς ὑπὸ τὴν ἀνατολὴν οἱ ἀφ' ἑσπέρας ἐπιβλέπουσιν· ἀλλ' οὐδ' ἀκούειν ταχέως ταύτῃθεν ἐκεῖ ῥᾴδιον. ἄτοπον δὲ καὶ δι' ἕνα πολλοῖς καὶ διὰ μικρὰς αἰτίας τηλικούτοις, καὶ μηδὲ γινώσκουσιν ἃ μεμφόμεθα, πολεμεῖν. καὶ τῶν μὲν ἡμετέρων ἐγκλημάτων ταχεῖα γένοιτ' ἂν ἡ διόρθωσις· οὔτε γὰρ ὁ αὐτὸς ἐπίτροπος μενεῖ διὰ παντός, καὶ τοὺς διαδεξομένους εἰκὸς ἐλεύσεσθαι μετριωτέρους· κινηθέντα δ' ἅπαξ τὸν πόλεμον οὔτ' ἀποθέσθαι ῥᾴδιον δίχα συμφορῶν οὔτε βαστάσαι. ἀλλὰ μὴν τό γε νῦν ἐλευθερίας ἐπιθυμεῖν ἄωρον, δέον ὑπὲρ τοῦ μηδὲ ἀποβαλεῖν αὐτὴν ἀγωνίζεσθαι πρότερον. ἡ γὰρ πεῖρα τῆς δουλείας χαλεπή, καὶ περὶ τοῦ μηδὲ ἄρξασθαι ταύτης ὁ ἀγὼν δίκαιος. ὁ δ' ἅπαξ χειρωθείς, ἔπειτα ἀφιστάμενος, αὐθάδης δοῦλός ἐστιν, οὐ φιλελεύθερος. τότε γὰρ οὖν ἐχρῆν πάντα ὑπὲρ τοῦ μὴ δέξασθαι Ῥωμαίους ποιεῖν, ὅτε τὴν ἀρχὴν ἐπέβαινε τῆς χώρας ὁ Πομπήιος. ἀλλ' οἱ μὲν ἡμέτεροι πρόγονοι καὶ οἱ βασιλεῖς αὐτῶν, καὶ χρήμασι καὶ σώμασι καὶ ψυχαῖς ἄμεινον ὑμῶν πολλῷ διακείμενοι, πρὸς μοῖραν ὀλίγην τῆς Ῥωμαίων δυνάμεως οὐκ ἀντέσχον· ὑμεῖς δὲ οἱ τὸ μὲν ὑπακούειν ἐκ διαδοχῆς παρειληφότες, τοῖς πράγμασι δὲ τῶν πρώτων ἀκουσάντων τοσοῦτον ἐλαττούμενοι, πρὸς ὅλην ἀνθίστασθε τὴν Ῥωμαίων ἡγεμονίαν. καὶ Ἀθηναῖοι μέν, οἱ περὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας παραδόντες ποτὲ καὶ πυρὶ τὴν πόλιν, οἱ τὸν ὑπερήφανον Ξέρξην διὰ γῆς πλεύσαντα καὶ διὰ θαλάσσης ὁδεύσαντα, καὶ μὴ χωρούμενον μὲν τοῖς πελάγεσι, πλατυτέραν δὲ τῆς Εὐρώπης τὴν στρατιὰν ἄγοντα, δραπέτην ἐπὶ μιᾶς νεὼς διώξαντες, περὶ δὲ τῇ σμικρᾷ Σαλαμῖνι τὴν τοσαύτην Ἀσίαν κλάσαντες, νῦν δουλεύουσι Ῥωμαίοις, καὶ τὴν ἡγεμονίδα τῆς Ἑλλάδος πόλιν διοικεῖ τὰ ἀπὸ τῆς Ἰτα-

Digitized by Google

λίας προστάγματα. Λακεδαιμόνιοί τε μετὰ Θερμοπύλας καὶ Πλαταιὰς καὶ τὸν ἐρευνήσαντα τὴν Ἀσίαν Ἀγησίλαον ἀγαπῶσι τοὺς αὐτοὺς δεσπότας. καὶ Μακεδόνες ἔτι φανταζόμενοι Φίλιππον σὺν Ἀλεξάνδρῳ, καὶ παρασπαίρουσαν αὐτοῖς τὴν τῆς οἰκουμένης ἡγεμονίαν ὁρῶντες, φέρουσι τὴν τοσαύτην μεταβολήν, καὶ πρὸς οὓς μεταβέβηκεν ἡ τύχη προσκυνοῦσιν. ἄλλα τε ἔθνη μυρία πλείονος γέμοντα πρὸς ἐλευθερίαν παρρησίας εἴκει. μόνοι δὲ ὑμεῖς ἀδοξεῖτε δουλεύειν οἷς ὑποτέτακται τὰ πάντα, ποίᾳ στρατιᾷ, ποίοις πεποιθότες ὅπλοις; ποῦ μὲν ὁ στόλος ὑμῶν διαληψόμενος τὰς Ῥωμαίων θαλάσσας; ποῦ δὲ οἱ ταῖς ἐπιβολαῖς ἐξαρκέσοντες θησαυροί; πρὸς Αἰγυπτίους ἆρα καὶ πρὸς Ἄραβας οἴεσθε κινεῖν τὸν πόλεμον; οὐ περισκέψεσθε τὴν Ῥωμαίων ἡγεμονίαν; οὐ μετρήσετε τὴν ἑαυτῶν ἀσθένειαν; οὐ τὰ μὲν ὑμέτερα καὶ τῶν προσοίκων ἐθνῶν ἠττήθη πολλάκις, ἡ δὲ ἐκείνων ἰσχὺς διὰ τῆς οἰκουμένης ἀνίκητος; μᾶλλον δὲ καὶ ταύτης ἐξήτησάν τι πλέον. οὐ γὰρ ἐξήρκεσεν αὐτοῖς ὅλος Εὐφράτης ὑπὸ τὴν ἀνατολήν, οὐδὲ τῶν προσαρκτίων Ἴστρος, ἢ τε μεσημβρινὴ μέχρι τῶν ἀοικήτων ἐρευνηθεῖσα Λιβύη, καὶ Γάδειρα πρὸς ἑσπέραν· ἀλλ' ὑπὲρ ὠκεανὸν ἑτέραν ἐζήτησαν οἰκουμένην, καὶ μέχρι τῶν ἀνιστορήτων πρότερον Βρεττανῶν διήνεγκαν τὰ ὅπλα. τί οὖν; ὑμεῖς πλουσιώτεροι Γαλατῶν, ἰσχυρότεροι Γερμανῶν, Ἑλλήνων συνετώτεροι, πλείους τῶν κατὰ τὴν οἰκουμένην ἐστὲ πάντων; τί τὸ πεποιθὸς ὑμᾶς κατὰ Ῥωμαίων ἐπαίρει; χαλεπὸν τὸ δουλεύειν, ἐρεῖ τις. πόσῳ μᾶλλον Ἕλλησιν, οἳ τῶν ὑφ' ἡλίῳ πάντων εὐγενείᾳ προύχειν δοκοῦντες, καὶ τοσαύτην νεμόμενοι χώραν, ἓξ Ῥωμαίων ὑπείκουσι ῥάβδοις. τοσαύταις δὲ Μακεδόνες οἱ δικαιότερον ὑμῶν ὀφείλοντες ἐλευθερίας ἀντιποιεῖσθαι. τί δὲ αἱ πεντακόσιαι τῆς Ἀσίας πό-

Digitized by Google

λεις; οὐ δίχα φρουρᾶς ἕνα προσκυνοῦσιν ἡγεμόνα καὶ τὰς ὑπατικὰς ῥάβδους; τί δεῖ λέγειν Ἡνιόχους τε καὶ Κόλχους καὶ τὸ τῶν Ταύρων φῦλον, Βοσπορανούς τε καὶ τὰ περίοικα τοῦ Πόντου καὶ τῆς Μαιώτιδος ἔθνη, παρ' οἷς πρὶν μὲν οὐδὲ οἰκεῖος ἐγινώσκετο δεσπότης, νῦν δὲ τρισχιλίοις ὁπλίταις ὑποτάσσεται, καὶ τεσσαράκοντα νῆες μακραὶ τὴν πρὶν ἄπλωτον καὶ ἀγρίαν εἰρηνεύουσι θάλασσαν. πόσα Βιθυνία καὶ Καππαδοκία καὶ τὸ Παμφύλιον ἔθνος Λύκιοί τε καὶ Κίλικες ὑπὲρ ἐλευθερίας ἔχοντες εἰπεῖν, χωρὶς ὅπλων φορολογοῦνται; τί δέ; Θρᾷκες οἱ πέντε μὲν εὖρος ἑπτὰ δὲ μῆκος ἡμερῶν χώραν διειληφότες, τραχυτέραν τε καὶ πολλῷ τῆς ὑμετέρας ὀχυρωτέραν καὶ βαθεῖ κρυμῷ τοὺς ἐπιστρατεύοντας ἀνακόπτουσαν, οὐχὶ δισχιλίοις Ῥωμαίων ὑπακούουσι φρουροῖς; οἱ δὲ ἀπὸ τούτων Ἰλλυριοὶ τὴν μέχρι Δαλματίας ἀποτεμνομένην Ἴστρῳ κατοικοῦντες οὐ δυσὶ μόνοις τάγμασιν ὑπείκουσι, μεθ' ὧν αὐτοὶ τὰς Δακῶν ἀνακόπτουσιν ὁρμάς; οἱ δὲ τοσαυτάκις πρὸς ἐλευθερίαν ἀναχαιτίσαντες Δαλμάται, καὶ πρὸς τὸ μόνον ἀεὶ χειρωθέντες συλλεξάμενοι τὴν ἰσχὺν πάλιν ἀποστῆναι, νῦν οὐχ ὑφ' ἑνὶ τάγματι Ῥωμαίων ἡσυχίαν ἄγουσιν; ἀλλὰ μὴν εἴ γέ τινας εἰς ἀπόστασιν ὤφειλον ἀφορμαὶ μεγάλαι παροξύνειν, μάλιστα Γαλάτας ἐχρῆν, τοὺς οὕτως ὑπὸ τῆς φύσεως τετειχισμένους, ἔξ ἀνατολῆς μὲν ταῖς Ἄλπεσι, πρὸς ἄρκτῳ δὲ Ῥήνῳ ποταμῷ, μεσημβρινοῖς δὲ τοῖς Πυρηναίοις ὄρεσιν, ὠκεανῷ δὲ πρὸς δυσμαῖς. ἀλλὰ καίτοι τηλικαῦτα μὲν ἔρκη προβεβλημένοι, πέντε δὲ καὶ τριακοσίοις πληθύοντες ἔθνεσι, τὰς δὲ πηγάς, ὡς ἄν τις εἴποι, τῆς εὐδαιμονίας ἐπιχωρίους ἔχοντες καὶ τοῖς ἀγαθοῖς σχεδὸν ὅλην ἐπικλύζοντες τὴν οἰκουμένην, ἀνέχονται Ῥωμαίων πρόσοδος ὄντες καὶ ταμιευόμενοι παρ' αὐτῶν τὴν

Digitized by Google

οἰκείαν εὐδαιμονίαν. καὶ τοῦτο ὑπομένουσιν οὐ διὰ φρονήματος μαλακίαν, οὐδὲ δι' ἀγένειαν, οἵ γε διήνεγκαν ὀγδοήκοντα ἔτη πόλεμον ὑπὲρ τῆς ἐλευθερίας, ἀλλὰ μετὰ τῆς δυνάμεως Ῥωμαίων καὶ τὴν τύχην καταπλαγέντες, ἥτις αὐτοῖς κατορθοῖ πλείονα τῶν ὅπλων. τοιγαροῦν ὑπὸ χιλίοις καὶ διακοσίοις στρατιώταις δουλεύουσιν, ὧν ὀλίγου δεῖν πλείους ἔχουσι πόλεις. οὐδὲ Ἴβηρσιν ὁ γεωργούμενος χρυσὸς εἰς τὸν ὑπὲρ τῆς ἐλευθερίας πόλεμον ἐξήρκεσεν, οὐδὲ τὸ τοσοῦτον ἀπὸ Ῥωμαίων γῆς καὶ θαλάσσης διάστημα, φῦλά τε Λυσιτανῶν καὶ Καντάβρων ἀρειμάνια, οὐδὲ γείτων ὠκεανὸς φοβερὰν καὶ τοῖς ἐπιχωρίοις ἄμπωτιν ἐπάγων, ἀλλ' ὑπὲρ τὰς Ἡρακλείους στήλας ἐκτείναντες τὰ ὅπλα, καὶ διὰ νεφῶν ὁδεύσαντες τὰ Πυρηναῖα ὄρη, καὶ τούτους ἐδουλώσαντο Ῥωμαῖοι· φρουρὰ δὲ ἤρκεσε τῶν οὕτω δυσμάχων καὶ τοσοῦτον ἀπφκισμένων ἓν τάγμα. τίς ὑμῶν οὐκ ἀκοῇ παρείληφε τὸ Γερμανῶν πλῆθος; ἀλκὴν μὲν γὰρ καὶ μεγέθη σωμάτων εἴδετε δήπου πολλάκις, ἐπεὶ παντα-χοῦ Ῥωμαῖοι τοὺς τούτων αἰχμαλώτους ἔχουσιν. ἀλλ' οὗτοι γῆν μὲν ἄπειρον νεμόμενοι, μείζω δὲ τῶν σωμάτων ἔχοντες τὰ φρονήματα, καὶ τὴν μὲν ψυχὴν θανάτου καταφρονοῦσαν, τοὺς δὲ θυμοὺς τῶν ἀγριωτάτων θηρίων σφοδροτέρους, Ῥῆνον τῆς ὁρμῆς ὅρον ἔχουσι, καὶ Ῥωμαίων ὀκτὼ τάγμασι δαμαζόμενοι δουλεύουσι μὲν ἀλόντες, τὸ δὲ ὅλον αὐτῶν ἔθνος φυγῇ διασώζεται. σκέψασθε δὲ καὶ τὸ Βρεττανῶν τεῖχος οἱ τοῖς Ἱεροσολύμων τείχεσι πεποιθότες· καὶ γὰρ ἐκείνους περιβεβλημένους ὠκεανόν, καὶ τῆς καθ' ἡμᾶς οἰκουμένης οὐκ ἐλάσσονα νῆσον οἰκοῦντας, πλεύσαντες ἐδουλώσαντο Ῥωμαῖοι, τέσσαρα δὲ τάγματα τὴν τοσαύτην νῆσον διαφυλάττει. καὶ τί δεῖ πολλὰ λέγειν, ὅπου καὶ Πάρθοι, τὸ πολεμικώτατον φῦλον, τοσούτων ἄρχον-

Digitized by Google

τες ἐθνῶν καὶ τηλικαύτην περιβεβλημένοι δύναμιν, ὁμήρους πέμπουσι Ῥωμαίοις, καὶ ἔστιν ἐπὶ τῆς Ἰταλίας ἰδεῖν ἐν εἰρήνης προφάσει δουλεύουσαν τὴν ἀπὸ τῆς ἀνατολῆς εὐγένειαν. πάντων δὴ σχεδὸν τῶν ὑφ' ἡλίῳ τὰ Ῥωμαίων ὅπλα προσκυνούντων, ὑμεῖς μόνοι πολεμήσετε; μηδὲ τὸ Καρχηδονίων τέλος σκοποῦντες, οἳ τὸν μέγαν αὐχοῦντες Ἀννίβαν καὶ τὴν ἀπὸ Φοινίκων εὐγένειαν ὑπὸ τὴν Σκιπίωνος δεξιὰν ἔπεσον. οὔτε δὲ Κυρηναῖοι τὸ Λακώνων γένος, οὔτε Μαρμαρίδαι τὸ μέχρι τῆς διψάδος ἐκτεταμένον φῦλον, οὔθ' αἱ φοβεραὶ καὶ τοῖς ἀκούουσι Σύρτεις, Νασαμῶνές τε καὶ Μαῦροι καὶ τὸ Νομάδων ἄπειρον πλῆθος, τὰς Ῥωμαίων ἀνέκοψαν ἀρετάς. τὴν δὲ τρίτην τῆς οἰκουμένης μοῖραν, ἧς οὐδὲ ἐξαριθμήσασθαι τὰ ἔθνη ῥᾴδιον, ὁριζομένην Ἀτλαντικῷ τε πελάγει καὶ στήλαις Ἡρακλείοις, καὶ μέχρι τῆς Ἐρυθρᾶς θαλάσσης τοὺς ἀπείρους νέμουσαν Αἰθίοπας, ἐχειρώσαντο μὲν ὅλην, χωρὶς δὲ τῶν ἐτησίων καρπῶν, οἳ μησὶν ὀκτὼ τὸ κατὰ τὴν Ῥώμην πλῆθος τρέφουσι, καὶ ἔξωθεν παντοίως φορολογοῦνται, καὶ ταῖς χρείαις τῆς ἡγεμονίας παρέχουσιν ἑτοίμως τὰς εἰσφοράς, οὐδὲν τῶν ἐπιταγμάτων ὥσπερ ὑμεῖς ὕβριν ἡγούμενοι, καίπερ ἑνὸς τάγματος αὐτοῖς παραμένοντος· καὶ τί δεῖ πόρρωθεν ὑμῖν ὑποδεικνύειν τὴν Ῥωμαίων δύναμιν, παρὸν ἐξ Αἰγύπτου τῆς γειτνιώσης, ἥτις ἐκτεινομένη μέχρις Αἰθιόπων καὶ τῆς εὐδαίμονος Ἀραβίας, ὅμορός τε οὖσα τῆς Ἰνδικῆς, πεντήκοντα πρὸς ταῖς ἑπτακοσίαις ἔχουσα μυριάδας ἀνθρώπων δίχα τῶν Ἀλεξάνδρειαν κατοικούντων, ὡς ἔνεστιν ἐκ τῆς καθ' ἑκάστην κεφαλὴν εἰσφορᾶς τεκμήρασθαι, τὴν Ῥωμαίων ἡγεμονίαν οὐκ ἀδοξεῖ, καίτοι πηλίκον ἀποστάσεως κέντρον ἔχουσα τὴν Ἀλεξάνδρειαν πλήθους τε ἀνδρῶν ἕνεκα καὶ πλούτου, πρὸς δὲ καὶ μεγέθους.

Digitized by Google

μῆκος μέν γε αὐτῆς τριάκοντα σταδίων, εὖρος δὲ οὐκ ἔλαττον δέκα· τοῦ δὲ ἐνιαυσίου παρ' ὑμῶν φόρου καθ' ἕνα μῆνα πλέον Ῥωμαίοις παρέχει, καὶ τῶν χρημάτων ἔξωθεν τῇ Ῥώμῃ σῖτον μηνῶν τεσσάρων· τετείχισται δὲ πάντοθεν ἢ δυσβάτοις ἐρημίαις ἢ θαλάσσαις ἀλιμένοις ἢ ποταμοῖς ἢ ἕλεσιν. ἀλλ' οὐδὲν τούτων ἰσχυρότερον εὑρέθη τῆς Ῥωμαίων τύχης, δύο δὲ ἐγκαθήμενα τῇ πόλει τάγματα τὴν βαθεῖαν Αἴγυπτον ἅμα τῇ Μακεδόνων εὐγενείᾳ χαλινοῖ. τίνας οὖν ἐπὶ τὸν πόλεμον ἐκ τῆς ἀοικήτου παραλήψεσθε συμμάχους; οἱ μὲν γὰρ ἐπὶ τῆς οἰκουμένης πάντες εἰσὶ Ῥωμαῖοι, εἰ μή τις ὑπὲρ Εὐφράτην ἐκτείνει τὰς ἐλπίδας καὶ τοὺς ἐκ τῆς Ἀδιαβηνῆς ὁμοφύλους οἴεται προσαμύνειν. οἳ δὲ οὔτε δι' αἰτίαν ἄλογον τηλικούτῳ πολέμῳ συμπλέξουσιν ἑαυτούς, οὔτε βουλευσαμένοις κακῶς ὁ Πάρθος ἐπιτρέψει· πρόνοια γὰρ αὐτῷ τῆς πρὸς Ῥωμαίους ἐκεχειρίας, καὶ παραβαίνειν οἰήσεται τὰς σπονδάς, ἂν τις τῶν ὑπ' αὐτὸν ἐπὶ Ῥωμαίους ᾖ. λοιπὸν οὖν ἐπὶ τὴν τοῦ θεοῦ συμμαχίαν καταφευκτέον. ἀλλὰ καὶ τοῦτο παρὰ Ῥωμαίοις τέτακται· δίχα γὰρ θεοῦ συστῆναι τηλικαύτην ἡγεμονίαν ἀδύνατον. σκέψασθε δὲ ὡς ὑμῖν τὸ τῆς θρησκείας ἄκρατον, εἰ καὶ πρὸς εὐχειρώτους πολεμοίητε, δυσδιοίκητον· καὶ δι' ἃ μάλιστα τὸν θεὸν ἐλπίζετε σύμμαχον, ταῦτα ἀναγκαζόμενοι παραβαίνειν ἀποστρέφετε. τηροῦντες μέν γε τὰ τῶν ἑβδομάδων ἔθη, καὶ πρὸς μηδεμίαν πρᾶξιν κινούμενοι, ῥᾳδίως ἁλώσεσθε καθάπερ οἱ πρόγονοι Πομπηίῳ, ταύτας μάλιστα τὰς ἡμέρας ἐνεργοὺς ποιησαμένῳ τῆς πολιορκίας ἐν αἷς ἤργουν οἱ πολιορκούμενοι. παραβαίνοντες δὲ ἐν τῷ πολέμῳ τὸν πάτριον νόμον, οὐκ οἶδα ὑπὲρ ὅτου τὸ λοιπὸν ποιήσεσθε τὸν ἀγῶνα· σπουδὴ γὰρ ὑμῖν μία τὸ μὴ τῶν πατρίων τι καταλῦσαι. πῶς δὲ ἐπικαλέσεσθε

Digitized by Google

τὸ θεῖον εἰς ἄμυναν οἱ παραβαίνοντες ἑκουσίως τὴν εἰς αὐτὸν θεραπείαν; ἐπαναιροῦνται δὲ ἕκαστοι πόλεμον ἢ θεία πεποιθότες ἢ ἀνθρωπίνῃ βοηθείᾳ· ὅταν δὲ τὴν παρ' ἀμφοῖν τὸ εἰκὸς ἀποκόπτῃ, φανερὰν ἅλωσιν οἱ πολεμοῦντες αἱροῦνται. τί δὲ κωλύει ταῖς ἑαυτῶν χερσὶ διαχρήσασθαι τέκνα καὶ γυναῖκας, καὶ τὴν περικαλλεστάτην πατρίδα ταύτην καταφλέξαι; μανέντες γὰρ οὕτω τό γε τῆς ἥττης ὄνειδος κερδήσετε. καλόν, ὦ φίλοι, καλόν, ἕως ἔτι ἐν ὅρμῳ τὸ σκάφος, προσκέπτεσθαι τὸν μέλλοντα χειμῶνα, μηδὲ εἰς μέσας τὰς θυέλλας ἀπολουμένους ἀναχθῆναι· τοῖς μὲν γὰρ ἐξ ἀδήλων ἐπιπεσοῦσι δεινοῖς τὸ γοῦν ἐλεεῖσθαι περίεστιν, ὁ δὲ εἰς πρόδηλον ἀπώλειαν ὁρμήσας καὶ προσονειδίζεται. πλὴν εἰ μή τις ὑπολαμβάνει κατὰ συνθήκας πολεμήσειν, καὶ Ῥωμαίους κρατήσαντας ὑμῶν μετριάσειν, ἀλλ' οὐκ εἰς ὑπόδειγμα τῶν ἄλλων ἐθνῶν καταφλέξειν μὲν τὴν ἱερὰν πόλιν, ἀναιρήσειν δὲ πᾶν ὑμῶν τὸ φῦλον. οὐδὲ γὰρ περιλειφθέντες φυγῆς εὑρήσετε τόπον, ἁπάντων ἐχόντων Ῥωμαίους δεσπότας ἢ δεδοικότων σχεῖν. ὁ δὲ κίνδυνος οὐ τῶν ἐνθάδε μόνον, ἀλλὰ καὶ τῶν κατὰ τὰς ἄλλας πόλεις κατοικούντων· οὐ γὰρ ἔστιν ἐπὶ τῆς οἰκουμένης δῆμος ὁ μὴ μοῖραν ὑμετέραν ἔχων. οὓς ἅπαντας πολεμησάντων ὑμῶν κατασφάξουσιν οἱ διάφοροι, καὶ δι' ὀλίγων ἀνδρῶν κακοβουλίαν πᾶσα πληρωθήσεται πόλις Ἰουδαϊκοῦ φόνου. καὶ συγγνώμη μὲν τοῖς τοῦτο πράξασιν· ἂν δὲ μὴ πραχθῇ, λογίσασθε πῶς πρὸς οὕτω φιλανθρώπους ὅπλα κινεῖν ἀνόσιον. εἰσελθέτω δὲ οἶκτος ὑμᾶς, εἰ μὴ καὶ τέκνων καὶ γυναικῶν, ἀλλὰ τῆς γε μητροπόλεως ταύτης καὶ τῶν ἱερῶν περιβόλων. φείσασθε τοῦ ἱεροῦ, καὶ τὸν ναὸν ἑαυτοῖς μετὰ τῶν ἁγίων τηρήσατε· ἀφέξονται γὰρ οὐκέτι Ῥωμαῖοι τούτων κρατήσαντες, ὧν φεισάμενοι πρότερον ἠχαρίστηνται. μαρτύρομαι

Digitized by Google

δὲ ἐγὼ μὲν ὑμῶν τὰ ἅγια καὶ τοὺς ἱεροὺς ἀγγέλους τοῦ θεοῦ καὶ πατρίδα τὴν κοινήν, ὡς οὐδὲν τῶν σωτηρίων ὑμῖν καθυφηκάμην. ὑμεῖς δὲ βουλευσάμενοι μὲν τὰ δέοντα κοινὴν σὺν ἐμοὶ τὴν εἰρήνην ἔξετε, προαχθέντες δὲ τοῖς θυμοῖς χωρὶς ἐμοῦ κινδυνεύσετε."

τοσαῦτα εἰπὼν ἐπεδάκρυσέ τε μετὰ τῆς ἀδελφῆς, καὶ τὸ πολὺ τῆς ὁρμῆς αὐτῶν ἔπαυσε τοῖς δάκρυσιν. ἀνεβόων δὲ οὐ Ῥωμαίοις ἀλλὰ Φλώρῳ, δι' ἃ πεπόνθασι, πολεμεῖν. πρὸς ταῦτα ὁ βασιλεὺς Ἀγρίππας "ἀλλὰ τὰ ἔργα" ἔφη "Ῥωμαίοις ἤδη πολεμούντων ἐστίν· οὔτε γὰρ τῷ Καίσαρι δεδώκατε τὸν φόρον, καὶ τὰς στοὰς ἀπεκόψατε τῆς Ἀντωνίας. ἀποσκευάσαισθε δ' ἂν τὴν αἰτίαν τῆς ἀποστάσεως, εἰ ταύτας τε συνάψετε πάλιν καὶ τελέσετε τὴν εἰσφοράν. οὐ γὰρ ἤδη γε Φλώρου τὸ φρούριόν ἐστιν, ἢ Φλώρῳ τὰ χρήματα δώσετε."

τούτοις ὁ δῆμος ἐπείθετο, καὶ μετὰ τοῦ βασιλέως 17
τῆς τε Βερενίκης ἀναβάντες εἰς τὸ ἱερὸν κατήρξαντο τῆς τῶν στοῶν δομήσεως· εἰς δὲ τὰς κώμας οἵ τε ἄρχοντες καὶ οἱ βουλευταὶ μερισθέντες τοὺς φόρους συνέλεγον. ταχέως δὲ τὰ τεσσαράκοντα τάλαντα (τοσοῦτον γὰρ ἔλιπεν) ἠθροίσθη. καὶ τοῦ μὲν πολέμου τότε τὴν ἀπειλὴν οὕτω κατέστειλεν Ἀγρίππας· αὖθις δὲ ἐπειρᾶτο πείθειν τὸ πλῆθος ὑπακούειν Φλώρῳ, ἄχρις ἂν ἀντ' αὐτοῦ πέμψῃ Καῖσαρ διάδοχον. προσπαροξυνθέντες δὲ ἐβλασφήμουν εἰς τὸν βασιλέα, καὶ τῆς πόλεως αὐτὸν ἐξεκήρυσσον, ἐτόλμων δέ τινες τῶν στασιαστῶν καὶ λίθους ἐπ' αὐτὸν βάλλειν. ὁ δὲ βασιλεὺς τὴν ὀργὴν τῶν νεωτεριζόντων ἀκατάσχετον ὁρῶν, καὶ χαλεπήνας ἐφ' οἷς προπεπηλάκιστο, τοὺς μὲν ἄρχοντας ἅμα τοῖς δυνατοῖς αὐτῶν ἔπεμπε πρὸς Φλῶρον εἰς Και-

Digitized by Google

σάρειαν, ἵνα ἐκεῖνος ἐξ αὐτῶν ἀποδείξῃ τοὺς τὴν χώραν φορολογήσοντας, αὐτὸς δὲ ἀνεχώρησεν εἰς τὴν βασιλείαν.

2 κἀν τούτῳ τινὲς τῶν μάλιστα κινούντων τὸν πόλεμον συνελθόντες ὥρμησαν ἐπὶ φρούριόν τι καλούμενον Μασάδαν, καὶ καταλαβόντες αὐτὸ λάθρᾳ τοὺς μὲν Ῥωμαίων φρουροὺς ἀπέσφαξαν, ἑτέρους δὲ κατέστησαν ἰδίους. ἅμα δὲ καὶ κατὰ τὸ ἱερὸν Ἐλεάζαρος υἱὸς Ἀνανίου τοῦ ἀρχιερέως, νεανίας θρασύτατος, στρατηγῶν τότε τοὺς κατὰ τὴν λατρείαν λειτουργοῦντας ἀνα- πείθει μηδενὸς ἀλλοφύλου δῶρον ἢ θυσίαν προσδέχεσθαι. τοῦτο δὲ ἦν τοῦ πρὸς Ῥωμαίους πολέμου καταβολή· τὴν γὰρ ὑπὲρ τούτων θυσίαν καὶ Καίσαρος ἀπέρριψαν. καὶ πολλὰ τῶν τε ἀρχιερέων καὶ τῶν γνωρίμων παρακαλούντων μὴ παραλιπεῖν τὸ ὑπὲρ τῶν ἡγεμόνων ἔθος, οὐκ ἐνέδοσαν, πολὺ μὲν καὶ τῷ σφετέρῳ πλήθει πεποιθότες (καὶ γὰρ τὸ ἀκμαιότατον τῶν νεωτεριζόντων συνήργει), μάλιστα δὲ ἀφορῶντες εἰς τὸν Ἐλεάζαρον στρατηγοῦντα.

3 συνελθόντες οὖν οἱ δυνατοὶ τοῖς ἀρχιερεῦσιν εἰς ταὐτὸ καὶ τοῖς τῶν Φαρισαίων γνωρίμοις, ὡς ἐπ' ἀνηκέστοις ἤδη συμφοραῖς ἐβουλεύοντο περὶ τῶν ὅλων· καὶ δόξαν ἀποπειραθῆναι τῶν στασιαστῶν λόγοις, πρὸ τῆς χαλκῆς πύλης ἀθροίζουσι τὸν δῆμον, ἥτις ἦν τοῦ ἔνδον ἱεροῦ τετραμμένη πρὸς ἀνατολὴν ἡλίου. καὶ πρῶτον αὐτῶν πολλὰ πρὸς τὴν τόλμαν τῆς ἀποστάσεως χαλεπήναντες καὶ τὸ τηλικοῦτον ἐπισείειν τῇ πατρίδι πόλεμον, ἔπειτα τῆς προφάσεως τὸ ἄλογον διήλεγχον, φάμενοι τοὺς μὲν προγόνους αὐτῶν κεκοσμηκέναι τὸν ναὸν ἐκ τῶν ἀλλοφύλων τὸ πλέον, ἀεὶ προσδεχομένους τὰς ἀπὸ τῶν ἔξωθεν ἐθνῶν δωρεάς, καὶ οὐ μόνον οὐ διακεκωλυκέναι θυσίας τινῶν (τοῦτο γὰρ ἀσεβέστατον), ἀλλὰ

Digitized by Google

καὶ τὰ βλεπόμενα καὶ τὰ παραμένοντα τὸν τοσοῦτον χρόνον ἀναθήματα περὶ τῷ ἱερῷ καθιδρυκέναι. αὐτοὺς δὲ νῦν ἐρεθίζοντας τὰ Ῥωμαίων ὅπλα, καὶ μνησικακουμένους τὸν ἀπ' ἐκείνων πόλεμον, καινοτομεῖν θρησκείαν ξένην, καὶ μετὰ τοῦ κινδύνου καταψηφίσασθαι τῆς πόλεως ἀσέβειαν, εἰ παρὰ μόνοις Ἰουδαίοις οὔτε θύσει τις ἀλλότριος οὔτε προσκυνήσει. κἂν μὲν ἐπὶ ἰδιώτου τις ἑνὸς τοῦτον εἰσφέρῃ τὸν νόμον, ἀγανακτεῖν ὡς ὁριζομένης ἀπανθρωπίας, περιορᾶν δὲ ὅτε Ῥωμαῖοι καὶ ὁ Καῖσαρ ἔκσπονδοι γίνονται. δεδοικέναι μέντοι μὴ τὰς ὑπὲρ ἐκείνων ἀπορρίψαντες θυσίας κωλυθῶσι θύειν καὶ τὰς ὑπὲρ ἑαυτῶν, γένηταί τε ἔκσπονδος τῆς ἡγεμονίας ἡ πόλις, εἰ μὴ ταχέως σωφρονήσαντες ἀποδώσουσι τὰς θυσίας, καὶ πρὶν ἐξελθεῖν ἐφ' οὓς ὑβρίκασι τὴν φήμην, διορθώσονται τὴν ὕβριν.

ἅμα ταῦτα λέγοντες παρῆγον τοὺς ἐμπείρους τῶν 4
πατρίων ἱερεῖς, ἀφηγουμένους ὅτι πάντες οἱ πρόγονοι τὰς ἀπὸ τῶν ἀλλογενῶν θυσίας ἀπεδέχοντο. προσεῖχε δὲ οὐδεὶς τῶν νεωτεριζόντων, ἀλλ' οὐδὲ προσῄεσαν οἱ λειτουργοί, τὴν τοῦ πολέμου καταβολὴν ἐνσκευαζόμενοι. συνιδόντες οὖν οἱ δυνατοὶ τήν τε στάσιν ἤδη δυσκαθαίρετον ὑπ' αὐτῶν οὖσαν καὶ τὸν ἀπὸ τῶν Ῥωμαίων κίνδυνον ἐπὶ πρώτους αὐτοὺς ἀφιξόμενον, ἀπεσκευάζοντο τὰς αἰτίας, καὶ πρέσβεις οὓς μὲν πρὸς Φλῶρον ἔπεμψαν, ὧν ἦρχεν υἱὸς Ἀνανίου Σίμων, οὓς δὲ πρὸς Ἀγρίππαν, ἐν οἷς καὶ ἦσαν ἐπίσημοι Σαῦλός τε καὶ Ἀντίπας καὶ Κοστόβαρος, προσήκοντες τῷ βασιλεῖ κατὰ γένος. ἐδέοντο δὲ ἀμφοτέρων ἀναβῆναι μετὰ δυνάμεως εἰς τὴν πόλιν, καὶ πρὶν γενέσθαι δυσκαθαίρετον, ἐπικόψαι τὴν στάσιν. Φλώρῳ μὲν οὖν τὸ δεινὸν εὐαγγέλιον ἦν, καὶ προῃρημένος ἐξάπτειν τὸν πόλεμον οὐδὲν ἀπεκρίνατο τοῖς πρεσβευταῖς· Ἀγρίππας δὲ κηδό-

Digitized by Google

μενος ἐπ' ἴσης τῶν τε ἀφισταμένων καὶ πρὸς οὓς ὁ πόλεμος ἠγείρετο, βουλόμενός τε Ῥωμαίοις μὲν Ἰουδαίους σώζεσθαι Ἰουδαίοις δὲ τὸ ἱερὸν καὶ τὴν μητρόπολιν, ἀλλ' οὐδὲ αὐτῷ λυσιτελήσειν τὴν ταραχὴν ἐπιστάμενος, ἔπεμψε τοὺς ἐπαμυνοῦντας τῷ δήμῳ τρισχιλίους ἱππεῖς, Αὐρανίτας τε καὶ Βαταναίους καὶ Τραχωνίτας, ὑπὸ Δαρείῳ μὲν ἱππάρχῳ, στρατηγῷ δὲ τῷ Ἰακίμου Φιλίππῳ.

5 τούτοις θαρσήσαντες οἱ δυνατοὶ σὺν τοῖς ἀρχιερεῦσι, καὶ πᾶν ὅσον τοῦ πλήθους εἰρήνην ἠγάπα, τὴν ἄνω καταλαμβάνονται πόλιν· τῆς κάτω γὰρ τὸ στασιάζον ἐκράτει καὶ τοῦ ἱεροῦ. χερμάσι μὲν οὖν καὶ τοῖς ἐκ βόλοις ἀδιαλείπτως ἐκέχρηντο, καὶ συνεχεῖς ἦσαν βελῶν ἀφέσεις ἐξ ἑκατέρων τῶν κλιμάτων. ἔστι δὲ ὅτε καὶ κατὰ λόχους ἐκτρέχοντες συστάδην ἐμάχοντο, τόλμαις μὲν οἱ στασιασταὶ προέχοντες, ἐμπειρίᾳ δὲ οἱ βασιλικοί. καὶ τούτοις μὲν ἦν ἀγὼν τοῦ ἱεροῦ κρατῆσαι μάλιστα καὶ τοὺς μιαίνοντας τὸν ναὸν ἐξελάσαι, τοῖς δὲ περὶ τὸν Ἐλεάζαρον στασιασταῖς, πρὸς οἷς εἶχον καὶ τὴν ἄνω πόλιν προσλαβεῖν. ἑπτὰ μὲν οὖν ἡμέραις συχνὸς ἀμφοτέρων φόνος ἐγίνετο, καὶ οὐδέτεροι τοῦ καταληφθέν-
6 τος μέρους εἶκον· τῇ δὲ ἑξῆς τῆς τῶν ξυλοφορίων ἑορτῆς οὔσης, ἐν ᾗ πᾶσιν ἔθος ὕλην τῷ βωμῷ προσφέρειν, ὅπως μήποτε τροφὴ τῷ πυρὶ λίποιτο (διαμένει γὰρ ἄσβεστον ἀεί), τοὺς μὲν διαφόρους τῆς θρησκείας ἐξέκλεισαν, τῷ δὲ ἀσθενεῖ λαῷ συνεισρυέντας πολλοὺς τῶν σικαρίων (οὕτω γὰρ ἐκάλουν τοὺς λῃστὰς ἔχοντας ὑπὸ τοῖς κόλποις τὰ ξίφη) προσλαβόντες θαρραλεώτερον ἤπτοντο τῆς ἐπιθέσεως. ἠττῶντο δὲ οἱ βασιλικοὶ πλήθει τε καὶ τόλμῃ, καὶ βιασαμένοις εἶκον ἐκ τῆς ἄνω πόλεως. οἱ δὲ ἐπιπεσόντες τήν τε Ἀνανίου τοῦ ἀρχιερέως οἰκίαν καὶ τὰ Ἀγρίππα καὶ τὰ Βερενίκης κατέκαυσαν βασίλεια· μεθ' ἃ τὸ πῦρ ἐπὶ τὰ ἀρχεῖα ἔφερον,

Digitized by Google

ἀφανίσαι σπεύδοντες τὰ συμβόλαια τῶν δεδανεικότων καὶ τὰς εἰσπράξεις ἀποκόψαι τῶν χρεῶν, ὅπως αὐτοί τε πλῆθος προσλάβωσι τῶν ὠφεληθέντων καὶ μετ' ἀδείας τοῖς εὐπόροις ἐπαναστήσωσι τοὺς ἀπόρους. φυγόντων δὲ τῶν πρὸς τῷ γραμματοφυλακείῳ τὸ πῦρ ἐνίεσαν. ἐπεὶ δὲ τὰ νεῦρα τῆς πόλεως κατέφλεξαν, ἐπὶ τοὺς ἐχθροὺς ἐχώρουν. ἔνθα δὴ τῶν δυνατῶν καὶ τῶν ἀρχιερέων οἳ μὲν εἰς τοὺς ὑπονόμους καταδύντες διελάνθανον, οἳ δὲ σὺν τοῖς βασίλικοῖς εἰς τὴν ἀνωτέρω καταφεύγοντες αὐλὴν ταχέως ἀπέκλεισαν τὰς πύλας, σὺν οἷς Ἀνανίας ὁ ἀρχιερεὺς Ἐζεκίας τε ὁ ἀδελφὸς αὐτοῦ καὶ οἱ πρεσβεύσαντες πρὸς Ἀγρίππαν ἦσαν.

τότε μὲν οὖν τῇ νίκῃ καὶ τοῖς ἐμπρησθεῖσιν ἀρκεσθέντες ἀνεπαύσαντο, τῇ δὲ ἑξῆς (πεντεκαιδεκάτῃ δὲ 7 ἦν Λώου μηνός) ὥρμησαν ἐπὶ τὴν Ἀντωνίαν, καὶ τοὺς ἐν αὐτῇ φρουροὺς δυσὶν ἡμέραις πολιορκήσαντες αὐτούς τε εἷλον καὶ κατέσφαξαν καὶ τὸ φρούριον ἐνέπρησαν. ἔπειτα μετέβαινον εἰς τὴν αὐλὴν εἰς ἣν οἱ βασιλικοὶ κατέφυγον, καὶ διανείμαντες σφᾶς αὐτοὺς εἰς τέσσαρα μέρη τῶν τειχῶν ἐπειρῶντο. τῶν δὲ ἔνδον πρὸς ἐκδρομὴν μὲν οὐδεὶς ἐθάρρει διὰ τὸ πλῆθος τῶν ἐφεστώτων, διιστάμενοι δὲ ἐπὶ τὰ θωρακεῖα καὶ τοὺς πύργους ἔβαλλον τοὺς προσιόντας, καὶ συχνοὶ τῶν ληστῶν ὑπὸ τοῖς τείχεσιν ἔπιπτον. οὔτε δὲ νυκτὸς οὔτε ἡμέρας διέλιπεν ἡ συμβολή, τῶν μὲν στασιαστῶν ἀπαγορεύσειν τοὺς ἔνδον οἰομένων ἐνδείᾳ τροφῆς, τῶν δὲ ἔνδον καματώσειν τοὺς πολιορκοῦντας.

κἀν τούτῳ Μανάιμός τις, υἱὸς Ἰούδα τοῦ καλουμένου 8 Γαλιλαίου, ὃς ἦν σοφιστὴς δεινότατος, καὶ ἐπὶ Κυρηνίου ποτὲ Ἰουδαίους ὀνειδίσας ὅτι Ῥωμαίοις ὑπετάσσοντο μετὰ τὸν θεόν, ἀναλαβὼν τοὺς γνωρίμους ἀνεχώρησεν εἰς Μασάδαν, ἔνθα τὴν Ἡρώδου τοῦ βασιλέως ὁπλοθήκην

Digitized by Google

ἀναρρήξας, καὶ πρὸς τοῖς δημόταις ἑτέρους λῃστὰς καθοπλίσας, τούτοις τε χρώμενος δορυφόροις οἷα δὴ βασιλεὺς ἐπάνεισιν εἰς Ἱεροσόλυμα, καὶ γενόμενος ἡγεμὼν τῆς στάσεως διέτασσε τὴν πολιορκίαν. ἀπορία δὲ ἦν ὀργάνων, καὶ φανερῶς ὑπορύσσειν τὸ τεῖχος οὐχ οἷόν τε ἦν ἄνωθεν βαλλομένους. ὑπόνομον δὴ πόρρωθεν ἄφ' ἕνα τῶν πύργων διορύξαντες ἀνακρημνᾶσιν αὐτόν, ἔπειτα τὴν κατέχουσαν ὕλην ἐμπρήσαντες ἐξῆλθον. ὑποκαέντων δὲ τῶν στηριγμάτων ὁ μὲν πύργος ἐξαίφνης κατασείεται, τεῖχος δὲ ἕτερον ἔνδοθεν ἀντῳκοδομημένον διεφάνη· τὴν γὰρ ἐπιβουλὴν αὐτῶν προαισθόμενοι, τάχα καὶ τοῦ πύργου κινηθέντος ὡς ὑπωρύττετο, δεύτερον ἑαυτοῖς ἔρυμα κατεσκεύασαν. πρὸς ὃ τῶν μὲν ἀδοκήτως ἰδόντων καὶ κρατεῖν ἤδη πεπεισμένων κατάπληξις ἦν, οἱ δὲ ἔνδοθεν πρός τε τὸν Μανάιμον καὶ τοὺς ἐξάρχοντας τῆς στάσεως ἔπεμπον, ἀξιοῦντες ἐξελθεῖν ὑπόσπονδοι. καὶ δοθὲν μόνοις τοῖς βασιλικοῖς καὶ τοῖς ἐπιχωρίοις, οἳ μὲν ἐξῆσαν, ἀπορία δὲ τοὺς Ῥωμαίους καταλειφθέντας μόνους ὑπέλαβεν· οὔτε γὰρ βιάσασθαι τοσοῦτον πλῆθος ἐδύναντο, καὶ τὸ δεξιὰν αἰτεῖν ὄνειδος ὑπελάμβανον, πρὸς τῷ μηδὲ πιστεύειν εἰ διδοῖτο. καταλιπόντες δὴ τὸ στρατόπεδον ὡς εὐάλωτον, ἐπὶ τοὺς βασιλικοὺς ἀνέφευγον πύργους, τόν τε Ἱππικὸν καλούμενον καὶ τὸν Φασάηλον καὶ Μαριάμμην. οἱ δὲ περὶ τὸν Μανάιμον εἰσπεσόντες ὅθεν οἱ στρατιῶται διέφυγον, ὅσους τε αὐτῶν κατέλαβον μὴ φθάσαντας ἀνελθεῖν διέφθειραν, καὶ τὰς ἀποσκευὰς διαρπάσαντες ἐνέπρησαν τὸ στρατόπεδον.

ταῦτα μὲν οὖν ἕκτῃ Γορπιαίου μηνὸς ἐπράχθη· 9 κατὰ δὲ τὴν ἐπιοῦσαν ὅ τε ἀρχιερεὺς Ἀνανίας περὶ τὸν τῆς βασιλικῆς αὐλῆς εὗρον διαλανθάνων ἁλίσκεται, καὶ πρὸς τῶν λῃστῶν ἀναιρεῖται σὺν Ἐζεκίᾳ τῷ ἀδελφῷ·

Digitized by Google

καὶ τοὺς πύργους ἐπισχόντες οἱ στασιασταὶ παρεφύλαττον, μή τις τῶν στρατιωτῶν διαφύγῃ. τὸν δὲ Μανάιμον ἥ τε τῶν ὀχυρῶν καταστροφὴ χωρίων καὶ ὁ τοῦ ἀρχιερέως Ἀνανίου θάνατος ἐτύφωσεν εἰς ὠμότητα, καὶ μηδένα νομίζων ἔχειν ἐπὶ τοῖς πράγμασιν ἀντίπαλον ἀφόρητος ἦν τύραννος. ἐπανίστανται δὲ οἱ περὶ τὸν Ἐλεάζαρον αὐτῷ, καὶ λόγον ἀλλήλοις δόντες ὡς οὐ χρὴ Ῥωμαίων ἀποστάντας δι' ἐλευθερίας πόθον καταπροέσθαι ταύτην οἰκείῳ δήμῳ, καὶ δεσπότην φέρειν, εἰ καὶ μηδὲν πράττοι βίαιον, ἀλλ' οὖν ἑαυτῶν ταπεινότερον (εἰ γὰρ καὶ δέοι τινὰ τῶν ὅλων ἀφηγεῖσθαι, παντὶ μᾶλλον ἢ ἐκείνῳ προσήκειν), συντίθενται, καὶ κατὰ τὸ ἱερὸν ἐπεχείρουν αὐτῷ· σοβαρὸς γὰρ ἀναβεβήκει προσκυνήσων, ἐσθῆτί τε βασιλικῇ κεκοσμημένος καὶ τοὺς ζηλωτὰς ἐνόπλους ἑφελκόμενος. ὡς δὲ οἱ περὶ τὸν Ἐλεάζαρον ἐπ' αὐτὸν ὥρμησαν, ὅ τε λοιπὸς δῆμος λίθους ἁρπάσαντες τὸν σοφιστὴν ἔβαλλον, ὀλόμενοι τούτου καταλυθέντος διαστρέψειν τὴν στάσιν, πρὸς ὀλίγον οἱ περὶ τὸν Μανάιμον ἀντισχόντες, ὡς εἶδον πᾶν ἐπ' αὐτοὺς τὸ πλῆθος ὁρμῆσαν, ἔφευγον ὅπῃ τις ἴσχυεν· καὶ φόνος μὲν ἦν τῶν καταληφθέντων, ἔρευνα δὲ τῶν ἀποκρυπτομένων. καὶ διεσώθησαν ὀλίγοι, λάθρᾳ διαδράντες εἰς Μασάδαν, σὺν οἷς Ἐλεάζαρος υἱὸς Ἰαείρου, προσήκων τῷ Μαναΐμῳ κατὰ γένος, ὃς ὕστερον ἐτυράννησε τῆς Μασάδας. αὐτόν τε τὸν Μανάιμον εἰς τὸν καλούμενον Ὀφλᾶν συμφυγόντα κἀκεῖ ταπεινῶς ὑπολανθάνοντα ζωγρήσαντες εἰς τὸ φανερὸν ἐξείλκυσαν, καΐ πολλαῖς αἰκισάμενοι βασάνοις ἀνεῖλον· ὁμοίως δὲ καὶ τοὺς ὑπ' αὐτὸν ἡγεμόνας, τόν τε ἐπισημότατον τῆς τυραννίδος ὑπηρέτην Ἀψάλωμον.

ὁ μὲν οὖν δῆμος, ὡς ἔφην, εἰς ταὐτὰ συνήργησεν ἐλπίζων τινὰ τῆς ὅλης στάσεως λαμβάνειν διόρθωσιν·

Digitized by Google

οἳ δὲ οὐ καταλῦσαι τὸν πόλεμον σπεύδοντες, ἀλλὰ ἀδεέστερον πολεμεῖν, Μανάιμον ἀνηρήκεσαν. ἀμέλει τοῦ δήμου πολλὰ τοῖς στρατιώταις ἀνεῖναι τὴν πολιορκίαν παρακαλοῦντος, οἳ δὲ προσέκειντο χαλεπώτερον, μέχρι μηκέτι ἀντέχοντες οἱ περὶ τὸν Μετίλιον (οὗτος γὰρ ἦν τῶν Ῥωμαίων ἔπαρχος) διαπέμπονται πρὸς τοὺς περὶ τὸν Ἐλεάζαρον, ἐξαιτούμενοι μόνας τὰς ψυχὰς ὑποσπόνδους, τὰ δὲ ὅπλα καὶ τὴν λοιπὴν κτῆσιν παραδώσειν λέγοντες. οἳ δὲ καὶ τὴν ἱκεσίαν ἁρπάσαντες, ἀπέπεμψαν πρὸς αὐτοὺς Γωρίωνά τε Νικομήδους υἱὸν καὶ Ἀνανίαν Σαδδουκὶ καὶ Ἰούδαν Ἰωνάθου, δεξιάς τε καὶ ὅρκους δώσοντας. ὧν γενομένων κατῆγε τοὺς στρατιώτας ὁ Μετίλιος. οἳ δὲ μέχρι μὲν ἦσαν ἐν τοῖς ὅπλοις, οὔτε ἐπεχείρει τις τῶν στασιαστῶν αὐτοῖς οὔτε ἐνέφαινεν ἐπιβουλήν· ὡς δὲ κατὰ τὰς συνθήκας ἅπαντες ἀπέθεντο τοὺς θυρεοὺς καὶ τὰ ξίφη, καὶ μηδὲν ἔτι ὑποπτεύοντες ἀνεχώρουν, ὥρμησαν ἐπ' αὐτοὺς οἱ περὶ τὸν Ἐλεάζαρον, καὶ περισχόντες ἀνήρουν οὔτε ἀμυνομένους οὔτε ἱκετεύοντας, μόνας δὲ τὰς συνθήκας καὶ τοὺς ὅρκους ἀναβοῶντας. καὶ οἳ μὲν οὕτως ὠμῶς ἀπεσφάγησαν ἅπαντες πλὴν Μετιλίου (τοῦτον γὰρ ἱκετεύσαντα καὶ μέχρι περιτομῆς ἰουδαΐσειν ὑποσχόμενον διέσωσαν μόνον), τὸ δὲ πάθος Ῥωμαίοις μὲν ἦν κοῦφον (ἐκ γὰρ ἁπλέτου δυνάμεως ἀπαναλώθησαν ὀλίγοι), Ἰουδαίοις δὲ προοίμιον ἁλώσεως ἔδοξε. καὶ κατιδόντες ἀνηκέστους μὲν ἤδη τὰς αἰτίας τοῦ πολέμου, τὴν δὲ πόλιν τηλικούτῳ μιάσματι πεφυρμένην ἐξ οὗ δαιμόνιόν τι μήνιμα προσδοκᾶν εἰκὸς ἦν, εἰ καὶ μὴ τὴν ἐκ Ῥωμαίων ἄμυναν, ἐπένθουν δημοσίᾳ, καὶ πλήρης μὲν κατηφείας ἦν ἡ πόλις, ἕκαστος δὲ τῶν μετρίων ὡς αὐτὸς ὑπὲρ τῶν στασιαστῶν δίκας δώσων ἐτετάρακτο. καὶ γὰρ δὴ σαββάτῳ συνέβη πραχθῆναι τὸν φόνον, ἐν ᾧ διὰ τὴν θρησκείαν τῶν ὁσίων ἔργων ἔχουσιν ἐκεχειρίαν.

Digitized by Google

τῆς δὲ αὐτῆς ἡμέρας καὶ ὥρας, ὥσπερ ἐκ δαιμο- 18
νίου προνοίας, ἀνῄρουν οἱ Καισαρεῖς τοὺς παρ' αὐτοῖς
Ἰουδαίους, ὡς ὑπὸ μίαν ὥραν ἀποσφαγῆναι μὲν ὑπὲρ
δισμυρίους, κενωθῆναι δὲ πᾶσαν Ἰουδαίων τὴν Καισά-
ρειαν· καὶ γὰρ τοὺς διαφεύγοντας ὁ Φλῶρος συλλαβὼν
κατήγαγε δεσμώτας εἰς τὰ νεώρια. πρὸς δὲ τὴν ἐκ τῆς
Καισαρείας πληγὴν ὅλον τὸ ἔθνος ἐξαγριοῦται, καὶ δια-
μερισθέντες τάς τε κώμας τῶν Σύρων καὶ τὰς προσεχεῖς
ἐπόρθουν πόλεις, Φιλαδέλφειάν τε καὶ Σεβωνῖτιν καὶ
Γέρασαν καὶ Πέλλαν καὶ Σκυθόπολιν. ἔπειτα Γαδά-
οις καὶ Ἵππῳ καὶ τῇ Γαυλανίτιδι προσπεσόντες, καὶ
τὰς μὲν κατασκευάμενοι τὰς δὲ ὑποπρήσαντες, ἐχώ-
ρουν ἐπὶ Κέδασαν τὴν Τυρίων καὶ Πτολεμαΐδα Γά-
βαν τε καὶ Καισάρειαν. ἀντέσχε δὲ οὐδὲ Σεβαστὴ
ταῖς ὁρμαῖς αὐτῶν, οὐδὲ Ἀσκάλων· ἀλλ' ἐπὶ ταύταις
πυρποληθείσαις Ἀνθηδόνα καὶ Γάζαν κατέσκαπτον.
πολλαὶ δὲ περὶ ἑκάστην τούτων τῶν πόλεων ἀνηρπά-
ζοντο κῶμαι, καὶ τῶν ἁλισκομένων ἀνδρῶν φόνος ἦν
ἄπειρος.

οὐ μὴν οἱ Σύροι τῶν Ἰουδαίων ἔλαττον πλῆθος 2
ἀνῄρουν, ἀλλὰ καὶ αὐτοὶ τοὺς ἐν ταῖς πόλεσι λαμβανο-
μένους ἀπέσφαττον οὐ μόνον κατὰ μῖσος, ὡς πρότερον,
ἀλλ' ἤδη καὶ τὸν ἐφ' ἑαυτοῖς κίνδυνον φθάνοντες. δεινὴ
δὲ ὅλην τὴν Συρίαν ἐπέσχε ταραχή, καὶ πᾶσα πόλις εἰς
δύο διῄρητο στρατόπεδα· σωτηρία δὲ τοῖς ἑτέροις ἦν τὸ
τοὺς ἑτέρους φθάσαι. καὶ τὰς μὲν ἡμέρας ἐν αἵματι διῆ-
γον, τὰς δὲ νύκτας δέει χαλεπωτέρας. ἀπεσκευάσθαι
γὰρ τοὺς Ἰουδαίους δοκοῦντες ἕκαστοι τοὺς ἰουδαΐζον-
τας εἶχον ἐν ὑποψίᾳ, καὶ τὸ παρ' ἑκάστοις ἀμφίβολον
οὔτε ἀνελεῖν τις προχείρως ὑπέμενε, καὶ μεμιγμένον
ὡς βεβαίως ἀλλόφυλον ἐφοβεῖτο. προυκαλεῖτο δὲ ἐπὶ τὰς
σφαγὰς τῶν διαφόρων καὶ τοὺς πάλαι πραοτάτους εἶναι

Digitized by Google

δοκοῦντας ἡ πλεονεξία· τὰς γὰρ οὐσίας τῶν ἀναιρεθέντων ἀδεῶς διήρπαζον, καὶ καθάπερ ἐκ παρατάξεως τὰ σκῦλα τῶν ἀνηρημένων εἰς τοὺς σφετέρους οἴκους μετέφερον· ἔνδοξός τε ἦν ὁ πλεῖστα κερδάνας ὡς κατισχύσας πλειόνων. ἦν δὲ ἰδεῖν τὰς πόλεις μεστὰς ἀτάφων σωμάτων, καὶ νεκροὺς ἅμα νηπίοις γέροντας ἐρριμμένους, γύναιά τε μηδὲ τῆς ἐπ' αἰδοῖ σκέπης μετειληφότα, καὶ πᾶσαν μὲν τὴν ἐπαρχίαν μεστὴν ἀδιηγήτων συμφορῶν, μείζονα δὲ τῶν ἑκάστοτε τολμωμένων τὴν ἐπὶ τοῖς ἀπειλουμένοις μετάστασιν.

3 μέχρι μὲν δὴ τούτων Ἰουδαίοις πρὸς τὸ ἀλλόφυλον ἦσαν συμβολαί· κατατρέχοντες δὲ εἰς Σκυθόπολιν τοὺς παρ' ἐκείνοις Ἰουδαίους ἐπειράσαντο πολεμίους· ταξάμενοι γὰρ μετὰ τῶν Σκυθοπολιτῶν, καὶ τῆς ἑαυτῶν ἀσφαλείας ἐν δευτέρῳ θέμενοι τὴν συγγένειαν, ὁμόσε τοῖς ὁμοφύλοις ἐχώρουν. ὑπωπτεύθη δὲ αὐτῶν καὶ τὸ λίαν πρόθυμον. οἱ γοῦν Σκυθοπολῖται δείσαντες μὴ νύκτωρ ἐπιχειρήσωσι τῇ πόλει καὶ μετὰ μεγάλης αὐτῶν συμφορᾶς τοῖς οἰκείοις ἀπολογήσωνται περὶ τῆς ἀποστάσεως, ἐκέλευον αὐτούς, εἰ βούλονται τὴν ὁμόνοιαν βεβαιῶσαι καὶ τὸ πρὸς τοὺς ἀλλοεθνεῖς πιστὸν ἐπιδείξασθαι, μεταβαίνειν ἅμα ταῖς γενεαῖς εἰς τὸ ἄλσος. τῶν δὲ ποιησάντων τὸ προσταχθὲν χωρὶς ὑποψίας, δύο μὲν ἡμέρας ἠρέμησαν οἱ Σκυθοπολῖται, τὴν πίστιν αὐτῶν δελεάζοντες, τῇ δὲ τρίτῃ νυκτὶ παρατηρήσαντες οὓς μὲν ἀφυλάκτους οὓς δὲ κοιμωμένους, πάντας ἀπέσφαξαν, ὄντας τὸν ἀριθμὸν ὑπὲρ μυρίους καὶ τρισχιλίους, τάς τε κτήσεις διήρπασαν ἁπάντων.

4 ἄξιον δὲ ἀφηγήσασθαι καὶ τὸ Σίμωνος πάθος, ὃς υἱὸς μὲν ἦν Σαούλου τινὸς τῶν οὐκ ἀδήμων, ῥώμῃ δὲ σώματος καὶ τόλμῃ διαφέρων ἐπὶ κακῷ τῶν ὁμοφύλων ἀμφοτέροις κατεχρήσατο. προϊὼν γοῦν ὁσημέραι πολ-

Digitized by Google

λοὺς μὲν ἀνῄρει τῶν πρὸς τῇ Σκυθοπόλει Ἰουδαίων, τρεπόμενος δὲ πολλάκις αὐτοὺς πάντας μόνος ἦν ῥοπὴ τῆς παρατάξεως. περιέρχεται δὲ αὐτὸν ἀξία ποινὴ τοῦ συγγενικοῦ φόνου. ἐπεὶ γὰρ περισχόντες οἱ Σκυθοπολῖται κατηκόντιζον αὐτοὺς ἀνὰ τὸ ἄλσος, σπασάμενος τὸ ξίφος ἐπ' οὐδένα μὲν τρέπεται τῶν πολεμίων (καὶ γὰρ ἑώρα τὸ πλῆθος ἀνήνυτον), ἀναβοήσας δὲ μάλα ἐκπαθῶς "ἄξιά γε ὧν ἔδρασα πάσχω, Σκυθοπολῖται, καθ' ὑμῶν, ὅτι τοσούτῳ φόνῳ συγγενῶν τὴν πρὸς αὐτοὺς εὔνοιαν ἐπιστωσάμην. τοιγαροῦν οἷς ἄπιστον μὲν εὐλόγως εὑρηται τὸ ἀλλόφυλον, ἠσέβηται δὲ εἰς ἔσχατα τὸ οἰκεῖον, θνήσκωμεν ὡς ἐναγεῖς χερσὶν ἰδίαις· οὐ γὰρ πρέπον ἦν ταῖς τῶν πολεμίων. τὸ δὲ αὐτὸ ἂν εἴη μοι καὶ ποινὴ τρῦ μιάσματος ἀξία καὶ πρὸς ἀνδρείαν ἔπαινος, ἵνα μηδεὶς τῶν ἐχθρῶν τὴν ἐμὴν αὐχήσῃ σφαγήν, μηδὲ ἐπαλαζονεύσηται πεσόντι." ταῦτα εἰπὼν ἐλεοῦσιν ἅμα καὶ τεθυμωμένοις ὅμμασι περισκέπτεται τὴν ἑαυτοῦ γενεάν· ἦν δὲ αὐτῷ καὶ γυνὴ καὶ τέκνα καὶ γηραιοὶ γονεῖς. ὃ δὲ πρῶτον τὸν πατέρα τῆς πολιᾶς ἐπισπασάμενος διελαύνει τῷ ξίφει, μεθ' ὃν οὐκ ἄκουσαν τὴν μητέρα, καὶ ἐπὶ τούτοις τήν τε γυναῖκα καὶ τὰ τέκνα, μόνον οὐχὶ ὑπαντῶντος ἑκάστου τῷ ξίφει καὶ σπεύδοντος φθάσαι τοὺς πολεμίους. ὃ δὲ διελθὼν πᾶσαν τὴν γενεὰν καὶ περίοπτος ἐπιστὰς τοῖς σώμασι, τήν τε δεξιὰν ἀνατείνας ὡς μηδένα λαθεῖν, ὅλον εἰς τὴν ἑαυτοῦ σφαγὴν ἐβάπτισε τὸ ξίφος, ἄξιος μὲν ἐλέους ὁ νεανίας δι' ἀλκὴν σώματος καὶ ψυχῆς παράστημα, τῆς δὲ πρὸς ἀλλοφύλους πίστεως ἕνεκεν ἀκολούθοις πάθεσι χρησάμενος.

πρὸς δὲ τὴν ἐν Σκυθοπόλει φθορὰν αἱ λοιπαὶ πόλεις ἐπανίσταντο τοῖς καθ' ἑαυτὴν Ἰουδαίοις ἑκάστη, καὶ πεντακοσίους μὲν ἐπὶ δισχιλίοις Ἀσκαλωνῖται, Πτολεμαεῖς δὲ δισχιλίους ἀνεῖλον, ἔθησάν τε οὐκ ὀλίγους.

Digitized by Google

καὶ Τύριοι μὲν συχνοὺς διεχρήσαντο, τὸ πλεῖον δὲ αὐτῶν δεσμώτας ἐφρούρουν· Ἱππηνοί τε καὶ Γαδαρεῖς ὁμοίως τοὺς μὲν θρασυτέρους ἀπεσκευάσαντο, τοὺς δὲ φοβεροὺς διὰ φυλακῆς εἶχον, ἅ τε λοιπαὶ πόλεις τῆς Συρίας, ὅπως ἑκάστη πρὸς τὸ Ἰουδαϊκὸν ἢ μίσους ἢ δέους εἶχον. μόνοι δὲ Ἀντιοχεῖς καὶ Σιδώνιοι καὶ Ἀπαμεῖς ἐφείσαντο τῶν μετοικούντων, καὶ οὔτε ἀνελεῖν τινὰ τῶν Ἰουδαίων ὑπέμειναν οὔτε δῆσαι, τάχα μὲν καὶ διὰ τὸ σφέτερον πλῆθος ὑπερορῶντες αὐτῶν πρὸς τὰ κινήματα, τὸ πλέον δὲ ἔμοιγε δοκεῖ οἰκτῳ πρὸς οὓς οὐδὲν ἑώρων νεωτερίζοντας. Γερασηνοί τε οὔτε εἰς τοὺς ἐμμείναντας ἐπλημμέλησαν, καὶ τοὺς ἐξελθεῖν ἐθελήσαντας προέπεμψαν μέχρι τῶν ὅρων.

6 συνέστη δὲ καὶ κατὰ τὴν Ἀγρίππα βασιλείαν ἐπιβουλὴ κατὰ Ἰουδαίων. αὐτὸς γὰρ ἐπεπόρευτο πρὸς Κέστιον Γάλλον εἰς Ἀντιόχειαν, καταλελοίπει δὲ διοικεῖν τὰ πράγματα τούτου τῶν ἑταίρων τινὰ τοὔνομα Νόαρον, Σοέμῳ τῷ βασιλεῖ προσήκοντα κατὰ γένος. ἦκον δὲ ἐκ τῆς Βαταναίας ἑβδομήκοντα τὸν ἀριθμὸν ἄνδρες, οἱ κατὰ γένος καὶ σύνεσιν τῶν πολιτῶν δοκιμώτατοι, στρατιὰν αἰτοῦντες, ἵνα, εἴ τι γένοιτο κίνημα καὶ περὶ σφᾶς, ἔχοιεν ἀξιόχρεων φυλακὴν κωλύειν τοὺς ἐπανισταμένους. τούτους ὁ Νόαρος, ἐκπέμψας νύκτωρ τῶν βασιλικῶν ὁπλιτῶν τινάς, ἅπαντας ἀναιρεῖ, τολμήσας μὲν τοὔργον δίχα τῆς Ἀγρίππα γνώμης, διὰ δὲ φιλαργυρίαν ἄμετρον εἰς τοὺς ὁμοφύλους ἑλόμενος ἀσεβεῖν τὴν βασιλείαν διέφθειρεν· διετέλει τε ὠμῶς εἰς τὸ ἔθνος παρανομῶν, μέχρι πυθόμενος Ἀγρίππας ἀνελεῖν μὲν αὐτὸν ἠδέσθη διὰ Σόεμον, ἔπαυσε δὲ τῆς ἐπιτροπῆς. οἱ δὲ στασιασταὶ καταλαβόμενοι φρούριον ὃ καλεῖται μὲν Κύπρος, καθύπερθε δὲ ἦν Ἱεριχοῦντος, τοὺς μὲν φρουροὺς ἀπέσφαξαν, τὰ δὲ ἐρύματα κατέρριψαν εἰς γῆν.

Digitized by Google

κατὰ δὲ τὰς αὐτὰς ἡμέρας καὶ τῶν ἐν Μαχαιροῦντι Ἰουδαίων τὸ πλῆθος ἔπειθον τοὺς φρουροῦντας Ῥωμαίους ἐκλείπειν τὸ χωρίον καὶ παραδιδόναι σφίσιν. οἱ δὲ τὴν ἐκ βίας ἀφαίρεσιν εὐλαβηθέντες συντίθενται πρὸς αὐτοὺς ἐκχωρήσειν ὑπόσπονδοι, καὶ λαβόντες τὰ πιστὰ παραδιδόασι τὸ φρούριον, ὅπερ φυλακῇ κρατυνάμενοι κατεῖχον οἱ Μαχαιρῖται.

κατὰ δὲ τὴν Ἀλεξάνδρειαν ἀεὶ μὲν ἦν στάσις πρὸς τὸ Ἰουδαϊκὸν τοῖς ἐπιχωρίοις ἀφ' οὗ χρησάμενος προθυμοτάτοις κατὰ τῶν Αἰγυπτίων Ἰουδαίοις Ἀλέξανδρος γέρας τῆς συμμαχίας ἔδωκε τὸ μετοικεῖν κατὰ τὴν πόλιν ἐξ ἰσοτιμίας πρὸς Ἕλληνας. διέμεινε δὲ αὐτοῖς ἡ τιμὴ καὶ παρὰ τῶν διαδόχων, οἳ καὶ τόπον ἴδιον αὐτοῖς ἀφώρισαν, ὅπως καθαρωτέραν ἔχοιεν τὴν δίαιταν, ἧττον ἐπιμισγομένων τῶν ἀλλοφύλων, καὶ χρηματίζειν ἐπέτρεψαν Μακεδόνας. ἐπεί τε Ῥωμαῖοι κατεκτήσαντο τὴν Αἴγυπτον, οὔτε Καῖσαρ ὁ πρῶτος οὔτε τῶν μετ' αὐτόν τις ὑπέμεινε τὰς ἀπὸ Ἀλεξάνδρου τιμὰς Ἰουδαίων ἐλαττῶσαι. συμβολαὶ δὲ ἦσαν αὐτῶν ἀδιάλειπτοι πρὸς τοὺς Ἕλληνας, καὶ τῶν ἡγεμόνων πολλοὺς ὁσημέραι παρ' ἀμφοῖν κολαζόντων ἡ στάσις μᾶλλον παρωξύνετο. τότε δὲ ὡς καὶ παρὰ τοῖς ἄλλοις ἐτετάρακτο, μᾶλλον ἐξήφθη τὰ παρ' ἐκείνοις. καὶ δὴ τῶν Ἀλεξανδρέων ἐκκλησιαζόντων περὶ ἧς ἔμελλον ἐκπέμπειν πρεσβείας ἐπὶ Νέρωνα, συνερρύησαν μὲν εἰς τὸ ἀμφιθέατρον ἅμα τοῖς Ἕλλησι σὺχνοὶ Ἰουδαίων, κατιδόντες δὲ αὐτοὺς οἱ διάφοροι παραχρῆμα ἀνεβόων πολεμίους καὶ κατασκόπους λέγοντες, ἔπειτα ἀναπηδήσαντες ἐπέβαλλον τὰς χεῖρας αὐτοῖς. οἱ μὲν οὖν λοιποὶ φεύγοντες διεφθάρησαν, τρεῖς δὲ ἄνδρας συλλαβόντες ἔσυρον ὡς ζῶντας καταφλέξοντες. ἤρθη δὲ πᾶν τὸ Ἰουδαϊκὸν ἐπὶ τὴν ἄμυναν. καὶ τὸ μὲν πρῶτον λίθοις τοὺς Ἕλληνας

Digitized by Google

ἔβαλλον, αὖθις δὲ λαμπάδας ἁρπασάμενοι πρὸς τὸ ἀμφιθέατρον ὥρμησαν, ἀπειλοῦντες καταφλέξειν ἐν αὐτῷ τὸν δῆμον αὖτανδρον. κἂν ἔφθησαν τοῦτο δράσαντες, εἰ μὴ τοὺς θυμοὺς αὐτῶν ἀνέκλυψε Τιβέριος Ἀλέξανδρος ὁ τῆς πόλεως ἡγεμών. οὐ μὴν οὗτός γε ἀπὸ τῶν ὅπλων ἤρξατο σωφρονίζειν, ἀλλ' ὑποπέμψας τοὺς γνωρίμους αὐτοῖς παύσασθαι παρεκάλει καὶ μὴ καθ' ἑαυτῶν ἐρεθίζειν τὸ τῶν Ῥωμαίων στράτευμα. καταχλευάζοντες δὲ τῆς παρακλήσεως οἱ στασιῶδεις ἐβλασφήμουν τὸν Τι-
8 βέριον. κἀκεῖνος συνιδὼν ὡς χωρὶς μεγάλης συμφορᾶς οὐκ ἂν παύσαιντο νεωτερίζοντες, ἐπαφίησιν αὐτοῖς τὰ κατὰ τὴν πόλιν Ῥωμαίων δύο τάγματα καὶ σὺν αὐτοῖς πεντακισχιλίους στρατιώτας κατὰ τύχην παρόντας εἰς τὸν Ἰουδαίων ὄλεθρον ἐκ Λιβύης. ἐπέτρεψε δὲ οὐ μόνον ἀναιρεῖν, ἀλλὰ καὶ τὰς κτήσεις αὐτῶν διαρπάζειν καὶ τὰς οἰκίας καταφλέγειν. οἱ δὲ ὁρμήσαντες εἰς τὸ καλούμενον Δέλτα (συνῴκιστο γὰρ ἐκεῖ τὸ Ἰουδαϊκόν) ἐτέλουν τὰς ἐντολάς, οὐ μὴν ἀναιμωτί. συστραφέντες γὰρ οἱ Ἰουδαῖοι, καὶ τοὺς ἄμεινον ὡπλισμένους ἑαυτῶν προταξάμενοι, μέχρι πλείστου μὲν ἀντέσχον, ἅπαξ δ' ἐγκλίναντες ἀνέδην διεφθείροντο· καὶ παντελὴς ἦν αὐτῶν ὄλεθρος, τῶν μὲν ἐν τῷ πεδίῳ καταλαμβανομένων, τῶν δὲ εἰς τὰς οἰκίας συνωθουμένων. ὑπεπίμπρασαν δὲ καὶ ταύτας οἱ Ῥωμαῖοι, προδιαρπάζοντες τὰ ἔνδον. καὶ οὔτε νηπίων ἔλεος αὐτοῖς οὔτε αἰδὼς εἰσήει γερόντων, ἀλλὰ διὰ πάσης ἡλικίας ἐχώρουν κτείνοντες, ὡς ἐπικλυσθῆναι μὲν αἵματι πάντα τὸν χῶρον, πέντε δὲ μυριάδας σωρευθῆναι νεκρῶν. περιελείφθη δ' ἂν οὐδὲ τὸ λοιπόν, εἰ μὴ πρὸς ἱκετείαν ἐτράποντο. κατοικτειρήσας δὲ αὐτοὺς Ἀλέξανδρος ἀναχωρεῖν τοὺς Ῥωμαίους ἐκέλευσεν· καὶ οἱ μὲν ἐξ ἔθους ἔχοντες τὸ πειθήνιον ἅμα νεύματι τοῦ φονεύειν ἐπαύ-

Digitized by Google

σαντο, τὸ δημοτικὸν δὲ τῶν Ἀλεξανδρέων δι' ὑπερβολὴν μίσους δυσανάκλητον ἦν καὶ μόλις ἀπεσπᾶτο τῶν σωμάτων.

τοιοῦτο μὲν τὸ κατὰ τὴν Ἀλεξάνδρειαν πάθος 9
συνηνέχθη· Κεστίῳ δὲ οὐκέτι ἠρεμεῖν ἐδόκει, παντα-
χοῦ τῶν Ἰουδαίων ἐκπεπολεμωμένων. ἀναλαβὼν
δὲ ἀπὸ τῆς Ἀντιοχείας τὸ μὲν δωδέκατον τάγμα πλῆ-
ρες, ἀπὸ δὲ τῶν λοιπῶν ἀνὰ δισχιλίους ἐπιλέκτους,
πεζῶν δὲ ἓξ σπείρας καὶ τέσσαρας ἴλας ἱππέων, πρὸς
αἷς τὰς παρὰ τῶν βασιλέων συμμαχίας, Ἀντιόχου μὲν
δισχιλίους ἱππεῖς καὶ πεζοὺς τρισχιλίους, τοξότας πάν-
τας, Ἀγρίππα δὲ πεζοὺς μὲν τοὺς ἴσους ἱππεῖς δὲ δισ-
χιλίων ἐλάττους (εἵπετο δὲ καὶ Σόεμος μετὰ τετρα-
κισχιλίων, ὧν ἦσαν ἱππεῖς ἡ τρίτη μοῖρα, καὶ τὸ πλέον
τοξόται), προῆλθεν εἰς Πτολεμαΐδα. πλεῖστοι δὲ καὶ ἐκ
τῶν πόλεων ἐπίκουροι συνελέγησαν, ἐμπειρίᾳ μὲν ἡττ-
ώμενοι τῶν στρατιωτῶν, ταῖς δὲ προθυμίαις καὶ τῷ
κατὰ Ἰουδαίων μίσει τὸ λεῖπον ἐν ταῖς ἐπιστήμαις
ἀναπληροῦντες. συμπαρῆν δὲ καὶ αὐτὸς Ἀγρίππας
Κεστίῳ, τῆς τε ὁδοῦ καὶ τῶν συμφερόντων ἐξηγούμε-
νος. ἀναλαβὼν δὲ μέρος τῆς δυνάμεως Κέστιος ὥρ-
μησεν ἐπὶ πόλιν καρτερὰν τῆς Γαλιλαίας Ζαβουλών, ἣ
καλεῖται ἀνδρῶν, διορίζει δὲ ἀπὸ τοῦ ἔθνους τὴν Πτο-
λεμαΐδα. καταλαβὼν δὲ αὐτὴν ἔρημον μὲν ἀνδρῶν
(ἀναπεφεύγει γὰρ τὸ πλῆθος εἰς τὰ ὄρη) πλήρη δὲ
παντοίων κτημάτων, τὰ μὲν ἐφῆκε τοῖς στρατιώταις
διαρπάζειν, τὸ δὲ ἄστυ, καίτοι θαυμάσας τοῦ κάλλους
ἔχον τὰς οἰκίας ὁμοίως ταῖς ἐν Τύρῳ καὶ Σιδῶνι καὶ Βη-
ρυτῷ δεδομημένας, ἐνέπρησεν· ἔπειτα τὴν χώραν κατα-
δραμών, καὶ διαρπάσας μὲν πᾶν τὸ προσπῖπτον κατα-
φλέξας δὲ τὰς πέριξ κώμας, ὑπέστρεφεν εἰς τὴν Πτο-
λεμαΐδα. πρὸς δὲ ταῖς ἁρπαγαῖς ἔτι τῶν Σύρων ὄντων,

Digitized by Google

καὶ τὸ πλέον Βηρυτίων, ἀναθαρσήσαντες οἱ Ἰουδαῖοι (καὶ γὰρ ἀποκεχωρηκότα συνίεσαν Κέστιον) τοῖς ἀπολειφθεῖσιν ἀδοκήτως ἐπέπεσον καὶ περὶ δισχιλίους αὐτῶν διέφθειραν.

10 ὁ δὲ Κέστιος ἀναζεύξας ἀπὸ τῆς Πτολεμαΐδος αὐτὸς μὲν εἰς Καισάρειαν ἀφικνεῖται, μοῖραν δὲ τῆς στρατιᾶς προέπεμψεν εἰς Ἰόπην, προστάξας, εἰ μὲν καταλαβέσθαι δυνηθεῖεν τὴν πόλιν, φρουρεῖν, εἰ δὲ προαίσθοιντο τὴν ἔφοδον, περιμένειν αὐτόν τε καὶ τὴν ἄλλην δύναμιν. τῶν δὲ οἱ μὲν κατὰ θάλασσαν οἱ δὲ κατὰ γῆν ἐπειχθέντες, ἀμφοτέρωθεν αἱροῦσι τὴν πόλιν ῥᾳδίως· καὶ μηδὲ φυγεῖν φθασάντων τῶν οἰκητόρων, οὐχ ὅπως παρασκευάσασθαι πρὸς μάχην, ἐμπεσόντες ἅπαντας ἀνεῖλον σὺν ταῖς γενεαῖς, καὶ τὴν πόλιν διαρπάσαντες ἐνέπρησαν. ὁ δὲ ἀριθμὸς τῶν φονευθέντων τετρακόσιοι πρὸς ὀκτακισχιλίοις. ὁμοίως δὲ καὶ εἰς τὴν ὅμορον τῆς Καισαρείας Ναρβατηνὴν τοπαρχίαν ἔπεμψε συχνοὺς τῶν ἱππέων, οἳ τήν τε γῆν ἔτεμον καὶ πολὺ πλῆθος διέφθειραν τῶν ἐπιχωρίων, τάς τε κτήσεις διήρπασαν, καὶ τὰς κώμας κατέφλεξαν.

11 εἰς δὲ τὴν Γαλιλαίαν ἔστειλε Κέστιος Γάλλον ἡγεμόνα τοῦ δωδεκάτου τάγματος, παραδοὺς δύναμιν ὅσην ἀρκέσειν πρὸς τὸ ἔθνος ὑπελάμβανεν. τοῦτον ἡ καρτερωτάτη τῆς Γαλιλαίας πόλις Σέπφωρις μετ' εὐφημίας δέχεται, καὶ πρὸς τὴν ταύτης εὐβουλίαν αἱ λοιπαὶ πόλεις ἠρέμουν. τὸ δὲ στασιῶδες καὶ [illegible]στρικὸν πᾶν ἔφυγεν εἰς τὸ μεσαίτατον τῆς Γαλιλαίας ὄρος, ὃ κεῖται μὲν ἄντικρυς τῆς Σεπφώρεως, καλεῖται δὲ Ἀσαμών. τούτοις ὁ Γάλλος ἐπῆγε τὴν δύναμιν. οἳ δὲ ἕως μὲν ἦσαν ὑπερδέξιοι, ῥᾳδίως τοὺς Ῥωμαίους ἔβαλλον προσιόντας, καὶ πρὸς διακοσίους αὐτῶν ἀνεῖλον· περιελθόντων δὲ καὶ γενομένων ἐν τοῖς ὑψηλοτέροις ἡτ-

Digitized by Google

τῶντο ταχέως, καὶ οὔτε γυμνῆται τοὺς ὁπλίτας συστάδην ἔφερον, οὔτε ἐν τῇ τροπῇ τοὺς ἱππεῖς ἐξέφυγον, ὥστε ὀλίγους μὲν ἐν ταῖς δυσχωρίαις διαλαθεῖν, ἀναιρεθῆναι δὲ ὑπὲρ δισχιλίους.

Γάλλος μὲν οὖν ὡς οὐδὲν ἔτι ἑώρα κατὰ τὴν Γα- 19
λιλαίαν νεωτεριζόμενον, ὑπέστρεφε μετὰ τῆς στρατιᾶς εἰς Καισάρειαν· Κέστιος δὲ μετὰ πάσης τῆς δυνάμεως ἀναζεύξας ἐνέβαλεν εἰς Ἀντιπατρίδα, καὶ πυθόμενος ἔν τινι πύργῳ Ἀφεκοῦ καλουμένῳ συνηθροῖσθαι Ἰουδαίων δύναμιν οὐκ ὀλίγην, προύπεμψε τοὺς συμβαλοῦντας. οἳ δέ, πρὶν εἰς χεῖρας ἐλθεῖν, δέει τοὺς Ἰουδαίους διεσκέδασαν, ἐπελθόντες δὲ ἔρημον τὸ στρατόπεδον καὶ τὰς πέριξ κώμας ἐνέπρησαν. ἀπὸ δὲ τῆς Ἀντιπατρίδος Κέστιος εἰς Λύδδα προελθὼν κενὴν ἀνδρῶν τὴν πόλιν καταλαμβάνει· διὰ γὰρ τὴν τῆς σκηνοπηγίας ἑορτὴν ἀναβεβήκει πᾶν τὸ πλῆθος εἰς Ἱεροσόλυμα. πεντήκοντα δὲ τῶν παραφανέντων διαφθείρας καὶ τὸ ἄστυ κατακαύσας ἐχώρει πρόσω, καὶ διὰ Βαιθωρῶν ἀναβὰς στρατοπεδεύεται κατά τινα χῶρον Γαβαὼ καλούμενον, ἀπέχοντα τῶν Ἱεροσολύμων πεντήκοντα σταδίους.

οἱ δὲ Ἰουδαῖοι κατιδόντες ἤδη πλησιάζοντα τῇ μη- 2
τροπόλει τὸν πόλεμον, ἀφέμενοι τῆς ἑορτῆς ἐχώρουν ἐπὶ τὰ ὅπλα, καὶ μέγα τῷ πλήθει θαρροῦντες ἄτακτοι καὶ μετὰ κραυγῆς ἐξεπήδων ἐπὶ τὴν μάχην, μηδὲ τῆς ἀργῆς ἑβδομάδος ἔννοιαν λαβόντες· ἦν γὰρ δὴ τὸ μάλιστα παρ' αὐτοῖς θρησκευόμενον σάββατον. ὁ δὲ ἐκσείσας αὐτοὺς τῆς εὐσεβείας θυμὸς ἐποίησε πλεονεκτῆσαι καὶ κατὰ τὴν μάχην. μετὰ τοιαύτης γοῦν ὁρμῆς τοῖς Ῥωμαίοις προσέπεσον ὡς διαρρῆξαι τὰς τάξεις αὐτῶν καὶ διὰ μέσων χωρεῖν ἀναιροῦντας. εἰ δὲ μὴ τῷ χαλασθέντι τῆς φάλαγγος οἵ τε ἱππεῖς ἐκπεριελθόν-

Digitized by Google

τες ἐπήμυναν καὶ τῶν πεζῶν τὸ μὴ σφόδρα καμόν, κἂν ἐκινδύνευσεν ὅλῃ τῇ δυνάμει Κέστιος. ἀπέθανον δὲ Ῥωμαίων πεντακόσιοι δεκαπέντε (τούτων ἦσαν οἱ τετρακόσιοι πεζοί, τὸ δὲ λοιπὸν ἱππεῖς), τῶν δὲ Ἰουδαίων δύο πρὸς τοῖς εἴκοσι. γενναιότατοι δὲ αὐτῶν ἔδοξαν οἱ Μονοβάζου τοῦ τῆς Ἀδιαβηνῆς βασιλέως συγγενεῖς, Μονόβαζός τε καὶ Κενεδαῖος, μεθ' οὓς ὁ Περαΐτης Νίγερ καὶ Σίλας ὁ Βαβυλώνιος, αὐτομολήσας εἰς τοὺς Ἰουδαίους ἀπὸ Ἀγρίππα τοῦ βασιλέως· ἐστρατεύετο γὰρ παρ' αὐτῷ. κατὰ πρόσωπον μὲν οὖν ἀνακοπέντες οἱ Ἰουδαῖοι πρὸς τὴν πόλιν ὑπέστρεφον, κατόπιν δὲ τοῖς Ῥωμαίοις ἐπὶ τὴν Βαιθωρῶν ἀνιοῦσι προσπεσὼν ὁ τοῦ Γιώρα Σίμων πολὺ τῆς οὐραγίας ἐσπάραξε, καὶ συχνὰ τῶν σκευοφόρων ἐξαρπάσας ἤγαγεν εἰς τὴν πόλιν. μένοντος δὲ τοῦ Κεστίου κατὰ χώραν τρισὶν ἡμέραις, οἱ Ἰουδαῖοι τὰ μετέωρα κατειληφότες ἐπετήρουν τὰς παρόδους, δῆλοί τε ἦσαν οὐκ ἠρεμήσοντες ἀρξαμένων τῶν Ῥωμαίων ὁδεύειν.

3 ἔνθα δὴ κατιδὼν Ἀγρίππας οὐδὲ τὰ Ῥωμαίων ἀκίνδυνα πλήθους ἀπείρου πολεμίων τὰ ὄρη περιέχοντος, ἔκρινεν ἀποπειραθῆναι τῶν Ἰουδαίων λόγοις· ἢ γὰρ πάντας πείσειν καταθέσθαι τὸν πόλεμον, ἢ τῶν ἐναντίων ἀποστήσειν τὸ μὴ συμφρονοῦν. ἔπεμψεν οὖν τῶν παρ' ἑαυτῷ τοὺς μάλιστα γνωρίμους ἐκείνοις, Βορκαῖόν τε καὶ Φοῖβον, δεξιάς τε παρὰ Κεστίου καὶ συγγνώμην παρὰ Ῥωμαίων ἀσφαλῆ περὶ τῶν ἡμαρτημένων ὑπισχνούμενος, εἰ τὰ ὅπλα ῥίψαντες πρὸς αὐτοὺς μεταβάλοιντο. δείσαντες δὲ οἱ στασιασταὶ μὴ πᾶν τὸ πλῆθος ἀδείας ἐλπίδι πρὸς τὸν Ἀγρίππαν μεταβάληται, τοὺς ἀπ' αὐτοῦ πρεσβεύοντας ὥρμησαν ἀνελεῖν. καὶ πρὶν ἢ φθέγξασθαι τὸν μὲν Φοῖβον διέφθειραν, ὁ δὲ Βορκαῖος τρωθεὶς ἔφθη διαφυγεῖν· τοῦ δήμου δὲ τοὺς

Digitized by Google

ἐπαγανακτήσαντας λίθοις καὶ ξύλοις παίοντες εἰς τὸ ἄστυ συνήλασαν.

Κέστιος δὲ τὴν πρὸς ἀλλήλους αὐτῶν ταραχὴν εὔκαιρον ἰδὼν εἰς ἐπίθεσιν, ἅπασαν ἐπῆγε τὴν δύναμιν, καὶ τραπέντας μέχρις Ἱεροσολύμων κατεδίωξεν. στρατοπεδευσάμενος δὲ ἐπὶ τοῦ καλουμένου Σκοποῦ (διέχει δὲ οὗτος ἑπτὰ τῆς πόλεως σταδίους), τρισὶ μὲν ἡμέραις οὐκ ἐπεχείρει τῇ πόλει, τάχα τι παρὰ τῶν ἔνδον ἐνδοθήσεσθαι προσδοκῶν, εἰς δὲ τὰς πέριξ κώμας ἐφ' ἁρπαγὴν σίτου πολλοὺς διαφῆκε τῶν στρατιωτῶν· τῇ τετάρτῃ δέ, ἥτις ἦν τριακὰς Ὑπερβερεταίου μηνός, διατάξας τὴν στρατιὰν εἰσήγαγεν εἰς τὴν πόλιν. ὁ μὲν οὖν δῆμος ὑπὸ τοῖς στασιασταῖς ἔμφρουρος ἦν· οἱ δὲ στασιασταὶ τὴν εὐταξίαν τῶν Ῥωμαίων καταπλαγέντες τῶν μὲν ἔξω τῆς πόλεως μερῶν εἶκον, εἰς δὲ τὴν ἐνδοτέρω καὶ τὸ ἱερὸν ἀνεχώρουν. Κέστιος δὲ παρελθὼν ὑπεμπίπρησι τήν τε Βεζεθὰν προσαγορευομένην καὶ τὴν Καινόπολιν καὶ τὸ καλούμενον Δοκῶν ἀγοράν· ἔπειτα πρὸς τὴν ἄνω πόλιν ἐλθὼν ἀντικρὺ τῆς βασιλικῆς αὐλῆς ἐστρατοπεδεύετο. κἂν εἴπερ ἠθέλησε κατ' αὐτὴν ἐκείνην τὴν ὥραν ἐντὸς τῶν τειχῶν βιάσασθαι, παραυτίκα τὴν πόλιν ἔσχε καὶ τὸν πόλεμον συνέβη καταλελύσθαι. ἀλλὰ γὰρ ὅ τε στρατοπεδάρχης Τυράννιος Πρίσκος καὶ τῶν ὑπάρχων οἱ πλεῖστοι χρήμασιν ὑπὸ Φλώρου δεκασθέντες ἀπέστρεψαν αὐτὸν τῆς ἐπιχειρήσεως· καὶ παρὰ τὴν αἰτίαν ταύτην ὅ τε πόλεμος ἐπὶ τοσοῦτον μῆκος προύβη καὶ Ἰουδαίους ἀνηκέστων συμφορῶν ἀναπλησθῆναι συνέπεσεν. 4

ἐν δὲ τούτῳ πολλοὶ τῶν γνωρίμων δημοτῶν, Ἀνάνῳ τῷ Ἰωνάθου παισὶ πεισθέντες, ἐκάλουν τὸν Κέστιον ὡς ἀνοίξοντες αὐτῷ τὰς πύλας. ὃ δὲ καὶ πρὸς ὀργὴν ὑπεριδὼν καὶ μὴ πάνυ πιστεύσας διεμέλλησεν, 5

Digitized by Google

ἕως οἱ στασιασταὶ τὴν προδοσίαν αἰσθόμενοι τοὺς μὲν περὶ τὸν Ἄνανον ἀπὸ τοῦ τείχους κατέβαλον καὶ λίθοις παίοντες συνήλασαν εἰς τὰς οἰκίας, αὐτοὶ δὲ διαστάντες ἐπὶ τῶν πύργων τοὺς ἀποπειρωμένους τοῦ τείχους ἔβαλλον. πέντε μὲν οὖν ἡμέραις πάντοθεν ἐπιχειροῦσι τοῖς Ῥωμαίοις ἀμήχανος ἦν ἡ προσβολή· τῇ δὲ ἐπιούσῃ ἀναλαβὼν ὁ Κέστιος τῶν τε ἐπιλέκτων συχνοὺς καὶ τοὺς τοξότας κατὰ τὸ προσάρκτιον ἐπιχειρεῖ κλίμα τῷ ἱερῷ. Ἰουδαῖοι δὲ ἀπὸ τῆς στοᾶς εἶργον, καὶ πολλάκις μὲν ἀπεκρούσαντο τοὺς τῷ τείχει προσελθόντας, τέλος δὲ τῷ πλήθει τῶν βελῶν ἀνακοπέντες ὑπεχώρησαν. τῶν δὲ Ῥωμαίων οἱ πρῶτοι τοὺς θυρεοὺς εἰς τὸ τεῖχος ἐξερείσαντες, καὶ κατὰ τούτων οἱ κατόπιν ἄλλους, οἵ τε ἑξῆς ὁμοίως, τὴν καλουμένην παρ' αὐτοῖς χελώνην ἐφράξαντο, καθ' ἧς τὰ βέλη φερόμενα περιωλίσθανεν ἄπρακτα, μηδὲν δὲ οἱ στρατιῶται κακούμενοι τὸ τεῖχος ὑπώρυσσον καὶ τοῦ ἱεροῦ τὴν πύλην ὑποπιμπράναι παρεσκευάζοντο.. δεινὴ δὲ τοὺς στασιαστὰς ἔκπληξις κατέλαβεν· ἤδη δὲ πολλοὶ διεδίδρασκον ἀπὸ τῆς πόλεως ὡς ἁλωσομένης αὐτίκα. τὸν δὲ δῆμον συνέβαινεν ἐπὶ τούτοις θαρρεῖν, καὶ καθὸ παρείκοιεν οἱ πονηροί, προσῄεσαν αὐτοὶ τὰς πύλας ἀνοίξοντες καὶ δεξόμενοι τὸν Κέστιον ὡς εὐεργέτην· ὃς εἰ βραχὺ τῇ πολιορκίᾳ προσελιπάρησε, κἂν εὐθέως τὴν πόλιν παρέλαβεν. ἀλλ' οἶμαι διὰ τοὺς πονηροὺς ἀπεστραμμένος ὁ θεὸς ἤδη καὶ τὰ ἅγια τέλος λαβεῖν ἐπ' ἐκείνης τῆς ἡμέρας ἐκώλυσε τὸν πόλεμον. ὁ γοῦν Κέστιος οὔτε τὴν τῶν πολιορκουμένων ἀπόγνωσιν οὔτε τὸ φρόνημα τοῦ δήμου συνιδών,[1] ἐξαίφνης ἀνεκάλεσε τοὺς στρατιώτας, καὶ καταγνοὺς ἐπ' οὐδεμιᾷ πληγῇ τῶν ἐλπίδων παραλογώτατα ἀπὸ τῆς πόλεως ἀνέζευξεν. πρὸς δὲ τὴν ἀδόκητον αὐτοῦ τροπὴν ἀναθαρρήσαντες οἱ λῃσταὶ

Digitized by Google

κατὰ τῶν ὑστάτων ἐξέδραμον, καὶ συχνοὺς τῶν ἱππέων καὶ πεζῶν διέφθειραν.

τότε μὲν οὖν ἐν τῷ κατὰ τὸν Σκοπὸν στρατοπέδῳ αὐλίζεται Κέστιος, τῇ δὲ ἐπιούσῃ προσωτέρω χωριζόμενος μᾶλλον ἐξεκαλέσατο τοὺς πολεμίους· καὶ τοὺς ὑστάτους αὐτῶν προσκείμενοι διέφθειρον, καθ' ἕτερον δὲ τῆς ὁδοῦ προσιόντες ἠκόντιζον εἰς πλαγίους. οὔτε δὲ ἐπιστραφῆναι πρὸς τοὺς κατόπιν τιτρώσκοντας ἐθάρρουν οἱ τελευταῖοι, ἄπειρόν τι πλῆθος οἰόμενοι διώκειν, καὶ τοὺς κατὰ πλευρὰν ἐγκειμένους ἀναστέλλειν οὐχ ὑπέμενον, αὐτοὶ μὲν ὄντες βαρεῖς καὶ δεδοικότες τὴν τάξιν διασπᾶν, τοὺς δὲ Ἰουδαίους ὁρῶντες κούφους καὶ πρὸς τὰς ἐπιδρομὰς εὐκόλους, ὥστε συνέβαινεν αὐτοῖς πολλὰ κακοῦσθαι μηδὲν ἀντιβλάπτουσι τοὺς ἐχθρούς. παρ' ὅλην δὲ τὴν ὁδὸν παιόμενοι καὶ τῆς φάλαγγος ἐκσειόμενοι κατέπιπτον, μέχρι πολλῶν διαφθαρέντων, ἐν οἷς ἦν Πρίσκος μὲν στρατάρχης τάγματος ἕκτου, Λογγῖνος δὲ χιλίαρχος, ἔπαρχος δὲ ἴλης Αἰμίλιος Ἰουκοῦνδος ὄνομα, μόλις εἰς Γαβαὼ κατήντησαν ἐπὶ τὸ πρότερον στρατόπεδον, τὰ πολλὰ καὶ τῶν σκευῶν ἀποβαλόντες. ἔνθα δύο μὲν ἡμέρας ἐπέμεινεν ὁ Κέστιος, ἀμηχανῶν ὅ τι χρὴ ποιεῖν, τῇ τρίτῃ δὲ πολλῷ πλείους τοὺς πολεμίους θεασάμενος καὶ πάντα τὰ κύκλῳ μεστὰ Ἰουδαίων, ἔγνω καθ' ἑαυτοῦ τε βραδύνας, καὶ ἐὰν ἔτι μείνῃ πλείοσι χρησόμενος ἐχθροῖς.

ἵνα δὴ συντονωτέρᾳ χρήσαιτο φυγῇ, τὰ τὴν στρα- 8
τιὰν ἀνθέλκοντα περικόπτειν προσέταξε. διαφθαρέντων δὲ τῶν τε ὀρέων καὶ τῶν ὑποζυγίων, πλὴν ὅσα βέλη παρεκόμιζε καὶ μηχανάς (τούτων γὰρ διὰ τὴν χρείαν περιεῖχοντο, καὶ μάλιστα δεδοικότες μὴ Ἰουδαίοις κατ' αὐτῶν ἁλῷ), προῆγε τὴν δύναμιν ἐπὶ Βαιθώρας. οἱ δὲ Ἰουδαῖοι κατὰ μὲν τὰς εὐρυχωρίας ἧττον

Digitized by Google

ἐπέκειντο, συνειληθέντων δὲ εἰς τὴν κατὰ τὰ στενὰ κατάβασιν, οἱ μὲν φθάσαντες εἶργον αὐτοὺς τῆς ἐξόδου, ἄλλοι δὲ τοὺς ὑστάτους κατεῴθουν εἰς τὴν φάραγγα· τὸ δὲ πᾶν πλῆθος παρεκταθὲν ὑπὲρ τὸν αὐχένα τῆς ὁδοῦ κατεκάλυπτε τὴν φάλαγγα τοῖς βέλεσιν. ἔνθα καὶ τῶν πεζῶν ἀμηχανούντων προσαμύνειν ἑαυτοῖς ἐπισφαλέστερος τοῖς ἱππεῦσιν ὁ κίνδυνος ἦν· οὔτε γὰρ ἐν τάξει κατὰ τῆς ὁδοῦ βαδίζειν ἐδύναντο βαλλόμενοι, καὶ τὸ πρόσαντες ἐπὶ τοὺς πολεμίους ἱππάσιμον οὐκ ἦν, τὸ δὲ ἐπὶ θάτερα κρημνοὶ καὶ φάραγγες, εἰς οὓς ἀποσφαλέντες κατεφέροντο. καὶ οὔτε φυγῆς τόπον οὔτε ἀμύνης εἶχον ἐπίνοιαν, ἀλλ' ὑπ' ἀμηχανίας ἐπ' οἰμωγὴν ἐτράποντο καὶ τοὺς ἐν ἀπογνώσεσιν ὀδυρμούς· ἀντήχει δὲ αὐτοῖς τὸ παρὰ Ἰουδαίων ἐγκέλευσμα καὶ κραυγὴ χαιρόντων ἅμα καὶ τεθυμωμένων. ὀλίγου δὲ δεῖν πᾶσαν ἂν ἥρπασαν τὴν ἅμα Κεστίῳ δύναμιν, εἰ μὴ νὺξ ἐπέλαβεν, ἐν ᾗ Ῥωμαῖοι μὲν εἰς τὴν Βαιθώραν κατέφυγον, Ἰουδαῖοι δὲ πάντα τὰ κύκλῳ περισχόντες ἐφρούρουν αὐτῶν τὴν ἔξοδον.

9 ἔνθα δὴ Κέστιος τὴν φανερὰν ὁδὸν ἀπογνοὺς δρασμὸν ἐβουλεύετο, καὶ διακρίνας τοὺς εὐψυχοτάτους στρατιώτας ὡσεὶ τετρακοσίους ἐπέστησε τοῖς ὀχυρώμασι, προστάξας ἀναβάντας σημαίας τῶν ἐν τοῖς στρατοπέδοις φυλάκων ἱστᾶν, ὅπως οἱ Ἰουδαῖοι πᾶσαν οἴωνται τὴν δύναμιν κατὰ χώραν μένειν· αὐτὸς δὲ τοὺς λοιποὺς ἀναλαβὼν ἡσυχῇ τριάκοντα πρόεισι σταδίους. ἔωθεν δὲ Ἰουδαῖοι κατιδόντες ἔρημον τὴν ἔπαυλιν αὐτῶν, ἐπὶ τοὺς ἐξαπατήσαντας τετρακοσίους ἔδραμον, κἀκείνους μὲν ταχέως κατηκόντισαν, ἐδίωκον δὲ τὸν Κέστιον. ὃ δὲ τῆς τε νυκτὸς οὐκ ὀλίγον προειλήφει καὶ συντονώτερον ἔφευγε μεθ' ἡμέραν, ὥστε τοὺς στρατιώτας ὑπ' ἐκπλήξεως καὶ δέους τάς τε ἐλεπόλεις καὶ

Digitized by Google

τοὺς ὀξυβελεῖς καὶ τὰ πολλὰ τῶν ἄλλων ὀργάνων καταλιπεῖν, ἃ τότε Ἰουδαῖοι λαβόντες αὖθις ἐχρήσαντο κατὰ τῶν ἀφέντων. προῆλθον δὲ τοὺς Ῥωμαίους διώκοντες μέχρις Ἀντιπατρίδος. ἔπειτα ὡς οὐ κατελάμβανον, ὑποστρέφοντες τάς τε μηχανὰς ἦρον καὶ τοὺς νεκροὺς ἐσύλων, τήν τε ἀπολειφθεῖσαν λείαν συνῆγον, καὶ μετὰ παιάνων εἰς τὴν μητρόπολιν ἐπαλινδρόμουν, αὐτοὶ μὲν ὀλίγους ἀποβεβλημένοι παντάπασι, τῶν δὲ Ῥωμαίων καὶ τῶν συμμάχων πεζοὺς μὲν πεντακισχιλίους καὶ τριακοσίους ἀνῃρηκότες, ἱππεῖς δὲ τριακοσίους καὶ ὀγδοήκοντα.

ταῦτα μὲν οὖν ἐπράχθη Δίου μηνὸς ὀγδόῃ, δωδεκάτῳ ἔτει τῆς Νέρωνος ἡγεμονίας· μετὰ δὲ τὴν Κεστίου συμφορὰν πολλοὶ τῶν ἐπιφανῶν Ἰουδαίων ὥσπερ βαπτιζομένης νεὼς ἀπενήχοντο τῆς πόλεως. Κοστόβαρος γοῦν καὶ Σαοῦλος ἀδελφοὶ σὺν Φιλίππῳ τῷ Ἰακίμου (στρατοπεδάρχης δὲ ἦν οὗτος Ἀγρίππα τοῦ βασιλέως) διαδράντες ἐκ τῆς πόλεως ᾤχοντο πρὸς Κέστιον. ὁ δὲ σὺν τούτοις κατὰ τὴν βασιλικὴν αὐλὴν πολιορκηθεὶς Ἀντίπας ὑπεριδὼν τὴν φυγὴν αὖθις ὡς ὑπὸ τῶν στασιαστῶν διεφθάρη δηλώσομεν. Κέστιος δὲ τοὺς περὶ Σαοῦλον ἀξιώσαντας ἀνέπεμψεν εἰς Ἀχαΐαν πρὸς Νέρωνα, τήν τε αὑτῶν δηλώσοντας ἀνάγκην καὶ τὰς αἰτίας τοῦ πολέμου τρέψοντας εἰς Φλῶρον· τῇ γὰρ ἐπ' ἐκεῖνον ὀργῇ κουφίσειν καὶ τοὺς ἑαυτοῦ κινδύνους ἤλπισεν.

κἀν τούτῳ Δαμασκηνοὶ τὴν τῶν Ῥωμαίων φθορὰν πυθόμενοι τοὺς παρ' ἑαυτοῖς Ἰουδαίους ἀνελεῖν ἐσπούδασαν. καὶ καθὸ μὲν εἶχον αὐτοὺς ἐν τῷ γυμνασίῳ πάλαι συνηθροισμένους, διὰ τὰς ὑποψίας τοῦτο πραγματευσάμενοι, ῥᾴστην τὴν ἐπιχείρησιν ἐδόκουν· ἐδεδοίκεσαν δὲ τὰς ἑαυτῶν γυναῖκας ἁπάσας πλὴν ὀλίγων

2

Digitized by Google

ὑπηγμένας τῇ Ἰουδαϊκῇ θρησκείᾳ· διὸ μέγιστος αὐτοῖς ἀγὼν ἐγένετο λαθεῖν ἐκείνας. τοὺς δὲ Ἰουδαίους, ὡς ἂν ἐν στενῷ χωρίῳ, τὸν ἀριθμὸν ὄντας μυρίους καὶ πάντας ἀνόπλους, ἐπελθόντες ὑπὸ μίαν ὥραν ἀδεῶς ἔσφαξαν.

3 οἱ δὲ διώξαντες τὸν Κέστιον ὡς ὑπέστρεψαν εἰς Ἱεροσόλυμα, τοὺς μὲν βίᾳ τῶν ἔτι ῥωμαΐζοντων τοὺς δὲ πειθοῖ προσήγοντο, καὶ συναθροισθέντες εἰς τὸ ἱερὸν στρατηγοὺς ἀπεδείκνυσαν τοῦ πολέμου πλείονας. ἦρέθη δὲ Ἰώσηπος υἱὸς Γωρίωνος καὶ ὁ ἀρχιερεὺς Ἄνανος τῶν τε κατὰ τὴν πόλιν ἁπάντων αὐτοκράτορες καὶ μάλιστα τὰ τείχη τῆς πόλεως ἀνεγείρειν. τὸν γὰρ τοῦ Σίμωνος υἱὸν Ἐλεάζαρον, καίπερ ὑφ' ἑαυτῷ πεποιημένον τὴν Ῥωμαίων λείαν καὶ τὰ ἁρπαγέντα Κεστίου χρήματα, πρὸς οἷς πολλὰ τῶν δημοσίων θησαυρῶν, ὅμως οὐκ ἐπέστησαν ταῖς χρείαις, αὐτόν τε τυραννικὸν ὁρῶντες καὶ τοὺς ὑπ' αὐτῷ ζηλωτὰς δορυφόρων ἔθεσι χρωμένους. κατ' ὀλίγον γε μὴν ἥ τε χρεία τῶν χρημάτων καὶ γοητεύων Ἐλεάζαρος ἐκπεριῆλθε τὸν δῆμον, ὥστε αὐτῷ πειθαρχεῖν περὶ τῶν ὅλων.

4 εἰς δὲ τὴν Ἰδουμαίαν ἑτέρους ἐπελέξαντο στρατηγούς, Ἰησοῦν τε τὸν υἱὸν Σαπφία τῶν ἀρχιερέων ἕνα καὶ Ἐλεάζαρον ἀρχιερέως υἱὸν Ἀνανίου. τῷ δὲ ἄρχοντι τότε τῆς Ἰδουμαίας Νίγερι (γένος δὲ ἦν ἐκ τῆς περὶ Ἰορδάνην Περαίας, διὸ καὶ Περαΐτης ἐπεκαλεῖτο) προσέταξαν ὑποτάσσεσθαι τότε τοῖς στρατηγοῖς. ἠμέλουν δὲ οὐδὲ τῆς ἄλλης χώρας, ἀλλ' εἰς μὲν Ἱεριχοῦντα Ἰώσηπος ὁ Σίμωνος, εἰς δὲ τὴν Περαίαν Μανασσῆς, Θαμνᾶ δὲ τοπαρχίας Ἰωάννης ὁ Ἐσσαῖος στρατηγήσων ἐπέμφθη· προσκεκλήρωτο δὲ αὐτῷ Λύδδα καὶ Ἰόπη καὶ Ἀμμαοῦς. τῆς δὲ Γοφνιτικῆς καὶ Ἀκραβατηνῆς ὁ Ἀνανίου Ἰωάννης ἡγεμὼν ἀποδείκνυται, καὶ τῆς

Digitized by Google

Γαλιλαίας ἑκατέρας Ἰώσηπος Ματθίου· προσώριστο δὲ τῇ τούτου στρατηγίᾳ καὶ Γάμαλα, τῶν ταύτῃ πόλεων ὀχυρωτάτη.

τῶν μὲν οὖν ἄλλων στρατηγῶν ἕκαστος ὡς εἶχε προθυμίας καὶ συνέσεως διῴκει τὰ πεπιστευμένα· Ἰώσηπος δὲ εἰς τὴν Γαλιλαίαν ἐλθὼν πρῶτον ἐφρόντισε τῆς εἰς αὐτὸν εὐνοίας τῶν ἐπιχωρίων, εἰδὼς ὅτι ταύτῃ πλεῖστα κατορθώσει, κἂν τἆλλα διαμαρτάνῃ. συνιδὼν δὲ ὅτι τοὺς μὲν δυνατοὺς οἰκειώσεται μεταδιδοὺς τῆς ἐξουσίας αὐτοῖς, τὸ δὲ πᾶν πλῆθος, εἰ δι' ἐγχωρίων καὶ συνήθων τὰ πολλὰ προστάσσοι, τῶν μὲν γηραιῶν ἑβδομήκοντα τοὺς σωφρονεστάτους ἐπιλέξας ἐκ τοῦ ἔθνους κατέστησεν ἄρχοντας ὅλης τῆς Γαλιλαίας, ἑπτὰ δὲ ἐν ἑκάστῃ πόλει δικαστὰς τῶν εὐτελεστέρων διαφορῶν· τὰ γὰρ μείζω πράγματα καὶ τὰς φονικὰς δίκας ἐφ' ἑαυτὸν ἀναπέμπειν ἐκέλευσε καὶ τοὺς ἑβδομήκοντα. καταστησάμενος δὲ τὰ πρὸς ἀλλήλους νόμιμα τῶν κατὰ πόλιν, ἐπὶ τὴν ἔξωθεν αὐτῶν ἀσφάλειαν ἐχώρει· καὶ γινώσκων Ῥωμαίους προσβαλοῦντας εἰς τὴν Γαλιλαίαν, τἀπιτήδεια τῶν χωρίων ἐτείχιζεν, Ἰωτάπατα καὶ Βηρσαβὲ καὶ Σελαμίν, ἔτι δὲ Καφαρεκχὼ καὶ Ἰαφὰ καὶ Σιγώφ, τό τε Ἰταβύριον καλούμενον ὄρος καὶ Ταριχέας καὶ Τιβεριάδα. πρὸς δὲ τούτοις τὰ περὶ Γεννησὰρ τὴν λίμνην σπήλαια κατὰ τὴν κάτω καλουμένην Γαλιλαίαν ἀνετειχίσατο, τῆς τε ἄνω Γαλιλαίας τήν τε προσαγορευομένην Ἀχαβάρων πέτραν καὶ Σὲφ καὶ Ἰαμνὶθ καὶ Μηρώθ· κατὰ δὲ τὴν Γαυλανῖτιν Σελεύκειάν τε καὶ Σωγάνην καὶ Γάμαλαν ὠχύρωσεν. μόνοις δὲ Σεπφωρίταις ἐφῆκε καθ' ἑαυτοὺς τεῖχος ἀναδείμασθαι, χρημάτων τε εὐπόρους ὁρῶν ὄντας καὶ προθύμους ἐπὶ τὸν πόλεμον δίχα προστάγματος. ὁμοίως δὲ καὶ Γίσχαλα Ἰωάννης ὁ Λευίου υἱὸς καθ' ἑαυτὸν ἐτείχιζεν,

Digitized by Google

Ἰωσήπου κελεύσαντος. τοῖς δὲ ἄλλοις ἐρύμασιν αὐτὸς ἅπασι συμπονῶν ἅμα καὶ προστάσσων παρῆν. κατέλεξε δὲ καὶ δύναμιν ἐκ τῆς Γαλιλαίας ὑπὲρ δέκα μυριάδας νέων ἀνδρῶν, οὓς πάντας ἐκ τῶν συλλεγομένων παλαιῶν ὅπλων αὐτοὺς ἐγκατασκευαζόμενος ὡπλιζεν.

7 ἔπειτα συνιδὼν ἀήττητον τὴν Ῥωμαίων ἰσχὺν γεγενημένην εὐπειθείᾳ μάλιστα καὶ μελέτῃ τῶν ὅπλων, τὴν μὲν διδασκαλίαν ἀπέγνω τῇ χρείᾳ διωκομένην, τὸ δὲ εὐπειθὲς ὁρῶν περιγινόμενον ἐκ τοῦ πλήθους τῶν ἡγεμόνων, ῥωμαϊκώτερον ἔτεμνε τὴν στρατιὰν καὶ πλείους καθίστατο ταξιάρχας. στρατιωτῶν δὲ ἀπεδείκνυε διαφοράς, καὶ τούτους μὲν ὑπέτασσε δεκαδάρχαις καὶ ἑκατοντάρχαις, ἔπειτα χιλιάρχοις, καὶ ἐπὶ τούτοις ἡγεμόσι ταγμάτων ἀδροτέρων ἀφηγουμένοις. ἐδίδασκέ τε σημείων παραδόσεις καὶ σάλπιγγος προσκλήσεις τε καὶ ἀνακλήσεις, προσβολάς τε κεράτων καὶ περιαγωγάς, καὶ πῶς δεῖ πρὸς μὲν τὸ κάμνον ἐπιστρέφειν ἐκ τοῦ περιόντος, ἐν δὲ τῷ πονοῦντι συμπαθεῖν· ὅσα τε εἰς παράστημα ψυχῆς καὶ σώματος καρτερίαν, συνεχῶς ἀφηγεῖτο. μάλιστα δὲ αὐτοὺς ἤσκει πρὸς τὸν πόλεμον, παρ' ἕκαστα τὴν Ῥωμαίων εὐταξίαν διηγούμενος, καὶ ὡς πολεμήσουσι πρὸς ἄνδρας οὐ δι' ἀλκὴν σώματος καὶ ψυχῆς παράστημα πάσης ὀλίγου δεῖν τῆς οἰκουμένης κρατοῦσιν. ἔφη δὲ πεῖραν αὐτῶν λαβεῖν τῆς κατὰ τὸν πόλεμον εὐταξίας καὶ πρὸ παρατάξεως, εἰ τῶν συνήθων ἀδικημάτων ἀπόσχοιντο, κλοπῆς καὶ ληστείας καὶ ἁρπαγῆς, τοῦ τε ἐξαπατᾶν τὸ ὁμόφυλον, καὶ μὴ κέρδος οἰκεῖον ἡγεῖσθαι τὴν βλάβην τῶν συνηθεστάτων. διοικεῖσθαι γὰρ κάλλιστα τοὺς πολέμους παρ' οἷς ἂν ἀγαθὸν τὸ συνειδὸς ἔχωσιν οἱ στρατευόμενοι· τοὺς δὲ οἰκοθεν φαύλους οὐ μόνον τοῖς ἐπιοῦσιν ἐχθροῖς ἀλλὰ καὶ τῷ θεῷ χρῆσθαι πολεμίῳ.

Digitized by Google

πολλὰ τοιαῦτα παραινῶν διετέλει. καὶ τὸ μὲν ἕτοι- 8
μον εἰς παράταξιν αὐτῷ συγκεκρότητο πεζῶν μὲν ἓξ
μυριάδες, ἱππεῖς δὲ διακόσιοι καὶ πεντήκοντα· χωρὶς
δὲ τούτων, οἷς ἐπεποίθει μάλιστα, μισθοφόροι περὶ
τετρακισχιλίους καὶ πεντακοσίους. ἐπιλέκτους δὲ περὶ
αὐτὸν εἶχεν ἑξακοσίους φύλακας τοῦ σώματος. ἕτρεφον
δὲ πλὴν τῶν μισθοφόρων τὴν ἄλλην στρατιὰν αἱ πό-
λεις ῥᾳδίως· τῶν γὰρ καταλεγέντων ἑκάστη τοὺς ἡμί-
σεις ἐπὶ τὴν στρατιὰν ἐκπέμπουσα, τοὺς λοιποὺς ἐπὶ
συμπορισμὸν αὐτοῖς τῶν ἐπιτηδείων κατεῖχεν, ὥστε
τοὺς μὲν εἰς ὅπλα τοὺς δὲ εἰς ἐργασίαν διῃρῆσθαι, καὶ
τοῖς τὰ σῖτα πέμπουσιν ἀντιχορηγεῖσθαι παρὰ τῶν ὁπλι-
τῶν τὴν ἀσφάλειαν.

διοικοῦντι δὲ οὕτω τῷ Ἰωσήπῳ τὰ κατὰ τὴν Γα- 21
λιλαίαν παρανίσταταί τις ἐπίβουλος ἀνὴρ ἀπὸ Γισχά-
λων, υἱὸς Λευίου, Ἰωάννης ὄνομα, πανουργότατος
μὲν καὶ δολιώτατος τῶν ἐπισήμων ἐν τοῖσδε τοῖς πονη-
ρεύμασιν ἁπάντων, πένης δὲ τὰ πρῶτα καὶ μέχρι πολ-
λοῦ κώλυμα σχὼν τῆς κακίας τὴν ἀπορίαν, ἕτοιμος μὲν
ψεύσασθαι, δεινὸς δὲ ἐπιθεῖναι πίστιν τοῖς ἐψευσμέ-
νοις, ἀρετὴν ἡγούμενος τὴν ἀπάτην, καὶ ταύτῃ κατὰ
τῶν φιλτάτων χρώμενος, ὑποκριτὴς φιλανθρωπίας, καὶ
δι' ἐλπίδα κέρδους φονικώτατος, ἀεὶ μὲν ἐπιθυμήσας
μεγάλων, τρέφων δὲ τὰς ἐλπίδας ἐκ τῶν ταπεινῶν κα-
κουργημάτων· λῃστὴς γὰρ ἦν μονότροπος, ἔπειτα καὶ
συνοδίαν εὗρε τῆς τόλμης, τὸ μὲν πρῶτον ὀλίγην, προ-
κόπτων δὲ ἀεὶ πλείονα. φροντὶς δὲ ἦν αὐτῷ μηδένα
προσλαμβάνειν εὐάλωτον, ἀλλὰ τοὺς εὐεξίᾳ σώματος
καὶ ψυχῆς παραστήματι καὶ πολέμων ἐμπειρίᾳ δια-
φέροντας ἐξελέγετο. μέχρι γοῦν τετρακοσίων ἀνδρῶν
στῖφος συνεκρότησεν, οἳ τὸ πλέον ἐκ τῆς Τυρίων χώρας
καὶ τῶν ἐν αὐτῇ κωμῶν φυγάδες ἦσαν, δι' ὧν ἐλῄζετο

Digitized by Google

πᾶσαν τὴν Γαλιλαίαν, καὶ μετεώρους ὄντας ἐπὶ τῷ μέλ-
2 λοντι πολέμῳ τοὺς πολλοὺς ἐσπάρασσεν. ἤδη δὲ αὐτὸν
στρατηγιῶντα καὶ μειζόνων ἐφιέμενον ἔνδεια χρημά-
των κατεῖχεν. ἐπεὶ δὲ τὸν Ἰώσηπον ὁρῶν αὐτοῦ σφό-
δρα χαίροντα τῷ δραστηρίῳ, πείθει μὲν πρῶτον αὐτῷ
πιστεῦσαι τὸ τεῖχος ἀνοικοδομῆσαι τῆς πατρίδος, ἐν
ᾧ πολλὰ παρὰ τῶν πλουσίων ἐκέρδησεν. ἔπειτα συν-
θεὶς σκηνὴν πανουργοτάτην, ὡς ἄρα φυλάττοιντο πάν-
τες οἱ κατὰ τὴν Συρίαν Ἰουδαῖοι ἐλαίῳ χρῆσθαι μὴ δι'
ὁμοφύλων ἐγκεχειρισμένῳ, πέμπειν αὐτοῖς ἐπὶ τὴν με-
θορίαν ἐξητήσατο· συνωνούμενος δὲ τοῦ Τυρίου νο-
μίσματος, ὃ τέσσαρας Ἀττικὰς δύναται, τέσσαρας ἀμ-
φορεῖς, τῆς αὐτῆς ἐπίπρασκε τιμῆς ἡμιαμφόριον. οὔ-
σης δὲ τῆς Γαλιλαίας ἐλαιοφόρου μάλιστα καὶ τότε
εὐφορηκυίας, εἰς σπανίζοντας πέμπων πολὺ καὶ μόνος
ἄπειρόν τι πλῆθος συνήγαγε χρημάτων, οἷς εὐθέως
ἐχρῆτο κατὰ τοῦ τὴν ἐργασίαν παρασχόντος. καὶ ὑπο-
λαβών, εἰ καταλύσειε τὸν Ἰώσηπον, αὐτὸς ἡγήσεσθαι
τῆς Γαλιλαίας, τοῖς μὲν ὑφ' αὑτὸν λῃσταῖς προσέταξεν
εὐτονώτερον ἐγχειρεῖν ταῖς ἁρπαγαῖς, ὅπως πολλῶν
νεωτεριζόντων κατὰ τὴν χώραν ἢ διαχρήσαιτό που
τὸν στρατηγόν, ἐκβοηθοῦντα λοχήσας, ἢ περιορῶντα
τοὺς λῃστὰς διαβάλοι πρὸς τοὺς ἐπιχωρίους. ἔπειτα
διεφήμιζε πόρρωθεν ὡς ἄρα προδιδοίη Ῥωμαίοις τὰ
πράγματα Ἰώσηπος, καὶ πολλὰ τοιαῦτα πρὸς κατά-
λυσιν τἀνδρὸς ἐπραγματεύετο.
3 καθ' ὃν καιρὸν ἀπὸ Δαβαρίττων κώμης νεανίσκοι
τινὲς τῶν ἐν τῷ Μεγάλῳ πεδίῳ καθεζομένων φυλάκων,
ἐνεδρεύοντες Πτολεμαῖον τὸν Ἀγρίππα καὶ Βερενίκης
ἐπίτροπον, ἀφείλοντο πᾶσαν ὅσην ἦγεν ἀποσκευήν, ἐν
ᾗ πολυτελεῖς ἐσθῆτες οὐκ ὀλίγαι καὶ πλῆθος ἐκπωμά-
των ἀργυρῶν χρυσοῖ τε ἦσαν ἑξακόσιοι· μὴ δυνάμε-

Digitized by Google

νοι δὲ διαθέσθαι κρύφα τὴν ἁρπαγήν, πάντα πρὸς Ἰώσηπον εἰς Ταριχέας ἐκόμισαν. ὃ δὲ μεμψάμενος αὐτῶν τὸ πρὸς τοὺς βασιλικοὺς βίαιον, τίθησι τὰ κομισθέντα παρὰ τῷ δυνατωτάτῳ τῶν Ταριχεατῶν Ἀνναίῳ, πέμψαι κατὰ καιρὸν τοῖς δεσπόταις προαιρούμενος· ὃ δὴ μέγιστον αὐτῷ κίνδυνον ἐπήγαγεν. οἱ γὰρ ἁρπάσαντες ἅμα μὲν ἐπὶ τῷ μηδεμιᾶς τυχεῖν μερίδος ἐκ τῶν κεκομισμένων ἀγανακτοῦντες, ἅμα δὲ καὶ προσκεψάμενοι τοῦ Ἰωσήπου τὴν διάνοιαν, ὅτι μέλλοι τοῖς βασιλεῦσι τὸν πόνον αὐτῶν χαρίζεσθαι, νύκτωρ εἰς τὰς κώμας αὐτῶν διέδραμον, καὶ πᾶσιν ἐνεδείκνυντο τὸν Ἰώσηπον ὡς προδότην. ἐνέπλησαν δὲ καὶ τὰς πλησίον πόλεις ταραχῆς, ὥστε ὑπὸ τὴν ἕω δέκα μυριάδας ὁπλιτῶν ἐπ' αὐτὸν συνδραμεῖν. καὶ τὸ μὲν πλῆθος ἐν τῷ κατὰ Ταριχέας ἱπποδρόμῳ συνηθροισμένον πολλὰ πρὸς ὀργὴν ἀνεβόα, καὶ οἱ μὲν καταλεύειν οἱ δὲ καῦσαι τὸν προδότην ἐκεκράγεσαν· παρώξυνε δὲ τοὺς πολλοὺς Ἰωάννης καὶ σὺν αὐτῷ Ἰησοῦς τις υἱὸς Σαπφία, τότε ἄρχων τῆς Τιβεριάδος. οἱ μὲν οὖν φίλοι καὶ σωματοφύλακες τοῦ Ἰωσήπου, καταπλαγέντες τὴν ὁρμὴν τοῦ πλήθους, ἔφυγον πλὴν τεσσάρων πάντες· αὐτὸς δὲ κοιμώμενος ἤδη προσφερομένου τοῦ πυρὸς διανίσταται, καὶ παραινούντων φεύγειν τῶν τεσσάρων οὐ παρέμειναν, οὔτε πρὸς τὴν καθ' αὐτὸν ἐρημίαν οὔτε πρὸς τὸ πλῆθος τῶν ἐφεστώτων καταπλαγεὶς προπηδᾷ, περιρρηξάμενος μὲν τὴν ἐσθῆτα, καταμησάμενος δὲ τῆς κεφαλῆς κόνιν, ἀποστρέψας δὲ ὀπίσω τὰς χεῖρας καὶ τὸ ἴδιον ξίφος ἐπιδήσας τῷ τένοντι. πρὸς ἃ τῶν μὲν οἰκείως ἐχόντων, καὶ μάλιστα τῶν Ταριχεατῶν, οἰκτος ἦν· οἱ δὲ ἀπὸ τῆς χώρας, καὶ τῶν πλησίον ὅσοις ἐδόκει φορτικός, ἐβλασφήμουν, προφέρειν τε τὰ κοινὰ χρήματα θᾶττον ἐκέλευον, καὶ τὰς προδοτικὰς συνθήκας

Digitized by Google

ἐξομολογεῖσθαι. προειλήφεσαν γὰρ ἐκ τοῦ σχήματος οὐδὲν αὐτὸν ἀρνήσεσθαι τῶν ὑπονοηθέντων, ἀλλ' ἐπὶ συγγνώμης πορισμῷ πάντα πεποιηκέναι τὰ πρὸς τὸν ἔλεον. τῷ δὲ ἦν ἡ ταπείνωσις προκατασκευὴ στρατηγήματος· καὶ τεχνιτεύων τοὺς ἀγανακτοῦντας καθ' αὐτοῦ κατ' ἀλλήλων στασιάσαι ἐφ' οἷς ὠργίζοντο, πάντα ὁμολογήσειν ὑπισχνεῖτο. εἶτα δοθὲν αὐτῷ λέγειν, "ἐγὼ ταῦτα" ἔφη "τὰ χρήματα οὔτε ἀναπέμπειν Ἀγρίππᾳ προηρούμην οὔτε κερδαίνειν αὐτός· μὴ γὰρ ἡγησαίμην ποτὲ φίλον τὸν ὑμῖν διάφορον, ἢ κέρδος τὸ φέρον τῷ κοινῷ βλάβην. ὁρῶν δέ, ὦ Ταριχεᾶται, μάλιστα τὴν ὑμετέραν πόλιν ἀσφαλείας δεομένην καὶ πρὸς κατασκευὴν τείχους χρῄζουσαν ἀργυρίου, δεδοικὼς δὲ τὸν Τιβεριέων δῆμον καὶ τὰς ἄλλας πόλεις ἐφεδρευούσας τοῖς ἡρπασμένοις, κατασχεῖν ἡσυχῇ τὰ χρήματα προειλόμην, ἵνα ὑμῖν περιβάλωμαι τεῖχος. εἰ δὲ μὴ δοκεῖ, προφέρω τὰ κεκομισμένα καὶ παρέχω διαρπάζειν. εἰ δὲ καλῶς ὑμῖν ἐβουλευσάμην, κολάζετε τὸν εὐεργέτην."

4 ἐπὶ τούτοις οἱ Ταριχεᾶται μὲν αὐτὸν ἀνευφήμουν, οἱ δὲ ἀπὸ τῆς Τιβεριάδος σὺν τοῖς ἄλλοις ἐκάκιζον καὶ διηπείλουν. καταλιπόντες δὲ ἑκάτεροι τὸν Ἰώσηπον ἀλλήλοις διεφέροντο. πάκεῖνος θαρρῶν ἤδη τοῖς ὠκειωμένοις (ἦσαν δὲ εἰς τετρακισμυρίους οἱ Ταριχεᾶται) παντὶ τῷ πλήθει παρρησιαστικώτερον ὡμίλει, καὶ πολλὰ τὴν προπέτειαν αὐτῶν κατονειδίσας ἐκ μὲν τῶν παρόντων Ταριχέας ἔφη τειχίσειν, ἀσφαλιεῖσθαι δὲ ὅμως καὶ τὰς ἄλλας πόλεις· οὐ γὰρ ἀπορήσειν χρημάτων, ἐὰν ὁμονοῶσιν ἐφ' οὓς δεῖ πορίζειν, καὶ μὴ παροξύνωνται κατὰ τοῦ πορίζοντος.

5 ἔνθα δὴ τὸ μὲν ἄλλο πλῆθος τῶν ἠπατημένων ἐπανεχώρει καίτοι θιωρυγισμένον, δισχίλιοι δὲ ἐπ' αὐτὸν

Digitized by Google

ὥρμησαν ἔνοπλοι, καὶ φθάσαντος εἰς τὸ δωμάτιον παρελθεῖν ἀπειλοῦντες ἐφεστήκεσαν. ἐπὶ τούτοις πάλιν Ἰώσηπος ἀπάτῃ δευτέρᾳ χρῆται. ἀναβὰς γὰρ ἐπὶ τὸ τέγος καὶ τῇ δεξιᾷ καταστείλας τὸν θόρυβον αὐτῶν ἀγνοεῖν ἔφη τίνων ἀξιοῦσι τυχεῖν· οὐ γὰρ κατακούειν διὰ τὴν τῆς βοῆς σύγχυσιν· ὅσα δ' ἂν κελεύσωσι πάντα ποιήσειν, εἰ τοὺς διαλεξομένους ἡσυχῇ πέμψειαν εἴσω πρὸς αὐτόν. ταῦτα ἀκούσαντες οἱ γνώριμοι σὺν τοῖς ἄρχουσιν εἰσῆεσαν. ὁ δὲ σύρας αὐτοὺς εἰς τὸ μυχαίτατον τῆς οἰκίας, καὶ τὴν αὔλειον ἐπικλείσας, ἐμαστίγωσε μέχρι πάντων τὰ σπλάγχνα γυμνῶσαι. περιεστήκει δὲ τέως τὸ πλῆθος, δικαιολογεῖσθαι μακρότερα τοὺς εἰσελθόντας οἰόμενον. ὁ δὲ τὰς θύρας ἐξαπίνης ἀνοίξας ἡμαγμένους ἐξαφῆκε τοὺς ἄνδρας, καὶ τοσαύτην τοῖς ἀπειλοῦσιν ἐνειργάσατο κατάπληξιν ὥστε ῥίψαντας τὰ ὅπλα φεύγειν.

πρὸς ταῦτα Ἰωάννης ἐπέτεινε τὸν φθόνον καὶ δευ- 6
τέραν ἤρτυεν ἐπιβουλὴν κατὰ τοῦ Ἰωσήπου, σκηψάμενος δὲ νόσον ἱκέτευε δι' ἐπιστολῆς τὸν Ἰώσηπον ἐπιτρέψαι πρὸς θεραπείαν αὐτῷ χρήσασθαι τοῖς ἐν Τιβεριάδι θερμοῖς ὕδασιν. ὁ δέ (οὔπω γὰρ ὑπώπτευε τὸν ἐπίβουλον) γράφει τοῖς κατὰ τὴν πόλιν ὑπάρχοις ξενίαν τε καὶ τἀπιτήδεια Ἰωάννῃ παρασχεῖν. ὧν ἀπολαύσας μετὰ δύο ἡμέρας ἐφ' ᾧ παρῆν διεπράττετο, καὶ τοὺς μὲν ἀπάταις τοὺς δὲ χρήμασι διαφθείρων ἀνέπειθεν ἀποστῆναι Ἰωσήπου. καὶ γνοὺς ταῦτα Σίλας ὁ φυλάσσειν τὴν πόλιν ὑπὸ Ἰωσήπου καθεσταμένος, γράφει τὰ κατὰ τὴν ἐπιβουλὴν αὐτῷ κατὰ τάχος. ὁ δὲ Ἰώσηπος ὡς ἔλαβε τὴν ἐπιστολήν, νυκτὸς ὁδεύσας συντόνως ἐωθινὸς παρῆν πρὸς τὴν Τιβεριάδα. καὶ τὸ μὲν ἄλλο πλῆθος αὐτῷ ὑπήντα, Ἰωάννης δέ, καίτοι τὴν παρουσίαν ὑποπτεύων ἐπ' αὐτόν, ὅμως πέμψας τινὰ τῶν γνωρίμων ὑπεκρίνατο τὴν ἀσθένειαν,

Digitized by Google

καὶ κλινήρης ὢν ὑστερῆσαι τῆς θεραπείας ἔλεγεν. ὡς δὲ εἰς τὸ στάδιον τοὺς Τιβεριεῖς ἀθροίσας ὁ Ἰώσηπος ἐπειρᾶτο διαλέγεσθαι περὶ τῶν ἐπεσταλμένων, ὑποπέμψας ὁπλίτας προσέταξεν αὐτὸν ἀνελεῖν. τούτους τὰ ξίφη γυμνοῦντας ὁ δῆμος προϊδὼν ἀνεβόησεν. πρὸς δὲ τὴν κραυγὴν Ἰώσηπος ἐπιστραφεὶς καὶ θεασάμενος ἐπὶ τῆς σφαγῆς ἤδη τὸν σίδηρον, ἀπεπήδησεν εἰς τὸν αἰγιαλόν· εἱστήκει δὲ δημηγορῶν ἐπὶ βουνοῦ τινὸς ἐξαπήχους τὸ ὕψος, καὶ παρορμοῦντος ἐπιπηδήσας σκάφους σὺν δυσὶ σωματοφύλαξιν εἰς μέσην τὴν λίμνην 7 ἀνέφευγεν. οἱ στρατιῶται δὲ αὐτοῦ ταχέως ἁρπάσαντες ὅπλα κατὰ τῶν ἐπιβούλων ἐχώρουν. ἔνθα δείσας ὁ Ἰώσηπος μὴ πολέμου κινηθέντος ἐμφυλίου δι' ὀλίγων φθόνον παραναλώσῃ τὴν πόλιν, πέμπει τοῖς σφετέροις ἀγγέλλων μόνης προνοεῖν τῆς αὑτῶν ἀσφαλείας, μήτε δὲ κτείνειν τινὰ μήτε ἀπελέγχειν τῶν αἰτίων. καὶ οἱ μὲν τῷ παραγγέλματι πεισθέντες ἠρέμησαν, οἱ δὲ ἀνὰ τὴν πέριξ χώραν πυθόμενοι τήν τε ἐπιβουλὴν καὶ τὸν συσκευάσαντα συνηθροίζοντο κατὰ τοῦ Ἰωάννου. φθάνει δὲ ἐκεῖνος εἰς Γίσχαλα φυγὼν τὴν πατρίδα. συνέρρεον δὲ πρὸς τὸν Ἰώσηπον οἱ Γαλιλαῖοι κατὰ πόλεις, καὶ πολλαὶ μυριάδες ὁπλιτῶν γενόμεναι παρεῖναι σφᾶς ἐπὶ Ἰωάννην τὸν κοινὸν ἐπίβουλον ἐβόων· συγκαταφλέξειν γὰρ αὐτῷ καὶ τὴν ὑποδεξαμένην πόλιν. ὃ δὲ ἀποδέχεσθαι μὲν αὐτῶν ἔφασκε τὴν εὔνοιαν, εἶργε δὲ τὴν ὁρμήν, χειρώσασθαι συνέσει τοὺς ἐχθροὺς μᾶλλον ἢ κτεῖναι προαιρούμενος. ἐκλαβὼν δὲ τοὺς ἀφ' ἑκάστης πόλεως Ἰωάννῃ συναφεστῶτας Ἰώσηπος κατ' ὄνομα (προθύμως δὲ ἐνεδείκνυντο τοὺς σφετέρους οἱ δημόται), καὶ διὰ κηρύκων ἀπειλήσας τῶν ἐντὸς ἡμέρας πέμπτης μὴ καταλιπόντων τὸν Ἰωάννην τάς τε οὐσίας διαρπάσειν καὶ τὰς οἰκίας ἅμα ταῖς γενεαῖς καταφλέξειν, τρισχι-

Digitized by Google

λίους μὲν ἀπέστησεν εὐθέως, οἳ παραγενόμενοι τὰ ὅπλα παρὰ τοῖς ποσὶν ἔρριψαν αὐτοῦ· σὺν δὲ τοῖς καταλειφθεῖσιν (ἦσαν δὲ ὅσον εἰς δισχιλίους Σύρων φυγάδες) ἀνέστελλεν Ἰωάννης πάλιν εἰς τὰς λαθραίους ἐπιβουλὰς ἐκ τῶν φανερωτέρων. κρύφα γοῦν ἔπεμψεν ἀγγέλους εἰς Ἱεροσόλυμα, διαβάλλων τὸν Ἰώσηπον ἐπὶ τῷ μεγέθει τῆς δυνάμεως, φάσκων ὅσον οὐδέπω τύραννον ἐλεύσεσθαι τῆς μητροπόλεως, εἰ μὴ προκαταληφθείη. τούτοις ὁ μὲν δῆμος (ἦν γὰρ προειδῶς) οὐ προσεῖχεν, οἱ δυνατοὶ δὲ κατὰ φθόνον καὶ τῶν ἀρχόντων τινὲς λάθρᾳ τῷ Ἰωάννῃ χρήματα πρὸς συλλογὴν μισθοφόρων ἔπεμψαν, ὅπως πολεμήσοι πρὸς Ἰώσηπον. ἐψηφίσαντο δὲ καθ' αὑτοὺς καὶ μετακαλεῖν αὐτὸν ἀπὸ τῆς στρατηγίας. οὐ μὴν ἠξίουν ἀποχρήσειν τὸ δόγμα, δισχιλίους δὲ καὶ πεντακοσίους ὁπλίτας καὶ τέσσαρας τῶν ἐπιφανῶν ἄνδρας ἔστειλαν, τόν τε τοῦ Νομικοῦ Ἰωάεσδρον καὶ Ἀνανίαν Σαδδουκὶ καὶ Σίμωνα καὶ Ἰούδην Ἰωνάθου, πάντας εἰπεῖν δυνατωτάτους, ἵνα οὗτοι τὴν πρὸς τὸν Ἰώσηπον εὔνοιαν ἀποστρέψωσι· κἂν μὲν ἑκὼν παραγένηται, λόγον ὑποσχεῖν ἐὰν αὐτόν, εἰ δὲ βιάζοιτο μένειν, ὡς πρλεμίῳ χρῆσθαι. Ἰωσήπῳ δὲ παραγίνεσθαι μὲν στρατιὰν ἐπεστάλκεσαν οἱ φίλοι, τὴν δὲ αἰτίαν οὐ προσεδήλουν ἅτε δὴ τῶν ἐχθρῶν λάθρᾳ βεβουλευμένων. διὸ καὶ μὴ προφυλαξαμένου τέσσαρες πόλεις εὐθέως πρὸς τοὺς διαφόρους ἀπέστησαν ἐλθόντας, Σέπφωρίς τε καὶ Γάμαλα καὶ Γίσχαλα καὶ Τιβεριάς. ταχέως δὲ καὶ ταύτας προσηγάγετο δίχα τῶν ὅπλων, καὶ χειρωσάμενος στρατηγήματι τοὺς τέσσαρας ἡγεμόνας τῶν τε ὁπλιτῶν τοὺς δυνατωτάτους ἀνέπεμψεν εἰς Ἱεροσόλυμα· πρὸς οὓς ὁ δῆμος ἠγανάκτησεν οὐ μετρίως, καὶ σὺν αὐτοῖς ὥρμησε τοὺς προπέμψαντας ἀνελεῖν, εἰ μὴ φθάσαντες ἀπέδρασαν.

Digitized by Google

8 Ἰωάννην δὲ τὸ λοιπὸν ἐντὸς τοῦ Γισχάλων τείχους
ὁ παρὰ Ἰωσήπου φόβος ἐφρούρει. καὶ μετ' ὀλίγας ἡμέ-
ρας πάλιν ἀπέστη Τιβεριάς, ἐπικαλεσαμένων τῶν
ἔνδον Ἀγρίππαν τὸν βασιλέα· καὶ τοῦ μὲν μὴ καταν-
τήσαντος ἐφ' ἣν συνετέτακτο προθεσμίαν, Ῥωμαϊκῶν 5
δὲ ἱππέων ὀλίγων κατ' ἐκείνην τὴν ἡμέραν παραφανέν-
των, τὸν Ἰώσηπον ἐξεκήρυσσον. τῶν δὲ ἀγγέλθη μὲν
εἰς Ταριχέας ἡ ἀπόστασις εὐθέως, ἐκπεπομφὼς δὲ τοὺς
στρατιώτας πάντας ἐπὶ σίτου συλλογὴν οὔτε μόνος
ἐξορμᾶν ἐπὶ τοὺς ἀποστάντας οὔτε μένειν ὑπέμενε, δε- 10
δοικὼς μὴ βραδύνοντος αὐτοῦ φθάσωσιν οἱ βασιλικοὶ
παρελθεῖν εἰς τὴν πόλιν· οὐδὲ γὰρ τὴν ἐπιοῦσαν ἡμέ-
ραν ἐνεργὸν ἕξειν ἔμελλεν, ἐπέχοντος σαββάτου. δόλῳ
δὴ περιελθεῖν ἐπενόει τοὺς ἀποστάντας. καὶ τὰς μὲν
πύλας τῶν Ταριχεῶν ἀποκλεῖσαι κελεύσας, ὡς μὴ προ- 15
εξαγγείλαι τις τὸ σκέμμα τοῖς ἐπιχειρουμένοις, τὰ δὲ
ἐπὶ τῆς λίμνης σκάφη πάντα συναθροίσας (διακόσια δὲ
καὶ τριάκοντα εὑρέθη, καὶ ναῦται τεσσάρων οὐ πλείους
ἦσαν ἐν ἑκάστῳ), διὰ τάχους ἐλαύνει πρὸς τὴν Τιβε-
ριάδα. καὶ τοσοῦτον ἀποσχὼν τῆς πόλεως ἐξ ὅσου συνι- 20
δεῖν οὐ ῥᾴδιον ἦν, κενὰς τὰς ἁλιάδας μετεώρους σα-
λεύειν ἐκέλευσεν, αὐτὸς δὲ μόνους ἑπτὰ τῶν σωμα-
τοφυλάκων ἀνόπλους ἔχων ἔγγιον ὀφθῆναι προσῄει.
θεασάμενοι δὲ αὐτὸν ἀπὸ τῶν τειχῶν ἔτι βλασφημοῦν-
τες οἱ διάφοροι, καὶ διὰ τὴν ἔκπληξιν πάντα τὰ σκάφη 25
γέμειν ὁπλιτῶν νομίσαντες, ἔρριψαν τὰ ὅπλα καὶ κα-
9 τασείοντες ἱκετηρίας ἐδέοντο φείσασθαι τῆς πόλεως. ὁ
δὲ Ἰώσηπος πολλὰ διαπειλησάμενος αὐτοῖς καὶ κατονει-
δίσας, εἰ πρῶτον μὲν ἀράμενοι τὸν πρὸς Ῥωμαίους πό-
λεμον, εἰς στάσεις ἐμφυλίους παραναλίσκουσι τὴν 30
ἰσχὺν καὶ τὰ εὐκταιότατα ποιοῦσι τοῖς ἐχθροῖς, ἔπειτα
τὸν κηδεμόνα τῆς ἀσφαλείας αὐτῶν ἀναρπάσαι σπεύ-

Digitized by Google

δουσι καὶ κλείειν οὐκ αἰδοῦνται τὴν πόλιν αὐτῶν τῷ τειχίσαντι, προσδέχεσθαι τοὺς ἀπολογησομένους ἔφασκε, καὶ δι' ὧν βεβαιώσεται τὴν πόλιν. κατέβαινον δὲ εὐθέως δέκα τῶν Τιβεριέων οἱ δυνατώτατοι. καὶ τοὺς μὲν ἀναλαβὼν μιᾷ τῶν ἁλιάδων ἀνήγαγε πορρωτάτω, πεντήκοντα δὲ ἑτέρους τῆς βουλῆς τοὺς μάλιστα γνωρίμους κελεύει προσελθεῖν, ὡς καὶ παρ' ἐκείνων πίστιν τινὰ βουλόμενος λαβεῖν. ἔπειτα καινοτέρας σκήψεις ἐπινοῶν ἄλλους ἐπ' ἄλλοις ὡς ἐπὶ συνθήκαις προσεκαλεῖτο· τοῖς δὲ κυβερνήταις ἐκέλευσε τῶν ⟨σκαφῶν⟩ πληρουμένων διὰ τάχους εἰς Ταριχέας ἀναπλεῖν καὶ συγκλείειν τοὺς ἄνδρας εἰς τὸ δεσμωτήριον, μέχρι πᾶσαν μὲν τὴν βουλὴν οὖσαν εἰς ἑξακοσίους, περὶ δὲ δισχιλίους τῶν ἀπὸ τοῦ δήμου συλλαβὼν ἀνήγαγε σκάφεσιν εἰς Ταριχέας. βοώντων δὲ τῶν λοιπῶν αἴτιον εἶναι μάλιστα τῆς ἀποστάσεως Κλεῖτόν τινα, καὶ παρακαλούντων εἰς ἐκεῖνον ἀπερείδεσθαι τὴν ὀργήν, ὁ Ἰώσηπος ἀνελεῖν μὲν οὐδένα προήρητο, Λευίαν δέ τινα τῶν αὐτοῦ φυλάκων ἐκέλευσεν ἐξελθεῖν, ἵνα ἀποκόψῃ τὰς χεῖρας τοῦ Κλείτου. δείσας δὲ ἐκεῖνος εἰς ἐχθρῶν στῖφος ἀποβήσεσθαι μόνος οὐκ ἔφη. σχετλιάζοντα δὲ τὸν Ἰώσηπον ἐπὶ τοῦ σκάφους ὁ Κλεῖτος ὁρῶν, καὶ προθυμούμενον αὐτὸν ἀποπηδᾶν ἐπὶ τὴν τιμωρίαν, ἱκέτευεν ἀπὸ τῆς ἀκτῆς τὴν ἑτέραν τῶν χειρῶν καταλιπεῖν. κἀκείνου κατανεύσαντος ἐφ' ᾧ τὴν ἑτέραν αὐτὸς ἀποκόψειεν ἑαυτοῦ, σπασάμενος τῇ δεξιᾷ τὸ ξίφος ἀπέκοψε τὴν λαιάν· εἰς τοσοῦτον δέους ὑπ' αὐτοῦ Ἰωσήπου προήχθη.

τότε μὲν δὴ κενοῖς σκάφεσι καὶ δορυφόροις ἑπτὰ τὸν δῆμον αἰχμαλωτισάμενος πάλιν τὴν Τιβεριάδα προσηγάγετο, μετὰ δ' ἡμέρας ὀλίγας Γίσχαλα Σεπφωρίταις συναποστᾶσαν ἑλὼν ἐπέτρεψε διαρπάσαι τοῖς στρατιώταις. συναγαγὼν μέντοι πάντα τοῖς δημόταις ἔδωκε,

Digitized by Google

τοῖς τε κατὰ Σέπφωριν ὁμοίως καὶ Τιβεριάδα· καὶ γὰρ ἐκείνους χειρωσάμενος νουθετῆσαι διὰ τῆς ἁρπαγῆς ἠθέλησε, καὶ τῇ ἀποδόσει τῶν χρημάτων πάλιν εἰς εὔνοιαν προσηγάγετο.

22 τὰ μὲν οὖν κατὰ Γαλιλαίαν ἐπέπαυτο κινήματα, καὶ τῶν ἐμφυλίων παυσάμενοι θορύβων ἐπὶ τὰς πρὸς Ῥωμαίους ἐτράποντο παρασκευάς· ἐν δὲ τοῖς Ἱεροσολύμοις Ἄνανός τε ὁ ἀρχιερεύς, καὶ τῶν δυνατῶν ὅσοι μὴ τὰ Ῥωμαίων ἐφρόνουν, τό τε τεῖχος ἐπεσκεύαζον καὶ πολλὰ τῶν πολεμιστηρίων ὀργάνων. καὶ διὰ πάσης μὲν τῆς πόλεως ἐχαλκεύετο βέλη καὶ πανοπλίαι, πρὸς ἀτάκτοις δὲ γυμνασίαις τὸ τῶν νέων πλῆθος ἦν, καὶ μεστὰ ἦν πάντα θορύβου. δεινὴ δὲ κατήφεια τῶν μετρίων, καὶ πολλοὶ τὰς μελλούσας προορώμενοι συμφορὰς ἀπωλοφύροντο. θειασμοὶ δὲ τοῖς εἰρήνην ἀγαπῶσι δύσφημοι, τοῖς δὲ τὸν πόλεμον ἐξάψασιν ἐσχεδιάζοντο πρὸς ἡδονήν, καὶ τὸ κατάστημα τῆς πόλεως πρὶν ἐπελθεῖν Ῥωμαίους ἦν οἷον ἀπολουμένης. Ἀνάνῳ γε μὴν φροντὶς ἦν κατὰ μικρὸν ἀφισταμένῳ τῶν εἰς τὸν πόλεμον παρασκευῶν κάμψαι πρὸς τὸ συμφέρον τούς τε στασιαστὰς καὶ τὴν τῶν κληθέντων ζηλωτῶν ἀφροσύνην, ἡττήθη δὲ τῆς βίας. κἀν τοῖς ἑξῆς οἷου τέλους ἔτυχε δηλώσομεν.

2 κατὰ δὲ τὴν Ἀκραβατηνὴν τοπαρχίαν ὁ Γιώρα Σίμων πολλοὺς τῶν νεωτεριζόντων συστησάμενος ἐφ' ἁρπαγὰς ἐτράπετο, καὶ οὐ μόνον τὰς οἰκίας ἐσπάρασσε τῶν πλουσίων, ἀλλὰ καὶ τὰ σώματα κατηκίζετο, δῆλός τε ἦν ἤδη πόρρωθεν ἀρχόμενος τυραννεῖν. πεμφθείσης δὲ ἐπ' αὐτὸν ὑπ' Ἀνάνου καὶ τῶν ἀρχόντων στρατιᾶς, πρὸς τοὺς ἐν Μασάδᾳ ληστὰς μεθ' ὧν εἶχε κατέφυγε, κἀκεῖ μέχρι τῆς Ἀνάνου καὶ τῶν ἄλλων ἐχθρῶν ἀναιρέσεως μένων συνελήζετο τὴν Ἰδουμαίαν, ὥστε τοὺς ἄρχοντας τοῦ ἔθνους διὰ τὸ πλῆθος τῶν φονευομένων

Digitized by Google

καὶ τὰς συνεχεῖς ἁρπαγὰς στρατιὰν ἀθροίσαντας ἐμφρούρους τὰς κώμας ἔχειν. καὶ τὰ μὲν κατὰ τὴν Ἰουδαίαν ἐν τούτοις ἦν.

ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

Νέρωνι δ' ὡς ἠγγέλη τὰ κατὰ τὴν Ἰουδαίαν πταί- 1
σματα, λεληθυῖα μὲν ὡς εἰκὸς ἔκπληξις ἐμπίπτει καὶ
δέος, φανερῶς δ' ὑπερηφάνει καὶ προσωργίζετο, στρα-
τηγῶν μὲν ῥᾳστώνῃ μᾶλλον ἢ ταῖς τῶν πολεμίων ἀρε-
ταῖς γεγονέναι τὰ συμβάντα λέγων, πρέπειν δὲ ἡγού-
μενος αὐτῷ διὰ τὸν ὄγκον τῆς ἡγεμονίας κατασοβα-
ρεύεσθαι τῶν σκυθρωπῶν καὶ δοκεῖν δεινοῦ παντὸς
ἐπάνω τὴν ψυχὴν ἔχειν. διηλέγχετό γε μὴν ὁ τῆς ψυχῆς
θόρυβος ὑπὸ τῶν φροντίδων.

σκεπτόμενος δὲ τίνι πιστεύσειε κινουμένην τὴν 2
ἀνατολήν, ὃς τιμωρήσεται μὲν τὴν Ἰουδαίων ἐπανάστα-
σιν, προκαταλήψεται δὲ αὐτοῖς ἤδη καὶ τὰ πέριξ ἔθνη
συννοσοῦντα, μόνον εὑρίσκει Οὐεσπασιανὸν ταῖς χρείαις
ἀναλογοῦντα καὶ τηλικούτου πολέμου βάρος ἀναδέξα-
σθαι δυνάμενον, ἄνδρα ταῖς ἀπὸ νεότητος στρατείαις
ἐγγεγηρακότα καὶ προειρηνεύσαντα μὲν πάλαι Ῥω-
μαίοις τὴν ἑσπέραν ὑπὸ Γερμανῶν ταρασσομένην, προσ-
κτησάμενον δὲ τοῖς ὅπλοις Βρεττανίαν τέως λανθάνου-
σαν, ὅθεν αὐτοῦ καὶ τῷ πατρὶ Κλαυδίῳ παρέσχε χωρὶς
ἱδρῶτος ἰδίου θρίαμβον καταγαγεῖν.

ταῦτά τε δὴ προκληδονιζόμενος καὶ σταθερὰν μετ' 3
ἐμπειρίας τὴν ἡλικίαν ὁρῶν, μετὰ δὲ πίστεως αὐτοῦ
τοὺς υἱοὺς ὅμηρον καὶ τὰς τούτων ἀκμὰς χεῖρα τῆς πα-
τρῴας συνέσεως, τάχα τι καὶ περὶ τῶν ὅλων ἤδη τοῦ
θεοῦ προοικονομουμένου, πέμπει τὸν ἄνδρα διαληψό-

Digitized by Google

μενον τὴν ἡγεμονίαν τῶν ἐπὶ Συρίας στρατευμάτων, πολλὰ πρὸς τὸ ἐπείγον, οἷα κελεύουσιν αἱ ἀνάγκαι, μειλιξάμενός τε καὶ προθεραπεύσας. ὃ δὲ ἀπὸ τῆς Ἀχαΐας, ἔνθα συνῆν τῷ Νέρωνι, τὸν μὲν υἱὸν Τίτον ἔστειλεν ἐπ' Ἀλεξανδρείας τό τε πέμπτον καὶ τὸ δέκατον ἐκεῖθεν ἀναστήσοντα τάγμα, περάσας δὲ αὐτὸς τὸν Ἑλλήσποντον πεζὸς εἰς Συρίαν ἀφικνεῖται, κἀκεῖ τάς τε Ῥωμαϊκὰς δυνάμεις συνῆγε καὶ συχνοὺς παρὰ τῶν γειτνιώντων βασιλέων συμμάχους.

2 Ἰουδαῖοι δὲ μετὰ τὴν Κεστίου πληγὴν ἐπῃρμένοι ταῖς ἀδοκήτοις εὐπραγίαις ἀκρατεῖς ἦσαν ὁρμῆς, καὶ ὥσπερ ἐκριπιζόμενοι τῇ τύχῃ προσωτέρω τὸν πόλεμον ἐξῆγον. πᾶν γοῦν εὐθέως ὅσον ἦν μαχιμώτατον αὐτῶν ἀθροισθέντες ὥρμησαν ἐπ' Ἀσκάλωνα. πόλις ἐστὶν ἀρχαία, τῶν Ἱεροσολύμων εἴκοσι πρὸς τοῖς πεντακοσίοις ἀπέχουσα σταδίους, ἀεὶ διὰ μίσους Ἰουδαίοις γεγενημένη, διὸ καὶ τότε ταῖς πρώταις ὁρμαῖς ἐγγιεῖν ἔδοξεν. ἐξηγοῦντο δὲ τῆς καταδρομῆς τρεῖς ἄνδρες ἀλκήν τε κορυφαῖοι καὶ σύνεσιν, Νίγερ τε ὁ Περαίτης καὶ ὁ Βαβυλώνιος Σίλας, πρὸς οἷς Ἰωάννης ὁ Ἐσσαῖος. ἡ δὲ Ἀσκάλων ἐτετείχιστο μὲν καρτερῶς, βοηθείας δὲ ἦν σχεδὸν ἔρημος· ἐφρουρεῖτο γὰρ ὑπό τε σπείρης πεζῶν καὶ ὑπὸ μιᾶς ἴλης ἱππέων, ἧς ἐπῆρχεν Ἀντώνιος.

2 οἱ μὲν οὖν πολὺ ταῖς ὀργαῖς συντονώτερον ὁδεύσαντες, ὡς ἐγγύθεν ὡρμημένοι, καὶ δὴ παρῆσαν· ὁ δὲ Ἀντώνιος (οὐ γὰρ ἠγνόει μέλλουσαν ἔτι τὴν ἔφοδον αὐτῶν) προεξήγαγε τοὺς ἱππεῖς, καὶ οὐδὲν οὔτε πρὸς τὸ πλῆθος οὔτε τὴν τόλμαν ὑποδείσας τῶν πολεμίων, καρτερῶς τὰς πρώτας ὁρμὰς ἀνεδέξατο καὶ τοὺς ἐπὶ τὸ τεῖχος ὠθουμένους ἀνέστειλεν. οἱ δὲ πρὸς ἐμπείρους τε πολέμων ἄπειροι καὶ πεζοὶ πρὸς ἱππεῖς, ἀσύντακτοί τε πρὸς ἡνωμένους, καὶ πρὸς ὁπλίτας ἐξηρτυμένους εἰκαιότερον

Digitized by Google

ὡπλισμένοι, θυμῷ τε πλέον ἢ βουλῇ στρατηγούμενοι πρὸς εὐπειθεῖς καὶ νεύματι πάντα πράττοντας ἀντιτασσόμενοι πονοῦσι ῥᾳδίως. ὡς γὰρ αὐτῶν ἤδη συνεταράχθησαν αἱ πρῶται φάλαγγες, ὑπὸ τῆς ἵππου τρέπονται, καὶ τοῖς κατόπιν αὐτῶν ἐπὶ τὸ τεῖχος βιαζομένοις περιπίπτοντες ἀλλήλων ἦσαν πολέμιοι, μέχρι πάντες ταῖς τῶν ἱππέων ἐμβολαῖς εἴξαντες ἐσκεδάσθησαν ἀνὰ πᾶν τὸ πεδίον. τὸ δὲ ἦν πλατὺ καὶ πᾶν ἱππάσιμον. ὃ δὴ καὶ τοῖς Ῥωμαίοις συνεργῆσαν πλεῖστον εἰργάσατο τῶν Ἰουδαίων φόνον. τούς τε γὰρ φεύγοντας αὐτῶν φθάνοντες ἐπέστρεφον, καὶ τῶν ὑπὸ τοῦ δρόμου συνειλουμένων διεκπαίοντες ἀπείρους ἀνῄρουν· ἄλλοι δὲ ἄλλους, ὅπῃ τρέποιντο, κυκλούμενοι καὶ περιελαύνοντες κατηκόντιζον ῥᾳδίως. καὶ τοῖς μὲν Ἰουδαίοις τὸ ἴδιον πλῆθος ἐρημία παρὰ τὰς ἀμηχανίας κατεφαίνετο, Ῥωμαῖοι δὲ ἐν ταῖς εὐπραγίαις, καίπερ ὄντες ὀλίγοι τῷ πολέμῳ, καὶ περισσεύειν σφᾶς αὐτοὺς ὑπελάμβανον. καὶ τῶν μὲν προσφιλονεικούντων τοῖς πταίσμασιν αἰδοῖ τε φυγῆς ταχείας καὶ μεταβολῆς ἐλπίδι, τῶν δὲ μὴ κοπιώντων ἐν οἷς εὐτύχουν, παρέτεινεν ἡ μάχη μέχρι δείλης, ἕως ἀνῃρέθησαν μὲν μύριοι τὸν ἀριθμὸν Ἰουδαίων ἄνδρες, καὶ δύο τῶν ἡγεμόνων, Ἰωάννης τε καὶ Σίλας, οἱ λοιποὶ δὲ τραυματίαι τὸ πλέον, σὺν τῷ περιλειπομένῳ τῶν ἡγεμόνων Νίγερι, τῆς Ἰδουμαίας εἰς πολίχνην τινά (Σάλλις καλεῖται) συνέφυγον. ὀλίγοι δέ τινες καὶ τῶν Ῥωμαίων ἐπὶ τῇσδε τῆς παρατάξεως ἐτρώθησαν.

οὐ μὴν Ἰουδαῖοι τηλικαύτῃ συμφορᾷ κατεστάλησαν τὰ φρονήματα, μᾶλλον δὲ αὐτῶν τὸ πάθος ἤγειρε τὰς τόλμας, ὑπερορῶντές τε τοὺς ἐν ποσὶ νεκροὺς ἐδελεάζοντο τοῖς προτέροις κατορθώμασιν ἐπὶ πληγὴν δευτέραν. διαλιπόντες γοῦν οὐδὲ ὅσον ἰάσασθαι τὰ 3

Digitized by Google

τραύματα, καὶ τὴν δύναμιν πᾶσαν ἐπισυλλέξαντες, ὀργιλώτερον καὶ πολὺ πλείους ἐπαλινδρόμουν ἐπὶ τὴν Ἀσκάλωνα. παρείπετο δὲ αὐτοῖς μετὰ τῆς ἀπειρίας καὶ τῶν ἄλλων πρὸς πόλεμον ἐλασσωμάτων ἡ προτέρα τύχη. τοῦ γὰρ Ἀντωνίου τὰς παρόδους προλοχίσαντος ἀδόκητοι ταῖς ἐνέδραις ἐμπεσόντες, καὶ ὑπὸ τῶν ἱππέων πρὶν εἰς μάχην συντάξασθαι κυκλωθέντες, πάλιν πίπτουσι μὲν ὑπὲρ ὀκτακισχιλίους, οἱ λοιποὶ δὲ πάντες ἔφυγον, σὺν οἷς καὶ Νίγερ, πολλὰ κατὰ τὴν φυγὴν εὐτολμίας ἐπιδειξάμενος ἔργα. συνελαύνονται δ' οὖν, προσκειμένων τῶν πολεμίων, εἴς τινα πύργον ὀχυρὸν κώμης Βεζεθὲλ καλουμένης. οἱ δὲ περὶ τὸν Ἀντώνιον, ὡς μήτε τρίβοιντο περὶ τὸν πύργον ὄντα δυσάλωτον μήτε ζῶντα τὸν ἡγεμόνα καὶ γενναιότατον τῶν πολεμίων περιίδοιεν, ὑποπιμπρᾶσι τὸ τεῖχος. φλεγομένου δὲ τοῦ πύργου Ῥωμαῖοι μὲν ἀναχωροῦσε γεγηθότες ὡς διεφθαρμένου καὶ Νίγερος, ὃ δὲ εἰς τὸ μυχαίτατον τοῦ φρουρίου σπήλαιον καταπηδήσας ἐκ τοῦ πύργου διασώζεται, καὶ μεθ' ἡμέραν τρίτην τοῖς μετ' ὀλοφυρμῶν πρὸς κηδείαν αὐτὸν ἐρευνῶσιν ὑποφθέγγεται· προελθὼν δὲ χαρᾶς ἀνελπίστου πάντας ἐπλήρωσεν Ἰουδαίους ὡς προνοίᾳ θεοῦ σωθεὶς αὐτοῖς στρατηγὸς εἰς τὰ μέλλοντα.

4 Οὐεσπασιανὸς δὲ τὰς δυνάμεις ἀναλαβὼν ἐκ τῆς Ἀντιοχείας, ἣ μητρόπολίς ἐστι τῆς Συρίας, μεγέθους τε ἕνεκα καὶ τῆς ἄλλης εὐδαιμονίας τρίτον ἀδηρίτως ἐπὶ τῆς ὑπὸ Ῥωμαίοις οἰκουμένης ἔχουσα τόπον, ἔνθα μετὰ πάσης τῆς ἰδίας ἰσχύος ἐκδεχόμενον αὐτοῦ τὴν ἄφιξιν καὶ Ἀγρίππαν τὸν βασιλέα κατειλήφει, ἐπὶ Πτολεμαΐδος ἠπείγετο. καὶ κατὰ ταύτην ὑπαντῶσιν αὐτῷ τὴν πόλιν οἱ τῆς Γαλιλαίας Σέπφωριν νεμόμενοι, τῶν τῇδε εἰρηνικὰ φρονοῦντες· οὗ καὶ τῆς ἑαυτῶν σωτηρίας

Digitized by Google

καὶ τῆς Ῥωμαίων ἰσχύος οὐκ ἀπρονόητοι, πρὶν ἀφικέσθαι Οὐεσπασιανόν, Κεστίῳ Γάλλῳ πίστεις τε ἔδοσαν καὶ δεξιὰς ἔλαβον καὶ παρεδέξαντο φρουράν. τότε γε μὴν φιλοφρόνως ἐκδεξάμενοι τὸν ἡγεμόνα προθύμους σφᾶς αὐτοὺς ὑπέσχοντο κατὰ τῶν ὁμοφύλων συμμάχους. οἷς ὁ στρατηγὸς ἀξιώσασι τέως πρὸς ἀσφάλειαν ἱππεῖς τε καὶ πεζοὺς παραδίδωσιν ὅσους ἀνδέξειν ταῖς καταδρομαῖς, εἴ τι Ἰουδαῖοι παρακινοῖεν, ὑπελάμβανεν· καὶ γὰρ οὐδὲ μικρὸν ἐδόκει τὸ κινδύνευμα πρὸς τὸν μέλλοντα πόλεμον, ἀφαιρεθῆναι τὴν Σέπφωριν, μεγίστην μὲν οὖσαν τῆς Γαλιλαίας πόλιν, ἐρυμνοτάτῳ δὲ ἐπεκτισμένην χωρίῳ, καὶ φρουρὰν ὅλου τοῦ ἔθνους ἐσομένην.

δύο δ' οὖσας τὰς Γαλιλαίας, τήν τε ἄνω καὶ τὴν 3
κάτω προσαγορευομένην, περιίσχει μὲν ἡ Φοινίκη καὶ Συρία, διορίζει δὲ ἀπὸ μὲν δύσεως ἡλίου Πτολεμαΐς τοῖς τῆς χώρας τέρμασι καὶ Κάρμηλος, τὸ πάλαι μὲν Γαλιλαίων νῦν δὲ Τυρίων ὄρος, ᾧ προσίσχει Γαβὰ πόλις ἱππέων, οὕτως ἀγορευομένη διὰ τὸ τοὺς ὑφ' Ἡρώδου τοῦ βασιλέως ἀπολυομένους ἱππεῖς ἐν αὐτῇ κατοικεῖν, ἀπὸ δὲ μεσημβρίας Σαμαρίς τε καὶ Σκυθόπολις μέχρι τῶν Ἰορδάνου ῥείθρων· πρὸς ἕω δὲ Ἱππηνῇ τε καὶ Γαδάροις ἀποτέμνεται καὶ τῇ Γαυλανίτιδι· ταύτῃ κἀὶ τῆς Ἀγρίππα βασιλείας οἱ ὅροι· τὰ προσάρκτια δὲ αὐτῆς Τύρῳ τε καὶ τῇ Τυρίων χώρᾳ περατοῦται. καὶ τῆς μὲν κάτω καλουμένης Γαλιλαίας ἀπὸ Τιβεριάδος μέχρι Χαβουλών, ἧς ἐν τοῖς παραλίοις Πτολεμαΐς γείτων, τὸ μῆκος ἐκτείνεται, πλατύνεται δὲ ἀπὸ τῆς ἐν τῷ μεγάλῳ πεδίῳ κειμένης κώμης, ἣ Ξαλὼθ καλεῖται, μέχρι Βηρσάβης, ἣ καὶ τῆς ἄνω Γαλιλαίας εἰς εὖρος ἀρχὴ μέχρι Βακὰ κώμης· αὕτη δὲ τὴν τῶν Τυρίων

Digitized by Google

γῆν ὁρίζει· μηκύνεται δὲ μέχρι Μηρὼθ ἀπὸ Θελλᾶ κώμης Ἰορδάνου γείτονος.

2 τηλικαῦται δὲ οὖσαι τὸ μέγεθος, καὶ τοσούτοις ἔθνεσιν ἀλλοφύλοις κεκυκλωμέναι, πρὸς πᾶσαν ἀεὶ πολέμου πεῖραν ἀντέσχον· μάχιμοί τε γὰρ ἐκ νηπίων καὶ πολλοὶ πάντοτε Γαλιλαῖοι, καὶ οὔτε θειλία ποτὲ τοὺς ἄνδρας οὔτε λιπανδρία τὴν χώραν κατέσχεν, ἐπειδὴ πίων τε πᾶσα καὶ εὔβοτος καὶ δένδρεσι παντοίοις κατάφυτος, ὡς ὑπὸ τῆς εὐκαθείας προσκαλέσασθαι καὶ τὸν ἧκιστα γῆς φιλόπονον. προσησκήθη γοῦν ὑπὸ τῶν οἰκητόρων πᾶσα, καὶ μέρος αὐτῆς οὐδὲν ἀργόν, ἀλλὰ καὶ πόλεις πυκναὶ καὶ τὸ τῶν κωμῶν πλῆθος πανταχοῦ πολυάνθρωπον διὰ τὴν εὐθηνίαν, ὡς τὴν ἐλαχίστην ὑπὲρ πεντακισχιλίους πρὸς τοῖς μυρίοις ἔχειν οἰκήτορας.

3 καθόλου δέ, εἰ καὶ τῷ μεγέθει τις ἐλαττώσειε τῆς Περαίας τὴν Γαλιλαίαν, προέλοιτ' ἂν τῇ δυνάμει· ἡ μὲν γὰρ ἐνεργὸς ὅλη ἐστὶ καὶ καρποφόρος, ἡ Περαία δὲ πολὺ μὲν μείζων, ἔρημος δὲ καὶ τραχεῖα τὸ πλέον, πρός τε καρπῶν ἡμέρων αὔξησιν ἀγριωτέρα. τό γε μὴν μαλθακὸν αὐτῆς καὶ πάμφορον, καὶ τὰ πεδία δένδρεσι κατάφυτα ποικίλοις, τὸ πλεῖστον δὲ εἰς ἐλαίαν τε καὶ ἄμπελον καὶ φοινικῶνας ἤσκηται, διαρδομένη χειμάρροις τε τοῖς ἀπὸ τῶν ὀρῶν καὶ πηγαῖς ἀενάοις ἅλις, εἴ ποτε ἐκεῖνοι σειρῷ φθίνοιεν. μῆκος μὲν οὖν αὐτῆς ἀπὸ Μαχαιροῦντος εἰς Πέλλαν, εὖρος δὲ ἀπὸ Φιλαδελφείας μέχρις Ἰορδάνου. καὶ Πέλλῃ μὲν ᾗ προειρήκαμεν τὰ πρὸς ἄρκτον ὁρίζεται, τὰ πρὸς ἑσπέραν δὲ Ἰορδάνῃ· μεσημβρινὸν δὲ αὐτῆς πέρας ἡ Μωαβῖτις, καὶ πρὸς ἀνατολὴν Ἀραβία τε καὶ Σιλβωνίτιδι, πρὸς δὲ Φιλαδελφηνῇ καὶ Γεράσοις ἀποτέμνεται.

4 ἡ δὲ Σαμαρεῖτις χώρα μέση μὲν τῆς Ἰουδαίας ἐστὶ

Digitized by Google

καὶ τῆς Γαλιλαίας (ἀρχομένη γὰρ ἀπὸ τῆς ἐν τῷ μεγάλῳ πεδίῳ κειμένης Γιναίας ὄνομα κώμης, ἐπιλήγει τῆς Ἀκραβατηνῶν τοπαρχίας), φύσιν δὲ τῆς Ἰουδαίας κατ' οὐδὲν διάφορος. ἀμφότεραι γὰρ ὀρειναὶ καὶ πεδιάδες, εἴς τε γεωργίαν μαλθακαὶ καὶ πολύφοροι, κατάδενδροί τε καὶ ὀπώρας ὀρεινῆς καὶ ἡμέρου μεσταί. προσάρδεσθαι δὲ οὐδαμοῦ μὲν φύσει δαψιλές, ὕονται δὲ τὸ πλέον. γλυκὺ δὲ νᾶμα πᾶν διαφόρως ἐν αὐταῖς, καὶ διὰ πλῆθος πόας ἀγαθῆς τὰ κτήνη πλέον ἢ παρ' ἄλλοις γαλακτοφόρα. μέγιστόν γε μὴν τεκμήριον ἀρετῆς καὶ εὐθηνίας τὸ πληθύειν ἀνδρῶν ἑκατέραν.

μεθόριος δὲ αὐτῶν ἡ Ἀνουὰθ Βορκέως προσαγορευομένη κώμη· πέρας αὕτη τῆς Ἰουδαίας τὰ πρὸς βορέαν. τὰ νότια δὲ αὐτῆς ἐπὶ μῆκος μετρουμένης ὁρίζει προσκυροῦσα τοῖς Ἀράβων ὅροις κώμη, καλοῦσι δ' αὐτὴν Ἰαρδὰν οἱ τῇδε Ἰουδαῖοι. εὖρός γε μὴν ἀπὸ Ἰορδάνου ποταμοῦ μέχρις Ἰόπης ἀναπέπταται. μεσαιτάτη δὲ αὐτῆς πόλις τὰ Ἱεροσόλυμα κεῖται, παρ' ὃ καί τινες οὐκ ἀσκόπως ὀμφαλὸν τὸ ἄστυ τῆς χώρας ἐκάλεσαν. ἀφῄρηται δὲ οὐδὲ τῶν ἐκ θαλάσσης τερπνῶν ἡ Ἰουδαία, τοῖς παραλίοις κατατείνουσα μέχρι Πτολεμαΐδος. μερίζεται δὲ εἰς ἕνδεκα κληρουχίας, ὧν ἄρχει μὲν ὡς βασίλειον τὰ Ἱεροσόλυμα, προανίσχουσα τῆς περιοίκου πάσης ὥσπερ ἡ κεφαλὴ σώματος, αἱ λοιπαὶ δὲ μετ' αὐτὴν διῄρηνται τὰς τοπαρχίας. Γόφνα δευτέρα, καὶ μετ' αὐτὴν Ἀκραβαττά, Θαμνὰ πρὸς ταύταις καὶ Λύδδα καὶ Ἀμμαοῦς καὶ Πέλλη καὶ Ἰδουμαία καὶ Ἐγγαδδαὶ καὶ Ἡρώδειον καὶ Ἱεριχοῦς, μεθ' ἃς Ἰάμνεια καὶ Ἰόπη τῶν περιοίκων ἀφηγοῦνται, κἀπὶ ταύταις ἥ τε Γαμαλιτικὴ καὶ Γαυλανῖτις Βαταναία τε καὶ Τραχωνῖτις, αἳ καὶ τῆς Ἀγρίππα βασιλείας εἰσὶ μοῖρα. ἀρχομένη δὲ ἀπὸ Λιβάνου ὄρους καὶ τῶν Ἰορδάνου πη-

Digitized by Google

γῶν ἡ χώρα μέχρι τῆς Τιβεριάδος λίμνης εὑρύνεται, ἀπὸ δὲ κώμης καλουμένης Ἀρφᾶς μέχρις Ἰουλιάδος ἐκτείνει τὸ μῆκος. οἰκοῦσι δὲ αὐτὴν μιγάδες Ἰουδαῖοί τε καὶ Σύροι.

τὰ μὲν δὴ περὶ τῆς Ἰουδαίων τε καὶ τῶν πέριξ
4 χώρας ὡς ἐνῆν μάλιστα συντόμως ἀπηγγέλκαμεν· ἡ δὲ ὑπὸ Ὀεσπασιανοῦ πεμφθεῖσα Σεπφωρίταις βοήθεια χίλιοι μὲν ἱππεῖς ἑξακισχίλιοι δὲ πεζοί, Πλακίδου χιλιαρχοῦντος αὐτῶν, ἐν τῷ μεγάλῳ πεδίῳ στρατοπεδευσάμενοι διαιροῦνται, καὶ τὸ μὲν πεζὸν ἐν τῇ πόλει πρὸς φυλακὴν αὐτῆς, τὸ δὲ ἱππικὸν ἐπὶ τῆς παρεμβολῆς αὐλίζεται. προϊόντες δὲ ἑκατέρωθεν συνεχῶς καὶ τὰ πέριξ τῆς χώρας κατατρέχοντες μεγάλα τοὺς περὶ τὸν Ἰώσηπον ἑκάκουν ἀτρεμοῦντας, τά τε κατὰ πόλιν ἔξωθεν λῃζόμενοι, καὶ προθέοντας ὁπότε θαρρήσειαν ἀνακόπτοντες. ὥρμησέ γε μὴν ὁ Ἰώσηπος ἐπὶ τὴν πόλιν, αἱρήσειν ἐλπίσας ἣν αὐτός, πρὶν ἀποστῆναι Γαλιλαίων, ἐτείχισεν ὡς καὶ Ῥωμαίοις δυσάλωτον εἶναι. διὸ καὶ τῆς ἐλπίδος ἀφήμαρτε, τοῦ τε βιάζεσθαι καὶ τοῦ μεταπείθειν Σεπφωρίτας ἀσθενέστερος εὑρεθείς. παρώξυνε δὲ μᾶλλον τὸν πόλεμον ἐπὶ τὴν χώραν· καὶ οὔτε νύκτωρ οὔτε μεθ' ἡμέραν ὀργῇ τῆς ἐπιβουλῆς οἱ Ῥωμαῖοι διέλιπον δῃοῦντες αὐτῶν τὰ πεδία, καὶ διαρπάζοντες τὰ ἐπὶ τῆς χώρας κτήματα, καὶ κτείνοντες μὲν ἀεὶ τὸ μάχιμον, ἀνδραποδιζόμενοι δὲ τοὺς ἀσθενεστέρους. πυρὶ δὲ ἡ Γαλιλαία καὶ αἵματι πεπλήρωτο πᾶσα, πάθους τε οὐδενὸς ἦ συμφορᾶς ἀπείρατος ἦν· μία γὰρ καταφυγὴ διωκομένοις αἱ ὑπὸ τοῦ Ἰωσήπου τειχισθεῖσαι πόλεις ἦσαν.

2 ὁ δὲ Τίτος περαιωθεὶς ἀπὸ τῆς Ἀχαΐας εἰς τὴν Ἀλεξάνδρειαν ὠκύτερον ἢ κατὰ χειμῶνος ὥραν, παραλαμβάνει μὲν ἐφ' ἣν ἔσταλτο δύναμιν, συντόνῳ δὲ

Digitized by Google

χρώμενος πορείᾳ διὰ τάχους εἰς Πτολεμαΐδα ἀφικνεῖται, κἀκεῖ καταλαβὼν τὸν πατέρα, δυσὶ τοῖς ἅμα αὐτῷ τάγμασιν (ἦν δὲ τὰ ἐπισημότατα, τὸ πέμπτον καὶ τὸ δέκατον) ζεύγνυσι καὶ τὸ ἀχθὲν ὑπ' αὐτοῦ πεντεκαιδέκατον. τούτοις εἵποντο ὀκτωκαίδεκα σπεῖραι. προσεγένοντο δὲ καὶ ἀπὸ Καισαρείας πέντε καὶ ἱππέων ἴλη μία, πέντε δὲ ἕτεραι τῶν ἀπὸ Συρίας ἱππέων. τῶν δὲ σπειρῶν αἱ δέκα μὲν εἶχον ἀνὰ χιλίους πεζούς, αἱ δὲ λοιπαὶ τρισκαίδεκα ἀνὰ ἑξακοσίους μὲν πεζούς, ἱππεῖς δὲ ἑκατὸν εἴκοσι. συχνὸν δὲ καὶ παρὰ τῶν βασιλέων συνήχθη συμμαχικόν, Ἀντιόχου μὲν καὶ Ἀγρίππα καὶ Σοέμου παρασχομένων ἀνὰ δισχιλίους πεζοὺς τοξότας καὶ χιλίους ἱππεῖς, τοῦ δὲ Ἄραβος Μάλχου χιλίους πέμψαντος ἱππεῖς ἐπὶ πεζοῖς πεντακισχιλίοις, ὧν τὸ πλέον ἦσαν τοξόται, ὡς τὴν πᾶσαν δύναμιν, συνεξαριθμουμένων τῶν βασιλικῶν, ἱππέας τε καὶ πεζοὺς εἰς ξ ἀθροίζεσθαι μυριάδας δίχα θεραπόντων, οἳ παμπληθεῖς μὲν εἵποντο, διὰ δὲ συνάσκησιν πολεμικὴν οὐκ ἂν ἀποτάσσοιντο τοῦ μαχίμου, κατὰ μὲν εἰρήνην ἐν ταῖς μελέταις τῶν δεσποτῶν ἀεὶ στρεφόμενοι, συγκινδυνεύοντες δ' ἐν πολέμοις, ὡς μήτε ἐμπειρίᾳ μήτ' ἀλκῇ τινὸς κλὴν τῶν δεσποτῶν ἐλαττοῦσθαι.

κἂν τούτῳ μὲν οὖν θαυμάσαιτό τις ἂν Ῥωμαίων τὸ προμηθές, κατασκευαζομένων ἑαυτοῖς τὸ οἰκετικὸν οὐ μόνον εἰς τὰς τοῦ βίου διακονίας ἀλλὰ καὶ πρὸς τοὺς πολέμους χρήσιμον. εἰ δέ τις αὐτῶν καὶ εἰς τὴν ἄλλην τῆς στρατιᾶς σύνταξιν ἀπίδοι, γνώσεται τὴν τοσήνδε ἡγεμονίαν αὐτοὺς ἀρετῆς κτῆμα ἔχοντας, οὐ θῶρον τύχης. οὐ γὰρ αὐτοῖς ἀρχὴ τῶν ὅπλων ὁ πόλεμος, οὐδὲ ἐπὶ μόνας τὰς χρείας τῶ χεῖρε κινοῦσιν, ἐν εἰρήνῃ ἀπειρηκότες, ἀλλ' ὥσπερ συμπεφυκότες τοῖς ὅπλοις οὐδέποτε τῆς ἀσκήσεως λαμβάνουσιν ἐκεχειρίαν

Digitized by Google

οὐδὲ ἀναμένουσι τοὺς καιρούς. αἱ μελέται δὲ αὐτοῖς οὐδὲν τῆς κατὰ ἀλήθειαν εὐτονίας ἀποδέουσιν, ἀλλ' ἕκαστος ὁσημέραι στρατιώτης πάσῃ προθυμίᾳ καθάπερ ἐν πολέμῳ γυμνάζεται. διὸ κουφότατα τὰς μάχας διαφέρουσιν· οὔτε γὰρ ἀταξία διασπίδνησιν αὐτοὺς ἀπὸ τῆς ἐν ἕθει συντάξεως, οὔτε δέος ἐξίστησιν, οὔτε δαπανᾷ πόνος. ἔπεται δὲ τὸ κρατεῖν ἀεὶ κατὰ τῶν οὐχ ὁμοίων βέβαιον, καὶ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὰς μὲν μελέτας αὐτῶν χωρὶς αἵματος παρατάξεις, τὰς παρατάξεις δὲ μεθ' αἵματος μελέτας. οὐδὲ γὰρ ἐξ ἐπιδρομῆς εὐάλωτοι πολεμίοις· ὅπῃ δ' ἂν ἐμβάλωσιν εἰς ἐχθρῶν γῆν, οὐ πρὶν ἅπτονται μάχης ἢ τειχίσαι στρατόπεδον. τὸ δ' οὐκ εἰκαῖον οὐδ' ἀνώμαλον ἐγείρουσιν, οὐδὲ πάντες, ἢ ἀτάκτως διαλαβόντες, ἀλλ' εἰ μὲν ἀνώμαλος ὢν τύχοι χῶρος, ἐξομαλίζεται, διαμετρεῖται δὲ παρεμβολὴ τετράγωνος αὐτοῖς. καὶ τεκτόνων πλῆθος ἕπεται, τά τε πρὸς τὴν δόμησιν ἐργαλεῖα. καὶ τὸ μὲν ἔνδον εἰς σκηνὰς διαλαμβάνουσιν, ἔξωθεν δὲ ὁ κύκλος τείχους ὅψιν ἐπέχει, πύργοις ἐξ ἴσου διαστήματος κεκοσμημένος. ἐπὶ δὲ τῶν μετακυργίων τούς τε ὀξυβελεῖς καὶ καταπέλτας καὶ λιθοβόλα καὶ πᾶν ἀφετήριον ὄργανον τιθέασιν, ἅπαντα πρὸς τὰς βολὰς ἕτοιμα. πύλαι δὲ ἐνοικοδομοῦνται τέσσαρες καθ' ἕκαστον τοῦ περιβόλου κλίμα, πρός τε εἰσόδους τῶν ὑποζυγίων εὐμαρεῖς καὶ πρὸς ἐκδρομὰς αὐτῶν, εἰ κατεπείγοι, πλατεῖαι. ῥυμοτομοῦσι δὲ εὐδιαθέτως εἴσω τὸ στρατόπεδον. καὶ μέσας μὲν τὰς τῶν ἡγεμόνων σκηνὰς τίθενται, μεσαίτατον δὲ τούτων τὸ στρατήγιον, ναῷ παραπλήσιον· ὥσπερ δὲ ἐν σχεδίῳ πόλις καὶ ἀγορά τις ἀποδείκνυται καὶ χειροτέχναις χωρίον, θῶκοί τε λοχαγοῖς καὶ ταξιάρχοις, ὅπῃ δικάζοιεν εἴ τινες διαφέροιντο. τειχίζεται δὲ ὁ περίβολος καὶ τὰ ἐν αὐτῷ

Digitized by Google

πάντα θᾶσσον ἐπινοίας πλήθει καὶ ἐπιστήμῃ τῶν πονούντων. εἰ δὲ ἐπείγοι, καὶ τάφρος ἔξωθεν περιβάλλεται, βάθος τετράπηχυς καὶ εὖρος ἴσον. φραξάμενοι 3 δὲ αὐλίζονται κατὰ συντάξεις ἕκαστοι μεθ' ἡσυχίας τε καὶ κόσμου. πάντα δὲ αὐτοῖς καὶ τὰ ἄλλα μετ' εὐταξίας ἀνύεται καὶ ἀσφαλείας, ξυλεία καὶ ἐπισιτισμός, εἰ δέοιντο, καὶ ὑδρεία κατὰ συντάξεις ἑκάστοις. οὔτε γὰρ δεῖπνον ἢ ἄριστον, ὁπότε θελήσειαν, αὐτεξούσιον ἑκάστῳ, πᾶσι δὲ ὁμοῦ· τούς τε ὕπνους αὐτοῖς καὶ τὰς φυλακὰς καὶ τὰς ἐξεγέρσεις σάλπιγγες προσημαίνουσιν, οὐδ' ἔστιν ὅ τι γίνεται δίχα παραγγέλματος. ὑπὸ δὲ τὴν ἕω τὸ στρατιωτικὸν μὲν ἐπὶ τοὺς ἑκατοντάρχας ἕκαστοι, πρὸς δὲ τοὺς χιλιάρχους οὗτοι συνίασιν ἀσπασόμενοι, μεθ' ὧν πρὸς τὸν ἡγεμόνα τῶν ὅλων οἱ ταξιάρχαι πάντες. ὃ δὲ αὐτοῖς τό τε ἐξ ἔθους σημεῖον καὶ τὰ ἄλλα παραγγέλματα δίδωσι διαφέρειν εἰς τοὺς ὑποτεταγμένους· ὃ δὴ καὶ ἐπὶ παρατάξεως πράττοντες ἐπιστρέφονται ταχέως, ἵνα, εἰ δέοι, καὶ πρὸς τὰς ἐφόδους αὐτοῖς καὶ πρὸς τὰς ἀνακλήσεις χωρῶσιν ἀθρόοι.

ἐξιέναι δὲ τοῦ στρατοπέδου δέον, ὑποσημαίνει μὲν 4 ἡ σάλπιγξ, ἠρεμεῖ δὲ οὐδείς, ἀλλ' ἅμα νεύματι τὰς μὲν σκηνὰς ἀναιροῦσι, πάντα δὲ ἐξαρτύονται πρὸς τὴν ἔξοδον. καὶ πάλιν αἱ σάλπιγγες ὑποσημαίνουσι παρεσκευάσθαι, οἱ δὲ ἐν τάχει τοῖς τε ὀρεῦσι καὶ τοῖς ὑποζυγίοις ἐπιθέντες τὴν ἀποσκευὴν ἑστᾶσιν ὥσπερ ἐφ' ὕσπληγος ἕτοιμοι, ὑποπιμπρᾶσί τε ἤδη τὴν παρεμβολήν, ὡς αὐτοῖς μὲν ὂν ῥᾴδιον ἐκεῖ πάλιν τειχίσασθαι, μὴ γένοιτο δὲ ἐκεῖνό ποτε τοῖς πολεμίοις χρήσιμον. καὶ τρίτον δὲ ὁμοίως αἱ σάλπιγγες προσημαίνουσι τὴν ἔξοδον, ἐπισπέρχουσαι τοὺς δι' αἰτίαν τινὰ βραδύνοντας, ὡς μή τις ἀπολειφθείη τῆς τάξεως. ὅ τε

Digitized by Google

κῆρυξ δεξιὸς τῷ πολεμάρχῳ παραστάς, εἰ πρὸς πόλεμόν εἰσιν ἕτοιμοι, τῇ πατρίῳ γλώσσῃ τρὶς ἀναπυνθάνεται. κἀκεῖνοι τοσαυτάκις ἀντιβοῶσι μέγα τι καὶ πρόθυμον, ἕτοιμοι λέγοντες εἶναι, φθάνουσί τε τὸν ἐπερωτῶντα, καί τινος ἀρηίου πνεύματος ὑποπιμπλάμενοι τῇ βοῇ συνεξαίρουσι τὰς δεξιάς.

5 ἔπειτα προϊόντες ὁδεύουσιν ἡσυχῇ καὶ μετὰ κόσμου πάντες, ὥσπερ ἐν πολέμῳ τὴν ἰδίαν τάξιν ἕκαστος φυλάσσων, οἱ μὲν πεζοὶ θώραξί τε πεφραγμένοι καὶ κράνεσι καὶ μαχαιροφοροῦντες ἀμφοτέρωθεν. μακρότερον δὲ αὐτῶν τὸ λαιὸν ξίφος πολλῷ· τὸ γὰρ κατὰ δεξιὸν σπιθαμῆς οὐ πλέον ἔχει μῆκος. φέρουσι δὲ οἱ μὲν περὶ τὸν στρατηγὸν ἐπίλεκτοι πεζοὶ λόγχην καὶ ἀσπίδα, ἡ δὲ λοιπὴ φάλαγξ ξυστόν τε καὶ θυρεὸν ἐπιμήκη, πρὸς οἷς πρίονα καὶ κόφινον ἄμην τε καὶ πέλεκυν, πρὸς δὲ ἱμάντα καὶ δρέπανον καὶ ἄλυσιν, ἡμερῶν τε τριῶν ἐφόδιον, ὡς ὀλίγον ἀποδεῖν τῶν ἀχθοφορούντων ὀρέων τὸν πεζόν. τοῖς δὲ ἱππεῦσι μάχαιρα μὲν ἐκ δεξιοῦ μακρὰ καὶ κοντὸς ἐπιμήκης ἐν χειρί, θυρεὸς δὲ παρὰ πλευρὸν ἵππου πλάγιος, καὶ κατὰ γωρυτοῦ παρήρτηνται τρεῖς ἢ πλείους ἄκοντες, πλατεῖς μὲν αἰχμάς, οὐκ ἀποδέοντες δὲ δοράτων μέγεθος· κράνη δὲ καὶ θώρακες, ὁμοίως τοῖς πεζοῖς ἅπασιν. οὐδενὶ δὲ ὅπλῳ διαλλάττουσιν οἱ περὶ τὸν στρατηγὸν ἐπίκριτοι τῶν ἐν ταῖς ἴλαις ἱππέων. κλήρῳ δὲ τῶν ταγμάτων ἀεὶ τὸ λαχὸν ἡγεῖται.

6 τοιαῦται μὲν οὖν αἱ Ῥωμαίων πορεῖαί τε καὶ καταλύσεις, πρὸς δὲ ὅπλων διαφοραί. οὐδὲν δὲ ἀπροβούλευτον ἐν ταῖς μάχαις οὐδὲ αὐτοσχέδιον, ἀλλὰ γνώμη μὲν ἀεὶ παντὸς ἔργου προάγει, τοῖς δοχθεῖσι δὲ ἕπεται τὰ ἔργα· παρ' ὃ καὶ σφάλλονται μὲν ἥκιστα, κἂν πταίσωσι δέ, ῥᾳδίως ἀναλαμβάνουσι τὰ σφάλματα. ἡγοῦν-

Digitized by Google

ταί τε τῶν ἀπὸ τύχης ἐπιτευγμάτων ἀμείνους τὰς ἐπὶ τοῖς προβουλευθεῖσι διαμαρτίας, ὡς τοῦ μὲν αὐτομάτου καλοῦ δελεάζοντος εἰς ἀπρομήθειαν, τῆς σκέψεως δέ, κἂν ἀτυχήσῃ ποτέ, πρὸς τὸ μὴ αὖθις καλὴν ἐχούσης μελέτην, καὶ τῶν μὲν αὐτομάτων ἀγαθῶν οὐ τὸν λαβόντα αἴτιον εἶναι, τῶν δὲ παρὰ γνώμην προσπεσόντων σκυθρωπῶν παραμυθίαν τό γε προσηκόντως βεβουλεῦσθαι.

παρασκευάζουσι μὲν οὖν ἐν ταῖς μελέταις τῶν 7
ὅπλων οὐ τὰ σώματα μόνον ἀλλὰ καὶ τὰς ψυχὰς ἀλκίμους, προσασκοῦνται δὲ καὶ τῷ φόβῳ. οἵ τε γὰρ νόμοι παρ' αὐτοῖς οὐ λιποταξίου μόνον ἀλλὰ καὶ ῥαστώνης ὀλίγης θανατικοί, οἵ τε στρατηγοὶ τῶν νόμων φοβερώτεροι· ταῖς γὰρ πρὸς τοὺς ἀγαθοὺς τιμαῖς ῥύονται τὸ δοκεῖν ὠμοὶ πρὸς τοὺς κολαζομένους. τοσοῦτον δὲ αὐτῶν τὸ πρὸς τοὺς ἡγεμόνας πειθήνιον ὡς ἕν τε εἰρήνῃ κόσμου εἶναι καὶ ἐπὶ παρατάξεως ἓν σῶμα τὴν ὅλην στρατιάν. οὕτως αὐτῶν συναφεῖς μὲν αἱ τάξεις, εὔστροφοι δέ εἰσιν αἱ περιαγωγαί, ὀξεῖαι δὲ ἀκοαὶ μὲν παραγγέλμασιν, ὄψεις δὲ σημείοις, ἔργοις δὲ χεῖρες. ἔνθεν δρᾶσαι μὲν ἀεὶ ταχεῖς, βραδύτατοι δὲ παθεῖν εἰσίν. οὐδὲ ἔστιν ὅπου συστάντες ἢ πλήθους ἡττήθησαν ἢ στρατηγημάτων ἢ δυσχωρίας, ἀλλ' οὐδὲ τύχης· καὶ γὰρ ταύτης αὐτοῖς τὸ κρατεῖν βεβαιότερον. οἷς οὖν βουλὴ μὲν ἄρχει πράξεως, ἕπεται δὲ τοῖς βεβουλευμένοις στρατὸς οὕτω δραστήριος, τί θαυμαστὸν εἰ πρὸς ἕω μὲν Εὐφράτης, ὠκεανὸς δὲ πρὸς ἑσπέραν, μεσημβρινὸν δὲ Λιβύης τὸ πιότατον, καὶ πρὸς ἄρκτον Ἴστρος τε καὶ Ῥῆνος τῆς ἡγεμονίας ὅροι; δεόντως γὰρ ἂν τις εἴποι τὸ κτῆμα τῶν κτησαμένων ἔλασσον.

ταῦτα μὲν οὖν διεξῆλθον οὐ Ῥωμαίους ἐπαινέσαι 8
προαιρούμενος τοσοῦτον ὅσον εἴς τε παραμυθίαν τῶν

Digitized by Google

κεχειρωμένων καὶ εἰς ἀποτροπὴν τῶν νεωτεριζόντων. εἴη δ' ἂν τοῖς ἀγνοοῦσι τῶν φιλοκαλούντων καὶ πρὸς ἐμπειρίαν ἡ ἀγωγὴ τῆς Ῥωμαίων στρατιᾶς. ἐπάνειμι δὲ ὅθεν ἐπὶ ταῦτα ἐξέβην.

6 Οὐεσπασιανὸς μὲν ἅμα τῷ παιδὶ Τίτῳ διατρίβων τέως ἐν Πτολεμαΐδι συνέτασσε τὰς δυνάμεις· ὁ δὲ τὴν Γαλιλαίαν κατατρέχων Πλάκιδος ἐπεὶ πολὺ μὲν πλῆθος ἀνηρήκει τῶν καταλαμβανομένων (τοῦτο δὲ ἦν τὸ ἀσθενέστερον Γαλιλαίων καὶ ταῖς ψυχαῖς ἐναποκάμνον), ὁρῶν δὲ τὸ μάχιμον ἀεὶ συμφεῦγον εἰς τὰς ὑπὸ τοῦ Ἰωσήπου τειχισθείσας πόλεις, ὥρμησεν ἐπὶ τὴν ὀχυρωτάτην αὐτῶν Ἰωτάπατα, οἰόμενος ἐξ ἐφόδου μὲν αἱρήσειν ῥᾳδίως, μέγα δὲ κλέος ἑαυτῷ παρὰ τοῖς ἡγεμόσι κἀκείνοις ὄφελος εἰς τὰ λοιπὰ παρέξειν· προσχωρήσειν γὰρ δέει τὰς ἄλλας πόλεις, τῆς καρτερωτάτης ἐχομένης. πολύ γε μὴν διήμαρτε τῆς ἐλπίδος· ἐπιόντα γὰρ αὐτὸν οἱ Ἰωταπατηνοὶ προαισθόμενοι πρὸ τῆς πόλεως ἐκδέχονται, καὶ τοῖς Ῥωμαίοις συρραγέντες ἀδοκήτως πολλοὶ καὶ πρὸς μάχην ἕτοιμοι πρόθυμοί τε ὡς ἂν ὑπὲρ κινδυνευούσης πατρίδος καὶ γυναικῶν καὶ τέκνων, τρέπονται ταχέως, καὶ πολλοὺς μὲν τιτρώσκουσι τῶν Ῥωμαίων, ἑπτὰ δὲ ἀναιροῦσι διὰ τὸ μήτε ἄτακτον αὐτῶν τὴν ὑποχώρησιν γενέσθαι καὶ τὰς πληγὰς ἐπικολαίους, πεφραγμένων πάντοθεν τῶν σωμάτων, τούς τε Ἰουδαίους πόρρωθεν βάλλειν πλέον ἢ συμπλέκεσθαι θαρρεῖν, γυμνήτας ὁπλίτας. ἔπεσον δὲ καὶ τῶν Ἰουδαίων τρεῖς ἄνδρες καὶ ἐτρώθησαν ὀλίγοι. ὁ Πλάκιδος μὲν οὖν τῆς ἐπὶ τὴν πόλιν ὁρμῆς ἀτονώτερος εὑρε-
2 θεὶς φεύγει, Οὐεσπασιανὸς δὲ ὡρμημένος αὐτὸς ἐμβάλλειν εἰς τὴν Γαλιλαίαν ἐξελαύνει τῆς Πτολεμαΐδος, διατάξας τὴν στρατιὰν ὁδεύειν καθὰ Ῥωμαίοις ἔθος. τοὺς μέν γε ψιλοὺς τῶν ἐπικούρων καὶ τοξότας προέ-

Digitized by Google

γειν ἐκέλευσεν, ὡς ἀνακόπτοιεν τὰς ἐξαπιναίους τῶν πολεμίων ἐπιδρομὰς καὶ διερευνῷεν τὰς ὑπόπτους καὶ λοχᾶσθαι δυναμένας ὕλας. οἷς εἵπετο καὶ Ῥωμαίων ὁπλιτικὴ μοῖρα, πεζοί τε καὶ ἱππεῖς. τούτοις ἀφ' ἑκάστης ἑκατονταρχίας ἠκολούθουν δέκα, τήν τε αὐτῶν σκευὴν καὶ τὰ μέτρα τῆς παρεμβολῆς φέροντες, καὶ μετ' αὐτοὺς ὁδοποιοί, τά τε σκολιὰ τῆς λεωφόρου κατευθύνειν καὶ χθαμαλοῦν τὰ δύσβατα καὶ τὰς ἐμποδίους ὕλας προανακόπτειν, ὡς μὴ ταλαιπωροῖτο δυσποροῦν τὸ στράτευμα. κατόπιν δὲ τούτων τάς τε ἰδίας καὶ τὰς τῶν ὑπ' αὐτὸν ἡγεμόνων ἔταξεν ἀποσκευάς, καὶ συχνοὺς ἐπὶ τούτοις πρὸς ἀσφάλειαν τῶν ἱππέων. μεθ' οὓς αὐτὸς ἐξήλαυνε, τούς τε ἐπιλέκτους τῶν πεζῶν καὶ ἱππέων καὶ τοὺς λογχοφόρους ἔχων. εἵπετο δὲ αὐτῷ τὸ ἴδιον τοῦ τάγματος ἱππικόν· ἴδιοι γὰρ ἑκάστου τάγματος εἴκοσι πρὸς τοῖς ἑκατὸν ἱππεῖς. τούτοις δὲ ἠκολούθουν οἱ τὰς ἑλεπόλεις φέροντες ὀρεῖς καὶ τὰ λοιπὰ μηχανήματα. μετὰ δὲ τούτους ἡγεμόνες τε καὶ σπειρῶν ἔπαρχοι σὺν χιλιάρχοις, ἐπιλέκτους περὶ σφᾶς στρατιώτας ἔχοντες. ἔπειτα αἱ σημαῖαι περιίσχουσαι τὸν ἀετόν, ὃς παντὸς ἄρχει Ῥωμαίοις τάγματος, βασιλεύς τε οἰωνῶν ἁπάντων καὶ ἀλκιμώτατος ὤν· ὃ δὴ καὶ τῆς ἡγεμονίας τεκμήριον αὐτοῖς καὶ κληδὼν ἐφ' οὓς ἂν ἴωσι τοῦ κρατήσειν δοκεῖ. τοῖς ἱεροῖς δὲ ἠκολούθουν οἱ σαλπιγκταί, καὶ κατόπιν αὐτῶν ἡ φάλαγξ τὸ στῖφος εἰς ἓξ πλατύνουσα. τούτοις παρείπετό τις ἑκατοντάρχης ἐξ ἔθους τὴν τάξιν ἐπισκοπούμενος. τὸ δὲ οἰκετικὸν ἑκάστου τάγματος ἅπαν τοῖς πεζοῖς εἵπετο, τὰς ἀποσκευὰς τῶν στρατιωτῶν ἐπὶ τοῖς ὀρεῦσι καὶ τοῖς ὑποζυγίοις ἄγοντες. κατόπιν δὲ πάντων τῶν ταγμάτων ὁ μίσθιος ὄχλος, οἷς οὐραγοὶ πρὸς ἀσφάλειαν ἠκολούθουν πεζοί τε καὶ ὁπλῖται καὶ τῶν ἱππέων συχνοί.

Digitized by Google

3 οὕτως ὁδεύσας Οὐεσπασιανὸς μετὰ τῆς δυνάμεως πρὸς τοὺς ὅρους ἀφικνεῖται τῆς Γαλιλαίας, ἔνθα καταστράτοπεδευσάμενος ὡρμημένους εἰς πόλεμον τοὺς στρατιώτας κατεῖχεν, ἐπιδεικνύμενός τε τὴν στρατιὰν εἰς κατάπληξιν τοῖς πολεμίοις, καὶ μετανοίας διδοὺς καιρόν, εἰ πρὸ μάχης μεταβάλοιντο. ἅμα δὲ καὶ πρὸς πολιορκίαν τῶν ἐρυμάτων ἐξηρτύετο. μετάνοιαν μὲν οὖν τῆς ἀποστάσεως ὀφθεὶς ὁ στρατηγὸς πολλοῖς ἐνειργάσατο, κατάπληξιν δὲ πᾶσιν. οἱ γὰρ περὶ τὸν Ἰώσηπον ἑστρατοπεδευκότες οὐκ ἄπωθεν τῆς Σεπφώρεως, παρὰ πόλιν Γαλὶν καλουμένην, ἐπεὶ πλησιάζοντα τὸν πόλεμον ἤκουσαν ὅσον τε οὔπω τοὺς Ῥωμαίους συμμίξοντας σφίσιν, οὐ μόνον πρὸ μάχης ἀλλὰ καὶ πρὶν ἰδεῖν τοὺς ἐχθροὺς διασκίδνανται φυγῇ. καταλείπεται δὲ ὁ Ἰώσηπος μετ' ὀλίγων, καὶ κατιδὼν ὡς οὔτε δέχεσθαι τοὺς πολεμίους ἀρκετὴν ἔχει δύναμιν, καὶ πεπτωκότα τὰ φρονήματα τῶν Ἰουδαίων, ἅσμενοί τε ἂν εἰ πιστεύοιντο χωροῖεν οἱ πλείους ἐπὶ σπονδάς, ἐδεδίει μὲν ἤδη περὶ παντὸς τοῦ πολέμου, τότε δὲ ὡς πορρωτάτω χωρίζεσθαι τῶν κινδύνων ἔκρινεν. ἀναλαβὼν δὴ τοὺς συμμείναντας εἰς Τιβεριάδα καταφεύγει.

7 Οὐεσπασιανὸς δὲ τῇ πόλει τῶν Γαδαρέων ἐπελθὼν αἱρεῖ τε κατὰ πρώτην ἔφοδον αὐτήν, μαχίμου πλήθους ἔρημον καταλαβών, καὶ παρελθὼν εἴσω πάντας ἡβηδὸν ἀναιρεῖ, μηδεμιᾶς τῶν Ῥωμαίων ἡλικίας ἔλεον ποιουμένων μίσει τῷ πρὸς τὸ ἔθνος καὶ μνήμῃ τῆς κατὰ τὸν Κέστιον αὐτῶν παρανομίας. ἐμπίπρησι δ' οὐ μόνον αὐτὴν τὴν πόλιν, ἀλλὰ καὶ τὰς πέριξ κώμας πάσας τε καὶ πολίχνας, ἃς μὲν παντελῶς ἐκλελειμμένας, ἔστι δὲ ἃς αὐτὸς ἐξανδραποδιζόμενος.

2 ὁ δὲ Ἰώσηπος ἣν πρὸς ἀσφάλειαν εἵλετο πόλιν, αὐτὸς ἐνέπλησε δέους καταφυγών. οἱ δὲ ἀπὸ τῆς

Digitized by Google

Τιβεριάδος οὐκ ἄν, εἰ μὴ πρὸς ἅπαν ἀπεγνώκει τὸν πόλεμον, τραπῆναί ποτε αὐτὸν ᾤοντο. καὶ κατὰ τοῦτό γε οὐ διημάρτανον αὐτοῦ τῆς γνώμης· ἑώρα μὲν γὰρ οἷ ῥέψει τὰ Ἰουδαίων τέλους, καὶ μίαν αὐτῶν ᾔδει σωτηρίαν εἰ μεταβάλοιντο, αὐτὸς δὲ καίπερ συγγνωσθήσεσθαι παρὰ Ῥωμαίοις προσδοκῶν, ὅμως τεθνάναι μᾶλλον εἵλετο πολλάκις ἢ καταπροδοὺς τὴν πατρίδα καὶ τὴν ἐμπιστευθεῖσαν αὐτῷ στρατηγίαν ὑβρίσας εὐτυχεῖν παρ' οἷς πολεμήσων ἐπέμφθη. γράφειν οὖν τοῖς ἐν τέλει τῶν Ἱεροσολύμων διέγνω μετ' ἀκριβείας τὰ πράγματα, ὡς μήτε ἐπὶ τὸ μεῖζον ἐξάρας τὴν τῶν πολεμίων ἰσχὺν αὖθις εἰς δειλίαν κακίζοιτο, μήτε ἐνδεέστερον ἀπαγγείλας κἂν μετανοήσαντας ἴσως θρασύνειεν, ἵνα τε ἢ σπουδὰς αἱρούμενοι ταχέως ἀντιγράψωσιν, ἢ πολεμεῖν ἐγνωκότες ἀξιόμαχον πρὸς Ῥωμαίους πέμψωσιν αὐτῷ δύναμιν. ὁ μὲν οὖν ταῦτα ἐπισκείλας πέμπει διὰ τάχους ἐπὶ Ἱεροσολύμων τοὺς τὰ γράμματα κομίζοντας· Οὐεσπασιανὸς δὲ ὡρμημένος ἐξαιρεῖν τὴν 3
Ἰωταπάτην (πέπυστο γὰρ εἰς αὐτὴν πλείστους τῶν πολεμίων συμπεφευγέναι, καὶ ἄλλως ὁρμητήριον ἰσχυρὸν οὖσαν αὐτῶν), πέμπει πεζούς τε καὶ ἱππεῖς τοὺς προεξομαλιοῦντας τὴν ὁδόν, ὀρεινὴν ὑπάρχουσαν καὶ πετρώδη, δύσβατόν τε καὶ πεζοῖς, ἱππεῦσι δὲ ἀμήχανον. οἳ μὲν οὖν τέσσαρσιν ἡμέραις ἐξειργάσαντο, καὶ πλατεῖαν ἤνοιξαν τῇ στρατιᾷ λεωφόρον· τῇ πέμπτῃ δὲ ὁ Ἰώσηπος (αὕτη δὲ ἦν Ἀρτεμισίου μηνὸς εἰκοστὴ πρώτη) φθάνει παρελθὼν εἰς τὴν Ἰωταπάτην ἐκ τῆς Τιβεριάδος, καὶ πεπτωκότα τοῖς Ἰουδαίοις ἀνίστησι τὰ φρονήματα. Οὐεσπασιανῷ δέ τις εὐαγγελίζεται τὴν μετάβασιν τοῦ ἀνδρὸς αὐτόμολος, καὶ κατήπειγεν ἐπὶ τὴν πόλιν ὡς μετ' ἐκείνης αἱρήσοντα πᾶσαν Ἰουδαίαν, εἰ λάβοι τὸν Ἰώσηπον ὑποχείριον. ὁ δὲ ἁρπάσας ὥσπερ μέγιστον

Digitized by Google

εὐτύχημα τὴν ἀγγελίαν, καὶ προνοίᾳ θεοῦ τὸν συνετώτατον εἶναι δοκοῦντα τῶν πολεμίων οἰόμενος εἰς αὐθαίρετον εἰρκτὴν παρελθεῖν, εὐθέως μὲν σὺν χιλίοις ἱππεῦσι πέμπει Πλάκιδον καὶ δεκαδάρχην Ἐβούτιον, ἄνδρα τῶν ἐπισήμων κατὰ χεῖρα καὶ σύνεσιν, περικατασχεῖν κελεύσας τὴν πόλιν, ὡς μὴ λάθοι διαδρὰς ὁ Ἰώσηπος· αὐτὸς δὲ μετὰ μίαν ἡμέραν ἀναλαβὼν πᾶσαν τὴν δύναμιν εἵπετο, καὶ μέχρι δείλης ὀδεύσας πρὸς τὴν Ἰωταπάτην ἀφικνεῖται. ἀναλαβὼν δὲ τὴν στρατιὰν εἰς τὸ προσάρκτιον αὐτῆς μέρος πρός τινι λόφῳ στρατοπεδεύεται, διέχοντι σταδίους ἑπτὰ τῆς πόλεως, πειρώμενος ὡς μάλιστα τοῖς πολεμίοις εὐσύνοπτος εἶναι πρὸς ἔκπληξιν· ἢ καὶ παραχρῆμα τοσαύτη τοὺς Ἰουδαίους κατέσχεν ὡς μηδένα τοῦ τείχους τολμῆσαι προελθεῖν. Ῥωμαῖοι δ' εὐθὺς μὲν ἀπώκνησαν προσβαλεῖν, δι' ὅλης ὠδευκότες ἡμέρας· διπλῇ δὲ τῇ φάλαγγι κυκλοῦνται τὴν πόλιν, καὶ τρίτην ἔξωθεν περιιστᾶσι τὴν ἵππον, πάσας ἀποφράσσοντες αὐτοῖς τὰς ἐξόδους. τοῦτό γε ἐν ἀπογνώσει σωτηρίας παρώξυνε τοὺς Ἰουδαίους πρὸς τόλμαν· οὐδὲν γὰρ ἀνάγκης ἐν πολέμῳ μαχιμώτερον.

5 γενομένης δὲ μεθ' ἡμέραν προσβολῆς, τὸ μὲν πρῶτον Ἰουδαῖοι κατὰ χώραν μένοντες ἀντεῖχον ἀνακρὺ τῶν Ῥωμαίων, ἐξεστρατοπεδευκότες πρὸ τοῦ τείχους· ὡς δὲ Ὀεσπασιανὸς τούτοις μὲν τοὺς τοξότας καὶ σφενδονήτας καὶ πᾶν τὸ τῶν ἐκηβόλων πλῆθος ἐπιστήσας ἐπέτρεψε βάλλειν, αὐτὸς δὲ μετὰ τῶν πεζῶν εἰς τὸ πρόσαντες ἀνώθει, καθ' ὃ τὸ τεῖχος ἦν εὐάλωτον, δείσας ὁ Ἰώσηπος περὶ τῇ πόλει προπηδᾷ, καὶ σὺν αὐτῷ πᾶν τὸ τῶν Ἰουδαίων πλῆθος. συμπεσόντες δὲ τοῖς Ῥωμαίοις ἀθρόοι τοῦ μὲν τείχους ἀνέστειλαν αὐτούς, πολλὰ δὲ ἐπεδείκνυντο χειρῶν ἔργα καὶ τόλμης.

Digitized by Google

οὐκ ἐλάσσω γε μὴν ὧν ἔδρων ἀντέπασχον· ὅσον γὰρ αὐτοὺς ἡ τῆς σωτηρίας ἀπόγνωσις, τοσοῦτον τοὺς Ῥωμαίους αἰδὼς παρεκρότει, καὶ τοὺς μὲν ἐμπειρία μετ' ἀλκῆς, τοὺς δὲ θράσος ὥπλιζε τῷ θυμῷ στρατηγουμένους. παραταξάμενοι δὲ δι' ὅλης ἡμέρας νυκτὶ διαλύονται, τρώσαντες μὲν πλείστους Ῥωμαίων, τρισκαίδεκα δὲ ἀνελόντες ἄνδρας· αὐτῶν δὲ ἔπεσον μὲν δεκαεπτά, τραυματίαι δὲ ἐγένοντο ἑξακόσιοι.

τῇ δὲ ὑστεραίᾳ πάλιν προσβάλλουσι τοῖς Ῥωμαίοις 6 ἐπεξελθόντες πολὺ καρτερώτερον ἀντιπαρετάξαντο, θαρραλεώτεροι μὲν ἐκ τοῦ παρὰ λόγον ἀντισχεῖν τῇ προτέρᾳ γεγενημένοι, χρώμενοι δὲ καὶ τοῖς Ῥωμαίοις μαχιμωτέροις· ὑπὸ γὰρ αἰδοῦς εἰς ὀργὴν ἐξεκαίοντο, τὸ μὴ ταχέως νικᾶν ἧττον ἡγούμενοι. καὶ μέχρι πέμπτης ἡμέρας προσβολαὶ μὲν ἐγίνοντο τῶν Ῥωμαίων ἀδιάλειπτοι, ἐκδρομαὶ δὲ τῶν Ἰωταπατηνῶν καὶ τειχομαχίαι καρτερώτεραι· καὶ οὔτε Ἰουδαῖοι τὴν τῶν πολεμίων ἰσχὺν κατωρρώδουν, οὔτε Ῥωμαῖοι πρὸς τὸ τῆς πόλεως δυσάλωτον ἀπέκαμνον.

ἔστι δὲ Ἰωταπάτη πλὴν ὀλίγου πᾶσα κρημνός, ἐκ 7 μὲν τῶν ἄλλων μερῶν πάντοθεν φάραγξιν ἀπείροις ἀπότομος, ὡς τῶν κατιδεῖν πειρωμένων τὰς ὄψεις προεξασθενεῖν τοῦ βάθους, ἀπὸ βορέου δὲ προσιτὴ μόνον, καθ' ὃ λήγοντι τῷ ὄρει πλαγίῳ προσέπτισται. καὶ τοῦτο δ' ὁ Ἰώσηπος ἐμπεριειλήφει τειχίζων τὴν πόλιν, ὡς ἀκατάληπτον εἶναι πολεμίοις τὴν ὑπὲρ αὐτῆς ἀκρώρειαν· κυκλόθεν δὲ ἄλλοις ὄρεσι καλυπτομένη, πρὶν εἰσαφίκοιτό τις αὐτήν, παντελῶς ἀόρατος ἦν.

εἶχε μὲν οὕτως ὀχυρότητος Ἰωταπάτη, Ὑεσπασιανὸς 8 δὲ τῇ τε φύσει τοῦ χωρίου καὶ ταῖς τόλμαις τῶν Ἰουδαίων ἀντιφιλονεικῶν ἔγνω καρτερώτερον ἅπτεσθαι τῆς πολιορκίας, καὶ προσκαλεσάμενος τοὺς ὑπ' αὐτὸν

Digitized by Google

ἡγεμόνας ἐβουλεύετο περὶ τῆς προσβολῆς. δόξαν δὲ
χῶσαι τὸ προσιτὸν τοῦ τείχους, ἐπὶ συγκομιδὴν ὕλης
ἐκπέμπει πᾶν τὸ στράτευμα, καὶ κοπέντων τῶν περὶ
τὴν πόλιν ὁρῶν, συναλισθείσης δὲ ἅμα τοῖς ξύλοις ἀπει-
ρου χερμάδος, οἱ μὲν πρὸς ἀλεωρὰν τῶν ὕπερθεν ἀφιε-
μένων βελῶν γέρρα διατείναντες ὑπὲρ χαρακωμάτων
ἐχώννυον ὑπ' αὐτοῖς, οὐδὲν ἧσσον μικρὰ βλαπτόμενοι ταῖς
ἀπὸ τοῦ τείχους βολαῖς, οἱ δὲ τοὺς πλησίον ὄχθους ἀνα-
σπῶντες γῆν αὐτοῖς ἀδιαλείπτως προσέφερον· καὶ τρι-
χῇ διῃρημένων ἀργὸς ἦν οὐδείς. οἱ δὲ Ἰουδαῖοι πέ-
τρας τε μεγάλας ἀπὸ τῶν τειχῶν τοῖς σκεπάσμασιν αὐ-
τῶν ἐπηφίεσαν καὶ πᾶν εἶδος βελῶν. ἦν δὲ καὶ μὴ δυ-
κνουμένων πολὺς ὁ ψόφος καὶ φοβερὸς ἐμπόδιον τοῖς
ἐργαζομένοις.

9 Ὀεσπασιανὸς δὲ ἐν κύκλῳ τὰς ἀφετηρίους μηχανὰς
ἐπιστήσας (τὰ πάντα δὲ ἦν ἑκατὸν ἑξήκοντα ὄργανα)
βάλλειν ἐκέλευσε τοὺς ἐπὶ τοῦ τείχους. ὁμοῦ δὲ οἵ τε
καταπέλται τὰς λόγχας ἀνερροίζουν, καὶ ταλαντιαῖοι
λίθοι μέγεθος ἐκ τῶν πετροβόλων ἐβάλλοντο, πῦρ τε
καὶ πλῆθος ἀθρόων ὀιστῶν, ἅπερ οὐ μόνον τὸ τεῖχος
ἀνεπίβατον τοῖς Ἰουδαίοις ἐποίησεν, ἀλλὰ καὶ τῆς ἐν-
τὸς ὅσης ἐφικνεῖτο χώρας· καὶ γὰρ τὸ τῶν Ἀράβων
τοξοτῶν πλῆθος ἀκοντισταί τε καὶ σφενδονῆται πάν-
τες ἅμα τοῖς μηχανήμασιν ἔβαλλον. οὐ μὴν εἰργόμε-
νοι τῆς καθύπερθεν ἀμύνης ἠρέμουν· ἐκτρέχοντες γὰρ
λῃστρικώτερον κατὰ λόχους περιέσπων τε τῶν ἐργαζο-
μένων τὰς σκέπας καὶ τοὺς γυμνουμένους ἔπαιον, καὶ
καθ' ὃ παρείκοιεν ἐκεῖνοι διερρίπτουν τὸ χῶμα, καὶ τὰ
χαρακώματα σὺν τοῖς γέρροις ἐνεπίμπρασαν, μέχρι συν-
εἰς Ὀεσπασιανὸς τὴν διαίρεσιν τῶν ἔργων αἰτίαν εἶναι
τῆς βλάβης (τὰ γὰρ διαστήματα τοῖς Ἰουδαίοις πρὸς-
βολῆς παρεῖχε τόπον) ἐνοῖ τὰς σκέπας· καὶ συναρθεί-

Digitized by Google

σης ἅμα αὐταῖς τῆς δυνάμεως ἀνείρχθησαν αἱ τῶν Ἰουδαίων παραδύσεις.

ἐγειρομένου δὲ τοῦ χώματος ἤδη καὶ ταῖς ἐπάλ- 10
ξεσιν ὅσον οὔπω πλησιάζοντος, δεινὸν ὁ Ἰώσηπος νομίσας εἰ μηδὲν ἀντιμηχανήσαιτο τῇ πόλει σωτήριον, συναθροίζει τέκτονας, καὶ τὸ τεῖχος ἐκέλευσεν ὑψοῦν. τῶν δὲ ἀδύνατον εἶναι φαμένων οἰκοδομεῖν τοσούτοις βέλεσι βαλλομένους, σκέπην αὐτοῖς ἐπινοεῖ τοιάνδε. δρυφάκτους πήξασθαι κελεύσας ἐμπετάσαι τε βύρσας νεοδόρους βοῶν, ὡς ἂν δέχοιντο μὲν τοὺς ἀπὸ τῶν πετροβόλων λίθους κολπούμεναι, περιολισθάνοι δὲ ἀπ' αὐτῶν τὰ λοιπὰ βέλη καὶ τὸ πῦρ ὑπὸ τῆς ἰκμάδος εἴργοιτο, προανίστησι τῶν τεκτόνων· ὑφ' οἷς ἀσφαλῶς ἐργαζόμενοι δι' ἡμέρας τε καὶ νυκτὸς τὸ τεῖχος ἤγειραν εἰς εἴκοσι πήχεις τὸ ὕψος, καὶ συχνοὺς μὲν πύργους ἐνῴκοδόμησαν αὐτῷ, κατερὰν δὲ ἔπαλξιν ἐφηρμόσαντο. τοῦτο τοῖς Ῥωμαίοις ἐντὸς ἤδη τῆς πόλεως οἰομένοις εἶναι πολλὴν ἐποίησεν ἀθυμίαν, καὶ πρός τε τὴν ἐπίνοιαν τοῦ Ἰωσήπου καὶ τὸ παράστημα τῶν ἐπὶ τῆς πόλεως κατεπλάγησαν.

Οὐεσπασιανὸς δὲ καὶ πρὸς τὸ πανοῦργον τοῦ στρα- 11
τηγήματος καὶ πρὸς τὰς τόλμας παρωξύνετο τῶν Ἰωταπατηνῶν. πάλιν γὰρ ἀναθαρσήσαντες ἐπὶ τῷ τειχισμῷ τοῖς Ῥωμαίοις ἐπεξέθεον, καὶ καθ' ἡμέραν ἐγίνοντο συμπλοκαὶ κατὰ λόχους ἐπίνοιά τε ληστρικὴ πᾶσα καὶ τῶν προστυχόντων ἁρπαγαὶ καὶ τῶν ἄλλων ἔργων πυρπολήσεις, ἕως Οὐεσπασιανὸς ἀναπαύσας τὴν στρατιὰν μάχης, διέγνω προσκαθεζόμενος σπάνει τῶν ἐπιτηδείων αἱρεῖν τὴν πόλιν· ἦ γὰρ ἀναγκαζομένους ἀπορίᾳ τῶν ἀναγκαίων ἱκετεύσειν αὐτόν, ἢ μέχρι παντὸς ἀπαυθαδιασαμένους διαφθαρήσεσθαι λιμῷ. πολύ τε ῥᾴδιον αὐτοῖς χρήσεσθαι ἡξίου κατὰ τὴν μάχην, εἰ δια-

Digitized by Google

λιπὼν αὖθις ἐκτετρυχωμένοις ἐπιπέσοι. φρουρεῖν δὴ πάσας αὐτῶν ἐκέλευσε τὰς ἐξόδους.

12 τοῖς δὲ σίτου μὲν ἦν πλῆθος ἔνδον καὶ τῶν ἄλλων πλὴν ἁλὸς ἁπάντων, ἔνδεια δὲ ὕδατος ὡς ἂν πηγῆς μὲν οὐκ οὔσης κατὰ τὴν πόλιν, τῷ δὲ ὀμβρίῳ διαρκουμένων τῶν ἐν αὐτῇ. σπάνιον δὲ εἴ ποτε τὸ κλίμα τοῦτο θέρους ὕεται. καὶ κατὰ ταύτην τὴν ὥραν πολιορκουμένων ἀθυμία δεινὴ πρὸς τὴν τοῦ δίψους ἐπίνοιαν ἦν, ἤσχαλλόν τε ὡς ἤδη ἐπιλελοιπότος καθάπαξ ὕδατος. ὁ γὰρ Ἰώσηπος τήν τε πόλιν ὁρῶν τῶν ἄλλων ἐπιτηδείων εὔπορον καὶ τὰ φρονήματα γενναῖα τῶν ἀνδρῶν, βουλόμενός τε Ῥωμαίοις παρ' ἐλπίδα ἐκτεῖναι τὴν πολιορκίαν, μέτρῳ τὸ ποτὸν αὐτοῖς διένεμεν. οἳ δὲ τὸ ταμιεύεσθαι χαλεπώτερον ἐνδείας ὑπελάμβανον, καὶ τὸ μὴ αὐτεξούσιον αὐτῶν πλέον ἐκίνει τὴν ὄρεξιν, καὶ καθάπερ εἰς ἔσχατον ἤδη δίψους προήκοντες ἀπέκαμνον. διακείμενοι δὲ οὕτως οὐκ ἐλάνθανον τοὺς Ῥωμαίους· ἀπὸ γὰρ τοῦ κατάντους ἑώρων αὐτοὺς ὑπὲρ τὸ τεῖχος ἐφ' ἕνα συρρέοντας τόπον καὶ μετρουμένους τὸ ὕδωρ, ἐφ' ὃν καὶ τοῖς ὀξυβελέσιν ἐξικνούμενοι πολλοὺς ἀνῄρουν.

13 καὶ Ὀεσπασιανὸς μὲν οὐκ εἰς μακρὰν τῶν ἐπόχειλων κενωθέντων ἤλπιζεν ὑπὸ τῆς ἀνάγκης αὐτῷ παραδοθήσεσθαι τὴν πόλιν· ὁ δὲ Ἰώσηπος κλέπτει τὴν ἐλπίδα ταύτην αὐτῷ προαιρούμενος ἐμβρέξαι κελεύει πλείστους τὰ ἱμάτια, καὶ κατακρεμάσαι περὶ τὰς ἐπάλξεις, ὥστε περιρρεῖσθαι πᾶν ἐξαπίνης τὸ τεῖχος πρὸς τοῦτο ἀθυμία τῶν Ῥωμαίων καὶ κατάπληξις ἦν, θεασαμένων εἰς χλεύην τοσοῦτον παραναλίσκοντας ὕδατος, οὗς οὐδὲ ποτὸν ἔχειν ὑπελάμβανον. ὥστε καὶ τὸν στρατηγὸν ἀπογνόντα τὴν δι' ἐνδείας ἅλωσιν τρέπεσθαι πάλιν πρὸς ὅπλα καὶ βίαν. ὃ δὴ τοῖς Ἰου-

Digitized by Google

δαίοις δι' ἐπιθυμίας ἦν· ἀπεγνωκότες γὰρ ἑαυτοὺς καὶ τὴν πόλιν, πρὸ λιμοῦ καὶ δίψης τὸν ἐν πολέμῳ θάνατον ᾑροῦντο.

ὁ μέντοι γε Ἰώσηπος πρὸς τῷδε τῷ στρατηγήματι 14
καὶ ἕτερον ἐνενόησεν εἰς περιουσίαν αὐτῷ. διά τινος χαράδρας δυσβάτου καὶ διὰ τοῦτο ὑπὸ τῶν φυλάκων ἀμελουμένης, κατὰ τὰ πρὸς δύσιν μέρη τῆς φάραγγος, ἐκπέμπων τινὰς γράμματά τε πρὸς οὓς ἐβούλετο τῶν ἔξω Ἰουδαίων διεπέμψατο καὶ παρ' αὐτῶν ἐλάμβανε, παντός τε ἐπιτηδείου τῶν ἐπιλελοιπότων ἀνὰ τὴν πόλιν εὐπόρησεν, ἕρπειν τὰ πολλὰ παρὰ τὰς φυλακὰς κελεύσας τοῖς εἰσιοῦσι, καὶ τὰ νῶτα καλύπτειν νάκεσιν, ὡς εἰ καὶ κατίδοι τις αὐτοὺς νύκτωρ, φαντασίαν παρέχοιεν κυνῶν, μέχρι συναισθόμενοι τὴν ἐπίνοιαν οἱ φρουροὶ περιίσχουσι τὴν χαράδραν.

καὶ τότε Ἰώσηπος μὲν τὴν πόλιν οὐκ εἰς μακρὰν ἀν- 15
θέξειν ὁρῶν, ἐν ἀπόρῳ δὲ τὴν ἑαυτοῦ σωτηρίαν εἰ μένοι, δρασμὸν ἅμα τοῖς δυνατοῖς ἐβουλεύετο. συναισθόμενον δὲ τὸ πλῆθος καὶ περιχυθὲν αὐτῷ κατηντιβόλουν μὴ σφᾶς περιιδεῖν ἐπ' αὐτῷ μόνῳ κειμένους· εἶναι γὰρ τῇ πόλει καὶ σωτηρίας μὲν ἐλπίς, ὡς παραμένοντος αὐτοῦ παντὸς ἀγωνισομένου δι' αὐτὸν προθύμως, κἂν ἁλῶσι δέ, παραμυθία· πρέπειν δὲ αὐτῷ μήτε φεύγειν τοὺς ἐχθροὺς μήτε ἐγκαταλείπειν τοὺς φίλους, μήτε ἀποπηδᾶν ὥσπερ χειμαζομένης νεώς, εἰς ἣν ἐν γαλήνῃ παρῆλθεν· ἐπιβαπτίσειν γὰρ αὐτοῖς τὴν πόλιν, μηδενὸς ἔτι τολμῶντος τοῖς πολεμίοις ἀνθίστασθαι, δι' ὃν ἂν θαρσοῖεν οἰχομένου.

ὁ δὲ Ἰώσηπος τὸ καθ' αὑτὸν ἀσφαλὲς ὑποστελλό- 16
μενος ὑπὲρ αὐτῶν ἔφασκε ποιεῖσθαι τὴν ἔξοδον. μένων μὲν γὰρ εἴσω οὔτ' ἂν ὠφελῆσαί τι μέγα σωζομένους, κἂν ἁλίσκωνται, συναπολεῖσθαι περισσός· ἐκδὺς

Digitized by Google

δὲ τῆς πολιορκίας ἔξωθεν ὠφελήσειν αὐτοὺς μέγιστα· τούς τε γὰρ ἐκ τῆς χώρας Γαλιλαίους συναθροίσειν ἢ τάχος, καὶ Ῥωμαίους ἑτέρῳ πολέμῳ τῆς πόλεως αὐτῶν ἀντιπερισπάσειν. οὐχ ὁρᾶν δὲ τί παρακαθεζόμενος αὐτοῖς χρήσιμος εἴη νῦν, πλὴν ἢ Ῥωμαίους παροξύνων μᾶλλον ἐπὶ τὴν πολιορκίαν, ὡς περὶ πλείστου ποιεῖσθαι λαβεῖν αὐτόν· εἰ δὲ ἐκδράντα πύθοιντο, πολὺ τῆς ἐπὶ τὴν πόλιν ὁρμῆς ἀνήσειν. οὐκ ἔπειθε δὲ αὐτούς, ἀλλὰ μᾶλλον ἐξέκαυσε τὸ πλῆθος αὐτοῦ περιέχεσθαι. παῖδες γοῦν καὶ γέροντες καὶ γύναια μετὰ νηπίων ὀδυρόμενα προσέπιπτον αὐτῷ, καὶ τοῖς ποσὶν ἐμπλεκόμενοι πάντες εἶχοντο, καὶ μετὰ κωκυτῶν κοινωνὸν σφίσι τῆς τύχης μένειν ἱκέτευον, οὐ φθόνῳ τῆς ἐκείνου σωτηρίας, ἔμοιγε δοκεῖν, ἀλλ' ἐλπίδι τῆς αὑτῶν· οὐδὲν γὰρ ἠξίουν πείσεσθαι δεινὸν Ἰωσήπου μένοντος.

17 Ὃ δὲ πειθομένῳ μὲν ἱκετηρίαν ταῦτα νομίσας, βιαζομένῳ δὲ φρουράν (πολὺ δὲ αὐτοῦ τὴν εἰς τὴν ἀπόλειψιν ὁρμὴν καὶ ὁ τῶν ὀδυρομένων ἔκλασεν οἶκτος), μένειν τε ἔγνω, καὶ τὴν κοινὴν τῆς πόλεως ἀπόγνωσιν ὁπλισάμενος, "νῦν καιρός" εἰπὼν "ἄρχεσθαι μάχης, ὅτε ἐλπὶς οὐκ ἔστι σωτηρίας, [καλὸν] εὔκλειαν ἀντικαταλλαξάμενον τοῦ βίου, καὶ δράσαντά τι γενναῖον εἰς μνήμην ὀψιγόνων παίδων," ἐπ' ἔργα τρέπεται· καὶ προελθὼν μετὰ τῶν μαχιμωτάτων διεσκίδνα τε τοὺς φρουρούς, καὶ μέχρι τοῦ στρατοπέδου τῶν Ῥωμαίων κατέτρεχε, καὶ τὰς μὲν ἐπὶ τῶν χωμάτων δέρρεις, αἷς ὑπεσκήνουν, διέσπα, τοῖς δὲ ἔργοις ἐνέβαλλε πῦρ. τῇ δ' ἑξῆς ὁμοίως καὶ τῇ τρίτῃ, καὶ ἐπὶ συχνὰς ἡμέρας καὶ νύκτας πολεμῶν οὐκ ἔκαμνεν.

18 Οὐεσπασιανὸς δέ, τῶν Ῥωμαίων κακουμένων ταῖς ἐκδρομαῖς (τρέπεσθαί τε γὰρ ὑπὸ Ἰουδαίων ἠδοῦντο, καὶ τραπέντων ἐπιδιώκειν βάρει τῶν ὅπλων ἦσαν βρα-

Digitized by Google

δεῖς, οἵ τε Ἰουδαῖοι πρίν τι παθεῖν ἀεὶ θρῶντες ἀνέφευγον εἰς τὴν πόλιν), τοῖς μὲν ὁπλίταις τὰς ὁρμὰς αὐτῶν ἐκκλίνειν ἐκέλευσε, καὶ μὴ συμπλέκεσθαι θανατῶσιν ἀνθρώποις· οὐδὲν γὰρ ἀλκιμώτερον εἶναι τῆς ἀπογνώσεως, περισβέννυσθαι δὲ αὐτοῖς τὰς ὁρμὰς σκοπῶν ἀπορουμένας, ὥσπερ ὕλης τὰ πῦρ· προσήκειν γε μὴν καὶ Ῥωμαίοις μετ' ἀσφαλείας καὶ τὸ νικᾶν, ὡς ἂν οὐκ ἐξ ἀνάγκης πολεμοῦσιν ἀλλὰ προσκτωμένοις. τοῖς δὲ τῶν Ἀράβων τοξόταις καὶ τοῖς ἀπὸ τῆς Συρίας σφενδονήταις καὶ λιθοβόλοις τὰ πολλὰ τοὺς Ἰουδαίους ἀνέστελλεν. ἠρέμει δὲ οὐδὲ τῶν ἀφετηρίων ὀργάνων τὸ πλῆθος. οἱ δὲ τούτοις μὲν εἶκον κακούμενοι, τῶν δὲ πόρρω βαλλομένων ἐνδοτέρω γενόμενοι προσέκειντο τοῖς Ῥωμαίοις χαλεποί, καὶ ψυχῆς καὶ σώματος ἀφειδοῦντες ἐμάχοντο, ἐκ διαδοχῆς ἑκάτεροι τὸ κεκμηκὸς ἑαυτῶν ἀναλαμβάνοντες.

Οὐεσπασιανὸς δὲ ἡγούμενος τῷ μήκει τοῦ χρόνου 19
καὶ ταῖς ἐκδρομαῖς ἀντιπολιορκεῖσθαι, τῶν χωμάτων ἤδη τοῖς τείχεσι πελαζόντων προσάγειν ἔγνω τὸν κριόν. ὃ δ' ἐστὶν ὑπερμεγέθης δοκός, ἰστῷ νηὸς παραπλήσιος· ἐστόμωται δὲ παχεῖ σιδήρῳ, κατ' ἄκρον εἰς κριοῦ προτομήν, ἀφ' οὗ καὶ καλεῖται, τετυπωμένῳ· καταιωρεῖται δὲ κάλοις μέσος ὥσπερ ἀπὸ πλάστιγγος ἑτέρας δοκοῦ, σταυροῖς ἑκατέρωθεν ἑδραίοις ὑπεστηριγμένης. ἀνωθούμενος δὲ ὑπὸ πλήθους ἀνδρῶν εἰς τὸ κατόπιν, τῶν αὐτῶν ἀθρόως πάλιν εἰς τοὔμπροσθεν ἐπιβρισάντων τύπτει τὰ τείχη τῷ προανέχοντι σιδήρῳ. καὶ οὐδεὶς οὕτω καρτερὸς πύργος ἢ περίβολος πλατὺς ὅς, εἰ καὶ τὰς πρώτας πληγὰς ἐνέγκαι, κατισχύσει τῆς ἐπιμονῆς. ἐπὶ ταύτην τὴν πεῖραν ὁ στρατηγὸς τῶν Ῥωμαίων μετέβαινε, βίᾳ τὴν πόλιν ἑλεῖν σπεύδων, ὡς τὸ προσκαθέζεσθαι βλαβερὸν ἦν Ἰουδαίων οὐκ ἠρεμούντων. οἳ

Digitized by Google

μὲν οὖν τούς τε καταπέλτας καὶ τὰ λοιπὰ τῶν ἀφετηρίων, ὡς ἐξικνοῖτο τῶν ἐπὶ τοῦ τείχους κωλύειν πειρωμένων, ἔγγιον προσαγαγόντες ἔβαλλον· ὁμοίως δὲ συνήγγιζον οἱ τοξόται καὶ σφενδονῆται. διὰ δὲ ταῦτα μηδενὸς τῶν περιβόλων ἐπιβῆναι τολμῶντος, προσῆγον ἕτεροι τὸν κριόν, γέρροις τε διηνεκέσι καὶ καθύπερθε πεφραγμένον δέρρει πρός τε αὐτῶν καὶ τοῦ μηχανήματος ἀσφάλειαν· καὶ κατὰ τὴν πρώτην πληγὴν διεσείσθη μὲν τὸ τεῖχος, κραυγὴ δὲ μεγίστη παρὰ τῶν ἔνδοθεν ἤρθη καθάπερ ἑαλωκότων ἤδη.

πολλάκις δὲ εἰς τὸν αὐτὸν παίοντας τόπον ὁ Ἰώσηπος ὁρῶν, καὶ ὅσον οὔπω καταρριφθησόμενον τὸ τεῖχος, σοφίζεται πρὸς ὀλίγον τὴν βίαν τοῦ μηχανήματος. σάκκους ἀχύρων πληρώσαντας ἐκέλευσε καθιμᾶν καθ' ὃ φερόμενον ἀεὶ τὸν κριὸν ὁρῷεν, ὡς πλάζοιτό τε ἡ ἐμβολὴ καὶ δεχόμενοι τὰς πληγὰς ἐκκενοῖεν τῇ χαυνότητι. τοῦτο πλείστην διατριβὴν παρέσχε τοῖς Ῥωμαίοις, καθ' ὃ μὲν τρέποιεν τὴν μηχανήν, ἀντιπαραγόντων τοὺς σάκκους τῶν ὕπερθεν, ὑποβαλλόντων δὲ ταῖς ἐμβολαῖς ὡς μηδὲν κατ' ἀντιτυπίαν βλάπτεσθαι τὸ τεῖχος, ἕως ἀντεπινοήσαντες κοντοὺς οἱ Ῥωμαῖοι μακρούς, καὶ δρέπανα δήσαντες ἐπ' ἄκρων, τοὺς σάκκους ἀπέτεμνον. ἐνεργοῦ δὲ οὕτω τῆς ἑλεπόλεως γενομένης, καὶ τοῦ τείχους (νεοπαγὲς γὰρ ἦν) ἐνδιδόντος ἤδη, τὸ λοιπὸν ἐπὶ τὴν ἐκ πυρὸς ἄμυναν οἱ περὶ τὸν Ἰώσηπον ὥρμησαν. ἀψάμενοι δὲ ὅσον αὖης εἶχον ὕλης τριχόθεν ἐπεκθέουσι, καὶ τά τε μηχανήματα καὶ τὰ γέρρα καὶ τὰ χώματα τῶν Ῥωμαίων ὑπεπίμπρασαν. οἱ δὲ κακῶς ἐπεβοήθουν, πρός τε τὴν τόλμαν αὐτῶν καταπεπληγότες καὶ ὑπὸ τῆς φλογὸς τὰς ἀμύνας φθανόμενοι· ξηρᾶς γὰρ ὕλης, πρὸς δὲ ἀσφάλτου τε καὶ πίσσης, ἔτι δὲ καὶ θείου, διίπτατο τὸ πῦρ ἐπινοίας τάχιον, καὶ τὰ κολ-

Digitized by Google

λῷ καμάτῳ πεπονημένα Ῥωμαίοις ἐπὶ μιᾶς ὥρας ἐνέμετο.

ἔνθα καὶ ἀνήρ τις ἐξεφάνη Ἰουδαῖος λόγου καὶ 21
μνήμης ἄξιος. Σαμαίου μὲν παῖς ἦν, Ἐλεάζαρος δ'
ἐκαλεῖτο, Σαὰβ δὲ πατρὶς αὐτῷ τῆς Γαλιλαίας. ὑπερμεγέθη πέτραν ἀράμενος ἀφίησιν ἀπὸ τοῦ τείχους ἐπὶ τὴν ἐλέπολιν μετὰ τοσαύτης βίας ὥστε ἀπορράξαι τὴν κεφαλὴν τοῦ μηχανήματος, ἣν δὴ καὶ καταπηδήσας ἐκ μέσων αἴρεται τῶν πολεμίων, καὶ μετὰ πολλῆς ἀδείας ἐπὶ τὸ τεῖχος ἔφερε. σκοπὸς δὲ πᾶσι τοῖς ἐχθροῖς γενόμενος καὶ γυμνῷ τῷ σώματι τὰς πληγὰς δεξάμενος πέντε μὲν διαπείρεται βέλεσι, πρὸς οὐδὲν δὲ τούτων ἐπιστραφείς, ὅτε τὸ τεῖχος ἀνέβη καὶ περιοπτος πᾶσι τῆς εὐτολμίας ἔστη, ἱλυσπώμενος ὑπὸ τῶν τραυμάτων μετὰ τοῦ κριοῦ κατέπεσεν. ἄριστοι μετὰ τοῦτον ἐφάνησαν ἀδελφοὶ δύο Νετίρας καὶ Φίλιππος, ἀπὸ Ῥουμᾶς κώμης, Γαλιλαῖοι καὶ αὐτοί. προπηδῶσι μὲν εἰς τοὺς ἀπὸ τοῦ δεκάτου τάγματος, τοσούτῳ δὲ ῥοίζῳ καὶ βίᾳ τοῖς Ῥωμαίοις συνέπεσον ὡς διαρρῆξαί τε τὰς τάξεις καὶ τρέψασθαι καθ' οὓς ἂν ἐφορμήσειαν ἅπαντας.

μετὰ τούτους ὅ τε Ἰώσηπος καὶ τὸ λοιπὸν πλῆθος 22
ἀφάμενοι πολὺ πῦρ τὰ μηχανήματα καὶ τὰς ὑποδύσεις ἅμα τοῖς ἔργοις ὑφῆψαν τοῦ τε πέμπτου καὶ τοῦ δεκάτου τραπέντος τάγματος, οἱ λοιποὶ δὲ φθάσαντες καὶ τὰ ὄργανα καὶ πᾶσαν ὕλην κατέχωσαν. περὶ δὲ δείλην ἀναστήσαντες προσῆγον τὸν κριὸν πάλιν, ᾗ προπεπονήκει τυπτόμενον τὸ τεῖχος. ἔνθα τις τῶν ἀμυνομένων ἀπ' αὐτοῦ βάλλει τὸν Ὀεσπασιανὸν βέλει κατὰ τὸν ταρσὸν τοῦ ποδός, καὶ τιτρώσκει μὲν ἐπιπολαίως, προεκλύσαντος τὸ βληθὲν τοῦ διαστήματος, μέγιστον δὲ θόρυβον ἐνεποίησε τοῖς Ῥωμαίοις· πρὸς γὰρ τὸ αἷμα ταραχθέντων τῶν πλησίον, φήμη διὰ παντὸς ἐμπίπτει

Digitized by Google

ἐπὶ τῇ πληγῇ τοῦ στρατηγοῦ, καὶ τῆς πολιορκίας οἱ πλείους ἀφέμενοι μετ' ἐκπλήξεως καὶ δέους ἐπὶ τὸν στρατηγὸν συνέθεον. πρὸ δὲ πάντων Τίτος δείσας περὶ τῷ πατρὶ παρῆν, ὡς τὸ πλῆθος καὶ τῇ περὶ τὸν ἡγούμενον εὐνοίᾳ καὶ τῇ τοῦ παιδὸς ἀγωνίᾳ συγχυθῆναι. ῥᾷστα μέντοι τόν τε υἱὸν ὁ πατὴρ δεδιότα καὶ τὴν στρατιὰν ἔπαυσε τοῦ θορύβου. τῶν γὰρ ἀληθόνων ἐπάνω γενόμενος, καὶ πᾶσι τοῖς ἐπτοημένοις δι' αὐτὸν ὀφθῆναι σπουδάσας, χαλεπώτερον Ἰουδαίοις ἐπήγειρε τὸν πόλεμον· ἕκαστος γὰρ ὡς τιμωρὸς τοῦ στρατηγοῦ πρόκινδυνεύειν ἤθελε, καὶ βοῇ παρακροτοῦντες ἀλλήλους ἐπὶ τὸ τεῖχος ὥρμων.

23 οἱ δὲ περὶ τὸν Ἰώσηπον, καίπερ ἐπ' ἀλλήλοις πίπτοντες ὑπὸ τῶν καταπελτικῶν καὶ τῶν πετροβόλων, ὅμως οὐκ ἀπετρέποντο τοῦ τείχους, ἀλλὰ πυρὶ καὶ σιδήρῳ καὶ πέτροις τοὺς ἐπὶ τὰ γέρρα τὸν κριὸν ἐπιβρίθοντας ἔβαλλον. καὶ ἦνυον μὲν οὐδὲν ἢ μικρόν, αὐτοὶ δ' ἀδιαλείπτως ἔπιπτον, ὑπὸ μὴ βλεπομένων καθορώμενοι. αὐτοί τε γὰρ ὑπὸ τῆς σφετέρας περιλαμπόμενοι φλογὸς σκοποὶ ἦσαν τοῖς πολεμίοις εὐσύνοπτοι, ὥσπερ ἐν ἡμέρᾳ, καὶ τῶν ὀργάνων πόρρωθεν μὴ βλεπομένων δυσφύλακτον ἦν τὸ βαλλόμενον. ἥ τε γὰρ τῶν ὀξυβελῶν καὶ καταπελτῶν βία πολλοὺς ἅμα διήλαυνε, καὶ τῶν ὑπὸ τῆς μηχανῆς ἀφιεμένων πετρῶν ὁ ῥοῖζος ἐπάλξεις τε ἀπέσυρε καὶ γωνίας ἀπέθρυπτε πύργων. ἀνθρώπων μὲν γὰρ οὐκ ἦν οὕτως ἰσχυρὸν στῖφος ὃ μὴ μέχρις ἑσχάτης στρώννυται φάλαγγος βίᾳ τε καὶ μεγέθει τοῦ λίθου. μάθοι δ' ἄν τις τὴν τοῦ μηχανήματος ἀλκὴν ἐκ τῶν ἐπὶ τῆσδε τῆς νυκτὸς γενομένων. πληγεὶς γάρ τις ἀπ' αὐτοῦ τῶν περὶ τὸν Ἰώσηπον ἑστώτων ἀνὰ τὸ τεῖχος ἀπαράσσεται τὴν κεφαλὴν ὑπὸ τῆς πέτρας, καὶ τὸ κρανίον ἀπὸ τριῶν ἐσφενδονήθη σταδίων· γυ-

Digitized by Google

ναικός τε μεθ' ἡμέραν ἐγκύμονος πληγείσης τὴν γαστέρα (προῆει δὲ νέον ἐξ οἰκίας) ἐξέσεισεν ἐφ' ἡμιστάδιον τὸ βρέφος· τοσαύτη ἦν ἡ τοῦ λιθοβόλου βία. τῶν μὲν οὖν ὀργάνων φοβερώτερος ὁ ῥοῖζος, τῶν δὲ βαλλομένων ἦν ὁ ψόφος. ἐπάλληλοι δ' ἐκτύπουν οἱ νεκροὶ κατὰ τοῦ τείχους ῥιπτόμενοι, καὶ δεινὴ μὲν ἔνδοθεν κραυγὴ γυναικῶν ἠγείρετο, συννήχουν δὲ ἔξωθεν οἰμωγαὶ φονευομένων, αἵματι δ' ἐρρεῖτο πᾶς ὁ πρὸ τῆς μάχης περίβολος, καὶ προσβατὸν ὑπὸ πτωμάτων τὸ τεῖχος ἐγίνετο. φοβερωτέραν δὲ ἐποίουν τὴν βοὴν περιηχοῦντα τὰ ὄρη, καὶ οὐδὲν ἐπ' ἐκείνης τῆς νυκτὸς οὔτε εἰς ἀκοῆς οὔτε εἰς ὄψεως κατάπληξιν ἀπελείφθη. πλεῖστοι μέν γε τῶν ἐπὶ τῆς Ἰωταπάτης ἀγωνιζόμενοι γενναίως ἔπεσον, πλεῖστοι δ' ἐγένοντο τραυματίαι, καὶ μόλις περὶ τὴν ἑωθινὴν φυλακὴν ἐνδίδωσι τοῖς μηχανήμασι τὸ τεῖχος ἀδιαλείπτως τυπτόμενον. οἱ δὲ φραξάμενοι τὰ σώματα τοῖς ὅπλοις τὸ καταρριφθὲν ἀντωχύρωσαν, πρὶν βληθῆναι τὰς ἐπιβατηρίους ὑπὸ τῶν Ῥωμαίων μηχανάς.

ὑπὸ δὲ τὴν ἕω Οὐεσπασιανὸς ἐπὶ τὴν κατάληψιν 24
τῆς πόλεως συνῆγε τὴν στρατιάν, ὀλίγον ἀπὸ τοῦ νυκτερινοῦ πόνου διαναπαύσας. βουλόμενος δὲ ἀπὸ τῶν καταρριφθέντων περισπάσαι τοὺς εἴργοντας, τοὺς μὲν γενναιοτάτους τῶν ἱππέων ἀποβήσας τῶν ἵππων τριχῇ διέταξε κατὰ τὰ πεπτωκότα τοῦ τείχους, πάντοθεν πεφραγμένους τοῖς ὅπλοις καὶ τοὺς κοντοὺς προΐσχοντας, ὡς, ὁπότε τὰς ἐπιβατηρίους βάλλοιεν μηχανάς, κατάρχοιντο τῆς εἰσόδου. κατόπιν δὲ αὐτῶν ἔταξε τοῦ πεζοῦ τὸ ἀκμαιότατον, τὸ δὲ λοιπὸν ἱππικὸν ἀντιπαρεξέτεινε τῷ τείχει κατὰ πᾶσαν τὴν ὀρεινὴν πρὸς τὸ μηδένα τῶν ἀναφευγόντων ἐκ τῆς ἁλώσεως διαλαθεῖν. κατόπιν δὲ τούτων περιέστησε τοὺς τοξότας,

Digitized by Google

ἔχειν κελεύσας ἕτοιμα τὰ βέλη πρὸς ἄφεσιν, ὁμοίως δὲ καὶ σφενδονήτας καὶ τοὺς ἐπὶ τῶν μηχανημάτων, ἑτέρους δὲ κλίμακας ἀραμένους προσφέρειν ἐπάνω τοῖς ἀκεραίοις τείχεσιν, ἵνα οἱ μὲν τούτους κωλύειν πειρώμενοι καταλίποιεν τὴν ἐπὶ τοῖς καταρριφθεῖσι φυλακήν, οἱ λοιποὶ δὲ ὑπ' ἀθρόων βιαζόμενοι τῶν βελῶν εἴξωσι τῆς εἰσόδου.

25 Ἰώσηπος δὲ συνεὶς τὴν ἐπίνοιαν ἐπὶ μὲν τοῦ μένοντος τείχους σὺν τοῖς κεκμηκόσιν ἵστησι τοὺς γηραιοὺς ὡς μηδὲν ταύτῃ βλαβησομένους, κατὰ δὲ τὰ παρερρωγότα τοῦ τείχους τοὺς δυνατωτάτους καὶ πρὸ πάντων ἀνὰ ἓξ ἄνδρας, μεθ' ὧν καὶ αὐτὸς εἰς τὸ προκινδυνεύειν ἐκληρώσατο· ἐκέλευσέ τε πρὸς μὲν τὸν ἀλαλαγμὸν τῶν ταγμάτων ἐπιφράξαι τὰς ἀκοάς, ὡς ἂν μὴ καταπλαγεῖεν, πρὸς δὲ τὸ πλῆθος τῶν βελῶν συνοκλάσαντας καλύπτεσθαι καθύπερθεν τοῖς θυρεοῖς, ὑποχωρῆσαί τε πρὸς ὀλίγον ἕως τὰς φαρέτρας κενώσωσιν οἱ τοξόται· βαλλόντων δὲ τὰς ἐπιβατηρίους μηχανὰς αὐτοὺς προπηδᾶν, καὶ διὰ τῶν ἰδίων ὀργάνων ἁπάντων τοῖς πολεμίοις, ἀγωνίζεσθαί τε ἕκαστον ὡς οὐχ ὑπὲρ σωθησομένης ἀλλ' ὑπὲρ ἀπολωλυίας ἤδη τῆς πατρίδος ἀμυνόμενον, λαμβάνειν τε πρὸ ὀφθαλμῶν σφαγησομένους γέροντας καὶ τέκνα καὶ γυναῖκας ἀναιρεθησομένας ὑπὸ τῶν ἐχθρῶν ὅσον οὐδέπω, καὶ τὸν ἐπὶ ταῖς μελλούσαις συμφοραῖς θυμὸν προαλίσαντας ἐναφεῖναι τοῖς δράσουσιν αὐτάς.

26 ἔταξε μὲν οὖν οὕτως ἑκάτερον· τὸ δὲ ἀργὸν ἀπὸ τῆς πόλεως πλῆθος, γύναια καὶ παῖδες, ὡς ἐθεάσαντο τριπλῇ μὲν φάλαγγι τὴν πόλιν ἐζωσμένην (οὐδὲν γὰρ εἰς τὴν μάχην μετακεκίνητο τῶν πάλαι φυλάκων), πρὸς δὲ τοῖς βεβλημένοις τείχεσι τοὺς πολεμίους ξιφήρεις, καὶ τὴν καθύπερθεν ὀρεινὴν λαμπομένην ὅπλοις, τά τε

Digitized by Google

βέλη τοῖς τοξόταις ἐπανέχοντα τῶν Ἀράβων, ὕστατόν τινα κωκυτὸν ἀλώσεως συνήχησαν, ὡς οὐκ ἀπειλουμένων ἔτι τῶν κακῶν ἀλλ' ἤδη παρόντων. ὁ δὲ Ἰώσηπος τὰ μὲν γύναια, ὡς μὴ θηλύνοιεν οἰκτῳ τὰς ὁρμὰς τῶν σφετέρων, κατακλείει ταῖς οἰκίαις, μετ' ἀπειλῆς ἡσυχάζειν κελεύσας· αὐτὸς δὲ πρὸ τῶν ἐρριμμένων, ἧ ἔλαχε, παρήει. τοῖς μὲν οὖν καθ' ἕτερα προσφέρουσι τὰς κλίμακας οὐ προσεῖχεν, ἀπεκαραδόκει δὲ τὴν ὁρμὴν τῶν βελῶν.

ὁμοῦ δὲ οἵ τε σαλπιγκταὶ τῶν ταγμάτων ἁπάντων 27
συνήχησαν καὶ δεινὸν ἐπηλάλαξεν ἡ στρατιά· καὶ πάντοθεν ἀφιεμένων ἀπὸ συνθήματος τῶν βελῶν τὸ φῶς ὑπετέμνετο. μεμνημένοι γε μὴν τῶν τοῦ Ἰωσήπου προσταγμάτων οἱ σὺν αὐτῷ τάς τε ἀκοὰς πρὸς τὴν βοὴν καὶ τὰ σώματα πρὸς τὰς ἀφέσεις ἐφράξαντο, καὶ βαλόντων τὰς μηχανὰς ἐπεξέδραμον δι' αὐτῶν, πρὶν ἐπιβῆναι τοὺς διαβαλόντας. συμπλεκόμενοί γε μὴν τοῖς ἀνιοῦσι παντοῖα καὶ χειρῶν ἔργα καὶ ψυχῆς ἐναπεδείκνυντο, πειρώμενοι παρὰ τὰς ἐσχάτας συμφορὰς μὴ χείρους φαίνεσθαι τῶν ἐν ἀκινδύνῳ τῷ κατὰ σφᾶς ἀνδριζομένων· ὥστε οὐ πρότερον ἀπερρήγνυντο τῶν Ῥωμαίων πρὶν ἢ πεσεῖν ἢ διαφθεῖραι. ὡς δὲ οἱ μὲν ἔκαμνον διηνεκῶς ἀμυνόμενοι καὶ τοὺς ἑαυτῶν ἀμείβειν οὐκ ἔχοντες, τὸ κεκμηκὸς δὲ τῶν Ῥωμαίων ἀκραιφνεῖς διεδέχοντο καὶ ταχέως ἀντὶ τῶν ἀποβιασθέντων ἐπέβαινον ἕτεροι, παρακελευσάμενοι ἀλλήλοις, καὶ πλευρὰν μὲν ἑνώσαντες τοῖς δὲ θυρεοῖς καθύπερθε φραξάμενοι, στῖφος ἄρρηκτον ἐγένοντο, καὶ καθάπερ ἑνὶ σώματι πάσῃ τῇ φάλαγγι τοὺς Ἰουδαίους ἀνωθοῦντες ἤδη τοῦ τείχους ἐπέβαινον.

ὁ δὲ Ἰώσηπος ἐν ταῖς ἀμηχανίαις σύμβουλον λαβὼν 28
τὴν ἀνάγκην (ἣ δ' ἐστὶ δεινὴ πρὸς ἐπίνοιαν, ὅταν αὐτὴν

Digitized by Google

ἀπόγνωσις ἐρεθίζῃ), ζέον ἔλαιον ἐπέλευσε καταχεῖν τῶν συνησπικότων. οἱ δέ, ὡς παρεσκευασμένον ἑτοῖμον, μετὰ τάχους πολλοὶ καὶ πολὺ πάντοθεν τῶν Ῥωμαίων κατέχεον, συνεπαφιέντες καὶ τὰ ἀγγεῖα βρασσόμενα τῇ θέρμῃ. τοῦτο καιομένων τῶν Ῥωμαίων διεσκέδασε τὴν τάξιν, καὶ μετὰ δεινῶν ἀλγηδόνων ἀπεκυλινδοῦντο τοῦ τείχους. ῥᾷστα μὲν γὰρ τὸ ἔλαιον ἀπὸ κόρσης μέχρι ποδῶν ὑπὸ τὰς πανοπλίας διέρρει τοῦ σώματος ὅλου, καὶ τὴν σάρκα φλογὸς οὐδὲν ἔλασσον ἐπεβόσκετο, θερμαινόμενόν τε φύσει ταχέως καὶ ψυχόμενον βραδέως διὰ τὴν πιότητα. τοῖς δὲ θώραξι καὶ τοῖς κράνεσιν ἐνδεδεμένων ἀπαλλαγὴ τῆς καύσεως οὐκ ἦν· πηδῶντες δὲ καὶ συνειλούμενοι ταῖς ἀλγηδόσιν ἀπὸ τῶν γεφυρωμάτων ἔπιπτον. οἱ δὲ τραπέντες εἰς τοὺς σφετέρους πρόσω βιαζομένους εὐχείρωτοι τοῖς κατόπιν τιτρώσκουσιν ἦσαν.

29 ἐπέλιπε δὲ οὔτε Ῥωμαίους ἐν ταῖς κακοπραγίαις ἰσχὺς οὔτε τοὺς Ἰουδαίους σύνεσις, ἀλλ᾽ οἱ μὲν καίπερ οἰκτρὰ πάσχοντας ὁρῶντες τοὺς καταγνωθέντας, ὅμως εἰς τοὺς καταχέοντας ἐφέροντο, τὸν πρὸ αὐτοῦ κακίζων ἕκαστος ὡς ἐμπόδιον ὄντα τῆς ῥώμης, οἱ δὲ Ἰουδαῖοι δόλῳ δευτέρῳ τὰς προσβάσεις αὐτῶν ἐπέσφαλλον, τῆλιν ἐφθὴν ἐπιχέοντες ταῖς σανίσιν, αἷς ἐπολισθάνοντες ὑπεσύροντο· καὶ οὔτε τῶν τρεπομένων οὔτε τῶν προσβαινόντων τις ὀρθὸς ἔμενεν, ἀλλ᾽ οἱ μὲν ὑπ᾽ αὐτῶν ὑπτιαζόμενοι τῶν ἐπιβατηρίων μηχανῶν συνεπατοῦντο, πολλοὶ δὲ ἐπὶ τὸ χῶμα κατέπιπτον. ἐπαίοντο δ᾽ ὑπὸ τῶν Ἰουδαίων οἱ πεσόντες· σφαλλομένων γὰρ τῶν Ῥωμαίων οὗτοι, τῆς κατὰ χεῖρα συμπλοκῆς ἐλευθερωθέντες, πρὸς τὰς βολὰς ἠσχόλουν. πολλὰ δὲ καιομένους ἐν τῇ προσβολῇ τοὺς στρατιώτας ὁ στρατηγὸς περὶ δείλην ἀνεκάλει. ἔπεσον δὲ τούτων μὲν οὐκ ὀλίγοι καὶ

Digitized by Google

πλείους ἐτρώθησαν· τῶν δὲ ἀπὸ τῆς Ἰωταπάτης ἀπέθανον μὲν ἓξ ἄνδρες, τραυματίαι δὲ ὑπὲρ τριακοσίους ἀνεκομίσθησαν.

εἰκάδι μὲν οὖν Δαισίου μηνὸς ἡ παράταξις ἦν· Οὐεσπασιανὸς δὲ ἐπὶ τοῖς συμβεβηκόσι τὴν στρατιὰν παραμυθούμενος, ὡς θυμουμένους ἑώρα καὶ οὐ προτροπῆς ἀλλ' ἔργων δεομένους, προσυψῶσαι μὲν τὰ χώματα, πύργους δὲ τρεῖς, πεντήκοντα ποδῶν ἕκαστον τὸ ὕψος, κατασκευάσαι κελεύσας, πάντοθεν σιδήρῳ κεκαλυμμένους ὡς ἑδραῖοί τε εἶεν ἀπὸ βρίθους καὶ δυσάλωτοι πυρί, τῶν χωμάτων ἐπέστησεν, προσεπιβήσας αὐτοῖς ἀκοντιστάς τε καὶ τοξότας καὶ τῶν ἀφετηρίων ὀργάνων τὰ κουφότερα, πρὸς δὲ τοὺς ῥωμαλεωτάτους σφενδονήτας, οἳ μὴ καθορώμενοι διὰ τὸ ὕψος καὶ τὰ θωρακεῖα τῶν πύργων εἰς καθορωμένους τοὺς ἐπὶ τοῦ τείχους ἔβαλλον. οἳ δὲ μήτε κατὰ κόρσης φερομένων τῶν βελῶν ἐκκλίνειν ῥᾳδίως δυνάμενοι μήτε τοὺς ἀφανεῖς ἀμύνεσθαι, καὶ τὸ μὲν ὕψος τῶν πύργων δυσέφικτον ὁρῶντες ἐκ χειρὸς βέλει, πυρὶ δὲ τὸν περὶ αὐτοῖς σίδηρον ἀνάλωτον, ἔφευγον ἀπὸ τοῦ τείχους καὶ προσβάλλειν πειρωμένοις ἐπεξέθεον.

καὶ οἱ μὲν ἐπὶ τῆς Ἰωταπάτης ἀντεῖχον οὕτως, ἀναιρούμενοί τε καθ' ἡμέραν πολλοὶ καὶ μηδὲν ἀντικακοῦν τοὺς πολεμίους, ὅτι μὴ μετὰ κινδύνων ἀνείργειν, ἔχοντες· κατὰ δὲ τὰς αὐτὰς ἡμέρας Οὐεσπασιανὸς ἐπί τινα 31
τῶν τῆς Ἰωταπάτης ἀστυγειτόνων πόλιν (Ἰαφὰ καλεῖται) νεωτερίζουσαν, καὶ τῶν Ἰωταπατηνῶν παρὰ δόξαν ἀντεχόντων ἐπαιρομένην, Τραϊανόν, ὄντα τοῦ δεκάτου τάγματος ἡγεμόνα, ἐκπέμπει, παραδοὺς αὐτῷ χιλίους μὲν ἱππεῖς, πεζοὺς δὲ δισχιλίους. ὃ δὲ τὴν μὲν πόλιν δυσάλωτον καταλαβών (πρὸς γὰρ τῷ φύσει καρτερὰ τυγχάνειν οὖσα καὶ διπλῷ περιβόλῳ τετείχιστο), προ-

Digitized by Google

ἀπαντηκότας δὲ τοὺς ἐξ αὐτῆς ἑτοίμους εἰς μάχην ἰδὼν συμβάλλει, καὶ πρὸς ὀλίγον ἀντισχόντας ἐδίωκε. συμφυγόντων δὲ εἰς τὸ πρῶτον τεῖχος οἱ Ῥωμαῖοι κατὰ πόδας προσκείμενοι συνεισέπεσον. ὁρμήσαντας δὲ πάλιν εἰς τὸ δεύτερον τεῖχος ἀποκλείουσι τῆς πόλεως οἱ σφέτεροι, δείσαντες μὴ συνεισβάλωσιν οἱ πολέμιοι. θεὸς δ' ἦν ἄρα ὁ Ῥωμαίοις τὰ Γαλιλαίων πάθη χαριζόμενος, ὃς καὶ τότε τὸν τῆς πόλεως λαὸν αὖτανδρον, χερσὶν οἰκείαις ἐγκλεισθέντα, πρὸς ἀπώλειαν ἔκδοτον φονῶσιν ἐχθροῖς παρέστησεν. ἐμπίπτοντες γὰρ ἀθρόοι ταῖς πύλαις καὶ πολλὰ τοὺς ἐπ' αὐτῶν ὀνομαστὶ καλοῦντες ἐν μέσαις ἀπεσφάττοντο ταῖς ἱκετείαις. καὶ τὸ μὲν πρῶτον αὐτοῖς τεῖχος οἱ πολέμιοι, τὸ δεύτερον δ' ἔκλεισαν οἱ σφέτεροι. μέσοι δὲ τῶν δυοῖν κατειλούμενοι περιβόλων βύζην πολλοὶ μὲν τοῖς ἀλλήλων πολλοὶ δὲ τοῖς ἰδίοις περιεπείροντο ξίφεσιν, ἄπειροι δὲ ὑπὸ Ῥωμαίων ἔπιπτον, οὐδὲ ὅσον εἰς ἄμυναν ἀναθαρροῦντες· πρὸς γὰρ τῷ καταπεπλῆχθαι τοὺς πολεμίους, τὰς ψυχὰς αὐτῶν ἔκλασεν ἡ τῶν οἰκείων προδοσία. πέρας ἔθνησκον οὐ Ῥωμαίοις ἀλλὰ τοῖς ἰδίοις καταρώμενοι, μέχρι πάντες ἀπώλοντο μύριοι καὶ δισχίλιοι τὸν ἀριθμὸν ὄντες. κενὴν δὲ μαχίμων λογιζόμενος εἶναι τὴν πόλιν ὁ Τραϊανός, εἰ δὲ καί τινες ἔνδον εἶεν, οἰόμενος μηδὲν αὐτοὺς τολμήσειν ὑπὸ δέους, ἀνετίθει τῷ στρατηγῷ τὴν ἅλωσιν, καὶ στείλας ἀγγέλους πρὸς Οὐεσπασιανὸν ᾐτεῖτο πέμψαι τὸν υἱὸν αὐτοῦ Τίτον ἐπιθήσοντα τῇ νίκῃ τὸ τέλος. ὃ δὲ συμβαλὼν ὑπολείπεσθαί τινα πόνον, μετὰ στρατιᾶς τὸν υἱὸν ἐπιπέμπει πεντακοσίων μὲν ἱππέων χιλίων δὲ πεζῶν. ὃ δὲ πρὸς τὴν πόλιν ἐλθὼν διὰ τάχους, καὶ διατάξας τὴν στρατιάν, ἐπὶ μὲν τοῦ λαιοῦ κέρως τὸν Τραϊανὸν ἵστησεν, αὐτὸς δὲ τὸ δεξιὸν ἔχων ἐξηγεῖτο πρὸς τὴν πολιορκίαν. τῶν

Digitized by Google

δὲ στρατιωτῶν κλίμακας πάντοθεν τῷ τείχει προσφερόντων, πρὸς ὀλίγον οἱ Γαλιλαῖοι καθύπερθεν ἀμυνόμενοι λείπουσι τὸν περίβολον. ἐπιπηδήσαντες δὲ οἱ περὶ τὸν Τίτον τῆς μὲν πόλεως ἐκράτησαν ταχέως, πρὸς δὲ τοὺς ἔνδον αὐτοῖς συστραφέντας καρτερὰ μάχη συρρήγνυται· καὶ γὰρ ἐν τοῖς στενωποῖς οἱ δυνατοὶ προσέπιπτον, καὶ ἀπὸ τῶν οἰκιῶν αἱ γυναῖκες ἔβαλλον πᾶν τὸ προστυχὸν αὐταῖς. καὶ μέχρι μὲν ἓξ ὡρῶν ἀντεῖχον μαχόμενοι, δαπανηθέντων δὲ τῶν μαχίμων τὸ λοιπὸν πλῆθος ἔν τε τοῖς ὑπαίθροις καὶ κατὰ τὰς οἰκίας ἀπεσφάττοντο, νέοι τε ὁμοῦ καὶ γέροντες· οὐδὲν γοῦν ἄρρεν ἀπελείφθη δίχα νηπίων, ἃ μετὰ γυναικῶν ἐξηνδραποδίσαντο. τῶν μὲν οὖν ἀναιρεθέντων ἀνά τε τὴν πόλιν καὶ ἐπὶ τῆς προτέρας παρατάξεως ἀριθμὸς μύριοι πρὸς τοῖς πεντακισχιλίοις ἦν, τὰ δὲ αἰχμάλωτα δισχίλια καὶ ἑκατὸν καὶ τριάκοντα. τοῦτο συνέβη τὸ πάθος Γαλιλαίοις πέμπτῃ καὶ εἰκάδι Δαισίου μηνός.

ἔμειναν δὲ οὐδὲ Σαμαρεῖς ἀπείρατοι συμφορῶν. 32 ἀθροισθέντες γὰρ ἐπὶ τὸ Γαριζὶν καλούμενον ὄρος, ὅπερ αὐτοῖς ἐστὶν ἅγιον, κατὰ χώραν μὲν ἔμενον, πολέμου δὲ εἶχεν ἀπειλὴν ἥ τε σύνοδος αὐτῶν καὶ τὰ φρονήματα, καὶ οὐδὲ τοῖς γειτνιῶσι κακοῖς ἐσωφρονίζοντο, πρὸς δὲ τὰς Ῥωμαίων εὐπραγίας ἐν ἀλογίστῳ τῇ κατὰ σφᾶς ἀσθενείᾳ ὠρώδουν καὶ μετέωροι πρὸς ταραχὴν ὑπῆρχον. ἐδόκει δὲ Οὐεσπασιανῷ φθάσαι τὸ κίνημα καὶ τὰς ὁρμὰς αὐτῶν ὑποτέμνεσθαι· καὶ γὰρ εἰ φρουραῖς ἡ Σαμαρεῖτις ὅλη διείληπτο, τό τε πλῆθος τῶν ἐληλυθότων καὶ ἡ σύνταξις ἦν φοβερά. Κερεάλιον οὖν ἔπαρχον ὄντα τοῦ πέμπτου τάγματος μεθ' ἑξακοσίων ἱππέων καὶ πεζῶν τρισχιλίων πέμπει. τούτῳ προσβαίνειν μὲν τὸ ὄρος καὶ συνάπτειν μάχην οὐκ ἀσφαλὲς ἔδοξε, τῶν πολεμίων πολλῶν καθύπερθεν ὄντων, κυκλωσά-

Digitized by Google

μενος δὲ τῇ δυνάμει πᾶσαν τὴν ὑπώρειαν δι' ὅλης αὐτοὺς ἐφρούρει τῆς ἡμέρας. συνέβη δὲ ὕδατος ἀπορουμένων τῶν Σαμαρέων ἐκφλεγῆναι τότε καὶ καῦμα δεινόν (ὥρα δὲ ἦν θέρους καὶ τῶν ἐπιτηδείων τὸ πλῆθος ἀπαράσκευον), ὡς τινὰς μὲν αὐθημερὸν ὑπὸ τοῦ δίψους ἀποθανεῖν, πολλοὺς δὲ τῆς τοιαύτης ἀπωλείας τὸ δουλεύειν προελομένους Ῥωμαίοις προσφυγεῖν. ἐξ ὧν συνεὶς ὁ Κερεάλιος καὶ τοὺς ἔτι συμμένοντας ὑπὸ τῶν δεινῶν κατεαγότας ἐπαναβαίνει τῷ ὄρει, καὶ τὴν δύναμιν ἐν κύκλῳ περιστήσας τοῖς πολεμίοις τὸ μὲν πρῶτον ἐπὶ δεξιὰς προυκαλεῖτο καὶ σώζεσθαι παρεκάλει, διαβεβαιούμενος ἀσφάλειαν τὰ ὅπλα ῥίψασιν· ὡς δ' οὐκ ἔπειθε, προσπεσὼν ἀπέκτεινε πάντας, χιλίους ἑξακοσίους ἐπὶ μυρίοις ὄντας, Δαισίου μηνὸς εἰκάδι καὶ ἑβδόμῃ.

καὶ τοιαύταις μὲν συμφοραῖς Σαμαρεῖται ἐχρήσαντο, τῶν δὲ ἀνὰ τὰ Ἰωτάπατα διακαρτερούντων καὶ παρ' ἐλπίδα τοῖς δεινοῖς ἀντεχόντων τεσσαρακοστῇ μὲν ἡμέρᾳ καὶ ἑβδόμῃ τὰ χώματα τῶν Ῥωμαίων ὑπερῄρθη τὸ τεῖχος, αὐτομολεῖ δέ τις πρὸς τὸν Οὐεσπασιανὸν τῆς αὐτῆς ἡμέρας, τήν τε ὀλιγότητα τῶν ἐπὶ τῆς πόλεως ἐξαγγέλλων καὶ τὴν ἀσθένειαν, καὶ ὡς ἀγρυπνίᾳ διηνεκεῖ καὶ μάχαις ἐπαλλήλοις δεδαπανημένοι δυνατοὶ μὲν εἶεν οὐδὲ βιαζομένους ἔτι φέρειν, καὶ δόλῳ δ' ἂν ἁλοῖεν, εἴ τις ἐπιθοῖτο· περὶ γὰρ τὴν ἐσχάτην φυλακήν, καθ' ἣν ἄνεσίν τε τῶν δεινῶν ἐδόκουν ἔχειν καὶ καθάπτεται μάλιστα κεκοπωμένων ἐωθινὸς ὕπνος, καταδαρθάνειν ἔφασκε τοὺς φύλακας, συνεβούλευέ τε κατὰ ταύτην τὴν ὥραν ἐπελθεῖν. τῷ δὲ ἦν μὲν δι' ὑπονοίας ὁ αὐτόμολος, τό τε πρὸς ἀλλήλους πιστὸν εἰδότι τῶν Ἰουδαίων καὶ τὴν πρὸς τὰς κολάσεις ὑπεροψίαν, ἐπειδὴ καὶ πρότερον ληφθείς τις τῶν ἀπὸ τῆς

Digitized by Google

Ἰωταπάτης πρὸς πᾶσαν αἰκίαν βασάνων ἀντέσχε, καὶ μηδὲν διὰ πυρὸς ἐξερευνῶσι τοῖς πολεμίοις περὶ τῶν ἔνδον εἰπὼν ἀνεσταυρώθη τοῦ θανάτου καταμειδιῶν· τά γε μὴν εἰκότα πιστὸν ἐποίει τὸν προδότην, καὶ τάχα μὲν ἀληθεύειν ἐκεῖνον, μηδὲν δὲ αὐτὸς ἐξ ἐνέδρας πείσεσθαι μέγα προσδοκῶν, τὸν μὲν φυλάσσειν ἐκέλευσεν, ἐπὶ δὲ τὴν κατάληψιν τῆς πόλεως παρεσκεύαζε τὴν στρατιάν. κατὰ δὲ τὴν μηνυθεῖσαν ὥραν 34 ἦεσαν ἡσυχῇ πρὸς τὸ τεῖχος. καὶ πρῶτος ἐπιβαίνει Τίτος σὺν ἑνὶ τῶν χιλιάρχων Λομιτίῳ Σαβίνῳ, τῶν ἀπὸ τοῦ πέμπτου καὶ δεκάτου τάγματός· τινας ὀλίγους ἄγων· ἀποσφάξαντες δὲ τοὺς φύλακας εἰσίασιν εἰς τὴν πόλιν ἡσυχῇ. μεθ' οὓς Σέξτος τις Κερεάλιος χιλίαρχος καὶ Πλάκιδος τοὺς ὑπὸ σφίσι τεταγμένους εἰσῆγον. κατειλημμένης δὲ τῆς ἄκρας καὶ τῶν πολεμίων ἐν μέσῃ τῇ πόλει στρεφομένων, ἤδη δὲ καὶ ἡμέρας οὔσης, ὅμως οὔπω τῆς ἁλώσεως τοῖς κρατουμένοις αἴσθησις ἦν· καμάτῳ τε γὰρ οἱ πολλοὶ καὶ ὕπνῳ διελέλυντο, καὶ τῶν διανισταμένων ὁμίχλη τὰς ὄψεις ἀπήμβλυνε πολλὴ κατὰ τύχην τότε τῇ πόλει περιχυθεῖσα, μέχρι πάσης τῆς στρατιᾶς εἰσπεσούσης πρὸς μόνην τὴν τῶν κακῶν αἴσθησιν ἐξανέστησαν καὶ τὴν ἅλωσιν ἐπίστευον ἀναιρούμενοι. Ῥωμαίους δέ, κατὰ μνήμην ὧν περὶ τὴν πολιορκίαν ἔπαθον, οὔτε φειδὼ εἰσήει τινὸς οὔτε ἔλεος, ἀλλ' εἰς τὸ κάταντες ἀπὸ τῆς ἄκρας τὸν λεὼν συνωθοῦντες ἐφόνευον, ἔνθα καὶ τοὺς ἔτι μάχεσθαι δυναμένους ἡ δυσχωρία τὴν ἄμυναν ἀφείλετο· θλιβόμενοι γὰρ ἐν τοῖς στενωποῖς καὶ κατὰ τοῦ πρανοῦς ὑπολισθάνοντες ῥέοντι κατ' ἄκρας ἐκαλύπτοντο τῷ πολέμῳ. τοῦτο πολλοὺς καὶ τῶν περὶ τὸν Ἰώσηπον ἐπιλέκτων ἐπ' αὐτοχειρίαν παρώξυνε· κατιδόντες γὰρ ὡς οὐδένα τῶν Ῥωμαίων ἀνελεῖν δύνανται, τό γε

Digitized by Google

μὴ πεσεῖν αὐτοὶ ὑπὸ Ῥωμαίων προέλαβον, καὶ συναθροισθέντες ἐπὶ τὰ καταλήγοντα τῆς πόλεως σφᾶς αὐτοὺς ἀνεῖλον.

35 Ὅσοι γε μὴν ὑπὸ πρώτην τῆς καταλήψεως αἴσθησιν τῶν φυλάκων διαφυγεῖν ἔφθασαν, ἀναβάντες εἴς τινα τῶν προσαρκτίων πύργων μέχρι μέν τινος ἀκημύναντο, περισχεθέντες δὲ τῷ πλήθει τῶν πολεμίων ὀψὲ παρῆκαν τὰς δεξιὰς καὶ τοῖς ἐφεστῶσι τὴν σφαγὴν εὔθυμοι παρέσχον. ἀναίμακτον δ' ἂν ἦν αὐτῆσαι Ῥωμαίοις τὸ τέλος τῆς πολιορκίας, εἰ μὴ κατὰ τὴν ἅλωσιν εἷς ἔπεσεν ἑκατοντάρχης, ὃς ἦν Ἀντώνιος. θνήσκει δὲ ἓξ ἐνέδρας. τῶν γὰρ εἰς τὰ σπήλαιά τις συμπεφευγότων (πολὺ δὲ οὗτοι πλῆθος ἦσαν) ἱκέτευε τὸν Ἀντώνιον ὀρέξαι δεξιὰν αὐτῷ, πίστιν τε σωτηρίας καὶ βοήθειαν πρὸς ἅνοδον· ὃ δὲ ἀφυλάκτως ὤρεγε τὴν χεῖρα, καὶ φθάσας αὐτὸν ἐκεῖνος νύττει κάτωθεν ὑπὸ τὸν βουβῶνα δόρατι καὶ παραχρῆμα διεργάζεται.

36 κατ' ἐκείνην μὲν οὖν τὴν ἡμέραν τὸ φανερὸν πλῆθος ἀνεῖλον Ῥωμαῖοι, ταῖς δὲ ἐπιούσαις ἀνερευνώμενοι τὰς καταδύσεις τοὺς ἐν τοῖς ὑπονόμοις καὶ τοῖς σπηλαίοις ἐπεξῄεσαν, καὶ διὰ πάσης ἐχώρουν ἡλικίας πλὴν νηπίων καὶ γυναικῶν. καὶ τὰ μὲν αἰχμάλωτα χίλια πρὸς τοῖς διακοσίοις συνήχθη, νεκροὶ δὲ κατά τε τὴν ἅλωσιν καὶ κατὰ τὰς πρότερον μάχας συνηριθμήθησαν τετρακισμύριοι. Οὐεσπασιανὸς δὲ τήν τε πόλιν κατασκάψαι κελεύει, καὶ τὰ φρούρια πάντα προσεμπίκρησιν αὐτῆς.

Ἰωτάπατα μὲν οὖν οὕτως ἑάλω, τρισκαιδεκάτῳ τῆς
8 Νέρωνος ἡγεμονίας ἔτει, Πανέμου νουμηνίᾳ· Ῥωμαῖοι δὲ τὸν Ἰώσηπον ἀναζητοῦντες κατά τε ὀργὴν σφετέραν καὶ σφόδρα τοῦ στρατηγοῦ φιλουμένου (μεγίστη γὰρ ἦν μοῖρα τοῦ πολέμου ληφθείς), τούς τε νεκροὺς

Digitized by Google

διηρεύνων καὶ τοὺς ἀποκρύφους τῆς πόλεως μυχούς. ὃ δὲ ἅρτι τῆς πόλεως ἁλισκομένης, δαιμονίῳ τινὶ συνεργίᾳ χρησάμενος, μέσον μὲν ἑαυτὸν ἐκκλέπτει τῶν πολεμίων, καθάλλεται δ' εἴς τινα βαθὺν λάκκον, ᾧ πλατὺ σπήλαιον διέζευκτο κατὰ πλευρὰν τοῖς ἄνωθεν ἀόρατον· ἔνθα τεσσαράκοντα μὲν τῶν ἐπισήμων ἄνδρας καταλαμβάνει λανθάνοντας, παρασκευὴν δὲ τῶν ἐπιτηδείων οὐκ ὀλίγαις ἡμέραις διαρκεῖν δυναμένην. μεθ' ἡμέραν μὲν οὖν ὑπεστέλλετο τῶν πολεμίων πάντα διειληφότων, νυκτὸς δ' ἀνιὼν ἐζήτει δρασμοῦ διάδυσιν καὶ τὰς φυλακὰς κατεσκέπτετο. φρουρουμένων δὲ παντα-χόθεν πάντων δι' αὐτόν, ὡς λαθεῖν οὐκ ἦν, αὖθις εἰς τὸ σπήλαιον κατῄει. δύο μὲν οὖν ἡμέρας διαλανθάνει, τῇ δὲ τρίτῃ γυναικὸς ἁλούσης τῶν ἅμα αὐτοῖς μηνύε-ται, καὶ Θεσπασιανὸς αὐτίκα μετὰ σπουδῆς πέμπει δύο χιλιάρχους Παυλῖνον καὶ Γαλλικανόν, δεξιὰς τῷ Ἰω-σήπῳ δοῦναι κελεύσας καὶ προτρεψομένους ἀνελθεῖν. ἀφικόμενοι δὲ παρεκάλουν οὗτοι τὸν ἄνδρα, καὶ πί- 2
στεις περὶ σωτηρίας ἐδίδοσαν, οὐ μὴν ἔπειθον· ἐκ γὰρ ὧν εἰκὸς ἦν τὸν τοσαῦτα δράσαντα παθεῖν, οὐκ ἐκ τοῦ φύσει τῶν παρακαλούντων ἡμέρου, τὰς ὑποψίας συνέλεγεν, ἐδεδίει τε ὡς ἐπὶ τιμωρίαν προκαλουμένους, ἕως Θεσπασιανὸς τρίτον ἔτι πέμπει χιλίαρχον Νικά-νορα, γνώριμον τῷ Ἰωσήπῳ καὶ συνήθη πάλαι. παρελ-θὼν δ' οὗτος τό τε φύσει Ῥωμαίων χρηστὸν πρὸς οὓς ἂν ἅπαξ ἕλωσι διεξῄει, καὶ ὡς δι' ἀρετὴν αὐτὸς θαυ-μάζοιτο μᾶλλον ἢ μισοῖτο πρὸς τῶν ἡγεμόνων, σπου-δάζειν τε τὸν στρατηγὸν οὐκ ἐπὶ τιμωρίᾳ ἀγαγεῖν αὐ-τόν (ἐνεῖναι γὰρ ταύτην καὶ παρὰ μὴ προϊόντος λαβεῖν), ἀλλὰ σῶσαι προαιρούμενον ἄνδρα γενναῖον. προσετίθει δὲ ὡς οὔτ' ἂν Θεσπασιανὸς ἐνεδρεύων φίλον ἔπεμπεν, ἵνα τοῦ κακίστου πράγματος προστήσηται τὸ κάλλιστον,

Digitized by Google

ἀπιστίας φιλίαν, οὔτ' ἂν αὐτὸς ἀπατήσων ἄνδρα φίλον ὑπήκουσεν ἐλθεῖν.

3 ἐνδοιάζοντος δὲ τοῦ Ἰωσήπου καὶ πρὸς τὸν Νικάνορα, τὸ μὲν στρατιωτικὸν ὑπ' ὀργῆς ἐκκαίειν τὸ σπήλαιον ὥρμητο, κατεῖχε δὲ αὐτοὺς ὁ πολέμαρχος ζωγρῆσαι τὸν ἄνδρα φιλοτιμούμενος. ὡς δὲ ὅ τε Νικάνωρ προσέκειτο λιπαρῶς καὶ τὰς ἀπειλὰς τοῦ πολεμίου πλήθους ὁ Ἰώσηπος ἔμαθεν, ἀναμνησις αὐτῷ τῶν διὰ νυκτὸς ὀνείρων εἰσέρχεται, δι' ὧν ὁ θεὸς τάς τε μελλούσας συμφορὰς αὐτῷ προεσήμαινεν Ἰουδαίων καὶ τὰ περὶ τοὺς Ῥωμαίων βασιλεῖς ἐσόμενα. ἦν δὲ καὶ περὶ κρίσεις ὀνείρων ἱκανὸς συμβάλλειν τὰ ἀμφιβόλως ὑπὸ τοῦ θείου λεγόμενα· τῶν γε μὴν ἱερῶν βίβλων οὐκ ἠγνόει τὰς προφητείας ὡς ἂν αὐτός τε ὢν ἱερεὺς καὶ ἱερέων ἔκγονος. ὃς ἐπὶ τῆς τότε ὥρας ἔνθους γενόμενος, καὶ τὰ φρικώδη τῶν προσφάτων ὀνείρων σπάσας φαντάσματα, προσφέρει τῷ θεῷ λεληθυῖαν εὐχήν, καί "ἐπειδὴ τὸ Ἰουδαῖον" ἔφη "φῦλον ὀκλάσαι δοκεῖ σοι τῷ κτίσαντι, μετέβη δὲ πρὸς Ῥωμαίους ἡ τύχη πᾶσα, καὶ τὴν ἐμὴν ψυχὴν ἐπελέξω τὰ μέλλοντα εἰπεῖν, δίδωμι μὲν Ῥωμαίοις τὰς χεῖρας ἑκὼν καὶ ζῶ, μαρτύρομαι δὲ ὡς οὐ προδότης ἀλλὰ σὸς ἄπειμι διάκονος."

4 ταῦτα εἰπὼν ἐνεδίδου τῷ Νικάνορι. καὶ τῶν Ἰουδαίων οἱ συγκαταφυγόντες ὡς τὸν Ἰώσηπον συνίεσαν εἰκοντα τοῖς παρακαλοῦσιν, ἀθρόοι περιστάντες "ἦ μεγάλα γε ἂν στενάξειαν" ἐβόων "οἱ πάτριοι νόμοι, καὶ κατηφήσαι θεὸς ὁ Ἰουδαίοις κτίσας ψυχὰς θανάτου καταφρονούσας. φιλοζωεῖς, Ἰώσηπε, καὶ φῶς ὑπομένεις ὁρᾶν δοῦλος; ὡς ταχέως ἐπελάθου σαυτοῦ. πόσους ὑπὲρ ἐλευθερίας ἀποθνήσκειν ἔπεισας. ψευδῆ μὲν ἄρα δόξαν ἀνδρείας, ψευδῆ δὲ καὶ συνέσεως

Digitized by Google

εἶχες, εἴ γε σωτηρίαν μὲν ἐλπίζεις παρ' οἷς οὕτως ἐπολέμησας, σώζεσθαι δὲ ὑπ' ἐκείνων, κἂν ᾖ βέβαιον, θέλεις. ἀλλ' εἰ καὶ σοὶ λήθην τινὰ σαυτοῦ κατέχευε ἡ Ῥωμαίων τύχη, προνοητέον ἡμῖν τοῦ πατρῴου κλέους. χρήσομέν σοι δεξιὰν καὶ ξίφος. σὺ δὲ ἂν μὲν ἑκὼν θνήσκῃς, Ἰουδαίων στρατηγός, ἂν δὲ ἄκων, προδότης τεθνήξῃ." ταῦθ' ἅμα λέγοντες ἐπανετείναντο τὰ ξίφη, καὶ διηπείλουν ἀναιρήσειν αὐτόν, εἰ τοῖς Ῥωμαίοις ἐνδιδοίη.

δείσας δὲ τὴν ἔφοδον ὁ Ἰώσηπος, καὶ προδοσίαν εἶναι ἡγούμενος τῶν τοῦ θεοῦ προσταγμάτων εἰ προαποθάνοι τῆς διαγγελίας, ἤρχετο πρὸς αὐτοὺς φιλοσοφεῖν ἐπὶ τῆς ἀνάγκης. "τί γὰρ τοσοῦτον" ἔφη "σφῶν αὐτῶν, ἑταῖροι, φονῶμεν; ἢ τί τὰ φίλτατα διαστασιάζομεν, σῶμα καὶ ψυχήν; ἠλλάχθαι τις ἐμὲ φησίν· ἀλλ' οἴδασι Ῥωμαῖοι τοῦτό γε. καλὸν ἐν πολέμῳ θνήσκειν, ἀλλὰ πολέμου νόμῳ, τουτέστιν ὑπὸ τῶν κρατούντων. εἰ μὲν οὖν τὸν Ῥωμαίων ἀποστρέφωμαι σίδηρον, ἄξιός εἰμι ἀληθῶς τοὐμοῦ ξίφους καὶ χειρὸς τῆς ἐμῆς· εἰ δὲ ἐκείνους εἰσέρχεται φειδὼ πολεμίου, πόσῳ δικαιότερον ἂν ἡμᾶς ἡμῶν αὐτῶν εἰσέλθοι; καὶ γὰρ ἠλίθιον ταῦτα θρᾶν σφᾶς αὐτοὺς περὶ ὧν πρὸς ἐκείνους διιστάμεθα. καλὸν ὑπὲρ τῆς ἐλευθερίας ἀποθνήσκειν. φημὶ κἀγώ, μαχομένους μέντοι, καὶ ὑπὸ τῶν ἁφαιρουμένων αὐτήν. νῦν δὲ οὔτε εἰς μάχην ἀντιάζουσιν ἡμῖν οὔτε ἀναιροῦσιν ἡμᾶς. δειλὸς δὲ ὁμοίως ὅ τε μὴ βουλόμενος θνήσκειν ὅταν δέῃ καὶ ὁ βουλόμενος ὅταν μὴ δέῃ. τί δὲ καὶ δεδοικότες πρὸς Ῥωμαίους οὐκ ἄνιμεν; ἆρα οὐχὶ θάνατον; εἶτα ὃν δεδοίκαμεν ἐκ τῶν ἐχθρῶν ὑποκτευόμενον, ἑαυτοῖς βέβαιον ἐπιτιμήσομεν; ἀλλὰ δουλείαν, ἐρεῖ τις. πάνυ γοῦν νῦν ἐσμὲν ἐλεύθεροι. γενναῖον δὲ ἀνελεῖν ἑαυτόν, φήσει τις. οὐ μὲν οὖν,

Digitized by Google

ἀλλ' ἀγεννέστατον, ὡς ἔγωγε καὶ κυβερνήτην ἡγοῦμαι δειλότατον, ὅστις χειμῶνα δεδοικὼς πρὸ τῆς θυέλλης ἐβάπτισεν ἐκὼν τὸ σκάφος. ἀλλὰ μὴν ἡ αὐτοχειρία καὶ τῆς κοινῆς ἁπάντων ζῴων φύσεως ἀλλότριον καὶ πρὸς τὸν κτίσαντα θεὸν ἡμᾶς ἐστὶν ἀσέβεια. τῶν μέν γε ζῴων οὐδέν ἐστιν ὃ θνήσκει μετὰ προνοίας ἢ δι' αὐτοῦ· φύσεως γὰρ νόμος ἰσχυρὸς ἐν ἅπασι τὸ ζῆν ἐθέλειν. διὰ τοῦτο καὶ τοὺς φανερῶς ἀφαιρουμένους ἡμᾶς τούτου πολεμίους ἡγούμεθα καὶ τοὺς ἐξ ἐνέδρας τιμωρούμεθα. τὸν δὲ θεὸν οὐκ οἴεσθε ἀγανακτεῖν, ὅταν ἄνθρωπος αὐτοῦ τὸ δῶρον ὑβρίζῃ; καὶ γὰρ εἰλήφαμεν παρ' ἐκείνου τὸ εἶναι, καὶ τὸ μηκέτι εἶναι πάλιν ἐκείνῳ δίδομεν. τὰ μέν γε σώματα θνητὰ πᾶσι καὶ ἐκ φθαρτῆς ὕλης δημιουργεῖται, ψυχὴ δὲ ἀθάνατος ἀεὶ καὶ θεοῦ μοῖρα τοῖς σώμασιν ἐνοικίζεται. εἶτα ἂν μὲν ἀφανίσῃ τις ἀνθρώπου παρακαταθήκην ἢ διάθηται κακῶς, πονηρὸς εἶναι δοκεῖ καὶ ἄπιστος· εἰ δέ τις τοῦ σφετέρου σώματος ἐκβάλλει τὴν παρακαταθήκην τοῦ θεοῦ, λελῆθέναι δοκεῖ τὸν ἀδικούμενον; καὶ κολάζειν μὲν τοὺς ἀποδράντας οἰκέτας δίκαιον νενόμισται, κἂν πονηροὺς καταλίπωσι δεσπότας, αὐτοὶ δὲ κάλλιστον δεσπότην ἀποδιδράσκοντες τὸν θεὸν οὐ δοκοῦμεν ἀσεβεῖν; ἆρα οὐκ ἴστε ὅτι τῶν μὲν ἐξιόντων τοῦ βίου κατὰ τὸν τῆς φύσεως νόμον, καὶ τὸ ληφθὲν παρὰ τοῦ θεοῦ χρέος ἐκτινόντων ὅταν ὁ δοὺς κομίσασθαι θέλῃ, κλέος μὲν αἰώνιον, οἶκοι δὲ καὶ γενεαὶ βέβαιοι, καθαραὶ δὲ καὶ ἐπήκοοι μένουσιν αἱ ψυχαί, χῶρον οὐρανοῦ λαχοῦσαι τὸν ἁγιώτατον, ἔνθεν ἐκ περιτροπῆς αἰώνων ἀγνοῖς πάλιν ἀντενοικίζονται σώμασιν· ὅσοις δὲ καθ' ἑαυτῶν ἐμάνησαν αἱ χεῖρες, τούτων μὲν ᾅδης δέχεται τὰς ψυχὰς σκοτιώτερος, ὁ δὲ τούτων πατὴρ θεὸς εἰς ἐκγόνους τιμωρεῖται τοὺς

Digitized by Google

πατέρων ὑβριστάς. διὰ τοῦτο μεμίσηται παρὰ τῷ θεῷ τοῦτο, καὶ παρὰ τῷ σοφωτάτῳ κολάζεται νομοθέτῃ. τοὺς γοῦν ἀνελόντας ἑαυτοὺς παρὰ μὲν ἡμῖν μέχρις ἡλίου δύσεως ἀτάφους ἐκρίπτειν ἔκριναν, καίτοι καὶ πολεμίους θάπτειν θεμιτὸν ἡγούμενοι· παρ' ἑτέροις δὲ καὶ τὰς δεξιὰς τῶν τοιούτων νεκρῶν ἀποκόπτειν ἐκέλευσαν, αἷς ἐστρατεύσαντο καθ' ἑαυτῶν, ἡγούμενοι, καθάπερ τὸ σῶμα τῆς ψυχῆς ἀλλότριον, οὕτω καὶ τὴν χεῖρα τοῦ σώματος. καλὸν οὖν, ἑταῖροι, δίκαια φρονεῖν, καὶ μὴ ταῖς ἀνθρωπίναις συμφοραῖς προσθεῖναι τὴν εἰς τὸν κτίσαντα ἡμᾶς δυσσέβειαν. εἰ σώζεσθαι δοκεῖ, σωζώμεθα· καὶ γὰρ οὐκ ἄδοξος ἡ σωτηρία παρ' οἷς διὰ τοσούτων ἔργων ἐπεδειξάμεθα τὰς ἀρετάς· εἰ τεθνάναι, καλὸν ὑπὸ τῶν ἑλόντων. οὐ μεταβήσομαι δ' ἐγὼ εἰς τὴν τῶν πολεμίων τάξιν, ἵνα ἐμαυτοῦ προδότης γένωμαι· καὶ γὰρ ἂν εἴην πολὺ τῶν αὐτομολούντων πρὸς τοὺς πολεμίους ἠλιθιώτερος, εἴ γε ἐκεῖνοι μὲν ἐπὶ σωτηρίᾳ τοῦτο πράττουσιν, ἐγὼ δ' ἐπ' ἀπωλείᾳ, καί γε τῇ ἐμαυτοῦ. τὴν μέντοι Ῥωμαίων ἐνέδραν ἐπεύχομαι· μετὰ γὰρ δεξιὰν ἀναιρούμενος ὑπ' αὐτῶν εὐθύμως τεθνήξομαι, τὴν τῶν ψευσαμένων ἀπιστίαν νίκης μεῖζον ἀποφέρων παραμύθιον."

ὁ μὲν Ἰώσηπος πολλὰ τοιαῦτα πρὸς ἀποτροπὴν 6
τῆς αὐτοχειρίας ἔλεγεν· οἱ δὲ πεφραγμένας ἀπογνώσει τὰς ἀκοὰς ἔχοντες ὡς ἂν πάλαι καθοσιώσαντες ἑαυτοὺς τῷ θανάτῳ, παρωξύνοντο πρὸς αὐτόν, καὶ προστρέχων ἄλλος ἄλλοθεν ξιφήρης ἐκάκιζόν τε εἰς ἀνανδρίαν καὶ ὡς ἕκαστος αὐτίκα κατακλήξων ὤθλος ἦν. ὁ δὲ τὸν μὲν ὀνομαστὶ καλῶν, τῷ δὲ στρατηγικώτερον ἐμβλέπων, τοῦ δὲ θρασσόμενος τῆς δεξιᾶς, ὃν δὲ δεήσει δυσωπῶν, καὶ ποικίλοις διαιρούμενος πάθεσιν ἐπὶ τῆς ἀνάγκης εἶργεν ἀπὸ τῆς σφαγῆς πάντων τὸν σίδηρον,

Digitized by Google

ὥσπερ τὰ κατακυλωθέντα τῶν θηρίων ἀεὶ πρὸς τὸν καθαπτόμενον ἀντιστρεφόμενος. τῶν δὲ καὶ παρὰ τὰς ἐσχάτας συμφορὰς ἔτι τὸν στρατηγὸν αἰδουμένων παρελύοντο μὲν αἱ δεξιαὶ περιωλίσθανε δὲ τὰ ξίφη, καὶ πολλοὶ τὰς ῥομφαίας ἐπιφέροντες αὐτομάτως παρεί-
θησαν.

7 ὃ δὲ ἐν ταῖς ἀμηχανίαις οὐκ ἠπόρησεν ἐπινοίας, ἀλλὰ πιστεύων τῷ κηδεμόνι θεῷ τὴν σωτηρίαν παραβάλλεται, καὶ "ἐπειδὴ δέδοκται τὸ θνήσκειν" ἔφη, "φέρε κλήρῳ τὰς ἀλλήλων σφαγὰς ἐπιτρέψωμεν, ὁ λαχὼν δὲ ὑπὸ τοῦ μετ' αὐτὸν πιπτέτω, καὶ διοδεύσει πάντων οὕτως ἡ τύχη, μηδὲ ἐπὶ τῆς ἰδίας κείσθω δεξιᾶς ἕκαστος· ἄδικον γὰρ οἰχομένων τῶν ἄλλων τινὰ μετανοήσαντα σωθῆναι." πιστὸς ἔδοξε ταῦτα εἰπών, καὶ συνεκληροῦτο πείσας· ἑτοίμην δὲ ὁ λαχὼν τῷ μετ' αὐτὸν παρεῖχε τὴν σφαγήν, ὡς αὐτίκα τεθνηξομένου καὶ τοῦ στρατηγοῦ· ζωῆς γὰρ ἡδίω τὸν μετὰ τοῦ Ἰωσήπου θάνατον ἡγοῦντο. καταλείπεται δὲ οὗτος, εἴτε ὑπὸ τύχης χρὴ λέγειν εἴτε ὑπὸ θεοῦ προνοίας, σὺν ἑτέρῳ, καὶ σπουδάζων μήτε ὑπὸ τοῦ κλήρου καταδικασθῆναι μήτε εἰ τελευταῖος λείποιτο μιᾶναι τὴν δεξιὰν ὁμοφύλῳ φόνῳ, πείθει κἀκεῖνον ἐπὶ πίστει ζῆν.

8 ὃ μὲν οὖν οὕτω τόν τε Ῥωμαίων καὶ τῶν οἰκείων διαφυγὼν πόλεμον ἐπὶ Οὐεσπασιανὸν ἤγετο διὰ τοῦ Νικάνορος· οἱ δὲ Ῥωμαῖοι πάντες ἐπὶ θέαν αὐτοῦ συνέτρεχον, καὶ τοῦ πλήθους συνθλιβομένου περὶ τῷ στρατηγῷ θόρυβος ἦν ποικίλος, τῶν μὲν γεγηθότων ἐπὶ τῷ ληφθέντι, τῶν δὲ ἀπειλούντων, τῶν δὲ ἐγγύθεν ἰδεῖν βιαζομένων. καὶ οἳ μὲν πόρρωθεν κολάζειν ἐβόων τὸν πολέμιον, τοὺς δὲ πλησίον ἀνάμνησις αὐτοῦ τῶν ἔργων εἰσῄει καὶ πρὸς τὴν μεταβολὴν θάμβος· τῶν τε ἡγεμό-

Digitized by Google

νων οὐδεὶς ἦν ὅς, εἰ καὶ πρότερον ὠργίζετο, τότε πρὸς τὴν ὄψιν οὐκ ἐνέδωκεν αὐτοῦ. μάλιστα δὲ τὸν Τίτον ἐξ ἀρετῆς τό τε καρτερικὸν ἐν ταῖς συμφοραῖς ἦρει τοῦ Ἰωσήπου, καὶ πρὸς τὴν ἡλικίαν ἔλεος, ἀναμιμνησκόμενόν τε τὸν ῥᾳ πάλαι μαχόμενον καὶ τὸν ἐν χερσὶν ἐχθρῶν ἄρτι κείμενον ὁρῶντα· παρῆν τε νοεῖν ὅσον δύναται τύχη, καὶ ὡς ὀξεῖα μὲν πολέμου ῥοπή, τῶν δὲ ἀνθρωπίνων οὐδὲν βέβαιον. παρὸ καὶ τότε συνδιέθηκε μὲν πλείστους ἑαυτῷ καὶ πρὸς οἶκτον τοῦ Ἰωσήπου, πλείστη δὲ αὐτῷ καὶ παρὰ τῷ πατρὶ μοῖρα σωτηρίας ἐγένετο. ὁ μέντοι Οὐεσπασιανὸς φρουρεῖν αὐτὸν μετὰ πολλῆς ἀσφαλείας προσέταττεν ὡς ἀναπέμψων αὐτίκα Νέρωνι.

τοῦτο ἀκούσας ὁ Ἰώσηπος μόνῳ τι διαλεχθῆναι 9
θέλειν ἔλεγεν αὐτῷ. μεταστησαμένου δὲ ἐκείνου, πλὴν τοῦ παιδὸς Τίτου καὶ δυοῖν φίλων, τοὺς ἄλλους ἅπαντας, "σὺ μέν" εἶπεν, "Οὐεσπασιανέ, νομίζεις αἰχμάλωτον αὐτὸ μόνον εἰληφέναι τὸν Ἰώσηπον· ἐγὼ δὲ ἄγγελος ἥκω σοι μειζόνων. μὴ γὰρ ὑπὸ θεοῦ προπεμπόμενος ᾔδειν τὸν Ἰουδαίων νόμον, καὶ πῶς στρατηγοῖς ἀποθνήσκειν πρέπει. Νέρωνί με πέμπεις; τί γάρ; οἱ μετὰ Νέρωνα μέχρι σοῦ διάδοχοι μενοῦσι; σὺ Καῖσαρ, Οὐεσπασιανέ, καὶ αὐτοκράτωρ σὺ καὶ παῖς ὁ σὸς οὗτος. δέσμει δέ με νῦν ἀσφαλέστερον, καὶ τήρει σαυτῷ· δεσπότης μὲν γὰρ οὐ μόνον ἐμοῦ σύ, Καῖσαρ, ἀλλὰ καὶ γῆς καὶ θαλάσσης καὶ παντὸς ἀνθρώπων γένους. ἐγὼ δὲ ἐπὶ τιμωρίαν δέομαι φρουρᾶς μείζονος, εἰ κατασχεδιάζω καὶ θεοῦ." ταῦτα εἰπόντος παραχρῆμα μὲν Οὐεσπασιανὸς ἀπιστεῖν ἐδόκει, καὶ τὸν Ἰώσηπον ὑπελάμβανε ταῦτα περὶ σωτηρίας πανουργεῖν· κατὰ μικρὸν δὲ εἰς πίστιν ὑπήγετο, τοῦ θεοῦ διεγείραντος αὐτὸν εἰς τὴν ἡγεμονίαν ἤδη, καὶ τὰ

Digitized by Google

σκῆπτρα δι' ἑτέρων σημείων προδεικνύντος. ἀτρεκῆ δὲ καὶ τὸν Ἰώσηπον ἐν ἄλλοις κατελάμβανε. τῶν γὰρ τοῖς ἀπορρήτοις παρατυχόντων φίλων ὁ ἕτερος θαυμάζειν ἔφη πῶς οὔτε τοῖς ἐπὶ τῶν Ἰωταπάτων περὶ ἀλώσεως οὔτε αὐτῷ προυμαντεύσατο περὶ αἰχμαλωσίας, εἰ μὴ ταῦτα λῆρος εἴη διακρουσομένου τὰς ἐπ' αὐτὸν ὀργάς· ὁ δὲ Ἰώσηπος καὶ τοῖς Ἰωταπατηνοῖς ὅτι μετὰ τεσσαρακοστὴν ἑβδόμην ἡμέραν ἁλώσονται προειπεῖν ἔφη, καὶ ὅτι πρὸς Ῥωμαίων αὐτὸς ζωγρηθήσεται. ταῦτα παρὰ τῶν αἰχμαλώτων κατ' ἰδίαν ὁ Οὐεσπασιανὸς ἐκπυθόμενος εὗρισκεν ἀληθῆ, καὶ πιστεύειν περὶ τῶν κατ' αὐτὸν ἤρκτο. φρουρᾶς μὲν οὖν καὶ δεσμῶν οὐκ ἀνίει τὸν Ἰώσηπον, ἐδωρεῖτο δὲ ἐσθῆτι καὶ τοῖς ἄλλοις κειμηλίοις, φιλοφρονούμενός τε καὶ περιέπων διετέλει, τὰ πολλὰ Τίτου τῇ τιμῇ συνεργοῦντος.

9 τετάρτῃ δὲ Πανέμου μηνὸς ἀναζεύξας εἰς τὴν Πτολεμαΐδα ἐκεῖθεν εἰς τὴν παράλιον ἀφικνεῖται Καισάρειαν, μεγίστην τε Ἰουδαίας πόλιν καὶ τὸ πλέον ὑφ' Ἑλλήνων ἐποικουμένην. ἐδέχοντο δὲ καὶ τὴν στρατιὰν καὶ τὸν στρατηγὸν μετὰ πάσης εὐφημίας καὶ φιλοφροσύνης οἱ ἐπιχώριοι, καὶ κατ' εὔνοιαν μὲν τὴν πρὸς τοὺς Ῥωμαίους, τὸ δὲ πλέον ἔχθει τῶν κατεστραμμένων. διὸ καὶ τὸν Ἰώσηπον ἀθρόοι καταβοῶντες ἠξίουν κολάζειν. Οὐεσπασιανὸς δὲ τὴν μὲν περὶ τούτου δέησιν ὡς ὑπ' ἀκρίτου γενομένην πλήθους ἐξέλυσεν ἡσυχίᾳ, τῶν δὲ παγμάτων τὰ μὲν δύο χειμερίσοντα ἐκάθισεν ἐπὶ τῆς Καισαρείας, ἐπιτήδειον ὁρῶν τὴν πόλιν, τὸ δέκατον δὲ καὶ πέμπτον εἰς Σκυθόπολιν, ὡς μὴ θλίβοι παντὶ τῷ στρατῷ τὴν Καισάρειαν. ἀλεεινὴ δὲ ἦν κἀκείνη χειμῶνος ὥρᾳ, καθ' ὅσον ἦν κνιγώδης θέρους ὑπὸ καύματος, πεδιὰς οὖσα καὶ παράλιος.

Digitized by Google

ἐν δὲ τούτῳ συναθροισθέντες οἵ τε κατὰ στάσιν ἐκ- 2
πίπτοντες τῶν πολεμίων καὶ οἱ διαφυγόντες ἐκ τῶν
κατεστραμμένων, πλῆθος οὐκ ὀλίγον, ἀνακτίζουσιν
Ἰόπην ὁρμητήριον σφίσιν, ἐρημωθεῖσαν ὑπὸ Κεστίου
πρότερον· καὶ τῆς χώρας ἐκπεπολεμωμένης ἀνειργό-
μενοι μεταβαίνειν ἔγνωσαν εἰς τὴν θάλασσαν, πηξά-
μενοί τε πειρατικὰ σκάφη πλεῖστα τόν τε Συρίας καὶ
Φοινίκης καὶ τὸν ἐπ' Αἰγύπτῳ πόρον ἐλῄστευον, ἄπλω-
τά τε πᾶσιν ἐποίουν τὰ τῇδε πελάγη. Οὐεσπασιανὸς
δὲ ὡς ἔγνω τὴν σύνταξιν αὐτῶν, πέμπει πεζούς τε καὶ
ἱππεῖς ἐπὶ τὴν Ἰόπην, οἳ νύκτωρ ὡς ἀφύλακτον εἰσέρ-
χονται τὴν πόλιν. οἱ δὲ ἐν αὐτῇ προῄσθοντο μὲν τὴν
εἰσβολήν, καὶ καταδείσαντες τοῦ μὲν εἴργειν τοὺς Ῥω-
μαίους ἀπετρέποντο, συμφυγόντες δὲ εἰς τὰς ναῦς
ἐξωτέρω βέλους διενυκτέρευον. ἀλιμένου δὲ οὔσης φύ- 3
σει τῆς Ἰόπης — αἰγιαλῷ γὰρ ἐπιλήγει τραχεῖ καὶ τὸ
μὲν ἄλλο πᾶν ὀρθίῳ, βραχὺ δὲ συννεύοντι κατὰ τὰς
πραίας ἑκατέρωθεν. αἳ δὲ εἰσὶ κρημνοὶ βαθεῖς καὶ
προύχουσαι σπιλάδες εἰς τὸ πέλαγος, ἔνθα καὶ τῶν Ἀν-
δρομέδας δεσμῶν ἔτι δεικνύμενοι τύποι πιστοῦνται
τὴν ἀρχαιότητα τοῦ μύθου. τύπτων δὲ τὸν αἰγιαλὸν
ἀντίος βορέας, καὶ πρὸς ταῖς δεχομέναις πέτραις ὑψη-
λὸν ἀνακόπτων τὸ κῦμα, σφαλερώτερον ἐρημίας τὸν
ὅρμον ἀπεργάζεται. κατὰ τοῦτον σαλεύουσι τοῖς ἀπὸ
τῆς Ἰόπης ὑπὸ τὴν ἕω πνεῦμα βίαιον ἐπιπίπτει (με-
λαμβόρειον ὑπὸ τῶν ταύτῃ πλωιζομένων καλεῖται), καὶ
τὰς μὲν πρὸς ἀλλήλαις τῶν νεῶν αὐτόθι συνήραξε,
τὰς δὲ πρὸς ταῖς πέτραις· πολλὰς δὲ πρὸς ἀντίον κῦμα
βιαζομένας εἰς τὸ πέλαγος (τόν τε γὰρ αἰγιαλὸν ὄντα
πετρώδη καὶ τοὺς ἐπ' αὐτοῦ πολεμίους ἐδεδοίκεσαν)
μετέωρος ὑπεραρθεὶς ὁ κλύδων ἐβάπτισεν. ἦν δὲ οὔτε
φυγῆς που τόπος οὔτε μένουσι σωτηρία, βίᾳ μὲν ἀνέ-

Digitized by Google

μου τῆς θαλάσσης ἐξωθουμένοις, Ῥωμαίων δὲ τῆς πόλεως. καὶ πολλὴ μὲν οἰμωγὴ συρρηγνυμένων ἐγίνετο τῶν σκαφῶν, πολὺς δὲ ἀγνυμένων ὁ ψόφος· καὶ τοῦ πλήθους οἳ μὲν ὑπὸ τῶν κυμάτων καλυπτόμενοι διεφθείροντο, πολλοὶ δὲ τοῖς ναυαγίοις ἐμπλεκόμενοι. τινὲς δὲ ὡς κουφοτέρῳ τὴν θάλασσαν ἔφθανον τῷ σιδήρῳ σφᾶς αὐτοὺς ἀναιροῦντες. τό γε μὴν πλεῖστον ὑπὸ τῶν κυμάτων ἐκφερόμενον περιεξαίνετο ταῖς ἀπορρῶξιν, ὡς αἱμαχθῆναι μὲν ἐπὶ πλεῖστον τὸ πέλαγος, πληρωθῆναι δὲ νεκρῶν τὴν παραλίαν· καὶ γὰρ τοὺς ἐπὶ τὸν αἰγιαλὸν ἐκφερομένους ἐφεστῶτες οἱ Ῥωμαῖοι διέφθειρον. ἀριθμὸς δὲ τῶν ἐκβρασθέντων σωμάτων τετρακισχίλιοι πρὸς τοῖς διακοσίοις ἦν. Ῥωμαῖοι δὲ λαβόντες ἀμαχητὶ τὴν πόλιν κατασκάπτουσιν.

4 Ἰόπη μὲν οὕτως ἐν ὀλίγῳ χρόνῳ δεύτερον ὑπὸ Ῥωμαίοις ἑάλω· Ὠεσπασιανὸς δέ, ὡς μὴ πάλιν οἱ πειραταὶ συναλισθεῖεν εἰς αὐτήν, στρατόπεδόν τε ἐπὶ τῆς ἀκροπόλεως ἐγείρει, καὶ τὸ ἱππικὸν ἐν αὐτῷ καταλείπει μετὰ πεζῶν ὀλίγων, ἵνα οὗτοι μὲν κατὰ χώραν μένοντες φρουρῶσι τὸ στρατόπεδον, οἱ δὲ ἱππεῖς προνομεύσωσι τὴν πέριξ, καὶ τὰς περιοίκους κώμας τε καὶ πολίχνας ἐξαιρῶσι τῆς Ἰόπης.

οἳ μὲν οὖν κατὰ τὰ προσταχθέντα τὴν χώραν κατατρέχοντες καθ' ἡμέραν ἑτεμνόν τε καὶ ἠρήμουν
5 ἅπασαν· ὡς δὲ εἰς τὰ Ἱεροσόλυμα τὸ κατὰ τὴν Ἰωτατάπατην πάθος ἠγγέλθη, τὸ μὲν πρῶτον ἠπίστουν οἱ πολλοὶ καὶ διὰ τὸ μέγεθος τῆς συμφορᾶς καὶ διὰ τὸ μηδένα τῶν λεγομένων αὐτόπτην παρεῖναι (διεσώθη γὰρ οὐδὲ ἄγγελος, ἀλλ' αὐτομάτη διεκήρυσσε φήμη τὴν ἅλωσιν, οἰκεία φύσει τῶν σκυθρωποτέρων)· κατ' ὀλίγον δὲ διὰ τῶν προσχώρων ὧδευε τὸ ἀληθές, καὶ παρὰ πᾶσιν ἀμφιβολίας ἦν ἤδη βεβαιότερον. προσε-

Digitized by Google

σχεδιάζετό γε μὴν τοῖς πεπραγμένοις καὶ τὰ μὴ γενόμενα· τεθνεὼς γὰρ ἐπὶ τῆς ἁλώσεως καὶ Ἰώσηπος ἠγγέλλετο. τοῦτο μεγίστου τὰ Ἱεροσόλυμα πένθους ἐπλήρωσε· κατὰ μέν γε οἴκους καὶ κατὰ συγγενείας οἷς προσήκων ἦν ἕκαστος τῶν ἀπολωλότων ἐθρηνεῖτο, τὸ δὲ ἐπὶ τῷ στρατηγῷ πένθος ἐδημοσιεύθη· καὶ οἳ μὲν ξένους οἳ δὲ συγγενεῖς οἳ δὲ φίλους οἳ δὲ ἀδελφοὺς ἐθρήνουν, τὸν Ἰώσηπον δὲ πάντες, ὡς ἐπὶ τριακοστὴν μὲν ἡμέραν μὴ διαλιπεῖν τὰς ὀλοφύρσεις ἐν τῇ πόλει, πλείστους δὲ μισθοῦσθαι τοὺς αὐλητὰς οἳ θρήνων ἐξῆρχον αὐτοῖς. ὡς δὲ τὸ ἀληθὲς διεκαλύπτετο τῷ 6
χρόνῳ, καὶ τὰ μὲν κατὰ τὴν Ἰωταπάτην ὥσπερ εἶχεν, ἐσχεδιασμένον δὲ τὸ κατὰ τὸν Ἰώσηπον πάθος εὑρίσκετο, ζῆν δὲ αὐτὸν ἔγνωσαν καὶ παρὰ Ῥωμαίοις ὄντα πρὸς τῶν ἡγεμόνων πλέον ἢ κατ' αἰχμαλώτου τύχην περιέπεσθαι, τοσοῦτον ὀργῆς ἐπὶ ζῶντος ὅσον εὐνοίας ἐπὶ τεθνάναι δοκοῦντος πρότερον ἀνελάμβανον, καὶ παρ' οἷς μὲν εἰς ἀνανδρίαν παρ' οἷς δὲ εἰς προδοσίαν ἐκακίζετο, πλήρης δὲ ἀγανακτήσεως ἦν καὶ τῶν κατ' αὐτοῦ βλασφημιῶν ἡ πόλις. παρωξύνοντο δὲ ταῖς πληγαῖς καὶ προσεξεκαίοντο ταῖς κακοπραγίαις· τό γε μὴν παίειν, ὃ γίνεται τοῖς εὖ φρονοῦσιν ἀσφαλείας καὶ τῶν ὁμοίων φυλακῆς αἴτιον, ἐκείνοις κέντρον ἑτέρων ἐγίνετο συμφορῶν, καὶ τὸ τέλος ἀεὶ τῶν κακῶν αὖθις ἀρχή. μᾶλλον γοῦν ὥρμων ἐπὶ τοὺς Ῥωμαίους ὡς καὶ τὸν Ἰώσηπον ἐν αὐτοῖς ἀμυνούμενοι.

τοὺς μὲν οὖν ἐπὶ τῶν Ἱεροσολύμων τοιοῦτοι θόρυβοι κατεῖχον, Ἀγρίππα δὲ καθ' ἱστορίαν τῆς 7
Ἀγρίππα βασιλείας (ἐνῆγε γὰρ βασιλεὺς αὐτός, ἅμα καὶ δεξιώσασθαι τὸν ἡγεμόνα σὺν τῇ στρατιᾷ τῷ κατὰ τὸν οἶκον ὄλβῳ προαιρούμενος καὶ καταστεῖλαι δι' αὐτῶν τὰ νοσοῦντα τῆς ἀρχῆς) ἄρας ἀπὸ τῆς παράλου

Digitized by Google

Καισαρείας εἰς τὴν Φιλίππου καλουμένην μεταβαίνει Καισάρειαν. ἔνθα μέχρι μὲν ἡμερῶν εἴκοσι τὴν στρατιὰν διανακαύων καὶ αὐτὸς ἐν εὐωχίαις ἦν, ἀποδιδοὺς τῷ θεῷ χαριστήρια τῶν κατωρθωμένων· ὡς δὲ αὐτῷ Τιβεριὰς μὲν νεωτερίζειν, ἀφεστάναι δὲ ἠγγέλλοντο Ταριχέαι (μοῖρα δὲ τῆς Ἀγρίππα βασιλείας ἦσαν ἀμφότεραι), πανταχόθεν τοὺς Ἰουδαίους καταστρέφεσθαι διεγνωκὼς τὴν ἐπὶ τούτοις στρατείαν εὔκαιρον ἡγεῖτο, καὶ δι' Ἀγρίππαν, ὡς εἰς ξενίας ἀμοιβήν, σωφρονίσων αὐτῷ τὰς πόλεις. πέμπει δὴ τὸν υἱὸν Τίτον εἰς Καισάρειαν, μετάξοντα τὴν ἐκεῖθεν στρατιὰν εἰς Σκυθόπολιν· ἣ δέ ἐστι μεγίστη τῆς Δεκαπόλεως καὶ γείτων τῆς Τιβεριάδος, ἔνθα καὶ αὐτὸς παραγενόμενος ἐκδέχεται τὸν υἱόν. καὶ μετὰ τριῶν ταγμάτων προελθὼν στρατοπεδεύεται μὲν ἀπὸ τριάκοντα τῆς Τιβεριάδος σταδίων, κατά τινα σταθμὸν εὐσύνοπτον τοῖς νεωτερίζουσι (Σενναβρὶς ὀνομάζεται), πέμπει δὲ δεκαδάρχην Οὐαλεριανὸν σὺν ἱππεῦσι πεντήκοντα, διαλεχθησόμενον εἰρηνικὰ τοῖς κατὰ τὴν πόλιν καὶ προτρεψόμενον ἐπὶ πίστεις· ἠκηκόει γὰρ ὡς ἐπιθυμοίη μὲν εἰρήνης ὁ δῆμος, κατασταστάζοιτο δὲ ὑπὸ τινῶν πολεμεῖν βιαζομένων. προσελάσας δὲ ὁ Οὐαλεριανός, ἐπεὶ πλησίον ἦν τοῦ τείχους, αὐτός τε καταβαίνει καὶ τοὺς σὺν αὐτῷ τῶν ἱππέων ἀπέβησεν, ὡς μὴ δοκοῖεν ἀκροβολισόμενοι παρεῖναι. καὶ πρὶν εἰς λόγους ἐλθεῖν, ἐκθέουσιν αὐτῷ τῶν στασιαστῶν οἱ δυνατώτεροι μετὰ ὅπλων· ἐξηγεῖτο δὲ αὐτῶν Ἰησοῦς τις ὀνόματι, παῖς Σαφάτου, τοῦ λῃστρικοῦ στίφους ὁ κορυφαιότατος. Οὐαλεριανὸς δὲ οὔτε παρὰ τὰς ἐντολὰς τοῦ στρατηγοῦ συμβαλεῖν ἀσφαλὲς ἡγούμενος, εἰ καὶ τὸ νικᾶν εἴη βέβαιον, καὶ σφαλερὸν τὸ μάχεσθαι πολλοῖς μετ' ὀλίγων ἀπαρασκεύων τε πρὸς ἑτοίμους, καὶ ἄλλως ἐκπλαγεὶς πρὸς

Digitized by Google

τὴν ἀδόκητον τῶν Ἰουδαίων τόλμαν, φεύγει πεζός, ἕτεροί τε ὁμοίως πέντε τοὺς ἵππους ἀπέλιπον· οὓς οἱ περὶ τὸν Ἰησοῦν ἀπήγαγον εἰς τὴν πόλιν γεγηθότες, ὥσπερ μάχῃ ληφθέντας, οὐκ ἐνέδρᾳ.

τοῦτο καταδείσαντες οἱ γηραιοὶ τοῦ δήμου καὶ προύχειν δοκοῦντες φεύγουσι μὲν εἰς τὸ τῶν Ῥωμαίων στρατόπεδον, ἐπαγόμενοι δὲ τὸν βασιλέα προσπίπτουσιν ἱκέται Ἀγρίππᾳ, μὴ σφᾶς περιιδεῖν δεόμενοι, μηδὲ τὴν ὀλίγων ἀπόνοιαν ἡγήσασθαι τῆς πόλεως ὅλης, φείσασθαι δὲ τοῦ δήμου Ῥωμαίοις φιλοφρονοῦντος ἀεί, καὶ τοὺς αἰτίους τιμωρήσασθαι τῆς ἀποστάσεως, ὑφ' ὧν αὐτοὶ φρουρηθῆναι μέχρι νῦν, ἐπὶ δεξιὰς ἐπειγόμενοι πάλαι. ταύταις ἐνεδίδου ταῖς ἱκεσίαις ὁ στρατηγός, καίτοι διὰ τὴν ἁρπαγὴν τῶν ἵππων ἐφ' ὅλην ὠργισμένος τὴν πόλιν· καὶ γὰρ ἀγωνιῶντα περὶ αὐτῆς τὸν Ἀγρίππαν ἑώρα. λαβόντων δὲ τούτων τῷ δήμῳ δεξιάς, οἱ περὶ τὸν Ἰησοῦν οὐκέτι ἀσφαλὲς ἡγούμενοι μένειν ἐπὶ τῆς Τιβεριάδος, εἰς Ταριχέας ἀποδιδράσκουσι. καὶ μεθ' ἡμέραν Ἀγρίππας σὺν ἵπποις προπέμπει πρὸς τὴν ἀκρώρειαν Τραϊανόν, ἀποπειραθῆναι τοῦ πλήθους εἰ πάντες εἰρηνικὰ φρονοῖεν. ὡς δὲ ἔγνω τὸν δῆμον ὁμονοοῦντα τοῖς ἱκέταις, ἀναλαβὼν τὴν δύναμιν ᾔει πρὸς τὴν πόλιν. οἱ δὲ τάς τε πύλας ἀνοίγουσιν αὐτῷ, καὶ μετ' εὐφημιῶν ὑπήντων, σωτῆρα καὶ εὐεργέτην ἀνακαλοῦντες. τῆς δὲ στρατιᾶς τριβομένης περὶ τὴν τῶν εἰσόδων στενότητα, παραρρῆξαι τοῦ κατὰ τὴν μεσημβρίαν τείχους Ἀγρίππας κελεύσας πλατύνει τὴν εἴσβολὴν αὐτοῖς· ἁρπαγῆς μέντοι καὶ ὕβρεως ἀπέχεσθαι παρήγγειλε, τῷ βασιλεῖ χαριζόμενος, τῶν τε τειχῶν διὰ τοῦτον ἐφείσατο, συμμενεῖν πρὸς τὸ λοιπὸν ἐγγυωμένου τοὺς ἐν αὐτοῖς, καὶ τὰ ἄλλα κεκακωμένην τὴν πόλιν ἐκ τῆς στάσεως ἀνελάμβανεν.

Digitized by Google

ἔπειτα προελθὼν αὐτῆς τε μεταξὺ καὶ Ταριχεῶν στρατοπεδεύεται, τειχίζει δὲ τὴν παρεμβολὴν ὀχυρωτέραν, ὑφορώμενος ἐκεῖ πολέμου τριβὴν αὐτῷ γενησομένην· συνέρρει γὰρ εἰς τὰς Ταριχέας πᾶν τὸ νεωτερίζον, τῇ τε τῆς πόλεως ὀχυρότητι καὶ τῇ λίμνῃ πεποιθότες, ἣ παλεῖται Γεννησὰρ πρὸς τῶν ἐπιχωρίων. ἡ μὲν γὰρ πόλις, ὥσπερ ἡ Τιβεριὰς ὑπώρειος οὖσα, καθ' ἃ μὴ τῇ λίμνῃ προσεπλύζετο, πάντοθεν ὑπὸ τοῦ Ἰωσήπου τετείχιστο καρτερῶς, ἐλάσσω μέντοι τῆς Τιβεριάδος· τὸν μὲν γὰρ ἐκεῖ περίβολον ἐν ἀρχῇ τῆς ἀποστάσεως δαψιλείᾳ χρημάτων καὶ δυνάμεως ἐκρατύνατο, Ταριχέαι δὲ αὐτοῦ τὰ λείψανα τῆς φιλοτιμίας μετέλαβον. σκάφη δὲ ἦν αὐτοῖς ἐπὶ τῆς λίμνης παρεσκευασμένα πολλὰ πρός τε τὸ συμφυγεῖν ἐπὶ γῆς ἡττωμένους, κἂν εἰ δέοι διανυμαχεῖν, ἐξηρτυμένα. περιβαλλομένων δὲ τῶν Ῥωμαίων τὸ στρατόπεδον, οἱ περὶ τὸν Ἰησοῦν οὔτε πρὸς τὸ πλῆθος οὔτε πρὸς τὴν εὐταξίαν τῶν πολεμίων ὑποδείσαντες προθέουσι, καὶ πρὸς τὴν πρώτην ἔφοδον τῶν τειχοποιῶν σκεδασθέντων ὀλίγα τῆς δομήσεως σπαράξαντες, ὡς ἑώρων τοὺς ὁπλίτας ἀθροιζομένους, πρίν τι παθεῖν, εἰς τοὺς σφετέρους ἀνέφευγον· ἐπιδιώξαντες δὲ οἱ Ῥωμαῖοι συνελαύνουσιν αὐτοὺς εἰς τὰ σκάφη. καὶ οἱ μὲν ἀναχθέντες εἰς ὅσον ἐξικνεῖσθαι τῶν Ῥωμαίων βάλλοντες δύναιντο, τάς τε ἀγκύρας ἔβαλλον καὶ πυκνώσαντες ὥσπερ φάλαγγας τὰς ναῦς ἐπαλλήλους τοῖς ἐπὶ τῆς γῆς διεναυμάχουν πολεμίοις· Οὐεσπασιανὸς δὲ τὸ πολὺ πλῆθος αὐτῶν ἠθροισμένον ἀκούων ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ, πέμπει τὸν υἱὸν σὺν ἱππεῦσιν ἐξακοσίοις ἐπιλέκτοις. ὃ δὲ ὑπέρογκον εὑρὼν τὴν τῶν πολεμίων πληθὺν πρὸς μὲν τὸν πατέρα πέμπει, πλείονος δυνάμεως αὐτῷ δεῖν λέγων, αὐτὸς δὲ τοὺς μὲν πλείους τῶν ἱππέων ὡρμημένους

Digitized by Google

ὁρῶν καὶ πρὶν ἀφικέσθαι βοήθειαν, ἔστι δὲ οὓς ἡσυχῇ πρὸς τὸ πλῆθος τῶν Ἰουδαίων καταπεπληγότας, ἐν ἐπηκόῳ στάς "ἄνδρες" ἔφη "Ῥωμαῖοι· καλὸν γὰρ ἐν ἀρχῇ τῶν λόγων ὑπομνῆσαι τοῦ γένους ὑμᾶς, ἵνα εἰδῆτε τίνες ὄντες πρὸς τίνας μάχεσθαι μέλλομεν. τὰς μὲν γὰρ ἡμετέρας χεῖρας οὐδὲν εἰς τοῦτο τῶν ἐπὶ τῆς οἰκουμένης διαπέφευγεν, Ἰουδαῖοι δέ, ἵνα εἴπω καὶ ὑπὲρ αὐτῶν, μέχρι νῦν οὐ κοπιῶσιν ἡττώμενοι. καὶ δεινόν, ἑστώτων ἐκείνων ἐν ταῖς παποπραγίαις, ἡμᾶς τοῖς εὐτυχήμασιν ἐγκάμνειν. προθυμίας μὲν οὖν εἰς τὸ φανερὸν ὑμᾶς εὖ ἔχοντας χαίρω βλέπων, δέδοικα δὲ μή τινι τὸ πλῆθος τῶν πολεμίων κατάπληξιν λελῃθυῖαν ἐνεργάσηται. λογισάσθω δὴ πάλιν οἷος πρὸς οἵους παρατάξεται, καὶ διότι Ἰουδαῖοι μέν, εἰ καὶ σφόδρα τολμηταὶ καὶ θανάτου καταφρονοῦντες, ἀλλ' ἀσύντακτοί τε καὶ πολέμων ἄπειροι, καὶ ὄχλος ἂν ἄλλως, οὐ στρατιὰ λέγοιντο. τὰ δὲ τῆς ἡμετέρας ἐμπειρίας καὶ τάξεως τί δεῖ καὶ λέγειν; ἐπὶ τούτῳ μέντοι γε μόνοι καὶ κατ' εἰρήνην ἀσκούμεθα τοῖς ὅπλοις, ἵν' ἐν πολέμῳ μὴ πρὸς τὸ ἀντίπαλον ἀριθμῶμεν ἑαυτούς. ἐπεὶ καὶ τίς ὄνησις τῆς διηνεκοῦς στρατείας, ἐὰν ἴσοι πρὸς ἀστρατεύτους ἀντιτασσώμεθα; λογίζεσθε δὲ ὅτι καὶ πρὸς γυμνήτας ὁπλῖται καὶ ἱππεῖς πρὸς πεζοὺς καὶ στρατηγούμενοι πρὸς ἀστρατηγήτους διαγωνίζεσθε, καὶ ὡς ὑμᾶς μὲν ταῦτα πολλαπλασίους ποιεῖ τὰ πλεονεκτήματα, πολὺ δὲ τὸν τῶν πολεμίων ἀριθμὸν παραιρεῖται τὰ ἐλαττώματα. κατορθοῖ δὲ τοὺς πολέμους οὐ πλῆθος ἀνθρώπων, κἂν ᾖ μάχιμον, ἀνδρεία δέ, κἂν ἐν ὀλίγοις ᾖ· οἳ μέν γε καὶ παρατάξασθαι ῥᾴδιοι καὶ προσαμύνειν ἑαυτοῖς, αἱ δὲ ὑπέρογκοι δυνάμεις ὑφ' ἑαυτῶν βλάπτονται πλέον ἢ τῶν πολεμίων. Ἰουδαίων μὲν οὖν τόλμα καὶ θράσος ἡγεῖται, ἀπονοίας

Digitized by Google

πάθη, κατὰ μὲν τὰς εὐπραγίας εὔτονα, σβεννύμενα δὲ ἐν ἐλαχίστοις σφάλμασιν· ἡμῶν δὲ ἀρετὴ καὶ εὐπείθεια καὶ τὸ γενναῖον, ὃ κἂν τοῖς εὐτυχήμασιν ἀκμάζει κἂν τοῖς παίσμασιν οὐ μέχρι τέλους σφάλλεται. καὶ ὑπὲρ μειζόνων δὲ ἢ Ἰουδαῖοι διαγωνιεῖσθε· καὶ γὰρ εἰ περὶ ἐλευθερίας καὶ πατρίδος ἐκείνοις ὁ πόλεμος κινδυνεύεται, τί μεῖζον ἡμῖν εὐδοξίας καὶ τοῦ μὴ δοκεῖν μετὰ τὴν τῆς οἰκουμένης ἡγεμονίαν ἐν ἀντιπάλῳ τὰ Ἰουδαίων τίθεσθαι; σκεπτέον δὲ ὅτι καὶ παθεῖν μὲν οὐδὲν ἀνήκεστον ἡμῖν φόβος (πολλοὶ γὰρ οἱ βοηθήσοντες, καὶ πλησίον), ἁρπάσαι δὲ τὴν νίκην δυνάμεθα, καὶ χρὴ τοὺς ὑπὸ τοῦ πατρὸς ἡμῖν πεμπομένους συμμάχους φθάνειν, ἵν' ἀκοινώνητόν τε ᾖ τὸ κατόρθωμα καὶ μεῖζον. νομίζω δ' ἔγωγε ἐπὶ τῆσδε τῆς ὥρας καὶ τὸν πατέρα τὸν ἐμὸν κρίνεσθαι κἀμὲ καὶ ὑμᾶς, εἰ τῶν μὲν προκατορθωμένων ἄξιος ἐκεῖνος, ἐγὼ δ' ἐκείνου παῖς, στρατιῶται δ' ὑμεῖς ἐμοί. καὶ γὰρ ἐκείνῳ τὸ νικᾶν ἔθος, κἀγὼ πρὸς αὐτὸν ὑποστρέφειν οὐκ ἂν ὑπομείναιμι λειφθείς. ὑμεῖς δὲ πῶς οὐκ ἂν αἰσχύνοισθε προκινδυνεύοντος ἡγεμόνος ἡττώμενοι; προκινδυνεύσω γάρ, εὖ ἴστε, καὶ πρῶτος εἰς τοὺς πολεμίους ἐμβαλῶ. μὴ λείπεσθε δ' ὑμεῖς ἐμοῦ, πεπεισμένοι τὴν ὁρμὴν ἐμὴν παρακροτεῖσθαι θεῷ συμμάχῳ· καὶ προγινώσκετε σαφῶς ὅτι τῆς ἔξω μάχης πλέον τι κατορθώσομεν."

3 ταῦτα τοῦ Τίτου διεξιόντος προθυμία δαιμόνιος ἐμπίπτει τοῖς ἀνδράσι, καὶ προσγενομένου πρὶν συμβαλεῖν Τραϊανοῦ μετὰ τετρακοσίων ἱππέων ἧσσαλλον ὡς μειουμένης τῆς νίκης αὐτοῖς διὰ τὴν κοινωνίαν. ἔπεμψε δὲ Οὐεσπασιανὸς καὶ Ἀντώνιον Σίλωνα σὺν δισχιλίοις τοξόταις, κελεύσας καταλαβόντας τὸ ἀντικρὺ τῆς πόλεως ὄρος τοὺς ἐπὶ τοῦ τείχους ἀνείργειν. καὶ

Digitized by Google

οἳ μέν, ὡς προσετέτακτο, τοὺς ταύτῃ πειρωμένους ἐκβοηθεῖν περιέσχον· ὁ δὲ Τίτος πρῶτος τὸν ἵππον ἤλαυνε εἰς τοὺς πολεμίους, καὶ σὺν κραυγῇ μετ' αὐτὸν οἱ λοιποί, παρατείναντες ἑαυτοὺς εἰς ὅσον ἐπεῖχον οἱ πολέμιοι τὸ πεδίον, παρὸ καὶ πολὺ πλείους ἔδοξαν. οἱ δὲ Ἰουδαῖοι, καίτοι τήν τε ὁρμὴν καὶ τὴν εὐταξίαν αὐτῶν καταπλαγέντες, πρὸς ὀλίγον μὲν ἀντέσχον ταῖς ἐμβολαῖς, νυσσόμενοι δὲ τοῖς κοντοῖς καὶ τῷ ῥοίζῳ τῶν ἱππέων ἀνατρεπόμενοι συνεπατοῦντο. πολλῶν δὲ πανταχοῦ φονευομένων διασκίδνανται, καὶ πρὸς τὴν πόλιν ὡς ἕκαστος εἶχε τάχους ἔφευγον. Τίτος δὲ τοὺς μὲν κατόπιν προσκείμενος ἀνῄρει, τοὺς δὲ διεκπαίων ἀθρόους, οὓς δὲ φθάνων κατὰ στόμα διήλαυνε, πολλοὺς δὲ συνηλόα περὶ ἀλλήλοις πεσόντας ἐμπηδῶν. πᾶσι δὲ τὰς πρὸς τὸ τεῖχος φυγὰς ὑπετέμνετο καὶ πρὸς τὸ πεδίον ἀπέστρεφεν, ἕως τῷ πλήθει βιασάμενοι καὶ διεκπεσόντες εἰς τὴν πόλιν συνέφευγον.

ἐκδέχεται δ' αὐτοὺς στάσις εἴσω χαλεπή. τοῖς 4
μὲν γὰρ ἐπιχωρίοις διά τε τὰς κτήσεις καὶ τὴν πόλιν οὐκ ἐδόκει πολεμεῖν ἀπ' ἀρχῆς, καὶ τότε διὰ τὴν ἧττταν πλέον· ὁ δ' ἔπηλυς πολὺς ὢν πλέον ἐβιάζετο. καὶ διωργισμένων ἐπ' ἀλλήλοις κραυγή τε ἦν καὶ θόρυβος ὡς ὅσον οὔπω φερομένων εἰς ὅπλα. κατακούσας δὲ τῆς ταραχῆς Τίτος (οὐ γὰρ ἦν ἄπωθεν τοῦ τείχους) "οὗτος ἦν ὁ καιρός" ἐκβοᾷ, καὶ "τί, συστρατιῶται, μέλλομεν, ἐκδιδόντος ἡμῖν Ἰουδαίους θεοῦ; δέξασθε τὴν νίκην. οὐκ ἀκούετε βοῆς; στασιάζουσιν οἱ τὰς χεῖρας ἡμῶν διαφυγόντες. ἔχομεν τὴν πόλιν, ἐὰν ταχύνωμεν. δεῖ δὲ πόνου πρὸς τῷ τάχει καὶ λήματος· οὐδὲν γὰρ τῶν μεγάλων φιλεῖ δίχα κινδύνου κατορθοῦσθαι. φθάνειν δ' οὐ μόνον χρὴ τὴν τῶν

Digitized by Google

πολεμίων ὁμόνοιαν, οὗς ἀνάγκη διαλλάσσει ταχέως, ἀλλὰ καὶ τὴν τῶν ἡμετέρων βοήθειαν, ἵνα πρὸς τῷ νικῆσαι τοσοῦτο πλῆθος ὀλίγοι καὶ τὴν πόλιν ἕλωμεν μόνοι."

5 ταῦθ' ἅμα λέγων ἐπὶ τὸν ἵππον ἀναπηδᾷ, καὶ καθηγεῖται πρὸς τὴν λίμνην, ἧι' ἧς ἐλάσας πρῶτος εἰς τὴν πόλιν εἰσέρχεται, καὶ μετ' αὐτὸν οἱ λοιποί. δέος δὲ πρὸς τὴν τόλμαν αὐτοῦ τοῖς ἐπὶ τῶν τειχῶν ἐνέπεσε, καὶ μάχεσθαι μὲν ἢ διακωλύειν οὐδεὶς ὑπέμεινε, λιπόντες δὲ τὴν φρουρὰν οἱ μὲν περὶ τὸν Ἰησοῦν διὰ τῆς χώρας ἔφυγον, οἱ δὲ ἐπὶ τὴν λίμνην καταθέοντες ὑπαντιάζουσι τοῖς πολεμίοις περιέπιπτον. ἐκτείνοντο δὲ οἱ μὲν ἐπιβαίνοντες τῶν σκαφῶν, οἱ δὲ τοῖς ἀναχθεῖσι προσπίπτειν πειρώμενοι. πολὺς δὲ τῶν κατὰ τὴν πόλιν ἦν φόνος, τῶν μὲν ἐπηλύδων, ὅσοι μὴ διαφεύγειν ἔφθασαν, ἀντιτασσομένων, ἀμαχητὶ δὲ τῶν ἐπιχωρίων (κατὰ γὰρ ἐλπίδα δεξιᾶς καὶ τὸ συνειδὸς τοῦ μὴ βεβουλεῦσθαι πολεμεῖν μάχης ἀπετρέποντο), μέχρι Τίτος τοὺς μὲν αἰτίους ἀνελών, οἰκτείρας δὲ τοὺς ἐπιχωρίους ἀνεπαύσατο φόνου. καὶ οἱ μὲν εἰς τὴν λίμνην καταφυγόντες, ἐπεὶ τὴν πόλιν ἑαλωκυῖαν
6 εἶδον, ὡς πορρωτάτω τῶν πολεμίων ἀνήχθησαν· Τίτος δὲ ἐκπέμψας τινὰ τῶν ἱππέων εὐαγγελίζεται τῷ πατρὶ τὸ ἔργον. ὁ δέ, ὡς εἰκός, ὑπερησθεὶς τῇ τε τοῦ παιδὸς ἀρετῇ καὶ τῷ κατορθώματι (μεγίστη γὰρ ἐδόκει καθηρῆσθαι μοῖρα τοῦ πολέμου), τότε μὲν ἐλθὼν περισχόντας τὴν πόλιν φρουρεῖν ἐκέλευσεν, ὡς μὴ διαλάθοι τις ἐξ αὐτῆς, καὶ κτείνειν ἐκέλευσε, τῇ δ' ὑστεραίᾳ πρὸς τὴν λίμνην καταβὰς σχεδίας ἐκέλευσε πᾶσιν ἐπὶ τοὺς καταπεφευγότας. αἳ δ' ἐγίνοντο ταχέως ἀφθονίᾳ τε ὕλης καὶ πλήθει τεχνιτῶν.

7 ἡ δὲ λίμνη Γεννησὰρ μὲν ἀπὸ τῆς προσεχοῦς χώ-

Digitized by Google

ρας καλεῖται, σταδίων δὲ εὖρος οὖσα τεσσαράκοντα, καὶ πρὸς τούτοις ἑτέρων ἑκατὸν τὸ μῆκος, γλυκεῖά τε ὅμως ἐστὶ καὶ ποτιμωτάτη· καὶ γὰρ τῆς ἐλώδους παχύτητος ἔχει τὸ νᾶμα λεπτότερον, καθαρά τέ ἐστι κἀντεῦθεν αἰγιαλοῖς ἐπιλήγουσα καὶ ψάμμῳ, πρὸς δὲ εὔκρατος ἀρύσασθαι, ποταμοῦ μὲν ἢ κρήνης προσηνεστέρα, ψυχροτέρα δ' ἢ κατὰ λίμνης διάχυσιν ἀεὶ μένουσα. καὶ τὸ μὲν ὕδωρ οὐκ ἀποδεῖ χιόνος ἐξαιθριασθέν, ὅπερ θέρους νυκτὸς ποιεῖν ἔθος τοῖς ἐπιχωρίοις, γένη δὲ ἰχθύων ἐν αὐτῇ διάφορα πρὸς τοὺς ἀλλαχοῦ γεῦσίν τε καὶ ἰδέαν. μέση δὲ ὑπὸ τοῦ Ἰορδάνου τέμνεται. καὶ δοκεῖ μὲν Ἰορδάνου πηγὴ τὸ Πάνειον, φέρεται δὲ ὑπὸ γῆν εἰς τοῦτο κρυπτῶς ἐκ τῆς καλουμένης Φιάλης. ἣ δὲ ἔστιν ἀνιόντων εἰς τὴν Τραχωνῖτιν ἀπὸ σταδίων ἑκατὸν εἴκοσι Καισαρείας, τῆς ὁδοῦ κατὰ δεξιὸν μέρος οὐκ ἄπωθεν. ἐκ μὲν οὖν τῆς περιφερείας ἐτύμως Φιάλη κέκληται τροχοειδὴς οὖσα λίμνη, μένειν δὲ ἐπὶ χείλους αὐτῇ ἀεὶ τὸ ὕδωρ, μήτε ὑπονοστοῦν μήτε ὑπερχεόμενον. ἀγνοούμενος δὲ τέως ὁ Ἰορδάνης ἐντεῦθεν ἄρχεσθαι διὰ τοῦ τετραρχήσαντος Τραχωνιτῶν ἠλέγχθη Φιλίππου· βαλὼν γὰρ οὗτος εἰς τὴν Φιάλην ἄχυρα κατὰ τὸ Πάνειον, ἔνθεν ἐδόκουν οἱ πάλαι γεννᾶσθαι τὸν ποταμόν, εὗρεν ἀνενεχθέντα. τοῦ γε μὴν Πανείου τὸ φυσικὸν κάλλος ὑπὸ τῆς βασιλικῆς προσεξήσκηται πολυτελείας, τῷ Ἀγρίππα πλούτῳ κεκοσμημένον. ἀρχόμενος δὲ φανεροῦ ῥεύματος ὁ Ἰορδάνης ἀπὸ τοῦδε τοῦ ἄντρου κόπτει μὲν τὰ τῆς Σεμεχωνίτιδος λίμνης ἕλη τε καὶ τέλματα, διαμείψας δὲ ἕτερους ἑκατὸν εἴκοσι σταδίους μετὰ πόλιν Ἰουλιάδα διεκτέμνει τὴν Γεννησὰρ μέσην, ἔπειτα πολλὴν ἀναμετρούμενος ἐρημίαν εἰς τὴν Ἀσφαλτῖτιν ἔξεισι λίμνην.

Digitized by Google

8 παρατείνει δὲ τὴν Γεννησὰρ ὁμώνυμος χώρα, θαυμαστὴ φύσιν τε καὶ κάλλος· οὔτε γὰρ αὐτή τι φυτὸν ἀρνεῖται διὰ τὴν πιότητα, καὶ πᾶν πεφυτεύκασιν οἱ νεμόμενοι. τοῦ δὲ ἀέρος τὸ εὔκρατον ἁρμόζει καὶ τοῖς διαφόροις· καρύαι μέν γε, φυτῶν τὸ χειμεριώτατον, ἄπειροι τεθήλασιν ἔνθα φοίνικες, οἳ καύματι τρέφονται, συκαῖ τε καὶ ἐλαῖαι πλησίον τούτων, αἷς μαλθακώτερος ἀὴρ ἀποδέδεικται. φιλοτιμίαν ἄν τις εἴποι τῆς φύσεως, βιασαμένης εἰς ἓν συναγαγεῖν τὰ μάχιμα, καὶ τῶν ὡρῶν ἀγαθὴν ἔριν, ἑκάστης ὥσπερ ἀντιποιουμένης τοῦ χωρίου· καὶ γὰρ οὐ μόνον τρέφει παρὰ δόξαν τὰς διαφόρους ὀπώρας, ἀλλὰ καὶ διαφυλάσσει. τὰ μέν γε βασιλικώτατα, σταφυλήν τε καὶ σῦκον, δέκα μησὶν ἀδιαλείπτως χορηγεῖ, τοὺς δὲ λοιποὺς καρποὺς δι' ἔτους ὅλου περιγηράσκοντας αὐτοῖς. πρὸς γὰρ τῇ τῶν ἀέρων εὐκρασίᾳ καὶ πηγῇ διάρδεται γονιμωτάτῃ· Καφαρναοὺμ αὐτὴν οἱ ἐπιχώριοι καλοῦσι. ταύτην φλέβα τοῦ Νείλου τινὲς ἔδοξαν, ἐπεὶ γεννᾷ τῷ κατὰ τὴν Ἀλεξανδρέων λίμνην κορακίνῳ παραπλήσιον. μῆκος δὲ τοῦ χωρίου παρατείνει κατὰ τὸν αἰγιαλὸν τῆς ὁμωνύμου λίμνης ἐπὶ σταδίους τριάκοντα καὶ εὖρος εἴκοσι.

9 ταῦτα μὲν οὖν οὕτω φύσεως ἔχει, Ὑσπασιανὸς δέ, ἐπεὶ παρεσκευάσθησαν αἱ σχεδίαι, τῆς δυνάμεως ἐπιβήσας ὅσον ᾤετο τοῖς κατὰ τὴν λίμνην ἀνταρκέσειν, ἐπανήγετο. τοῖς δὲ συνελαυνομένοις οὔτε ἐπὶ γῆν διαφεύγειν ἐνῆν, ἐκπεπολεμωμένων πάντων, οὔτε ἐξ ἴσου διαναυμαχεῖν· τά τε γὰρ σκάφη μικρὰ ὄντα καὶ ληστρικὰ πρὸς τὰς σχεδίας ἦν ἀσθενῆ, καὶ καθ' ἕκαστον ἐμπλέοντες ὀλίγοι πρὸς ἀθρόους ἐφεστῶτας τοὺς Ῥωμαίους ἐγγίζειν ἐδεδοίκεσαν. ὅμως δ' οὖν ἐκπεριπλέοντες τὰς σχεδίας, ἔστι δὲ ὅπου καὶ πλησιάζοντες πόρ-

Digitized by Google

ρωθεν τοὺς Ῥωμαίους ἔβαλλον λίθοις καὶ παροξύνοντες ἐγγύθεν ἔπαιον. ἐκακοῦντο δὲ αὐτοὶ πλέον κατ' ἀμφότερα· ταῖς γὰρ χερμάσιν οὐδὲν δρῶντες ὅτι μὴ κτύπον ἐπάλληλον (εἰς γὰρ πεφραγμένους ἔβαλλον), ἐφικτοὶ τοῖς Ῥωμαίων ἐγίνοντο βέλεσι, καὶ πλησιάζειν τολμῶντες, πρὶν δρᾶσαί τι παθεῖν ἔφθανον, καὶ σὺν αὐτοῖς ἐβαπτίζοντο τοῖς σκάφεσι. τῶν δὲ διεκπαίειν πειρωμένων πολλοὺς μὲν ἐφικνούμενοι κοντοῖς διέπειρον, οὓς δὲ ξιφήρεις ἐπικαταπηδῶντες εἰς τὰ σκάφη, τινὰς δὲ συντρεχούσαις ταῖς σχεδίαις ἐναποληφθέντας μέσους εἷλον ἅμα ταῖς ἁλιάσι. τῶν δὲ βαπτισθέντων τοὺς ἀνανεύοντας ἢ βέλος ἔφθανεν ἢ σχεδία κατελάμβανε, καὶ προσβαίνειν ὑπ' ἀμηχανίας εἰς τοὺς ἐχθροὺς πειρωμένων ἢ κεφαλὰς ἢ χεῖρας ἀπέκοπτον οἱ Ῥωμαῖοι. πολλή τε ἦν αὐτῶν καὶ ποικίλη φθορὰ πανταχοῦ, μέχρι τραπέντες εἰς τὴν γῆν ἐξεώσθησαν οἱ λοιποί, κεκυκλωμένων αὐτοῖς τῶν ἁλιάδων. ἐκπλειόμενοι δὲ πολλοὶ μὲν ἐν αὐτῇ κατηκοντίζοντο τῇ λίμνῃ, πολλοὺς δὲ ἐκπηδήσαντας οἱ Ῥωμαῖοι διέφθειρον ἐπὶ γῆς. ἦν δὲ ἰδεῖν κεκραμένην μὲν αἵματι πεπληρωμένην δὲ νεκρῶν τὴν λίμνην ἅπασαν· διεσώθη γὰρ οὐδείς. δεινὴ δὲ ταῖς ἑξῆς ἡμέραις περιέσχε τὴν χώραν ὀδμή τε καὶ ὄψις· οἱ μὲν γὰρ αἰγιαλοὶ ναυαγίων ἅμα καὶ διοιδούντων ἔγεμον σωμάτων, ἐγκαιόμενοι δὲ καὶ μυδῶντες οἱ νεκροὶ τὸν ἀέρα διέφθειρον, ὡς μὴ μόνον οἰκτρὸν Ἰουδαίοις γενέσθαι τὸ πάθος, ἀλλὰ καὶ διὰ μίσους τοῖς δράσασιν ἐλθεῖν. τοῦτο μὲν ἐκείνης τῆς ναυμαχίας τὸ τέλος, ἀπέθανον δὲ σὺν τοῖς ἐπὶ τῆς πόλεως πρότερον πεσοῦσιν ἑξακισχίλιοι πεντακόσιοι.

Οὐεσπασιανὸς δὲ μετὰ τὴν μάχην καθίζει μὲν ἐπὶ βήματος ἐν Ταριχέαις, διακρίνων δὲ ἀπὸ τῶν ἐπιχω-

Digitized by Google

ρίων τὸν ἔπηλυν λεών (κατάρξαι γὰρ οὗτος ἐδόκει πολέμου), μετὰ τῶν ἡγεμόνων εἰ χρὴ καὶ τούτους σώζειν ἐσκέπτετο. φαμένων δὲ πάντων βλαβερὰν ἔσεσθαι τὴν ἄφεσιν αὐτῶν (οὐ γὰρ ἡρεμήσειν ἀπολυθέντας ἀνθρώπους ἐστερημένους μὲν πατρίδων, βιάζεσθαι δὲ καὶ πρὸς οὓς ἂν καταφύγωσι πολεμεῖν δυναμένους), Ὀεσπασιανὸς ὡς μὲν οὔτε ἄξιοι σωτηρίας εἶεν καὶ διαφεύξονται κατὰ τῶν ἀφέντων ἐγίνωσκε, τὸν δὲ τρόπον τῆς ἀναιρέσεως αὐτῶν διενοεῖτο· καὶ γὰρ αὐτόθι κτείνων ἐκπολεμώσειν ὑφωρᾶτο τοὺς ἐπιχωρίους (οὐ γὰρ ἀνέξεσθαι φονευομένων ἱκετῶν τοσούτων παρ' αὐτοῖς), καὶ μετὰ πίστεις ἐπιθέσθαι προελθοῦσιν οὐχ ὑπέμενεν. ἐξενίκων δὲ οἱ φίλοι, μηδὲν κατὰ Ἰουδαίων ἀσεβὲς εἶναι λέγοντες, καὶ χρῆναι τὸ συμφέρον αἱρεῖσθαι πρὸ τοῦ πρέποντος, ὅταν ᾖ μὴ δυνατὸν ἄμφω. κατανεύσας οὖν αὐτοῖς ἄδειαν ἀμφίβολον, ἐπέτρεψεν ἐξιέναι διὰ μόνης τῆς ἐπὶ Τιβεριάδα φερούσης ὁδοῦ. τῶν δὲ ταχέως πιστευσάντων οἷς ἤθελον, καὶ μετὰ φανερῶν ἐν ἀσφαλεῖ τῶν χρημάτων ἧπερ ἐπετράπη χωρούντων, διαλαμβάνουσι μὲν οἱ Ῥωμαῖοι τὴν μέχρι Τιβεριάδος πᾶσαν, ὡς μή τις ἀποκλίνειε, συγκλείουσι δὲ αὐτοὺς εἰς τὴν πόλιν· καὶ Ὀεσπασιανὸς ἐπελθὼν ἵστησι πάντας ἐν τῷ σταδίῳ, καὶ γηραιοὺς μὲν ἅμα τοῖς ἀχρήστοις διακοσίους ἐπὶ χιλίοις ὄντας ἀνελεῖν ἐκέλευσεν, τῶν δὲ νέων ἐπιλέξας τοὺς ἰσχυροτάτους ἑξακισχιλίους ἔπεμψεν εἰς τὸν ἰσθμὸν Νέρωνι, καὶ τὸ λοιπὸν πλῆθος εἰς τρισμυρίους καὶ τετρακοσίους ὄντας πιπράσκει, χωρὶς τῶν Ἀγρίππα χαρισθέντων· τοὺς γὰρ ἐπ τῆς τούτου βασιλείας ἐπέτρεψεν αὐτῷ ποιεῖν ὅ τι βούλοιτο. πιπράσκει δὲ καὶ τούτους ὁ βασιλεύς. ὁ μέν γε ἄλλος ὄχλος Τραχωνῖται καὶ Γαυλανῖται καὶ Ἱππηνοὶ καὶ οἱ ἐκ τῆς Γαδαρίτιδος τὸ πλέον

Digitized by Google

ἦσαν, στασιασταὶ καὶ φυγάδες καὶ οἷς τὰ τῆς εἰρήνης ὀνείδη τὸν πόλεμον προυξένει. ἑάλωσαν δὲ Γορπιαίου μηνὸς ὀγδόῃ.

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

Ὅσοι δὲ μετὰ τὴν τῶν Ἰωταπάτων ἅλωσιν Γαλι- 1
λαῖοι Ῥωμαίων ἀφεστήκεσαν, οὗτοι τῶν ἐν Ταριχέαις ἡττηθέντων προσεχώρουν· καὶ παρέλαβον πάντα Ῥωμαῖοι τὰ φρούρια καὶ τὰς πόλεις, πλὴν Γισχάλων καὶ τῶν τὸ Ἰταβύριον ὄρος κατειληφότων. συνέστη δὲ τούτοις καὶ Γάμαλα πόλις Ταριχεῶν ἄντικρυς ὑπὲρ τὴν λίμνην κειμένη. τῆς δὲ Ἀγρίππα λήξεως αὕτη τε ἦν καὶ Σωγάνη καὶ Σελεύκεια, καὶ αἱ μὲν ἐκ τῆς Γαυλανίτιδος ἀμφότεραι (τοῦ γὰρ ἄνω καλουμένου Γαυλανᾶ μέρος ἦν ἡ Σωγάνη, τοῦ κάτω δὲ ἡ Γάμαλα), Σελεύκεια δὲ πρὸς τῇ Σεμεχωνιτῶν λίμνῃ. ταύτῃ τριάκοντα μὲν εὖρος, ἑξήκοντα δὲ μῆκος στάδια· διατείνει δὲ αὐτῆς τὰ ἕλη μέχρι Δάφνης χωρίου τά τε ἄλλα τρυφεροῦ καὶ πηγὰς ἔχοντος, αἳ τρέφουσαι τὸν μικρὸν καλούμενον Ἰορδάνην ὑπὸ τὸν τῆς χρυσῆς βοὸς νεὼν προπέμπουσι τῷ μεγάλῳ. τοὺς μὲν οὖν ἐπὶ Σωγάνην καὶ Σελεύκειαν παρὰ τὴν ἀρχὴν τῆς ἀποστάσεως δεξαῖς Ἀγρίππας προσηγάγετο, Γάμαλα δὲ οὐ προσεχώρει, πεποιθυῖα τῇ δυσχωρίᾳ πλέον τῶν Ἰωταπάτων. τραχὺς γὰρ αὐχὴν ἀφ' ὑψηλοῦ κατατείνων ὄρους μέσον ἑκαίρει τένοντα· μηκύνεται δὲ ἐκ τῆς ὑπεροχῆς εἰς τοὔμπροσθεν ἐκκλίνων ὅσον κατόπιν, ὡς εἰκάζεσθαι καμήλῳ τὸ σχῆμα, παρ' ἣν ὠνόμασται, τὸ τρανὸν τῆς κλήσεως οὐκ ἐξακριβούντων τῶν ἐπιχωρίων. κατὰ πλευρὰν μὲν δὴ καὶ πρόσωπον εἰς φάραγγας ἀβάτους

Digitized by Google

περισχίζεται· τὸ κατ' οὐρὰν δὲ ὀλίγον ἀναφεύγει τῆς δυσχωρίας, ὅθεν ἀπήρτηται τοῦ ὄρους, καὶ τοῦτο ἐπικαρσίᾳ παρακόψαντες τάφρῳ δύσβατον οἱ ἐπιχώριοι κατεσκεύασαν. πρὸς ὀρθίῳ δὲ τῇ λαγόνι δεδομημέναι πεπύκνωνται δεινῶς ἐπ' ἀλλήλαις αἱ οἰκίαι, κρημνιζομένῃ τε ἡ πόλις ἐοικυῖα κατέτρεχεν εἰς ἑαυτὴν ἀπὸ τῆς ὀξύτητος. καὶ πρὸς μεσημβρίαν μὲν ἔκλινεν, ὁ νότιος δὲ αὐτῆς ὄχθος εἰς ἄπειρον ὕψος ἀνατείνων ἄκρα τῆς πόλεως ἦν ἀτείχιστος, ὁ δὲ ὑπὲρ αὐτὴν κρημνὸς εἰς τὴν βαθυτάτην κατατείνων φάραγγα. πηγὴ δὲ ἐντὸς τοῦ τείχους, ἐφ' ἣν τὸ ἄστυ κατέληγεν.

2 οὕτως οὖσαν φύσει δύσμαχον τὴν πόλιν τειχίζων ὁ Ἰώσηπος ἐποίησεν ὀχυρωτέραν ὑπονόμοις τε καὶ διωρυξιν. οἱ δὲ ἐν αὐτῇ φύσει μὲν τοῦ χωρίου θαρραλεώτεροι τῶν κατὰ τὴν Ἰωταπάτην ἦσαν, πολὺ δὲ ἐλάττους μάχιμοι, καὶ τῷ τόπῳ πεποιθότες οὐδὲ πλείονας ὑπελάμβανον. πεπλήρωτο γὰρ ἡ πόλις διὰ τὴν ὀχυρότητα συμφυγόντων, παρὸ καὶ τοῖς Ἀγρίππα προπεμφθεῖσιν ἐπὶ τὴν πολιορκίαν ἀντεῖχεν ἐπὶ μῆνας ἑπτά.

3 Οὐεσπασιανὸς δὲ ἅρας ἀπὸ τῆς Ἀμμαοῦς, ἔνθα πρὸ τῆς Τιβεριάδος ἐστρατοπεδεύκει (μεθερμηνευομένη δὲ Ἀμμαοῦς θερμὰ λέγοιτ' ἄν· ἔστι γὰρ ἐν αὐτῇ πηγὴ θερμῶν ὑδάτων πρὸς ἄκεσιν ἐπιτήδειος), ἀφικνεῖται πρὸς τὴν Γάμαλαν. καὶ πᾶσαν μὲν κυκλώσασθαι φυλακῇ τὴν πόλιν οὐχ οἷός τε ἦν οὕτω διακειμένην, πρὸς δὲ τοῖς δυνατοῖς φρουροὺς καθίστη καὶ τὸ ὑπερκείμενον ὄρος καταλαμβάνεται. τειχισαμένων δὲ ὥσπερ ἔθος τῶν ταγμάτων ὑπὲρ αὐτοῦ στρατόπεδον, χωμάτων ἤρχετο κατ' οὐρὰν καὶ τὸ κατ' ἀνατολὰς αὐτοῦ μέρος, ἥπερ ὁ ἀνωτάτω τῆς πόλεως πύργος ἦν, ἐφ' οὗ τὸ πέμπτον καὶ δέκατον ἐστρατοπεδεύκει τάγμα· καὶ τὸ πέμ-

Digitized by Google

πτον μὲν κατὰ μέσην ἐξειργάζετο τὴν πόλιν, τὰς διώρυγας δὲ ἀνεπλήρου καὶ τὰς φάραγγας τὸ δέκατον. κἂν τούτῳ προσελθόντα τοῖς τείχεσιν Ἀγρίππαν τὸν βασιλέα, καὶ περὶ παραδόσεως τοῖς ἐφεστῶσι πειρώμενον διαλέγεσθαι, βάλλει τις τῶν σφενδονητῶν κατὰ τὸν δεξιὸν ἀγκῶνα λίθῳ. καὶ ὃ μὲν ὑπὸ τῶν οἰκείων θᾶττον περιεσχέθη, Ῥωμαίους δὲ ἐπήγειρεν εἰς τὴν πολιορκίαν ὀργή τε περὶ τοῦ βασιλέως καὶ περὶ σφῶν αὐτῶν δέος· οὐ γὰρ ἀπολείψειν ὠμότητος ὑπερβολὴν κατ' ἀλλοφύλων καὶ πολεμίων τοὺς πρὸς ὁμόφυλον καὶ τῶν συμφερόντων αὐτοῖς σύμβουλον οὕτως ἀγριωθέντας.

συντελεσθέντων οὖν τῶν χωμάτων θᾶττον πλήθει 4
χειρῶν καὶ τῶν πραττομένων ἔθει, προσῆγον τὰς μηχανάς. οἱ δὲ περὶ τὸν Χάρητα καὶ Ἰώσηπον (οὗτοι γὰρ ἦσαν τῶν κατὰ τὴν πόλιν δυνατώτατοι) καίπερ καταπεπληγότας τοὺς ὁπλίτας τάττουσιν, ἐπειδὴ μέχρι πολλοῦ πρὸς τὴν πολιορκίαν ἀνθέξειν οὐχ ὑπελάμβανον, ὕδατι καὶ τοῖς ἄλλοις ἐπιτηδείοις μὴ διαρκούμενοι· παρακροτήσαντες δὲ ὅμως ἐξήγαγον ἐπὶ τὸ τεῖχος. καὶ πρὸς ὀλίγον μὲν ἀπημύναντο τοὺς προσάγοντας τὰς μηχανάς, βαλλόμενοι δὲ τοῖς καταπελτικοῖς καὶ τοῖς πετροβόλοις ἀνεχώρουν εἰς τὴν πόλιν. καὶ προσάγοντες οἱ Ῥωμαῖοι τριχόθεν τοὺς κριοὺς διασείουσι μὲν τὸ τεῖχος, ὑπὲρ δὲ τῶν ῥιφθέντων εἰσχεόμενοι μετὰ πολλοῦ σαλπίγγων ἤχου καὶ κτύπου τῶν ὅπλων αὐτοί τε ἐπαλαλάξοντες συνερρήγνυντο τοῖς κατὰ τὴν πόλιν. οἳ δὲ τέως μὲν κατὰ τὰς πρώτας εἰσόδους ἐνιστάμενοι, προσωτέρω χωρεῖν ἐκώλυον καὶ καρτερῶς τοὺς Ῥωμαίους ἀνείργον· βιαζόμενοί τε ὑπὸ πολλῶν καὶ πάντοθεν τρεπόντων καὶ πρὸς τὰ ὑψηλὰ τῆς πόλεως, προσκειμένοις τοῖς πολεμίοις ἔξ ὑποστροφῆς ἐπιπεσόντες συνώθουν εἰς τὸ κάταντες, καὶ τῇ στενότητι καὶ δυσχωρίᾳ θλιβομένους

Digitized by Google

ἀνῆρουν. οἳ δὲ μήτε τοὺς κατὰ κορυφὴν ἀμύνασθαι δυνάμενοι μήτε διεκπαίειν τῶν σφετέρων πρόσω βιαζομένων ἐπὶ τὰς οἰκίας τῶν πολεμίων (πρόσγειοι γὰρ ἦσαν) ἀνέφευγον. αἳ δὲ ταχέως κατηρείποντο πληρούμεναι καὶ τὸ βάρος μὴ στέγουσαι· κατέσειε δὲ πολλὰς μία τῶν ὑπ' αὐτὴν πεσοῦσα, καὶ πάλιν ἐκεῖναι τὰς ὑπ' αὐτάς. τοῦτο πλείστους διέφθειρε τῶν Ῥωμαίων· ὑπὸ γὰρ ἀμηχανίας, καίτοι συνιζούσας ὁρῶντες, ἐπεπήδων ταῖς στέγαις. καὶ πολλοὶ μὲν κατεχώννυντο τοῖς ἐρειπίοις, πολλοὶ δὲ ὑποφεύγοντες μέρη τοῦ σώματος κατελαμβάνοντο, πλείστους δὲ ὁ κονιορτὸς ἄγχων ἀνῄρει. συνέργειαν θεοῦ τοῦτο Γαμαλεῖς ὑπελάμβανον, καὶ τῆς κατὰ σφᾶς ἀμελοῦντες βλάβης ἐπέκειντο, πρός τε τὰ τέγη τοὺς πολεμίους ἀνωθοῦντες καὶ τοὺς κατολισθάνοντας ἐν ὀξέσι τοῖς στενωποῖς καὶ ἀεὶ τοὺς πίπτοντας ὕπερθεν βάλλοντες ἔκτεινον. καὶ τὰ μὲν ἐρείπια χερμάδων πλέα ἦν αὐτοῖς, σίδηρον δὲ παρεῖχον οἱ τῶν πολεμίων νεκροί· παρασπῶντες γὰρ τὰ τῶν πεσόντων ξίφη κατὰ τῶν δυσθανατώντων ἐχρῶντο. πολλοὶ δὲ ἀποπίπτοντες ἤδη τῶν δωμάτων σφᾶς αὐτοὺς βάλλοντες ἔθνησκον. ἦν δὲ οὐδὲ τραπέντων ἡ φυγὴ ῥᾴδιος· κατὰ γὰρ ἄγνοιαν τῶν ὁδῶν καὶ παχύτητα τοῦ κονιορτοῦ μηδὲ ἀλλήλους ἐπιγινώσκοντες ἀνειλοῦντο καὶ περὶ σφᾶς ἔπιπτον.

οἳ μὲν οὖν μόλις εὑρίσκοντες τὰς ἐξόδους ἀνεχώρησαν ἐκ τῆς πόλεως· Ὀεσπασιανὸς δὲ ἀεὶ προσμένων τοῖς πονουμένοις (δεινὸν γάρ τι πάθος αὐτὸν εἰσῄει κατερειπομένην ὁρῶντα περὶ τῷ στρατῷ τὴν πόλιν), ἐν λήθῃ τοῦ καθ' αὑτὸν ἀσφαλοῦς γενόμενος λανθάνει κατὰ μικρὸν ἀνωτάτω τῆς πόλεως προελθών, ἔνθα μέσοις ἐγκαταλείπεται τοῖς κινδύνοις μετ' ὀλίγων παντελῶς· οὐδὲ γὰρ ὁ παῖς αὐτῷ Τίτος τότε συμπαρῆν,

Digitized by Google

τηνικαῦτα πρὸς Μουκιανὸν εἰς Συρίαν ἀπεσταλμένος. τραπῆναι μὲν οὖν οὔτε ἀσφαλὲς οὔτε πρέπον ἡγήσατο, μνησθεὶς δὲ τῶν ἀπὸ νεότητος αὐτῷ πεπονημένων καὶ τῆς ἰδίας ἀρετῆς, ὥσπερ ἔνθους γενόμενος, συνασπίζει μὲν τοὺς ἅμα αὐτῷ τά τε σώματα καὶ τὰς πανοπλίας, ἐνυφίσταται δὲ κατὰ κορυφὴν ἐπιρρέοντα τὸν πόλεμον, καὶ οὔτε ἀνδρῶν πλῆθος οὔτε βελῶν ὑποπτήξας ἐπέμενε, μέχρι δαιμόνιον τὸ παράστημα τῆς ψυχῆς συννοήσαντες οἱ πολέμιοι ταῖς ὁρμαῖς ἐνέδοσαν. ἀτονώτερον δὲ προσκειμένων αὐτὸς ἐπὶ πόδα ἀνεχώρει, νῶτα μὴ δεικνὺς ἕως ἔξω τοῦ τείχους ἐγένετο. πλεῖστοι μὲν οὖν Ῥωμαίων κατὰ ταύτην ἔπεσον τὴν μάχην, ἐν οἷς καὶ ὁ δεκαδάρχης Ἐβούτιος, ἀνὴρ οὐ μόνον ἐφ' ἧς ἔπεσε παρατάξεως, ἀλλὰ πανταχοῦ καὶ πρότερον γενναιότατος φανεὶς καὶ πλεῖστα κακὰ Ἰουδαίοις ἐργασάμενος. ἑκατοντάρχης δέ τις, Γάλλος ὀνόματι, μετὰ στρατιωτῶν δέκα περισχεθεὶς ἐν τῇ ταραχῇ κατέδυ μὲν εἴς τινος οἰκίαν, τῶν δὲ ἐν αὐτῇ διαλαλούντων παρὰ δεῖπνον ὅσα κατὰ τῶν Ῥωμαίων ἡ περὶ σφῶν ὁ δῆμος ἐβουλεύετο κατακροασάμενος (ἦν δὲ αὐτός τε καὶ οἱ σὺν αὐτῷ Σύροι) νύκτωρ ἐπανίσταται, καὶ πάντας ἀποσφάξας μετὰ τῶν στρατιωτῶν εἰς τοὺς Ῥωμαίους διασώζεται.

Ὠσπασιανὸς δὲ ἀθυμοῦσαν τὴν στρατιὰν ἐννοίᾳ 6
πταισμάτων, καὶ διότι τέως οὐδαμοῦ τηλικαύτῃ συμφορᾷ κέχρηντο, τό γε μὴν πλέον αἰδουμένους ἐπὶ τῷ τὸν στρατηγὸν μόνον τοῖς κινδύνοις ἐγκαταλιπεῖν, παρεμυθεῖτο, περὶ μὲν τοῦ καθ' αὑτὸν ὑποστελλόμενος, ὡς μηδὲ τὴν ἀρχὴν μέμφεσθαι δοκοίη, δεῖν δὲ τὰ κοινὰ λέγων ἀνδρείως φέρειν, τὴν τοῦ πολέμου φύσιν ἐννοοῦντας, ὡς οὐδαμοῦ τὸ νικᾶν ἀναιμωτὶ περιγίνεται· ἡ γὰρ παλίμπους τύχη περίσταται. τοσαύτας μέντοι μυριάδας Ἰουδαίων ἀνελόντας αὐτοὺς ὀλίγην τῷ δαίμονι δεδωκέ-

Digitized by Google

ναι συμβολήν. εἶναι δέ, ὥσπερ ἀπειροκάλων τὸ λίαν ἐπαίρεσθαι ταῖς εὐπραγίαις, οὕτως ἀνάνδρων τὸ καταπτήσσειν ἐν τοῖς πταίσμασιν· "ὀξεῖα γὰρ ἐν ἀμφοτέροις ἡ μεταβολή, κἀκεῖνος ἄριστος ὁ κἂν τοῖς ἀτυχήμασι νήφων, ἵνα μένῃ καὶ δι' εὐθυμίας ἀναπαλαίων τὰ σφάλματα. τὰ μέντοι συμβεβηκότα νῦν οὔτε μαλακισθέντων ἡμῶν οὔτε παρὰ τὴν τῶν Ἰουδαίων ἀρετὴν γέγονεν· ἀλλὰ κἀκείνοις τοῦ πλεονεκτῆσαι καὶ τοῦ διαμαρτεῖν ἡμῖν αἴτιον ἡ δυσχωρία, καθ' ἣν ἄν τις ὑμῶν μέμψαιτο τῆς ὁρμῆς τὸ ἀταμίευτον. ἀναφυγόντων γὰρ ἐπὶ τὰ ὑψηλὰ τῶν πολεμίων ἑαυτοὺς ὑποστέλλειν ἐχρῆν, καὶ μὴ κατὰ κορυφὴν ἱσταμένοις τοῖς κινδύνοις ἔπεσθαι, κρατοῦντας δὲ τῆς κάτω πόλεως κατ' ὀλίγον προκαλεῖσθαι τοὺς ἀναφυγόντας εἰς ἀσφαλῆ καὶ ἑδραίαν μάχην. νυνὶ δὲ ἀκρατῶς ἐπὶ τὴν νίκην ἐπειγόμενοι τῆς ἀσφαλείας ἠμελήσατε. τὸ δὲ ἀπερίσκεπτον ἐν πολέμῳ καὶ [τῆς ὁρμῆς] μανιῶδες οὐ πρὸς Ῥωμαίων, οἳ πάντα ἐμπειρίᾳ καὶ τάξει κατορθοῦμεν, ἀλλὰ βαρβαρικόν, καὶ ᾧ μάλιστα Ἰουδαῖοι κρατοῦνται. χρὴ τοίνυν ἐπὶ τὴν ἑαυτῶν ἀρετὴν ἀναδραμεῖν, καὶ θυμοῦσθαι μᾶλλον ἢ προσαθυμεῖν τῷ παρ' ἀξίαν πταίσματι. τὴν δὲ ἀρίστην ἕκαστος ἐκ τῆς ἰδίας χειρὸς ἐπιζητείτω παραμυθίαν· οὕτω γὰρ τοῖς ἀπολωλόσι τιμωρήσεσθε καὶ τοὺς ἀνελόντας ἀμυνεῖσθε. πειράσομαι δὲ ἐγώ, καθάπερ νῦν, ἐπὶ πάσης μάχης προάγειν τε ὑμῶν εἰς τοὺς πολεμίους καὶ τελευταῖος ἀποχωρεῖν."

7 ὃ μὲν οὖν τοιαῦτα λέγων τὴν στρατιὰν ἀνελάμβανε, τοῖς δὲ Γαμαλεῦσι πρὸς ὀλίγον μὲν θαρρῆσαι τῷ κατορθώματι παρέστη παραλόγως τε συμβάντι καὶ μεγάλως, λογιζόμενοι δὲ ὕστερον ἀφῃρῆσθαι σφᾶς αὐτοὺς καὶ δεξιᾶς ἐλπίδα, τό τε μὴ δύνασθαι διαφεύγειν ἐννοοῦντες (ἤδη γὰρ ἐπέλειπε τἀπιτήδεια), δεινῶς ἠθύ-

Digitized by Google

μουν καὶ ταῖς ψυχαῖς ἀναπεπτώκεσαν. οὐ μὴν εἰς τὸ δυνατὸν ἠμέλουν σωτηρίας, ἀλλὰ καὶ τὰ περιρρηχθέντα τοῦ τείχους ἱοὶ γενναιότατοι καὶ τὰ μένοντα περισχόντες ἐφύλασσον οἱ λοιποί. τῶν δὲ Ῥωμαίων ἐπιχωννύντων τὰ χώματα καὶ πάλιν πειρωμένων εἰσβολῆς, οἱ πολλοὶ διεδίδρασκον ἐκ τῆς πόλεως κατά τε δυσβάτων φαράγγων, ἧπερ οὐκ ἔκειντο φυλακαί, καὶ διὰ τῶν ὑπονόμων. ὅσοι γε μὴν δέει τοῦ ληφθῆναι παρέμενον, ἐνδείᾳ διεφθείροντο· πανταχόθεν γὰρ τροφὴ τοῖς μάχεσθαι δυναμένοις συνηθροίζετο.

καὶ οἱ μὲν ἐν τοιούτοις πάθεσι διεκαρτέρουν, Ὀσπασιανὸς δὲ πάρεργον ἐποιεῖτο τῆς πολιορκίας τοὺς τὸ Ἰταβύριον κατειληφότας ὄρος, ὅ ἐστι τοῦ μεγάλου πεδίου καὶ Σκυθοπόλεως μέσον· οὗ τὸ μὲν ὕψος ἐπὶ τριάκοντα σταδίους ἀνίσχει, μύλις προσβατὸν κατὰ τὸ προσάρκτιον κλίμα, πεδίον δέ ἐστιν ἡ κορυφὴ σταδίων ἓξ καὶ εἴκοσι, πᾶν τετειχισμένον. ἤγειρε δὲ τοσοῦτον ὄντα τὸν περίβολον ὁ Ἰώσηπος ἐν τεσσαράκοντα ἡμέραις, τῇ τε ἄλλῃ χορηγούμενος ὕλῃ κάτωθεν καὶ ὕδατι· καὶ γὰρ τοῖς ἐποίκοις μόνον ἦν ὄμβριον. πολλοῦ οὖν πλήθους ἐπὶ τούτου συνειλεγμένου, Ὀσπασιανὸς Πλάκιδον σὺν ἱππεῦσιν ἑξακοσίοις πέμπει. τούτῳ τὸ μὲν προσβαίνειν ἀμήχανον ἦν, ἐλπίδι δὲ δεξιῶν καὶ παρακλήσεως πρὸς εἰρήνην τοὺς πολλοὺς προσεκαλεῖτο. κατῆσαν δὲ ἀντεπιβουλεύοντες· ὅ τε γὰρ Πλάκιδος ὠμίλει πραότερον, σπουδάζων αὐτοὺς ἐν τῷ πεδίῳ λαβεῖν, κἀκεῖνοι κατῆσαν ὡς πειθόμενοι δῆθεν, ἵνα ἀφυλάκτῳ προσπέσωσιν. ἐνίκα μέντοι τὸ Πλακίδου πανοῦργον· ἀρξαμένων γὰρ τῶν Ἰουδαίων μάχης φυγὴν ὑποκρίνεται, καὶ διώκοντας ἑλκύσας ἐπὶ πολὺ τοῦ πεδίου τοὺς ἱππεῖς ἐπιστρέφει, τρεψάμενος δὲ πλείστους μὲν αὐτῶν ἀναιρεῖ, τὸ δὲ λοιπὸν πλῆθος ὑποτεμόμενος εἴργει τῆς ἀνόδου.

8

Digitized by Google

καὶ οἱ μὲν τὸ Ἰταβύριον καταλιπόντες ἐπὶ Ἱεροσολύμων ἔφευγον, οἱ δὲ ἐπιχώριοι πίστεις λαβόντες (ἐπιλελοίπει δὲ αὐτοὺς τὸ ὕδωρ) τό τε ὄρος καὶ σφᾶς αὐτοὺς Πλακίδῳ παρέδοσαν.

9 τῶν δὲ ἐπὶ τῆς Γαμάλας οἱ παραβολώτεροι μὲν φεύγοντες διελάνθανον, οἱ δὲ ἀσθενεῖς διεφθείροντο λιμῷ, τὸ μάχιμον δὲ ἀντεῖχε τῇ πολιορκίᾳ, μέχρι, δευτέρᾳ καὶ εἰκάδι μηνὸς Ὑπερβερεταίου, τρεῖς τῶν ἀπὸ τοῦ πέμπτου καὶ δεκάτου τάγματος στρατιῶται περὶ τὴν ἑωθινὴν φυλακὴν ὑποδύντες τὸν προύχοντα κατὰ τούτους πύργον ὑπορύσσουσιν ἡσυχῇ. τοῖς δὲ ὑπὲρ αὐτοῦ φύλαξιν οὔτε προσιόντων αἴσθησις (νυὲ γὰρ ἦν) οὔτε προσελθόντων ἐγένετο. οἱ δὲ στρατιῶται φειδόμενοι τοῦ ψόφου πέντε τοὺς κραταιοτάτους ἐκκυλίσαντες τῶν λίθων ἀποπηδῶσι· κατηρείπετο δὲ ὁ πύργος ἐξαίφνης μετὰ μεγίστου ψόφου. καὶ συγκαταπρημνίζονται μὲν οἱ φύλακες αὐτῷ, θορυβηθέντες δὲ οἱ κατὰ τὰς ἄλλας φυλακὰς ἔφευγον. καὶ πολλοὺς διεκπαίειν τολμῶντας οἱ Ῥωμαῖοι διέφθειραν, ἐν οἷς καὶ Ἰώσηκόν τις ὑπὲρ τὸ παρερρηγμένον τοῦ τείχους ἐκδιδράσκοντα βαλὼν ἀναιρεῖ. τῶν δ' ἀνὰ τὴν πόλιν διασεισθέντων ὑπὸ τοῦ ψόφου διαδρομή τε ἦν καὶ πτοία πολλή, καθάπερ εἰσπεπτωκότων πάντων τῶν πολεμίων· ἔνθα καὶ Χάρης κατακείμενος καὶ νοσηλευόμενος ἐκλείπει, πολὺ τοῦ δέους συνεργήσαντος εἰς θάνατον τῇ νόσῳ. Ῥωμαῖοί γε μὴν μεμνημένοι τοῦ προτέρου πταίσματος οὐκ εἰσέβαλον ἕως τρίτης καὶ εἰκάδος τοῦ προειρημένου μηνός.

10 Τίτος δέ (ἤδη γὰρ παρῆν) ὀργῇ τῆς πληγῆς ἣν παρ' αὐτῶν ἐπλήγησαν ἀπόντος Ῥωμαῖοι, τῶν ἱππέων ἐπιλέξας διακοσίους, πρὸς οἷς καὶ πεζούς, εἰσέρχεται εἰς τὴν πόλιν ἡσυχῇ. καὶ παρελθόντος οἱ μὲν φύλακες

Digitized by Google

αἰσθόμενοι μετὰ βοῆς ἐχώρουν ἐπὶ τὰ ὅπλα, δήλης δὲ τῆς εἰσβολῆς ταχέως καὶ τοῖς εἴσω γενομένης οἱ μὲν ἁρπάζοντες τὰ τέκνα καὶ τὰς γυναῖκας ἐπισυρόμενοι πρὸς τὴν ἄκραν ἀνέφευγον μετὰ κωκυτοῦ καὶ βοῆς, οἳ δὲ τὸν Τίτον ὑπαντιάζοντες ἀδιαλείπτως ἔπιπτον. ὅσοι δὲ ἀπεκωλύθησαν ἐπὶ τὴν κορυφὴν ἀναδραμεῖν, ὑπ' ἀμηχανίας εἰς τὰς τῶν Ῥωμαίων φρουρὰς ἐξέπιπτον. ἄπειρος δὲ ἦν πανταχοῦ φονευομένων ὁ στόνος, καὶ τὸ αἷμα πᾶσαν ἐπέκλυζε τὴν πόλιν κατὰ πρανοῦς χεόμενον. πρὸς δὲ τοὺς ἀναφεύγοντας εἰς τὴν ἄκραν ἐπεβοήθει Ἰεσπασιανός, πᾶσαν εἰσαγαγὼν τὴν δύναμιν. ἦν δὲ ἥ τε κορυφὴ πάντοθεν πετρώδης καὶ δύσβατος, εἰς ἄπειρον ὕψος ἐπηρμένη, καὶ πανταχόθεν τοῦ πλήθους κατέγεμε, περιειλημμένη κρημνοῖς, κατέτεμνόν τε ἐνταῦθα τοὺς προσβαίνοντας οἱ Ἰουδαῖοι, τούς τε ἄλλους βέλεσι καὶ πέτραις κατακυλινδοῦντες ἐκάκουν, αὐτοὶ δὲ δι' ὕψος ἦσαν δυσέφικτοι βέλεσι. γίνεται δὲ πρὸς ἀπώλειαν αὐτῶν ἀντικρὺ θύελλα δαιμόνιος, ἣ τὰ μὲν Ῥωμαίων ἔφερεν εἰς αὐτοὺς βέλη, τὰ δὲ αὐτῶν ἀνέστρεφε καὶ πλάγια παρέσυρεν. οὔτε δὲ τοῖς ἀποκρήμνοις ἐφίστασθαι διὰ τὴν βίαν ἐδύναντο τοῦ πνεύματος, μηδὲν ἑδραῖον ἔχοντες, οὔτε τοὺς προσβαίνοντας καθορᾶν. ἐπαναβαίνουσι δὲ Ῥωμαῖοι, καὶ περισχόντες οὓς μὲν ἀμυνομένους ἔφθανον, οὓς δὲ χεῖρας προΐσχοντας. ἐτόνου δὲ τὸν θυμὸν αὐτοῖς ἐπὶ πάντας ἡ μνήμη τῶν ἐπὶ τῆς πρώτης εἰσβολῆς ἀπολωλότων. ἀπογινώσκοντες δὲ τὴν σωτηρίαν, πανταχόθεν οἱ πολλοὶ περισχόμενοι τέκνα καὶ γυναῖκας ἑαυτοὺς κατεκρήμνιζον εἰς τὴν φάραγγα· βαθυτάτη δὲ αὕτη κατὰ τὴν ἄκραν ὑπώρυκτο. συνέβη δὲ τὴν Ῥωμαίων ὀργὴν τῆς εἰς αὐτοὺς ἀπονοίας τῶν ἁλόντων πραοτέραν φανῆναι· τετρακισχίλιοι μέν γε ὑπὸ τούτων ἐσφάγησαν, οἱ δὲ ῥίψαντες ἑαυτοὺς

Digitized by Google

ὑπὲρ πεντακισχιλίους εὑρέθησαν. διεσώθη δὲ πλὴν δύο γυναικῶν οὐδείς. τῆς Φιλίππου δὲ ἦσαν ἀδελφῆς θυγατέρες αὗται, αὐτὸς δ' ὁ Φίλιππος Ἰακίμου τινὸς ἀνδρὸς ἐπισήμου, στραταρχήσαντος Ἀγρίππᾳ τῷ βασιλεῖ. διεσώθησαν δὲ τὰς παρὰ τὴν ἄλωσιν ὀργὰς Ῥωμαίων λαθοῦσαι· οὐδὲ γὰρ νηπίων ἐφείδοντο, πολλὰ δὲ ἕκαστος τότε ἁρπάζοντες ἐσφενδόνων ἀπὸ τῆς ἄκρας.

Γάμαλα μὲν οὖν οὕτως ἑάλω τριτῃ καὶ εἰκάδι μηνὸς Ὑπερβερεταίου, τῆς ἀποστάσεως ἀρξαμένης Γορ-
2 πιαίου μηνὸς τετάρτῃ καὶ εἰκάδι· μόνη δὲ Γίσχαλα πολίχνη τῆς Γαλιλαίας ἀχείρωτος κατελείπετο, τοῦ μὲν πλήθους εἰρηνικὰ φρονοῦντος (καὶ γὰρ ἦσαν τὸ πλέον γεωργοὶ καὶ ταῖς ἀπὸ τῶν καρπῶν ἐλπίσιν ἀεὶ προσανέχοντες), παρεισεφθαρμένου δὲ αὐτοῖς οὐκ ὀλίγου λῃστρικοῦ τάγματος, ᾧ τινὲς καὶ τοῦ πολιτικοῦ συνενόσουν. ἐνῆγε δὲ τούτους εἰς τὴν ἀπόστασιν καὶ συνεκρότει Λευίου τινὸς υἱὸς Ἰωάννης, γόης ἀνὴρ καὶ ποικιλώτατος τὸ ἦθος, πρόχειρος μὲν ἐλπίσαι μεγάλα, δεινὸς δὲ τῶν ἐλπισθέντων περιγενέσθαι, παντί τε ὢν δῆλος ἀγαπῶν τὸν πόλεμον εἰς δυναστείας ὑπόθεσιν. ὑπὸ τούτῳ τὸ στασιῶδες ἐν τοῖς Γισχάλοις ἐτέτακτο, δι' οὓς τυχὸν καὶ πρεσβευσάμενον περὶ παραδόσεως τὸ δημοτικὸν ἐν πολέμου μοίρᾳ τὴν Ῥωμαίων ἔφοδον ἐξεδέχετο. Οὐεσπασιανὸς δὲ ἐπὶ μὲν τούτους Τίτον ἐκπέμπει σὺν χιλίοις ἱππεῦσι, τὸ δέκατον δὲ τάγμα ἀπαίρει εἰς Σκυθόπολιν· αὐτὸς δὲ σὺν δυσὶ τοῖς λοιποῖς ἐπανῆλθεν εἰς Καισάρειαν, τοῦ τε συνεχοῦς καμάτου διδοὺς ἀνάπαυσιν αὐτοῖς, καὶ δι' εὐθηνίαν τῶν πόλεων τά τε σώματα καὶ τὸ πρόθυμον ὑποθρέψειν οἰόμενος ἐπὶ τοὺς μέλλοντας ἀγῶνας. οὐ γὰρ ὀλίγον ἑαυτῷ πόνον ἑώρα περὶ τοῖς Ἱεροσολύμοις λειπόμενον, ἅτε δὴ

Digitized by Google

βασιλείου μὲν οὔσης τῆς πόλεως καὶ προανεχούσης ὅλου τοῦ ἔθνους, συρρεόντων δὲ εἰς αὐτὴν τῶν ἐκ τοῦ πολέμου διαδιδρασκόντων. τό γε μὴν φύσει ὀχυρὸν αὐτῆς, καὶ διὰ κατασκευὴν τειχῶν, ἀγωνίαν οὐ τὴν τυχοῦσαν ἐνεποίει· τὰ δὲ φρονήματα τῶν ἀνδρῶν καὶ τὰς τόλμας δυσμεταχειρίστους καὶ δίχα τειχῶν ὑπελάμβανε. διὸ δὴ τοὺς στρατιώτας καθάπερ ἀθλητὰς προήσκει τῶν ἀγώνων.

Τίτῳ δὲ προσιππασαμένῳ τοῖς Γισχάλοις εὐπετὲς 2
μὲν ἦν ἐξ ἐφόδου τὴν πόλιν ἑλεῖν· εἰδὼς δέ, εἰ βίᾳ ληφθείη, διαφθαρησόμενον ὑπὸ τῶν στρατιωτῶν ἀνέδην τὸ πλῆθος (ἦν δὲ αὐτῷ κόρος ἤδη φόνων, καὶ δι' οἴκτου τὸ πλέον ἀκρίτως συναπολλύμενον τοῖς αἰτίοις), ἐβούλετο μᾶλλον ὁμολογίαις παραστήσασθαι τὴν πόλιν. καὶ δὴ τοῦ τείχους ἀνδρῶν καταγέμοντος, οἳ τὸ πλέον ἦσαν ἐκ τοῦ διεφθαρμένου τάγματος, θαυμάζειν ἔφη πρὸς αὐτοὺς τίνι πεποιθότες, πάσης ἐαλωκυίας πόλεως, μόνοι τὰ Ῥωμαίων ὅπλα μένουσιν, ἑωρακότες μὲν ὀχυρωτέρας πολλῷ πόλεις ὑπὸ μίαν προσβολὴν κατεστραμμένας, ἐν ἀσφαλείᾳ δὲ τῶν ἰδίων κτημάτων ἀπολαύοντας ὅσοι ταῖς Ῥωμαίων δεξιαῖς ἐπίστευσαν, ἃς καὶ νῦν προτείνειν αὐτοῖς, μηδὲν μνησικακῶν τῆς αὐθαδείας. εἶναι γὰρ συγγνωστὸν ἐλευθερίας ἐλπίδα, μηκέτι μέντοι τὴν ἐν τοῖς ἀδυνάτοις ἐπιμονήν. εἰ γὰρ οὐ πεισθήσονται λόγοις φιλανθρώποις καὶ δεξιαῖς πίστεως, πειράσειν αὐτοὺς ἀφειδῆ τὰ ὅπλα, καὶ ὅσον οὐδέπω γνωσθήσεσθαι παιδιὰν ἐσόμενον τοῖς Ῥωμαίων μηχανήμασι τὸ τεῖχος, ᾧ πεποιθότες ἐπιδείκνυνται μόνοι Γαλιλαίων ὅτι εἰσὶν αὐθάδεις αἰχμάλωτοι.

πρὸς ταῦτα τῶν μὲν δημοτικῶν οὐ μόνον οὐκ 3
ἀποκρίνεσθαί τινι μετῆν, ἀλλ' οὐδὲ ἐπὶ τὸ τεῖχος ἀναβῆναι· προδιείληπτο γὰρ ἅπαν τοῖς ληστρικοῖς, καὶ φύ-

Digitized by Google

λακες τῶν πυλῶν ἦσαν, ὡς μή τινες ἢ προέλθοιεν ἐπὶ τὰς σκοπὰς ἢ δέξαιντό τινας τῶν ἱππέων εἰς τὴν πόλιν· ὁ δὲ Ἰωάννης αὐτός τε ἀγαπᾶν ἔφη τὰς προκλήσεις καὶ τοὺς ἀπειθοῦντας ἢ πείσειν ἢ συναναγκάσειν, δεῖν μέντοι τὴν ἡμέραν αὐτὸν ἐκείνην (ἑβδομὰς γὰρ ἦν) χαρίζεσθαι τῷ Ἰουδαίων νόμῳ, καθ' ἣν ὥσπερ ὅπλα κινεῖν αὐτοῖς, οὕτω καὶ τὸ συντίθεσθαι περὶ εἰρήνης ἀθέμιτον. οὐκ ἀγνοεῖν δὲ οὐδὲ Ῥωμαίους ὡς ἀργὴ πάντων αὐτοῖς ἐστὶν ἡ τῆς ἑβδομάδος περίοδος. ἐν δὲ τῷ παραβαίνειν αὐτὴν οὐχ ἧττον ἀσεβεῖν τῶν βιασθέντων τὸν βιασάμενον. φέρειν δ' ἐκείνῳ μὲν οὐδεμίαν βλάβην τὰ τῆς ὑπερθέσεως (τί γὰρ ἄν τις ἐν νυκτὶ βουλεύσαιτο δρασμοῦ πλέον, ἐξὸν περιστρατοπεδεύσαντα παραφυλάξαι), μέγα δὲ κέρδος αὐτοῖς τὸ μηδὲν παραβῆναι τῶν πατρίων ἐθῶν. πρέπειν δὲ τῷ παρὰ προσδοκίαν εἰρήνην χαριζομένῳ τοῖς σωζομένοις τηρεῖν καὶ τοὺς νόμους. τοιούτοις ἐσοφίζετο τὸν Τίτον, οὐ τοσοῦτον τῆς ἑβδομάδος στοχαζόμενος ὅσον τῆς ἑαυτοῦ σωτηρίας· ἐδεδοίκει δὲ ἐγκαταλειφθῆναι παραχρῆμα τῆς πόλεως ἁλούσης, ἐν νυκτὶ καὶ φυγῇ τὰς ἐλπίδας ἔχων τοῦ βίου. θεοῦ δὲ ἦν ἔργον ἄρα, τοῦ σώζοντος τὸν Ἰωάννην ἐπὶ τῷ τῶν Ἱεροσολύμων ὀλέθρῳ, τὸ μὴ μόνον πεισθῆναι Τίτον τῇ σκήψει τῆς ὑπερθέσεως, ἀλλὰ καὶ τῆς πόλεως πορρωτέρω στρατοπεδεύσασθαι πρὸς Κυδυσοῖς. μεσόγειος δέ ἐστι Τυρίων κώμη καρτερά, διὰ μέσους ἀεὶ καὶ πολέμου Γαλιλαίοις, ἔχουσα πλῆθός τε οἰκητόρων καὶ τὴν ὀχυρότητα τῆς πρὸς τὸ ἔθνος διαφορᾶς ἐφόδια.

4 νυκτὸς δὲ ὁ Ἰωάννης οὐδεμίαν περὶ τῇ πόλει Ῥωμαίων ἑωρακὼς φυλακήν, τὸν καιρὸν ἁρπασάμενος, οὐ μόνον τοὺς περὶ αὐτὸν ὁπλίτας ἀλλὰ καὶ τῶν ἀργοτέρων συχνοὺς ἅμα ταῖς γενεαῖς ἀναλαβών, ἐπὶ Ἱεροσο-

Digitized by Google

λύμων ἔφευγε. μέχρι μὲν οὖν εἴκοσι σταδίων οἷόν τε ἦν συνεξαγαγεῖν γυναικῶν καὶ παιδίων ὄχλον ἀνθρώπῳ κατασπερχομένῳ τοῖς ὑπὲρ αἰχμαλωσίας καὶ τοῦ ζῆν φόβοις· περαιτέρω δὲ προκόπτοντος ἀπελείποντο, καὶ δεινὰι τῶν ἐωμένων ἦσαν αἱ ὀλοφύρσεις. ὅσον γὰρ ἕκαστος τῶν οἰκείων ἐγίνετο πορρωτέρω, τοσοῦτον ἐγγὺς ὑπελάμβανεν εἶναι τῶν πολεμίων. παρεῖναί τε ἤδη τοὺς αἰχμαλωτισομένους δοκοῦντες ἐπτόηντο, καὶ πρὸς τὸν ἀλλήλων ἐκ τοῦ δρόμου ψόφον ἐπεστρέφοντο, καθάπερ ἤδη παρόντων οὓς ἔφευγον. ἀνοδίαις τε ἐνέπιπτον οἱ πολλοί, καὶ περὶ τὴν λεωφόρον ἡ τῶν φθανόντων ἔρις συνέτριβε τοὺς πολλούς. οἰκτρὸς δὲ γυναικῶν καὶ παιδίων ὄλεθρος ἦν, καί τινες πρὸς ἀνακλήσεις ἀνδρῶν τε καὶ συγγενῶν ἐθάρσησαν, μετὰ κωκυτῶν ἱκετεύουσαι περιμένειν. ἀλλ' ἐνίκα τὸ Ἰωάννου παρακέλευσμα, σώζειν ἑαυτοὺς ἐμβοῶντος, καὶ καταφεύγειν ἔνθα καὶ περὶ τῶν ἀπολειπομένων ἀμυνοῦνται Ῥωμαίους, ἂν ἁρπαγῶσι.

τὸ μὲν οὖν τῶν διαδιδρασκόντων πλῆθος ὡς ἕκαστος ἰσχύος εἶχεν ἢ τάχους ἐσκέδαστο, Τίτος δὲ μεθ' ἡμέραν ἐπὶ τὰς συνθήκας πρὸς τὸ τεῖχος παρῆν. ἀνοίγει δὲ αὐτῷ τὰς πύλας ὁ δῆμος, καὶ μετὰ τῶν γενεῶν προσελθόντες ἀνευφήμουν ὡς εὐεργέτην καὶ φρουρᾶς ἐλευθερώσαντα τὴν πόλιν· ἐδήλουν γὰρ ἅμα τὴν τοῦ Ἰωάννου φυγήν, καὶ παρεκάλουν φείσασθαί τε αὐτῶν καὶ παρελθόντα τοὺς ὑπολειπομένους τῶν νεωτεριζόντων πολάσαι. ὃ δὲ τὰς δεήσεις τοῦ δήμου ἐν δευτέρῳ θέμενος, μοῖραν ἔπεμπε τῶν ἱππέων Ἰώαννην διώξουσαν, οἳ τὸν μὲν οὐ καταλαμβάνουσιν (ἔφθη γὰρ εἰς Ἱεροσόλυμα διαφυγών), τῶν δὲ συναπαράντων ἀποκτείνουσι μὲν εἰς ἑξακισχιλίους, γύναια δὲ καὶ παιδία τρισχιλίων ὀλίγον ἀποδέοντα περιελάσαντες ἀνήγαγον. ὁ δὲ

Digitized by Google

Τίτος ἤχθετο μὲν ἐπὶ τῷ μὴ παραχρῆμα τιμωρήσασθαι τὸν Ἰωάννην τῆς ἀπάτης· ἱκανὸν δὲ ἀστοχήσαντι τῷ θυμῷ παραμύθιον ἔχων τὸ πλῆθος τῶν αἱμαλώτων καὶ τοὺς διεφθαρμένους, εἰσῄει τε ἀνευφημούμενος εἰς τὴν πόλιν, καὶ τοῖς στρατιώταις ὀλίγου τοῦ τείχους παρασπάσαι κελεύσας νόμῳ καταλήψεως, ἀπειλαῖς μᾶλλον ἢ κολάσει τοὺς ταράσσοντας τὴν πόλιν ἀνέστελλε· πολλοὺς γὰρ ἂν διὰ τὰ οἰκεῖα μίσῃ καὶ διαφορὰς ἰδίας ἐνδείξασθαι τοὺς ἀναιτίους, εἰ διακρίνοι τοὺς τιμωρίας ἀξίους. ἄμεινον δὲ εἶναι μετέωρον ἐν φόβῳ τὸν αἴτιον καταλιπεῖν ἢ τινα τῶν οὐκ ἀξίων αὐτῷ συναπολεῖν· τὸν μὲν γὰρ ἴσως κἂν σωφρονῆσαι δέει κολάσεως, τὴν ἐπὶ τοῖς παρῳχηκόσι συγγνώμην αἰδούμενον, ἀδιόρθωτον δὲ τὴν ἐπὶ τοῖς παραναλωθεῖσι τιμωρίαν εἶναι. φρουρᾷ μέντοι τὴν πόλιν ἠσφαλίσατο, δι' ἧς τούς τε νεωτερίζοντας ἐφεξειν καὶ τοὺς εἰρηνικὰ φρονοῦντας θαρραλεωτέρους καταλείψειν ἔμελλε.

Γαλιλαία μὲν οὕτως ἑάλω πᾶσα, πολλοῖς ἱδρῶσι 3 προγυμνάσασα Ῥωμαίους, ἐπὶ δὲ τὰ Ἱεροσόλυμα πρὸς τὴν εἴσοδον τοῦ Ἰωάννου ὁ πᾶς δῆμος ἐξεκέχυτο, καὶ περὶ ἕκαστον τῶν συμπεφευγότων μυρίος ὅμιλος συνηθροισμένος τὰς ἔξωθεν συμφορὰς ἀνεπυνθάνετο. τῶν δὲ τὸ μὲν ἄσθμα θερμὸν ἔτι κοπτόμενον ἐδήλου τὴν ἀνάγκην, ἠλαζονεύοντο δὲ κἂν κακοῖς, οὐ πεφευγέναι τοὺς Ῥωμαίους φάσκοντες, ἀλλ' ἥκειν πολεμήσοντες αὐτοὺς ἐξ ἀσφαλοῦς· ἀλογίστων γὰρ εἶναι καὶ ἀχρήστων παραβόλως προκινδυνεύειν περὶ Γίσχαλα καὶ πολίχνας ἀσθενεῖς, δέον τὰ ὅπλα καὶ τὰς ἀκμὰς ταμιεύεσθαι τῇ μητροπόλει καὶ συμφυλάσσειν. ἔνθα δὴ παρεδήλουν τὴν ἅλωσιν τῶν Γισχάλων, καὶ τὴν λεγομένην εὐσχημόνως ὑποχώρησιν αὐτῶν οἱ πολλοὶ δρασμὸν ἐνενόουν. ὡς μέντοι τὰ περὶ τοὺς αἱμαλωτισθέντας

Digitized by Google

ἠκούσθη, σύγχυσις οὐ μετρία κατέσχε τὸν δῆμον, καὶ μεγάλα τῆς ἑαυτῶν ἁλώσεως συνελογίζοντο τὰ τεκμήρια. Ἰωάννης δὲ ἐπὶ μὲν τοῖς καταλειφθεῖσιν ἧττον ἠρυθρία, περιὼν δὲ ἑκάστους ἐπὶ τὸν πόλεμον ἐνῆγε ταῖς ἐλπίσι, τὰ μὲν Ῥωμαίων ἀσθενῆ κατασκευάζων, τὴν δὲ οἰκείαν δύναμιν ἐξαίρων, καὶ κατειρωνευόμενος τῆς τῶν ἀπείρων ἀγνοίας, ὡς οὐδ' ἂν πτερὰ λαβόντες ὑπερβαλέν ποτε Ῥωμαῖοι τὸ Ἱεροσολύμων τεῖχος, οἱ περὶ ταῖς τῶν Γαλιλαίων κώμαις κακοπαθοῦντες καὶ πρὸς τοῖς ἐκεῖ τείχεσι κατατρίψαντες τὰς μηχανάς.

τούτοις τὸ πολὺ τῶν νέων προσδιεφθείρετο καὶ πρὸς [μὲν] τὸν πόλεμον ἦρτο, τῶν δὲ σωφρόνων καὶ γηραιῶν οὐκ ἦν ὅστις οὐ τὰ μέλλοντα προορώμενος ὡς ἤδη τῆς πόλεως οἰχομένης ἐπένθει. ὁ μὲν οὖν δῆμος ἦν ἐν τοιαύτῃ συγχύσει, προδιέστη δὲ τὸ κατὰ τὴν χώραν πλῆθος τῆς ἐν Ἱεροσολύμοις στάσεως. ὁ μὲν γὰρ Τίτος ἀπὸ Γισχάλων εἰς Καισάρειαν, Οὐεσπασιανὸς δὲ ἀπὸ Καισαρείας εἰς Ἰάμνειαν καὶ Ἄζωτον ἀφικόμενος παρίσταταί τε αὐτὰς καὶ φρουροὺς ἐγκαταστήσας ὑπέστρεψε, πολὺ πλῆθος ἐπαγόμενος τῶν ἐπὶ δεξιᾷ προσκεχωρηκότων. ἐκινεῖτο δὲ ἐν ἑκάστῃ πόλει ταραχὴ καὶ πόλεμος ἐμφύλιος, ὅσοι τε ἀπὸ Ῥωμαίων ἀνέπνεον, εἰς ἀλλήλους τὰς χεῖρας ἐπέστρεφον. ἦν δὲ τῶν ἐρώντων τοῦ πολέμου πρὸς τοὺς ἐπιθυμοῦντας εἰρήνης ἔρις χαλεπή. καὶ πρῶτον μὲν ἐν οἰκίαις ἥπτετο τῶν ὁμονοούντων πάλαι τὸ φιλόνεικον, ἔπειτα ἀφηνιάζοντες ἀλλήλων οἱ φίλτατοι λαοί, καὶ συνιὼν ἕκαστος πρὸς τοὺς τὰ αὐτὰ προαιρουμένους, ἤδη κατὰ πλῆθος ἀντετάσσοντο. καὶ στάσις μὲν ἦν πανταχοῦ, τὸ νεωτερίζον δὲ καὶ τῶν ὅπλων ἐπιθυμοῦν ἐπεκράτει νεότητι καὶ τόλμῃ γηραιῶν καὶ σωφρόνων. ἐτράποντο δὲ πρῶτον μὲν εἰς ἁρπαγὰς ἕκαστοι τῶν ἐπιχωρίων, ἔπειτα συν-

Digitized by Google

τασσόμενοι κατὰ λόχους ἐπὶ λῃστείαν τῶν κατὰ τὴν χώραν, ὡς ὠμότητος καὶ παρανομίας ἕνεκεν μηδὲν αὐτοῖς Ῥωμαίων τοὺς ὁμοφύλους διαφέρειν, καὶ πολὺ τοῖς πορθουμένοις κουφοτέραν δοκεῖν τὴν ὑπὸ Ῥω-
3 μαίοις ἄλωσιν. οἱ φρουροὶ δὲ τῶν πόλεων τὰ μὲν ὅπως τοῦ κακοπαθεῖν, τὰ δὲ μίσει τοῦ ἔθνους, οὐδὲν ἢ μικρὰ προσήμυνον τοῖς κακουμένοις, μέχρι κόρῳ τῶν κατὰ τὴν χώραν ἁρπαγῶν ἀθροισθέντες οἱ τῶν πανταχοῦ συνταγμάτων ἀρχιλῃσταὶ καὶ γενόμενοι πονηρίας στῖφος εἰς τὰ Ἱεροσόλυμα παρεισφθείρονται, πόλιν ἀστρατήγητον, καὶ πατρίῳ μὲν ἔθει πᾶν ἀπαρατηρήτως δεχομένην τὸ ὁμόφυλον, τότε δὲ οἰομένων ἁπάντων τοὺς ἐπεισχεομένους πάντας ἀπ' εὐνοίας ἥκειν συμμάχους. οἳ δὴ καὶ δίχα τῆς στάσεως ὕστερον ἐβάπτισαν τὴν πόλιν· πλήθει γὰρ ἀχρήστῳ καὶ ἀργῷ προεξανηλώθη τὰ τοῖς μαχίμοις διαρκεῖν δυνάμενα, καὶ πρὸς τῷ πολέμῳ στάσιν τε αὐτοῖς καὶ λιμὸν ἐπικατεσκεύασαν.
4 ἄλλοι τε ἀπὸ τῆς χώρας λῃσταὶ παρελθόντες εἰς τὴν πόλιν, καὶ τοὺς ἔνδον προσλαβόντες χαλεπωτέρους, οὐδέν τι τῶν δεινῶν παρίεσαν· οἵ γε οὐ μόνον ἁρπαγαῖς καὶ λωποδυσίαις τὴν τόλμαν ἐμέτρουν, ἀλλὰ καὶ μέχρι φόνων ἐχώρουν, οὐ νυκτὸς ἢ λαθραίως, οὐδ' ἐπὶ τοὺς τυχόντας, ἀλλὰ φανερῶς καὶ μεθ' ἡμέραν καὶ τῶν ἐπισημοτάτων καταρχόμενοι. πρῶτον μὲν γὰρ Ἀντίπαν, ἄνδρα τοῦ βασιλείου γένους καὶ τῶν κατὰ τὴν πόλιν δυνατώτατον, ὡς καὶ τοὺς δημοσίους θησαυροὺς πεπιστεῦσθαι, συλλαβόντες εἶρξαν· ἐπὶ τούτῳ Λευίαν τινὰ τῶν ἐπισήμων καὶ Σωφᾶν υἱὸν Ῥαγουήλου (βασιλικὸν δὲ ἦν καὶ τούτων τὸ γένος), πρὸς δὲ τοὺς κατὰ τὴν χώραν προύχειν δοκοῦντας. δεινὴ δὲ κατάπληξις εἶχε τὸν δῆμον, καὶ καθάπερ κατειλημμένης τῆς πόλεως πολέμῳ τὴν καθ' αὑτὸν ἕκαστος σωτηρίαν ἠγάπα.

Digitized by Google

τοῖς δὲ οὐκ ἀπέχρη τὰ δεσμὰ τῶν συνειλημμένων, 5
οὐδὲ ἀσφαλὲς ᾤοντο μέχρι πολλοῦ δυνατοὺς ἄνδρας
οὕτω φυλάσσειν· ἱκανοὺς μὲν γὰρ εἶναι καὶ τοὺς οἴ-
κους αὐτῶν πρὸς ἄμυναν οὐκ ὀλιγάνδρους ὄντας, οὐ
μὴν ἀλλὰ καὶ τὸν δῆμον ἐπαναστήσεσθαι τάχα κινη- 6
θέντα πρὸς τὴν παρανομίαν. δόξαν οὖν ἀναιρεῖν αὐ-
τούς, Ἰωάννην τινὰ πέμπουσι τὸν ἐξ αὐτῶν εἰς φόνους
προχειρότατον· Δορκάδος οὗτος ἐκαλεῖτο παῖς κατὰ
τὴν ἐπιχώριον γλῶσσαν. ᾧ δὲκα συνελθόντες εἰς τὴν
εἱρκτὴν ξιφήρεις ἀποσφάττουσι τοὺς συνειλημμένους.
παρανομήματι δ' ἐπὶ τηλικούτῳ μεγάλην ἀπεψεύδοντο
καὶ πρόφασιν· διαλεχθῆναι γὰρ αὐτοὺς Ῥωμαίοις περὶ
παραδόσεως τῶν Ἱεροσολύμων καὶ προδότας ἀνῃρηκέ-
ναι τῆς κοινῆς ἐλευθερίας ἔφασκον, κατ' ὀλίγον δ' ἐπη-
λαζονεύοντο τοῖς τολμήμασιν ὡς εὐεργέται καὶ σωτῆ-
ρες τῆς πόλεως γεγενημένοι.

συνέβη δὲ εἰς τοσοῦτον τὸν μὲν δῆμον ταπεινότη- 6
τος καὶ δέους ἐκείνους δὲ ἀπονοίας προελθεῖν, ὡς ἐπ'
αὐτοῖς εἶναι καὶ τὰς χειροτονίας τῶν ἀρχιερέων. ἄκυ-
ρα γοῦν τὰ γένη ποιήσαντες ἐξ ὧν κατὰ διαδοχὰς οἱ
ἀρχιερεῖς ἀπεδείκνυντο, καθίστασαν ἀσήμους καὶ ἀγεν-
νεῖς, ἵν' ἔχοιεν συνεργοὺς τῶν ἀσεβημάτων· τοῖς γὰρ
παρ' ἀξίαν ἐπιτυχοῦσι τῆς ἀνωτάτω τιμῆς ὑπακούειν
ἦν ἀνάγκη τοῖς παρασχοῦσι. συνέκρουον δὲ καὶ τοὺς
ἐν τέλει ποικίλαις ἐπινοίαις καὶ λογοποιίαις, καιρὸν
ἑαυτοῖς ἐν ταῖς πρὸς ἀλλήλους τῶν κωλυόντων φιλο-
νεικίαις ποιούμενοι, μέχρι τῶν εἰς ἀνθρώπους ὑπερ-
εμπλησθέντες ἀδικημάτων ἐπὶ τὸ θεῖον μετήνεγκαν
τὴν ὕβριν καὶ μεμιαμμένοις τοῖς ποσὶ παρῆσαν εἰς τὸ
ἅγιον.

ἐπανισταμένου δὲ αὐτοῖς ἤδη τοῦ πλήθους (ἐνῆγε 7
γὰρ ὁ γεραίτατος τῶν ἀρχιερέων Ἄνανος, ἀνὴρ σωφρο-

Digitized by Google

νέστατος, καὶ τάχα ἂν διασώσας τὴν πόλιν, εἰ τὰς τῶν ἐπιβούλων χεῖρας ἐξέφυγεν), οἳ δὲ τὸν νεὼν τοῦ θεοῦ φρούριον αὐτοῖς καὶ τῶν ἀπὸ τοῦ δήμου ταραχῶν ποιοῦνται, καὶ καταφυγὴ καὶ τυραννεῖον ἦν αὐτοῖς τὸ ἅγιον. παρεκίρνατο δὲ τοῖς δεινοῖς εἰρωνεία, τὸ τῶν ἐνεργουμένων ἀλγεινότερον· ἀποπειρώμενοι γὰρ τῆς τοῦ δήμου καταπλήξεως, καὶ τὴν αὐτῶν δοκιμάζοντες ἰσχύν, κληρωτοὺς ἐπεχείρησαν ποιεῖν τοὺς ἀρχιερεῖς, οὔσης, ὡς ἔφαμεν, κατὰ γένος αὐτῶν τῆς διαδοχῆς. ἦν δὲ πρόσχημα μὲν τῆς ἐπιβουλῆς ἔθος ἀρχαῖον, ἐπειδὴ καὶ πάλαι κληρωτὴν ἔφασαν εἶναι τὴν ἀρχιερωσύνην, τὸ δὲ ἀληθὲς τοῦ βεβαιοτέρου νόμου κατάλυσις καὶ τέχνη πρὸς δυναστείαν, τὰς ἀρχὰς δι' αὐτῶν καθιστα-
8 μένοις. καὶ δὴ μεταπεμψάμενοι μίαν τῶν ἀρχιερατικῶν φυλήν (Ἐνιαχεὶμ καλεῖται), διεκλήρουν ἀρχιερέα. λαγχάνει δ' ἀπὸ τύχης ὁ μάλιστα διαδείξας αὐτῶν τὴν παρανομίαν, Φαννίας τις ὄνομα, υἱὸς Σαμουήλου κώμης Ἄφθας, ἀνὴρ οὐ μόνον οὐκ ἐξ ἀρχιερέων, ἀλλ' οὐδ' ἐπιστάμενος σαφῶς τί ποτε ἦν ἀρχιερωσύνη δι' ἀγροικίαν· ἀπὸ γοῦν τῆς χώρας αὐτὸν ἄκοντα σύραντες, ὥσπερ ἐπὶ σκηνῆς, ἀλλοτρίῳ κατεκόσμουν προσωπείῳ, τήν τε ἐσθῆτα περιτιθέντες τὴν ἱεράν, καὶ τὸ τί δεῖ ποιεῖν ἐπὶ καιροῦ διδάσκοντες. χλεύη δ' ἦν ἐκείνοις καὶ παιδιὰ τὸ τηλικοῦτον ἀσέβημα· τοῖς δὲ ἄλλοις ἱερεῦσιν, ἐπιθεωμένοις πόρρωθεν παιζόμενον τὸν νόμον, δακρύειν ἐπῆει, καὶ κατέστενον τὴν τῶν ἱερῶν τιμῶν κατάλυσιν.

9 ταύτην τὴν τόλμαν αὐτῶν οὐκ ἤνεγκεν ὁ δῆμος, ἀλλ' ὡς ἐπὶ τυραννίδος κατάλυσιν ὥρμηντο πάντες· καὶ γὰρ οἱ προύχειν δοκοῦντες αὐτῶν, Γωρίων τε υἱὸς Ἰωσήπου καὶ ὁ Γαμαλιήλου Συμεών, παρεκρότουν ἐν ταῖς ἐκκλησίαις ἀθρόους καὶ κατ' ἰδίαν περιόντες ἕκα-

Digitized by Google

στον ἤδη ποτὲ τίσασθαι τοὺς λυμεῶνας τῆς ἐλευθερίας καὶ καθῆραι τῶν μιαφόνων τὸ ἅγιον. οἵ τε δοκιμώτατοι τῶν ἀρχιερέων, Γαμαλᾶ μὲν υἱὸς Ἰησοῦς Ἀνάνου δὲ Ἄνανος, πολλὰ τὸν δῆμον εἰς νωθείαν κατονειδίζοντες ἐν ταῖς συνόδοις ἐπήγειρον τοῖς ζηλωταῖς· τοῦτο γὰρ αὐτοὺς ἐκάλεσαν ὡς ἐπ' ἀγαθοῖς ἐπιτηδεύμασιν, ἀλλ' οὐχὶ ζηλώσαντες τὰ κάκιστα τῶν ἔργων καὶ ὑπερβαλόμενοι. καὶ δὴ συνελθόντος τοῦ πλήθους εἰς ἐκκλησίαν, καὶ πάντων ἀγανακτούντων μὲν ἐπὶ τῇ καταλήψει τῶν ἁγίων ταῖς τε ἁρπαγαῖς καὶ τοῖς πεφονευμένοις, οὕπω δὲ πρὸς τὴν ἄμυναν ὡρμημένων τῷ δυσεπιχειρήτους, ὅπερ ἦν, τοὺς ζηλωτὰς ὑπολαμβάνειν, καταστὰς ἐν μέσοις ὁ Ἄνανος καὶ πολλάκις εἰς τὸν ναὸν ἀπιδών, ἐμπλήσας τε τοὺς ὀφθαλμοὺς δακρύων, "ἦ καλόν γε" εἶπεν "ἦν ἐμοὶ τεθνάναι, πρὶν ἐπιδεῖν τὸν οἶκον τοῦ θεοῦ τοσούτοις ἄγεσι καταγέμοντα καὶ τὰς ἀβάτους καὶ ἁγίας χώρας ποσὶ μιαφόνων στενοχωρουμένας. ἀλλὰ περικείμενος τὴν ἀρχιερατικὴν ἐσθῆτα, καὶ τὸ τιμιώτατον καλούμενος τῶν σεβασμίων ὀνομάτων, ζῶ καὶ φιλοψυχῶ, μηκέτι ὑπὲρ τοὐμοῦ γήρως ὑπομένων εὐκλεῆ θάνατον. εἰ δὲ δὴ μόνος εἰμὶ καὶ καθάπερ ἐν ἐρημίᾳ, τὴν ἐμαυτοῦ ψυχὴν ἐπιδώσω μόνην ὑπὲρ τοῦ θεοῦ. τί γὰρ καὶ δεῖ ζῆν ἐν δήμῳ συμφορῶν ἀναισθητοῦντι, καὶ παρ' οἷς ἀπόλωλεν ἡ τῶν ἐν χερσὶ παθῶν ἀντίληψις; ἁρπαζόμενοι γοῦν ἀνέχεσθε καὶ τυπτόμενοι σιωπᾶτε, καὶ τοῖς φονευομένοις οὐδὲ ἐπιστένει τις ἀναφανδόν. ὦ τῆς πικρᾶς τυραννίδος. τί δὲ μέμφομαι τοὺς τυράννους; μὴ γὰρ οὐκ ἐτράφησαν ὑφ' ὑμῶν καὶ τῆς ὑμετέρας ἀνεξικακίας; μὴ γὰρ οὐχ ὑμεῖς περιιδόντες τοὺς πρώτους συνισταμένους (ἔτι δὲ ἦσαν ὀλίγοι) πλείους ἐποιήσατε τῇ σιωπῇ, καὶ καθοπλιζομένων ἠρεμοῦντες καθ' ἑαυτῶν ἐπεστρέψατε

Digitized by Google

τὰ ὅπλα, δέον τὰς πρώτας αὐτῶν ἐπικόπτειν ὁρμάς, ὅτε λοιδορίαις καθήπτοντο τῶν συγγενῶν; ὑμεῖς δὲ ἀμελήσαντες ἐφ' ἁρπαγὰς παρωξύνατε τοὺς ἀλιτηρίους. καὶ πορθουμένων οἴκων λόγος ἦν οὐδείς· τοιγαροῦν αὐτοὺς ἥρπαζον τοὺς δεσπότας. καὶ συρομένοις διὰ μέσης τῆς πόλεως οὐδεὶς ἐπήμυνεν· οἳ δὲ καὶ δεσμοῖς ἠκίσαντο τοὺς ὑφ' ὑμῶν προδοθέντας, ἐῶ λέγειν πόσους καὶ ποταπούς, ἀλλ' ἀκαταιτιάτους, ἀκρίτους. οὐδεὶς ἐβοήθησε τοῖς δεδεμένοις· ἀκόλουθον ἦν ἐπιδεῖν τοὺς αὐτοὺς φονευομένους. ἐπείδομεν καὶ τοῦτο, καθάπερ ἐξ ἀγέλης ζῴων ἀλόγων ἑλκομένου τοῦ κρατιστεύοντος ἀεὶ θύματος, οὐδὲ φωνήν τις ἀφῆκεν, οὐχ ὅπως ἐκίνησε τὴν δεξιάν. φέρετε δὴ τοίνυν, φέρετε πατούμενα βλέποντες τὰ ἅγια, καὶ πάντας ὑποθέντες αὐτοὶ τοῖς ἀνοσίοις τοὺς τῶν τολμημάτων βαθμοὺς μὴ βαρύνεσθε τὴν ὑπεροχήν· καὶ γὰρ νῦν πάντως ἂν ἐπὶ μεῖζον προύκοψαν, εἴ τι τῶν ἁγίων καταλῦσαι μεῖζον εἶχον. κεκράτηται μὲν οὖν τὸ ὀχυρώτατον τῆς πόλεως (λεγέσθω γὰρ νῦν τὸ ἱερὸν ὡς ἄκρα τις ἢ φρούριον)· ἔχοντες δ' ἐπιτετειχισμένην τυραννίδα τοσαύτην, καὶ τοὺς ἐχθροὺς ὑπὲρ κορυφὴν βλέποντες, τί βουλεύεσθε καὶ τίσι τὰς γνώμας προσβάλλετε; Ῥωμαίους ἄρα περιμένετε, ἵν' ἡμῶν βοηθήσωσι τοῖς ἁγίοις; ἔχει μὲν οὕτω τὰ πράγματα τῇ πόλει, καὶ πρὸς τοσοῦτον ἥκομεν συμφορῶν, ἵνα ἡμᾶς ἐλεήσωσι καὶ πολέμιοι. οὐκ ἐξαναστήσεσθε, ὦ τλημονέστατοι, καὶ πρὸς τὰς πληγὰς ἐπιστραφέντες, ὃ κἀπὶ τῶν θηρίων ἔστιν ἰδεῖν, τοὺς τύπτοντας ἀμυνεῖσθε; οὐκ ἀναμνησθήσεσθε τῶν ἰδίων ἕκαστος συμφορῶν, οὐδέ, ἃ πεπόνθατε πρὸ ὀφθαλμῶν θέμενοι, τὰς ψυχὰς ἐπ' αὐτοὺς θήξετε πρὸς τὴν ἄμυναν; ἀπόλωλεν ἄρα παρ' ἡμῖν τὸ τιμιώτατον τῶν παθῶν καὶ

Digitized by Google

φυσικώτατον, ἐλευθερίας ἐπιθυμία· φιλόδουλοι δὲ καὶ φιλοδέσποτοι γεγόναμεν, ὥσπερ ἐκ προγόνων τὸ ὑποτάσσεσθαι παραλαβόντες. ἀλλ' ἐκεῖνοί γε πολλοὺς καὶ μεγάλους ὑπὲρ τῆς αὐτονομίας πολέμους διήνεγκαν, καὶ οὔτε τῆς Αἰγυπτίων οὔτε τῆς Μήδων δυναστείας ἠττήθησαν ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ κελευόμενον. καὶ τί δεῖ τὰ τῶν προγόνων λέγειν; ἀλλ' ὁ νῦν πρὸς Ῥωμαίους πόλεμος, ἐῶ διελέγχειν πότερον λυσιτελὴς ὢν καὶ σύμφορος ἢ τοὐναντίον, τίνα δ' οὖν ἔχει πρόφασιν; οὐ τὴν ἐλευθερίαν; εἶτα τοὺς τῆς οἰκουμένης δεσπότας μὴ φέροντες τῶν ὁμοφύλων τυράννων ἀνεξόμεθα; καίτοι τὸ μὲν τοῖς ἔξωθεν ὑπακούειν ἀνενέγκαι τις ἂν εἰς τὴν ἅπαξ ἠττήσασαν τύχην· τὸ δὲ τοῖς οἰκείοις εἴκειν πονηροῖς ἀγεννῶν ἐστὶ καὶ προαιρουμένων. ἐπειδὴ δὲ ἅπαξ ἐμνήσθην Ῥωμαίων, οὐκ ἀποκρύψομαι πρὸς ὑμᾶς εἰπεῖν ὃ μεταξὺ τῶν λόγων ἐμπεσὸν ἐπέστρεψε τὴν διάνοιαν, ὅτι κἂν ἁλῶμεν ὑπ' ἐκείνοις (ἀπείη δὲ ἡ πεῖρα τοῦ λόγου), χαλεπώτερον οὐδὲν παθεῖν ἔχομεν ὧν ἡμᾶς διατεθείκασιν οὗτοι. πῶς δ' οὐ δακρύων ἄξιον ἐκείνων μὲν ἐν τῷ ἱερῷ καὶ ἀναθήματα βλέπειν, τῶν δὲ ὁμοφύλων τὰ σκῦλα σεσυληκότων καὶ ἀνελόντων τὴν τῆς μητροπόλεως εὐγένειαν, καὶ πεφονευμένους ἄνδρας ὧν ἀπέσχοντο ἂν κἀκεῖνοι κρατήσαντες· καὶ Ῥωμαίους μὲν μηδέποτε ὑπερβῆναι τὸν ὅρον τῶν βεβήλων, μηδὲ παραβῆναί τι τῶν ἱερῶν ἐθῶν, πεφρικέναι δὲ πόρρωθεν ὁρῶντας τοὺς τῶν ἁγίων περιβόλους, γεννηθέντας δέ τινας ἐν τῇδε τῇ χώρᾳ καὶ τραφέντας ὑπὸ τοῖς ἡμετέροις ἔθεσι, καὶ Ἰουδαίους καλουμένους, ἐμπεριπατεῖν μέσοις τοῖς ἁγίοις θερμὰς ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων ἔχοντας φόνων. εἶτά τις δέδοικε τὸν ἔξωθεν πόλεμον καὶ τοὺς ἐν συγκρίσει πολλῷ τῶν οἰκείων ἡμῖν μετριωτέρους;

Digitized by Google

καὶ γὰρ ἂν, εἰ ἑτοίμους δεῖ τοῖς πράγμασι τὰς κλήσεις ἐφαρμόζειν, τάχ' ἂν εὕροι τις Ῥωμαίους μὲν ἡμῖν ὁμοίως βεβαιωτὰς τῶν νόμων, πολεμίους δὲ τοὺς ἔνδον. ἀλλ' ὅτι μὲν ἐξώλεις οἱ ἐπίβουλοι τῆς ἐλευθερίας, καὶ πρὸς ἃ δεδράκασιν οὐκ ἄν τις ἐπινοήσειε δίκην ἀξίαν κατ' αὐτῶν, οἶμαι πάντας ἥκειν πεπεισμένους οἰκοθεν, καὶ πρὸ τῶν ἐμῶν λόγων παρωξύνθαι τοῖς ἔργοις ἐπ' αὐτοὺς ἃ πεπόνθατε· καταπλήσσονται δὲ ἴσως οἱ πολλοὶ τό τε πλῆθος αὐτῶν καὶ τὴν τόλμαν, ἔτι δὲ καὶ τὴν ἐκ τοῦ τόπου πλεονεξίαν. ταῦτα δὲ ὥσπερ συνέστη διὰ τὴν ὑμετέραν ἀμέλειαν, καὶ νῦν αὐξηθήσεται πλέον ὑπερθεμένων· καὶ γὰρ τὸ πλῆθος αὐτοῖς ἐπιτρέφεται καθ' ἡμέραν, παντὸς πονηροῦ πρὸς τοὺς ὁμοίους αὐτομολοῦντος, καὶ τὴν τόλμαν ἐξάπτει μέχρι νῦν μηδὲν ἐμπόδιον· τῷ τε τόπῳ ἂν καθύπερθεν ὄντες χρήσαιντο καὶ μετὰ παρασκευῆς, ἂν ἡμεῖς χρόνον δῶμεν. πιστεύσατε δὲ ὡς, ἐὰν προσβαίνωμεν ἐπ' αὐτούς, ἔσονται τῇ συνειδήσει τακπεινότεροι, καὶ τὸ πλεονέκτημα τοῦ ὕψους ὁ λογισμὸς ἀπολεῖ. τάχα τὸ θεῖον ὑβρισμένον ἀναστρέψει κατ' αὐτῶν τὰ βαλλόμενα, καὶ τοῖς σφετέροις διαφθαρήσονται βέλεσιν οἱ δυσσεβεῖς. μόνον ὀφθῶμεν αὐτοῖς, καὶ καταλέλυνται. καλὸν δέ, κἂν προσῇ τις κίνδυνος, ἀποθνήσκειν πρὸς τοῖς ἱεροῖς πυλῶσι, καὶ τὴν ψυχήν, εἰ καὶ μὴ πρὸ παίδων ἢ γυναικῶν, ἀλλ' ὑπὲρ τοῦ Θεοῦ καὶ τῶν ἁγίων προέσθαι. προστήσομαι δ' ἐγὼ γνώμῃ τε καὶ χειρί, καὶ οὔτε ἐπίνοιά τις ὑμῖν λείψει πρὸς ἀσφάλειαν ἐξ ἡμῶν οὔτε τοῦ σώματος ὄψεσθε φειδόμενον."

11 τούτοις ὁ Ἄνανος παρεκρότει τὸ πλῆθος ἐπὶ τοὺς ζηλωτάς, οὐκ ἀγνοῶν μὲν ὡς εἶεν ἤδη δυσκατάλυτοι πλήθει τε καὶ νεότητι καὶ παραστήμασι ψυχῆς, τὸ

Digitized by Google

πλέον δὲ συνειδήσει τῶν εἰργασμένων· οὐ γὰρ ἐνθώσειν αὐτοὺς εἰς ἔσχατον συγγνώμην ἐφ' οἷς ἔδρασαν ἐλπίσαντας· ὅμως δὲ πᾶν ὁτιοῦν παθεῖν προηρεῖτο μᾶλλον ἢ περιιδεῖν ἐν τοιαύτῃ τὰ πράγματα συγχύσει. τὸ δὲ πλῆθος ἄγειν αὐτοὺς ἑβόα καθ' ὧν παρεκάλει, καὶ προκινδυνεύειν ἕκαστος ἦν ἑτοιμότατος.

ἐν ὅσῳ δὲ ὁ Ἄνανος κατέλεγέ τε καὶ συνέτασσε 12
τοὺς ἐπιτηδείους πρὸς μάχην, οἱ ζηλωταὶ πυνθανόμενοι τὴν ἐπιχείρησιν (παρῆσαν γὰρ οἱ ἀγγέλλοντες αὐτοῖς πάντα τὰ παρὰ τοῦ δήμου) παροξύνονται, κἀκ τοῦ ἱεροῦ προκηδῶντες ἀθρόοι τε καὶ κατὰ λόχους οὐδενὸς ἐφείδοντο τῶν προστυγχανόντων. ἀθροίζεται δ' ὑπ' Ἀνάνου ταχέως τὸ δημοτικόν, πλήθει μὲν ὑπερέχον, ὅπλοις δὲ καὶ τῷ μὴ συγκεκροτῆσθαι λειπόμενον τῶν ζηλωτῶν. τὸ πρόθυμον δὲ παρ' ἑκατέροις ἀνεπλήρου τὰ λείποντα, τῶν μὲν ἀπὸ τῆς πόλεως ἀνειληφότων ὀργὴν ἰσχυροτέραν τῶν ὅπλων, τῶν δ' ἀπὸ τοῦ ἱεροῦ τόλμαν παντὸς πλήθους ὑπερέχουσαν. καὶ οἳ μὲν ἀοίκητον ὑπολαμβάνοντες αὐτοῖς τὴν πόλιν, εἰ μὴ τοὺς λῃστὰς ἐκκόψειαν αὐτῆς, οἱ ζηλωταὶ δέ, εἰ μὴ κρατοῖεν, οὐκ ἔστιν ἧς τινὸς ὑστερήσειν τιμωρίας. συνερρήγνυντο δὲ στρατηγούμενοι τοῖς πάθεσι, τὸ μὲν πρῶτον κατὰ τὴν πόλιν καὶ πρὸ τοῦ ἱεροῦ λίθοις βάλλοντες ἀλλήλους, καὶ πόρρωθεν διακοντιζόμενοι, κατὰ δὲ τὰς τροπὰς οἱ κρατοῦντες ἐχρῶντο τοῖς ξίφεσι. καὶ πολὺς ἦν ἑκατέρων φόνος, τραυματίαι τε ἐγίνοντο συχνοί. καὶ τοὺς μὲν ἀπὸ τοῦ δήμου διεκόμιζον εἰς τὰς οἰκίας οἱ προσήκοντες, ὁ δὲ βληθεὶς τῶν ζηλωτῶν εἰς τὸ ἱερὸν ἀνῄει, καθαιμάσσων τὸ θεῖον ἔδαφος· καὶ μόνον ἂν τις εἴποι τὸ ἐκείνων αἷμα μιᾶναι τὰ ἅγια. κατὰ μὲν οὖν τὰς συμβολὰς ἐκτρέχοντες ἀεὶ περιῆσαν οἱ λῃστρικοί· τεθυμωμένοι δὲ οἱ δημοτικοὶ

Digitized by Google

καὶ πλείους ἀεὶ γινόμενοι, κακίζοντες τοὺς ἐνδιδόντας, καὶ μὴ διδόντες τοῖς τρεπομένοις ἀναχώρησιν· οἱ κατόπιν βιαζόμενοι, πᾶν μὲν ἐπιστρέφουσι τὸ σφέτερον εἰς τοὺς ἐναντίους, κἀκείνων μηκέτι ἀντεχόντων τῇ βίᾳ, κατὰ μικρὸν δὲ ἀναχωρούντων εἰς τὸ ἱερόν, συνεισπίπτουσιν οἱ περὶ τὸν Ἄνανον. τοῖς δὲ κατάπληξις ἐμπίπτει στερουμένοις τοῦ πρώτου περιβόλου, καὶ καταφυγόντες εἰς τὸ ἐνδότερον ταχέως ἀποκλείουσι τὰς πύλας. τῷ δὲ Ἀνάνῳ προσβάλλειν μὲν οὐκ ἐδόκει τοῖς ἱεροῖς πυλῶσιν, ἄλλως τε κἀκείνων βαλλόντων ἄνωθεν· ἀθέμιτον δ' ἡγεῖτο, κἂν κρατήσῃ, μὴ προηγνευκὼς εἰσάγειν τὸ πλῆθος. διακληρώσας δ' ἐκ πάντων εἰς ἑξακισχιλίους ὁπλίτας καθίστησιν ἐπὶ ταῖς στοαῖς φρουρούς. διεδέχοντο δ' ἄλλοι τούτους, καὶ παντὶ μὲν ἦν ἀνάγκη παρεῖναι πρὸς τὴν φυλακὴν ἐκ περιόδου, πολλοὶ δὲ τῶν ἐν ἀξιώμασιν ἀφεθέντες ὑπὸ τῶν ἄρχειν δοκούντων, μισθούμενοι πενιχροτέρους ἀνθ' ἑαυτῶν ἐπὶ τὴν φρουρὰν ἔπεμπον.

13 γίνεται δὲ τούτοις πᾶσιν ὀλέθρου παραίτιος Ἰωάννης, ὃν ἔφαμεν ἀπὸ Γισχάλων διαδρᾶναι, δολιώτατος ἀνὴρ καὶ δεινὸν ἔρωτα τυραννίδος ἐν τῇ ψυχῇ περιφέρων, ὃς πόρρωθεν ἐπεβούλευε τοῖς πράγμασι. καὶ δὴ τότε τὰ τοῦ δήμου φρονεῖν ὑποκρινόμενος, συμπεριήει μὲν τῷ Ἀνάνῳ βουλευομένῳ τε σὺν τοῖς δυνατοῖς μεθ' ἡμέραν καὶ νύκτωρ ἐπιόντι τὰς φυλακάς, διήγγελλε δὲ τὰ ἀπόρρητα τοῖς ζηλωταῖς· καὶ πᾶν σκέμμα τοῦ δήμου, πρὶν καλῶς βουλευθῆναι, παρὰ τοῖς ἐχθροῖς ἐγινώσκετο δι' αὐτοῦ. μηχανώμενος δὲ τὸ μὴ δι' ὑποψίας ἐλθεῖν, ἀμέτροις ἐχρῆτο ταῖς θεραπείαις εἴς τε τὸν Ἄνανον καὶ τοὺς τοῦ δήμου προεστῶτας. ἐχώρει δ' εἰς τοὐναντίον αὐτῷ τὸ φιλότιμον· διὰ γὰρ τὰς ἀλόγους κολακείας μᾶλλον ὑπωπτεύετο, καὶ

Digitized by Google

τὸ πανταχοῦ παρεῖναι μὴ καλούμενον ἔμφασιν προδοσίας τῶν ἀπορρήτων παρεῖχε. συνεώρων μὲν γὰρ αἰσθανομένους ἅπαντας τοὺς ἐχθροὺς τῶν παρ' αὐτοῖς βουλευμάτων, πιθανώτερος δ' οὐδεὶς ἦν Ἰωάννου πρὸς ὑποψίαν τοῦ διαγγέλλειν. ἀποσκευάσασθαι μὲν οὖν αὐτὸν οὐκ ἦν ῥᾴδιον, ὄντα τε δυνατὸν ἐκ πονηρίας καὶ ἄλλως οὐ τῶν ἀσήμων, ὑπεζωσμένον τε πολλοὺς τῶν συνεδρευόντων τοῖς ὅλοις· ἐδόκει δὲ αὐτὸν ὅρκοις πιστώσασθαι πρὸς εὔνοιαν. ὤμνυε δ' ὁ Ἰωάννης ἑτοίμως εὐνοήσειν τε τῷ δήμῳ καὶ μήτε βουλήν τινα μήτε πρᾶξιν προδώσειν τοῖς ἐχθροῖς, συγκαταλύσειν δὲ τοὺς ἐπιθεμένους καὶ χειρὶ καὶ γνώμῃ. οἱ δὲ περὶ τὸν Ἄνανον πιστεύσαντες τοῖς ὅρκοις ἤδη χωρὶς ὑπονοίας εἰς τὰς συμβουλίας αὐτὸν παρελάμβανον, καὶ δὴ καὶ πρεσβευτὴν εἰσπέμπουσι πρὸς τοὺς ζηλωτὰς περὶ διαλύσεων· ἦν γὰρ αὐτοῖς σπουδὴ τὸ παρ' αὐτοῖς μὴ μιᾶναι ἱερόν, μηδέ τινα τῶν ὁμοφύλων ἐν αὐτῷ πεσεῖν. ὁ δέ, ὥσπερ τοῖς ζηλωταῖς ὑπὲρ εὐνοίας ὁμόσας καὶ οὐ 14
κατ' αὐτῶν, παρελθὼν εἴσω καὶ καταστὰς εἰς μέσους πολλάκις μὲν ἔφη κινδυνεῦσαι δι' αὐτούς, ἵνα μηδὲν ἀγνοήσωσι τῶν ἀπορρήτων, ὅσα κατ' αὐτῶν οἱ περὶ τὸν Ἄνανον ἐβουλεύσαντο· νῦν δὲ τὸν μέγιστον ἀναρρίπτειν κίνδυνον σὺν πᾶσιν αὐτοῖς, εἰ μή τις προσγένοιτο βοήθεια δαιμόνιος. οὐ γὰρ ἔτι μέλλειν Ἄνανον, ἀλλὰ πείσαντα μὲν τὸν δῆμον πεπομφέναι πρέσβεις πρὸς Οὐεσπασιανόν, ἵνα ἐλθὼν κατὰ τάχος παραλάβῃ τὴν πόλιν, ἀγνείαν δὲ παρηγγελκέναι κατ' αὐτῶν φυλάττειν εἰς τὴν ἑξῆς ἡμέραν, ἵνα ἢ κατὰ θρησκείαν εἰσελθόντες ἢ καὶ βιασάμενοι συμμίξωσιν αὐτοῖς. οὐχ ὁρᾶν δὲ μέχρι τίνος ἢ τὴν φρουρὰν οἴσουσιν ἢ παρατάξονται πρὸς τοσούτους. προσετίθει δὲ ὡς αὐτὸς εἰσπεμφθείη, κατὰ θεοῦ πρόνοιαν, ὡς πρε-

Digitized by Google

σβευτὴς ὑπὲρ διαλύσεων· τὸν γὰρ Ἄνανον ταύτας αὐτοῖς προτείνειν, ὅπως ἀνόπλοις ἐπέλθῃ. δεῖν οὖν ἤ τῷ λόγῳ τοῦ ζῆν τοὺς φρουροῦντας ἱκετεύειν, ἢ πορίζεσθαί τινα παρὰ τῶν ἔξωθεν ἐπικουρίαν. τοὺς δὲ θαλπομένους ἐλπίδι συγγνώμης εἰ κρατηθεῖεν, ἐπιλεληῆσθαι τῶν ἰδίων τολμημάτων, ἢ νομίζειν ἅμα τῷ μετανοεῖν τοὺς δεδρακότας εὐθέως ὀφείλειν διηλλάχθαι καὶ τοὺς παθόντας. ἀλλὰ τῶν μὲν ἀδικησάντων διὰ μίσους πολλάκις γίνεσθαι καὶ τὴν μεταμέλειαν, τοῖς δὲ ἀδικηθεῖσι τὰς ὀργὰς ἐπ' ἐξουσίας χαλεπωτέρας. ἐφεδρεύειν δὲ ἀεὶ ἐκείνοις φίλους καὶ συγγενεῖς τῶν ἀπολωλότων, καὶ δῆμον τοσοῦτον ὑπὲρ καταλύσεως νόμων καὶ δικαστηρίων τεθυμωμένον, ὅπου κἂν ᾖ τι μέρος ἐλεοῦν, ὑπὸ πλείονος ἂν αὐτὸ τοῦ διαγανακτοῦντος ἀφανισθῆναι.

4 τοιαῦτα μὲν ἐποίκιλλεν ἀθρόως δεδισσόμενος, καὶ τὴν ἔξωθεν βοήθειαν ἀναφανδὸν μὲν οὐκ ἐθάρρει λέγειν, ᾐνίσσετο δὲ τοὺς Ἰδουμαίους. ἵνα δὲ καὶ τοὺς ἡγεμόνας τῶν ζηλωτῶν ἰδίᾳ παροξύνῃ, τὸν Ἄνανον εἰς τε ὠμότητα διέβαλλε καὶ ἀπειλεῖν ἐκείνοις ἐξαιρέτως ἔλεγεν. ἦσαν δὲ Ἐλεάζαρος υἱὸς Σίμωνος, ὃς δὴ καὶ πιθανώτατος ἐδόκει τῶν ἐν αὐτοῖς νοῆσαί τε τὰ δέοντα καὶ τὰ νοηθέντα πρᾶξαι, Ζαχαρίας τε υἱὸς Φαλέκου, γένος ἐκ τῶν ἱερέων ἑκάτερος. οὗτοι πρὸς ταῖς κοιναῖς τὰς ἰδίας καθ' αὑτῶν ἀπειλὰς ἀκούσαντες, ἔτι δ' ὡς οἱ περὶ τὸν Ἄνανον δυναστείαν ἑαυτοῖς περιποιούμενοι Ῥωμαίους ἐπικαλοῖντο (καὶ γὰρ τοῦτο Ἰωάννης προσεψεύσατο), μέχρι πολλοῦ μὲν ἠπόρουν τί χρὴ πράττειν εἰς ὀξὺν οὕτω καιρὸν συνεωσμένους. παρεσκευάσθαι μὲν γὰρ τὸν δῆμον ἐπιχειρεῖν αὐτοῖς οὐκ εἰς μακράν, αὐτῶν δὲ τὸ σύντονον τῆς ἐπιβουλῆς ὑποτετμῆσθαι τὰς ἔξωθεν ἐπικουρίας· πάντα γὰρ ἂν φθῆ-

Digitized by Google

ναι παθεῖν πρὶν καὶ πυθέσθαι τινὰ τῶν συμμάχων. ἔδοξε δ' ὅμως ἐπικαλεῖσθαι τοὺς Ἰδουμαίους. καὶ γράψαντες ἐπιστολὴν σύντομον ὡς Ἄνανος μὲν προδιδοίη Ῥωμαίοις τὴν μητρόπολιν ἐξαπατήσας τὸν δῆμον, αὐτοὶ δ' ὑπὲρ τῆς ἐλευθερίας ἀποστάντες ἐν τῷ ἱερῷ φρουροῖντο, ὀλίγος δ' ἔτι χρόνος αὐτοῖς βραβεύει τὴν σωτηρίαν, εἰ δὲ μὴ βοηθήσουσιν ἐκεῖνοι κατὰ τάχος, αὐτοὶ μὲν ὑπ' Ἀνάνῳ τε καὶ τοῖς ἐχθροῖς ἡ πόλις ὃ ὑπὸ Ῥωμαίοις φθάσει γενομένη, τὰ πολλὰ τοῖς ἀγγέλοις ἐνετέλλοντο πρὸς τοὺς ἄρχοντας τῶν Ἰδουμαίων διαλέγεσθαι. προεβλήθησαν δ' ἐπὶ τὴν ἀγγελίαν δύο τῶν δραστηρίων ἀνδρῶν, εἰπεῖν τε ἱκανοὶ καὶ πεῖσαι περὶ πραγμάτων, τὸ δὲ τούτων χρησιμώτερον, ὠκύτητι ποδῶν διαφέροντες. τοὺς μὲν γὰρ Ἰδουμαίους αὐτόθεν ᾔδεισαν πεισθησομένους ἅτε θορυβῶδες καὶ ἄτακτον ἔθνος, ἀεί τε μετέωρον πρὸς τὰ κινήματα καὶ μεταβολαῖς χαῖρον, πρὸς ὀλίγην δὲ κολακείαν τῶν δεομένων τὰ ὅπλα κινοῦν, καὶ καθάπερ εἰς ἑορτὴν εἰς τὰς παρατάξεις ἐπειγόμενον· ἔδει δὲ τάχους εἰς τὴν ἀγγελίαν. εἰς ὃ μηδὲν ἐλλείποντες προθυμίας οἱ πεμφθέντες (ἐκαλεῖτο δ' αὐτῶν Ἀνανίας ἑκάτερος) καὶ δὴ πρὸς τοὺς ἄρχοντας τῶν Ἰδουμαίων παρῆσαν. οἳ δὲ πρὸς τὴν 2
ἐπιστολὴν καὶ τὰ ῥηθέντα παρὰ τῶν ἀφιγμένων ἐκπλαγέντες, ὥσπερ ἐμμανεῖς περιέθεόν τε τὸ ἔθνος καὶ διεκήρυσσον τὴν στρατείαν. ἤθροιστο δ' ἡ πληθὺς τάχιον τοῦ παραγγέλματος, καὶ πάντες ὡς ἐπ' ἐλευθερίᾳ τῆς μητροπόλεως ἥρπαζον τὰ ὅπλα. συνταχθέντες δ' εἰς δύο μυριάδας παραγίνονται πρὸς τὰ Ἱεροσόλυμα, χρώμενοι τέσσαρσιν ἡγεμόσιν, Ἰωάννῃ τε καὶ Ἰακώβῳ παιδὶ Σωσᾶ· πρὸς δὲ τούτοις ἦν Σίμων υἱὸς Καθλᾶ καὶ Φινέας Κλουσώθ.

τὸν δ' Ἄνανον ἡ μὲν ἔξοδος τῶν ἀγγέλων, ὥσπερ 3

Digitized by Google

καὶ τοὺς φύλακας, ἔλαθεν, ἡ δ' ἔφοδος τῶν Ἰδουμαίων οὐκέτι· προγνοὺς γὰρ ἀπέκλειέ τε τὰς πύλας αὐτοῖς καὶ διὰ φυλακῆς εἶχε τὰ τείχη. καθ' ἅπαν γε μὴν αὐτοὺς ἐκπολεμεῖν οὐκ ἔδοξεν, ἀλλὰ λόγοις πείθειν πρὸ τῶν ὅπλων. στὰς οὖν ἐπὶ τὸν ἀντικρὺς αὐτῶν πύργον ὁ μετ' Ἄνανον γεραίτατος τῶν ἀρχιερέων Ἰησοὺς πολλῶν ἔφη καὶ ποικίλων τὴν πόλιν κατεσχηκότων θορύβων ἐν οὐδενὶ θαυμάσαι τὴν τύχην οὕτως ὡς τὸ συμπράττειν τοῖς πονηροῖς καὶ τὰ παράδοξα· παρεῖναι γὰρ ὑμᾶς ἀνθρώποις ἐξωλεστάτοις μετὰ τοσαύτης προθυμίας ἐπαμυνοῦντας καθ' ἡμῶν, μεθ' ὅσης εἰκὸς ἦν ἐλθεῖν οὐδὲ τῆς μητροπόλεως καλούσης ἐπὶ τοὺς βαρβάρους. "καὶ εἰ μὲν ἑώρων τὴν σύνταξιν ὑμῶν ἐξ ὁμοίων τοῖς καλέσασιν ἀνδρῶν, οὐκ ἂν ἄλογον τὴν ὁρμὴν ὑπελάμβανον· οὐδὲν γὰρ οὕτω συνίστησι τὰς εὐνοίας ὡς τρόπων συγγένεια· νῦν δέ, εἰ μέν τις αὐτοὺς ἐξετάζοι καθ' ἕνα, μυρίων ἕκαστος εὑρεθήσεται θανάτων ἄξιος· τὰ γὰρ ἀθύρματα καὶ καθάρματα τῆς γῆρας ὅλης, κατασωτευσάμενα τὰς ἰδίας οὐσίας καὶ προγυμνάσαντα τὴν ἀπόνοιαν ἐν ταῖς πέριξ κώμαις τε καὶ πόλεσι, τελευταῖα ,λελῃθότως παρεισέρρευσαν εἰς τὴν ἱερὰν πόλιν, λῃσταὶ δι' ὑπερβολὴν ἀσεβημάτων μιαίνοντες καὶ τὸ ἀβέβηλον ἔδαφος, οὓς ὁρᾶν ἔστι νῦν ἀδεεῖς ἐμμεθυσκομένους τοῖς ἁγίοις καὶ τὰ σκῦλα τῶν πεφονευμένων καταναλίσκοντας εἰς τὰς ἁπλήστους γαστέρας. τὸ δὲ ὑμέτερον πλῆθος καὶ τὸν κόσμον τῶν ὅπλων ὁρᾶν ἔστιν οἷος ἔπρεπε καλούσης ὑμᾶς τῆς μητροπόλεως κοινῷ βουλευτηρίῳ συμμάχους κατ' ἀλλοφύλων. τί ἂν οὖν εἶποι τοῦτό τις ἢ τύχης ἐπήρειαν, ὅταν λῃγάσι πονηροῖς αὖτανδρον ἔθνος ὁρᾷ συνασπίζον αὐτοῖς; μέχρι πολλοῦ μὲν ἀπορῶ τί δή ποτε καὶ τὸ κινῆσαν ὑμᾶς οὕτω ταχέως ἐγένετο· μὴ γὰρ ἂν δίκα

Digitized by Google

μεγάλης αἰτίας ἀναλαβεῖν τὰς πανοπλίας ὑπὲρ ληστῶν καὶ κατὰ δήμου συγγενοῦς. ἐπεὶ δὲ ἠκούσαμεν Ῥωμαίους καὶ προδοσίαν (ταῦτα γὰρ ὑμῶν ἐθορύβουν τινὲς ἀρτίως, καὶ τῆς μητροπόλεως ἐπ' ἐλευθερώσει παρεῖναι), πλέον τῶν ἄλλων τολμημάτων ἐθαυμάσαμεν τοὺς ἀλιτηρίους τῆς περὶ τὸ ψεῦδος ἐπινοίας· ἄνδρας γὰρ φύσει φιλελευθέρους, καὶ διὰ τοῦτο μάλιστα τοῖς ἔξωθεν πολεμίοις μάχεσθαι παρεσκευασμένους, οὐκ ἐνῆν ἄλλως ἐξαγριῶσαι καθ' ἡμῶν ἢ λογοποιήσαντας προδοσίαν τῆς ποθουμένης ἐλευθερίας. ἀλλ' ὑμᾶς γε χρὴ σκέπτεσθαι τούς τε διαβάλλοντας καὶ καθ' ὧν, συνάγειν τε τὴν ἀλήθειαν οὐκ ἐκ τῶν ἐπιπλάστων λόγων ἀλλ' ἐκ τῶν κοινῶν πραγμάτων. τί γὰρ δὴ καὶ παθόντες ἂν ἡμεῖς Ῥωμαίοις προσπωλοῦμεν ἑαυτοὺς νῦν, παρὸν ἢ μηδὲ ἀποστῆναι τὸ πρῶτον, ἢ προσχωρῆσαι ταχέως ἀποστάντας, ὄντων ἔτι τῶν πέριξ ἀπορθήτων; νῦν μὲν γὰρ οὐδὲ βουλομένοις διαλύσασθαι ῥᾴδιον, ὅτε Ῥωμαίους μὲν ὑπερόπτας πεποίηκεν ὑποχείριος ἡ Γαλιλαία, φέρει δ' αἰσχύνην ἡμῖν θανάτου χαλεπωτέραν τὸ θεραπεύειν αὐτοὺς ὄντας ἤδη πλησίον. καὶ ἔγωγε κατ' ἐμαυτὸν μὲν ἂν εἰρήνην προτιμήσαιμι θανάτου, πολεμούμενος δ' ἅπαξ καὶ συμβαλὼν θάνατον εὐκλεᾶ τοῦ ζῆν αἰχμάλωτος. πότερον δέ φασιν ἡμᾶς, τοὺς τοῦ δήμου προεστῶτας, πέμψαι κρύφα πρὸς Ῥωμαίους, ἢ καὶ τὸν δῆμον κοινῇ ψηφισάμενον; εἰ μὲν ἡμᾶς, εἰπάτωσαν τοὺς πεμφθέντας φίλους, τοὺς διακονήσαντας τὴν προδοσίαν οἰκέτας. ἐφωράθη τις ἀπιών; ἀνακομιζόμενος ἐάλω; γραμμάτων γεγόνασιν ἐγκρατεῖς; πῶς δὲ τοὺς μὲν τοσούτους πολίτας ἐλάθομεν, οἷς κατὰ πᾶσαν ὥραν συνεναστρεφόμεθα, τοῖς δὲ ὀλίγοις καὶ φρουρουμένοις καὶ μηδ' εἰς τὴν πόλιν ἐκ τοῦ ἱεροῦ προελθεῖν

Digitized by Google

δυναμένοις ἐγνώσθη τὰ κατὰ τὴν χώραν λαθραίως ἐνεργούμενα; νῦν δ' ἔγνωσαν ὅτι δεῖ δοῦναι δίκας τῶν τετολμημένων· ἕως δ' ἦσαν ἀδεεῖς αὐτοί, προδότης ἡμῶν οὐδεὶς ὑπωπτεύετο. εἰ δὲ ἐπὶ τὸν δῆμον ἀναφέρουσι τὴν αἰτίαν, ἐν φανερῷ δήπουθεν ἐβουλεύσαντο (οὐδεὶς γὰρ ἀπεστάτει τῆς ἐκκλησίας), ὥστε τάχιον ἂν τῆς μηνύσεως ἔσπευσεν ἡ φήμη πρὸς ὑμᾶς φανερωτέρα. τί δέ; οὐχὶ καὶ πρέσβεις ἔδει πέμπειν ψηφισαμένους τὰς διαλύσεις; καὶ τίς ὁ χειροτονηθείς, εἰπάτωσαν. ἀλλὰ τοῦτο μὲν δυσθανατώντων καὶ πλησίον οὖσας τὰς τιμωρίας διακρουομένων σκῆψίς ἐστιν· εἰ γὰρ δὴ καὶ προδοθῆναι τὴν πόλιν εἵμαρται, μόνους ἂν τολμῆσαι καὶ τοῦτο τοὺς διαβάλλοντας, ὧν τοῖς τολμήμασιν ἓν μόνον λείπει, προδοσία. χρὴ δὲ ὑμᾶς, ἐπειδήπερ ἅπαξ πάρεστε μετὰ τῶν ὅπλων, τὸ μὲν δικαιότατον, ἀμύνειν τῇ μητροπόλει καὶ συνεξαίρειν τοὺς τὰ δικαστήρια καταλύσαντας τυράννους, οἳ πατήσαντες τοὺς νόμους ἐπὶ τοῖς αὐτῶν ξίφεσι πεποίηνται τὰς κρίσεις· ἄνδρας γοῦν ἀκαταιτιάτους τῶν ἐπιφανῶν ἐκ μέσης τῆς ἀγορᾶς ἁρπάσαντες δεσμοῖς τε προσηκίσαντο καὶ μηδὲ φωνὴν μηδὲ ἱκεσίαν ἀνασχόμενοι διέφθειραν. ἔξεστι δ' ὑμῖν, παρελθοῦσιν εἴσω μὴ πολέμου νόμῳ, θεάσασθαι τὰ τεκμήρια τῶν λεγομένων, οἴκους ἠρημωμένους ταῖς ἐκείνων ἁρπαγαῖς, καὶ γύναια καὶ γενεὰς τῶν ἀπεσφαγμένων μελανειμονούσας, κωκυτὸν δὲ καὶ θρῆνον ἀνὰ τὴν πόλιν ὅλην. οὐδεὶς γὰρ ἔστιν ὃς οὐ γέγευται τῆς τῶν ἀνοσίων καταδρομῆς· οἵ γε ἐπὶ τοσοῦτον ἐξώκειλαν ἀπονοίας ὥστε μὴ μόνον ἐκ τῆς χώρας καὶ τῶν ἔξωθεν πόλεων ἐπὶ τὸ πρόσωπον καὶ τὴν κεφαλὴν ὅλου τοῦ ἔθνους μετενεγκεῖν τὴν ληστρικὴν τόλμαν, ἀλλὰ καὶ ἀπὸ τῆς πόλεως ἐπὶ τὸ ἱερόν. ὁρμητήριον

Digitized by Google

γοῦν αὐτοῖς τοῦτο καὶ καταφυγὴ ταμιεῖόν τε τῶν ἐφ' ἡμᾶς παρασκευῶν γέγονεν, ὁ δὲ ὑπὸ τῆς οἰκουμένης προσκυνούμενος χῶρος, καὶ τοῖς ἀπὸ περάτων γῆς ἀλλοφύλοις ἀποῆ τετιμημένος, ὑπὸ τῶν παραγεννηθέντων ἐνθάδε θηρίων καταπατεῖται. νεανιεύονται δ' ἐν ταῖς ἀπογνώσεσιν ἤδη δήμους τε δήμοις καὶ πόλεις πόλεσι συγκρούειν, καὶ κατὰ τῶν ἰδίων σπλάγχνων τὸ ἔθνος στρατολογεῖν. ἀνθ' ὧν τὸ μὲν κάλλιστον καὶ πρέπον, ὡς ἔφην, ὑμῖν, συνεξαίρειν τοὺς ἀλιτηρίους, καὶ ὑπὲρ αὐτῆς τῆς ἀπάτης ἀμυνομένους, ὅτι συμμάχους ἐτόλμησαν καλεῖν οὓς ἔδει τιμωροὺς δεδιέναι· εἰ δὲ αἰδεῖσθε τὰς τῶν τοιούτων ἐπικλήσεις, ἀλλά τοι πάρεστι θεμένοις τὰ ὅπλα καὶ παρελθοῦσιν εἰς τὴν πόλιν σχήματι συγγενῶν ἀναλαβεῖν τὸ μέσον συμμάχων τε καὶ πολεμίων ὄνομα, δικαστὰς γενομένους. καίτοι λογίσασθε πόσον κερδήσουσιν ἐφ' ὁμολογουμένοις καὶ τηλικούτοις κρινόμενοι παρ' ὑμῖν οἱ τοῖς ἀκαταιτιάτοις μηδὲ λόγου μεταδόντες. λαμβανέτωσαν δ' οὖν ταύτην ἐκ τῆς ὑμετέρας ἀφιξεως τὴν χάριν. εἰ δὲ οὔτε συναγανακτεῖν ἡμῖν οὔτε κρίνειν δοκεῖ, τρίτον ἐστὶ καταλιπεῖν ἑκατέρους, καὶ μήτε ταῖς ἡμετέραις ἐπεμβαίνειν συμφοραῖς μήτε τοῖς ἐπιβούλοις τῆς μητροπόλεως συμμένειν. εἰ γὰρ καὶ τὰ μάλιστα Ῥωμαίοις ὑποπτεύετε διειλέχθαι τινάς, παρατηρεῖν ἔξεστι τὰς ἐφόδους, κἄν τι τῶν διαβεβλημένων ἔργων διακαλύπτηται, τότε φρουρεῖν τὴν μητρόπολιν ἐλθόντας, κολάζειν τε τοὺς αἰτίους πεφωραμένους· οὐ γὰρ ἂν ὑμᾶς φθάσειαν οἱ πολέμιοι τῇ πόλει προσφκημένους. εἰ δὲ οὐδὲν ὑμῖν τούτων εὔγνωμον ἢ μέτριον δοκεῖ, μὴ θαυμάζετε τὰ πλεῖθρα τῶν πυλῶν, ἕως ἂν φέρητε τὰ ὅπλα."

Digitized by Google

τοιαῦτα μὲν ὁ Ἰησοῦς ἔλεγε, τῶν δὲ Ἰδουμαίων οὐδὲν τὸ πλῆθος προσεῖχεν, ἀλλὰ τεθύμωτο μὴ τυχὸν ἑτοίμης τῆς εἰσόδου, καὶ διηγανάκτουν οἱ στρατηγοὶ πρὸς ἀπόθεσιν τῶν ὅπλων, αἰχμαλωσίαν ἡγούμενοι τὸ κελευόντων τινῶν αὐτὰ ῥῖψαι. Σίμων δὲ υἱὸς Καθλᾶ, τῶν ἡγεμόνων εἷς, μόλις τὸν τῶν οἰκείων καταστείλας θόρυβον καὶ στὰς εἰς ἐπήκοον τοῖς ἀρχιερεῦσιν, οὐκέτι θαυμάζειν ἔφη φρουρουμένων ἐν τῷ ἱερῷ τῶν προμάχων τῆς ἐλευθερίας, εἴ γε καὶ τῷ ἔθνει κλείουσί τινες ἤδη τὴν κοινὴν πόλιν, καὶ Ῥωμαίους μὲν εἰσδέχεσθαι παρασκευάζονται, τάχα καὶ στεφανώσαντες τὰς πύλας, Ἰδουμαίοις δὲ ἀπὸ τῶν πύργων διαλέγονται καὶ τὰ ὑπὲρ τῆς ἐλευθερίας ὅπλα κελεύουσι ῥῖψαι, μὴ πιστεύοντες δὲ τοῖς συγγενέσι τὴν τῆς μητροπόλεως φυλακὴν τοὺς αὐτοὺς δικαστὰς ποιοῦνται τῶν διαφόρων, καὶ κατηγοροῦντες τινῶν ὡς ἀποκτείνειαν ἀκρίτους, αὐτοὶ καταδικάζοιεν ὅλου τοῦ ἔθνους ἀτιμίαν· τὴν γοῦν ἅπασι τοῖς ἀλλοφύλοις ἀναπεπετασμένην εἰς θρησκείαν πόλιν τοῖς οἰκείοις νῦν ἀποτετειχίσθαι. "πάνυ γὰρ ἐπὶ σφαγὰς ἐσπεύδομεν καὶ τὸν κατὰ τῶν ὁμοφύλων πόλεμον οἱ διὰ τοῦτο ταχύναντες, ἵνα ἀτυχήσαντας ὑμᾶς τηρήσωμεν ἐλευθέρους. τοιαῦτα μέντοι καὶ πρὸς τῶν φρουρουμένων ἠδίκησθε, καὶ πιθανὰς οὕτως ὑποψίας, οἶμαι, καὶ κατ' ἐκείνων συνελέξατε. ἔπειτα τῶν ἔνδον φρουρᾷ κρατοῦντες ὅσοι κήδονται τῶν κοινῶν πραγμάτων, καὶ τοῖς συγγενεστάτοις ἔθνεσιν ἀθρόοις ἀποκλείσαντες μὲν τὴν πόλιν ὑβριστικὰ δὲ οὕτω προστάγματα κελεύοντες, τυραννεῖσθαι λέγετε, καὶ τὸ τῆς δυναστείας ὄνομα τοῖς ὑφ' ὑμῶν τυραννουμένοις περιάπτετε. τίς ἂν ἐνέγκαι τὴν εἰρωνείαν τῶν λόγων, ἀφορῶν εἰς τὴν ἐναντιότητα τῶν πραγμάτων, εἰ μὴ καὶ νῦν ὑμᾶς ἀποκλείουσιν Ἰδουμαῖοι

Digitized by Google

τῆς μητροπόλεως, οὓς αὐτοὶ τῶν πατρίων ἱερῶν εἶργετε; μέμψαιτ' ἄν τις εἰκότως τοὺς ἐν τῷ ἱερῷ πολιορκουμένους, ὅτι θαρσήσαντες τοὺς προδότας κολάζειν, οὓς ὑμεῖς ἄνδρας ἐπισήμους καὶ ἀκαταιτιάτους λέγετε διὰ τὴν κοινωνίαν, οὐκ ἀφ' ὑμῶν ἤρξαντο καὶ τὰ καιριώτατα τῆς προδοσίας μέρη προαπέκοψαν. ἀλλ' εἰ κἀκεῖνοι τῆς χρείας ἐγένοντο μαλακώτεροι, τηρήσωμεν Ἰδουμαῖοι τὸν οἶκον τοῦ θεοῦ καὶ τῆς κοινῆς πατρίδος προπολεμήσωμεν, ἅμα τούς τε ἔξωθεν ἐπιόντας καὶ τοὺς ἔνδον προδιδόντας ἀμυνόμενοι πολεμίους. ἐνθάδε πρὸ τῶν τειχῶν μενοῦμεν ἐν τοῖς ὅπλοις, ἕως ἂν Ῥωμαῖοι κάμωσι προσέχοντες ὑμῖν, ἢ ὑμεῖς ἐλεύθερα φρονήσαντες μεταβάλησθε."

τούτοις τὸ μὲν τῶν Ἰδουμαίων ἐπεβόα πλῆθος, ὁ δὲ Ἰησοῦς ἀθυμῶν ἀνεχώρει, τοὺς μὲν Ἰδουμαίους μηδὲν φρονοῦντας ὁρῶν μέτριον, διχόθεν δὲ τὴν πόλιν πολεμουμένην. ἦν δὲ οὐδὲ τοῖς Ἰδουμαίοις ἐν ἠρεμίᾳ τὰ φρονήματα· καὶ γὰρ τεθύμωντο πρὸς τὴν ὕβριν εἰρχθέντες τῆς πόλεως, καὶ τὰ τῶν ζηλωτῶν ἰσχυρὰ δοκοῦντες, ὡς οὐδὲν ἐπαμύνοντας ἑώρων, ἠπόρηντο, καὶ μετενόουν πολλοὶ τὴν ἄφιξιν. ἡ δὲ αἰδὼς τοῦ τέλεον ἀπράκτους ὑποστρέφειν ἐνίκα τὴν μεταμέλειαν, ὥστε μένειν αὐτόθι πρὸ τοῦ τείχους κακῶς αὐλιζομένους· διὰ γὰρ τῆς νυκτὸς ἀμήχανος ἐκρήγνυται χειμών, ἄνεμοί τε βίαιοι σὺν ὄμβροις λαβροτάτοις, καὶ συνεχεῖς ἀστραπαί, βρονταί τε φρικώδεις, καὶ μυκήματα σειομένης τῆς γῆς ἐξαίσια. πρόδηλον δ' ἦν ἐπ' ἀνθρώπων ὀλέθρῳ τὸ κατάστημα τῶν ὅλων συγκεχυμένον, καὶ οὐχὶ μικροῦ τις ἂν εἰκάσαι συμπτώματος τὰ τέρατα. μία δὲ τοῖς Ἰδουμαίοις καὶ τοῖς ἐν τῇ πόλει παρέστη δόξα, τοῖς μὲν ὀργίζεσθαι τὸν θεὸν ἐπὶ τῇ στρατείᾳ καὶ οὐκ ἂν διαφυγεῖν ἐπενεγκόντας ὅπλα

Digitized by Google

τῇ μητροπόλει, τοῖς δὲ περὶ τὸν Ἄνανον νενικηκέναι χωρὶς παρατάξεως καὶ τὸν θεὸν ὑπὲρ αὐτῶν στρατηγεῖν.

κακοὶ δὲ ἦσαν ἄρα τῶν μελλόντων στοχασταί, καὶ κατεμαντεύοντο τῶν ἐχθρῶν ἃ τοῖς ἰδίοις αὐτῶν ἐπῆλθε παθεῖν. οἱ μὲν γὰρ Ἰδουμαῖοι συσπειραθέντες τοῖς σώμασιν ἀλλήλους ἀντέθαλπον, καὶ τοὺς θυρεοὺς ὑπὲρ κεφαλῆς συμφράξαντες ἧττον ἐκακοῦντο τοῖς ὑετοῖς· οἱ δὲ ζηλωταὶ μᾶλλον τοῦ καθ' αὑτοὺς κινδύνου ὑπὲρ ἐκείνων ἐβασανίζοντο, καὶ συνελθόντες ἐσκόπουν εἴ τινα μηχανὴν αὐτοῖς ἀμύνης ἐπινοήσειαν. τοῖς μὲν οὖν θερμοτέροις ἐδόκει μετὰ τῶν ὅπλων βιάζεσθαι τοὺς παραφυλάσσοντας, ἔπειτα δὲ εἰσπεσόντας εἰς μέσον τῆς πόλεως ἀναφανδὸν ἀνοίγειν τοῖς συμμάχοις τὰς πύλας· τούς τε γὰρ φύλακας εἴξειν πρὸς τὸ ἀδόκητον αὐτοῖς τεταραγμένους, ἄλλως τε καὶ τοὺς πλείονας αὐτῶν ὄντας ἀνόπλους καὶ πολέμων ἀπείρους, καὶ τῶν κατὰ τὴν πόλιν δυσσύναπτον ἔσεσθαι τὸ πλῆθος κατειλημένον ὑπὸ τοῦ χειμῶνος εἰς τὰς οἰκίας. εἰ δὲ καί τις γένοιτο κίνδυνος, πρέπειν αὐτοῖς πᾶν ὁτιοῦν παθεῖν, ἢ περιδεῖν τοσοῦτον πλῆθος δι' αὐτοὺς αἰσχρῶς ἀπολλύμενον. οἱ δὲ συνετώτεροι βιάζεσθαι μὲν ἀπεγίνωσκον, ὁρῶντες οὐ μόνον τὴν ἑαυτῶν φρουρὰν πληθύουσαν ἀλλὰ καὶ τὸ τῆς πόλεως τεῖχος διὰ τοὺς Ἰδουμαίους ἐπιμελῶς φυλασσόμενον, ᾠοντό τε παντα-χοῦ τὸν Ἄνανον παρεῖναι καὶ κατὰ πᾶσαν ὥραν ἐπισκέπτεσθαι τὰς φυλακάς. ὃ δὴ ταῖς μὲν ἄλλαις νυξὶν οὕτως εἶχεν, ἀνείθη δὲ κατ' ἐκείνην, οὔτι κατὰ τὴν Ἀνάνου ῥᾳθυμίαν, ἀλλ' ὡς αὐτὸς ἐκεῖνος ἀπόλοιτο καὶ τὸ πλῆθος τῶν φυλάκων, στρατηγούσης τῆς εἱμαρμένης. ἡ δὴ τῆς νυκτὸς προκοπτούσης καὶ τοῦ χειμῶνος ἐπακμάζοντος κοιμίζει μὲν τοὺς ἐπὶ τῇ στοᾷ

Digitized by Google

φρουρούς, τοῖς ζηλωταῖς δὲ ἐπίνοιαν ἐμβάλλει τῶν ἱερῶν αἴροντας πριόνων ἐκτεμεῖν τοὺς μοχλοὺς τῶν πυλῶν. συνήργησε δὲ αὐτοῖς πρὸς τὸ μὴ κατακουσθῆναι τὸν ψόφον ὅ τε τῶν ἀνέμων ἦχος καὶ τὸ τῶν βροντῶν ἐπάλληλον. διαλαθόντες δὲ ἐκ τοῦ ἱεροῦ παραγίνονται πρὸς τὸ τεῖχος, καὶ τοῖς αὐτοῖς πρίοσι χρώμενοι τὴν κατὰ τοὺς Ἰδουμαίους ἀνοίγουσι πύλην. τοῖς δὲ τὸ μὲν πρῶτον ἐμπίπτει ταραχή, τοὺς περὶ τὸν Ἄνανον ἐπιχειρεῖν οἰηθεῖσι, καὶ πᾶς ἐπὶ τοῦ ξίφους ἔσχε τὴν δεξιὰν ὡς ἀμυνούμενος· ταχέως δὲ γνωρίσαντες τοὺς ἥκοντας εἰσήεσαν. εἰ μὲν οὖν ἐτράποντο ἐπὶ τὴν πόλιν, οὐδὲν ἐκώλυεν ἀπολωλέναι τὸν δῆμον αὖτανδρον, οὕτως εἶχον ὀργῆς· νῦν δὲ πρώτους τοὺς ζηλωτὰς ἔσπευδον τῆς φρουρᾶς ἐξελέσθαι, δεομένων πολλὰ καὶ τῶν εἰσδεξαμένων μὴ περιιδεῖν δι' οὓς ἦλθον ἐν μέσοις τοῖς δεινοῖς, μηδὲ αὐτοῖς χαλεπώτερον ἐπισεῖσαι τὸν κίνδυνον· τῶν μὲν γὰρ φρουρῶν ἁλόντων ῥᾴδιον αὐτοῖς εἶναι χωρεῖν ἐπὶ τὴν πόλιν, εἰ δὲ ἅπαξ ταύτην προκινήσειαν, οὐκ ἂν ἔτι ἐκείνων κρατῆσαι· πρὸς γὰρ τὴν αἴσθησιν συντάξεσθαι αὐτοὺς καὶ τὰς ἀνόδους ἀποφράξειν.

συνεδόκει ταῦτα τοῖς Ἰδουμαίοις, καὶ διὰ τῆς πόλεως ἀνέβαινον πρὸς τὸ ἱερόν, μετέωροί τε οἱ ζηλωταὶ τὴν ἄφιξιν αὐτῶν ἐκαραδόκουν. καὶ παριόντων εἴσω καὶ αὐτοὶ θαρροῦντες προῆσαν ἐκ τοῦ ἐνδοτέρω ἱεροῦ, μιγέντες δὲ τοῖς Ἰδουμαίοις προσέβαλλον ταῖς φυλακαῖς. καὶ τινὰς μὲν τῶν προκοιτούντων ἀπέσφαξαν κοιμωμένους, πρὸς δὲ τὴν τῶν ἐγρηγορότων βοὴν διανέστη πᾶν τὸ πλῆθος, καὶ μετ' ἐκπλήξεως ἁρπάζοντες τὰ ὅπλα πρὸς τὴν ἄμυναν ἐχώρουν. ἕως μὲν οὖν μόνους τοὺς ζηλωτὰς ἐπιχειρεῖν ὑπελάμβανον, ἐθάρρουν ὡς τῷ πλήθει περιεσόμενοι· κατιδόντες δὲ ἔξωθεν

Digitized by Google

ἐπεισχεομένους ἄλλους, ἤσθοντο τὴν εἰσβολὴν τῶν Ἰδουμαίων. καὶ τὸ μὲν πλέον αὐτῶν ἅμα ταῖς ψυχαῖς κατέβαλλε τὰ ὅπλα καὶ πρὸς οἰμωγαῖς ἦν· φραξάμενοι δὲ ὀλίγοι τῶν νέων γενναίως ἐδέχοντο τοὺς Ἰδουμαίους, καὶ μέχρι πολλοῦ τὴν ἀργοτέραν πληθὺν ἔσκεπον. οἳ δὲ κραυγῇ διεσήμαινον τοῖς κατὰ τὴν πόλιν τὰς συμφοράς. κἀκείνων ἀμῦναι μὲν οὐδεὶς ἐτόλμησεν ὡς ἔμαθον εἰσπεπτωκότας τοὺς Ἰδουμαίους, ἄγαν δὲ ἀντεβόων καὶ ἀντωδύροντο, καὶ πολὺς γυναικῶν κωκυτὸς ἠγείρετο, κινδυνεύοντος ἑκάστῃ τινὸς τῶν φυλάκων. οἱ δὲ ζηλωταὶ τοῖς Ἰδουμαίοις συνεπηλάλαζον, καὶ τὴν ἐκ πάντων βοὴν ὁ χειμὼν ἐποίει φοβερωτέραν. ἐφείδοντό τε οὐδενὸς Ἰδουμαῖοι, φύσει τε ὠμότατοι φονεύειν ὄντες, καὶ τῷ χειμῶνι κεκακωμένοι κατὰ τῶν ἀποκλεισάντων ἐχρῶντο τοῖς ὅπλοις. ἦσαν δὲ ὅμοιοι τοῖς ἱκετεύουσι καὶ τοῖς ἀμυνομένοις, καὶ πολλοὺς τήν τε συγγένειαν ἀναμιμνήσκοντας καὶ δεομένους τοῦ κοινοῦ ἱεροῦ λαβεῖν αἰδῶ διήλαυνον τοῖς ξίφεσιν. ἦν δὲ φυγῆς μὲν οὐδεὶς τόπος οὐδὲ σωτηρίας ἐλπίς· συνωθούμενοι δὲ περὶ ἀλλήλους κατεκόπτοντο, καὶ τὸ πλέον ἐκβιαζόμενοι, ὡς οὐκέτι ἦν ὑποχωρήσεως τόπος, ἐπῆσαν δ' οἱ φονεύοντες, ὑπ' ἀμηχανίας κατεκρήμνιζον ἑαυτοὺς εἰς τὴν πόλιν, οἰκτρότερον ἔμοιγε δοκεῖ οὗ διέφευγον ὀλέθρου τὸν αὐθαίρετον ὑπομένοντες. ἐπεκλύσθη δὲ τὸ ἔξωθεν ἱερὸν πᾶν αἵματι, καὶ νεκροὺς ὀκτακισχιλίους καὶ πεντακοσίους ἡ ἡμέρα κατελάμβανεν.

2 οὐκ ἐκορέσθησαν δὲ τούτοις οἱ θυμοὶ τῶν Ἰδουμαίων, ἀλλ' ἐπὶ τὴν πόλιν τραπόμενοι πᾶσαν μὲν οἰκίαν διήρπαζον, ἔκτεινον δὲ τὸν περιτυχόντα. καὶ τὸ μὲν ἄλλο πλῆθος αὐτοῖς ἐδόκει παρανάλωμα, τοὺς δ' ἀρχιερεῖς ἀνεζήτουν, καὶ κατ' ἐκείνων ἦν τοῖς πλείστοις

Digitized by Google

ἡ φορά. ταχέως δὲ ἁλόντες διεφθείροντο, καὶ τοῖς νεκροῖς αὐτῶν ἐπιστάντες τὸν μὲν Ἄνανον τῆς πρὸς τὸν δῆμον εὐνοίας τὸν δὲ Ἰησοῦν τῶν ἀπὸ τοῦ τείχους λόγων ἐπέσκωπτον. προῆλθον δὲ εἰς τοσοῦτον ἀσεβείας ὥστε καὶ ἀτάφους ῥῖψαι, καίτοι τοσαύτην Ἰουδαίων περὶ τὰς ταφὰς πρόνοιαν πεποιημένων ὥστε καὶ τοὺς ἐκ καταδίκης ἀνασταυρουμένους πρὸ δύντος ἡλίου καθαιρεῖν τε καὶ θάπτειν. οὐκ ἂν ἁμάρτοιμι δὲ εἰπὼν ἁλώσεως ἄρξαι τῇ πόλει τὸν Ἀνάνου θάνατον, καὶ ἀπ' ἐκείνης τῆς ἡμέρας ἀνατραπῆναι τὸ τεῖχος καὶ διαφθαρῆναι τὰ πράγματα Ἰουδαίοις, ἐν ᾗ τὸν ἀρχιερέα καὶ ἡγεμόνα τῆς ἰδίας σωτηρίας αὐτῶν ἐπὶ μέσης τῆς πόλεως εἶδον ἀπεσφαγμένον. ἦν γὰρ δὴ τά τε ἄλλα σεμνὸς ὁ ἀνὴρ καὶ δικαιότατος, καὶ παρὰ τὸν ὄγκον τῆς τε εὐγενείας καὶ τῆς ἀξίας καὶ ἧς εἶχε τιμῆς ἠγαπηκὼς τὸ ἰσότιμον καὶ πρὸς τοὺς ταπεινοτάτους, φιλελεύθερος δὲ ἐκτόπως καὶ δημοκρατίας ἐραστής, πρό τε τῶν ἰδίων λυσιτελῶν τὰ κοινῇ συμφέροντα ἀεὶ τιθέμενος, καὶ περὶ παντὸς ποιούμενος τὴν εἰρήνην (ἅμαχα γὰρ ἤδει τὰ Ῥωμαίων), προσκοπούμενος δὲ ὑπ' ἀνάγκης καὶ κατὰ τὸν πόλεμον ὅπως, εἰ μὴ διαλύσαιντο Ἰουδαῖοι, δεξιῶς διαφέροιντο. καθόλου δὲ εἰπεῖν, ζῶντος Ἀνάνου πάντως ἂν διελύθησαν. δεινὸς γὰρ ἦν εἰπεῖν τε καὶ πεῖσαι τὸν δῆμον· ἤδη δ' εἰ ἐκεχείρωτο καὶ τοὺς ἐμποδίζοντας ἢ πολεμοῦντας, πλείστην ἂν τριβὴν Ῥωμαίοις παρέσχον ὑπὸ τοιούτῳ στρατηγῷ. παρέξευκτο δὲ αὐτῷ καὶ ὁ Ἰησοῦς, αὐτοῦ μὲν λειπόμενος κατὰ σύγκρισιν, προύχων δὲ τῶν ἄλλων. ἀλλ' οἶμαι, κατακρίνας ὁ θεὸς ὡς μεμιαμμένης τῆς πόλεως ἀπώλειαν, καὶ πυρὶ βουλόμενος ἐκκαθαρθῆναι τὰ ἅγια, τοὺς ἀντεχομένους αὐτῶν καὶ φιλοστοργοῦντας περιέκοπτεν. οἳ δὲ πρὸ

Digitized by Google

ὀλίγου τὴν ἱερὰν ἐσθῆτα περικείμενοι καὶ τῆς κοσμικῆς θρησκείας κατάρχοντες, προσκυνούμενοί τε τοῖς ἐκ τῆς οἰκουμένης παραβάλλουσιν εἰς τὴν πόλιν, ἐρριμμένοι γυμνοί, βορὰ κυνῶν καὶ θηρίων, ἐβλέποντο. αὐτὴν ἐπ' ἐκείνοις στενάξαι ἂν τοῖς ἀνδράσι δοκῶ τὴν ἀρετήν, ὀλοφυρομένην ὅτι τοσοῦτον ἥττητο τῆς κακίας.

ἀλλὰ γὰρ τὸ μὲν Ἀνάνου καὶ Ἰησοῦ τέλος τοιοῦτον ἀπέβη, μετὰ δὲ ἐκείνους οἵ τε ζηλωταὶ καὶ τῶν Ἰδουμαίων τὸ πλῆθος τὸν λαὸν ὥσπερ ἀνοσίων ζῴων ἀγέλην ἐπιόντες ἔσφαζον. καὶ τὸ μὲν εἰκαῖον ἐφ' οὗ καταληφθείη τόπου διεφθείρετο, τοὺς δὲ εὐγενεῖς καὶ νέους συλλαμβάνοντες εἰς εἱρκτὴν κατέκλειον δεδεμένους, κατ' ἐλπίδα τοῦ προσθήσεσθαί τινας αὐτοῖς τὴν ἀναίρεσιν ὑπερτιθέμενοι. προσέσχε δὲ οὐδείς, ἀλλὰ πάντες τοῦ τάξασθαι μετὰ τῶν πονηρῶν κατὰ τῆς πατρίδος προείλοντο τὸν θάνατον. δεινὰς δὲ τῆς ἀρνήσεως αἰκίας ὑπέμενον, μαστιγούμενοί τε καὶ στρεβλούμενοι· μετὰ δὲ τὸ μηκέτ' ἀρκεῖν τὸ σῶμα ταῖς βασάνοις μόλις ἠξιοῦντο τοῦ ξίφους. οἱ συλληφθέντες δὲ μεθ' ἡμέραν ἀνηροῦντο νύκτωρ, καὶ τοὺς νεκροὺς ἐκφοροῦντες ἐρρίπτουν, ὡς ἑτέροις εἴη δεσμώταις τόπος. ἦν δὲ τοσαύτη τοῦ δήμου κατάπληξις ὡς μηδένα τολμῆσαι μήτε κλαίειν φανερῶς τὸν προσήκοντα νεκρὸν μήτε θάπτειν, ἀλλὰ λαθραῖα μὲν ἦν αὐτῶν κατακεκλεισμένων τὰ δάκρυα, καὶ μετὰ περισκέψεως, μή τις ἐπακούσῃ τῶν ἐχθρῶν, ἔστενον· ἴσα γὰρ τοῖς πενθουμένοις ὁ πενθήσας εὐθὺς ἔπασχε· νύκτωρ δὲ κόνιν αἴροντες χεροῖν ὀλίγην ἐπερρίπτουν τοῖς σώμασι, καὶ μεθ' ἡμέραν εἴ τις παράβολος. μύριοι δὲ καὶ δισχίλιοι τῶν εὐγενῶν οὕτω διεφθάρησαν.

Digitized by Google

οἳ δὲ ἤδη διαμεμισηκότες τὸ φονεύειν ἀνέδην εἰ- 4
ρωνεύοντο δικαστήρια καὶ κρίσεις. καὶ δή τινα τῶν
ἐπιφανεστάτων ἀποκτεῖναι προθέμενοι, Ζαχαρίαν υἱὸν
Βαρούχου (παρώξυνε δ' αὐτοὺς τὸ λίαν τἀνδρὸς μισο-
πόνηρον καὶ φιλελεύθερον· ἦν δὲ καὶ πλούσιος, ὥστε
μὴ μόνον ἐλπίζειν τὴν ἁρπαγὴν τῆς οὐσίας, ἀλλὰ καὶ
προσαποσκευάζεσθαι δυνατὸν ἄνθρωπον εἰς τὴν αὐτῶν
κατάλυσιν), συγκαλοῦσιν ἐξ ἐπιτάγματος ἑβδομήκοντα
τῶν ἐν τέλει δημοτῶν εἰς σχῆμα δικαστῶν ἔρημον ἐξ-
ουσίας· καὶ τοῦ Ζαχαρίου κατηγόρουν ὡς ἐνδιδοίη τὰ
πράγματα Ῥωμαίοις καὶ περὶ προδοσίας διαπέμψαιτο
πρὸς Ὀεσπασιανόν. ἦν δὲ οὔτε ἔλεγχός τις τῶν κατη-
γορουμένων οὔτε τεκμήριον, ἀλλ' αὐτοὶ πεπεῖσθαι κα-
λῶς ἔφασαν, καὶ τοῦτ' εἶναι πίστιν τῆς ἀληθείας ἠ-
ξίουν. ὅ γε μὴν Ζαχαρίας συνιδὼν μηδεμίαν αὐτῷ
καταλειπομένην σωτηρίας ἐλπίδα (κεκλῆσθαι γὰρ κατ'
ἐνέδραν εἰς εἰρκτήν, οὐκ ἐπὶ δικαστήριον), ἐποιήσατο
τὴν τοῦ ζῆν ἀπόγνωσιν οὐκ ἀπαρρησίαστον, ἀλλὰ κα-
ταστὰς τὸ μὲν πιθανὸν τῶν κατηγορουμένων διεχλεύασε,
καὶ διὰ βραχέων ἀπελύσατο τὰς ἐπιφερομένας αἰτίας,
εἶτα δὲ τὸν λόγον εἰς τοὺς κατηγόρους ἀποστρέψας
ἐξῆς πάσας αὐτῶν διεξῄει τὰς παρανομίας, καὶ πολλὰ
περὶ τῆς συγχύσεως κατωλοφύρατο τῶν πραγμάτων.
οἱ ζηλωταὶ δὲ ἐθορύβουν καὶ μόλις τῶν ξιφῶν ἀπε-
κράτουν, τὸ σχῆμα καὶ τὴν εἰρωνείαν τοῦ δικαστηρίου
μέχρι τέλους παῖξαι προαιρούμενοι, καὶ ἄλλως πειρά-
σαι θέλοντες τοὺς δικαστάς, εἰ παρὰ τὸν αὐτῶν κίν-
δυνον μνησθήσονται τοῦ δικαίου. φέρουσι δ' οἱ ἑβδο-
μήκοντα τῷ κρινομένῳ τὰς ψήφους ἀπολύσεως, καὶ σὺν
αὐτῷ προείλοντο τεθνάναι μᾶλλον ἢ τῆς ἀναιρέσεως
αὐτοῦ λαβεῖν τὴν ἐπιγραφήν. ἤρθη δὲ βοὴ τῶν ζηλω-
τῶν πρὸς τὴν ἀπόλυσιν, καὶ πάντων μὲν ἦν ἀγανά-

Digitized by Google

κτησις ἐπὶ τοῖς δικασταῖς ὡς μὴ συνιεῖσι τὴν εἰρωνείαν τῆς δοθείσης αὐτοῖς ἐξουσίας, δύο δὲ τῶν τολμηροτάτων προσπεσόντες ἐν μέσῳ τῷ ἱερῷ διαφθείρουσι τὸν Ζαχαρίαν, καὶ πεσόντι ἐπιχλευάζοντες ἔφασαν "καὶ παρ' ἡμῶν τὴν ψῆφον ἔχεις, καὶ βεβαιοτέραν ἀπόλυσιν." ῥίπτουσί τε αὐτὸν εὐθέως ἀπὸ τοῦ ἱεροῦ κατὰ τῆς ὑποκειμένης φάραγγος. τοὺς δὲ δικαστὰς πρὸς ὕβριν ἀπεστραμμένοις τοῖς ξίφεσι τύπτοντες ἐξέωσαν τοῦ περιβόλου, δι' ἓν τοῦτο· φεισάμενοι τῆς σφαγῆς αὐτῶν, ἵνα σκεδασθέντες ἀνὰ τὴν πόλιν ἄγγελοι πᾶσι τῆς δουλείας γένωνται.

τοῖς δὲ Ἰδουμαίοις ἤδη τῆς παρουσίας μετέμελε καὶ προσίστατο τὰ πραττόμενα. συναγαγὼν δὲ αὐτούς τις ἀπὸ τῶν ζηλωτῶν κατ' ἰδίαν ἐλθὼν ἐνεδείκνυτο τὰ συμπαρανομηθέντα τοῖς καλέσασι, καὶ τὰ κατὰ τῆς μητροπόλεως διεξῆει· παραγενέσθαι μὲν γὰρ ὡς ὑπὸ τῶν ἀρχιερέων προδιδομένης Ῥωμαίοις τῆς μητροπόλεως, εὑρηκέναι δὲ προδοσίας μὲν τεκμήριον οὐδέν, τοὺς δὲ ἐκείνην ὑποκρινομένους φυλάττεσθαι καὶ πολέμου καὶ τυραννίδος ἔργα τολμῶντας. προσήκειν μὲν οὖν αὐτοῖς διακωλύειν ἀπ' ἀρχῆς· ἐπειδὴ δ' ἅπαξ εἰς κοινωνίαν ἐμφυλίου φόνου προέπεσον, ὅρον γοῦν ἐπιθεῖναι τοῖς ἁμαρτήμασι, καὶ μὴ παραμένειν χορηγοῦντας ἰσχὺν τοῖς καταλύσασι τὰ πάτρια. καὶ γὰρ εἴ τινες χαλεπαίνουσι τῷ κλεισθῆναι τὰς πύλας καὶ τὴν εἴσοδον, ἀλλὰ τοὺς εἰρξαντας τετιμωρῆσθαι, καὶ τεθνάναι μὲν Ἄνανον, διεφθάρθαι δὲ ἐπὶ μιᾶς νυκτὸς ὀλίγου δεῖν πάντα τὸν δῆμον. ἐφ' οἷς τῶν μὲν οἰκείων πολλοὺς αἰσθάνεσθαι μετανοοῦντας, τῶν ἐπικαλεσαμένων δὲ ὁρᾶν ἄμετρον τὴν ὠμότητα, μηδὲ δι' οὓς ἐσώθησαν αἰδουμένων. ἐν ὄμμασι γοῦν τῶν συμμάχων τὰ αἴσχιστα τολμᾶν, καὶ τὰς ἐκείνων παρανο-

Digitized by Google

μίας Ἰδουμαίοις προσάπτεσθαι, μέχρις ἂν μήτε κωλύῃ τις μήτε χωρίζηται τῶν δρωμένων. δεῖν οὖν, ἐπειδὴ διαβολὴ μὲν πέφηνε τὰ τῆς προδοσίας, ἔφοδος δὲ Ῥωμαίων οὐδεμία προσδοκᾶται, δυναστεία τε ἐπιτετείχισται τῇ πόλει δυσκατάλυτος, αὐτοὺς ἀναχωρεῖν ἐπ᾽ οἴκου, καὶ τῷ μὴ κοινωνεῖν τοῖς φαύλοις ἁπάντων ἀπολογήσασθαι περὶ ὧν φενακισθέντες μετάσχοιεν.

τούτοις δὲ πεισθέντες οἱ Ἰδουμαῖοι πρῶτον μὲν 6 λύουσι τοὺς ἐν τοῖς δεσμωτηρίοις, περὶ δισχιλίους δημότας· οἳ παραχρῆμα φυγόντες ἐκ τῆς πόλεως ἀφικνοῦνται πρὸς Σίμωνα, περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν· ἔπειτα ἐκ τῶν Ἱεροσολύμων ἀνεχώρησαν ἐπ᾽ οἴκου. καὶ συνέβη τὸν χωρισμὸν αὐτῶν γενέσθαι παρὰ δόξαν ἀμφοτέροις· ὅ τε γὰρ δῆμος ἀγνοῶν τὴν μετάνοιαν ἐθάρρησε πρὸς ὀλίγον ὡς ἐχθρῶν κεκουφισμένος, οἵ τε ζηλωταὶ μᾶλλον ἐπανέστησαν, οὐχ ὡς ὑπὸ συμμάχων καταλειφθέντες, ἀλλ᾽ ἀπηλλαγμένοι τῶν δυσωπούντων καὶ διατρεπόντων παρανομεῖν. οὐκέτι γοῦν μέλλησις ἢ σκέψις ἦν τῶν ἀδικημάτων, ἀλλ᾽ ὀξυτάταις μὲν ἐχρῶντο ταῖς ἐπινοίαις εἰς ἕκαστα, τὰ δοχθέντα δὲ τάχιον καὶ τῆς ἐπινοίας ἐνήργουν. μάλιστα δ᾽ ἐπ᾽ ἀνδρείαν τε καὶ εὐγένειαν ἐφόνων, τὴν μὲν φθόνῳ λυμαινόμενοι, τὸ δὲ γενναῖον δέει· μόνην γὰρ αὐτῶν ἀσφάλειαν ὑπελάμβανον τὸ μηδένα τῶν δυνατῶν καταλιπεῖν. ἀνῃρέθη γοῦν σὺν πολλοῖς ἑτέροις καὶ Γωρίων, ἀξιώματι μὲν καὶ γένει προύχων, δημοκρατικὸς δὲ καὶ φρονήματος ἐλευθερίου μεστός, εἰ καί τις ἕτερος Ἰουδαίων. ἀπώλεσε δ᾽ αὐτὸν ἡ παρρησία μάλιστα πρὸς τοῖς ἄλλοις πλεονεκτήμασιν. οὐδὲ ὁ Περαΐτης Νίγερ αὐτῶν τὰς χεῖρας διέφυγεν, ἀνὴρ ἄριστος ἐν τοῖς πρὸς Ῥωμαίους πολέμοις γενόμενος, ὃς

Digitized by Google

καὶ βοῶν πολλάκις τάς τε ὠτειλὰς ἐπιδεικνὺς διὰ μέσης ἐσύρετο τῆς πόλεως. ἐπεὶ δὲ ἔξω τῶν πυλῶν ἦκτο, τὴν σωτηρίαν ἀπογνοὺς περὶ ταφῆς ἱκέτευεν· οἳ δὲ προαπειλήσαντες ἧς ἐπεθύμει μάλιστα γῆς μὴ μεταδώσειν αὐτῷ τὸν φόνον ἐνήργουν. ἀναιρούμενος δὲ ὁ Νίγερ τιμωροὺς Ῥωμαίους αὐτοῖς ἐπηράσατο, λιμόν τε καὶ λοιμὸν ἐπὶ τῷ πολέμῳ καὶ πρὸς ἅπασι τὰς ἀλλήλων χεῖρας· ἃ δὴ πάντα κατὰ τῶν ἀσεβῶν ἐκύρωσεν ὁ θεός, καὶ τὸ δικαιότατον, ὅτι γεύσασθαι τῆς ἀλλήλων ἀπονοίας ἔμελλον οὐκ εἰς μακρὰν στασιάσαντες. Νίγερ μὲν οὖν ἀνηρημένος τοὺς περὶ τῆς καταλύσεως αὐτῶν φόβους ἐπεκούφισε, τοῦ λαοῦ δὲ μέρος οὐδὲν ἦν ᾧ μὴ πρὸς ἀπώλειαν ἐπενοεῖτο πρόφασις. τὸ μὲν γὰρ αὐτῶν διενεχθέν τινι πάλαι διέφθαρτο, τὸ δὲ μὴ προσκροῦσαν κατ' εἰρήνην ἐπικαίρους ἐλάμβανε τὰς αἰτίας· καὶ ὁ μὲν μηδὲ ὅλως αὐτοῖς προσιὼν ὡς ὑπερήφανος, ὁ προσιὼν δὲ μετὰ παρρησίας ὡς καταφρονῶν, ὁ θεραπεύων δὲ ὡς ἐπίβουλος ὑπωπτεύετο. μία τ' ἦν τῶν τε μεγίστων καὶ τῶν μετριωτάτων ἐγκλημάτων τιμωρία, θάνατος· καὶ διέφυγεν οὐδείς, εἰ μὴ σφόδρα τις ἦν ταπεινὸς ἢ δι' ἀγένειαν ἢ διὰ τύχην.

2 Ῥωμαίων δὲ οἱ μὲν ἄλλοι πάντες ἡγεμόνες ἕρμαιον ἡγούμενοι τὴν στάσιν τῶν πολεμίων ὥρμηντο πρὸς τὴν πόλιν, καὶ τὸν Οὐεσπασιανὸν ἤπειγον ὡς ἂν ὄντα κύριον τῶν ὅλων, φάμενοι πρόνοιαν θεοῦ σύμμαχον σφίσι τῷ τετράφθαι τοὺς ἐχθροὺς κατ' ἀλλήλων· εἶναι μέντοι τὴν ῥοπὴν ὀξεῖαν, καὶ ταχέως Ἰουδαίους ὁμονοήσειν ἢ κοπιάσαντας ἐν τοῖς ἐμφυλίοις κακοῖς ἢ μετανοήσαντας. Οὐεσπασιανὸς δὲ πλεῖστον αὐτοὺς ἔφη τοῦ δέοντος ἁμαρτάνειν, ὥσπερ ἐν θεάτρῳ χειρῶν τε καὶ ὅπλων ἐπίδειξιν ποιήσασθαι γλιχομένους οὐκ ἀκίνδυνον, ἀλλὰ μὴ τὸ συμφέρον καὶ τὸ ἀσφαλὲς

Digitized by Google

σκοποῦντας. εἰ μὲν γὰρ εὐθέως ὁρμήσαιεν ἐπὶ τὴν πόλιν, αἴτιοι ὁμονοίας ἔσεσθαι τοῖς πολεμίοις καὶ τὴν ἰσχὺν αὐτῶν ἀκμάζουσαν ἐφ' ἑαυτοὺς ἐπιστρέψειν· εἰ δὲ περιμένοιεν, ὀλιγωτέροις χρήσεσθαι, δαπανηθεῖσιν ἐν τῇ στάσει. στρατηγεῖν μὲν γὰρ ἄμεινον αὐτοῦ τὸν θεόν, ἀκονιτὶ Ἰουδαίους Ῥωμαίοις παραδιδόντα καὶ τὴν νίκην ἀκινδύνως τῇ στρατιᾷ χαριζόμενον, ὥστε χρῆναι διαφθειρομένων χερσὶν οἰκείαις τῶν ἐχθρῶν, καὶ τῷ μεγίστῳ κακῷ στάσει χρωμένων, θεατὰς μᾶλλον αὐτοὺς ἀποκαθῆσθαι τῶν κινδύνων ἢ θανατῶσιν ἀνθρώποις καὶ λελυσσηκόσι κατ' ἀλλήλων χεῖρα μίσγειν. "εἰ δέ τις οἴεται τὴν δόξαν τῆς νίκης ἐωλοτέραν ἔσεσθαι δίχα μάχης, γνώτω τοῦ διὰ τῶν ὅπλων σφαλεροῦ τὸ μεθ' ἡσυχίας κατόρθωμα λυσιτελέστερον· καὶ γὰρ οὐχ ἧττον εὐκλεεῖς οἴεσθαι χρὴ τῶν κατὰ χεῖρα λαμπρῶν τοὺς ἐγκρατείᾳ καὶ συνέσει τὰ ἴσα πράξαντας." ἅμα μέντοι μειουμένων τῶν πολεμίων καὶ τὴν αὐτοῦ στρατιάν, ἀναληφθεῖσαν ἐκ τῶν συνεχῶν πόνων, ἐρρωμενέστερον ἄξειν. ἄλλως τε καὶ τῶν στοχαζομένων τῆς περὶ τὴν νίκην λαμπρότητος οὐ τοῦτον εἶναι τὸν καιρόν· οὐ γὰρ περὶ κατασκευὴν ὅπλων ἢ τειχῶν, οὐδὲ περὶ συλλογὴν ἐπικούρων, Ἰουδαίους ἀσχολεῖσθαι, καὶ τὴν ὑπέρθεσιν ἔσεσθαι κατὰ τῶν διδόντων, ἀλλ' ἐμφυλίῳ πολέμῳ καὶ διχονοίᾳ τραχηλιζομένους καθ' ἡμέραν οἰκτρότερα πάσχειν ὧν ἂν ἐπελθόντες αὐτοὶ διαθεῖεν αὐτοὺς ἁλόντας. εἴτε οὖν τὸ ἀσφαλές τις σκοποίη, χρῆναι τοὺς ὑφ' ἑαυτῶν ἀναλισκομένους ἐᾶν, εἴτε τὸ εὐκλεέστερον τοῦ κατορθώματος, οὐ δεῖν τοῖς οἴκοι νοσοῦσιν ἐπιχειρεῖν· ῥηθήσεσθαι γὰρ εὐλόγως οὐκ αὐτῶν τὴν νίκην ἀλλὰ τῆς στάσεως.

ταῦτα Οὐεσπασιανῷ λέγοντι συνῄνουν οἱ ἡγε- 3
μόνες, καὶ παραχρῆμα τὸ στρατηγικὸν τῆς γνώμης

Digitized by Google

ἀνεφαίνετο· πολλοὶ γὰρ καθ' ἡμέραν ηὐτομόλουν, τοὺς ζηλωτὰς διαδιδράσκοντες. χαλεπὴ δὲ ἦν ἡ φυγή, φρουραῖς διειλημμένων τὰς διεξόδους πάσας, καὶ τὸν ἐν αὐταῖς ὁπωσοῦν ἁλισκόμενον ὡς πρὸς Ῥωμαίους ἀκιόντα διαχρωμένων. ὅ γε μὴν χρήματα δοὺς ἐξηφίετο, καὶ μόνος ἦν ὁ μὴ διδοὺς προδότης· ὥστε κατελείπετο, τῶν εὐπόρων τὴν φυγὴν ὠνουμένων, μόνους ἑναποσφάττεσθαι τοὺς πένητας. νεκροὶ δὲ κατὰ τὰς λεωφόρους πάσας ἐσωρεύοντο παμπληθεῖς, καὶ πολλοὶ τῶν ὡρμημένων αὐτομολεῖν πάλιν τὴν ἔνδον ἀπώλειαν ἡροῦντο· τὸν γὰρ ἐπὶ τῆς πατρίδος θάνατον ἐλπὶς ταφῆς ἐποίει δοκεῖν μετριώτερον. οἳ δὲ εἰς τοσοῦτον ὠμότητος ἐξώκειλαν ὡς μήτε τοῖς ἔνδον ἀναιρουμένοις μήτε τοῖς ἀνὰ τὰς ὁδοὺς μεταδοῦναι γῆς, ἀλλὰ καθάπερ συνθήκας πεποιημένοι τοῖς τῆς πατρίδος συγκαταλῦσαι καὶ τοὺς τῆς φύσεως νόμους, ἅμα τε τοῖς εἰς ἀνθρώπους ἀδικήμασι συμμιᾶναι καὶ τὸ θεῖον, ὑφ' ἡλίῳ τοὺς νεκροὺς μυδῶντας ἀπέλειπον. τοῖς δὲ θάπτουσί τινα τῶν προσηκόντων, ὃ καὶ τοῖς αὐτομολοῦσιν, ἐπιτίμιον θάνατος ἦν, καὶ δεῖσθαι παραχρῆμα ταφῆς ἔδει τὸν ἑτέρῳ χαριζόμενον. καθόλου τε εἰπεῖν, οὐδὲν οὕτως ἀπωλώλει χρηστὸν πάθος ἐν ταῖς τότε συμφοραῖς ὡς ἔλεος. ἃ γὰρ ἐχρῆν οἰκτείρειν, ταῦτα παρώξυνε τοὺς ἀλιτηρίους, καὶ ἀπὸ μὲν τῶν ζώντων ἐπὶ τοὺς ἀνῃρημένους ἀπὸ δὲ τῶν νεκρῶν ἐπὶ τοὺς ζῶντας τὰς ὀργὰς μετέφερον· καὶ δι' ὑπερβολὴν δέους ὁ περιὼν τοὺς προληφθέντας ὡς ἀναπαυσαμένους ἐμακάριζεν, οἵ τε ἐν τοῖς δεσμωτηρίοις αἰκιζόμενοι κατὰ σύγκρισιν καὶ τοὺς ἀτάφους ἀπέφαινον εὐδαίμονας. κατεπατεῖτο μὲν οὖν πᾶς αὐτοῖς θεσμὸς ἀνθρώπων, ἐγελᾶτο δὲ τὰ θεῖα, καὶ τοὺς τῶν προφητῶν θεσμοὺς ὥσπερ ἀγυρτικὰς λογοποιίας ἐχλεύαζον.

Digitized by Google

πολλὰ δὲ οὗτοι περὶ ἀρετῆς καὶ κακίας προεθέσπισαν, ἃ παραβάντες οἱ ζηλωταὶ καὶ τὴν κατὰ τῆς πατρίδος προφητείαν τέλους ἠξίωσαν. ἦν γὰρ δή τις παλαιὸς λόγος ἀνδρῶν ἐνθέων, τότε τὴν πόλιν ἁλώσεσθαι καὶ καταφλέξεσθαι τὸ ἁγιώτατον νόμῳ πολέμου, στάσις ὅταν κατασκήψῃ καὶ χεῖρες οἰκεῖαι προμιάνωσι τὸ τοῦ θεοῦ τέμενος· οἷς οὐκ ἀπιστήσαντες οἱ ζηλωταὶ διακόνους ἑαυτοὺς ἐπέδοσαν.

ἤδη δὲ Ἰωάννῃ τυραννιῶντι τὸ πρὸς ὁμοίους ἰσότιμον ἠδοξεῖτο, καὶ κατ' ὀλίγους προσποιούμενος τῶν πονηροτέρων ἀφηνίαζε τοῦ συντάγματος. ἀεὶ δὲ τοῖς μὲν τῶν ἄλλων δόγμασιν ἀπειθῶν, τὰ δὲ αὐτοῦ προστάσσων δεσποτικώτερον, δῆλος ἦν μοναρχίας ἀντιποιούμενος. εἶκον δὲ αὐτῷ τινὲς μὲν δέει, τινὲς δὲ κατ' εὔνοιαν (δεινὸς γὰρ ἦν ἀπάτῃ καὶ δόλῳ προσάγεσθαι), πολλοὶ δὲ πρὸς ἀσφαλείας ἡγούμενοι τῆς αὐτῶν τὰς αἰτίας ἤδη τῶν τολμωμένων ἐφ' ἕνα καὶ μὴ πολλοὺς ἀναφέρεσθαι. τό γε μὴν δραστήριον αὐτοῦ κατά τε χεῖρα καὶ κατὰ γνώμην δορυφόρους εἶχεν οὐκ ὀλίγους. πολλὴ δὲ μοῖρα τῶν ἀντικαθημένων ἀπελείπετο, παρ' οἷς ἴσχυε μὲν καὶ φθόνος, δεινὸν ἡγουμένων ὑποτετάχθαι τῷ πρὶν ἰσοτίμῳ, τὸ πλέον δὲ εὐλάβεια τῆς μοναρχίας ἀπέτρεπεν. οὔτε γὰρ καταλύσειν ῥᾳδίως ἤλπιζον αὐτὸν ἅπαξ κρατήσαντα, καὶ καθ' ἑαυτῶν πρόφασιν ἕξειν τὸ τὴν ἀρχὴν ἀντιπρᾶξαι· προῃρεῖτο δὲ [ἢ] πολεμῶν ἕκαστος ὁτιοῦν παθεῖν ἢ δουλεύσας ἑκουσίως ἐν ἀνδραπόδου μοίρᾳ παραπολέσθαι. διαιρεῖται μὲν οὖν ἡ στάσις ἐκ τούτων, καὶ τοῖς ἐναντιωθεῖσιν Ἰωάννης ἀντεβασίλευσεν. ἀλλὰ τὰ μὲν πρὸς ἀλλήλους αὐτοῖς διὰ φυλακῆς ἦν, καὶ οὐδὲν ἢ μικρόν, εἴ ποτε, διηκροβολίζοντο τοῖς ὅπλοις· ἤριζον δὲ κατὰ τοῦ δήμου, καὶ πότεροι πλείονα λείαν

Digitized by Google

ἀνάξουσιν ἀντεφιλονείκουν. ἐπεὶ δὲ ἡ πόλις τρισὶ τοῖς μεγίστοις κακοῖς ἐχειμάζετο, πολέμῳ καὶ τυραννίδι καὶ στάσει, κατὰ σύγκρισιν μετριώτερον ἦν τοῖς δημοτικοῖς ὁ πόλεμος. ἀμέλει διαδιδράσκοντες ἐκ τῶν οἰκείων ἔφευγον πρὸς τοὺς ἀλλοφύλους, καὶ παρὰ Ῥωμαίοις ἧς ἀπήλπισαν ἐν τοῖς ἰδίοις σωτηρίας ἠξιοῦντο.

2 τέταρτον δὲ ἄλλο κακὸν ἐκινεῖτο πρὸς τὴν τοῦ ἔθνους κατάλυσιν. φρούριον ἦν οὐ πόρρω Ἱεροσολύμων καρτερώτατον, ὑπὸ τῶν ἀρχαίων βασιλέων εἴς τε ὑπέκθεσιν κτήσεως ἐν πολέμου ῥοπαῖς καὶ σωμάτων ἀσφάλειαν κατεσκευασμένον, ὃ ἐκαλεῖτο Μασάδα. τοῦτο κατειληφότες οἱ προσαγορευόμενοι σικάριοι τέως μὲν τὰς πλησίον χώρας κατέτρεχον, οὐδὲν πλέον ποριζόμενοι· δέει γὰρ ἀνεστέλλοντο τῆς πλείονος ἁρπαγῆς· ὡς δὲ τὴν Ῥωμαίων στρατιὰν ἠρεμοῦσαν, στάσει δὲ καὶ τυραννίδι ἰδίᾳ τοὺς ἐν Ἱεροσολύμοις Ἰουδαίους ἐπύθοντο διῃρημένους, ἀδροτέρων ἥπτοντο τολμημάτων. καὶ κατὰ τὴν ἑορτὴν τῶν ἀζύμων, ἣν ἄγουσιν Ἰουδαῖοι σωτήρια ἐξόδου τῆς ὑπ' Αἰγυπτίοις δουλείας, ἀνεθέντες εἰς τὴν πάτριον γῆν κατῆλθον νύκτωρ, τοὺς ἐμποδὼν ὄντας διαλαθόντες, καὶ πολίχνην τινὰ κατατρέχουσι καλουμένην Ἐγγαδδί. ἐν ᾗ τὸ μὲν ἀμύνεσθαι δυνάμενον, πρὶν ὅπλων ἅψασθαι καὶ συνελθεῖν, φθάσαντες ἐσκέδασαν καὶ τῆς πόλεως ἐξέβαλον, τὸ δὲ φυγεῖν ἧττον ὄν, γύναιά τε καὶ παῖδας, ὑπὲρ ἑπτακοσίους ἀναιροῦσιν· ἔπειτα τούς τε οἴκους ἐξεσκευασμένοι καὶ τῶν καρπῶν τοὺς ἀκμαίους ἁρπάσαντες ἀνήνεγκαν εἰς τὴν Μασάδαν. καὶ οἱ μὲν ἐλῄζοντο πάσας τὰς περὶ τὸ φρούριον κώμας, καὶ τὴν χώραν ἐπόρθουν ἅπασαν, προσδιαφθειρομένων αὐτοῖς καθ' ἡμέραν ἐκασταχόθεν οὐκ ὀλίγων· ἐκινεῖτο δὲ καὶ

Digitized by Google

κατὰ τὰ ἄλλα τῆς Ἰουδαίας κλίματα τὸ τέως ἠρεμοῦν ληστρικόν. καθάπερ δὲ ἐν σώματι, τοῦ κυριωτάτου φλεγμαίνοντος πάντα τὰ μέλη συνενόσει· διὰ γοῦν τὴν ἐν τῇ μητροπόλει στάσιν καὶ ταραχὴν ἄδειαν ἔσχον οἱ κατὰ τὴν χώραν πονηροὶ τῶν ἁρπαγῶν, καὶ τὰς οἰκείας ἕκαστοι κώμας ἁρπάσαντες ἔπειτα εἰς τὴν ἐρημίαν ἀφίσταντο· συναθροιζόμενοί τε καὶ συνομνύμενοι κατὰ λόχους, στρατιᾶς μὲν ὀλιγώτεροι πλείους δὲ λῃστηρίου, προσέπιπτον ἱεροῖς καὶ πόλεσι. καὶ κακοῦσθαι μὲν συνέβαινεν, ἐφ' οὓς ἂν ὁρμήσειαν, ὡς ἐν πολέμῳ καταληφθέντας· φθάνεσθαι δὲ τὰς ἀμύνας ὡς λῃστῶν ἅμα ταῖς ἁρπαγαῖς ἀποδιδρασκόντων. οὐδὲν δὲ μέρος ἦν τῆς Ἰουδαίας ὃ μὴ τῇ προανεχούσῃ πόλει συναπώλλυτο.

ταῦτα Θεσπασιανῷ παρὰ τῶν αὐτομόλων διηγγέλ- 3
λετο. καίπερ γὰρ φρουρούντων τὰς ἐξόδους τῶν στασιαστῶν ἁπάσας καὶ διαφθειρόντων τοὺς ὁπωσοῦν προσιόντας, ὅμως ἦσαν οἳ διελάνθανον καὶ καταφεύγοντες εἰς τοὺς Ῥωμαίους τὸν στρατηγὸν ἐνῆγον ἀμῦναι τῇ πόλει καὶ τὰ τοῦ δήμου περισῶσαι λείψανα· διὰ γὰρ τὴν πρὸς Ῥωμαίους εὔνοιαν ἀνηρῆσθαί τε τοὺς πολλοὺς καὶ κινδυνεύειν τοὺς περιόντας. ὃ δὲ οἰκτείρων ἤδη τὰς συμφορὰς αὐτῶν τῷ μὲν δοκεῖν ἐκπολιορκήσων ἀνίσταται τὰ Ἱεροσόλυμα, τὸ δ' ἀληθὲς ἀπαλλάξων πολιορκίας. ἔδει δὲ προκαταστρέψασθαι τὰ λειπόμενα καὶ μηδὲν ἔξωθεν ἐμπόδιον τῇ πολιορκίᾳ καταλιπεῖν. ἐλθὼν γοῦν ἐπὶ τὰ Γάδαρα μητρόπολιν τῆς Περαίας καρτεράν, τετράδι Δύστρου μηνὸς εἴσεισιν εἰς τὴν πόλιν. καὶ γὰρ ἔτυχον οἱ δυνατοὶ λάθρᾳ τῶν στασιωτῶν πρεσβευσάμενοι πρὸς αὐτὸν περὶ παραδόσεως πόθῳ τε εἰρήνης καὶ διὰ τὰς οὐσίας· πολλοὶ δὲ τὰ Γάδαρα κατῴκουν πλούσιοι. τού-

Digitized by Google

των τὴν πρεσβείαν ἠγνοήκεσαν οἱ διάφοροι, πλησίον δὲ ἤδη ὄντος Ὠεσπασιανοῦ διεπύθοντο. καὶ κατασχεῖν μὲν αὐτοὶ τὴν πόλιν ἀπέγνωσαν δύνασθαι, τῶν τε ἔνδον ἐχθρῶν πλήθει λειπόμενοι καὶ Ῥωμαίους ὁρῶντες οὐ μακρὰν τῆς πόλεως· φεύγειν δὲ κρίναντες ἠδόξουν ἀναιμωτὶ καὶ μηδεμίαν παρὰ τῶν αἰτίων εἰσπραξάμενοι τιμωρίαν. συλλαβόντες δὴ τὸν Δόλεσον (οὗτος γὰρ ἦν οὐ μόνον ἀξιώματι καὶ γένει τῆς πόλεως πρῶτος, ἀλλ' ἐδόκει καὶ τῆς πρεσβείας αἴτιος) κτείνουσί τε αὐτόν, καὶ δι' ὑπερβολὴν ὀργῆς νεκρὸν αἰκισάμενοι διέδρασαν ἐκ τῆς πόλεως. ἐπιούσης δὲ ἤδη τῆς Ῥωμαϊκῆς δυνάμεως ὅ τε δῆμος τῶν Γαδάρων, μετ' εὐφημίας τὸν Ὠεσπασιανὸν εἰσδεξάμενοι, δεξιὰς παρ' αὐτοῦ πίστεως ἔλαβον καὶ φρουρὰν ἱππέων τε καὶ πεζῶν πρὸς τὰς τῶν φυγάδων καταδρομάς· τὸ γὰρ τεῖχος αὐτοὶ πρὶν ἀξιῶσαι Ῥωμαίους καθεῖλον, ὅπως εἴη πίστις αὐτοῖς τοῦ τὴν εἰρήνην ἀγαπᾶν τὸ μηδὲ βουληθέντας πολεμεῖν.

4 Ὠεσπασιανὸς δὲ ἐπὶ μὲν τοὺς διαδράντας ἐκ τῶν Γαδάρων Πλάκιδον σὺν ἱππεῦσι πεντακοσίοις καὶ πεζοῖς τρισχιλίοις πέμπει, μετὰ δὲ τῆς ἄλλης στρατιᾶς αὐτὸς ὑπέστρεψεν εἰς Καισάρειαν. οἱ δὲ φυγάδες ὡς αἰφνίδιον τοὺς διώκοντας ἱππεῖς ἐθεάσαντο, πρὶν εἰς χεῖρας ἐλθεῖν, εἴς τινα κώμην συνειλοῦνται Βηθενναβρὶν προσαγορευομένην. ἐν ᾗ νέων πλῆθος οὐκ ὀλίγον εὑρόντες, καὶ τοὺς μὲν ἑκόντας τοὺς δὲ βίᾳ καθοπλίσαντες εἰκαίως, προπηδῶσιν ἐπὶ τοὺς περὶ τὸν Πλάκιδον. οἱ δὲ πρὸς μὲν τὴν πρώτην ἐμβολὴν ὀλίγον εἶξαν, ἅμα καὶ προκαλέσασθαι τεχνιτεύοντες αὐτοὺς ἀπὸ τοῦ τείχους πορρωτέρω· λαβόντες δὲ εἰς ἐπιτήδειον περιήλαυνόν τε καὶ κατηκόντιζον, καὶ τοὺς μὲν φυγάδας αὐτῶν οἱ ἱππεῖς ὑπετέμνοντο, τὰς συμ-

Digitized by Google

πλοκὰς δὲ τὸ πεζὸν εὐτόνως διέφθειρον. οὐ μέντοι πλεῖόν τι τόλμης ἐπιδεικνύμενοι οἱ Ἰουδαῖοι διεφθείροντο· πεπυκνωμένοις γὰρ προσπίπτοντες τοῖς Ῥωμαίοις, καὶ ταῖς πανοπλίαις ὥσπερ τετειχισμένοις, αὐτοὶ μὲν οὐχ εὕρισκον βέλους παράδυσιν οὐδὲ ηὐτόνουν ῥῆξαι τὴν φάλαγγα, περιεπείροντο δὲ τοῖς ἐκείνων βέλεσι, καὶ τοῖς ἀγριωτάτοις παραπλήσιοι θηρίοις ὥρμων ἐπὶ τὸν σίδηρον. διεφθείροντο δὲ οἳ μὲν κατὰ στόμα παιόμενοι τοῖς ξίφεσιν, οἳ δὲ ὑπὸ τῶν ἱππέων σκεδαννύμενοι· σπουδὴ γὰρ ἦν τῷ Πλακίδῳ τὰς ἐπὶ τὴν κώμην ὁρμὰς αὐτῶν διακλείειν, καὶ συνεχῶς παρελαύνων κατ' ἐκεῖνο τὸ μέρος, ἔπειτα ἐπιστρέφων ἅμα καὶ τοῖς βέλεσι χρώμενος εὐστόχως ἀνῄρει τοὺς πλησιάζοντας καὶ δέει τοὺς πόρρωθεν ἀνέστρεφε, μέχρι βίᾳ διεκπαίοντες οἱ γενναιότατοι πρὸς τὸ τεῖχος διέφυγον. ἀπορία δὲ εἶχε τοὺς φύλακας· οὔτε γὰρ ἀποκλεῖσαι τοὺς ἀπὸ τῶν Γαδάρων ὑπέμενον διὰ τοὺς σφετέρους, καὶ δεξάμενοι συναπολεῖσθαι προσεδόκων. ὃ δὴ καὶ συνέβη· συνωσθέντων γὰρ αὐτῶν εἰς τὸ τεῖχος παρ' ὀλίγον μὲν οἱ τῶν Ῥωμαίων ἱππεῖς συνεισέπεσον, οὐ μὴν ἀλλὰ καὶ φθασάντων ἀποκλεῖσαι τὰς πύλας προσβαλὼν ὁ Πλάκιδος, καὶ μέχρι δείλης γενναίως ἀγωνισάμενος, τοῦ τείχους καὶ τῶν ἐν τῇ κώμῃ ἐκράτει. τὰ μὲν οὖν ἀργὰ πλήθη διεφθείρετο, φυγὴ δὲ ἦν τῶν δυνατωτέρων, τὰς δὲ οἰκίας οἱ στρατιῶται διήρπασαν καὶ τὴν κώμην ἐνέπρησαν. οἱ δὲ διαδράντες ἐξ αὐτῆς τοὺς κατὰ τὴν χώραν συνανέστησαν, καὶ τὰς μὲν αὐτῶν συμφορὰς ἐξαίροντες ἐπὶ μεῖζον, τὴν δὲ Ῥωμαίων στρατιὰν πᾶσαν ἐπιέναι λέγοντες, πάντας πανταχόθεν ἐξέσεισαν τῷ δέει. γενόμενοί τε παμπληθεῖς ἔφευγον ἐπὶ Ἰεριχοῦντος· αὕτη γὰρ ἔτι μόνη τὰς ἐλπίδας αὐτῶν ἔθαλπε τῆς σωτηρίας, καρ-

Digitized by Google

τερὰ τείχει τε καὶ πλήθει οἰκητόρων τυγχάνουσα. Πλάκιδος δὲ τοῖς ἱππεῦσι καὶ ταῖς προαγούσαις εὐπραγίαις τεθαρρηκὼς εἵπετο, καὶ μέχρι μὲν Ἰορδάνου τοὺς ἀεὶ καταλαμβανομένους ἀνῄρει, συνελάσας δὲ πρὸς τὸν ποταμὸν πᾶν τὸ πλῆθος, εἰργομένους ὑπὸ τοῦ ῥεύματος (τραφὲν γὰρ ὑπ' ὄμβρων ἄβατον ἦν), ἀντικρὺ παρετάσσετο. παρώξυνε δὲ ἡ ἀνάγκη πρὸς μάχην τοὺς φυγῆς τόπον οὐκ ἔχοντας, καὶ ταῖς ὄχθαις ἐπὶ μήκιστον παρεκτείναντες σφᾶς αὐτοὺς ἐδέχοντο τὰ βέλη καὶ τὰς τῶν ἱππέων ἐμβολάς, οἳ πολλοὺς αὐτῶν παίοντες εἰς τὸ ῥεῦμα κατέβαλον. καὶ τὸ μὲν ἐν χερσὶν αὐτῶν διαφθαρὲν μύριοι πεντακισχίλιοι, τὸ δὲ βιασθὲν ἐμπηδῆσαι ἀκουσίως εἰς τὸν Ἰορδάνην πλῆθος ἄπειρον ἦν. ἑάλωσαν δὲ περὶ δισχιλίους καὶ διακοσίους, λεία τε παμπληθὴς ὄνων τε καὶ προβάτων καὶ καμήλων καὶ βοῶν.

6 Ἰουδαίοις μὲν οὖν οὐδὲν ἐλάττων ἦδε ἡ πληγὴ προσπεσοῦσα καὶ μείζων ἔδοξεν ἑαυτῆς διὰ τὸ μὴ μόνον τὴν χώραν ἅπασαν δι' ἧς ἔφευγον πληρωθῆναι φόνου, μηδὲ νεκροῖς διαβατὸν γενέσθαι τὸν Ἰορδάνην, ἐμπλησθῆναι δὲ τῶν σωμάτων καὶ τὴν Ἀσφαλτῖτιν λίμνην, εἰς ἣν παμπληθεῖς ὑπὸ τοῦ ποταμοῦ κατεσύρησαν. Πλάκιδος δὲ δεξιᾷ τύχῃ χρώμενος ὥρμησεν ἐπὶ τὰς πέριξ πολίχνας τε καὶ κώμας, καταλαμβανόμενός τε Ἄβιλα καὶ Ἰουλιάδα καὶ Βησιμωθ τάς τε μέχρι τῆς Ἀσφαλτίτιδος πάσας ἐγκαθίστησιν ἑκάστῃ τοὺς ἐπιτηδείους τῶν αὐτομόλων. ἔπειτα σκάφεσιν ἐπιβήσας τοὺς στρατιώτας ἀναιρεῖ τοὺς εἰς τὴν λίμνην καταφυγόντας.

καὶ τὰ μὲν κατὰ τὴν Περαίαν προσεχώρησεν ἡ
8 ἑάλω πάντα μέχρι Μαχαιροῦντος· ἐν δὲ τούτῳ τὸ περὶ τὴν Γαλατίαν ἀγγέλλεται κίνημα καὶ Ἰσίνδιξ ἅμα τοῖς

Digitized by Google

δυνατοῖς τῶν ἐπιχωρίων ἀφεστὼς Νέρωνος, περὶ ὧν ἐν ἀκριβεστέροις ἀναγέγραπται. Οὐεσπασιανὸν δὲ ἐπήγειρεν εἰς τὴν ὁρμὴν τοῦ πολέμου τὰ ἠγγελμένα, προορώμενον ἤδη τοὺς μέλλοντας ἐμφυλίους πολέμους καὶ τὸν ὅλης κίνδυνον τῆς ἡγεμονίας, ἐν ᾧ προειρηνεύσας τὰ κατὰ τὴν ἀνατολὴν ἐπικουφίσειν ᾤετο τοὺς κατὰ τὴν Ἰταλίαν φόβους. ἕως μὲν οὖν ἐπεῖχεν ὁ χειμών, τὰς ὑπηγμένας διησφαλίζετο κώμας τε καὶ πολίχνας φρουραῖς, δεκαδάρχας μὲν κώμαις ἐγκαθιστὰς ἑκατοντάρχας δὲ πόλεσι· πολλὰ δὲ ἀνῴκιζε καὶ τῶν πεπορθημένων. ὑπὸ δὲ τὴν ἀρχὴν τοῦ ἔαρος ἀναλαβὼν τὸ πλέον τῆς δυνάμεως, ἦγαγεν ἀπὸ τῆς Καισαρείας ἐπὶ Ἀντιπατρίδος, ἔνθα δυσὶν ἡμέραις κατασταθμήσας τὴν πόλιν, τῇ τρίτῃ προῆει πορθῶν καὶ καίων τὰς πέριξ πάσας. καταστρεψάμενος δὲ τὰ περὶ τὴν Θαμνᾶ τοπαρχίαν, ἐπὶ Λύδδων καὶ Ἰαμνείας ἐχώρει, καὶ προκεχειρωμέναις ἑκατέραις ἐγκαταστήσας οἰκήτορας τῶν προσκεχωρηκότων ἱκανοὺς εἰς Ἀμμαοῦντα ἀφικνεῖται. καταλαβόμενος δὲ τὰς ἐπὶ τὴν μητρόπολιν αὐτῶν εἰσβολὰς στρατόπεδόν τε τειχίζει, καὶ τὸ πέμπτον ἐν αὐτῇ τάγμα καταλιπὼν πρόσεισι μετὰ τῆς ἄλλης δυνάμεως ἐπὶ τὴν Βεθλεπτηφῶν τοπαρχίαν. πυρὶ δὲ αὐτήν τε καὶ τὴν γειτνιῶσαν ἀνελὼν, καὶ τὰ πέριξ τῆς Ἰδουμαίας φρούρια τοῖς ἐπικαίροις τόποις ἐπετείχισε· καταλαβόμενος δὲ δύο κώμας τὰς μεσαιτάτας τῆς Ἰδουμαίας, Βήταριν καὶ Καφάρτοβαν, κτείνει μὲν ὑπὲρ μυρίους αἰχμαλωτίζεται δὲ ὑπὲρ χιλίους, καὶ τὸ λοιπὸν πλῆθος ἐξελάσας ἐγκαθίστησι τῆς ἰδίας δυνάμεως οὐκ ὀλίγην, οἳ κατατρέχοντες ἐπόρθουν ἅπασαν τὴν ὀρεινήν. αὐτὸς δὲ μετὰ τῆς λοιπῆς δυνάμεως ὑπέστρεψεν εἰς Ἀμμαοῦντα, ὅθεν διὰ τῆς Σαμαρείτιδος καὶ παρὰ τὴν Νεάπολιν καλουμένην, Μα-

Digitized by Google

βορρᾶ δὲ ὑπὸ τῶν ἐπιχωρίων, καταβὰς εἰς Κορέαν δευτέρᾳ Δαισίου μηνὸς στρατοπεδεύεται. τῇ δὲ ἑξῆς εἰς Ἰεριχοῦντα ἀφικνεῖται, καθ' ἣν αὐτῷ συμμίσγει Τραϊανὸς εἷς τῶν ἡγεμόνων, τὴν ἐκ τῆς Περαίας ἄγων δύναμιν, ἤδη τῶν ὑπὲρ τὸν Ἰορδάνην κεχειρωμένων.

2 τὸ μὲν οὖν πολὺ πλῆθος ἐκ τῆς Ἰεριχοῦντος φθάσαν τὴν ἔφοδον αὐτῶν εἰς τὴν ἀντικρυς Ἱεροσολύμων ὀρεινὴν διαπεφεύγει, καταλειφθὲν δὲ οὐκ ὀλίγον διαφθείρεται. τὴν δὲ πόλιν ἔρημον κατειλήφεσαν, ἥτις ἵδρυται μὲν ἐν πεδίῳ, ψιλὸν δὲ ὑπέρκειται αὐτῆς καὶ ἄκαρπον ὄρος μήκιστον· κατὰ μὲν γὰρ τὸ βόρειον κλίμα μέχρι τῆς Σκυθοπολιτῶν γῆς ἐκτείνεται, κατὰ δὲ τὸ μεσημβρινὸν μέχρι τῆς Σοδομιτῶν χώρας καὶ τῶν περάτων τῆς Ἀσφαλτίτιδος, ἔστι δὲ ἀνώμαλόν τε πᾶν καὶ ἀοίκητον διὰ τὴν ἀγονίαν. ἀντίκειται δὲ τούτῳ τὸ περὶ Ἰορδάνην ὄρος, ἀρχόμενον ἀπὸ Ἰουλιάδος καὶ τῶν βορείων κλιμάτων, παρατεῖνον δὲ εἰς μεσημβρίαν ἕως Σομόρρων, ἥπερ ὁρίζει τὴν Πέτραν τῆς Ἀραβίας. ἐν τούτῳ δὲ ἔστι καὶ τὸ Σιδηροῦν καλούμενον ὄρος, μηκυνόμενον μέχρι τῆς Μωαβίτιδος. ἡ μέση δὲ τῶν δύο ὀρέων χώρα τὸ μέγα πεδίον καλεῖται, ἀπὸ κώμης Γινναβρὶν διῆκον μέχρι τῆς Ἀσφαλτίτιδος λίμνης. ἔστι δ' αὐτοῦ μῆκος μὲν σταδίων τριάκοντα καὶ διακοσίων, εὖρος δὲ εἴκοσι καὶ ἑκατόν· καὶ μέσον ὑπὸ τοῦ Ἰορδάνου τέμνεται, λίμνας τε ἔχει τήν τε Ἀσφαλτῖτιν καὶ τὴν Τιβεριέων, φύσιν ἐναντίας· ἡ μὲν γὰρ ἀλμυρώδης καὶ ἄγονος, ἡ Τιβεριέων δὲ γλυκεῖα καὶ γόνιμος. ἐκπυροῦται δὲ ὥρᾳ θέρους τὸ πεδίον, καὶ δι' ὑπερβολὴν αὐχμοῦ περιέχει νοσώδη τὸν ἀέρα· πᾶν γὰρ ἄνυδρον πλὴν τοῦ Ἰορδάνου, παρὸ καὶ τοὺς μὲν ἐπὶ ταῖς ὄχθαις φοινικῶνας εὐθαλεστέρους

Digitized by Google

καὶ πολυφορωτέρους εἶναι συμβέβηκεν, ἧττον δὲ τοὺς πόρρω κεχωρισμένους.

παρὰ μέντοι τὴν Ἰεριχοῦντα ἔστι πηγὴ δαψιλής τε καὶ πρὸς ἀρδείας λιπαρωτάτη, παρὰ τὴν παλαιὰν ἀναβλύζουσα πόλιν, ἣν Ἰησοῦς ὁ Ναυῆ παῖς, στρατηγὸς Ἑβραίων, πρώτην εἶλε γῆς Χαναναίων δορίκτητον. ταύτην τὴν πηγὴν λόγος ἔχει κατ' ἀρχὰς οὐ μόνον γῆς καὶ δένδρων καρποὺς ἀπαμβλύνειν ἀλλὰ καὶ γυναικῶν γονάς, καθόλου τε πᾶσιν εἶναι νοσώδη τε καὶ φθαρτικήν· ἐξημερωθῆναι δὲ καὶ γενέσθαι τοὐναντίον ὑγιεινοτάτην τε καὶ γονιμωτάτην ὑπὸ Ἐλισσαίου τοῦ προφήτου. γνώριμος δ' ἦν οὗτος Ἠλίᾳ καὶ διάδοχος, ὃς ἐπιξενωθεὶς τοῖς κατὰ τὴν Ἰεριχοῦντα, περισσὸν δή τι φιλοφρονησαμένων αὐτὸν τῶν ἀνθρώπων, αὐτούς τε ἀμείβεται καὶ τὴν χώραν αἰωνίῳ χάριτι ἐδωρήσατο. προελθὼν γὰρ ἐπὶ τὴν πηγὴν καὶ καταβαλὼν εἰς τὸ ῥεῦμα πλῆρες ἁλῶν ἀγγεῖον κεράμου, ἔπειτα εἰς οὐρανὸν δεξιὰν ἀνατείνας δικαίαν καὶ πηγῇ σπονδὰς μειλικτηρίους χεόμενος, τὴν μὲν ἠτεῖτο μαλάξαι τὸ ῥεῦμα καὶ γλυκυτέρας φλέβας ἀνοῖξαι, τὸν δὲ ἐγκεράσασθαι τῷ ῥεύματι γονιμωτέρους ἀέρας, δοῦναί τε ἅμα καὶ καρπῶν εὐθηνίαν τοῖς ἐπιχωρίοις καὶ τέκνων διαδοχήν, μηδὲ ἐπιλιπεῖν αὐτοῖς τὸ τούτων γεννητικὸν ὕδωρ, ἕως μένουσι δίκαιοι. ταύταις ταῖς εὐχαῖς, πολλὰ προχειρουργήσας ἐξ ἐπιστήμης, ἔτρεψε τὴν πηγήν, καὶ τὸ πρὶν ὀρφανίας αὐτοῖς καὶ λιμοῦ παραίτιον ὕδωρ ἐκ τότε εὐτεκνίας καὶ κόρου χορηγὸν κατέστη. τοσαύτην γοῦν ἐν ταῖς ἀρδείαις ἔχει δύναμιν ὡς εἰ καὶ μόνον ἐφάψαιτο τῆς χώρας, νοστιμώτερον εἶναι τῶν μέχρι κόρου χρονιζόντων· παρὸ καὶ τῶν μὲν δαψιλέστερον χρωμένων ἡ ὄνησίς ἐστιν ὀλίγη, τούτου δὲ τοῦ ὀλίγου ἡ χορηγία δαψιλής. ἄρδει γοῦν πλέον

Digitized by Google

τῶν ἄλλων ἁπάντων, καὶ πεδίον μὲν ἔπεισιν ἑβδομήκοντα σταδίων μῆκος, εὖρος δὲ εἴκοσιν, ἐπιτρέφει τε ἐν αὐτῷ παραδείσους καλλίστους τε καὶ πυκνοτάτους· τῶν δὲ φοινίκων ἐπαρδομένων γένη πολλά, ταῖς γεύσεσι καὶ ταῖς παρηγορίαις διάφορα. τούτων οἱ πιότεροι πατούμενοι καὶ μέλι δαψιλὲς ἀνιᾶσιν, οὐ πολλῷ τοῦ λοιποῦ χεῖρον· καὶ μελιττοτρόφος δὲ ἡ χώρα. φέρει δὲ καὶ ὀποβάλσαμον, ὃ δὴ τιμιώτατον τῶν τῇδε καρπῶν, κύπρον τε καὶ μυροβάλανον, ὡς οὐκ ἂν ἁμαρτεῖν τινὰ εἰπόντα θεῖον εἶναι τὸ χωρίον, ἐν ᾧ δαψιλῆ τὰ σπανιώτατα καὶ κάλλιστα γεννᾶται. τῶν μὲν γὰρ ἄλλων αὐτῷ καρπῶν ἕνεκεν οὐκ ἂν ῥᾳδίως τι παραβληθείη κλίμα τῆς οἰκουμένης· οὕτω τὸ καταβληθὲν πολύχουν ἀποδίδωσιν. αἴτιον δέ μοι δοκεῖ τὸ θερμὸν τῶν ἀέρων καὶ τὸ τῶν ὑδάτων εὔγονον, τῶν μὲν προκαλουμένων τὰ φυόμενα καὶ διαχεόντων, τῆς δὲ ἰκμάδος ῥιζούσης ἕκαστον ἰσχυρῶς καὶ χορηγούσης τὴν ἐν θέρει δύναμιν. περικαὲς δέ ἐστιν οὕτω τὸ χωρίον ὡς μηδένα ῥᾳδίως προϊέναι. τὸ δὲ ὕδωρ πρὸ ἀνατολῆς ἡλίου ἀντλούμενον, ἔπειτα ἐξαιθριασθὲν γίνεται ψυχρότατον καὶ τὴν ἐναντίαν πρὸς τὸ περιέχον φύσιν λαμβάνει· χειμῶνος δὲ ἀνάπαλιν χλιαίνεται καὶ τοῖς ἐμβαίνουσι γίνεται προσηνέστατον. ἔστι δὲ καὶ τὸ περιέχον οὕτως εὔκρατον ὡς λινοῦν ἀμφιέννυσθαι τοὺς ἐπιχωρίους νιφομένης τῆς ἄλλης Ἰουδαίας. ἀπέχει δὲ Ἱεροσολύμων μὲν σταδίους ἑκατὸν πεντήκοντα, τοῦ δὲ Ἰορδάνου ἑξήκοντα. καὶ τὸ μὲν μέχρι Ἱεροσολύμων αὐτῆς ἔρημον καὶ πετρῶδες, τὸ δὲ μέχρι τοῦ Ἰορδάνου καὶ τῆς Ἀσφαλτίτιδος χθαμαλώτερον μέν, ἔρημον δὲ ὁμοίως καὶ ἄκαρπον.

ἀλλὰ τὰ μὲν περὶ Ἰεριχοῦντα εὐδαιμονεστάτην 4 οὖσαν ἀποχρώντως δεδήλωται· ἄξιον δὲ ἀφηγήσασθαι

Digitized by Google

καὶ τὴν φύσιν τῆς Ἀσφαλτίτιδος λίμνης, ἥτις ἐστὶ πικρὰ μέν, ὡς ἔφην, καὶ ἄγονος, ὑπὸ δὲ κουφότητος καὶ τὰ βαρύτατα τῶν εἰς αὐτὴν ῥιφέντων ἀναφέρει, καταδῦναι δὲ εἰς τὸν βυθὸν οὐδὲ ἐπιτηδεύσαντα ῥᾴδιον. ἀφικόμενος γοῦν καθ' ἱστορίαν ἐπ' αὐτὴν Ὀεσπασιανὸς ἐκέλευσέ τινας τῶν νεῖν οὐκ ἐπισταμένων, δεθέντας ὀπίσω τὰς χεῖρας, ῥιφῆναι κατὰ τοῦ βυθοῦ· καὶ συνέβη πάντας ἐπινήξασθαι, καθάπερ ὑπὸ πνεύματος ἄνω βιαζομένους. ἔστι δὲ ἐπὶ τούτῳ καὶ ἡ τῆς χρόας μεταβολὴ θαυμάσιος· τρὶς γὰρ ἑκάστης ἡμέρας τὴν ἐπιφάνειαν ἀλλάσσεται, καὶ πρὸς τὰς ἡλιακὰς ἀκτῖνας ἀνταυγεῖ ποικίλως. τῆς μέντοι ἀσφάλτου κατὰ πολλὰ μέρη βώλους μελαίνας ἀναδίδωσιν. αἳ δὲ ἐπινήχονται τό τε σχῆμα καὶ τὸ μέγεθος ταύροις ἀκεφάλοις παραπλήσιαι. προσελαύνοντες δὲ οἱ τῆς λίμνης ἐργάται, καὶ δρασσόμενοι τοῦ συνεστῶτος, ἕλκουσιν εἰς τὰ σκάφη· πληρώσασι δὲ ἀποκόπτειν οὐ ῥᾴδιον, ἀλλὰ δι' εὐτονίαν προσήρτηται τῷ μηρύματι τὸ σκάφος, ἕως ἂν ἐμμηνίῳ γυναικῶν αἵματι καὶ οὔρῳ διαλύσωσιν αὐτήν, οἷς μόνοις εἴκει. καὶ χρήσιμος δὲ οὐ μόνον εἰς ἁρμονίας νεῶν ἀλλὰ καὶ πρὸς ἄκεσιν σωμάτων· εἰς πολλὰ γοῦν τῶν φαρμάκων παραμίσγεται. ταύτης τῆς λίμνης μῆκος μὲν ὀγδοήκοντα καὶ πεντακόσιοι στάδιοι, καθ' ὃ δὴ μέχρι Ζοάρων τῆς Ἀραβίας ἐκτείνεται, εὖρος δὲ πεντήκοντα καὶ ἑκατόν. γειτνιᾷ δὲ ἡ Σοδομῖτις αὐτῇ, πάλαι μὲν εὐδαίμων γῆ καρπῶν τε ἕνεκα καὶ τῆς κατὰ πόλεις περιουσίας, νῦν δὲ κεκαυμένη πᾶσα. φασὶ δὲ ὡς δι' ἀσέβειαν οἰκητόρων κεραυνοῖς κατεφλέγη· ἔστι γοῦν ἔτι λείψανα τοῦ θείου πυρός, καὶ πέντε μὲν πόλεων ἰδεῖν σκιάς, ἔτι δὲ κἂν τοῖς καρποῖς σποδιὰν ἀναγεννωμένην, οἳ χρόαν μὲν ἔχουσι τοῖς ἐδωδίμοις

Digitized by Google

ὁμοίαν, δρεψαμένων δὲ χερσὶν εἰς καπνὸν ἀναλύονται καὶ τέφραν.

τὰ μὲν δὴ περὶ τὴν Σοδομῖτιν μυθευόμενα τοι-
9 αύτην ἔχει πίστιν ἀπὸ τῆς ὄψεως· ὁ δὲ Οὐεσπασιανὸς πανταχόσε περιτειχίζων τοὺς ἐν τοῖς Ἱεροσολύμοις, ἔν τε τῇ Ἰεριχοῖ καὶ ἐν Ἀδίδοις ἐγείρει στρατόπεδα, καὶ φρουρὰς ἀμφοτέραις ἐγκαθίστησιν ἔκ τε τοῦ Ῥωμαϊκοῦ καὶ συμμαχικοῦ τάγματος. πέμπει δὲ καὶ εἰς Γέρασα Λούκιον Ἄννιον, παραδοὺς μοῖραν ἱππέων καὶ συχνοὺς πεζῶν. ὃ μὲν οὖν ἐξ ἐφόδου ἑλὼν τὴν πόλιν ἀπο-
κτείνει μὲν χιλίους τῶν νέων, ὅσοι μὴ διαφυγεῖν ἔφθασαν, γενεὰς δὲ ᾐχμαλωτίσατο, καὶ τὰς κτήσεις διαρπάσαι τοῖς στρατιώταις ἐπέτρεψεν· ἔπειτα τὰς οἰκίας ἐμπρήσας ἐπὶ τὰς πέριξ κώμας ἐχώρει. φυγαὶ δὲ ἦσαν τῶν δυνατῶν καὶ φθοραὶ τῶν ἀσθενεστέρων· τὸ καταλειφθὲν δὲ πᾶν ἐνεπίμπρατο. καὶ διειληφότος τοῦ πολέμου τήν τε ὀρεινὴν ὅλην καὶ τὴν πεδιάδα πᾶσαν, οἱ ἐν τοῖς Ἱεροσολύμοις τὰς ἐξόδους ἀφῄρηντο· τοὺς μὲν γὰρ αὐτομολεῖν προαιρουμένους οἱ ζηλωταὶ παρεφυλάσσοντο, τοὺς δὲ οὔπω τὰ Ῥωμαίων φρονοῦν-
τας εἶργεν ἡ στρατιά, πανταχόθεν τὴν πόλιν περι-
έχουσα.

2 Οὐεσπασιανῷ δὲ εἰς Καισάρειαν ἐπιστρέψαντι, καὶ παρασκευαζομένῳ μετὰ πάσης τῆς δυνάμεως ἐπ' αὐτοὺς τῶν Ἱεροσολύμων ἐξελαύνειν, ἀγγέλλεται Νέρων ἀνη-
ρημένος, τριακαίδεκα βασιλεύσας ἔτη καὶ ἡμέρας ὀκτὼ περὶ οὗ λέγειν ὃν τρόπον εἰς τὴν ἀρχὴν ἐξύβρισε, πιστεύσας τὰ πράγματα τοῖς πονηροτάτοις, Νυμφιδίῳ καὶ Τιγελλίνῳ, τοῖς τε ἀναξίοις τῶν ἐξελευθέρων, καὶ ὡς ὑπὸ τούτων ἐπιβουλευθεὶς κατελείφθη μὲν ὑπὸ τῶν φυλάκων ἁπάντων, διαδρὰς δὲ σὺν τέσσαρσι τῶν πιστῶν ἀπελευθέρων ἐν τοῖς προαστείοις ἑαυτὸν ἀνεῖλε.

Digitized by Google

καὶ ὡς οἱ καταλύσαντες αὐτὸν μετ' οὐ πολὺν χρόνον δίκας ἔδοσαν, τόν τε κατὰ τὴν Γαλατίαν πόλεμον ὡς ἐτελεύτησε, καὶ πῶς Γάλβας ἀποδειχθεὶς αὐτοκράτωρ εἰς Ῥώμην ἐπανῆλθεν ἐκ τῆς Ἱσπανίας, καὶ ὡς ὑπὸ τῶν στρατιωτῶν αἰτιαθεὶς ἐπὶ ταπεινοφροσύνῃ ἐδολοφονήθη κατὰ μέσην τὴν Ῥωμαίων ἀγοράν, ἀποδειχθη τε αὐτοκράτωρ Ὄθων, τήν τε τούτου στρατείαν ἐπὶ τοὺς Ὀυιτελλίου στρατηγοὺς καὶ κατάλυσιν, ἔπειτα τοὺς κατὰ Ὀυιτέλλιον ταράχους, καὶ τὴν περὶ τὸ Καπετώλιον συμβολήν, ὅπως τε Ἀντώνιος Πρῖμος καὶ Μουκιανός, διαφθείραντες Ὀυιτέλλιον καὶ τὰ Γερμανικὰ τάγματα, κατέστειλαν τὸν ἐμφύλιον πόλεμον, — πάντα ταῦτα διεξιέναι μὲν ἐπ' ἀκριβὲς παρητησάμην, ἐπειδὴ δι' ὅλου πᾶσίν ἐστι καὶ πολλοῖς Ἑλλήνων τε καὶ Ῥωμαίων ἀναγέγραπται, συναφείας δὲ ἕνεκα τῶν πραγμάτων καὶ τοῦ μὴ διηρτῆσθαι τὴν ἱστορίαν κεφαλαιωδῶς ἕκαστον ἐπεσημηνάμην. Ὀυεσπασιανὸς τοίνυν τὸ μὲν πρῶτον ἀνεβάλλετο τὴν τῶν Ἱεροσολύμων στρατείαν, παραδοκῶν πρὸς τίνα ῥέψει τὸ κρατεῖν μετὰ Νέρωνα· αὖθις δὲ Γάλβαν ἀκούσας αὐτοκράτορα, πρὶν ἐπιστεῖλαί τι περὶ τοῦ πολέμου κἀκεῖνον, οὐκ ἐπεγείρει, πέμπει δὲ πρὸς αὐτὸν τὸν υἱὸν Τίτον ἀσπασόμενόν τε καὶ ληψόμενον τὰς περὶ Ἰουδαίων ἐντολάς. τῆς αὐτῆς δὲ αἰτίας ἅμα Τίτῳ καὶ Ἀγρίππας ὁ βασιλεὺς πρὸς Γάλβαν ἔπλει. καὶ διὰ τῆς Ἀχαΐας (χειμῶνος γὰρ ἦν ὥρα) μακραῖς ναυσὶ περιπλεόντων φθάνει Γάλβας ἀναιρεθείς, μετὰ μῆνας ἑπτὰ καὶ ἴσας ἡμέρας, ἐξ οὗ τὴν ἡγεμονίαν παρέλαβεν Ὄθων, ἀντιποιούμενος τῶν πραγμάτων. ὁ μὲν οὖν Ἀγρίππας εἰς τὴν Ῥώμην ἀφικέσθαι διέγνω, μηδὲν ὁρρωδήσας πρὸς τὴν μεταβολήν· Τίτος δὲ κατὰ δαιμόνιον ὁρμὴν ἀπὸ τῆς Ἑλλάδος εἰς τὴν Συρίαν ἔπλει,

Digitized by Google

καὶ κατὰ τάχος εἰς Καισάρειαν ἀφικνεῖται πρὸς τὸν πατέρα.

καὶ οἱ μὲν μετέωροι περὶ τῶν ὅλων ὄντες ὡς ἂν σαλευομένης τῆς Ῥωμαίων ἡγεμονίας, ὑπερεώρων τὴν ἐπὶ Ἰουδαίους στρατείαν, καὶ διὰ τὸν περὶ τῆς πατρίδος φόβον τὴν ἐπὶ τοὺς ἀλλοφύλους ὁρμὴν ἄωρον
3 ἐνόμιζον· ἐπανίστατο δὲ ἄλλος τοῖς Ἱεροσολύμοις πόλεμος. υἱὸς ἦν Γιώρα, Σίμων τις, Γερασηνὸς τὸ γένος, νεανίας πανουργίᾳ μὲν ἡττώμενος Ἰωάννου τοῦ προκατέχοντος ἤδη τὴν πόλιν, ἀλκῇ δὲ σώματος καὶ τόλμῃ διαφέρων, δι' ἣν καὶ ὑπὸ Ἀνάνου τοῦ ἀρχιερέως φυγαδευθεὶς ἐξ ἧς ἦρχε τοπαρχίας Ἀκραβατηνῆς πρὸς τοὺς κατειληφότας τὴν Μασάδαν λῃστὰς παραγίνεται. τὸ μὲν οὖν πρῶτον ἦν αὐτοῖς δι' ὑποψίας· εἰς τὸ κατωτέρω γοῦν φρούριον ἐπέτρεψαν αὐτῷ παρελθεῖν ἅμα ταῖς γυναιξὶν ἃς ἄγων ἦκεν, αὐτοὶ τὸ ὑψηλότερον οἰκοῦντες. αὖθις δὲ διὰ συγγένειαν ἤθων, καὶ ὅτι πιστὸς ἐδόκει, συμπροενύμευε γοῦν αὐτοῖς ἐξιὼν καὶ συνεπόρθει τὰ περὶ τὴν Μασάδαν. οὐ μὴν ἐπὶ τὰ μείζω παρακαλῶν ἔπειθεν· οἱ μὲν γὰρ ἐν ἔθει ὄντες τῷ φρουρίῳ καθάπερ φωλεοῦ χωρίζεσθαι μακρὰν ἐδεδοίκεσαν, ὃ δὲ τυραννιῶν καὶ μεγάλων ἐφιέμενος, ἐπειδὴ καὶ τὴν Ἀνάνου τελευτὴν ἤκουσεν, εἰς τὴν ὀρεινὴν ἀφίσταται, καὶ προκηρύξας δούλοις μὲν ἐλευθερίαν, γέρας δὲ ἐλευθέροις, τοὺς πανταχόθεν
4 πονηροὺς συνήθροιζεν. ὡς δὲ ἦν αὐτῷ καρτερὸν ἤδη τὸ σύνταγμα, τὰς ἀνὰ τὴν ὀρεινὴν κώμας κατέτρεχεν· ἀεὶ δὲ προσγινομένων αὐτῷ πλειόνων, ἐθάρρει καταβαίνειν εἰς τὰ χθαμαλώτερα. κἀπειδὴ πόλεσιν ἤδη φοβερὸς ἦν, πολλοὶ πρὸς τὴν ἰσχὺν καὶ τὴν εὕροιαν τῶν κατορθωμάτων ἐφθείροντο δυνατοί· καὶ οὐκέτι ἦν δούλων μόνον οὐδὲ λῃστῶν στρατός,

Digitized by Google

ἀλλὰ καὶ δημοτικῶν οὐκ ὀλίγων, ὡς πρὸς βασιλέα πειθαρχούντων. κατέτρεχε δὲ τὴν Ἀκραβατηνὴν τοπαρχίαν καὶ τὰ μέχρι τῆς μεγάλης Ἰδουμαίας. κατὰ γὰρ κώμην τινὰ καλουμένην Ναΐν τεῖχος κατασκευάσας ὥσπερ φρουρίῳ πρὸς ἀσφάλειαν ἐχρῆτο· κατὰ δὲ τὴν Φαρὰν προσαγορευομένην φάραγγα πολλὰ μὲν ἀνευρύνας σπήλαια πολλὰ δὲ εὑρὼν ἕτοιμα, ταμιείοις ἐχρῆτο θησαυρῶν καὶ τῆς λείας. ἐκδοχείοις. ἀνετίθει δὲ καὶ τοὺς ἁρπαζομένους εἰς αὐτὰ καρπούς, οἵ τε πολλοὶ τῶν λόχων ὅλαιταν εἶχον ἐν ἐκείνοις. δῆλος δὲ ἦν τό τε σύνταγμα προγυμνάζων καὶ τὰς παρασκευὰς κατὰ τῶν Ἱεροσολύμων.

Ὅθεν οἱ ζηλωταὶ δείσαντες αὐτοῦ τὴν ἐπιβουλήν, καὶ προλαβεῖν βουλόμενοι τὸν κατ' αὐτῶν τρεφόμενον, ἐξίασι μετὰ τῶν ὅπλων οἱ πλείους. ὑπαντιάζει δὲ Σίμων, καὶ παραταξάμενος συχνοὺς μὲν αὐτῶν ἀναιρεῖ, συνελαύνει δὲ τοὺς λοιποὺς εἰς τὴν πόλιν. οὔπω δὲ θαρρῶν τῇ δυνάμει τοῦ μὲν τοῖς τείχεσι προσβαλεῖν ἀπετράπη, χειρώσασθαι δὲ πρότερον τὴν Ἰδουμαίαν ἐπεβάλετο. καὶ δὴ δισμυρίους ἔχων ὁπλίτας ἤλαυνεν ἐπὶ τοὺς ὅρους αὐτῆς. οἱ δὲ ἄρχοντες τῶν Ἰδουμαίων κατὰ τάχος ἀθροίσαντες ἐκ τῆς χώρας τὸ μαχιμώτατον, περὶ πεντακισχιλίους καὶ δισμυρίους, τοὺς δὲ πολλοὺς ἐάσαντες φρουρεῖν τὰ σφέτερα διὰ τὰς τῶν ἐν Μασάδᾳ σικαρίων καταδρομάς, ἐδέχοντο τὸν Σίμωνα πρὸς τοῖς ὅροις. ἔνθα συμβαλὼν αὐτοῖς καὶ δι' ὅλης πολεμήσας ἡμέρας οὔτε νενικηκὼς οὔτε νενικημένος διεκρίθη. καὶ ὁ μὲν εἰς τὴν Ναΐν, οἱ δὲ Ἰδουμαῖοι διελύθησαν ἐπ' οἶκου. καὶ μετ' οὐ πολὺ Σίμων μείζονι δυνάμει πάλιν εἰς τὴν χώραν αὐτῶν ὥρμητο· στρατοπεδευσάμενος δὲ κατά τινα κώμην ἣ

Digitized by Google

Θεκωὲ καλεῖται, πρὸς τοὺς ἐν Ἡρωδείῳ φρουρούς, ὅπερ ἦν πλησίον, Ἐλεάζαρόν τινα τῶν ἑταίρων ἔπεμψε πείσοντα παραδοῦναι τὸ ἔρυμα. τοῦτον οἱ φύλακες ἑτοίμως ἐδέξαντο, τὴν αἰτίαν ἀγνοοῦντες δι' ἣν ἥκει· φθεγξάμενον δὲ περὶ παραδόσεως ἐδίωκον σπασάμενοι τὰ ξίφη, μέχρι φυγῆς τόπον οὐκ ἔχων ἔρριψεν ἀπὸ τοῦ τείχους ἑαυτὸν εἰς τὴν ὑποκειμένην φάραγγα. καὶ ὃ μὲν αὐτίκα τελευτᾷ, τοῖς δὲ Ἰδουμαίοις ἤδη κατορρωδοῦσι τὴν ἰσχὺν τοῦ Σίμωνος, ἔδοξε πρὸ τοῦ συμβαλεῖν κατασκέψασθαι τὴν στρατιὰν τῶν πολεμίων.

6 εἰς τοῦτο δὲ ὑπηρέτην ἑαυτὸν ἑτοίμως ἐπεδίδου Ἰάκωβος, εἷς τῶν ἡγεμόνων, προδοσίαν ἐνθυμούμενος. ὁρμήσας γοῦν ἀπὸ τῆς Ἄλούρου (κατὰ γὰρ ταύτην συνήθροιστο τὴν κώμην τότε τῶν Ἰδουμαίων τὸ στράτευμα) παραγίνεται πρὸς Σίμωνα, καὶ πρώτην αὐτῷ παραδώσειν συντίθεται τὴν αὐτοῦ πατρίδα, λαβὼν ὅρκους ὡς ἀεὶ τίμιος ὢν διατελέσει, συνεργήσειν δὲ ὑπέσχετο καὶ περὶ τῆς ὅλης Ἰδουμαίας. ἐφ' οἷς ἑστιαθεὶς φιλοφρόνως ὑπὸ τοῦ Σίμωνος καὶ λαμπραῖς ἐπαρθεὶς ὑποσχέσεσιν, ἐπειδήπερ εἰς τοὺς σφετέρους ὑπέστρεψεν, τὸ μὲν πρῶτον πολλαπλασίονα τὴν στρατιὰν τοῦ Σίμωνος ἐψεύδετο, ἔπειτα δεξιούμενος τούς τε ἡγεμόνας καὶ κατ' ὀλίγους πᾶν τὸ πλῆθος ἐνῆγεν ὥστε δέξασθαι τὸν Σίμωνα καὶ παραδοῦναι δίχα μάχης αὐτῷ τὴν τῶν ὅλων ἀρχήν. ἅμα δὲ ταῦτα διαπραττόμενος καὶ Σίμωνα δι' ἀγγέλων ἐκάλει, σκεδάσειν ὑπισχνούμενος τοὺς Ἰδουμαίους. ὃ δὴ παρέσχεν· ὡς γὰρ ἦν ἤδη πλησίον ἡ στρατιά, πρῶτος ἀναπηδήσας ἐπὶ τὸν ἵππον μετὰ τῶν συνδιεφθαρμένων ἔφευγε. πτοία δὲ ἐμπίπτει παντὶ τῷ πλήθει, καὶ πρὶν εἰς χεῖρας ἐλ-

Digitized by Google

θεῖν λυθέντες ἐκ τῆς τάξεως ἀνεχώρουν ξπαστοι πρὸς τὰ ἴδια.

Σίμων δὲ παρὰ δόξαν εἰς τὴν Ἰδουμαίαν εἰσήλα- 7
σεν ἀναιμωτί, καὶ προσβαλὼν ἀδοκήτως πρώτην αἱρεῖ
τὴν πόλιν Χεβρών, ἐν ᾗ πλείστης ἐπρᾴτησε λείας,
πάμπολυν δὲ διήρπασε καρπόν. ὡς δέ φασιν οἱ ἐπι-
χώριοι τὴν Χεβρὼν οὐ μόνον τῶν τῇδε πόλεων ἀλλὰ
καὶ τῆς ἐν Αἰγύπτῳ Μέμφεως ἀρχαιοτέραν· δισχίλια
γοῦν αὐτῇ καὶ τριακόσια ἔτη συνηρίθμητο. μυθεύουσι
δὲ αὐτὴν καὶ οἰκητήριον Ἀβράμου τοῦ Ἰουδαίων προ-
γόνου γεγονέναι μετὰ τὴν ἐκ τῆς Μεσοποταμίας ἀπα-
νάστασιν, τούς τε παῖδας αὐτοῦ λέγουσι καταβῆναι
εἰς Αἴγυπτον ἔνθεν· ὧν καὶ τὰ μνημεῖα μέχρι τοῦ νῦν
ἐν τῇδε τῇ πολίχνῃ δείκνυται, πάνυ καλῆς μαρμάρου
καὶ φιλοτίμως εἰργασμένα. δείκνυται δὲ ἀπὸ σταδίων
ξξ τοῦ ἄστεως τερέβινθος μεγίστη, καὶ φασὶ τὸ δέν-
δρον ἀπὸ τῆς κτίσεως μέχρι νῦν διαμένειν. ἔνθεν ὁ
Σίμων διὰ πάσης ἐχώρει τῆς Ἰδουμαίας, οὐ μόνον κώ-
μας καὶ πόλεις πορθῶν, λυμαινόμενος δὲ καὶ τὴν χώραν,
ὡς μηδὲ τῶν ἐπιτηδείων ἐξαρκούντων πρὸς τὸ πλῆ-
θος· δίχα γὰρ τῶν ὁπλιτῶν τέσσαρες αὐτῷ συνείποντο
μυριάδες. προσῆν δὲ ταῖς χρείαις ὠμότης τε αὐτοῦ
καὶ πρὸς τὸ γένος ὀργή· δι' ἃ μᾶλλον ἐξερημοῦσθαι
συνέβαινε τὴν Ἰδουμαίαν. καθάπερ δὲ ὑπὸ τῶν ἀκρί-
δων κατόπιν ὕλην ἔστιν ἰδεῖν ἐψιλωμένην πᾶσαν, οὕτω
τὸ κατὰ νώτου τῆς Σίμωνος στρατιᾶς ἐρημία κατελεί-
πετο· καὶ τὰ μὲν ἐμπιπράντες τὰ δὲ κατασκάπτοντες,
πᾶν δὲ τὸ πεφυκὸς ἀνὰ τὴν χώραν ἢ συμπατοῦντες
ἠφάνιζον ἢ νεμόμενοι, καὶ τὴν ἐνεργὸν ὑπὸ τῆς πο-
ρείας σκληροτέραν ἐποίουν τῆς ἀκάρπου. καθόλου τε
εἰπεῖν, οὐδὲ σημεῖόν τι κατελείπετο τοῖς πορθουμένοις
τοῦ γεγονέναι.

Digitized by Google

8 ταῦτα πάλιν τοὺς ζηλωτὰς ἐπήγειρε, καὶ φανερῶς μὲν ἀντιπαρατάξασθαι κατέδεισαν, προλοχίσαντες δὲ ἐν ταῖς παρόδοις ἁρπάζουσι τοῦ Σίμωνος τὴν γυναῖκα καὶ τῆς περὶ αὐτὴν θεραπείας συχνούς· ἔπειτα ὡς αὐτὸν ἠμαλωτισμένοι τὸν Σίμωνα γεγηθότες εἰς τὴν πόλιν ὑπέστρεψαν, καὶ ὅσον οὐδέπω προσεδόκων καταθέμενον τὰ ὅπλα περὶ τῆς γυναικὸς ἱκετεύσειν. τὸν δὲ οὐκ ἔλεος εἴσεισιν ἀλλ' ὀργὴ περὶ τῆς ἡρπασμένης· καὶ πρὸς τὸ τεῖχος τῶν Ἱεροσολύμων ἐλθών, καθάπερ τὰ τρωθέντα τῶν θηρίων, ἐπειδὴ τοὺς τρώσαντας οὐ κατέλαβεν, ἐφ' οὓς εὗρε τὸν θυμὸν ἠφίει. ὅσοι γοῦν λαχανείας ἕνεκεν ἢ φρυγανισμοῦ προεληλύθεισαν ἔξω πυλῶν, ἀνόπλους καὶ γέροντας συλλαμβάνων ἠκίζετο καὶ διέφθειρε, δι' ὑπερβολὴν ἀγανακτήσεως μόνον οὐχὶ καὶ νεκρῶν γευόμενος τῶν σωμάτων. πολλοὺς δὲ καὶ χειροκοπήσας εἰσέπεμπε, καταπλήξασθαι τοὺς ἐχθροὺς ἅμα καὶ διαστῆσαι τὸν δῆμον ἐπιχειρῶν πρὸς τοὺς αἰτίους. ἐντέταλτο δὲ αὐτοῖς λέγειν ὅτι Σίμων θεὸν ὄρνυσι τὸν πάντων ἔφορον, εἰ μὴ θᾶττον ἀποδώσουσιν αὐτῷ τὴν γυναῖκα, ῥήξας τὸ τεῖχος τοιαῦτα διαθήσειν πάντας τοὺς κατὰ τὴν πόλιν, μηδεμιᾶς φεισάμενος ἡλικίας, μηδὲ ἀπὸ τῶν ἀναιτίων διακρίνας τοὺς αἰτίους. τούτοις οὐ μόνον ὁ δῆμος ἀλλὰ καὶ οἱ ζηλωταὶ καταπλαγέντες ἀποπέμπουσιν αὐτῷ τὴν γυναῖκα.

καὶ τότε μὲν ἐκμειλιχθεὶς ὀλίγον ἀνεπαύσατο τοῦ
9 συνεχοῦς φόνου· οὐ μόνον δὲ κατὰ τὴν Ἰουδαίαν στάσις ἦν καὶ πόλεμος ἐμφύλιος, ἀλλὰ καὶ ἐπὶ τῆς Ἰταλίας. ἀνῄρητο μὲν γὰρ κατὰ μέσην τὴν Ῥωμαίων ἀγορὰν Γάλβας, ἀποδεδειγμένος δὲ αὐτοκράτωρ Ὄθων ἐπολέμει Ὀυιτελλίῳ βασιλειῶντι (τοῦτον γὰρ ἤρητο τὰ κατὰ Γερμανίαν τάγματα)· καὶ γενομένης συμβολῆς κατὰ Βηδριακὸν τῆς Γαλατίας πρός τε Ὀάλεντα καὶ Καικίν-

Digitized by Google

ναν τοὺς Οὐιτελλίου στρατηγούς, τῇ πρώτῃ μὲν ἡμέρᾳ περιῆν Ὄθων, τῇ δευτέρᾳ δὲ τὸ Οὐιτελλίου στρατιωτικόν· καὶ πολλοῦ φόνου γενομένου διεχρήσατο μὲν Ὄθων ἑαυτόν, ἐν Βρεξέλλῳ τὴν ἦτταν πυθόμενος, ἡμέρας δύο καὶ τρεῖς μῆνας κρατήσας τῶν πραγμάτων, προσεχώρησε δὲ τοῖς Οὐιτελλίου στρατηγοῖς καὶ τοῦ Ὄθωνος ἡ στρατιά, καὶ κατέβαινεν αὐτὸς εἰς τὴν Ῥώμην μετὰ τῆς δυνάμεως. ἐν δὲ τούτῳ καὶ Οὐεσπασιανός, ἀναστὰς ἐκ τῆς Καισαρείας πέμπτῃ Δαισίου μηνός, ὥρμησεν ἐπὶ τὰ μηδέπω κατεστραμμένα τῶν τῆς Ἰουδαίας χωρίων. ἀναβὰς δὲ εἰς τὴν ὀρεινὴν αἱρεῖ δύο τοπαρχίας, τήν τε Γοφνιτικὴν καὶ τὴν Ἀκραβατηνὴν καλουμένην, μεθ' ἃς Βηθηλᾶ τε καὶ Ἐφραΐμ πολίχνια, οἷς φρουροὺς ἐγκαταστήσας μέχρις Ἱεροσολύμων ἐπάξετο. φθορὰ δὲ ἦν πολλῶν καταλαμβανομένων, καὶ συχνοὺς ᾐχμαλωτίζετο. Κερεάλιος δὲ αὐτῷ τῶν ἡγεμόνων μοῖραν ἱππέων καὶ πεζῶν ἀναλαβών, τὴν ἄνω καλουμένην Ἰδουμαίαν ἐπόρθει, καὶ Καφεθρὰ μὲν ψευδοπολίχνιον ἐξ ἐφόδου λαβὼν ἐμπίπρησιν, ἑτέραν δὲ καλουμένην Καφαραβὶν προσβαλὼν ἐπολιόρκει. πάνυ δὲ ἦν ἰσχυρὸν τὸ τεῖχος, καὶ τρίψεσθαι προσδοκῶντι πλείω χρόνον αἰφνιδίως ἀνοίγουσιν οἱ ἔνδον τὰς πύλας, καὶ μεθ' ἱκετηριῶν προσελθόντες αὐτοὺς παρέδοσαν. Κερεάλιος δὲ τούτους παραστησάμενος ἐπὶ Χεβρὼν ἑτέρας πόλεως ἀρχαιοτάτης ἐχώρει (κεῖται δέ, ὡς ἔφην, αὕτη κατὰ τὴν ὀρεινήν, οὐ πόρρω Ἱεροσολύμων), βιασάμενος δὲ τὰς εἰσόδους τὸ μὲν ἐγκαταληφθὲν πλῆθος ἠβηδὸν ἀναιρεῖ, τὸ δὲ ἄστυ καταπίμπρησι. καὶ πάντων ἤδη κεχειρωμένων πλὴν Ἡρωδείου καὶ Μασάδας καὶ Μαχαιροῦντος (ταῦτα δὲ ὑπὸ τῶν λῃστῶν κατείληπτο), σκοπὸς ἤδη τὰ Ἱεροσόλυμα προὔκειτο Ῥωμαίοις.

Digitized by Google

10 ὁ δὲ Σίμων ὡς ἐρρύσατο παρὰ τῶν ξηλωτῶν τὴν γυναῖκα, πάλιν ἐπὶ τὰ λείψανα τῆς Ἰδουμαίας ὑπέστρεψε, καὶ περιελαύνων πανταχόθεν τὸ ἔθνος εἰς Ἱεροσόλυμα πολλοὺς φεύγειν συνηνάγκασεν. εἶπετο δὲ καὶ αὐτὸς ἐπὶ τὴν πόλιν, καὶ κυκλωσάμενος αὖθις τὸ τεῖχος, ὁντινα λάβοι τῶν προϊόντων κατὰ τὴν χώραν ἐργατῶν, διέφθειρεν. ἦν δὲ τῷ δήμῳ Σίμων μὲν ἔξωθεν Ῥωμαίων φοβερώτερος, οἱ ζηλωταὶ δὲ ἔνδον ἑκατέρων χαλεπώτεροι. κἂν τούτοις ἐπίνοια κακῶν καὶ τόλμη τὸ σύνταγμα τῶν Γαλιλαίων διέφθειρε· τόν τε γὰρ Ἰωάννην παρῆγον εἰς ἰσχὺν οὗτοι, κἀκεῖνος αὐτοὺς ἐξ ἧς περιεποιήσατο δυναστείας ἠμείβετο, πάντα ἐπιτρέπων ὁρᾶν ὧν ἕκαστος ἐπεθύμει. πόθοι δὲ ἦσαν ἁρπαγῆς ἀπλήρωτοι καὶ τῶν πλουσίων οἴκων ἔρευνα, φόνος τε ἀνδρῶν καὶ γυναικῶν ὕβρεις ἐπαίζοντο, μεθ' αἵματος δὲ τὰ συληθέντα κατέπινον καὶ μετ' ἀδείας ἐνεθηλύπάθουν τῷ κόρῳ, κόμας συνθετιζόμενοι καὶ γυναικείας ἐσθῆτας ἀναλαμβάνοντες, καταντλούμενοι δὲ μύρῳ καὶ πρὸς εὐπρέπειαν ὑπογράφοντες ὀφθαλμούς. οὐ μόνον δὲ κόσμον ἀλλὰ καὶ πάθη γυναικῶν ἐμιμοῦντο, καὶ δι' ὑπερβολὴν ἀσελγείας ἀθεμίτους ἡδονὰς ἐπενόησαν· ἐνηλινδοῦντο δὲ ὥσπερ πορνείῳ τῇ πόλει, καὶ πᾶσαν ἀκαθάρτοις ἐμίαναν ἔργοις. γυναικιζόμενοι δὲ τὰς ὄψεις ἐφόνων ταῖς δεξιαῖς, θρυπτόμενοι δὲ τοῖς βαδίσμασιν ἐπιόντες ἐξαπίνης ἐγίνοντο πολεμισταί, τὰ τε ξίφη προφέροντες ἀπὸ τῶν βεβαμμένων χλανίδων τὸν προστυχόντα διήλαυνον. τοὺς ἀποδιδράσκοντας δὲ Ἰωάννην Σίμων φονικώτερος ἐξεδέχετο, καὶ διαφυγὼν τὸν ἐντὸς τείχους τύραννον ὑπὸ τοῦ πρὸ πυλῶν διεφθείρετο. πᾶσα δὲ φυγῆς ὁδὸς τοῖς αὐτομολεῖν πρὸς Ῥωμαίους βουλομένοις ἀπεκέκοπτο.

11 διεστασιάζετο δὲ πρὸς τὸν Ἰωάννην ἡ δύναμις,

Digitized by Google

καὶ πᾶν ὅσον ἦν Ἰδουμαῖον ἐν αὐτῇ χωρισθὲν ἐπεχείρει τῷ τυράννῳ φθόνῳ τε τῆς ἰσχύος αὐτοῦ καὶ μίσει τῆς ὠμότητος. συμβαλόντες δὲ ἀναιροῦσί τε πολλοὺς τῶν ζηλωτῶν, καὶ συνελαύνουσι τοὺς λοιποὺς εἰς τὴν βασιλικὴν αὐλὴν κατασκευασθεῖσαν ὑπὸ Γραπτῆς· συγγενὴς δὲ ἦν αὕτη τοῦ τῶν Ἀδιαβηνῶν βασιλέως Ἰζάτου. συνεισπίπτουσι δὲ οἱ Ἰδουμαῖοι, κἀκεῖθεν εἰς τὸ ἱερὸν περιώσαντες τοὺς ζηλωτὰς ἐφ' ἁρπαγὴν ἐτράποντο τῶν Ἰωάννου χρημάτων· κατὰ γὰρ τὴν προειρημένην αὐλὴν αὐτός τε ἦν, κἀκεῖ τὰ λάφυρα τῆς τυραννίδος κατέθετο. ἐν δὲ τούτῳ τὸ κατὰ τὴν πόλιν ἐσκεδασμένον πλῆθος τῶν ζηλωτῶν εἰς τὸ ἱερὸν πρὸς τοὺς διαπεφευγότας ἠθροίσθη, καὶ κατάγειν αὐτοὺς παρεσκευάζετο Ἰωάννης ἐπί τε τὸν δῆμον καὶ τοὺς Ἰδουμαίους. τοῖς δὲ οὐχ οὕτω τὴν ἔφοδον αὐτῶν καταδεῖσαι παρέστη μαχιμωτέροις οὖσιν ὡς τὴν ἀπόνοιαν, μὴ νύκτωρ ἐκ τοῦ ἱεροῦ παρεισδύντες αὐτούς τε διαφθείρωσι καὶ τὸ ἄστυ καταπρήσωσι. συνελθόντες οὖν μετὰ τῶν ἀρχιερέων ἐβουλεύοντο τίνα χρὴ τρόπον φυλάξασθαι τὴν ἐπίθεσιν. θεὸς δὲ ἄρα τὰς γνώμας αὐτῶν εἰς κακὸν ἔτρεψε, καὶ χαλεπώτερον ἀπωλείας ἐπενόησαν τὸ πρὸς σωτηρίαν φάρμακον. ἵνα γοῦν καταλύσωσιν Ἰωάννην, ἔκριναν δέχεσθαι Σίμωνα καὶ μεθ' ἱκετηριῶν δεύτερον εἰσαγαγεῖν ἑαυτοῖς τύραννον. ἐπεραίνετο δὲ ἡ βουλή, καὶ τὸν ἀρχιερέα Ματθίαν πέμψαντες ἐδέοντο Σίμωνος εἰσελθεῖν, ὃν πολλὰ ἔδεισαν. συμπαρεκάλουν δὲ οἱ ἐκ τῶν Ἱεροσολύμων τοὺς ζηλωτὰς φεύγοντες, πόθῳ τῶν οἴκων καὶ τῶν κτημάτων. ὃ δὲ αὐτοῖς ὑπερηφάνως κατανεύσας τὸ δεσπόζειν, εἰσέρχεται μὲν ὡς ἀπαλλάξων τῶν ζηλωτῶν τὴν πόλιν, σωτὴρ ὑπὸ τοῦ δήμου καὶ κηδεμὼν εὐφημούμενος, παρελθὼν δὲ μετὰ τῆς δυνάμεως ἐσκόπει τὰ περὶ τῆς

Digitized by Google

ἑαυτοῦ δυναστείας, καὶ τοὺς καλέσαντας οὐχ ἧττον ἐχθροὺς ἐνόμιζεν ἢ καθ' ὧν ἐκέκλητο.

12 Σίμων μὲν οὕτως ἐνιαυτῷ τρίτῳ τοῦ πολέμου Ξανθικῷ μηνὶ Ἱεροσολύμων ἐγκρατὴς ἐγένετο· Ἰωάννης δὲ καὶ τὸ τῶν ζηλωτῶν πλῆθος εἰργόμενον τῶν ἐξόδων τοῦ ἱεροῦ καὶ τὰ τῆς πόλεως ἀπολωλεκότες (παραχρῆμα γὰρ τὰ ἐκείνων οἱ περὶ τὸν Σίμωνα διήρπασαν) ἐν ἀπόρῳ τὴν σωτηρίαν εἶχον. προσέβαλλε δὲ τῷ ἱερῷ Σίμων τοῦ δήμου βοηθοῦντος. κἀκεῖνοι κατασταντες ἐπὶ τῶν στοῶν καὶ τῶν ἐπάλξεων ἠμύνοντο τὰς προσβολάς. συχνοὶ δὲ ἔπιπτον τῶν περὶ Σίμωνα, καὶ πολλοὶ τραυματίαι κατεφέροντο· ῥᾳδίως γὰρ ἐξ ὑπερδεξίου τὰς βολὰς οἱ ζηλωταὶ καὶ οὐκ ἀστόχους ἐποιοῦντο. πλεονεκτοῦντες δὲ τῷ τόπῳ, καὶ πύργους ἔτι προσκατεσκεύασαν τέσσαρας μεγίστους, ὡς ἀφ' ὑψηλοτέρων ποιοῖντο τὰς ἀφέσεις, τὸν μὲν κατὰ τὴν ἀνατολικὴν καὶ βόρειον γωνίαν, τὸν δὲ τοῦ ξυστοῦ καθυπερθεν, τὸν δὲ τρίτον κατὰ γωνίαν ἄλλην ἀντικρὺ τῆς κάτω πόλεως. ὁ δὲ λοιπὸς ὑπὲρ τὴν κορυφὴν κατεσκεύαστο τῶν παστοφορίων, ἔνθα τῶν ἱερέων εἷς ἐξ ἔθους ἱστάμενος ἑκάστην ἑβδομάδα εἰσιοῦσαν προεσήμαινε σάλπιγγι δείλης, καὶ τελεσθεῖσαν αὖθις περὶ ἑσπέραν, ὁτὲ μὲν ἀνεργεῖν τῷ λαῷ καταγγέλλων, ὁτὲ δὲ ἔργων ἔχεσθαι. διέστησαν δὲ ἐπὶ τῶν πύργων ὀξυβελεῖς τε καὶ λιθοβόλους μηχανὰς τούς τε τοξότας καὶ σφενδονήτας. ἔνθα δὴ τὰς μὲν προσβολὰς ὀκνηροτέρας ἐποιεῖτο ὁ Σίμων, μαλακιζομένων αὐτῷ τῶν πλειόνων, ἀντεῖχε δὲ ὅμως περιουσίᾳ δυνάμεως· τὰ δὲ ἀπὸ τῶν ὀργάνων βέλη κορρωτέρω φερόμενα πολλοὺς τῶν μαχομένων ἀνῄρει.

10 κατὰ δὲ τὸν αὐτὸν καιρὸν περιέσχε καὶ τὴν Ῥώμην πάθη χαλεπά. παρῆν μὲν γὰρ ἀπὸ Γερμανίας Οὐιτέλλιος ἅμα τῷ στρατιωτικῷ πολὺ πλῆθος ἐπισυ-

Digitized by Google

ρόμενος ἕτερον, μὴ χωρούμενος δὲ τοῖς ἀποδεδειγμένοις εἰς τοὺς στρατιώτας περιβόλοις ὅλην ἐποιήσατο τὴν Ῥώμην στρατόπεδον καὶ πᾶσαν οἰκίαν ὁπλιτῶν ἐπλήρωσεν. οἳ δὲ ἀήθεσιν ὀφθαλμοῖς τὸν Ῥωμαίων πλοῦτον θεασάμενοι, καὶ περιλαμφθέντες πάντοθεν ἀργύρῳ τε καὶ χρυσῷ, τὰς ἐπιθυμίας μόλις κατεῖχον ὥστε μὴ ἐφ' ἁρπαγὰς τρέπεσθαί τε καὶ τοὺς ἐμποδὼν γινομένους ἀναιρεῖν. καὶ τὰ μὲν κατὰ τὴν Ἰταλίαν ἐν τούτοις ἦν, Οὐεσπασιανὸς δὲ ὡς τὰ πλησίον Ἱεροσολύμων καταστρεψάμενος ὑπέστρεψεν εἰς Καισάρειαν, ἀκούει τὰς κατὰ τὴν Ῥώμην ταραχὰς καὶ Οὐιτέλλιον αὐτοκράτορα. τοῦτο οὖν αὐτόν, καίπερ ἄρχεσθαι καθάπερ ἄρχειν καλῶς ἐπιστάμενον, εἰς ἀγανάκτησιν προήγαγε, καὶ τὸν μὲν ὡς ἐρήμου καταμανέντα τῆς ἡγεμονίας ἠδόξει δεσπότην, περιαλγήσας δὲ τῷ πάθει καρτερεῖν τὴν βάσανον οὐχ οἷός τε ἦν, καὶ τῆς πατρίδος πορθουμένης ἑτέροις προσασχολεῖν πολέμοις. ἀλλ' ὅσον ὁ θυμὸς ἤπειγεν ἐπὶ τὴν ἄμυναν, τοσοῦτον εἶργεν ἡ ἔννοια τοῦ διαστήματος· πολλὰ γὰρ φθάσαι πανουργήσασαν τὴν τύχην πρὶν αὐτὸν εἰς Ἰταλίαν περαιωθῆναι, καὶ ταῦτα χειμῶνος ὥρᾳ πλέοντα, σφαδάζουσαν ἤδη κατεῖχε τὴν ὀργήν. 2

συνιόντες δὲ οἵ τε ἡγεμόνες καὶ οἱ στρατιῶται καθ' ἑταιρίαν φανερῶς ἤδη μεταβολὴν ἐβουλεύοντο, καὶ διαγανακτοῦντες ἐβόων ὡς οἱ μὲν ἐπὶ τῆς Ῥώμης στρατιῶται τρυφῶντες καὶ μηδὲ ἀκούειν πολέμου φήμην ὑπομένοντες διαχειροτονοῦσιν οἷς βούλονται τὴν ἡγεμονίαν, καὶ πρὸς ἐλπίδα λημμάτων ἀποδεικνύουσιν αὐτοκράτορας, αὐτοὶ δὲ διὰ τοσούτων κεχωρηκότες πόνων, καὶ γηρῶντες ὑπὸ τοῖς κράνεσιν, ἑτέροις χαρίζονται τὴν ἐξουσίαν, καὶ ταῦτα τὸν ἀξιώτερον ἄρχειν παρ' αὐτοῖς ἔχοντες· ᾧ τίνα δικαιοτέραν ποτὲ τῆς εἰς αὐτοὺς εὐνοίας ἀποδώσειν ἀμοιβήν, εἰ τὴν νῦν 3

Digitized by Google

καταπρόοιντο; τοσούτῳ δὲ εἶναι Ὀθεσπασιανὸν ἡγεμονεύειν Ὀθιτελλίου δικαιότερον, ὅσῳ καὶ αὐτοὺς τῶν ἐκείνου ἀποδειξάντων· οὐ γὰρ δὴ μικροτέρους τῶν ἀπὸ Γερμανίας διενηνοχέναι πολέμους, οὐδὲ τῶν ἐκεῖθεν καταγόντων τὸν τύραννον ἥττησθαι τοῖς ὅπλοις· ἀγῶνος δ' ἐνδεήσειν οὐδέν· οὐ γὰρ τὴν σύγκλητον ἢ τὸν Ῥωμαίων δῆμον ἀνέξεσθαι τῆς Ὀθιτελλίου λαγνείας ἀντὶ τῆς Ὀθεσπασιανοῦ σωφροσύνης, οὐδὲ ἀντὶ μὲν ἡγεμόνος ἀγαθοῦ τύραννον ὠμότατον, ἄπαιδα δὲ ἀντὶ πατρὸς αἱρήσεσθαι προστάτην. μέγιστον γὰρ δὴ πρὸς ἀσφάλειαν εἰρήνης εἶναι τὰς γνησίους τῶν βασιλέων ὑπεροχάς. εἴτε οὖν ἐμπειρίᾳ γήρως προσήκει τὸ ἄρχειν, Ὀθεσπασιανὸν αὐτοὺς ἔχειν, εἴτε νεότητος ἀλκῇ, Τίτον· καρπώσεσθαι γὰρ τῆς παρ' ἀμφοῖν ἡλικίας τὸ ὠφέλιμον. χορηγήσειν δὲ οὐ μόνον αὐτοὶ τότε τὴν ἰσχὺν τοῖς ἀποδειχθεῖσιν, ἅτε τρία τάγματα καὶ τὰς παρὰ τῶν βασιλέων συμμαχίας ἔχοντες, ἀλλὰ καὶ συνεργήσειν τά τε πρὸς ἕω πάντα καὶ τῆς Εὐρώπης ὅσα τῶν ἀπὸ Ὀθιτελλίου φόβων κεχώρισται, καὶ τοὺς ἐπὶ τῆς Ἰταλίας δὲ συμμάχους, ἀδελφὸν Ὀθεσπασιανοῦ καὶ παῖδα ἕτερον, ὧν τῷ μὲν προσθήσεσθαι πολλοὺς τῶν ἐν ἀξιώματι νέων, τὸν δὲ καὶ τὴν τῆς πόλεως φυλακὴν πεπιστεῦσθαι, μέρος οὐκ ὀλίγον εἰς ἐπιβολὴν ἡγεμονίας. καθόλου τε, ἂν βραδύνωσιν αὐτοί, τάχα τὴν σύγκλητον ἀποδείξειν τὸν ὑπὸ τῶν συντετηρηκότων στρατιωτῶν ἀτιμούμενον.

4 τοιαῦτα κατὰ συστροφὰς οἱ στρατιῶται διελάλουν· ἔπειτα συναθροισθέντες καὶ παρακροτήσαντες ἀλλήλους ἀναγορεύουσι τὸν Ὀθεσπασιανὸν αὐτοκράτορα, καὶ σώζειν τὴν κινδυνεύουσαν ἡγεμονίαν παρεκάλουν. τῷ δὲ φροντὶς μὲν ἦν πάλαι περὶ τῶν ὅλων, οὗτοι γε μὴν αὐτὸς ἄρχειν προήρητο, τοῖς μὲν ἔργοις ἑαυτὸν

Digitized by Google

ἄξιον ἡγούμενος, προκρίνων δὲ τῶν ἐν λαμπρότητι κινδύνων τὴν ἐν ἰδιώταις ἀσφάλειαν. ἀρνουμένῳ δὲ μᾶλλον οἱ ἡγεμόνες ἐπέκειντο, καὶ περιχυθέντες οἱ στρατιῶται ξιφήρεις ἀναιρεῖν αὐτὸν ἠπείλουν, εἰ μὴ βούλοιτο ζῆν ἀξίως. πολλὰ δὲ πρὸς αὐτοὺς διατεινάμενος ἐξ ὧν διωθεῖτο τὴν ἀρχήν, τελευταῖον, ὡς οὐκ ἔπειθεν, εἶκει τοῖς ὀνομάσασι.

προτρεπομένων δὲ αὐτὸν ἤδη Μουκιανοῦ τε καὶ τῶν ἄλλων ἡγεμόνων εἰς αὐτοκράτορα, καὶ τῆς ἄλλης στρατιᾶς ἄγειν βοώσης αὐτὴν ἐπὶ πᾶν τὸ ἀντίπαλον, αὐτὸς πρῶτον τῶν ἀπ' Ἀλεξανδρείας εἶχετο πραγμάτων, εἰδὼς πλεῖστον τῆς ἡγεμονίας μέρος τὴν Αἴγυπτον οὖσαν διὰ τὴν τοῦ σίτου χορηγίαν (ἧς κρατήσας, εἰ παρέλκοι καὶ βία, καθαιρήσειν ἤλπιζεν Οὐιτέλλιον· οὐ γὰρ ἀνέξεσθαι πείνης ἐπὶ Ῥώμης τὸ πλῆθος), τὰ δύο τε ἐπὶ τῆς Ἀλεξανδρείας τάγματα προσποιήσασθαι βουλόμενος. ἐνεθυμεῖτο δὲ καὶ πρόβλημα τὴν χώραν ἔχειν τῶν ἀπὸ τῆς τύχης ἀδήλων· ἔστι γὰρ κατά τε γῆν δυσέμβολος καὶ πρὸς θαλάσσης ἀλίμενος, κατὰ μὲν ἑσπέραν προβεβλημένη τὰ ἄνυδρα τῆς Λιβύης, κατὰ δὲ μεσημβρίαν τὴν διορίζουσαν ἀπὸ Αἰθιόπων Συήνην καὶ τοὺς ἀπλώτους τοῦ ποταμοῦ καταράκτας, ἀπὸ δὲ τῆς ἀνατολῆς ἔτι τὴν Ἐρυθρὰν θάλασσαν ἀναχεομένην μέχρι Κοπτοῦ. βόρειον δὲ τεῖχος αὐτῇ ἥ τε μέχρι Συρίας γῆ καὶ τὸ καλούμενον Αἰγύπτιον πέλαγος, πᾶν ἄπορον ὅρμων. τετείχισται μὲν οὕτως ἡ Αἴγυπτος πάντοθεν· τὸ μεταξὺ δὲ Πηλουσίου καὶ Συήνης μῆκος αὐτῆς σταδίων δισχιλίων, ὅ τε ἀπὸ τῆς Πλινθίνης ἀνάπλους εἰς τὸ Πηλούσιον σταδίων τρισχιλίων ἑξακοσίων. ὁ δὲ Νεῖλος ἀναπλεῖται μέχρι τῆς Ἑλεφάντων καλουμένης πόλεως, ὑπὲρ ἣν εἰργουσι προσωτέρω χωρεῖν οὓς προειρήκαμεν κατα-

Digitized by Google

ράκτας. δυσπρόσιτος δὲ λιμὴν ναυσὶ καὶ κατ' εἰρήνην Ἀλεξανδρείας· στενός τε γὰρ εἴσπλους, καὶ πέτραις ὑφάλοις τὸν ἐπ' εὐθὺ καμπτόμενος δρόμον. καὶ τὸ μὲν ἀριστερὸν αὐτοῦ μέρος πέφρακται χειροκμήτοις σκέλεσιν, ἐν δεξιᾷ δὲ ἡ προσαγορευομένη Φάρος νησὶς πρόκειται, πύργον ἀνέχουσα μέγιστον, ἐκπυρσεύοντα τοῖς καταπλέουσιν ἐπὶ τριακοσίους σταδίους, ὡς ἐν νυκτὶ πόρρωθεν ὁρμίζοιντο πρὸς τὴν δυσχέρειαν τοῦ κατάπλου. περὶ ταύτην τὴν νησίδα καταβέβληται χειροποίητα τείχη μέγιστα· προσαρασσόμενον δὲ τούτοις τὸ πέλαγος, καὶ τοῖς ἄντικρυς ἔρκεσιν ἀμφαγνυμένον, ἐκτραχύνει τὸν πόρον καὶ σφαλερὰν διὰ στενοῦ τὴν εἴσοδον ἀπεργάζεται. ὁ μέντοι γε λιμὴν ἔνδον ἀσφαλέστατος, καὶ τριάκοντα σταδίων τὸ μέγεθος, εἰς ὃν τά τε λείποντα τῇ χώρᾳ πρὸς εὐδαιμονίαν κατάγεται, καὶ τὰ περισσεύοντα τῶν ἐπιχωρίων ἀγαθῶν εἰς πᾶσαν μερίζεται τὴν οἰκουμένην.

6 ἐφίετο μὲν οὖν εἰκότως τῶν ταύτῃ πραγμάτων Θεσπασιανὸς εἰς βεβαίωσιν τῆς ὅλης ἡγεμονίας, ἐπιστέλλει δ' οὖν εὐθὺς τῷ διέποντι τὴν Αἴγυπτον καὶ τὴν Ἀλεξάνδρειαν Τιβερίῳ Ἀλεξάνδρῳ, δηλῶν τὸ τῆς στρατιᾶς πρόθυμον, καὶ ὡς αὐτὸς ὑποδὺς ἀναγκαίως τὸ βάρος τῆς ἡγεμονίας συνεργὸν αὐτὸν καὶ βοηθὸν προσλαμβάνει. παραναγνοὺς δὲ τὴν ἐπιστολὴν Ἀλέξανδρος προθύμως τά τε τάγματα καὶ τὸ πλῆθος εἰς αὐτὸν ὥρκωσεν. ἑκάτεροι δὲ ἀσμένως ὑπήκουσαν, τὴν ἀρετὴν τοῦ ἀνδρὸς ἐκ τῆς ἐγγὺς στρατηγίας εἰδότες. καὶ ὁ μὲν πεπιστευμένος ἤδη τὰ περὶ τὴν ἀρχήν, προπαρεσκεύαζεν αὐτῷ καὶ τὰ πρὸς τὴν ἄφιξιν· τάχιον δὲ ἐπινοίας διήγγελλον αἱ φῆμαι τὸν ἐπὶ τῆς ἀνατολῆς αὐτοκράτορα, καὶ πᾶσα μὲν πόλις ἐώρταζεν, εὐαγγέλια δὲ καὶ θυσίας ὑπὲρ αὐτοῦ ἐπετέλει. τὰ δὲ κατὰ Μυ-

Digitized by Google

σίαν καὶ Παννονίαν τάγματα, μικρῷ πρόσθεν κεκινημένα πρὸς τὴν Ὀιτελλίου τόλμαν, μείζονι χαρᾷ Ὀεσπασιανῷ τὴν ἡγεμονίαν ὤμνυον. ὃ δὲ ἀναζεύξας ἀπὸ Καισαρείας εἰς Βηρυτὸν παραγίνεται, ἔνθα πολλαὶ μὲν ἀπὸ τῆς Συρίας αὐτῷ πολλαὶ δὲ καὶ ἀπὸ τῶν ἄλλων ἐπαρχιῶν πρεσβεῖαι συνήντων, στεφάνους παρ' ἑκάστης πόλεως καὶ συγχαρτικὰ προσφέρουσαι ψηφίσματα. παρῆν δὲ καὶ Μουκιανὸς ὁ τῆς ἐπαρχίας ἡγεμών, τὸ πρόθυμον τῶν δήμων καὶ τοὺς κατὰ πόλιν ὅρκους ἀπαγγέλλων.

προχωρούσης δὲ πανταχοῦ κατὰ νοῦν τῆς τύχης, 7
καὶ τῶν πραγμάτων συννευκότων ἐκ πλείστου μέρους, ἤδη παρίστατο τῷ Ὀεσπασιανῷ νοεῖν ὡς οὐ δίχα δαιμονίου προνοίας ἄψαιτο τῆς ἀρχῆς, ἀλλὰ δικαία τις εἱμαρμένη περιάγοι τὸ κρατεῖν τῶν ὅλων ἐπ' αὐτόν. ἀναμιμνήσκεται γὰρ τά τε ἄλλα σημεῖα (πολλὰ δὲ αὐτῷ ἐγεγόνει πανταχοῦ προφαίνοντα τὴν ἡγεμονίαν) καὶ τὰς τοῦ Ἰωσήπου φωνάς, ὃς αὐτὸν ἔτι ζῶντος Νέρωνος αὐτοκράτορα προσειπεῖν ἐθάρρησεν. ἐξεπέπληκτο δὲ τὸν ἄνδρα δεσμώτην ἔτι ὄντα παρ' αὐτῷ, καὶ προσκαλεσάμενος Μουκιανὸν ἅμα τοῖς ἄλλοις ἡγεμόσι καὶ φίλοις πρῶτον μὲν αὐτοῦ τὸ δραστήριον ἐκδιηγεῖτο καὶ ὅσα τοῖς Ἰωταπάτοις δι' αὐτὸν ἔκαμον, ἔπειτα τὰς μαντείας, ἃς αὐτὸς μὲν ὑπώπτευσε τότε πλάσμα τοῦ θέους, ἀποδειχθῆναι δὲ ὑπὸ τοῦ χρόνου καὶ τῶν πραγμάτων θείας. "αἰσχρὸν οὖν" ἔφη "τὸν προθεσπίσαντά μοι τὴν ἀρχὴν καὶ διάκονον τῆς τοῦ θεοῦ φωνῆς ἔτι αἰχμαλώτου τάξιν ἢ δεσμώτου τύχην ὑπομένειν." καὶ καλέσας τὸν Ἰώσηπον λυθῆναι κελεύει. τοῖς μὲν οὖν ἡγεμόσιν ἐκ τῆς εἰς τὸν ἀλλόφυλον ἀμοιβῆς λαμπρὰ καὶ περὶ αὐτῶν ἐλπίζειν παρέστη, συνὼν δὲ τῷ πατρὶ Τίτος "δίκαιον, ὦ πάτερ," ἔφη "τοῦ Ἰωσήπου

Digitized by Google

καὶ τὸ ὄνειδος ἀφαιρεθῆναι σὺν τῷ σιδήρῳ· γενήσεται γὰρ ὅμοιος τῷ μὴ δεθέντι τὴν ἀρχήν, ἂν αὐτοῦ μὴ λύσωμεν ἀλλὰ κόψωμεν τὰ δεσμά" τοῦτο γὰρ ἐπὶ τῶν μὴ δεόντως δεθέντων πράττεται. συνεθόκει δὲ ταῦτα, καὶ παρελθών τις πελέκει διέκοψε τὴν ἅλυσιν. ὁ δὲ Ἰώσηπος εἰληφὼς περὶ τῶν προειρημένων γέρας τὴν ἐπιτιμίαν, ἤδη καὶ περὶ τῶν μελλόντων ἀξιόπιστος ἦν.

11 Οὐεσπασιανὸς δὲ ταῖς πρεσβείαις χρηματίσας, καὶ καταστησάμενος ἑκάστοις τὰς ἀρχὰς δικαίως καὶ διὰ τῶν ἀξίων, εἰς Ἀντιόχειαν ἀφικνεῖται. καὶ βουλευόμενος ποῖ χρὴ τρέπεσθαι, προυργιαίτερα τῆς εἰς Ἀλεξάνδρειαν ὁρμῆς τὰ κατὰ τὴν Ῥώμην ἔκρινε, τὴν μὲν βέβαιον οὖσαν ὁρῶν, τὰ δὲ ὑπὸ Οὐιτελλίου ταρασσόμενα. πέμπει δὴ Μουκιανὸν εἰς τὴν Ἰταλίαν, παραδοὺς ἱππέων τε καὶ πεζῶν συχνὴν δύναμιν. ὃ δὲ διὰ τὴν τοῦ χειμῶνος ἀπορίαν δείσας τὸ πλεῖν, πεζῇ τὴν στρατιὰν ἦγε διὰ Καππαδοκίας καὶ Φρυγίας.

2 ἐν δὲ τούτῳ καὶ Ἀντώνιος Πρῖμος ἀναλαβὼν τὸ τρίτον τάγμα τῶν κατὰ Μυσίαν (ἔτυχε δὲ ἡγεμονεύων αὐτόθι), Οὐιτελλίῳ παρατεταγμένος ἠπείγετο. Οὐιτέλλιος δὲ αὐτῷ συναντήσοντα μετὰ πολλῆς δυνάμεως Κακίνναν Ἀλιηνὸν ἐκπέμπει, μέγα θαρρῶν τῷ ἀνδρὶ διὰ τὴν ἐπ' Ὄθωνι νίκην. ὃ δὲ ἀπὸ τῆς Ῥώμης ἐλαύνων διὰ τάχους περὶ Κρεμῶνα τῆς Γαλατίας τὸν Ἀντώνιον καταλαμβάνει· μεθόριος δέ ἐστιν ἡ πόλις αὕτη τῆς Ἰταλίας. κατιδὼν δὲ ἐνταῦθα τὸ πλῆθος τῶν πολεμίων καὶ τὴν εὐταξίαν, συμβάλλειν μὲν οὐκ ἐθάρρει, σφαλερὸν δὲ τὴν ἀναχώρησιν λογιζόμενος προδοσίαν ἐβουλεύετο. συναγαγὼν δὲ τοὺς ὑφ' αὑτὸν ἑκατοντάρχους καὶ χιλιάρχους ἐνῆγε μεταβῆναι πρὸς τὸν Ἀντώνιον, ταπεινῶν μὲν τὰ Οὐιτελλίου πράγματα, τὴν Οὐεσπασια-

Digitized by Google

νοῦ δὲ ἰσχὺν ἐπαίρων, καὶ παρ' ᾧ μὲν εἶναι λέγων μόνον τῆς ἀρχῆς ὄνομα παρ' ᾧ δὲ τὴν δύναμιν, καὶ αὐτοὺς δὲ ἄμεινον εἶναι προλαβόντας τὴν ἀνάγκην ποιῆσαι χάριν, καὶ μέλλοντας ἡττᾶσθαι τοῖς ὅπλοις ταῖς γνώμαις τὸν κίνδυνον φθάσαι· Ὀεσπασιανὸν μὲν γὰρ ἱκανὸν εἶναι χωρὶς αὐτῶν προσκτήσασθαι καὶ τὰ λείποντα, Ὀιτέλλιον δὲ οὐδὲ σὺν αὐτοῖς τηρῆσαι τὰ ὄντα.

πολλὰ τοιαῦτα λέγων ἔπεισε, καὶ πρὸς τὸν Ἀντώνιον αὐτομολεῖ μετὰ τῆς δυνάμεως. τῆς δὲ αὐτῆς νυκτὸς ἐμπίπτει μετάνοια τοῖς στρατιώταις καὶ δέος τοῦ προπέμψαντος, εἰ κρείττων γένοιτο· σπασάμενοι δὲ τὰ ξίφη τὸν Καικίνναν ὥρμησαν ἀνελεῖν. κἂν ἐπράχθη τὸ ἔργον αὐτοῖς, εἰ μὴ προσπίπτοντες οἱ χιλίαρχοι καθικέτευσαν αὐτούς. οἱ δὲ τοῦ κτεῖναι μὲν ἀπέσχοντο, δήσαντες δὲ τὸν προδότην οἷοί τε ἦσαν πέμπειν Ὀιτελλίῳ. ταῦτα ἀκούσας ὁ Πρῖμος αὐτίκα τοὺς σφετέρους ἀνίστησι καὶ μετὰ τῶν ὅπλων ἦγεν ἐπὶ τοὺς ἀποστάντας. οἱ δὲ παραταξάμενοι πρὸς ὀλίγον μὲν ἀντέσχον, αὖθις δὲ τραπέντες ἔφευγον εἰς τὴν Κρεμῶνα. καὶ τοὺς ἵππεῖς ἀναλαβὼν Πρῖμος ὑποτέμνεται τὰς εἰσόδους αὐτῶν, καὶ τὸ μὲν πολὺ πλῆθος κυκλωσάμενος πρὸ τῆς πόλεως διαφθείρει, τῷ δὲ λοιπῷ συνεισπεσὼν διαρπάσαι τὸ ἄστυ τοῖς στρατιώταις ἐφῆκεν. ἔνθα δὴ πολλοὶ μὲν τῶν ξένων ἔμποροι πολλοὶ δὲ τῶν ἐπιχωρίων ἀπώλοντο, πᾶσα δὲ ἡ Ὀιτελλίου στρατιά, μυριάδες τρεῖς ἀνδρῶν καὶ διακόσιοι. τῶν δὲ ἀπὸ τῆς Μυσίας Ἀντώνιος τετρακισχιλίους ἀποβάλλει καὶ πεντακοσίους. λύσας δὲ τὸν Καικίνναν πέμπει πρὸς Ὀεσπασιανὸν ἀγγελοῦντα τὰ πεπραγμένα. καὶ ὃς ἐλθὼν ἀπεδέχθη τε ὑπ' αὐτοῦ καὶ τὰ τῆς προδοσίας ὀνείδη ταῖς παρ' ἐλπίδα τιμαῖς ἐπεκάλυψεν.

Digitized by Google

4 ἀνεθάρσει δὲ ἤδη καὶ κατὰ τὴν Ῥώμην Σαβῖνος, ὡς πλησίον Ἀντώνιος ὢν ἀπηγγέλλετο· καὶ συναθροίσας τὰ τῶν νυκτοφυλάκων στρατιωτῶν τάγματα νύκτωρ καταλαμβάνει τὸ Καπετώλιον. μεθ' ἡμέραν δὲ αὐτῷ πολλοὶ τῶν ἐπισήμων προσεγένοντο, καὶ Δομετιανὸς ὁ τοῦ ἀδελφοῦ παῖς, μεγίστη μοῖρα τῶν εἰς τὸ κρατεῖν ἐλπίδων. Οὐιτελλίῳ δὲ Πρίμου μὲν ἐλάττων φροντὶς ἦν, τεθύμωτο δὲ ἐπὶ τοὺς συναποστάντας τῷ Σαβίνῳ, καὶ διὰ τὴν ἔμφυτον ὠμότητα διψῶν αἵματος εὐγενοῦς τοῦ στρατιωτικοῦ τὴν συγκατελθοῦσαν αὐτῷ δύναμιν ἐπαφίησι τῷ Καπετωλίῳ. πολλὰ μὲν οὖν ἐκ τε ταύτης καὶ τῶν ἀπὸ τοῦ ἱεροῦ μαχομένων ἐτολμήθη· τέλος δὲ τῷ πλήθει περιόντες οἱ ἀπὸ τῆς Γερμανίας ἐκράτησαν τοῦ λόφου. καὶ Δομετιανὸς μὲν σὺν πολλοῖς τῶν ἐν τέλει Ῥωμαίων δαιμονιώτερον διασῴζεται· τὸ δὲ λοιπὸν πλῆθος ἅπαν κατ' ἐκόπη, καὶ Σαβῖνος ἀναχθεὶς ἐπὶ Οὐιτέλλιον ἀναιρεῖται, διαρπάσαντές τε οἱ στρατιῶται τὰ ἀναθήματα τὸν ναὸν ἐμπιπρᾶσι. καὶ μετὰ μίαν ἡμέραν εἰσελαύνει μὲν Ἀντώνιος μετὰ τῆς δυνάμεως, ὑπήντων δὲ οἱ Οὐιτελλίου, καὶ τριῇ κατὰ τὴν πόλιν συμβαλόντες ἀπώλοντο πάντες. προέρχεται δὲ μεθύων ἐκ τοῦ βασιλείου Οὐιτέλλιος καὶ δαψιλέστερον ὥσπερ ἐν ἐσχάτοις τῆς ἀσώτου τραπέζης κορεσμένος· συρεὶς δὲ διὰ τοῦ πλήθους καὶ παντοδαπαῖς αἰκίαις ἐξυβρισθεὶς ἐπὶ μέσης τῆς Ῥώμης ἀποσφάττεται, μῆνας ὀκτὼ κρατήσας καὶ ἡμέρας πέντε· ὃν εἰ συνέβη πλείω χρόνον βιῶσαι, ἐπιλιπεῖν αὐτοῦ τῇ λαγνείᾳ τὴν ἡγεμονίαν οἶμαι. τῶν δὲ ἄλλων νεκρῶν ὑπὲρ πέντε μυριάδας ἠριθμήθησαν. ταῦτα μὲν οὖν τρίτῃ μηνὸς Ἀπελλαίου πέπρακτο· τῇ δὲ ὑστεραίᾳ Μουκιανὸς εἴσεισι μετὰ τῆς στρατιᾶς, καὶ τοὺς σὺν Ἀντωνίῳ

Digitized by Google

παύσας τοῦ κτείνειν (ἔτι γὰρ ἐξερευνώμενοι τὰς οἰκίας πολλοὺς μὲν τῶν Ὀιτελλίου στρατιωτῶν πολλοὺς δὲ τῶν δημοτικῶν ὡς ἐκείνου ἀνήρουν, φθάνοντες τῷ θυμῷ τὴν ἀκριβῆ διάγνωσιν), καὶ προαγαγὼν τὸν Δομετιανὸν συνίστησι τῷ πλήθει μέχρι τῆς τοῦ πατρὸς ἀφίξεως ἡγεμόνα. ὁ δὲ δῆμος ἀπηλλαγμένος ἤδη τῶν φόβων αὐτοκράτορα Ὀεσπασιανὸν εὐφήμει καὶ ἅμα τήν τε τούτου βεβαίωσιν ἑώρταζε καὶ τὴν Ὀιτελλίου κατάλυσιν.

εἰς δὲ τὴν Ἀλεξάνδρειαν ἀφιγμένῳ τῷ Ὀεσπασιανῷ τὰ ἀπὸ τῆς Ῥώμης εὐαγγέλια ἦκε, καὶ πρέσβεις ἐκ πάσης τῆς ἰδίας οἰκουμένης συνηδόμενοι· μεγίστη τε οὖσα μετὰ τὴν Ῥώμην ἡ πόλις στενωτέρα τοῦ πλήθους ἠλέγχετο. κεκυρωμένης δὲ ἤδη τῆς ἀρχῆς ἁπάσης, καὶ σεσωσμένων παρ' ἐλπίδα Ῥωμαίοις τῶν πραγμάτων, Ὀεσπασιανὸς ἐπὶ τὰ λείψανα τῆς Ἰουδαίας τὸν λογισμὸν ἐπέστρεφεν. αὐτὸς μέντοι εἰς τὴν Ῥώμην ὥρμητο λήξαντος τοῦ χειμῶνος ἀνάγεσθαι, καὶ τάχος τὰ κατὰ τὴν Ἀλεξάνδρειαν διφκει, τὸν δὲ υἱὸν Τίτον μετὰ τῆς ἐκκρίτου δυνάμεως ἀπέστειλεν ἐξαιρήσοντα τὰ Ἱεροσόλυμα. ὃ δὲ προελθὼν πεζῇ μέχρι Νικοπόλεως (εἴκοσι δὲ αὕτη διέχει τῆς Ἀλεξανδρείας σταδίους), κἀκεῖθεν ἐπιβήσας τὴν στρατιὰν μακρῶν πλοίων ἀναπλεῖ διὰ τοῦ Νείλου κατὰ τὸν Μενδήσιον νομὸν μέχρι πόλεως Θμούεως. ἐκεῖθεν δὲ ἀποβὰς ὁδεύει, καὶ κατὰ πολίχνην τινὰ Τάνιν αὐλίζεται. δεύτερος αὐτῷ σταθμὸς Ἡρακλέους πόλις καὶ τρίτος Πηλούσιον γίνεται. δυσὶ δὲ ἡμέραις ἐνταῦθα τὴν στρατιὰν ἀναλαβών, τῇ τρίτῃ διέξεισι τὰς ἐμβολὰς τοῦ Πηλουσίου, καὶ προελθὼν σταθμὸν ἕνα διὰ τῆς ἐρήμου πρὸς τῷ τοῦ Κασίου Διὸς ἱερῷ στρατοπεδεύεται, τῇ δὲ ὑστεραίᾳ κατὰ τὴν Ὀστρακίνην. οὗτος ὁ σταθμὸς ἦν

Digitized by Google

ἄνυδρος· ἐπεισάκτοις δὲ ὕδασιν οἱ ἐπιχώριοι χρῶνται. μετὰ ταῦτα πρὸς Ῥινοκορούροις ἀναπαύεται, κἀκεῖθεν εἰς Ῥάφειαν προελθὼν σταθμὸν τέταρτον (ἔστι δὲ ἡ πόλις αὕτη Συρίας ἀρχή), τὸ πέμπτον ἐν Γάζῃ τίθεται στρατόπεδον, μεθ' ἣν εἰς Ἀσκάλωνα κἀκεῖθεν εἰς Ἰάμνειαν, ἔπειτα εἰς Ἰόπην καὶ ἐξ Ἰόπης εἰς Καισάρειαν ἀφικνεῖται, διεγνωκὼς αὐτόθι τὰς ἄλλας δυνάμεις ἀθροίζειν.

Digitized by Google

FLAVII IOSEPHI

OPERA OMNIA

AB

IMMANUELE BEKKERO

RECOGNITA.

VOLUMEN SEXTUM.

LIPSIAE.
SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.
MDCCCLVI.

Digitized by Google

Digitized by Google

PRAEFATIO.

P. 8 v. 26. πρόεισιν*: πρόσεισιν 24 21. ἐπιδαψιλὲς?* 25 2. ἀχανὲς*: ἀφανὲς 12. δὲ χρυσᾶς καὶ τὰς ὑπὲρ?* 32 22. τε*: δὲ 37 14. ἡ τῆς ἥττης*: ἥττης 31. πρῶτος] ἄτρωτος?* 44 10. δεῖν*: δεῖ 55 26. ναὸν*: ναοῦ 56 13. ὀλίγων*: ὀλίγω 66 21. φήμης τὰ?* 67 1. ἀγανακτεῖν*: ἀγανακτῶν 73 10. αὐτοῖς*: αὐτὸς 82 26. γε*: τε 87 4. θεραπείᾳ?* 97 8. συμμενοῦντες*: συμμένοντες 98 1. συστρατιώτου*: στρατιώτου 109 8. πολας?* 115 17. κατεάγεισαν*: κατεάγησαν 121 8. πολυχρονίῳ?* 157 126. οὐδὲ*: οὔτε

P. 178 12. δὴ μὴ θρασύτερον?* 180 11. τῷ*: τὸ 185 27. ἐπιθυμίᾳ*: ἐπιθυμίαν ἔφοδον*: ἐφόδου 187 21. τὸ deerat* 188 25. δὲ*: δὴ 198 12. ἔτει*: περὶ 203 29. ἡμῶν] αὐτῶν?* omisso 30. αὐτῶν 204 9. αὐτὸς] αὖ? an ὁ αὐτὸς?* 19. δεκάπηχυς?* 205 31. στρατείαν*: στρατιαν 206 9. μήτε*: μηδὲ 19. ἐνύπνια] εἰς ἐνύπνια ante Grotium 20. παράνοιαν?* 21. ἐξασθενήσωσιν*: ἐξασθενήσουσιν 207 3. διατετριφώς*: διατετροφώς 209 11. κτίσαντας*: κτίσαντες 210 15. καὶ] ὡς καὶ?* nisi praestat ὅπου εἰργάζοντο ἐκκεχωρισμένοι?* 25. δ' ἐν?* 212 24. ἀδύτοις*: αὐτοῖς 215 12. ἱερέας*: ἱππέας 216 11. συναποστῆναι*: συναποστῆσαι 218 24. κατάδηλον*: καὶ δῆλον 222 7. μηδὲ*: μήτε 25. τοῦτο*: τούτοις 225 4. κατηγορία*: κατηγορίας 23. οὐδὲ*: οὔτε 227 16. τὸ deerat* 230 19.

Digitized by Google

Ἀλεξάνδρῳ: Ἀλεξάνδρου* 233 7. salutem*: saltem 8. ipsa*: ipse 240 20. *μένοντας*: μὲν ὄντας* 243 26. *προτίθησι?** 247 11. *περιλαβὼν*: παραλαβὼν εἰσαεὶ*: ἴσασι* 25. *ἐν ᾧ δὲ μάλιστα?** 248 12. positas a Jove dicebant vet. intp. i. e. *ὑπὸ τοῦ Διὸς τεθῆναι ἔλεγον, ὁ δέ γε Μίνως εἰς* 250 8. *οὐδὲ*: οὔτε* 19. *ἀκροασαμένοις?** 252 2. *τοῦτον*: τοῦτο* 253 27. *ἂν* deerat* 254 9. *αὖ*: ἂν* 23. *ᾗ*: ἧ* 258 30. *ἦν] ἓν?** 259 26. *οὐκ ἂν ἀντιβλέψειαν?** 263 27. *πλεῖον?** 265 4. *δουλεῦσαι*: δουλῶσαι* 266 9. *οὔτε πικρὸν?** 22. *δὴ ἠλέγχθησαν?** 26. *ἐκείνοις?** 272 14. *τρόπον*: τὸν τρόπυν* 273 1. *τὴν* deerat* 282 13. *ἀπέδομεν*: ἀπεδόμην* 24. *καταιγιζόμενος* Lowthius: *καταικιζόμενος* 284 32. *ἐντρυφήσετε*: ἐντρυφήσατε* 286 18. *ἐλέει*: ἐλεήσαι* 24. *τὴν ἀνάγκην τῶν σῶν βασάνων* Hercherus 288 31. *καὶ* deerat ante *βραχίονας** 292 14. *δὴ* Dindorfius: *δὲ* 295 32. *τίν' ἂν?** 296 9. *ἐπιφυτευομένη*: ἐπιφυτευομένην* 297 19. *ὁρώσῃ?* an *ὁρώσης?** 28 et 300 3. *μῆτερ*: μήτηρ* 298 12. *κατὰ*: μετὰ*

Digitized by Google

ΤΟΥ ΙΟΥΔΑΪΚΟΥ ΠΟΛΕΜΟΥ

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

Ὁ μὲν οὖν Τίτος ὃν προειρήκαμεν τρόπον διοδεύ- 1
σας τὴν ὑπὲρ Αἰγύπτου μέχρι Συρίας ἐρημίαν εἰς Καισάρειαν παρῆν, ταύτῃ διεγνωκὼς προσυντάξασθαι τὰς δυνάμεις· ἔτι δὲ αὐτοῦ κατὰ τὴν Ἀλεξάνδρειαν συγκαθισταμένου τῷ πατρὶ τὴν ἡγεμονίαν νέον αὐτοῖς ἐγκεχειρισμένην ὑπὸ τοῦ θεοῦ, συνέβη καὶ τὴν ἐν τοῖς Ἱεροσολύμοις στάσιν ἀνακμάσασαν τριμερῆ γενέσθαι καὶ καθ' αὑτοῦ θάτερον ἐπιστρέψαι μέρος, ὅπερ ἄν τις ὡς ἐν κακοῖς ἀγαθὸν εἴποι καὶ δίκης ἔργον. ἡ μὲν γὰρ κατὰ τοῦ δήμου τῶν ζηλωτῶν ἐπίθεσις, ἥπερ κατῆρξεν ἁλώσεως τῇ πόλει, προδεδήλωται μετ' ἀκριβείας ὅθεν τε ἔφυ καὶ πρὸς ὅσον κακὸν ἀνηυξήθη· ταύτην δὲ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν στάσει στάσιν ἐγγενέσθαι, καὶ καθάπερ θηρίον λυσσῆσαν ἐνδείᾳ τῶν ἔξωθεν ἐπὶ τὰς ἰδίας ἤδη σάρκας ὁρμᾶν.

Ἐλεάζαρος γὰρ ὁ τοῦ Σίμωνος, ὃς δὴ καὶ τὰ πρῶτα 2
τοῦ δήμου τοὺς ζηλωτὰς ἀπέστησεν εἰς τὸ τέμενος ὡς ἀγανακτῶν δῆθεν ἐπὶ τοῖς ὁσημέραι τῷ Ἰωάννῃ τολμωμένοις (οὐ γὰρ ἀνεπαύετο φονῶν οὗτος), τὸ δὲ ἀληθὲς αὐτοῦ μεταγενεστέρῳ τυράννῳ μὴ φέρων ὑποτετάχθαι, πόθῳ τῶν ὅλων καὶ δυναστείας ἰδίας ἐπιθυμίᾳ διίσταται, παραλαβὼν Ἰούδην τε τὸν Χελκία καὶ Σίμωνα τὸν Ἐζρῶνος τῶν δυνατῶν, πρὸς οἷς Ἐζεκίας ἦν Χωβαρὶ παῖς οὐκ ἄσημος. καθ' ἕκαστον δὲ οὐκ ὀλίγοι τῶν ζη-

Digitized by Google

λωτῶν ἠκολούθησαν, καὶ καταλαβόμενοι τὸν ἐνδότερον τοῦ νεὼ περίβολον, ὑπὲρ τὰς ἱερὰς πύλας ἐπὶ τῶν ἀγίων μετώπων τίθενται τὰ ὅπλα. πλήρεις μὲν οὖν ἐπιτηδείων ὄντες ἐθάρρουν (καὶ γὰρ ἀφθονία τῶν ἱερῶν ἐγίνετο πραγμάτων τοῖς γε μηδὲν ἀσεβὲς ἡγουμένοις), ὀλιγότητι δὲ τῇ κατὰ σφᾶς ὀρρωδοῦντες ἐγκαθισάμενοι τὰ ὅπλα κατὰ χώραν ἔμενον. ὁ δὲ Ἰωάννης ὅσον ἀνδρῶν ὑπερεῖχε πλήθει, τοσοῦτον ἐλείπετο τῷ τόπῳ, καὶ κατὰ κορυφὴν ἔχων τοὺς πολεμίους οὔτ' ἀδείᾳ ἐποιεῖτο τὰς προσβολὰς οὔτε δι' ὀργὴν ἠρέμει. κακούμενος δὲ πλέον ἢ περ διατιθεὶς τοὺς περὶ τὸν Ἐλεάζαρον ὅμως οὐκ ἀνίει· συνεχεῖς δὲ ἐκδρομαὶ κατ' ἀλλήλων καὶ βελῶν ἀφέσεις ἐγίνοντο, καὶ φόνοις ἐμαίνετο πανταχοῦ τὸ ἱερόν.

3 ὁ δὲ τοῦ Γιώρα Σίμων, ὃν ἐν ταῖς ἀμηχανίαις ἐπίκλητον ἑαυτῷ τύραννον ὁ δῆμος ἐλπίδι βοηθείας προσηγάγετο, τήν τε ἄνω πόλιν ἔχων καὶ τῆς κάτω πολὺ μέρος, ἐρρωμενέστερον ἤδη τοῖς περὶ τὸν Ἰωάννην προσέβαλλεν ὡς ἂν καὶ καθύπερθεν πολεμουμένοις. ἦν δὲ ὑπὸ χεῖρα προσιὼν αὐτοῖς, ὥσπερ ἐκεῖνοι τοῖς ἄνωθεν. καὶ τῷ Ἰωάννῃ διχόθεν πολεμουμένῳ συνέβαινε βλάπτεσθαί τε καὶ βλάπτειν εὐκόλως, καὶ καθ' ὅσον ἡττᾶτο τῶν ἀμφὶ τὸν Ἐλεάζαρον ὢν ταπεινότερος, τοσοῦτον ἐπλεονέκτει ἐν ὑψηλῷ τοῦ Σίμωνος. παρὸ καὶ χειρὶ μὲν τὰς κάτωθεν προσβολὰς εὐμαρῶς εἶργε, τοὺς δὲ ἄνωθεν ἀπὸ τοῦ ἱεροῦ κατακοντίζοντας ἀνέστελλε τοῖς ὀργάνοις· ὀξυβελεῖς τε γὰρ αὐτῷ καὶ καταπέλται παρῆσαν οὐκ ὀλίγοι καὶ λιθοβόλοι, δι' ὧν οὐ μόνον ἠμύνετο τοὺς πολεμοῦντας, ἀλλὰ καὶ πολλοὺς τῶν ἱερουργούντων ἀνῄρει. καίπερ γὰρ πρὸς πᾶσαν ἀσέβειαν ἐκλελυσσηκότες, ὅμως τοὺς θύειν ἐθέλοντας εἰσηφίεσαν, μεθ' ὑποψιῶν μὲν καὶ φυλακῆς τοὺς ἐπιχωρίους διερευνώμενοι, τοὺς δὲ ξένους ἀδεέστερον, οἳ καὶ περὶ

Digitized by Google

τὰς εἰσόδους θυσωπήσαντες αὐτῶν τὴν ὠμότητα παρανάλωμα τῆς στάσεως ἐγίνοντο. τὰ γὰρ ἀπὸ τῶν ὀργάνων βέλη μέχρι τοῦ βωμοῦ καὶ τοῦ νεὼ διὰ τὴν βίαν ὑπερφερόμενα τοῖς τε ἱερεῦσι καὶ τοῖς ἱερουργοῦσιν ἐνέπιπτε, καὶ πολλοὶ σπεύσαντες ἀπὸ γῆς περάτων περὶ τὸν διώνυμον καὶ πᾶσιν ἀνθρώποις χῶρον ἅγιον πρὸ τῶν θυμάτων ἔπεσον αὐτοί, καὶ τὸν Ἕλλησι πᾶσι καὶ βαρβάροις σεβάσμιον βωμὸν κατέσπεισαν ἰδίῳ φόνῳ. νεκροῖς δὲ ἐπιχωρίοις ἀλλόφυλοι καὶ ἱερεῦσι βέβηλοι συνεφύροντο, καὶ παντοδαπῶν αἷμα πτωμάτων ἐν τοῖς θείοις περιβόλοις ἐλιμνάζετο. τί τηλικοῦτον, ὦ τλημονεστάτη πόλις, πέπονθας ὑπὸ Ῥωμαίων, οἳ σου τὰ ἐμφύλια μύση περικαθαροῦντες εἰσῆλθον. θεοῦ μὲν γὰρ οὔτε ἦς ἔτι χῶρος οὔτε μένειν ἠδύνασο, τάφος οἰκείων γενομένη σωμάτων, καὶ πολέμου τὸν ναὸν ἐμφυλίου ποιήσασα πολυάνδριον· δύναιο δ' ἂν γενέσθαι πάλιν ἀμείνων, εἴ γέ ποτε τὸν πορθήσαντα θεὸν ἐξιλάσῃ. ἀλλὰ καθεκτέον γὰρ καὶ τὰ πάθη τῷ νόμῳ τῆς συγγραφῆς, ὡς οὐκ ὀλοφυρμῶν οἰκείων ὁ καιρός, ἀλλ' ἀφηγήσεως πραγμάτων. δίειμι δὲ τὰ ἑξῆς ἔργα τῆς στάσεως.

τριχῇ τῶν ἐπιβούλων τῆς πόλεως διηρημένων, οἱ 4
μὲν περὶ τὸν Ἐλεάζαρον τὰς ἱερὰς ἀπαρχὰς διαφυλάσσοντες κατὰ τοῦ Ἰωάννου τὴν μέθην ἔφερον, οἳ δὲ σὺν τούτῳ διαπάζοντες τοὺς δημότας ἠγείροντο κατὰ τοῦ Σίμωνος· ἦν δὲ κἀκείνῳ τροφὴ κατὰ τῶν ἀντιστασιαστῶν ἡ πόλις. ὁπότε μὲν οὖν ἀμφοτέρωθεν ἐπιχειροῖτο, τοὺς συνόντας ὁ Ἰωάννης ἀντέστρεφε, καὶ τοὺς μὲν ἐκ τῆς πόλεως ἀνιόντας ἀπὸ τῶν στοῶν βάλλων, τοὺς δὲ ἀπὸ τοῦ ἱεροῦ κατακοντίζοντας ἠμύνετο τοῖς ὀργάνοις. εἰ δὲ ἐλευθερωθείη ποτὲ τῶν καθύπερθεν ἐπικειμένων (διανέπαυε δὲ αὐτοὺς πολλάκις μέθη τε καὶ κάματος), ἀδεέστερον τοῖς περὶ τὸν Σίμωνα μετὰ πλειόνων ἐπεξέ-

Digitized by Google

θεεν. ἀεὶ δὲ ἐφ' ὅσον τρέψαιτο τῆς πόλεως, ὑπεπίμπρη τὰς οἰκίας σίτου μεστὰς καὶ παντοδαπῶν ἐπιτηδείων· τὸ δὲ αὐτὸ πάλιν ὑποχωροῦντος ἐπιὼν ὁ Σίμων ἔπραττεν, ὥσπερ ἐπίτηδες Ῥωμαίοις διαφθείροντες ἃ παρεσκευάσατο πρὸς πολιορκίαν ἡ πόλις, καὶ τὰ νεῦρα τῆς αὐτῶν ὑποκόπτοντες δυνάμεως. συνέβη γοῦν τὰ μὲν περὶ τὸ ἱερὸν πάντα συμφλεγῆναι καὶ μεταίχμιον ἐρημίας γενέσθαι καὶ παρατάξεως τὴν πόλιν, κατακαῆναι δὲ πλὴν ὀλίγου πάντα τὸν σῖτον, ὃς ἂν αὐτοῖς οὐκ ἐπ' ὀλίγα διήρκεσεν ἔτη πολιορκουμένοις. λιμῷ γοῦν ἐάλωσαν, ὅπερ ἥκιστα δυνατὸν ἦν, εἰ μὴ τοῦτον ἑαυτοῖς προπαρεσκεύασαν.

πανταχόθεν δὲ τῆς πόλεως πολεμουμένης ὑπὸ τῶν ἐπιβούλων καὶ συγκλύδων, μέσος ὁ δῆμος ὥσπερ μέγα σῶμα διεσπαράσσετο. γηραιοὶ δὲ καὶ γυναῖκες ὑπ' ἀμηχανίας τῶν εἴσω κακῶν ηὔχοντο Ῥωμαίοις, καὶ τὸν ἔξωθεν πόλεμον ἐπ' ἐλευθερίᾳ τῶν οἰκείων κακῶν ἐκαραδόκουν. κατάπληξις δὲ δεινὴ καὶ δέος ἦν τοῖς γνησίοις, καὶ οὔτε βουλῆς καιρὸς εἰς μεταβολὴν οὔτε συμβάσεως ἐλπὶς οὔτε φυγῆς τοῖς ἐθέλουσιν· ἐφρουρεῖτο γὰρ πάντα, καὶ τὰ λοιπὰ στασιάζοντες οἱ ἀρχιληστὰι τοὺς εἰρηνικὰ Ῥωμαίοις φρονοῦντας ἢ πρὸς αὐτομολίαν ὑπόπτους ὡς κοινοὺς πολεμίους ἀνῄρουν, καὶ μόνον ὠμονόουν τὸ φονεύειν τοὺς σωτηρίας ἀξίους. καὶ τῶν μὲν μαχομένων ἀδιάλειπτος ἦν κραυγὴ μεθ' ἡμέραν τε καὶ νύκτωρ, δεινότεροι δὲ οἱ τῶν πενθούντων ὀδυρμοὶ ἀεί. καὶ θρήνων μὲν αἰτίας ἐπαλλήλους αἱ συμφοραὶ προσέφερον· τὰς δὲ οἰμωγὰς ἐνέκλειεν ἡ κατάπληξις αὐτῶν. φιμούμενοι δὲ τά γε πάθη τῷ φόβῳ μεμυκόσι τοῖς στεναγμοῖς ἐβασανίζοντο, καὶ οὔτε πρὸς τοὺς ζῶντας ἦν αἰδὼς ἔτι τοῖς προσήκουσιν οὔτε πρόνοια τῶν ἀπολωλότων ταφῆς. αἴτιον δὲ ἀμφοτέρων ἡ καθ' ἑαυ-

Digitized by Google

τὸν ἀπόγνωσις ἑκάστου· παρεῖθησαν γὰρ εἰς πάντα τὰς προθυμίας οἱ μὴ στασιάζοντες ὡς ἀπολούμενοι πάντως ὅσον οὐδέπω. πατοῦντες δὴ τοὺς νεκροὺς ἐπ' ἀλλήλοις σεσωρευμένους οἱ στασιασταὶ συνεπλέκοντο, καὶ τὴν ἀπόνοιαν ἀπὸ τῶν ἐν ποσὶ πτωμάτων σπῶντες ἦσαν ἀγριώτεροι· προσεξευρίσκοντες δὲ ἀεί τι καθ' αὑτῶν ὀλέθριον καὶ πᾶν τὸ δοχθὲν ἀφειδῶς δρῶντες οὐδεμίαν οὔτε αἰκίας ὁδὸν οὔτε ὠμότητος παρέλιπον. ἀμέλει Ἰωάννης τὴν ἱερὰν ὕλην εἰς πολεμιστηρίων κατασκευὴν ὀργάνων ἀπεχρήσατο. δόξαν γάρ ποτε τῷ λαῷ καὶ τοῖς ἀρχιερεῦσιν ὑποστηρίξαντας τὸν ναὸν εἴκοσι πήχεις προσυψῶσαι, κατάγει μὲν ἀπὸ τοῦ Λιβάνου μεγίστοις ἀναλώμασι καὶ πόνοις τὴν χρήσιμον ὕλην ὁ βασιλεὺς Ἀγρίππας, ξύλα θέας ἄξια τήν τε εὐθύτητα καὶ τὸ μέγεθος, μεσολαβήσαντος δὲ τοῦ πολέμου τὸ ἔργον, ὁ Ἰωάννης τεμὼν αὐτὰ πύργους κατεσκεύαζεν, ἑξαρκοῦν τὸ μῆκος εὑρὼν πρὸς τοὺς ἀπὸ τοῦ παθύπερθεν ἱεροῦ μαχομένους· ἵστησί τε προσαγαγὼν κατόπιν τοῦ περιβόλου, τῆς πρὸς δύσιν ἐξέδρας ἄντικρυς, ἥπερ καὶ μόνη δυνατὸν ἦν, τῶν ἄλλων μερῶν βαθμοῖς πόρρωθεν διειλημμένων.

καὶ ὃ μὲν τοῖς κατασκευασθεῖσιν ἐξ ἀσεβείας ὀργάνοις κρατήσειν ἤλπισε τῶν ἐχθρῶν, ὁ δὲ θεὸς ἄχρηστον αὐτῷ τὸν πόνον ἀπέδειξε, πρὶν ἐπιστῆσαί τινα τῶν πύργων, Ῥωμαίους ἐπαγαγών. ὁ γὰρ δὴ Τίτος ἐπειδὴ τὰ μὲν συνήγαγε τῆς δυνάμεως πρὸς αὐτόν, τοῖς δὲ ἐπὶ Ἱεροσολύμων συναντᾶν ἐπέστειλεν, ἐξήλαυνε τῆς Καισαρείας. ἦν δὲ τρία μὲν τὰ πρότερον αὐτοῦ τῷ πατρὶ συνδηώσαντα τὴν Ἰουδαίαν τάγματα, καὶ τὸ πάλαι σὺν Κεστίῳ πταῖσαν δωδέκατον, ὅπερ καὶ ἄλλως ἐπίσημον δι' ἀνδρείαν ὑπάρχον, τότε κατὰ μνήμην ὧν ἔπαθεν εἰς ἄμυναν ἦει προθυμότερον. τούτων μὲν οὖν τὸ 6

Digitized by Google

πέμπτον δι' Ἀμμαούντος ἐκέλευσεν αὐτῷ συναντᾶν, καὶ διὰ Ἰεριχοῦντος τὸ δέκατον ἀναβαίνειν· αὐτὸς δὲ ἀνέζευξε μετὰ τῶν λοιπῶν, πρὸς οἷς αἵ τε τῶν βασιλέων συμμαχίαι πᾶσαι πλείους, καὶ συχνοὶ τῶν ἀπὸ τῆς Συρίας ἐπίκουροι συνῆλθον. ἀνεπληρώθη δὲ καὶ τῶν τεσσάρων ταγμάτων ὅσον Οὐεσπασιανὸς ἐπιλέξας Μουκιανῷ συνέπεμψεν εἰς Ἰταλίαν ἐκ τῶν ἐπελθόντων μετὰ Τίτου· δισχίλιοι μὲν γὰρ αὐτῷ τῶν ἀπ' Ἀλεξανδρείας στρατευμάτων ἐπίλεκτοι, τρισχίλιοι δὲ συνείποντο τῶν ἀπ' Εὐφράτου φυλάκων, φίλων δὲ δοκιμώτατος εὔνοιάν τε καὶ σύνεσιν Τιβέριος Ἀλέξανδρος, πρότερον μὲν αὐτὸς τὴν Αἴγυπτον διέπων, τότε δὲ τῶν στρατευμάτων ἄρχων, κριθεὶς ἄξιος ἐξ ὧν ἐδεξιώσατο πρῶτος ἐγειρομένην ἅρτι τὴν ἡγεμονίαν, καὶ μετὰ πίστεως λαμπρᾶς ἐξ ἀθήλου τῇ τύχῃ προσέθετο. σύμβουλός γε μὴν ταῖς τοῦ πολέμου χρείαις, ἡλικίᾳ τε προύχων καὶ κατ' ἐμπειρίαν, εἵπετο.

2 προσιόντι δὲ εἰς τὴν πολεμίαν Τίτῳ προῆγον μὲν οἱ βασιλικοὶ καὶ πᾶν τὸ συμμαχικόν, ἐφ' οἷς ὁδοποιοὶ καὶ μετρηταὶ στρατοπέδων, ἔπειτα τὰ τῶν ἡγεμόνων σκευοφόρα, καὶ μετὰ τοὺς τούτων ὁπλίτας αὐτὸς τούς τε ἄλλους ἐπιλέκτους καὶ τοὺς λογχοφόρους ἔχων, κατόπιν δὲ αὐτῷ τὸ τοῦ τάγματος ἱππικόν· οὗτοι δὲ πρὸ τῶν μηχανημάτων, καὶ ἐπ' ἐκείνοις μετ' ἐπιλέκτων χιλίαρχοι καὶ σπειρῶν ἔπαρχοι· μετὰ δὲ τούτους περὶ τὸν ἀετὸν αἱ σημαῖαι, καὶ ἔμπροσθεν οἱ σαλπιγκταὶ τῶν σημαιῶν· ἐπὶ δὲ τούτοις ἡ φάλαγξ, τὸ στῖφος εἰς ἓξ πλατύνασα· τὸ δὲ οἰκετικὸν ἑκάστου τάγματος ὄπισθω, καὶ πρὸ τούτων τὰ σκευοφόρα· τελευταῖοι δὲ πάντων οἱ μίσθιοι, καὶ τούτων φύλακες οἱ σὺραγοί. προάγων δὲ τὴν δύναμιν ἐν κόσμῳ Τίτος, καθὰ Ῥωμαίοις σύνηθες, ἐμβάλλει διὰ τῆς Σαμαρείτιδος εἰς Γοφνά, κατειλημ-

Digitized by Google

μένην τε πρότερον ὑπὸ τοῦ πατρὸς καὶ τότε φρουρουμένην. ἔνθα μίαν ἑσπέραν αὐλισάμενος ὑπὸ τὴν ἕω πρόεισι, καὶ διανύσας ἡμέρας σταδμὸν στρατοπεδεύεται κατὰ τὸν ὑπὸ Ἰουδαίων πατρίως Ἀκανθῶν αὐλῶνα καλούμενον, πρός τινι κώμῃ Γαβαθσαούλῃ λεγομένῃ (σημαίνει δὲ τοῦτο λόφον Σαούλου), διέχων ἀπὸ τῶν Ἱεροσολύμων ὅσον εἰς τριάκοντα σταδίους. ἀναλαβών τε ἐντεῦθεν ὅσον εἰς ἑξακοσίους τῶν ἐπιλέκτων ἱππέων ἦει τήν τε πόλιν περισκεψόμενος, ὅπως ὀχυρότητος ἔχοι, καὶ τὰ φρονήματα τῶν Ἰουδαίων, εἰ πρὸς τὴν ὄψιν αὐτοῦ, πρὶν εἰς χεῖρας ἐλθεῖν, ὑποδείσαντες ἐνδοῖεν· πέπυστο γάρ, ὅπερ ἦν ἀληθές, τοῖς στασιώδεσι καὶ ληστρικοῖς τὸν δῆμον ὑποπεπτωκότα ποθεῖν μὲν εἰρήνην, ἀσθενέστερον δὲ ὄντα τῆς ἐπαναστάσεως ἠρεμεῖν.

ἕως μὲν οὖν ὄρθιον ἱππάζετο τὴν λεωφόρον κατα- 2
τείνουσαν πρὸς τὸ τεῖχος, οὐδεὶς προυφαίνετο τῶν πυλῶν· ἐπεὶ δὲ ἐκ τῆς ὁδοῦ πρὸς τὸν Ψήφινον πύργον ἀποκλίνας πλάγιον ἦγε τὸ τῶν ἱππέων στίφος, προπηδήσαντες ἐξαίφνης ἄπειροι κατὰ τοὺς Γυναικείους καλουμένους πύργους διὰ τῆς ἀντικρὺ τῶν Ἑλένης μνημείων πύλης διεκπαίουσι τῆς ἵππου, καὶ τοὺς μὲν ἔτι κατὰ τὴν ὁδὸν θέοντας ἀντιμέτωποι στάντες ἐκώλυσαν συνάψαι τοῖς ἐγκλίνασι, τὸν δὲ Τίτον ἀποτέμνονται σὺν ὀλίγοις. τῷ δὲ πρόσω μὲν ἦν χωρεῖν ἀδύνατον (ἐτετάφρευτο γὰρ ἀπὸ τοῦ τείχους περὶ τὰς κηπείας ἅπαντα, τοίχοις τε ἐπικαρσίοις καὶ πολλοῖς ἕρκεσι διειλημμένα), τὴν δὲ πρὸς τοὺς σφετέρους ἀναδρομὴν πλήθει τῶν ἐν μέσῳ πολεμίων ἀμήχανον ἑώρα· ὧν οἱ πολλοὶ μηδὲ γινώσκοντες τὸν τοῦ βασιλέως κίνδυνον, ἀλλ' οἰόμενοι συναναστραφῆναι κἀκεῖνον ἀνέφευγον. ὁ δὲ κατιδὼν ὡς ἐν μόνῃ τῇ καθ' αὑτὸν ἀλκῇ κεῖται τὸ σώζεσθαι, τόν τε ἵππον ἐπιστρέφει καὶ τοῖς περὶ αὐτὸν ἐμβοήσας

Digitized by Google

ἔπεσθαι μέσοις ἐμπηδᾷ τοῖς πολεμίοις, διεκπαῖσαι πρὸς τοὺς σφετέρους βιαζόμενος. ἔνθα δὴ μάλιστα πάρεστι νοεῖν ὅτι καὶ πολέμων ῥοπαὶ καὶ βασιλέων κίνδυνοι μέλονται τῷ θεῷ· τοσούτων γὰρ ἐπὶ τὸν Τίτον ἀφιεμένων βελῶν μήτε κράνος ἔχοντα μήτε θώρακα (προῆλθε γάρ, ὡς ἔφην, οὐ πολεμιστὴς ἀλλὰ κατάσκοπος) οὐδὲν ἥψατο τοῦ σώματος, κενὰ δέ, ὥσπερ ἐπίτηδες ἀστοχούντων, παρεφροιζεῖτο πάντα. τῷ δὲ ξίφει τοὺς κατὰ πλευρὸν ἀεὶ διαστέλλων, καὶ πολλοὺς τῶν ἀντιπροσώπων ἀνατρέπων, ἤλαυνεν ὑπὲρ τοὺς ἐρειπομένους τὸν ἵππον. τῶν δὲ κραυγή τε ἦν πρὸς τὸ παράστημα τοῦ Καίσαρος καὶ παρακέλευσις ὁρμᾶν ἐπ' αὐτόν, φυγὴ δὲ καὶ διαχωρισμὸς ἄθρους καθ' οὓς ἐπελαύνων γένοιτο. συνήπτοντο δὲ οἱ τοῦ κινδύνου μετέχοντες κατὰ νῶτα καὶ κατὰ πλευρὰ νυσσόμενοι· μία γὰρ ἐλπὶς ἦν σωτηρίας ἑκάστῳ τὸ συνεξανοίγειν τῷ Τίτῳ μὴ φθάσαντι κυκλωθῆναι. δύο γοῦν τῶν ἀπωτέρω τὸν μὲν σὺν τῷ ἵππῳ περισχόντες κατηκόντισαν, θάτερον δὲ κατακηδήσαντα διαφθείραντες τὸν ἵππον ἀπήγαγον. μετὰ δὲ τῶν λοιπῶν Τίτος ἐπὶ τὸ στρατόπεδον διασώζεται.

τοῖς μὲν οὖν Ἰουδαίοις πλεονεκτήσασι κατὰ τὴν πρώτην ἐπίθεσιν ἐπῆγειρε τὰς διανοίας ἄσκεπτος ἐλπίς, καὶ πολὺ θάρσος αὐτοῖς εἰς τὸ μέλλον ἡ πρόσκαιρος ῥοπὴ προυξένει· Καῖσαρ δὲ ὡς αὐτῷ συνέμιξε διὰ νυκτὸς τὸ ἀπὸ τῆς Ἀμμαοῦντος τάγμα, μεθ' ἡμέραν ἐκεῖθεν ἄρας ἐπὶ τὸν Σκοπὸν καλούμενον πρόεισιν, ἔνθεν ἥ τε πόλις ἤδη κατεφαίνετο καὶ τὸ τοῦ ναοῦ μέγεθος ἔκλαμπρον, καθὰ τῷ βορείῳ κλίματι τῆς πόλεως χθαμαλὸς συνάπτων ὁ χῶρος ἐτύμως Σκοπὸς ὠνόμαστται. τῆς δὲ πόλεως σταδίους ἑπτὰ διέχων ἐκέλευσε περιβαλέσθαι στρατόπεδον τοῖς δύο τάγμασιν ὁμοῦ, τὸ δὲ πέμπτον ὀπίσω τούτων τρισὶ σταδίοις· κόπῳ γὰρ τῆς

Digitized by Google

διὰ νυκτὸς πορείας τετριμμένους ἐδόκει σκέπης ἀξίους εἶναι, ὡς ἂν ἀδεέστερον τειχίσαιντο. καταρχομένων δὲ ἅρτι τῆς δομήσεως, καὶ τὸ δέκατον τάγμα διὰ Ἰεριχοῦντος ἤδη παρῆν, ἔνθα καθῆστό τις ὁπλιτικὴ μοῖρα φρουροῦσα τὴν ἐμβολὴν ὑπὸ Ὀεσπασιανοῦ προκατειλημμένην. προσετέτακτο δὲ αὐτοῖς ἔξ ἀπέχοντας τῶν Ἱεροσολύμων σταδίους στρατοπεδεύσασθαι κατὰ τὸ Ἐλαιῶν καλούμενον ὄρος, ὃ τῇ πόλει πρὸς ἀνατολὴν ἀντίκειται, μέσῃ φάραγγι βαθείᾳ διειργόμενον, ἣ Κεδρὼν ὠνόμασται.

τῶν δὲ ἀνὰ τὸ ἄστυ συρρηγνυμένων ἀδιαλείπτως 4
τότε πρῶτον ἀνέπαυσε τὴν ἐπ' ἀλλήλοις ἔριν ὁ ἔξωθεν πόλεμος ἐξαίφνης πολὺς ἐπελθών, καὶ μετ' ἐκπλήξεως οἱ στασιασταὶ τοὺς Ῥωμαίους ἀφορῶντες στρατοπεδευομένους τριχῇ κακῆς ὁμονοίας κατήρχοντο, καὶ λόγον ἀλλήλοις ἐδίδοσαν, τί μένοιεν ἢ τί παθόντες ἀνέχοιντο τρία ταῖς ἀναπνοαῖς αὐτῶν ἐπιφρασσόμενα τείχη· καὶ τοῦ πολέμου μετ' ἀδείας ἀντιπολίζοντος ἑαυτόν, οἱ δὲ ὥσπερ θεαταὶ καλῶν καὶ συμφόρων ἔργων καθέζοιντο τειχήρεις, τῷ χεῖρε καὶ τὰς πανοπλίας παρέντες. "καθ' αὐτῶν ἄρα γενναῖοι μόνον ἡμεῖς" ἐξεβόησαν, "Ῥωμαῖοι δὲ ἐκ τῆς ἡμετέρας στάσεως κερδήσουσιν ἀναιμωτὶ τὴν πόλιν." τούτοις ἀθροίζοντες ἀλλήλους παρεκρότουν, καὶ τὰς πανοπλίας ἁρπάσαντες αἰφνιδίως ἐπεκθέουσι τῷ δεκάτῳ τάγματι, καὶ διὰ τῆς φάραγγος ἅξαντες μετὰ κραυγῆς ἑξαίσιον τειχιζομένοις προσπίπτουσι τοῖς Ῥωμαίοις. οἱ δὲ πρὸς τὸ ἔργον διῳρημένοι, καὶ διὰ τοῦτο τὰ πολλὰ τεθεικότες τῶν ὅπλων (οὔτε γὰρ θαρσεῖν τοὺς Ἰουδαίους πρὸς ἐκδρομὴν ὑπελάμβανον, καὶ προθυμουμένων περισπασθήσεσθαι τὰς ὁρμὰς τῇ στάσει), συνεταράχθησαν ἀδοκήτως, καὶ τῶν ἔργων ἀφέμενοι τινὲς μὲν ἀνεχώρουν εὐθέως, πολλοὶ δὲ ἐπὶ τὰ ὅπλα θέον-

Digitized by Google

τες, πρὶν ἐπιστραφῆναι πρὸς τοὺς ἐχθρούς, ἐφθάνοντο παιόμενοι. προσεγίνοντο δὲ τοῖς Ἰουδαίοις ἀεὶ πλείους, ἐπὶ τῷ κρατεῖν τοὺς πρώτους τεθαρρηκότες, καὶ τῶν ὄντων πολλαπλασίους ἐδόκουν σφίσι τε καὶ τοῖς πολεμίοις, δεξιᾷ τῇ τύχῃ χρώμενοι. μάλιστα δὲ τοὺς ἐν ἕθει συντάξεως ὄντας καὶ μετὰ κόσμου καὶ παραγγελμάτων πολεμεῖν εἰδότας ἀταξία φθάσασα θορυβεῖ. διὸ καὶ τότε προληφθέντες οἱ Ῥωμαῖοι ταῖς ἐμβολαῖς εἶκον· καὶ ὁπότε μὲν ἐπιστραφείεν οἱ καταλαμβανόμενοι, τοῦ τε δρόμου τοὺς Ἰουδαίους ἐπεῖχον καὶ διὰ τὴν ὁρμὴν ἧττον φυλατομένους ἐτίτρωσκον, ἀεὶ δὲ πληθυούσης τῆς ἐκδρομῆς μᾶλλον ταραττόμενοι τελευταῖον ἀπὸ τοῦ στρατοπέδου τρέπονται. καὶ ἐδόκει τότε κινδυνεῦσαι τὸ τάγμα πᾶν, εἰ μὴ Τίτος ἀγγελθέντος αὐτῷ διὰ τάχους ἐπεβοήθησε. καὶ πολλὰ ὀνειδίσας εἰς ἀνανδρίαν ἐπιστρέφει μὲν τοὺς φεύγοντας, αὐτὸς δὲ πλαγίοις τοῖς Ἰουδαίοις προσπεσὼν μεθ' ὧν ἦκεν ἐπιλέκτων συχνοὺς μὲν ἀναιρεῖ, τιτρώσκει δὲ πλείους, τρέπεται δὲ πάντας καὶ συνωθεῖ κατὰ τῆς φάραγγος. οἱ δὲ ἐν τῷ κατάντει πολλὰ κακωθέντες, ὡς διεξέπεσον, ἄντικρυς ἐπιστρέφονται, καὶ μέσην ἔχοντες τὴν χαράδραν τοῖς Ῥωμαίοις διεμάχοντο.

μέχρι μὲν δὴ μέσης ἡμέρας οὕτως ἐπολέμουν· ὀλίγον δὲ ἀπὸ μεσημβρίας ἐκκλίνοντος ἤδη, Τίτος τοὺς μεθ' ἑαυτοῦ προσβοηθήσαντας καὶ τοὺς ἀπὸ τῶν σπειρῶν τοῖς ἐκτρέχουσιν ἀντιπαρατάξας τὸ λοιπὸν τάγμα πρὸς τὸν τειχισμὸν ἀνέπεμπεν εἰς τὴν ἀκρώρειαν. Ἰουδαίοις δὲ τοῦτο ἐδόκει φυγή, καὶ τοῦ σκοποῦ κατασείσαντος θολμάτιον, ὃς αὐτοῖς ἐπὶ τοῦ τείχους καθῆστο, προκηδῶσι πλῆθος ἀκραιφνέστατον μετὰ τοσαύτης ὁρμῆς ὡς τὸν δρόμον αὐτῶν τοῖς ἀγριωτάτοις εἰκάζειν θηρίοις. ἀμέλει τῶν ἀντιπαραταχθέντων οὐδεὶς ἔμεινε τὴν ἐμβολήν, ἀλλ' ὥσπερ ἐξ ὀργάνου παιόμενοι διέρρηξαν

Digitized by Google

τὴν τάξιν καὶ πρὸς τὸ ὄρος τραπέντες ἀνέφευγον. λείπεται δὲ ἐν μέσῳ τῷ προσάντει Τίτος μετ' ὀλίγων, καὶ πολλὰ παραινούντων τῶν φίλων, ὅσοι δι' αἰδῶ τὴν πρὸς τὸν ἡγεμόνα τοῦ κινδύνου καταφρονήσαντες ἔστησαν, εἶξαι θανατῶσιν Ἰουδαίοις, καὶ μὴ προκινδυνεύειν τούτων οὓς ἐχρῆν πρὸ αὐτοῦ μένειν, λαμβάνειν δὲ ἔννοιαν τῆς καθ' αὑτὸν τύχης, καὶ μὴ στρατιώτου τάξιν ἀποπληροῦν τὸν τοῦ πολέμου καὶ τῆς οἰκουμένης δεσπότην, μηδὲ ὀξεῖαν οὕτως ὑφίστασθαι ῥοπὴν ἐν ᾧ σαλεύει τὰ πάντα, τούτων οὐδὲ ἀκούειν ἔδοξε, τοῖς δὲ κατ' αὐτὸν ἀνατρέχουσιν ἀνθίσταται, καὶ κατὰ στόμα παίων βιαζομένους ἀνῄρει, κατά τε τοῦ πρανοῦς ἀθρόοις ἐμπίπτων ἀνεώθει τὸ πλῆθος. οἱ δὲ πρός τε τὸ παράστημα καὶ τὴν ὁρμὴν καταπλαγέντες, οὐδὲ οὕτω μὲν ἀνέφευγον εἰς τὴν πόλιν, καθ' ἑκάτερον δὲ ἐγκλίνοντες ἀπ' αὐτοῦ τοῖς ἀνωτέρω φεύγουσι προσέκειντο. καὶ τούτοις δὲ κατὰ πλευρὰ προσβάλλων τὰς ὁρμὰς ὑπετέμνετο. κἀν τούτῳ καὶ τοῖς ἄνω τειχίζουσι τὸ στρατόπεδον, ὡς ἐθεάσαντο τοὺς κάτω φεύγοντας πάλιν, ἐμπίπτει ταραχὴ καὶ δέος, καὶ διασκίδναται πᾶν τὸ τάγμα, δοκούντων ἀνυπόστατον μὲν εἶναι τὴν τῶν Ἰουδαίων ἐκδρομήν, τετράφθαι δὲ αὐτὸν Τίτον· οὐ γὰρ ἄν ποτε τοὺς ἄλλους φυγεῖν ἐκείνου μένοντος. καὶ καθάπερ πανικῷ δείματι κυκλωθέντες ἄλλος ἀλλαχῇ διεφέροντο, μέχρι τινὲς κατιδόντες ἐν μέσῳ τοῦ πολέμου τὸν ἡγεμόνα στρεφόμενον, καὶ μέγα δείσαντες ἀμφ' αὐτῷ, διαβοῶσι τὸν κίνδυνον ὅλῳ τῷ τάγματι. τοὺς δὲ αἰδὼς ἐπέστρεφε, καὶ πλεῖόν τι φυγῆς κακίζοντες ἀλλήλους ἐπὶ τῷ καταλιπεῖν Καίσαρα, πάσῃ βίᾳ κατὰ τῶν Ἰουδαίων ἐχρῶντο, καὶ κλίναντας ἅπαξ ἀπὸ τοῦ κατάντους συνώθουν αὐτοὺς εἰς τὸ κοῖλον. οἱ δὲ ὑπὸ πόδα χωροῦντες ἐμάχοντο, καὶ πλεονεκτοῦντες οἱ Ῥωμαῖοι τῷ καθύπερθεν εἶναι συν-

Digitized by Google

ελαύνουσι πάντας εἰς τὴν φάραγγα. προσέκειτο δὲ τοῖς καθ' αὐτὸν ὁ Τίτος, καὶ τὸ μὲν τάγμα πάλιν ἐπὶ τὴν τειχοποιίαν ἔπεμψεν, αὐτὸς δὲ σὺν οἷς πρότερον ἀντιστὰς εἶργε τοὺς πολεμίους. ὥστε, εἰ χρὴ μήτε θεραπείᾳ τι προστιθέντα μήτε ὑφελόντα φθόνῳ τὸ ἀληθὲς εἰπεῖν, αὐτὸς Καῖσαρ δὶς μὲν ἐρρύσατο κινδυνεῦον ὅλον τὸ τάγμα, καὶ τοῦ περιβαλέσθαι δὲ τὸ στρατόπεδον αὐτοῖς ἄδειαν παρέσχε.

3 λωφήσαντος δὲ πρὸς βραχὺ τοῦ θύραθεν πολέμου πάλιν ἔνδον ἡ στάσις ἐπηγείρετο, καὶ τῆς τῶν ἀζύμων ἐνστάσης ἡμέρας τεσσαρεσκαιδεκάτῃ Ξανθικοῦ μηνός, ἐν ᾗ δοκοῦσιν Ἰουδαῖοι τὸν πρῶτον ἀπαλλαγῆναι καιρὸν Αἰγυπτίων, οἱ μὲν περὶ τὸν Ἐλεάζαρον παρανοίγοντες τὰς πύλας ἐδέχοντο ἐκ τοῦ δήμου τοὺς προσκυνεῖν ἐθέλοντας εἴσω, Ἰωάννης δὲ προκάλυμμα τῆς ἐπιβουλῆς ποιησάμενος τὴν ἑορτήν, τῶν σὺν αὐτῷ κρυπτοῖς ὅπλοις ἐνσκευάσας τοὺς ἀσημοτέρους, ὧν οἱ πλείους ἦσαν ἄναγνοι, διὰ σπουδῆς παρεισπέμπει προκαταλη-ψομένους τὸ ἱερόν. οἱ δὲ ὡς ἔνδον ἐγένοντο, τὰς ἐσθῆτας ἀπορρίψαντες ἐφάνησαν ἐξαπίνης ὁπλῖται. ταραχὴ δὲ μεγίστη περὶ τὸν ναὸν αὐτίκα καὶ θόρυβος ἦν, τοῦ μὲν ἔξω τῆς στάσεως λαοῦ κατὰ πάντων ἄκριτον οἰομένων εἶναι τὴν ἐπίθεσιν, τῶν δὲ ζηλωτῶν ἐπὶ σφίσι μόνοις. ἀλλ' οἱ μὲν ἀφέμενοι τὸ φρουρεῖν ἔτι τὰς πύλας, καὶ τῶν ἐπάλξεων καταπηδήσαντες πρὶν εἰς χεῖρας ἐλθεῖν, εἰς τοὺς ὑπονόμους τοῦ ἱεροῦ κατέφυγον· οἱ δὲ ἀπὸ τοῦ δήμου πρὸς τῷ βωμῷ καταπτήσσοντες καὶ περὶ τὸν ναὸν συνειλούμενοι κατεπατοῦντο, ξύλοις τε ἀνέδην παιόμενοι καὶ σιδήρῳ. πολλοὺς δὲ τῶν ἡσυχίων κατ' ἔχθραν καὶ μῖσος ἴδιον ὡς ἀντιστασιαστὰς ἀνῄρουν οἱ διάφοροι· καὶ πᾶς ὁ προσκρούσας τινὶ τῶν ἐπιβούλων πάλαι, τηνικαῦτα ἐπιγνωσθεὶς ὡς ζηλωτὴς πρὸς αἰκίαν

Digitized by Google

ἀνήγετο. πολλὰ δὲ δεινὰ τοὺς ἀναιτίους διαθέντες ἐκεχειρίαν τοῖς αἰτίοις ἔδοσαν, καὶ προελθόντας ἐκ τῶν ὑπονόμων διίεσαν· αὐτοὶ δὲ καὶ τὸ ἐνδοτέρω ἱερὸν κατασχόντες καὶ τὰς ἐν αὐτῷ παρασκευὰς πάσας, κατεθάρρουν ἤδη τοῦ Σίμωνος.

ἡ μὲν οὖν στάσις οὕτω τριμερὴς οὖσα πρότερον εἰς δύο μοίρας περιίσταται· ὁ δὲ Τίτος ἔγγιον ἀπὸ τοῦ 2 Σκοποῦ τῇ πόλει παραστρατοπεδεύσασθαι προαιρούμενος, πρὸς μὲν τοὺς ἐκτρέχοντας ἔστησεν ἐπιλέξας ἱππέων τε καὶ πεζῶν ὅσους ἀρκέσειν ὑπελάμβανε, τῇ δὲ ὅλῃ δυνάμει προσέταξεν ἐξομαλίζειν τὸ μέχρι τοῦ τείχους διάστημα. καταβληθέντος δὲ παντὸς ἕρκους καὶ περιφράγματος, ὅσα κήπων προανεστήσαντο καὶ δένδρων οἱ οἰκήτορες, ὕλης τε ἡμέρου τῆς μεταξὺ πάσης ἐκκοπείσης, ἀνεπλήσθη μὲν τὰ κοῖλα καὶ χαραδρώδη τοῦ τόπου, τὰς δὲ πετρώδεις ἐξοχὰς σιδήρῳ κατεργαζόμενοι χθαμαλὸν ἐποίουν πάντα τὸν χῶρον ἀπὸ τοῦ Σκοποῦ μέχρι τῶν Ἡρώδου μνημείων, ἃ προσεῖχε τῇ τῶν Ὄφεων καλουμένῃ κολυμβήθρᾳ.

καὶ κατὰ ταύτας τὰς ἡμέρας οἱ Ἰουδαῖοι κατὰ τῶν 3 Ῥωμαίων ἐνέδραν συσκευάζονται τοιάνδε. τῶν στασιαστῶν οἱ μὲν τολμηρότεροι προελθόντες ἔξω τῶν Γυναικείων καλουμένων πύργων, ὡς ἐκβεβλημένοι δῆθεν ὑπὸ τῶν εἰρηνικὰ φρονούντων καὶ δεδοικότες τὴν τῶν Ῥωμαίων ἔφοδον, ἀνειλοῦντο καὶ παρ' ἀλλήλους ὑπέπτησσον· οἱ δὲ διαστάντες ἐπὶ τοῦ τείχους, δῆμος εἶναι δοκῶν, εἰρήνην ἐβύων καὶ δεξιὰν ἠτοῦντο καὶ τοὺς Ῥωμαίους ἐκάλουν, ἀνοίξειν ὑπισχνούμενοι τὰς πύλας. ἅμα δὲ ταῦτα κεκραγότες, καὶ τοὺς σφετέρους ἔβαλλον λίθοις ὡς ἀπελαύνοντες τῶν πυλῶν. κἀκεῖνοι βιάζεσθαι τὰς εἰσόδους ὑπεκρίνοντο καὶ τοὺς ἔνδον ἱκετεύειν, συνεχῶς τε πρὸς τοὺς Ῥωμαίους ὁρμήσαντες ἐπι-

Digitized by Google

στρεφόμενοι ταραττομένοις προσεφκεσαν. παρὰ μὲν οὖν τοῖς στρατιώταις τὸ πανοῦργον αὐτῶν οὐκ ἐλείπετο πίστεως, ἀλλ' ὡς τοὺς μὲν ἐν χερσὶν ἔχοντες ἑτοίμους πρὸς τιμωρίαν, τοὺς δὲ ἀνοίξειν τὴν πόλιν ἐλπίζοντες, ἐχώρουν ἐπὶ τὴν πρᾶξιν. Τίτῳ δὲ δι' ὑποψίας ἦν τὸ τῆς ἐπικλήσεως παράλογον· καὶ γὰρ πρὸ μιᾶς ἡμέρας προκαλούμενος αὐτοὺς ἐπὶ συμβάσεις διὰ τοῦ Ἰωσήπου μέτριον οὐδὲν εὗρισκε, καὶ τότε τοὺς στρατιώτας κατὰ χώραν μένειν ἐκέλευσεν. φθάνουσι δέ τινες τῶν ἐπὶ τοῖς ἔργοις προτεταγμένων ἁρπάσαντες τὰ ὅπλα πρὸς τὰς πύλας ἐκδραμεῖν. τούτοις οἱ μὲν ἐκβεβλῆσθαι δοκοῦντες τὸ πρῶτον ὑπεχώρουν· ἐπεὶ δὲ μεταξὺ τῶν τῆς πύλης ἐγίνοντο πύργων, ἐκθέοντες ἐκυκλοῦντο σφᾶς καὶ προσέκειντο κατόπιν· οἱ δὲ ἀπὸ τοῦ τείχους πλῆθος χερμάδων καὶ βελῶν παντοίων ἄθρουν κατέχεαν, ὥστε συχνοὺς μὲν ἀνελεῖν, τρῶσαι δὲ πλείστους. ἦν γὰρ οὐ ῥᾴδιον τοῦ τείχους διαφυγεῖν τῶν κατόπιν βιαζομένων, καὶ ἄλλως αἰδὼς τῆς διαμαρτίας τῶν ἡγεμόνων καὶ δέος παρεκελεύετο τῷ πταίσματι προσλιπαρεῖν. διὸ δὴ μέχρι πλείστου διαδορατιζόμενοι, καὶ πολλὰς ὑπὸ τῶν Ἰουδαίων λαμβάνοντες πληγάς, ἀμέλει δὲ οὐκ ἐλάττους ἀντιδιδόντες, τέλος ἀνωθοῦσι τοὺς κυκλωσαμένους. ὑποχωροῦσι δὲ αὐτοῖς οἱ Ἰουδαῖοι μέχρι τῶν Ἑλένης μνημείων εἵποντο βάλλοντες.

4 ἔπειτα οἱ μὲν ἀπειροκάλως ἐξυβρίζοντες εἰς τὴν τύχην ἔσκωπτόν τε τοὺς Ῥωμαίους δεδεασθέντας ἀπάτῃ, καὶ τοὺς θυρεοὺς ἀνασείοντες ἐσκίρτων, καὶ μετὰ χαρᾶς ἀνεβόων. τοὺς δὲ στρατιώτας ἀπειλή τε τῶν ταξιαρχῶν καὶ χαλεπαίνων Καῖσαρ τούτοις ἐξεδέχετο, φάσκων ὡς Ἰουδαῖοι μέν, οἷς ἀπόνοια μόνη στρατηγεῖ, πάντα μετὰ προνοίας πράττουσι καὶ σκέψεως, ἐπιβουλάς τε συντάσσοντες καὶ λόχους, ἔπεται δὲ αὐτῶν ταῖς

Digitized by Google

ἐνέδραις καὶ τύχῃ διὰ τὸ πειθήνιον καὶ τὴν πρὸς ἀλλήλους εὔνοιάν τε καὶ πίστιν· Ῥωμαῖοι δέ, οἷς δι' εὐταξίαν καὶ τὸ πρὸς τοὺς ἡγεμόνας εὐπειθὲς ἀεὶ δουλεύει καὶ τύχη, νῦν ὑπὸ τῶν ἐναντίων πταίουσι καὶ διὰ χειρῶν ἀκρασίαν ἁλίσκονται, τὸ πάντων αἴσχιστον, ἀστρατήγητοι μαχόμενοι παρόντος Καίσαρος. ἦ μεγάλα μὲν στενάξειν ἔφη τοὺς τῆς στρατιᾶς νόμους, μεγάλα δὲ αὐτοῦ τὸν πατέρα τήνδε τὴν πληγὴν πυθόμενον, εἴ γε ὃ μὲν ἐν πολέμοις γηράσας οὐδέποτε ἔπταισεν οὕτως, οἱ νόμοι δὲ ἀεὶ καὶ τοὺς βραχύ τι τῆς τάξεως παρακινήσαντας θανάτῳ κολάζουσι. νῦν δὲ ὅλην στρατιὰν ἑωράκασι λιποτακτεῖν. γνώσεσθαί γε μὴν αὐτίκα τοὺς ἀπαυθαδιασαμένους ὅτι καὶ τὸ νικᾶν παρὰ Ῥωμαίοις δίχα παραγγέλματος ἀδοξεῖται. τοιαῦτα διατεινάμενος πρὸς τοὺς ἡγεμόνας θῆλος ἦν κατὰ πάντων χρῆσθαι τῷ νόμῳ. καὶ οἱ μὲν παρείδησαν τὰς ψυχὰς ὡς ὅσον οὐδέπω τεθνηξόμενοι δικαίως· περιχυθέντα δὲ τὰ τάγματα τῷ Τίτῳ περὶ τῶν συστρατιωτῶν ἱκέτευε, καὶ τὴν ὀλίγων προπέτειαν χαρίσασθαι τῇ πάντων εὐπειθείᾳ κατηντιβόλουν· ἀναλήψεσθαι γὰρ αὐτοὺς τὸ παρὸν πταῖσμα ταῖς εἰς τὸ μέλλον ἀρεταῖς.

πείθεται Καῖσαρ ἅμα ταῖς τε ἱκεσίαις καὶ τῷ συμφέροντι· τὴν μὲν γὰρ καθ' ἑνὸς τιμωρίαν ᾤετο χρῆναι μέχρις ἔργου προκόπτειν, τὴν δὲ ἐπὶ πλήθους μέχρι λόγου. τοῖς μὲν οὖν στρατιώταις διηλλάττετο, πολλὰ νουθετήσας αὖθις εἶναι φρονιμωτέρους· αὐτὸς δὲ ὅπως ἀμύνηται τὴν Ἰουδαίων ἐπιβουλὴν ἐσκόπει. τέσσαρσι δὲ ἡμέραις ἐξισωθέντος τοῦ μέχρι τῶν τειχῶν διαστήματος, βουλόμενος μετ' ἀσφαλείας τάς τε ἀποσκευὰς καὶ τὸ λοιπὸν πλῆθος παραγαγεῖν, τὸ καρτερώτατον τῆς δυνάμεως ἀντικαρεξέτεινε τῷ τείχει κατὰ τὸ βόρειον κλίμα καὶ πρὸς ἑσπέραν, ἐφ' ἑπτὰ βαθύνας τὴν

Digitized by Google

φάλαγγα· τῶν τε πεζῶν προτεταγμένων, καὶ κατόπιν τῶν ἱππέων, τριστοίχων ἑκατέρων, ἕβδομοι κατὰ μέσον εἱστήκεσαν οἱ τοξόται. τοσούτῳ δὲ στίφει πεφραγμένων Ἰουδαίοις τῶν ἐκδρομῶν, τά τε ὑποζύγια τῶν τριῶν ταγμάτων καὶ ἡ πληθὺς ἀδεῶς παρῴδευσεν. αὐτὸς μὲν οὖν Τίτος ἀπέχων ὅσον εἰς σταδίους δύο τοῦ τείχους, κατὰ τὸ γωνιαῖον αὐτοῦ μέρος ἀντικρὺ τοῦ Ψηφίνου καλουμένου πύργου στρατοπεδεύεται, πρὸς ὃν ὁ κύκλος τοῦ τείχους, πρὸς ἄρκτον καθήκων, ἀνακάμπτει πρὸς δύσιν· ἡ δὲ ἑτέρα μοῖρα τῆς στρατιᾶς κατὰ τὸν Ἱππικὸν προσαγορευθέντα πύργον τειχίζεται, διεστῶσα τῆς πόλεως ὁμοίως δύο σταδίους. τὸ μέντοι δέκατον τάγμα κατὰ χώραν ἐπὶ τοῦ Ἐλαιῶν καλουμένου ὄρους ἔμενε.

4 τρισὶ δὲ ὠχυρωμένη τείχεσιν ἡ πόλις καθ' ἃ μὴ ταῖς ἀβάτοις φάραγξιν ἐκυκλοῦτο (ταύτῃ γὰρ εἷς ἦν περίβολος), αὐτὴ μὲν ὑπὲρ δύο λόφων ἀντιπρόσωπος ἔκτιστο, μέσῃ φάραγγι διῃρημένων, εἰς ἣν ἐπάλληλοι κατέληγον αἱ οἰκίαι, τῶν δὲ λόφων ὁ μὲν τὴν ἄνω πόλιν ἔχων ὑψηλότερός τε πολλῷ καὶ τὸ μῆκος ἰθύτερος ἦν· διὰ γοῦν τὴν ὀχυρότητα φρούριον μὲν ὑπὸ Δαυίδου τοῦ βασιλέως ἐκαλεῖτο (πατὴρ Σολομῶνος ἦν οὗτος, τοῦ πρώτου τὸν νεὼν κτίσαντος), ἡ ἄνω δὲ ἀγορὰ πρὸς ἡμῶν· ἕτερος δὲ ὁ καλούμενος Ἄκρα καὶ τὴν κάτω πόλιν ὑφεστὼς ἀμφίκυρτος. τούτου δὲ ἀντικρὺ τρίτος ἦν λόφος, ταπεινότερός τε φύσει τῆς Ἄκρας, καὶ πλατείᾳ φάραγγι διειργόμενος ἄλλῃ πρότερον· αὖθίς γε μήν, καθ' οὓς οἱ Ἀσαμωναῖοι χρόνους ἐβασίλευον, τήν τε φάραγγα ἔχωσαν, συνάψαι βουλόμενοι τῷ ἱερῷ τὴν πόλιν, καὶ τῆς Ἄκρας κατεργασάμενοι τὸ ὕψος ἐποίησαν χθαμαλώτερον, ὡς ὑπερφαίνοιτο καὶ ταύτῃ τὸ ἱερόν. ἡ δὲ τῶν τυροποιῶν προσαγορευομένη φάραγξ, ἣν ἔφαμεν τόν τε τῆς ἄνω πόλεως καὶ τὸν κάτω λόφον δια-

Digitized by Google

στέλλειν, καθήκει μέχρι Σιλωάμ· οὕτω γὰρ τὴν πηγὴν γλυκεῖάν τε καὶ πολλὴν οὖσαν ἐκαλοῦμεν. ἔξωθεν δὲ οἱ τῆς πόλεως δύο λόφοι βαθείαις φάραγξι περιείχοντο, καὶ διὰ τοὺς ἑκατέρωθεν κρημνοὺς προσιτὸν οὐδαμόθεν ἦν.

τῶν δὲ τριῶν τειχῶν τὸ μὲν ἀρχαῖον διά τε τὰς φά- 2
ραγγας καὶ τὸν ὑπὲρ τούτων λόφον, ἐφ' οὗ κατεσκεύαστο, δυσάλωτον ἦν· πρὸς δὲ τῷ πλεονεκτήματι τοῦ τόπου καὶ καρτερῶς ἐδεδόμητο, Δαυίδου τε καὶ Σολομῶνος, ἔτι δὲ τῶν μεταξὺ τούτων βασιλέων φιλοτιμηθέντων περὶ τὸ ἔργον. ἀρχόμενον δὲ κατὰ βορρᾶν ἀπὸ τοῦ Ἱππικοῦ καλουμένου πύργου, καὶ διατεῖνον ἐπὶ τὸν Ξυστὸν λεγόμενον, ἔπειτα τῇ βουλῇ συνάπτον, ἐπὶ τὴν ἑσπέριον τοῦ ἱεροῦ στοὰν ἀπηρτίζετο· κατὰ θάτερα δὲ πρὸς δύσιν ἀπὸ τοῦ αὐτοῦ μὲν ἀρχόμενον πύργου, διὰ δὲ τοῦ Βηθσὼ καλουμένου χωρίου κατατεῖνον ἐπὶ τὴν Ἐσσηνῶν πύλην, καὶ ἔπειτα πρὸς νότον ὑπὲρ τὴν Σιλωὰμ ἐπιστρέφον πηγήν, ἔνθεν τε πάλιν ἐκκλῖνον πρὸς ἀνατολὴν ἐπὶ τὴν Σολομῶνος κολυμβήθραν, καὶ διῆκον μέχρι χώρου τινὸς ὃν καλοῦσιν Ὀφλάν, τῇ πρὸς ἀνατολὴν στοᾷ τοῦ ἱεροῦ συνῆπτε. τὸ δὲ δεύτερον τὴν μὲν ἀρχὴν ἀπὸ πύλης εἶχεν ἣν Γεννὰθ ἐκάλουν, τοῦ πρώτου τείχους οὖσαν, κυκλούμενον δὲ τὸ προσάρκτιον κλίμα μόνον ἀνῄει μέχρι τῆς Ἀντωνίας. τῷ τρίτῳ δὲ ἦν ἀρχὴ ὁ Ἱππικὸς πύργος, ὅθεν μέχρι τοῦ βορείου κλίματος κατατεῖνον ἐπὶ τὸν Ψήφινον πύργον, ἔπειτα καθῆκον ἀντικρὺ τῶν Ἑλένης μνημείων (Ἀδιαβηνὴ βασιλὶς ἦν αὕτη, Ἰζάτου βασιλέως μήτηρ), καὶ διὰ σπηλαίων βασιλικῶν μηκυνόμενον ἐκάμπτετο μὲν γωνιαίῳ πύργῳ κατὰ τὸ Κναφέως προσαγορευόμενον μνῆμα, τῷ δὲ ἀρχαίῳ περιβόλῳ συνάπτον εἰς τὴν Κεδρῶνα καλουμένην φάραγγα κατέληγεν. τοῦτο τῇ προσ-

Digitized by Google

κτισθείσῃ πόλει περιέθηκεν Ἀγρίππας, ἥπερ ἦν πᾶσα γυμνή. πλήθει γὰρ ὑπερχεομένη κατὰ μικρὸν ἐξεῖρπε τῶν περιβόλων, καὶ τοῦ ἱεροῦ τὰ προσάρκτια πρὸς τῷ λόφῳ συμπολίζοντες ἐπ' οὐκ ὀλίγον προῆλθον καὶ τέταρτον περιοικηθῆναι λόφον, ὃς καλεῖται Βεζεθά, κείμενος μὲν ἀντικρὺ τῆς Ἀντωνίας, ἀποτεμνόμενος δὲ ὀρύγματι βαθεῖ· διεταφρεύθη γὰρ ἐπίτηδες, ὡς μὴ τῷ λόφῳ συνάπτοντες οἱ θεμέλιοι τῆς Ἀντωνίας εὐπρόσιτοί τε εἶεν καὶ ἧττον ὑψηλοί. διὸ δὴ καὶ πλεῖστον ὕψος τοῖς πύργοις προσεδίδου τὸ βάθος τῆς τάφρου. ἐπιχωρίως δὲ ἐκλήθη Βεζεθὰ τὸ νεόκτιστον μέρος, ὃ μεθερμηνευόμενον Ἑλλάδι γλώσσῃ καινὴ λέγοιτ' ἂν πόλις. δεομένων οὖν τῶν ταύτῃ σκέπης, ὁ πατὴρ τοῦ νῦν βασιλέως καὶ ὁμώνυμος Ἀγρίππας ἄρχεται μὲν οὗ προείπομεν τείχους, δείσας δὲ Κλαύδιον Καίσαρα, μὴ τὸ μέγεθος τῆς κατασκευῆς ἐπὶ νεωτερισμῷ πραγμάτων ὑπονοήσῃ καὶ στάσεως, παύεται θεμελίους μόνον βαλόμενος. καὶ γὰρ οὐδ' ἂν ἦν ἁλώσιμος ἡ πόλις, εἰ προύκοπτε τὸ τεῖχος ὡς ἤρξατο. λίθοις μέν γε εἰκοσιπήχεσι τὸ μῆκος καὶ τὸ εὖρος δεκαπήχεσι συνηρμόζετο, μήθ' ὑπορυγῆναι σιδήρῳ ῥᾳδίως μήθ' ὑπ' ὀργάνοις διασεισθῆναι δυναμένοις· δέκα δὲ πήχεις αὐτὸ τὸ τεῖχος ἐπλατύνετο, καὶ τὸ ὕψος πλεῖον μὲν ἂν ὡς εἰκὸς ἔσχε μὴ διακωλυθείσης τῆς τοῦ καταρξαμένου φιλοτιμίας. αὖθις δέ, καίτοι μετὰ σπουδῆς ἐγειρόμενον ὑπὸ Ἰουδαίων, εἰς εἴκοσι πήχεις ἀνέστη, καὶ διπήχεις μὲν τὰς ἐπάλξεις τριπήχεις δὲ τοὺς προμαχῶνας εἶχεν, ὡς τὸ πᾶν ὕψος εἰς εἴκοσι πέντε πήχεις ἀνατετάσθαι.

3 τοῦ δὲ τείχους ὑπερεῖχον οἱ πύργοι πήχεις εἴκοσι μὲν εἰς εὖρος εἴκοσι δὲ εἰς ὕψος, τετράγωνοί τε καὶ πλήρεις ὥσπερ αὐτὸ τὸ τεῖχος ὄντες· ἥ γε μὴν ἁρμονία καὶ τὸ κάλλος τῶν λίθων οὐδὲν ἀπέδει ναοῦ. μετὰ δὲ

Digitized by Google

τὸ ναστὸν ὕψος τῶν πύργων, ὅπερ ἦν εἰκοσίπηχυ, πολυτελεῖς ἦσαν οἶκοι, καὶ καθύπερθεν ὑπερῶα, δεξαμεναί τε πρὸς τὰς τῶν ὑετῶν ὑποδοχὰς ἐκεῖ πλεῖσται, καὶ πλατεῖαι καθ' ἕκαστον ἄνοδοι. τοιούτους μὲν οὖν πύργους τὸ τρίτον τεῖχος εἶχεν ἐνενήκοντα· τὰ δὲ μεταπύργια τούτων ἀνὰ πήχεις διακοσίους. τὸ δὲ μέσον εἰς τεσσαρεσκαίδεκα πύργους, τὸ δὲ ἀρχαῖον εἰς ἑξήκοντα μεμέριστο. τῆς πόλεως δὲ ὁ πᾶς κύκλος σταδίων ἦν τριάκοντα τριῶν. θαυμασίου δὲ ὄντος τοῦ τρίτου τείχους, θαυμασιώτερος ἀνεῖχε κατὰ γωνίαν βόρειός τε καὶ πρὸς δύσιν ὁ ψηφινος πύργος, καθ' ὃν ἐστρατοπεδεύσατο Τίτος· ἐπὶ γὰρ ἑβδομήκοντα πήχεις ὑψηλὸς ὤν, Ἀραβίαν τε ἀνίσχοντος ἡλίου παρεῖχεν ἀφορᾶν καὶ μέχρι θαλάττης τὰ τῆς Ἑβραίων κληρουχίας ἔσχατα. ὀκτάγωνος δὲ ἦν. τούτου δὲ ἄντικρυς ὁ Ἱππικός, καὶ παρ' αὐτὸν δύο κατεσκευάσθησαν μὲν ὑφ' Ἡρῴδου τοῦ βασιλέως ἐν τῷ ἀρχαίῳ τείχει, μέγεθος δὲ καὶ κάλλος ἦσαν καὶ ὀχυρότητα τῶν κατὰ τὴν οἰκουμένην διάφοροι. πρὸς γὰρ τῷ φύσει μεγαλοψύχῳ καὶ τῇ περὶ τὴν πόλιν φιλοτιμίᾳ τὴν ὑπεροχὴν τῶν ἔργων ὁ βασιλεὺς πάθεσιν οἰκείοις ἐχαρίζετο, καὶ τρισὶ τοῖς ἡδίστοις προσώποις ἀφ' ὧν ὠνόμασε τοὺς πύργους, ἀδελφῷ καὶ φίλῳ καὶ γυναικί, τὴν μνήμην ἀνέθηκε, τὴν μέν, ὡς προειρήκαμεν, κτείνας δι' ἔρωτα, τοὺς δὲ ἀποβαλὼν ἐν πολέμῳ γενναίως ἀγωνισαμένους. ὁ μὲν οὖν Ἱππικὸς ἀπὸ τοῦ φίλου προσαγορευθεὶς τετράγωνος μὲν ἦν, εὖρος δὲ καὶ μῆκος εἴκοσι καὶ πέντε πηχῶν ἕκαστος καὶ ὕψος τριάκοντα, οὐδαμοῦ διάκενος. ὑπὲρ δὲ τὸ πλῆρες καὶ ταῖς πέτραις συνηνωμένον εἰς ἐκδοχὴν τῶν ὄμβρων εἰκοσίπηχυς λάκκος ἦν τὸ βάθος. ἐπάνω δὲ τούτου δίστεγος οἶκος ἦν, ὅσον εἴκοσι καὶ πέντε πηχῶν τὸ ὕψος, εἰς ποικίλα διῃρημένος, ὑπὲρ οὗ τύρσεις μὲν δι-

Digitized by Google

πήχεις, προμαχῶνες δὲ περιβέβληντο τριπήχεις, ὡς τὸ πᾶν ὕψος εἰς ὀγδοήκοντα πήχεις συναριθμεῖσθαι. ὁ δὲ δεύτερος πύργος, ὃν ὠνόμασεν ἀπὸ ταδελφοῦ Φασάηλον, τὸ μὲν πλάτος καὶ τὸ μῆκος ἴσον εἶχε, τεσσαράκοντα πηχῶν ἕκαστον, ἐπὶ τεσσαράκοντα δ' ἦν τὸ νεστὸν αὐτοῦ ὕψος. ἐπάνω δ' αὐτοῦ περιῆει στοὰ δεκαπήχης τὸ ὕψος, θωρακείοις τε καὶ προβόλοις σκεπομένη. μέσην δ' ὑπερῳκοδόμητο τὴν στοὰν πύργος ἕτερος, εἴς τε οἴκους πολυτελεῖς καὶ δὴ καὶ βαλανεῖον διηρημένος, ὡς μηδὲν ἐνδέοι τῷ πύργῳ βασίλειον δοκεῖν. τὰ δὲ ἄκρα τοῖς προμαχῶσι καὶ ταῖς τύρσεσι μᾶλλον ἢπερ ὁ πρὸ αὐτοῦ κεκόσμητο. πηχῶν δὴ τὸ πᾶν ὕψος ὡς ἐνενήκοντα, καὶ τὸ μὲν σχῆμα παρεῴκει τῷ κατὰ τὴν Φάρον ἐκπυρσεύοντι τοῖς ἐπ' Ἀλεξανδρείας πλέουσι, τῇ περιοχῇ δὲ πολὺ μεῖζον ἦν. τηνικαῦτά γε μὴν τυραννεῖον ἀπεδείχθη τοῦ Σίμωνος. ὁ δὲ τρίτος πύργος ἡ Μαριάμμη (τοῦτο γὰρ ἡ βασιλὶς ἐκαλεῖτο) μέχρι μὲν εἴκοσι πηχῶν ναστὸς ἦν, εἴκοσι δὲ πήχεις εἰς εὖρος διέβαινε καὶ μῆκος ἴσον. πολυτελεστέραν δὲ καὶ ποικιλωτέραν τῶν ἄλλων τὴν οἴκησιν εἶχεν ἐπάνω, τοῦ βασιλέως οἰκεῖον ὑπολαβόντος τὸν ἀπὸ γυναικὸς ὀνομαζθέντα κεκοσμῆσθαι πλέον ἢ τοὺς ἀπ' ἀνδρῶν, ὥσπερ ἐκείνους τοῦ τῆς γυναικὸς ὀχυρωτέρους. τούτου τὸ πᾶν ὕψος πεντήκοντα καὶ πέντε πηχῶν ἦν.

4 τηλικοῦτοι δὲ ὄντες οἱ τρεῖς τὸ μέγεθος πολὺ μείζονες ἐφαίνοντο διὰ τὸν τόπον· αὐτό τε γὰρ τὸ ἀρχαῖον τεῖχος, ἐν ᾧ ἦσαν, ἐφ' ὑψηλῷ λόφῳ δεδόμητο, καὶ τοῦ λόφου καθάπερ κορυφή τις ὑψηλοτέρα προανεῖχεν εἰς τριάκοντα πήχεις, ὑπὲρ ἣν οἱ πύργοι κείμενοι πολὺ δή τι τοῦ μετεώρου προσελάμβανον. θαυμάσιον δὲ καὶ τῶν λίθων ἦν τὸ μέγεθος. οὐ γὰρ ἐξ εἰκαίας χερμάδος, οὐδὲ φορητῶν ἀνθρώποις πετρῶν συνειστήκεσαν, λευκὴ

Digitized by Google

δὲ μάρμαρος ἐτμήθη· καὶ τὸ μὲν μῆκος ἑκάστης πηχ
ἦν εἴκοσι, δέκα δὲ εὖρος, καὶ βάθος πέντε. συνήνων
δ' ἐπ' ἀλλήλοις, ὡς δοκεῖν ἕκαστον πύργον μίαν εἶν
πέτραν ἀναπεφυκυῖαν, ἔπειτα δὲ περιεξέσθαι χερσὶ τ
χνιτῶν εἰς σχῆμα καὶ γωνίας· οὕτως οὐδαμόθεν ἡ συ
ἁφεια τῆς ἁρμονίας διεφαίνετο. κειμένοις δὲ πρὸς ἄ
κτον αὐτοῖς ἔνδοθεν ἡ τοῦ βασιλέως αὐλὴ προσέξευκ
παντὸς λόγου κρείσσων. οὔτε γὰρ πολυτελείας οἵ
κατασκευῆς τινὸς ἔλειπεν ὑπερβολήν, ἀλλὰ τετείχιο
μὲν ἅπασα τριάκοντα πήχεις τὸ ὕψος κύκλῳ κατ' ἴσ
διάστημα, κεκοσμημένοις δὲ πύργοις διείληπτο ἀ
δρῶσί τε μεγίστοις καὶ εἰς ξενῶνας ἑκατοντακλίνοι
ἐν οἷς ἀδιήγητος μὲν ἡ ποικιλία τῶν λίθων ἦν (συ
ἦκτο γὰρ πολὺς ὁ πανταχοῦ σκάνιος), θαυμασταὶ
ὀροφαὶ μήκει τε δοκῶν καὶ λαμπρότητι προκοσμημάτα
οἴκων δὲ πλῆθος, καὶ διαφοραὶ σχημάτων περὶ το
τους μυρίαι· πᾶσί γε μὴν ἀποσκευαὶ πλήρεις, καὶ
πλείω τῶν ἐν ἑκάστοις κειμένων ἐξ ἀργύρου τε κ
χρυσοῦ. περίστοα δὲ δι' ἀλλήλων ἐν κύκλῳ πολλά, κ
στῦλοι πρὸς ἑκάστῳ διάφοροι. τά γε μὴν τούτων ὕ
αιθρα πανταχοῦ χλοερά, καὶ ποικίλαι μὲν ὗλαι μ
κροὶ δὲ δι' αὐτῶν περίπατοι, καὶ περὶ τούτους εὖρια
βαθεῖς δεξάμεναί τε πολλαχοῦ χαλκουργημάτων πε
πλεοι, δι' ὧν τὸ ὕδωρ ἐξεχεῖτο, καὶ πολλοὶ περὶ τὰ ν
ματα πύργοι πελειάδων ἡμέρων. ἀλλὰ γὰρ οὔθ' ἁρμ
νεῦσαι δυνατὸν ἀξίως τὰ βασίλεια, καὶ φέρει βάσαν
ἡ μνήμη, τὰς τοῦ ληστρικοῦ πυρὸς δαπάνας ἀναφ
ρουσα· οὐ γὰρ ταῦτα Ῥωμαῖοι κατέφλεξαν, ἀλλ' ὑ
τῶν ἔνδον ἐπιβούλων, ὡς προειρήκαμεν, ἐν ἀρχῇ τ
ἀποστάσεως κατεφλέχθησαν. καὶ ἀπὸ μὲν τῆς Ἀντ
νίας ἤρξατο τὸ πῦρ, μετέβη δ' ἐπὶ τὰ βασίλεια, καὶ τ
τριῶν πύργων τὰς στέγας ἐπενεμήθη.

Digitized by Google

τὸ δὲ ἱερὸν ἵδρυτο μέν, ὥσπερ ἔφην, ἐπὶ λόφου καρτεροῦ, κατ' ἀρχὰς δὲ μόλις ἐξήρκει τὸ ἀνωτάτω χθαμαλὸν αὐτοῦ τῷ τε ναῷ καὶ τῷ βωμῷ· τὰ γὰρ πέριξ ἀπόκρημνος ἦν καὶ κατάντης. τοῦ δὲ βασιλέως Σολομῶνος, ὃς δὴ καὶ τὸν ναὸν ἔκτισε, τὸ κατ' ἀνατολὰς μέρος ἐκτειχίσαντος, εἶτ' ἐτέθη μία στοὰ τῷ χώματι, καὶ κατά γε τὰ λοιπὰ μέρη γυμνὸς ὁ ναὸς ἦν. τοῖς δ' ἐξῆς αἰῶσιν ἀεί τι τοῦ λαοῦ προσχωννύντος, ἀνισούμενος ὁ λόφος ηὐρύνετο. διακόψαντες δὲ καὶ τὸ προσάρκτιον τεῖχος τοσοῦτον προσέλαβον ὅσον ὕστερον ἐπεῖχεν ὁ τοῦ παντὸς ἱεροῦ περίβολος. τειχίσαντες δὲ ἐκ ῥίζης τριχῇ κύκλῳ τὸν λόφον, καὶ μεῖζον ἐλπίδος ἐκπονήσαντες ἔργον, εἰς ὃ μακροὶ μὲν ἐξανηλώθησαν αἰῶνες αὐτοῖς καὶ οἱ ἱεροὶ δὲ θησαυροὶ πάντες, οὓς ἀνεπίμπλασαν οἱ παρὰ τῆς οἰκουμένης δασμοὶ πεμπόμενοι τῷ θεῷ, τούς τε ἄνω περιβόλους καὶ τὸ κάτω ἱερὸν ἀμφεδείμαντο. τούτου τὸ ταπεινότατον ἀπὸ τριακοσίων ἀνετειχίσαντο πηχῶν, κατὰ δέ τινας τόπους ἐκ πλείονος. οὐ μέντοι πᾶν τὸ βάθος ἐφαίνετο τῶν θεμελίων· ἐπὶ πολὺ γὰρ ἔχωσαν τὰς φάραγγας, ἀνισοῦν βουλόμενοι τοὺς στενωποὺς τοῦ ἄστεως. πέτραι δὲ τεσσαρακονταπήχεις τὸ μέγεθος ἦσαν τοῦ δομήματος. ἥ τε γὰρ δαψίλεια τῶν χρημάτων καὶ ἡ τοῦ λαοῦ φιλοτιμία λόγου μείζονας ἐποιεῖτο τὰς ἐπιβολάς, καὶ τὸ μηδὲ ἐλπισθὲν ἔξειν πέρας ἐπὶ μονῇ καὶ χρόνοις ἦν ἀνύσιμον.

2 ἦν δὲ ἄξια τῶν τοιούτων θεμελίων καὶ τὰ ὑπὲρ αὐτῶν ἔργα. διπλαῖ μὲν γὰρ αἱ στοαὶ πᾶσαι, κίονες δ' αὐταῖς εἰκοσιπέντε πηχῶν τὸ ὕψος ὑφεστήκεσαν, μονόλιθοι λευκοτάτης μαρμάρου, κεδρίνοις δὲ φατνώμασιν ὠρόφωντο. τούτων ἡ μὲν φυσικὴ πολυτέλεια καὶ τὸ εὔξεστον καὶ τὸ ἁρμόνιον παρεῖχε θεωρίαν ἀξιόλογον, οὐδενὶ δὲ ἔξωθεν οὔτε ζωγραφίας οὔτε γλυφίδος

Digitized by Google

ἔργῳ προσηγλάιστο. καὶ πλατεῖαι μὲν ἦσαν ἐπὶ τριάκοντα πήχεις, ὁ δὲ πᾶς κύκλος αὐτῶν εἰς ἓξ σταδίους συνεμετρεῖτο, περιλαμβανομένης καὶ τῆς Ἀντωνίας. τὸ δὲ ὕπαιθρον ἅπαν πεποίκιλτο παντοδαπῶν λίθων κατεστρωμένον. διὰ τούτου προϊόντων ἐπὶ τὸ δεύτερον ἱερὸν δρύφακτος περιβέβλητο λίθινος, τρίπηχυς μὲν ὕψος, πάνυ δὲ χαριέντως διειργασμένος. ἐν αὐτῷ δ' εἱστήκεσαν ἐξ ἴσου διαστήματος στῆλαι τὸν τῆς ἁγνείας προσημαίνουσαι νόμον, αἳ μὲν Ἑλληνικοῖς αἳ δὲ Ῥωμαϊκοῖς γράμμασι, μὴ δεῖν ἀλλόφυλον ἐντὸς τοῦ ἁγίου παριέναι· τὸ γὰρ δεύτερον ἱερὸν ἅγιον ἐκαλεῖτο. καὶ τεσσαρεσκαίδεκα μὲν βαθμοῖς ἦν ἀναβατὸν ἀπὸ τοῦ πρώτου, τετράγωνον δὲ ἄνω καὶ τείχει περιπεφραγμένον ἰδίῳ. τούτου τὸ μὲν ἔξωθεν ὕψος, καίπερ τεσσαράκοντα πηχῶν ὑπάρχον, ὑπὸ τῶν βαθμῶν ἐκαλύπτετο, τὸ δὲ ἔνδον εἴκοσι καὶ πέντε πηχῶν ἦν· πρὸς γὰρ ὑψηλοτέρῳ δεδομημένου βαθμοῖς οὐκέτι ἦν ἅπαν εἴσω καταφανές, καλυπτόμενον ὑπὸ τοῦ λόφου. μετὰ δὲ τοὺς τεσσαρεσκαίδεκα βαθμοὺς τὸ μέχρι τοῦ τείχους διάστημα πηχῶν ἦν δέκα, πᾶν ἰσόπεδον. ἔνθεν ἄλλοι πάλιν πεντέβαθμοι κλίμακες ἀνῆγον ἐπὶ τὰς πύλας, αἳ ἀπὸ μὲν ἄρκτου καὶ μεσημβρίας ὀκτώ, καθ' ἑκάτερον τέσσαρες, δύο δ' ἦσαν ἐξ ἀνατολῆς κατ' ἀνάγκην· διατετειχισμένου γὰρ κατὰ τοῦτο τὸ κλίμα ταῖς γυναιξὶν ἰδίου πρὸς θρησκείαν χώρου, ἔδει δευτέραν εἶναι πύλην· τέτμητο δ' αὕτη τῆς πρώτης ἄντικρυς. κἀκ τῶν ἄλλων κλιμάτων μία μεσημβρινὴ πύλη καὶ μία βόρειος, δι' ἧς εἰς τὴν γυναικωνῖτιν εἰσῆγον· κατὰ γὰρ τὰς ἄλλας οὐκ ἐξῆν παρελθεῖν γυναιξίν, ἀλλ' οὐδὲ κατὰ τὴν σφετέραν ὑπερβῆναι τὸ διατείχισμα. ἀνεῖτό γε μὴν ταῖς τε ἐπιχωρίοις καὶ ταῖς ἔξωθεν ὁμοφύλοις ἐν ἴσῳ πρὸς θρησκείαν ὁ χῶρος. τὸ δὲ πρὸς δύσιν μέρος

Digitized by Google

οὐκ εἶχε πύλην, ἀλλὰ διηνεκὲς ἐδεδόμητο ταύτῃ τὸ τεῖχος. αἱ στοαὶ δὲ μεταξὺ τῶν πυλῶν ἀπὸ τοῦ τείχους ἔνδον ἐστραμμέναι πρὸ τῶν ϛαζοφυλακίων, σφόδρα μὲν καλοῖς καὶ μεγάλοις ἀνείχοντο κίοσιν, ἦσαν δ' ἁπλαῖ, καὶ ἄνευ τοῦ μεγέθους τῶν κάτω κατ' οὐδὲν ἀπελείποντο.

3 τῶν δὲ πυλῶν αἱ μὲν ἐννέα χρυσῷ καὶ ἀργύρῳ κεκαλυμμέναι πανταχόθεν ἦσαν, ὁμοίως τε παρασταδες καὶ τὰ ὑπέρθυρα· μία δ' ἡ ἔξωθεν τοῦ νεὼ Κορινθίου χαλκοῦ, πολὺ τῇ τιμῇ τὰς καταργύρους καὶ περιχρύσους ὑπεράγουσα. καὶ δύο μὲν ἑκάστου πυλῶνος θύραι, τριάκοντα δὲ πηχῶν τὸ ὕψος ἑκάστης, καὶ τὸ πλάτος ἦν πεντεκαίδεκα. μετὰ μέντοι τὰς εἰσόδους ἐνδοτέρω πλατυνόμενοι παρ' ἑκάτερον τριάκοντα πήχεις ἐξέδρας εἶχον εὖρός τε καὶ μῆκος πυργοειδεῖς, ὑψηλὰς δ' ὑπὲρ τεσσαράκοντα πήχεις. δύο δ' ἀνεῖχον ἑκάστην κίονες, δώδεκα πηχῶν τὴν περιοχὴν ἔχοντες. καὶ τῶν μὲν ἄλλων ἴσον ἦν τὸ μέγεθος, ἡ δὲ ὑπὲρ τὴν Κορινθίαν ἀπὸ τῆς γυναικωνίτιδος ἐξ ἀνατολῆς ἀνοιγομένη τῆς τοῦ ναοῦ πύλης ἀντικρὺ πολὺ μείζων· πεντήκοντα γὰρ πηχῶν οὖσα τὴν ἀνάτασιν, τεσσαρακονταπήχεις τὰς θύρας εἶχε, καὶ τὸν κόσμον πολυτελέστερον, ἐπὶ δαφιλὲς πάχος ἀργύρου τε καὶ χρυσοῦ. τοῦτον δὲ ταῖς ἐννέα πύλαις ἐπέχευεν ὁ Τιβερίου πατὴρ Ἀλέξανδρος. βαθμοὶ δὲ πεντεκαίδεκα πρὸς τὴν μείζονα πύλην ἀπὸ τοῦ τῶν γυναικῶν διατειχίσματος ἀνῆγον· τῶν γὰρ κατὰ τὰς ἄλλας πέντε βαθμῶν ἦσαν βραχύτεροι.

4 αὐτὸς δὲ ὁ ναὸς κατὰ μέσον κείμενος, τὸ ἅγιον ἱερόν, δώδεκα βαθμοῖς ἦν ἀναβατός. καὶ τὸ μὲν κατὰ πρόσωπον ὕψος τε καὶ εὖρος ἴσον ἀνὰ πήχεις ἑκατόν, κατόπιν δὲ τεσσαράκοντα πήχεσι στενώτερος· ἔμπροσθεν γὰρ ὥσπερ ὦμοι παρ' ἑκάτερον εἰκοσιπήχεις διέβαινον. ἡ πρώτη δὲ αὐτοῦ πύλη, πηχῶν ἑβδομήκοντα

Digitized by Google

τὸ ὕψος οὖσα καὶ εὖρος εἴκοσι καὶ πέντε, θύρας οὐκ εἶχε· τοῦ γὰρ οὐρανοῦ τὸ ἀχανὲς καὶ ἀδιάκλειστον ἐνέφαινε· κεχρύσωτο δὲ τὰ μέτωπα πάντα, καὶ δι' αὐτῆς ὅ τε πρῶτος οἶκος ἔσωθεν ἅπας κατεφαίνετο, μέγιστος ὤν, καὶ τὰ περὶ τὴν εἴσω πύλην πάντα λαμπόμενα χρυσῷ τοῖς ὁρῶσιν ὑπέπιπτεν. τοῦ δὲ ναοῦ ὄντος εἴσω διστέγου, μόνος ὁ πρῶτος οἶκος προύκειτο, καὶ διηνεκὲς εἰς τὸ ὕψος, ἀνατεινόμενος μὲν ἐπὶ ἐνενήκοντα πήχεις, μηκυνόμενος δὲ ἐπὶ πεντήκοντα καὶ διαβαίνων ἐπὶ εἴκοσιν. ἡ δὲ διὰ τοῦ οἴκου πύλη κεχρύσωτο μέν, ὡς ἔφην, πᾶσα, καὶ ὅλος ὁ περὶ αὐτὴν τοῖχος, εἶχε δὲ καὶ τὰς χρυσᾶς ὑπὲρ αὐτῆς ἀμπέλους, ἀφ' ὧν βότρυες ἀνδρομήκεις κατεκρέμαντο. ὄντος δὲ ἤδη τοῦ ναοῦ διστέγου ταπεινοτέρα τῆς ἔξωθεν ἦν, καὶ θύρας εἶχε χρυσᾶς πεντηκονταπέντε πηχῶν τὸ ὕψος, εὖρος δ' ἑκκαίδεκα. πρὸ δὲ τούτων ἰσόμηκες καταπέτασμα πέπλος ἦν Βαβυλώνιος, ποικιλτὸς ἐξ ὑακίνθου καὶ βύσσου κόκκου τε καὶ πορφύρας, ἀξιαγάστως μὲν εἰργασμένος, οὐκ ἀθεώρητον δὲ τῆς ὕλης τὴν κρᾶσιν ἔχων, ἀλλ' ὥσπερ εἰκόνα τῶν ὅλων. ἐδόκει γὰρ αἰνίττεσθαι τῇ κόκκῳ μὲν τὸ πῦρ, τῇ βύσσῳ δὲ τὴν γῆν, τῇ δὲ ὑακίνθῳ τὸν ἀέρα καὶ τῇ πορφύρᾳ τὴν θάλασσαν, τῶν μὲν ἐκ τῆς χρόας ὁμοιουμένων, τῆς δὲ βύσσου καὶ τῆς πορφύρας διὰ τὴν γένεσιν, ἐπειδὴ τὴν μὲν ἀναδίδωσιν ἡ γῆ τὴν δὲ ἡ θάλασσα. κατεγέγραπτο δὲ ὁ πέπλος πᾶσαν τὴν οὐράνιον θεωρίαν, πλὴν τῶν ζωδίων.

παριόντας δ' εἴσω τὸ ἐπίπεδον τοῦ ναοῦ μέρος ἐξεδέ- 5
χετο. τούτου τοίνυν τὸ μὲν ὕψος ἑξήκοντα πηχῶν καὶ ὁ μῆκος ἴσον, εἴκοσι δὲ πηχῶν τὸ πλάτος ἦν. τὸ δὲ ἑξηκοντάπηχυ πάλιν διῄρητο, καὶ τὸ μὲν πρῶτον μέρος ἀποτετμημένον ἐπὶ τεσσαράκοντα πήχεις εἶχεν ἐν αὑτῷ ῥία θαυμασιώτατα καὶ περιβόητα πᾶσιν ἀνθρώποις

Digitized by Google

ἔργα, λυχνίαν τράπεζαν θυμιατήριον. ἐνέφαινον δὲ οἱ μὲν ἑπτὰ λύχνοι τοὺς πλανήτας (τοσοῦτοι γὰρ ἀπ' αὐτῆς διῄρηντο τῆς λυχνίας), οἱ δὲ ἐπὶ τῆς τραπέζης ἄρτοι δώδεκα τόν τε ζωδιακὸν κύκλον καὶ τὸν ἐνιαυτόν· τὸ θυμιατήριον δὲ διὰ τῶν τρισκαίδεκα θυμιαμάτων, οἷς ἐκ θαλάσσης ἀνεπίμπλατο καὶ τῆς ἀοικήτου καὶ οἰκουμένης, ἐσήμαινεν ὅτι τοῦ θεοῦ πάντα καὶ τῷ θεῷ. τὸ δ' ἐνδοτάτω μέρος εἴκοσι μὲν ἦν πηχῶν, διείργετο δ' ὁμοίως καταπετάσματι πρὸς τὸ ἔξωθεν. ἔκειτο δ' οὐδὲν ὅλως ἐν αὐτῷ, ἄβατον δὲ καὶ ἄχραντον καὶ ἀθέατον ἦν πᾶσιν, ἁγίου δὲ ἅγιον ἐκαλεῖτο. περὶ δὲ τὰ πλευρὰ τοῦ κάτω ναοῦ δι' ἀλλήλων ἦσαν οἶκοι τρίστεγοι πολλοί, καὶ παρ' ἑκάτερον εἰς αὐτοὺς ἀπὸ τῆς πύλης εἴσοδοι. τὸ δὲ ὑπερῷον μέρος τούτους μὲν οὐκέτ' εἶχε τοὺς οἴκους, παρόσον ἦν καὶ στενώτερον, ὑψηλότερον δ' ἐπὶ τεσσαράκοντα πήχεις καὶ λιτότερον τοῦ κάτω. συνάγεται δὲ οὕτω πρὸς ἑξήκοντα τοῖς τοῦ ἐπιπέδου πηχῶν ἑκατὸν τὸ πᾶν ὕψος.

6 τὸ δ' ἔξωθεν αὐτοῦ πρόσωπον οὐδὲν οὔτε εἰς ψυχῆς οὔτε εἰς ὀμμάτων ἔκπληξιν ἀπέλιπε. πλαξὶ γὰρ χρυσοῦ στιβαραῖς κεκαλυμμένος πάντοθεν, ὑπὸ τὰς πρώτας ἀνατολὰς πυρωδεστάτην ἀπέπαλλεν αὐγήν, καὶ τῶν βιαζομένων ἰδεῖν τὰς ὄψεις ὥσπερ ἡλιακαῖς ἀκτῖσιν ἀπέστρεφε. τοῖς γε μὴν εἰσαφικνουμένοις ξένοις πόρρωθεν ὅμοιος ὄρει χιόνος πλήρει κατεφαίνετο· καὶ γὰρ καθ' ἃ μὴ κεχρύσωτο λευκότατος ἦν. κατὰ κορυφὴν δὲ χρυσέους ὀβελοὺς ἀνεῖχε τεθηγμένους, ὡς μή τινι προσκαθεζομένῳ μολύνοιτο τῶν ὀρνέων. τῶν δὲ ἐν αὐτῷ λίθων ἔνιοι μῆκος πέντε καὶ τεσσαράκοντα πηχῶν ἦσαν, ὕψος πηχῶν πέντε, εὖρος δὲ ἕξ. πρὸ αὐτοῦ δ' ὁ βωμὸς πεντεκαίδεκα μὲν ὕψος ἦν πηχῶν, εὖρος δὲ καὶ μῆκος ἐκτείνων ἴσον, ἀνὰ πεντήκοντα πήχεις. τετράγωνος δ'

Digitized by Google

ἵδρυτο, κερατοειδεῖς προανέχων γωνίας, καὶ ἀπὸ μεσημβρίας ἐπ' αὐτὸν ἄνοδος ἠρέμα προσάντης ὑπτίαστο. κατεσκευάσθη δ' ἄνευ σιδήρου, καὶ οὐδέποτε ἔψαυεν αὐτοῦ σίδηρος. περιέστεφε δὲ τόν τε ναὸν καὶ τὸν βωμὸν εὔλιθόν τι καὶ χαρίεν γείσιον, ὅσον πηχυαῖον ὕψος, ὃ διεῖργεν ἐξωτέρω τὸν δῆμον ἀπὸ τῶν ἱερέων. γονορροίοις μὲν δὴ καὶ λεπροῖς ἡ πόλις ὅλη διείργετο, γυναικῶν δὲ ἐμμηνίοις ἀπεκέκλειστο, παρελθεῖν δὲ ταύταις οὐδὲ καθαραῖς ἐξῆν ὃν προείπομεν ὅρον. ἀνδρῶν δ' οἱ μὴ κατὰ πᾶν ἠγνευκότες εἴργοντο τῆς ἔνδον αὐλῆς, καὶ τῶν ἱερέων πάλιν οἱ μὴ καθαρεύοντες εἴργοντο. τῶν 7
δὲ ἀπὸ γένους ἱερέων ὅσοι διὰ πήρωσιν οὐκ ἐλειτούργουν, παρῆσάν τε ἅμα τοῖς ὁλοκλήρως ἐνδοτέρω τοῦ γείσιου, καὶ τὰς ἀπὸ τοῦ γένους ἐλάμβανον μερίδας, ταῖς γε μὴν ἐσθῆσιν ἰδιωτικαῖς ἐχρῶντο· τὴν γὰρ ἱερὰν ὁ λειτουργῶν ἠμφιέννυτο μόνος. ἐπὶ δὲ τὸ θυσιαστήριον καὶ τὸν ναὸν ἀνέβαινον οἱ τῶν ἱερέων ἄμωμοι, βύσσου μὲν ἀμπεχόμενοι, μάλιστα δ' ἀπὸ ἀκράτου νήφοντες δέει τῆς θρησκείας, ὡς μή τι παραβαῖεν ἐν τῇ λειτουργίᾳ. ὁ δὲ ἀρχιερεὺς ἀνῄει μὲν σὺν αὐτοῖς, ἀλλ' οὐκ ἀεί, ταῖς δ' ἑβδομάσι καὶ νουμηνίαις καὶ εἴ τις ἑορτὴ πάτριος ἢ πανήγυρις πάνδημος ἀγομένη δι' ἔτους. ἐλειτούργει δὲ τοὺς μηροὺς μὲν ἄχρις αἰδοίου διαζώσματι καλύπτων, λινοῦν τε ὑποδύτην ἔνδοθεν λαμβάνων, καὶ ποδῆρες καθύπερθεν ὑακίνθινον ἔνδυμα στρογγύλον, θυσανωτὸν ἔργον. τῶν δὲ θυσάνων ἀπήρτηντο κώδωνες χρύσεοι καὶ ῥοιαὶ παράλληλοι, βροντῆς μὲν οἱ κώδωνες ἀστραπῆς δ' αἱ ῥοιαὶ σημεῖον. ἡ δὲ τὸ ἔνδυμα τῷ στέρνῳ προσηλοῦσα ταινία πέντε διηνθισμένη ζώναις πεποίκιλτο, χρυσοῦ τε καὶ πορφύρας καὶ κόκκου, πρὸς δὲ βύσσου καὶ ὑακίνθου, δι' ὧν ἔφαμεν καὶ τὰ τοῦ ναοῦ καταπετάσματα συνυφάνθαι. τούτοις

Digitized by Google

δὲ καὶ ἐπωμίδα κεκραμένην εἶχεν, ἐν ᾗ πλείων χρυσὸς
ἦν. σχῆμα μὲν οὖν ἐνδυτοῦ θώρακος εἶχεν, δύο δ' αὐ-
τὴν ἐνεπόρπουν ἀσπιδίσκαι χρυσαῖ, κατεπέκλειντο δ'
ἐν ταύταις κάλλιστοί τε καὶ μέγιστοι σαρδώνυχες, τοὺς
ἐπωνύμους τῶν τοῦ ἔθνους φυλῶν ἐπιγεγραμμένοι.
κατὰ δὲ θάτερον ἄλλοι προσήρτηντο λίθοι δώδεκα, κατὰ
τρεῖς εἰς τέσσαρα μέρη διηρμένοι, σάρδιον τόπαζος
σμάραγδος, ἄνθραξ ἴασπις σάπφειρος, ἀχάτης ἀμέθυ-
στος λιγύριον, ὄνυξ βήρυλλος χρυσόλιθος· ὧν ἑφ'
ἑκάστου πάλιν εἷς τῶν ἐπωνύμων ἐγέγραπτο. τὴν δὲ
κεφαλὴν βυσσίνη μὲν ἔσκεπε τιάρα, κατέστεπτο δ' ὑα-
κίνθῳ· περὶ ἣν χρυσοῦς ἄλλος ἦν στέφανος ἔκτυπα
φέρων τὰ ἱερὰ γράμματα· ταῦτα δέ ἐστι φωνήεντα
τέσσαρα. ταύτην μὲν οὖν τὴν ἐσθῆτα οὐκ ἐφόρει τὸν
ἄλλον χρόνον, λιτοτέραν δ' ἀνελάμβανεν, ὁπότε δὲ
εἰσίοι εἰς τὸ ἄδυτον· εἰσήει δ' ἅπαξ κατ' ἐνιαυτὸν μό-
νος, ἐν ᾗ νηστεύειν ἔθος ἡμέρᾳ πάντας τῷ θεῷ.

καὶ τὰ μὲν περὶ τῆς πόλεως καὶ τοῦ ναοῦ, τῶν τ'
ἐπὶ τούτοις ἐθῶν καὶ νόμων, αὖθις ἀκριβέστερον ἐροῦ-
μεν· οὐ γὰρ ὀλίγος περὶ αὐτῶν καταλείπεται λόγος·
8 ἡ δὲ Ἀντωνία κατὰ γωνίαν μὲν δύο στοῶν ἔκειτο τοῦ
πρώτου ἱεροῦ, τῆς τε πρὸς ἑσπέραν καὶ τῆς πρὸς ἄρ-
κτον, δεδόμητο δ' ὑπὲρ πέτρας πεντηκονταπήχους μὲν
ὕψος, περικρήμνου δὲ πάσης. ἔργον δ' ἦν Ἡρῴδου βα-
σιλέως, ἐν ᾧ μάλιστα τὸ φύσει μεγαλόνουν ἐπεδείξατο.
πρῶτον μὲν γὰρ ἐκ ῥίζης ἡ πέτρα πλαξὶ κεκάλυπτο
λείαις λίθων, εἴς τε κάλλος καὶ ὡς ἀπολισθάνοι πᾶς ὁ
προσβαίνειν καὶ κατιέναι πειρώμενος· ἔπειτα πρὸ τῆς
τοῦ πύργου δομήσεως τριῶν πηχῶν τεῖχος ἦν, ἐνδοτέρω
δὲ τούτου τὸ πᾶν ἀνάστημα τῆς Ἀντωνίας ἐπὶ τεσσαρά-
κοντα πήχεις ἠγείρετο. τὸ δὲ ἔνδον βασιλείων εἶχε χώ-
φαν καὶ διάθεσιν· μεμέριστο γὰρ εἰς πᾶσαν οἴκων ἰδέαν

Digitized by Google

τε καὶ χρῆσιν, περίστοά τε καὶ βαλανεῖα καὶ στρατοπέδων αὐλὰς πλατείας, ὡς τῷ μὲν πάντα ἔχειν τὰ χρειώδη πόλις εἶναι δοκεῖν, τῇ πολυτελείᾳ δὲ βασίλειον. πυργοειδὴς δὲ οὖσα τὸ πᾶν σχῆμα κατὰ γωνίαν τέσσαρσιν ἑτέροις διείληπτο πύργοις, ὧν οἱ μὲν ἄλλοι πεντήκοντα τὸ ὕψος, ὁ δὲ ἐπὶ τῇ μεσημβρινῇ καὶ κατ' ἀνατολὴν γωνίᾳ κείμενος ἑβδομήκοντα πηχῶν ἦν, ὡς καθορᾶν ὅλον ἀπ' αὐτοῦ τὸ ἱερόν. καθ' ἃ δὲ συνῆπτο ταῖς τοῦ ἱεροῦ στοαῖς, εἰς ἀμφοτέρας εἶχε καταβάσεις, δι' ὧν κατιόντες οἱ φρουροὶ (καθῆστο γὰρ ἀεὶ ἐπ' αὐτῆς τάγμα Ῥωμαίων) καὶ διιστάμενοι περὶ τὰς στοὰς μετὰ τῶν ὅπλων ἐν ταῖς ἑορταῖς τὸν δῆμον ὡς μή τι νεωτερισθείη παρεφύλαττον· φρούριον γὰρ ἐπέκειτο τῇ πόλει μὲν τὸ ἱερόν, τῷ ἱερῷ δὲ ἡ Ἀντωνία. κατὰ δὲ ταύτην οἱ τῶν τριῶν φύλακες ἦσαν, καὶ τῆς ἄνω πόλεως ἴδιον φρούριον ἦν, τὰ Ἡρῴδου βασίλεια. ἡ Βεζεθὰ δὲ λόφος διῃρητο μέν, ὡς ἔφην, ἀπὸ τῆς Ἀντωνίας, πάντων δὲ ὑψηλότατος ὢν μέρει τῆς καινῆς πόλεως προσῴκιστο, καὶ μόνος τῷ ἱερῷ κατ' ἄρκτον ἐπεσκότει.

περὶ μὲν δὴ τῆς πόλεως καὶ τῶν τειχῶν αὖθις εἰπεῖν ἀκριβέστερον ἕκαστα προτεθειμένος ἐπὶ τοῦ παρόντος ἀποχρώντως εἴρηκα· τὸ μάχιμον δ' ἐν αὐτῇ καὶ 6
στασιάζον πλῆθος περὶ Σίμωνα μὲν μύριοι ἦσαν, δίχα τῶν Ἰδουμαίων, πεντήκοντα δ' ἡγεμόνες τῶν μυρίων, ἐφ' οἷς οὗτος κύριος τῶν ὅλων. Ἰδουμαῖοι δ' αὐτῷ συντελοῦντες εἰς πεντακισχιλίους ἄρχοντας εἶχον δέκα· τούτων προὔχειν ἐδόκουν ὅ τε τοῦ Σωσᾶ Ἰάκωβος καὶ Σίμων υἱὸς Καθλᾶ. Ἰωάννης δὲ τὸ ἱερὸν κατειληφὼς ἑξακισχιλίους ὁπλίτας εἶχεν ὑφ' ἡγεμόνας εἴκοσι. προσεγένοντο δ' αὐτῷ τότε καὶ οἱ ζηλωταί, παυσάμενοι τοῦ διαφέρεσθαι, δισχίλιοι μὲν ὄντες καὶ τετρακόσιοι, χρώμενοι δ' ἄρχοντι τῷ καὶ πρότερον Ἐλεαζάρῳ καὶ Σι-

Digitized by Google

μωνι τῷ Ἀρί. πολεμούντων δὲ τούτων, ὡς ἔφαμεν, ἆθλον ὁ δῆμος ἦν ἑκατέρων, καὶ τὸ μὴ συναδικοῦν τοῦ λαοῦ μέρος ὑπ' ἀμφοῖν διηρπάζετο. κατεῖχε δ' ὁ μὲν Σίμων τήν τε ἄνω πόλιν καὶ τὸ μέγα τεῖχος ἄχρι τοῦ Κεδρῶνος, τοῦ τε ἀρχαίου τείχους ὅσον ἀπὸ τῆς Σιλωᾶς ἀνακάμπτον εἰς ἀνατολήν, ὃ μέχρι τῆς Μονοβάζου κατέβαινεν αὐλῆς· βασιλεὺς δ' οὗτος ἦν τῶν ὑπὲρ Εὐφράτην Ἀδιαβηνῶν. κατεῖχε δὲ καὶ τὴν πηγὴν καὶ τὴν Ἄκραν (αὕτη δ' ἦν ἡ κάτω πόλις) καὶ τὰ μέχρι τῶν Ἑλένης βασιλείων, τῆς τοῦ Μονοβάζου μητρός· ὁ δὲ Ἰωάννης τό τε ἱερὸν καὶ τὰ πέριξ ἐπ' οὐκ ὀλίγον, τόν τε Ὀφλᾶν καὶ τὴν Κεδρῶνα καλουμένην φάραγγα. τὸ μεταξὺ δὲ τούτων ἐμπρήσαντες τῷ πρὸς ἀλλήλους πολέμῳ χώραν ἀνεῖσαν. οὐδὲ γὰρ πρὸς τοῖς τείχεσιν ἐστρατοπεδευμένων Ῥωμαίων ἔνδον ἡ στάσις ἠρέμει, βραχὺ δὲ πρὸς τὴν πρώτην ὑπονήψαντες ἐκδρομὴν ἀνενόσουν, καὶ κατὰ σφᾶς πάλιν διαστάντες ἐμάχοντο, κατά τε εὐχὴν πάντα τοῖς πολιορκοῦσιν ἔπραττον. οὔτε γοῦν αὐτοί τι χεῖρον ὑπὸ Ῥωμαίων ἔπαθον ὧν ἀλλήλους ἔδρασαν, οὔτε μετὰ τούτους ἡ πόλις ἐπειράθη καινοτέρου πάθους, ἀλλ' ἢ μὲν χαλεπώτερόν τι πρὸ τοῦ πεσεῖν ἠτύχησεν, οἳ δὲ ἑλόντες αὐτὴν κατώρθωσάν τι μεῖζον. φημὶ γὰρ ὡς τὴν μὲν πόλιν ἡ στάσις, Ῥωμαῖοι δὲ εἷλον τὴν στάσιν, ἥπερ ἦν πολὺ τῶν τειχῶν ὀχυρωτέρα. καὶ τὸ μὲν σκυθρωπὸν τοῖς οἰκείοις, τὸ δίκαιον δ' ἄν τις εὐλόγως Ῥωμαίοις προσγράφοι. νοείτω δ' ὅπῃ τοῖς πράγμασιν ἕκαστος ἄγεται.

2 τῶν γε μὴν ἔνδον οὕτω διακειμένων, ὁ Τίτος μετ' ἐπιλέκτων ἱππέων περιιὼν ἐξωθεν ἢ προσβάλλοι τοῖς τείχεσι κατεσκέπτετο. ἀπορουμένῳ δὲ πάντοθεν (οὔτε γὰρ κατὰ τὰς φάραγγας ἦν που προσιτόν, καὶ κατὰ θάτερα τὸ πρῶτον τεῖχος ἐφαίνετο τῶν ὀργάνων στερεώ-

Digitized by Google

τερον) ἐδόκει κατὰ τὸ Ἰωάννου τοῦ ἀρχιερέως μνημεῖον προσβαλεῖν· ταύτῃ γὰρ τό τε πρῶτον ἦν ἔρυμα χθαμαλώτερον καὶ τὸ δεύτερον οὐ συνῆπτεν, ἀμελησάντων καθ' ἃ μὴ λίαν ἡ καινὴ πόλις συνῳκίστο τειχίζειν, ἀλλ' ἐπὶ τὸ τρίτον ἦν εὐπέτεια, δι' οὗ τὴν ἄνω πόλιν καὶ διὰ τῆς Ἀντωνίας τὸ ἱερὸν αἱρήσειν ἐπενόει. ἐν δὲ τούτῳ περιιόντος αὐτοῦ τοξεύεταί τις τῶν φίλων, ὀνόματι Νικάνωρ, κατὰ τὸν λαιὸν ὦμον, ἔγγιον μετὰ τοῦ Ἰωσήπου προσελθών, καὶ πειρώμενος εἰρηνικὰ τοῖς ἐπὶ τοῦ τείχους (οὐ γὰρ ἄγνωστος ἦν) διαλέγεσθαι. διὰ τοῦτο τὰς ὁρμὰς αὐτῶν ἐπιγνοὺς Καῖσαρ, εἰ μηδὲ τῶν ἐπὶ σωτηρίᾳ προσιόντων ἀπέχοιντο, παροξύνεται πρὸς τὴν πολιορκίαν, ἅμα τε τοῖς τάγμασι δηοῦν τὰ πρὸ τῆς πόλεως ἠφίει, καὶ συμφέροντας ἐκέλευσε τὴν ὕλην ἐγείρειν χώματα. τριχῇ δὲ διατάξας τὴν στρατιὰν πρὸς τὰ ἔργα, μέσους ἵστησι τῶν χωμάτων τούς τε ἀκοντιστὰς καὶ τοξότας, καὶ πρὸ τούτων τοὺς ὀξυβελεῖς καὶ καταπέλτας καὶ τὰς λιθοβόλους μηχανάς, ὡς τάς τε ἐκδρομὰς εἴργοι τῶν πολεμίων ἐπὶ τὰ ἔργα καὶ τοὺς ἀπὸ τοῦ τείχους κωλύειν πειρωμένους.

κοπτομένων δὲ τῶν δένδρων τὰ προάστεια μὲν ἐν τάχει γεγύμνωτο, συμφερομένων δὲ ἐπὶ τὰ χώματα τῶν ξύλων, καὶ τῆς στρατιᾶς ἁπάσης ἐπὶ τὸ ἔργον ὡρμημένης, οὐδὲ τὰ παρὰ τῶν Ἰουδαίων ἠρέμει. τὸν μὲν οὖν δῆμον ἐν ἁρπαγαῖς ὄντα καὶ φόνοις συνέβαινε τότε θαρρεῖν· ἀναπνεύσειν τε γὰρ περισπωμένων πρὸς τοὺς ἔξωθεν ὑπελάμβανον, καὶ λήψεσθαι παρὰ τῶν αἰτίων αὐτοὶ δίκας, εἰ Ῥωμαῖοι περιγένοιντο· Ἰωάννης δέ, καίτοι χωρεῖν ἐπὶ τοὺς ἔξω πολεμίους τῶν περὶ αὐτὸν ὡρμημένων, δέει τοῦ Σίμωνος ἔμενεν. οὐ μὴν ὁ Σίμων ἠρέμει (καὶ γὰρ ἦν ἔγγιον τῇ πολιορκίᾳ), τὰ δὲ ἀφετήρια διίστησιν ἐπὶ τοῦ τείχους, ὅσα Κέστιόν τε ἀφῄρηντο

Digitized by Google

πρότερον καὶ τὴν ἐπὶ τῆς Ἀντωνίας φρουρὰν ἑλόντες ἔλαβον. ἀλλὰ τούτων μὲν τοῖς πολλοῖς ἀχρεῖος ἡ κτῆσις ἦν δι' ἀπειρίαν, ὀλίγοι δὲ ὑπὸ τῶν αὐτομόλων διδαχθέντες ἐχρῶντο κακῶς τοῖς ὀργάνοις· χερμάσι δὲ καὶ τόξοις τοὺς χωννύντας ἔβαλλον ἀπὸ τοῦ τείχους, καὶ κατὰ συντάξεις ἐκτρέχοντες αὐτοῖς συνεπλέκοντο. τοῖς δ' ἐργαζομένοις ἦν ἀπὸ μὲν τῶν βελῶν ἡ σκέπη γέρρα χαρακωμάτων ὑπερτεταμένα, τὰ δ' ἀφετήρια πρὸς τοὺς ἐκθέοντας· θαυμαστὰ δὲ πᾶσι μὲν κατεσκεύαστο τοῖς τάγμασι, διαφόρως δὲ τῷ δεκάτῳ βιαιότεροί τε ὀξυβελεῖς καὶ μείζονα λιθοβόλα, δι' ὧν οὐ μόνον τὰς ἐκδρομὰς ἀλλὰ καὶ τοὺς ἐπὶ τοῦ τείχους ἀνέτρεπον. ταλαντιαῖοι μὲν γὰρ ἦσαν οἱ βαλλόμενοι πέτροι, δύο δὲ καὶ πλέον ἀπήεσαν σταδίους· ἡ πληγὴ δὲ οὐ τοῖς προεντυχοῦσι μόνον, ἐπὶ πολὺ δὲ καὶ τοῖς μετ' ἐκείνους ἦν ἀνυπόστατος. οἵ γε μὴν Ἰουδαῖοι τὸ πρῶτον ἐφυλάττοντο τὴν πέτραν· λευκὴ γὰρ ἦν, ὥστε μὴ τῷ ῥοίζῳ σημαίνεσθαι μόνῳ ἀλλὰ καὶ τῇ λαμπρότητι προορᾶσθαι. σκοποὶ οὖν αὐτοῖς ἐπὶ τῶν πύργων καθεζόμενοι προεμήνυον, ὁπότε σχασθείη τὸ ὄργανον καὶ ἡ πέτρα φέροιτο, τῇ πατρίῳ γλώσσῃ βοῶντες "ὁ υἱὸς ἔρχεται." διίσταντο δὲ καθ' οὓς ἥξει, καὶ προκατεκλίνοντο. συνέβαινέ τε φυλαττομένων ἄπρακτον διεκπίπτειν τὴν πέτραν. ἀντεκινοοῦσι δὲ Ῥωμαῖοι μελαίνειν αὐτήν· τότε γὰρ οὐκέθ' ὁμοίως προορωμένης εὐστόχουν καὶ πολλοὺς ἅμα μιᾷ βολῇ διέφθειρον. ἀλλ' οὐδὲ κακούμενοι μετ' ἀδείας παρεῖχον Ῥωμαίοις ἐγείρειν τὰ χώματα, πάσῃ δ' ἐπινοίᾳ καὶ τόλμῃ χρώμενοι καὶ νύκτωρ καὶ μεθ' ἡμέραν εἶργον.

4 τῶν δ' ἔργων συντετελεσμένων, μολιβδίδι μὲν καὶ λίνῳ διαμετροῦσιν οἱ τέκτονες τὸ διάστημα πρὸς τὸ τεῖχος, ἀπὸ τῶν χωμάτων ῥίψαντες· οὐ γὰρ ἐνῆν ἄλλως ἔνωθεν βαλλομένοις· εὑρόντες δ' ἐξικνεῖσθαι δυνα-

Digitized by Google

μένας τὰς ἐλεπόλεις προσῆγον, καὶ Τίτος ἐγγυτέρω τὰ ἀφετήρια διαστήσας, ὡς μὴ τοὺς κριοὺς εἴργοιεν ἀπὸ τοῦ τείχους, ἐκέλευσε τύπτειν. τριχόθεν δ' ἐξαισίου κτύπου περιηχήσαντος αἰφνιδίως τὴν πόλιν, κραυγή τε παρὰ τῶν ἔνδον ἤρθη, καὶ τοῖς στασιασταῖς ἴσον ἐμπίπτει δέος. κοινὸν δ' ἑκάτεροι τὸν κίνδυνον ἰδόντες κοινὴν ἐπενόουν ἤδη ποιεῖσθαι καὶ τὴν ἄμυναν. διαβοώντων δὲ πρὸς ἀλλήλους τῶν διαφόρων ὡς πάντα πράττοιεν ὑπὲρ τῶν πολεμίων, δέον, εἰ καὶ μὴ διηνεκῆ δίδωσιν αὐτοῖς ὁμόνοιαν ὁ θεός, ἐν γοῦν τῷ παρόντι τὴν πρὸς ἀλλήλους φιλονεικίαν ὑπερθεμένους κατὰ Ῥωμαίων συνελθεῖν, κηρύσσει μὲν ἄδειαν ὁ Σίμων τοῖς ἀπὸ τοῦ ἱεροῦ παρελθεῖν ἐπὶ τὸ τεῖχος, ἐπιτρέπει δὲ καίπερ ἀπιστῶν ὁ Ἰωάννης. οἳ δὲ τοῦ μίσους καὶ τῶν ἰδίων διαφορῶν λαβόντες ἀμνηστίαν ἓν σῶμα γίνονται, καὶ τὸ μὲν τεῖχος περισχόντες ἀπ' αὐτοῦ πυρά τε παμπληθῆ κατὰ τῶν μηχανημάτων ἐνίεσαν καὶ τοὺς ἐπιβριθοντας τὰς ἐλεπόλεις ἀδιαλείπτως ἔβαλλον, οἱ τολμηρότεροι δὲ κατὰ στίφη προκηδῶντες τὰ γέρρα τῶν μηχανημάτων ἐσπάραττον, καὶ τοῖς ἐπ' αὐτῶν προσπίπτοντες ἐπιστήμῃ μὲν ὀλίγα τόλμῃ δὲ τὰ πλείω περιεγένοντο. προσεβοήθει δὲ τοῖς πονοῦσιν αὐτὸς ἀεὶ Καῖσαρ, καὶ παρ' ἑκάτερον τῶν ὀργάνων τούς τε ἱππέας καὶ τοὺς τοξότας διαστήσας εἶργε μὲν τοὺς τὸ πῦρ ἐπιφέροντας, ἀνέστελλε δὲ τοὺς ἀπὸ τῶν πύργων βάλλοντας, ἐνεργοὺς δὲ ἐποίει τὰς ἐλεπόλεις. οὐ μὴν ταῖς πληγαῖς ὑπήκουε τὸ τεῖχος, εἰ μὴ καθ' ὅσον ὁ τοῦ πεντεκαιδεκάτου τάγματος κριὸς γωνίαν διεκίνησε πύργου. τὸ δὲ τεῖχος ἀκέραιον ἦν· οὐδὲ γὰρ εὐθέως συνεκινδύνευε τῷ πύργῳ προύχοντι πολὺ καὶ μὴ δυναμένῳ συναποῤῥῆξαί τι ῥᾳδίως τοῦ περιβόλου.

Digitized by Google

παυσάμενοι δὲ τῶν ἐκδρομῶν πρὸς ὀλίγον, καὶ τοὺς Ῥωμαίους ἐπιτηρήσαντες ἐσκεδασμένους ἐπὶ τὰ ἔργα καὶ κατὰ τὰ στρατόπεδα (καμάτῳ γὰρ ἀναχωρῆσαι καὶ δέει τοὺς Ἰουδαίους ἠξίουν), ἐκθέουσι κατὰ τὸν Ἱππικὸν πύργον διὰ πύλης ἀφανοῦς πάντες, πῦρ τε τοῖς ἔργοις ἐπιφέροντες καὶ μέχρι τῶν ἐρυμάτων ἐπὶ τοὺς Ῥωμαίους προελθεῖν ὡρμημένοι. πρὸς δὲ τὴν κραυγὴν αὐτῶν οἵ τε πλησίον συνίσταντο ταχέως καὶ οἱ πόρρωθεν συνέθεον. ἔφθανε δ' ἡ Ἰουδαίων τόλμα τὴν Ῥωμαίων εὐταξίαν, καὶ τοὺς προεντυγχάνοντας τρεψάμενοι προσέκειντο τοῖς συλλεγομένοις. δεινὴ δὲ περὶ τὰς μηχανὰς συμπίπτει μάχη, τῶν μὲν ὑποπιμπράναι τῶν δὲ κωλύειν βιαζομένων. κραυγή τε παρ' ἀμφοτέρων ἀσήμαντος ἦν, καὶ πολλοὶ τῶν προαγωνιζομένων ἔπιπτον. Ἰουδαῖοι δὲ ὑπερεῖχον ἀπονοίᾳ, καὶ τῶν ἔργων ἥπτετο τὸ πῦρ, καταφλεγῆναί τ' ἂν ἐκινδύνευσε πάντα μετὰ τῶν ὀργάνων, εἰ μὴ τῶν ἀπ' Ἀλεξανδρείας ἐπιλέκτων ἀντέστησαν οἱ πολλοί, παρὰ τὴν σφετέραν ὑπόληψιν ἀνδρισάμενοι (καὶ γὰρ τῶν ἐνδοξοτέρων διήνεγκαν κατὰ ταύτην τὴν μάχην), μέχρι Καῖσαρ τοὺς τῶν ἱππέων δυνατωτάτους ἀναλαβὼν ἐμβάλλει τοῖς πολεμίοις. καὶ δώδεκα μὲν αὐτὸς τῶν προμάχων ἀναιρεῖ, πρὸς δὲ τὸ τούτων πάθος ἐγκλίναντος τοῦ λοιποῦ πλήθους ἑπόμενος συνελαύνει πάντας εἰς τὴν πόλιν, κἀκ τοῦ πυρὸς διασώζει τὰ ἔργα. συνέβη δὲ ἐν ταύτῃ τῇ μάχῃ καὶ ζωγρηθῆναί τινα τῶν Ἰουδαίων, ὃν ὁ Τίτος ἀναστανρῶσαι πρὸ τοῦ τείχους ἐκέλευσεν, εἴ τι πρὸς τὴν ὄψιν ἐνδοῖεν οἱ λοιποὶ καταπλαγέντες. μετὰ δὲ τὴν ἀναχώρησιν καὶ Ἰωάννης ὁ τῶν Ἰδουμαίων ἡγεμών, πρὸ τοῦ τείχους γνωρίμῳ στρατιώτῃ διαλεγόμενος, ὑπό τινος τῶν Ἀράβων κατὰ τοῦ στέρνου τοξεύεται καὶ παραχρῆμα θνήσκει, μέγιστον

Digitized by Google

τοῖς τε Ἰουδαίοις πένθος καὶ λύπην τοῖς στασιασταῖς ἀπολιπών· καὶ γὰρ κατά τε χεῖρα καὶ συνέσει διάσημος ἦν.

τῇ δὲ ἐπιούσῃ νυκτὶ ταραχὴ καὶ τοῖς Ῥωμαίοις ἐμ- 7
πίπτει παράλογος. τοῦ γὰρ Τίτου πύργους τρεῖς κατασκευάσαι κελεύσαντος πεντηκοντάπηχεις, ἵν' ἑκάστου χώματος ἐπιστήσας ἀπὸ τούτων τοὺς ἐπὶ τοῦ τείχους τρέποιτο, συνέβη πεσεῖν αὐτομάτως ἕνα μέσης νυκτός. μεγίστου δ' ἀρθέντος ψόφου δέος ἐμπίπτει τῷ στρατῷ, καὶ τοὺς πολεμίους ἐπιχειρεῖν σφίσι δόξαντες ἐπὶ τὰ ὅπλα πάντες ἔθεον. ταραχὴ δὲ τῶν ταγμάτων καὶ θόρυβος ἦν, καὶ τὸ συμβὰν οὐδενὸς εἰπεῖν ἔχοντος ἐπὶ πλεῖστον ἀπορούμενοι διεφέροντο, μηδενός τε φαινομένου πολεμίου δι' ἀλλήλων ἐπτοοῦντο, καὶ τὸ σύνθημα μετὰ σπουδῆς ἕκαστος τὸν πλησίον ἐπηρώτα καθάπερ Ἰουδαίων ἐμβεβηκότων εἰς τὰ στρατόπεδα. πανικῷ τε δείματι κυκλουμένοις παρεφύκεσαν, ἄχρι μαθὼν τὸ συμβὰν Τίτος διαγγέλλειν ἐκέλευσε πᾶσι καὶ μόλις ἐπαύσαντο τῆς ταραχῆς.

Ἰουδαίους γε μὴν πρὸς τὰ λοιπὰ καρτερῶς ἀντέ- 2
χοντας ἐκάκωσαν οἱ πύργοι· καὶ γὰρ τῶν ὀργάνων τοῖς κουφοτέροις ἀπ' αὐτῶν ἐβάλλοντο καὶ τοῖς ἀκοντισταῖς καὶ τοξόταις καὶ λιθοβόλοις. οὔτε δὲ τούτων αὐτοὶ διὰ τὸ ὕψος ἐφικνοῦντο, καὶ τοὺς πύργους ἦν ἀμήχανον ἑλεῖν, μήτε ἀνατραπῆναι ῥᾳδίως διὰ τὸ βρῖθος μήτ' ἐμπρησθῆναΐ διὰ τὸν σίδηρον δυναμένους, ᾧ κατεκαλύπτοντο. τρεπόμενοι δ' ἔξωτέρω βέλους οὐκέτ' ἐκώλυον τῶν κριῶν τὰς ἐμβολάς, οἳ ἀδιαλείπτως παίοντες ἤνυον κατ' ὀλίγον. ἤδη δὲ τῷ Νίκωνι τοῦ τείχους ἐνδιδόντος (αὐτοὶ γὰρ τοῦτο Ἰουδαῖοι τὴν μεγίστην ἐπάλεσαν Ῥωμαίων ἑλέπολιν ἀπὸ τοῦ πάντα νικᾶν), ἀπέκαμνον μὲν πάλαι πρός τε τὰς μάχας καὶ τὰς φυ-

Digitized by Google

λακὰς πόρρωθεν τῆς πόλεως διανυκτερεύοντες, ἄλλως δ' ὑπὸ φαστώνης καὶ τοῦ βουλεύεσθαι πάντα κακῶς περιττὸν αὐτοῖς δόξαν φυλάττειν τὸ τεῖχος ἑτέρων μετ' αὐτὸ λειπομένων δύο, μαλακισθέντες ἀνεχώρουν οἱ πολλοί. καὶ τῶν Ῥωμαίων ἐπιβάντων καθ' ἃ παρέρρηξεν ὁ Νίκων, καταλιπόντες τὰς φυλακὰς πάντες εἰς τὸ δεύτερον τεῖχος ἀναφεύγουσιν. οἱ δὲ ὑπερβάντες, τὰς πύλας ἀνοίξαντες, πᾶσαν εἰσδέχονται τὴν στρατιάν.

καὶ Ῥωμαῖοι μὲν οὕτω τοῦ πρώτου τείχους πεντεκαιδεκάτῃ κρατήσαντες ἡμέρᾳ (ἑβδόμῃ δ' ἦν Ἀρτεμισίου μηνός) αὐτοῦ τε πολὺ κατασκάπτουσι καὶ τὰ προσάρκτια τῆς πόλεως, ἃ καὶ πρότερον Κέστιος· μεταστρατοπεδεύεται δὲ Τίτος ἔσω κατὰ τὴν Ἀσσυρίων παρεμβολὴν καλουμένην, ἐπισχὼν πᾶν τὸ μεταξὺ μέχρι τοῦ Κεδρῶνος, ἀπὸ δὲ τοῦ δευτέρου τείχους ὅσον ἑξωτέρω βέλους εἶναι προσβολὰς εὐθέως ἐποιεῖτο. μερισθέντες δ' οἱ Ἰουδαῖοι καρτερῶς ἀπημύναντο τοῦ τείχους, οἱ μὲν περὶ τὸν Ἰωάννην ἀπό τε τῆς Ἀντωνίας καὶ τῆς προσαρκτίου στοᾶς τοῦ ἱεροῦ καὶ πρὸ τῶν Ἀλεξάνδρου τοῦ βασιλέως μνημείων μαχόμενοι, τὸ δὲ τοῦ Σίμωνος τάγμα τὴν παρὰ τὸ Ἰωάννου μνημεῖον ἐμβολὴν διαλαβόντες ἐφράξαντο μέχρι πύλης καθ' ἣν τὸ ὕδωρ ἐπὶ τὸν Ἱππικὸν πύργον εἰσῆκτο. προπηδῶντες δὲ πολλάκις ἐκ τῶν πυλῶν συστάδην ἐπολέμουν, καὶ συνδιωχθέντες ἐπὶ τοῦ τείχους κατὰ μὲν τὰς συμπλοκὰς ἠττῶντο, τῆς Ῥωμαίων ἐπιστήμης ὄντες ἄπειροι, περιῆσαν δὲ ταῖς τειχομαχίαις. καὶ τοὺς μὲν ἰσχὺς μετ' ἐμπειρίας παρεκρότει, Ἰουδαίους δὲ τόλμα δέει τρεφομένη καὶ τὸ φύσει καρτερικὸν ἐν συμφοραῖς. προσῆν δ' ἐλπὶς ἔτι σωτηρίας, ἢ καὶ Ῥωμαίοις τοῦ ταχέως κρατήσειν· οὐδετέρων δὲ ἥπτετο κόπος, ἀλλὰ προσβο-

Digitized by Google

λαὶ καὶ τειχομαχίαι καὶ κατὰ λόχους ἐκδρομαὶ συνεχεῖς δι' ὅλης ἡμέρας ἦσαν, οὐδὲ ἔστιν ἥτις ἰδέα μάχης ἀπελείπετο. νὺξ δ' ἀνέπαυε μόλις ἕωθεν ἀρχομένους· ἦν δὲ ἄυπνος ἀμφοτέροις ἡ νύξ, καὶ χαλεπωτέρα τῆς ἡμέρας, δέει τῶν μὲν ὅσον οὔπω καταληφθήσεσθαι τὸ τεῖχος, τῶν δὲ ἐπιθήσεσθαι Ἰουδαίους τοῖς στρατοπέδοις. ἔν τε τοῖς ὅπλοις ἑκάτεροι διανυκτερεύοντες ὑπὸ τὰς πρώτας αὐγὰς ἕτοιμοι πρὸς μάχην ἦσαν. καὶ παρὰ μὲν Ἰουδαίοις ἔρις ἦν ὅστις προκινδυνεύσας χαρίσαιτο τοῖς ἡγεμόσι, μάλιστα δὲ τοῦ Σίμωνος αἰδὼς ἦν καὶ δέος, οὕτω τε προσεῖχεν ἕκαστος αὐτῷ τῶν ὑποτεταγμένων ὡς καὶ πρὸς αὐτοχειρίαν ἑτοιμότατος εἶναι κελεύσαντος. Ῥωμαίοις δὲ ἐπ' ἀνδρείαν ἦν προτροπὴ τό τε τοῦ κρατεῖν ἔθος καὶ ἡ τῆς ἥττης ἀήθεια, συνεχεῖς τε στρατεῖαι καὶ διηνεκεῖς μελέται, καὶ μέγεθος ἡγεμονίας, πρὸ δὲ πάντων Τίτος ἀεὶ πᾶσι πανταχοῦ παρατυγχάνων. τό τε γὰρ μαλακισθῆναι παρόντος καὶ συναγωνιζομένου Καίσαρος δεινὸν ἐδόκει, καὶ τῷ καλῶς ἀγωνισαμένῳ μάρτυς αὐτὸς ὁ καὶ τιμήσων παρῆν· κέρδος δ' ἦν ἤδη καὶ τὸ γνωσθῆναι Καίσαρι γενναῖον ὄντα. διὰ τοῦτο πολλοὶ τῆς κατὰ σφᾶς ἰσχύος ἀμείνους τῇ προθυμίᾳ διεφάνησαν. παραταξαμένων γοῦν κατὰ ταύτας τὰς ἡμέρας τῶν Ἰουδαίων πρὸ τοῦ τείχους καρτερῷ στίφει, καὶ διακοντιζομένων ἔτι πόρρωθεν τῶν ταγμάτων ἑκατέρων, Λογγῖνός τις τῶν ἱππέων ἐξαλλόμενος τῆς Ῥωμαϊκῆς τάξεως ἐμπηδᾷ τῇ μέσῃ τῶν Ἰουδαίων φάλαγγι, καὶ διασκεδασθέντων πρὸς τὴν ἐμβολὴν δύο τοὺς γενναιοτάτους ἀναιρεῖ, τὸν μὲν κατὰ στόμα πλήξας ὑπαντιάσαντα, τὸν δ' ἀναστάσας ἐκ τοῦ προτέρου τὸ δόρυ κατὰ πλευρὰν διαπείρει τραπόμενον, ἐκ μέσων τε τῶν πολεμίων πρῶτος εἰς τοὺς σφετέρους ἔδραμεν. ὃ μὲν οὖν δι' ἀρετὴν ἐπίσημος

Digitized by Google

ἦν, ζηλωταὶ δὲ τῆς ἀνδρείας ἐγίνοντο πολλοί. καὶ οἱ Ἰουδαῖοι μὲν ἀμελοῦντες τοῦ παθεῖν τὸ διαθεῖναι μόνον ἐσκόπουν, ὅ τε θάνατος αὐτοῖς ἐδόκει κουφότατος εἰ μετὰ τοῦ κτεῖναί τινα τῶν πολεμίων προσπέσοι· Καῖσαρ δὲ τῆς τῶν στρατιωτῶν ἀσφαλείας οὐχ ἧττον τοῦ κρατεῖν προυνόει, καὶ τὴν μὲν ἀπερίσκεπτον ὁρμὴν ἀπόνοιαν λέγων, μόνην δ' ἀρετὴν τὴν μετὰ προνοίας καὶ τοῦ μηδὲν τὸν δρῶντα παθεῖν, ἐν ἀκινδύνῳ τῷ κατὰ σφᾶς ἐπέλευεν ἀνδρίζεσθαι.

4 προσάγει δ' αὐτὸς τοῦ βορείου τείχους τῷ μέσῳ πύργῳ τὴν ἑλέπολιν, ἐν ᾧ τῶν Ἰουδαίων τις ἀνὴρ γόης ὄνομα Κάστωρ ἑλόχα μεθ' ὁμοίων δέκα, τῶν λοιπῶν φυγόντων διὰ τοὺς τοξότας. οὗτοι μέχρι μέν τινος ὑπεπτηχότες τοῖς θωρακείοις ἠρέμουν, σαλευομένου δὲ τοῦ πύργου διανίστανται, καὶ πρωτείνας ὁ Κάστωρ τὰς χεῖρας ὡς ἱκετεύων δῆθεν ἐκάλει τὸν Καίσαρα, καὶ τῇ φωνῇ κατοικτιζόμενος ἐλεῆσαι σφᾶς παρεκάλει. πιστεύσας δ' ἐξ ἁπλότητος ὁ Τίτος, καὶ μετανοεῖν ἤδη τοὺς Ἰουδαίους ἐλπίσας, ἐπέχει μὲν τοῦ κριοῦ τὴν ἐμβολήν, κωλύει τε τοξεύειν τοὺς ἱκέτας, λέγειν δ' ἐκέλευσεν ὅ τι βούλεται τῷ Κάστορι. τοῦ δὲ εἰπόντος ἐπὶ δεξιᾷ καταβῆναι θέλειν, ὁ Τίτος συνήδεσθαι μὲν αὐτῷ τῆς εὐβουλίας ἔφη, συνήδεσθαι δ' εἰ πάντες ἤδη τὰ αὐτὰ φρονοῦσι, καὶ τῇ πόλει διδόναι γε πίστιν ἑτοίμως. τῶν δέκα δὲ οἱ πέντε μὲν αὐτῷ συνυπεκρίνοντο τὴν ἱκετηρίαν, οἱ λοιποὶ δ' οὐκ ἄν ποτε δουλεύσειν Ῥωμαίοις ἐβόων, παρὸν ἐλευθέρους ἀποθανεῖν. καὶ μέχρι πολλοῦ διαφερομένων ἐτρίβετο μὲν ἡ προσβολή, πέμπων δ' ὁ Κάστωρ πρὸς τὸν Σίμωνα σχολῇ βουλεύεσθαι περὶ τῶν ἐπειγόντων ἔλεγεν, ὡς οὐκ ἐπ' ὀλίγον αὐτὸς διαπαίζοι τὴν Ῥωμαίων ἀρχήν. ἅμα δὲ ταῦτα πέμπων καταφανὴς ἦν καὶ τοὺς ἀπειθοῦντας ἐπὶ τὴν

Digitized by Google

δεξιὰν παρακαλῶν. οἱ δ' ὥσπερ ἀγανακτοῦντες ὑπὲρ τὰ θωρακεῖα διῃράν τε τὰ ξίφη γυμνὰ καὶ τοὺς θώρακας αὐτῶν πλήξαντες ὡς ἀπεσφαγμένοι κατέπεσον. θάμβος δὲ τὸν Τίτον καὶ τοὺς περὶ αὐτὸν εἰσῄει τοῦ τῶν ἀνδρῶν παραστήματος, καὶ μὴ δυνάμενοι κάτωθεν ἀκριβῶς τὸ γεγενημένον ἰδεῖν, ἐθαύμαζόν τε τῆς εὐτολμίας αὐτοὺς καὶ τοῦ πάθους ἠλέουν. τοξεύει δέ τις ἐν τούτῳ παρὰ τὴν ῥῖνα τὸν Κάστορα, κἀκεῖνος εὐθέως ἀνασπάσας τὸ βέλος ἐπεδείκνυ τῷ Τίτῳ, καὶ ὡς οὐ δίκαια πάσχων κατεμέμφετο. πρὸς δὲ τὸν βαλόντα σχετλιάσας Καῖσαρ ἔπεμπε παρεστῶτα τὸν Ἰώσηπον δοῦναι τῷ Κάστορι δεξιάν. ἀλλ' ὃ μὲν οὔτ' αὐτὸς ἔφη προσελεύσεσθαι (φρονεῖν γὰρ οὐδὲν ὑγιὲς τοὺς δεομένους) καὶ τοὺς ὡρμημένους τῶν φίλων κατέσχεν, Αἰνείας δέ τις τῶν αὐτομόλων αὐτὸς ἔφη προσελεύσεσθαι. καὶ τοῦ Κάστορος καλοῦντος ὅπως δέξαιτό τις καὶ τὸ ἀργύριον ὃ φέρει μεθ' αὑτοῦ, σπουδαιότερον ὁ Αἰνείας διαπετάσας τὸν κόλπον προσέδραμεν. ἁράμενος δ' ὁ Κάστωρ πέτραν ἐπαφίησιν αὐτῷ, καὶ τούτου μὲν διήμαρτε φυλαξαμένου, τιτρώσκει δὲ στρατιώτην ἕτερον προσελθόντα. συννοήσας δὲ Καῖσαρ τὴν ἀπάτην, πρὸς βλάβης μὲν ἔγνω τὸν ἐν πολέμοις ἕλεον (τὸ γὰρ ἀπηνέστερον ἧττον ὑποπίπτειν τῷ πανούργῳ), τὰς δ' ἐμβολὰς τῆς ἑλεπόλεως ὀργῇ τῆς χλεύης ἐποιεῖτο δυνατωτέρας. ὑποδιδόντα δὲ τὸν πύργον ἐμπιπρᾶσιν οἱ περὶ τὸν Κάστορα, καὶ διὰ τῆς φλογὸς εἰς τὴν ὑπ' αὐτῷ κρυπτὴν ἁλάμενοι πάλιν δόξαν ἀνδρείας Ῥωμαίοις παρέσχον ὡς ῥίψαντες σφᾶς αὐτοὺς εἰς τὸ πῦρ.

αἱρεῖ δὲ Καῖσαρ ταύτῃ τὸ τεῖχος ἡμέρᾳ πέμπτῃ 8
μετὰ τὸ πρῶτον, καὶ τῶν Ἰουδαίων φυγόντων ἀπ' αὐτοῦ παρέρχεται μετὰ χιλίων ὁπλιτῶν ἔνδον καὶ τῶν περὶ αὐτὸν ἐπιλέκτων, καθ' ὃ καὶ τῆς καινῆς πόλεως

Digitized by Google

ἐριοπώλιά τε ἦν καὶ χαλκεῖα καὶ ἱματίων ἀγορά, πρὸς δὲ τὸ τεῖχος πλάγιοι κατέτεινον οἱ στενωποί. εἰ μὲν οὖν ἢ τοῦ τείχους πλέον εὐθέως διέλυσεν ἢ πολέμου νόμῳ παρελθὼν ἐπόρθει τὸ ληφθέν, οὐκ ἂν οἶμαί τις ἐμίγη βλάβη τῷ κράτει. νῦν δὲ Ἰουδαίους μὲν ἐλπίσας δυσωπήσειν ἐξὸν κακοῦν τῷ μὴ θέλειν, πρὸς ἀναχώρησιν εὐμαρῆ τὴν εἰσβολὴν οὐκ ἐπλάτυνεν· οὐ γὰρ ἐπιβουλεύσειν οὓς εὐεργετεῖν ὑπελάμβανεν. παρελθὼν γοῦν οὔτε κτείνειν τινὰ τῶν καταλαμβανομένων ἐπέτρεψεν οὔθ' ὑποπιμπράναι τὰς οἰκίας, ἀλλ' ἅμα μὲν τοῖς στασιασταῖς, εἰ βούλοιντο μάχεσθαι δίχα τῆς τοῦ δήμου βλάβης, ἄδειαν ἐδίδου, τῷ δήμῳ δὲ τὰς κτήσεις ὑπισχνεῖτο δώσειν· περὶ πλείστου γὰρ ἐποιεῖτο σῶσαι τὴν μὲν πόλιν ἑαυτῷ τὸν δὲ ναὸν τῇ πόλει. τὸν μὲν οὖν λαὸν ἕτοιμον εἶχεν εἰς ἃ προύτρεπε καὶ πάλαι, τοῖς μαχίμοις δὲ ἐδόκει τὸ φιλάνθρωπον ἀσθένεια, καὶ τὸν Τίτον ἀδυναμίᾳ τοῦ τὴν ὅλην πόλιν ἑλεῖν ταῦτα προτείνειν ὑπελάμβανον. διαπειλοῦντες δὲ τοῖς δημόταις θάνατον εἴ περὶ παραδόσεως μνησθείη τις αὐτῶν, καὶ τοὺς παραφθεγγομένους εἰρήνην ἀποσφάττοντες, ἐπιτίθενται καὶ τοῖς εἰσελθοῦσι Ῥωμαίων, οἱ μὲν κατὰ τοὺς στενωποὺς ὑπαντιάσαντες, οἱ δὲ ἀπὸ τῶν οἰκιῶν, ἄλλοι δ' ἔξω τοῦ τείχους κατὰ τὰς ἄνω προπηδήσαντες πύλας. πρὸς οὓς ταραχθέντες οἱ φρουροὶ τοῦ τείχους καθαλλόμενοι τῶν πύργων ἀνεχώρουν εἰς τὰ στρατόπεδα. κραυγὴ δ' ἦν τῶν μὲν εἴσω πάντοθεν πολεμίοις κεκυκλωμένων, τῶν δ' ἔξωθεν περὶ τοῖς ἀπολειφθεῖσι δεδοικότων. πληθύοντες δ' ἀεὶ οἱ Ἰουδαῖοι, καὶ πολλὰ πλεονεκτοῦντες κατ' ἐμπειρίαν τῶν στενωπῶν, ἐτίτρωσκόν τε πολλοὺς καὶ προσπίπτοντες ἐξώθουν. οἱ δὲ κατ' ἀνάγκην τὸ πλέον ἀντεῖχον· οὐ γὰρ ἦν ἀθρόους διαφυγεῖν διὰ στενοῦ τοῦ τείχους· δοκοῦσί τ' ἂν

Digitized by Google

κατακοπῆναι πάντες οἱ παρελθόντες μὴ προσαμύναντος τοῦ Τίτου. διαστήσας γὰρ ἐπ' ἄκροις τοῖς στενωποῖς τοὺς τοξότας, καὶ κατὰ τὸν μάλιστα πληθύοντα σταθεὶς αὐτός, ἀνέστελλε τοῖς βέλεσι τοὺς πολεμίους, καὶ σὺν αὐτῷ Δομίτιος Σαβῖνος, ἀνὴρ ἀγαθὸς καὶ κατὰ ταύτην φανεὶς τὴν μάχην. παρέμεινε δὲ συνεχῶς τοξεύων Καῖσαρ, καὶ τοὺς Ἰουδαίους κωλύων παρελθεῖν, μέχρι πάντες ἀνεχώρησαν οἱ στρατιῶται.

Ῥωμαῖοι μὲν οὕτω κρατήσαντες τοῦ δευτέρου τεί- 2
χους ἐξεώσθησαν· τῶν δ' ἀνὰ τὸ ἄστυ μαχίμων ἐπήρθη τὰ φρονήματα, καὶ μετέωροι πρὸς τὴν εὐπραγίαν ἦσαν, οὔτ' ἂν Ῥωμαίους εἰς τὴν πόλιν τολμήσειν ἔτι παρελθεῖν οὔτ' ἂν αὐτοὶ παρελθόντες ἡττηθήσεσθαι δοκοῦντες. ἐπεσκότει γὰρ αὐτῶν ταῖς γνώμαις διὰ τὰς παρανομίας ὁ θεός, καὶ οὔτε τὴν Ῥωμαίων ἰσχὺν ὅσῳ πλείων κατελείπετο τῆς ἐξελαθείσης ἔβλεπον, οὔτε τὸν ὑφέρποντα λιμὸν αὐτοῖς. ἔτι γὰρ παρῆν ἐσθίειν ἐκ τῶν δημοσίων κακῶν καὶ τὸ τῆς πόλεως αἷμα πίνειν. ἔνδεια δὲ τοὺς ἀγαθοὺς ἐπεῖχε πάλαι, καὶ σπάνει τῶν ἐπιτηδείων διελύοντο πολλοί. τὴν δὲ τοῦ λαοῦ φθορὰν ἑαυτῶν οἱ στασιασταὶ κουφισμὸν ὑπελάμβανον· μόνους γὰρ ἠξίουν σώζεσθαι τοὺς μὴ ζητοῦντας εἰρήνην καὶ κατὰ Ῥωμαίων ζῆν προῃρημένους, τοῦ δ' ἐναντίου πλήθους ὥσπερ ὑπερβάλλοντος βάρους ἥδοντο ἀπανωμένων. τοιοῦτοι μὲν δὴ πρὸς τοὺς ἔνδον ἦσαν· Ῥωμαίους δὲ πάλιν τῆς εἰσόδου πειρωμένους ἐκώλυον φραξάμενοι, καὶ τὸ καταρρηχὲν ἀντιτειχίσαντες τοῖς σώμασι τρισὶ μὲν ἀντέσχον ἡμέραις καρτερῶς ἀμυνόμενοι, τῇ τετάρτῃ δὲ προσβαλόντα γενναίως Τίτον οὐκ ἠνεγκαν, ἀλλὰ βιασθέντες ᾗ καὶ πρότερον ἀναφεύγουσιν. ὃ δὲ πάλιν τοῦ τείχους κρατήσας τὸ προσάρκτιον μὲν εὐθέως κατέρριψε πᾶν, ἐπὶ δὲ τοῦ κατὰ

Digitized by Google

μεσημβρίαν φρουροὺς τοῖς πύργοις ἐγκαταστήσας τῷ τρίτῳ προσβάλλειν ἐπενόει.

9 δόξαν δ' ἐπανεῖναι πρὸς ὀλίγον τὴν πολιορκίαν, καὶ διωρίαν βουλῆς τοῖς στασιασταῖς παρασχεῖν, εἴ τι πρὸς τὴν καθαίρεσιν ἐνδοίεν τοῦ δευτέρου τείχους, ἢ καὶ τὸν λιμὸν ὑποδείσαντες (οὐ γὰρ εἰς πολὺ τὰς ἁρπαγὰς αὐτοῖς ἐξαρκέσειν), εἰς δέον κατεχρῆτο τὴν ἄνεσιν. ἐνστάσης γὰρ τῆς προθεσμίας καθ' ἣν ἔδει διαδοῦναι τοῖς στρατιώταις τροφάς, ἐν ἀπόπτῳ τοῖς πολεμίοις ἐκέλευσε τοὺς ἡγεμόνας ἐκτάξαντας τὴν δύναμιν ἀπαριθμεῖν ἑκάστῳ τἀργύριον. οἱ δ', ὥσπερ ἔθος, ἀποκαλύψαντες τὰ ὅπλα θήκαις ἐσκεπασμένα τέως, κατάφρακτοι προσῄεσαν, καὶ τοὺς ἵππους ἄγοντες οἱ ἱππεῖς κεκοσμημένους. ἐπὶ πλεῖστον δὲ τὰ πρὸ τῆς πόλεως ἀργύρῳ καὶ χρυσῷ περιελάμπετο, καὶ τῆς ὄψεως ἐκείνης οὐδὲν οὔτε τοῖς σφετέροις ἐπιτερπέστερον οὔτε τοῖς πολεμίοις παρέστη φοβερώτερον. κατεπλήσθη γὰρ ἀφορώντων τό τε ἀρχαῖον τεῖχος ἅπαν καὶ τοῦ ἱεροῦ τὸ βόρειον κλίμα, τάς τε οἰκίας μεστὰς ἦν προκυπτόντων ὑπεριδεῖν, καὶ τῆς πόλεως οὐδὲν ὃ μὴ κεκάλυπτο πλήθει διεφαίνετο. κατάπληξις δὲ δεινὴ καὶ τοῖς τολμηροτάτοις ἐνέπεσε τήν τε δύναμιν ἐπὶ ταὐτὸ πᾶσαν ὁρῶσι καὶ τὸ κάλλος τῶν ὅπλων καὶ τὴν εὐταξίαν τῶν ἀνδρῶν, δοκοῦσί τ' ἄν μοι πρὸς ἐκείνην οἱ στασιασταὶ μεταβαλέσθαι τὴν ὄψιν, εἰ μὴ δι' ὑπερβολὴν ὧν τὸν δῆμον ἔδρασαν κακῶν συγγνώμην παρὰ Ῥωμαίοις ἀπήλπιζον· ἀποκειμένου δὲ τοῦ μετὰ κολάσεως εἰ παύσαιντο, πολὺ κρείττω τὸν ἐν πολέμῳ θάνατον ἡγοῦντο. καὶ τὸ χρεὼν δ' ἐκράτει τούς τε ἀναιτίους τοῖς αἰτίοις συναπολέσθαι καὶ τῇ στάσει τὴν πόλιν.

2 τέσσαρσι μὲν οὖν ἡμέραις οἱ Ῥωμαῖοι καθ' ἕκαστον τάγμα διετέλεσαν τὰς τροφὰς κομιζόμενοι· τῇ

Digitized by Google

πέμπτῃ δέ, ὡς οὐδὲν ἀπήντα παρὰ τῶν Ἰουδαίων εἰρηνικόν, διχῇ διελὼν τὰ τάγματα Τίτος ἤρχετο χωμάτων κατά τε τὴν Ἀντωνίαν καὶ τὸ τοῦ Ἰωάννου μνημεῖον, ταύτῃ μὲν τὴν ἄνω πόλιν αἱρήσειν ἐπινοῶν, τὸ δὲ ἱερὸν κατὰ τὴν Ἀντωνίαν· τούτου γὰρ μὴ ληφθέντος οὐδὲ τὸ ἄστυ κατέχειν ἀκίνδυνον ἦν. πρὸς ἑκατέρῳ δὴ μέρει δύο ἠγείρετο χώματα, καθ' ἓν ἑκάστου τάγματος. καὶ τοὺς μὲν παρὰ τὸ μνημεῖον ἐργαζομένους οἵ τε Ἰδουμαῖοι καὶ τὸ μετὰ τοῦ Σίμωνος ὁπλιτικὸν εἶργον ἐπεκθέοντες, τοὺς δὲ πρὸ τῆς Ἀντωνίας οἱ περὶ τὸν Ἰωάννην καὶ τὸ τῶν ζηλωτῶν πλῆθος. ἐπλεονέκτουν δ' οὐ κατὰ χεῖρα μόνον ἀφ' ὑψηλοτέρων μαχόμενοι, καὶ τοῖς ὀργάνοις δ' ἤδη χρῆσθαι μεμαθηκότες· ἡ γὰρ καθ' ἡμέραν τριβὴ κατὰ μικρὸν ἔθρεψε τὴν ἐμπειρίαν. εἶχον δ' ὀξυβελεῖς μὲν τριακοσίους, τεσσαράκοντα δὲ τῶν λιθοβόλων, δι' ὧν τὰ χώματα τοῖς Ῥωμαίοις ἐποίουν δυσεργότερα. Καῖσαρ δὲ σώζεσθαί τε τὴν πόλιν καὶ ἀπόλλυσθαι εἰδὼς ἑαυτῷ, ἅμα καὶ τῇ πολιορκίᾳ προσέκειτο καὶ τοῦ παραινεῖν Ἰουδαίοις μετάνοιαν οὐκ ἠμέλει. τοῖς δὲ ἔργοις ἀνέμισγε συμβουλίαν, καὶ πολλάκις γινώσκων ἀνυστικώτερον ὅπλων τὸν λόγον, αὐτούς τε σώζεσθαι παρεκάλει παραδόντας τὴν πόλιν ἤδη παρειλημμένην, καὶ τὸν Ἰώσηπον καθίει τῇ πατρίῳ γλώσσῃ διαλέγεσθαι, τάχα ἐνδοῦναι πρὸς ὁμόφυλον δοκῶν αὐτούς.

οὗτος περιιὼν τὸ τεῖχος, καὶ πειρώμενος ἐξωτέρω βέλους εἶναι καὶ ἐν ἐπηκόῳ, πολλὰ κατηντιβόλει φείσασθαι μὲν ἑαυτῶν καὶ τοῦ δήμου, φείσασθαι δὲ καὶ τῆς πατρίδος καὶ τοῦ ἱεροῦ, μηδὲ γενέσθαι πρὸς ταῦτα τῶν ἀλλοφύλων ἀπαθεστέρους. Ῥωμαίους μέν γε τοὺς μὴ μετέχοντας ἐντρέπεσθαι τὰ τῶν πολεμίων ἅγια καὶ μέχρι νῦν τὰς χεῖρας ἐπέχειν, τοὺς δ' ἐντραφέντας

Digitized by Google

αὐτοῖς, κἂν περισωθῇ μόνους ἔξοντας, ὡρμῆσθαι πρὸς ἀπώλειαν αὐτῶν. ἢ μὴν τὰ καρτερώτερα μὲν αὐτῶν ὁρᾶν τείχη πεπτωκότα, λειπόμενον δὲ τὸ τῶν ἑαλωκότων ἀσθενέστερον· γιγνώσκειν δὲ τὴν Ῥωμαίων ἰσχὺν ἀνυπόστατον, καὶ τὸ δουλεύειν τούτοις οὐκ ἀπείρατον αὐτοῖς. εἰ γὰρ δὴ καὶ πολεμεῖν ὑπὲρ ἐλευθερίας καλόν, χρῆναι τὸ πρῶτον· τὸ δ' ἅπαξ ὑποπεσόντας καὶ μακροῖς εἴξαντας χρόνοις ἔπειτα ἀποσείεσθαι τὸν ζυγὸν δυσθανατώντων, οὐ φιλελευθέρων εἶναι. δεῖν μέντοι καὶ δεσπότας ἀδοξεῖν ταπεινοτέρους, οὐχ οἷς ὑπὸ χεῖρα τὰ πάντα. τί γὰρ Ῥωμαίους διαπεφευγέναι, πλὴν εἰ μή τι· διὰ θάλπος ἢ κρύος ἄχρηστον; μεταβῆναι δὲ πρὸς αὐτοὺς πάντοθεν τὴν τύχην, καὶ κατὰ ἔθνος τὸν θεὸν περιάγοντα τὴν ἀρχὴν νῦν ἐπὶ τῆς Ἰταλίας εἶναι. νόμον γε μὴν ὡρίσθαι καὶ παρὰ θηρσὶν ἰσχυρότατον καὶ παρ' ἀνθρώποις, εἴκειν τοῖς δυνατωτέροις, καὶ τὸ κρατεῖν παρ' οἷς ἀκμὴ τῶν ὅπλων εἶναι. διὰ τοῦτο καὶ τοὺς προγόνους αὐτῶν, πολὺ καὶ ταῖς ψυχαῖς καὶ τοῖς σώμασι, ἔτι δὲ καὶ ταῖς ἄλλαις ἀφορμαῖς ἀμείνους ὄντας, εἶξαι Ῥωμαίοις, οὐκ ἄν, εἰ μὴ τὸν θεὸν ᾔδεσαν σὺν αὐτοῖς, τοῦθ' ὑπομείναντας. αὐτοὺς δὲ τίνι καὶ πεποιθότας ἀντέχειν, ἑαλωκυίας μὲν ἐκ πλείστου τῆς πόλεως μέρους, τῶν δ' ἔνδον, εἰ καὶ τὰ τείχη παρέμενεν, ἀλώσεως χεῖρον διακειμένων; οὐ γὰρ λανθάνειν Ῥωμαίους τὸν ἐν τῇ πόλει λιμόν, ᾧ νῦν μὲν τὸν δῆμον, μετ' οὐ πολὺ δὲ διαφθαρήσεσθαι καὶ τοὺς μαχίμους. εἰ γὰρ δὴ καὶ παύσαιντο Ῥωμαῖοι τῆς πολιορκίας, μηδὲ ἐπεισπίπτοιεν τῇ πόλει ξιφήρεις, αὐτοῖς γε τὸν ἄμαχον πόλεμον ἔνδον παρακαθῆσθαι καθ' ἑκάστην ὥραν τρεφόμενον, εἰ μὴ καὶ πρὸς τὸν λιμὸν ἆραι τὰ ὅπλα καὶ μάχεσθαι δύναιντο, μόνοι τε καὶ

Digitized by Google

παθῶν ἐπικρατεῖν. προσετίθει δὲ ὡς καλὸν πρὸ ἀνηκέστου συμφορᾶς μεταβαλέσθαι καὶ πρὸς τὸ σωτήριον, ἕως ἔξεστι, ῥέψαι. καὶ γὰρ οὐδὲ μνησικακήσειν αὐτοῖς Ῥωμαίους τῶν γεγενημένων, εἰ μὴ μέχρι τέλους ἀπανθαδιάσαιντο· φύσει τε γὰρ ἐν τῷ κρατεῖν ἡμέρους εἶναι, καὶ πρὸ τῶν θυμῶν θήσεσθαι τὸ συμφέρον. τοῦτο δὲ εἶναι μήτε τὴν πόλιν ἀνδρῶν κενὴν μήτε τὴν χώραν ἔρημον ἔχειν. διὸ καὶ νῦν Καίσαρα βούλεσθαι δεξιὰν αὐτοῖς παρασχεῖν. οὐ γὰρ ἂν σώσαι τινὰ βίᾳ λαβὼν τὴν πόλιν, καὶ μάλιστα μηδ' ἐν ἐσχάταις συμφοραῖς ὑπακουσάντων παρακαλοῦντι. τοῦ γε μὴν ταχέως τὸ τρίτον τεῖχος ἁλώσεσθαι τὰ προεαλωκότα πίστιν εἶναι. κἂν ἅρηκτον δὲ ᾖ τὸ ἔρυμα, τὸν λιμὸν ὑπὲρ Ῥωμαίων αὐτοῖς μάχεσθαι.

ταῦτα τὸν Ἰώσηπον παραινοῦντα πολλοὶ μὲν 4
ἐσκωπτον ἀπὸ τοῦ τείχους, πολλοὶ δ' ἐβλασφήμουν, ἔνιοι δὲ ἔβαλλον. ὃ δὲ ὡς ταῖς φανεραῖς οὐκ ἔπειθε συμβουλίαις, ἐπὶ τὰς ὁμοφύλους μετέβαινεν ἱστορίας, "ὦ δείλαιοι" βοῶν "καὶ τῶν ἰδίων ἀμνήμονες συμμάχων, ὅπλοις καὶ χερσὶ πολεμεῖτε Ῥωμαίοις; τίνα γὰρ ἄλλον οὕτως ἐνικήσαμεν; πότε δὲ οὐ θεὸς ὁ κτίσας, ἂν ἀδικῶνται, Ἰουδαίων ἔκδικος; οὐκ ἐπιστραφέντες ὄψεσθε πόθεν ὁρμώμενοι μάχεσθε, καὶ πηλίκον ἐμιάνατε σύμμαχον; οὐκ ἀναμνήσεσθε πατέρων ἔργα δαιμόνια, καὶ τὸν ἅγιον τόνδε χῶρον ἡλίκους ἡμῖν πάλαι πολεμίους καθεῖλεν; ἐγὼ μὲν φρίττω τὰ ἔργα τοῦ θεοῦ λέγων εἰς ἀναξίους ἀκοάς· ἀκούετε δ' ὅμως, ἵνα γνῶτε μὴ μόνον Ῥωμαίοις πολεμοῦντες ἀλλὰ καὶ τῷ θεῷ. βασιλεὺς ὁ τότε Νεχαὼς Αἰγυπτίων (ὁ δ' αὐτὸς ἐκαλεῖτο καὶ Φαραώ) μυρίᾳ χειρὶ καταβὰς ἥρπασε Σάρραν βασιλίδα, τοῦ γένους ἡμῶν τὴν μητέρα. τί οὖν ὁ ταύτης ἀνὴρ Ἀβράαμος, προπάτωρ δὲ ἡμέ-

Digitized by Google

τερος; ἆρα τὸν ὑβριστὴν ἠμύνατο τοῖς ὅπλοις, καίτοι ὀκτωκαίδεκα μὲν καὶ τριακοσίους ὑπάρχους ἔχων, δύναμιν δ' ὑφ' ἑκάστῳ τούτων ἄπειρον; ἢ αὐτοὺς μὲν ἐρημίαν ἡγήσατο μὴ συμπαρόντος θεοῦ, καθαρὰς δ' ἀνατείνας τὰς χεῖρας εἰς ὃν νῦν ἐμιάνατε χῶρον ὑμεῖς, τὸν ἀνίκητον αὐτῷ βοηθὸν ἐστρατολόγησεν; οὐ μετὰ μίαν ἐσπέραν ἄχραντος μὲν αὐτῷ ἡ βασίλισσα ἀνεπέμφθη πρὸς τὸν ἄνδρα, προσκυνῶν δὲ τὸν ὑφ' ὑμῶν αἱμαχθέντα χῶρον ὁμοφύλῳ φόνῳ, καὶ τρέμων ἀπὸ τῶν ἐν νυκτὶ φαντασμάτων, ἔφευγεν ὁ Αἰγύπτιος, ἀργύρῳ δὲ καὶ χρυσῷ τοὺς θεοφιλεῖς Ἑβραίους ἐδωρήσατο; σιγῶ ἢ εἶπω τὴν εἰς Αἴγυπτον μετοικίαν τῶν πατέρων, οἳ τυραννούμενοι καὶ βασιλεῦσιν ἀλλοφύλοις ὑποπεπτωκότες τετρακοσίοις ἔτεσι, παρὸν ὅπλοις ἀμύνασθαι καὶ χερσί, σφᾶς αὐτοὺς ἐπέτρεψαν τῷ θεῷ; τίς οὐκ οἶδε τὴν παντὸς θηρίου καταπλησθεῖσαν Αἴγυπτον καὶ πάσῃ φθαρεῖσαν νόσῳ, τὴν ἄκαρπον γῆν, τὸν ἐπιλείποντα Νεῖλον, τὰς ἐπαλλήλους δέκα πληγάς, τοὺς διὰ ταῦτα μετὰ φρουρᾶς προπεμπομένους πατέρας ἡμῶν ἀναιμάκτους ἀκινδύνους, οὓς ὁ θεὸς ἑαυτῷ νεωκόρους ἦγεν; ἀλλὰ τὴν ὑπ' Ἀσσυρίων ἁρπαγεῖσαν ἁγίαν ἡμῖν λάρνακα οὐκ ἐστέναξε μὲν ἡ Παλαιστίνη καὶ Δαγὼν τὸ ξόανον, ἐστέναξε δὲ πᾶν τὸ τῶν ἁρπασαμένων ἔθνος, σηπόμενοι δὲ τὰ κρυπτὰ τοῦ σώματος, καὶ δι' αὐτῶν τὰ σπλάγχνα μετὰ τῶν σιτίων καταφέροντες, χερσὶ ταῖς λησαμέναις ἀνεκόμισαν, κυμβάλων καὶ τυμπάνων ἦχῳ καὶ πᾶσι μειλικτηρίοις ἱλασκόμενοι τὸ ἅγιον; θεὸς ἦν ὁ ταῦτα κατράσιν ἡμετέροις στρατηγῶν, ὅτι τὰς χεῖρας καὶ τὰ ὅπλα παρέντες αὐτῷ κρῖναι τὸ ἔργον ἐπέτρεψαν. βασιλεὺς Ἀσσυρίων Σεναχηρὶμ ὅτε πᾶσαν τὴν Ἀσίαν ἐπισυρόμενος τήνδε περιεστρατοπεδεύσατο τὴν πόλιν,

Digitized by Google

ἆρα χερσὶν ἀνθρωπίναις ἔπεσεν; οὐχ αἳ μὲν ἀπὸ τῶν ὅπλων ἠρεμοῦσαι ἐν προσευχαῖς ἦσαν, ἄγγελος δὲ τοῦ θεοῦ μιᾷ νυκτὶ τὴν ἄπειρον στρατιὰν ἐλυμήνατο, καὶ μεθ' ἡμέραν ἀναστὰς ὁ Ἀσσύριος ὀκτωκαίδεκα μυριάδας ἐπὶ πεντακισχιλίοις νεκρῶν εὗρε, μετὰ δὲ τῶν καταλειπομένων ἀνόπλους καὶ μὴ διώκοντας Ἑβραίους ἔφυγεν; ἴστε δὲ καὶ τὴν ἐν Βαβυλῶνι δουλείαν, ἔνθα μετανάστης ὢν ὁ λαὸς ἔτεσιν ἑβδομήκοντα οὐ πρότερον εἰς ἐλευθερίαν ἀνεκαίτισεν ἢ Κῦρον τοῦτο χαρίσασθαι τῷ θεῷ· προυπέμφθησαν γοῦν ὑπ' αὐτοῦ, καὶ πάλιν τὸν αὐτῶν σύμμαχον ἐνεωκόρουν. καθόλου δ' εἰπεῖν, οὐκ ἔστιν ὅ τι κατώρθωσαν οἱ πατέρες ἡμῶν τοῖς ὅπλοις, ἢ δίχα τούτων διήμαρτον ἐπιτρέψαντες τῷ θεῷ. μένοντες μέν γε κατὰ χώραν ἐνίκων ὡς ἐδόκει τῷ κριτῇ, μαχόμενοι δὲ ἔπταισαν ἀεί. τοῦτο μέν, ἡνίκα βασιλεὺς Βαβυλωνίων ἐπολιόρκει ταύτην τὴν πόλιν, συμβαλὼν Σεδεκίας ὁ ἡμέτερος βασιλεὺς παρὰ τὰς Ἱερεμίου προφητείας αὐτός τε ἑάλω καὶ τὸ ἄστυ μετὰ τοῦ ναοῦ κατασκαπτόμενον εἶδε· καίτοι πόσῳ μετριώτερος ὁ μὲν βασιλεὺς ἐκεῖνος τῶν ὑμετέρων ἡγεμόνων ἦν, ὁ δὲ ὑπ' αὐτὸν λαὸς ὑμῶν. βοῶντα γοῦν τὸν Ἱερεμίαν ὡς ἀπέχθοιντο μὲν τῷ θεῷ διὰ τὰς εἰς αὐτὸν πλημμελείας, ἀλώσοιντο δ' εἰ μὴ παραδοῖεν τὴν πόλιν, οὔθ' ὁ βασιλεὺς οὔθ' ὁ δῆμος ἀνεῖλεν. ἀλλ' ὑμεῖς, ἵνα ἐάσω τἄνδον (οὐ γὰρ ἑρμηνεῦσαι δυναίμην τὰς παρανομίας ὑμῶν ἀξίως), ἐμὲ τὸν παρακαλοῦντα πρὸς σωτηρίαν ὑμᾶς βλασφημεῖτε καὶ βάλλετε, παροξυνόμενοι πρὸς τὰς ὑπομνήσεις τῶν ἁμαρτημάτων, καὶ μηδὲ τοὺς λόγους φέροντες ὧν τἄργα δρᾶτε καθ' ἡμέραν. τοῦτο δέ, ἡνίκα Ἀντιόχου τοῦ κληθέντος ἐπιφανοῦς προσκαθεζομένου τῇ πόλει, πολλὰ πρὸς τὸ θεῖον ἐξυβρικότος, οἱ πρό-

Digitized by Google

γονοι μετὰ τῶν ὅπλων προῆλθον, αὐτοὶ μὲν ἀπεσφάγησαν ἐν τῇ μάχῃ, διηρπάγη δὲ τὸ ἄστυ τοῖς πολεμίοις, ἠρημώθη δ' ἔτη τρία καὶ μῆνας ἓξ τὸ ἅγιον. καὶ τί δεῖ τἄλλα λέγειν; ἀλλὰ Ῥωμαίους τίς ἐστρατολόγησε κατὰ τοῦ ἔθνους; οὐχ ἡ τῶν ἐπιχωρίων ἀσέβεια; πόθεν δ' ἠρξάμεθα δουλείας; ἆρ' οὐχὶ ἐκ στάσεως τῶν προγόνων, ὅτε ἡ Ἀριστοβούλου καὶ Ὑρκανοῦ μανία καὶ ἡ πρὸς ἀλλήλους ἔρις Πομπήιον ἐπήγαγε τῇ πόλει καὶ Ῥωμαίοις ὑπέταξεν ὁ θεὸς τοὺς οὐκ ἀξίους ἐλευθερίας; τρισὶ γοῦν μησὶ πολιορκηθέντες ἑαυτοὺς παρέδοσαν, οὔτε ἁμαρτόντες εἰς τὰ ἅγια καὶ τοὺς νόμους ἡλίκα ὑμεῖς, καὶ πολὺ μείζοσιν ἀφορμαῖς πρὸς τὸν πόλεμον χρώμενοι. τὸ δὲ Ἀντιγόνου τέλος, τοῦ Ἀριστοβούλου παιδός, οὐκ ἴσμεν; οὐ βασιλεύοντος ὁ θεὸς ἀλώσει πάλιν τὸν λαὸν ἤλαυνε πλημμελοῦντα, καὶ Ἡρώδης μὲν ὁ Ἀντιπάτρου Σόσσιον, Σόσσιος δὲ Ῥωμαίων στρατιὰν ἦγαγε, περισχεθέντες δ' ἐπὶ μῆνας ἓξ ἐπολιορκοῦντο, μέχρι δίκας τῶν ἁμαρτιῶν δόντες ἐάλωσαν καὶ διηρπάγη τοῖς πολεμίοις ἡ πόλις. οὕτως οὐδέποτε τῷ ἔθνει τὰ ὅπλα δέδοται, τῷ δὲ πολεμεῖσθαι καὶ τὸ ἁλώσεσθαι πάντως πρόσεστι. δεῖ γάρ, οἶμαι, τοὺς χωρίον ἅγιον νεμομένους ἐπιτρέπειν πάντα τῷ θεῷ δικάζειν, καὶ καταφρονεῖν τότε χειρὸς ἀνθρωπίνης ὅτε αὐτοὶ πείθουσι τὸν ἄνω δικαστήν. ὑμῖν δὲ τί τῶν εὐλογηθέντων ὑπὸ τοῦ νομοθέτου πέπρακται; τί δὲ τῶν ὑπ' ἐκείνου κατηραμένων παραλέλειπται; πόσῳ δ' ἐστὲ τῶν τάχιον ἁλόντων ἀσεβέστεροι; οὐ τὰ κρυπτὰ μὲν τῶν ἁμαρτημάτων ἠδοξήκατε, κλοπὰς λέγω καὶ ἐνέδρας καὶ μοιχείας, ἁρπαγαῖς δ' ἐρίζετε καὶ φόνοις, καὶ ξένας καινοτομεῖτε κακίας ὁδούς; ἐκδοχεῖον δὲ πάντων τὸ ἱερὸν γέγονε, καὶ χερσὶν ἐμφυλίοις ὁ θεῖος μεμίανται χῶρος, ὃν καὶ Ῥωμαῖοι

Digitized by Google

πόρρωθεν προσεκύνουν, πολλὰ τῶν ἰδίων ἐθῶν παραλύοντες εἰς τὸν ἡμέτερον νόμον. εἶτα ἐπὶ τούτοις τὸν ἀσεβηθέντα σύμμαχον προσδοκᾶτε; πάνυ γοῦν ἐστὲ δίκαιοι ἱκέται, καὶ χερσὶ καθαραῖς τὸν βοηθὸν ὑμῶν παρακαλεῖτε. τοιαύταις ὁ βασιλεὺς ἡμῶν ἱκέτευσεν ἐπὶ τὸν Ἀσσύριον, ὅτε τὸν μέγαν ἐκεῖνον στρατὸν μιᾷ νυκτὶ κατέστρωσεν ὁ θεός. ὅμοια δὲ τῷ Ἀσσυρίῳ Ῥωμαῖοι δρῶσιν, ἵνα καὶ ἄμυναν ὑμεῖς ὁμοίαν ἐλπίσητε. οὐχ ὃ μὲν χρήματα παρὰ τοῦ βασιλέως ὑμῶν λαβὼν ἐφ' ᾧ μὴ πορθήσῃ τὴν πόλιν, κατέβη παρὰ τοὺς ὅρκους ἐμπρῆσαι τὸν ναόν; Ῥωμαῖοι δὲ τὸν συνήθη δασμὸν αἰτοῦσιν, ὃν οἱ πατέρες ἡμῶν τοῖς ἐκείνων πατράσι παρέσχον, καὶ τούτου τυχόντες οὔτε πορθοῦσι τὴν πόλιν οὔτε ψαύουσι τῶν ἁγίων, διδόασι δ' ἡμῖν τἄλλα, γενεάς τε ἐλευθέρας καὶ κτήσεις τὰς ἑαυτῶν νέμεσθαι, καὶ τοὺς ἱεροὺς νόμους σώζουσι. μανία δὴ τὸν θεὸν προσδοκᾶν ἐπὶ δικαίοις οἷος ἐπ' ἀδίκοις ἐφάνη. καὶ παραχρῆμα δ' ἀμύνειν οἶδεν ὅταν δέῃ· τοὺς γοῦν Ἀσσυρίους κατὰ νύκτα τὴν πρώτην παραστρατοπεδευσαμένους ἔκλασεν. ὥστε εἰ καὶ τὴν ἡμετέραν γενεὰν ἐλευθερίας ἢ Ῥωμαίους κολάσεως ἀξίους ἔκρινε, κἂν παραχρῆμα καθάπερ τοῖς Ἀσσυρίοις ἐνέσκηψεν, ὅτε τοῦ ἔθνους ἥπτετο Πομπήιος, ὅτε μετ' αὐτὸν ἀνῄρει Σόσσιος, ὅτε Οὐεσπασιανὸς ἐπόρθει τὴν Γαλιλαίαν, τὰ τελευταῖα νῦν ὅτε ἤγγιζε Τίτος τῇ πόλει. καίτοι Μάγνος μὲν καὶ Σόσσιος πρὸς τῷ μηδὲν παθεῖν καὶ ἀνὰ κράτος ἔλαβον τὴν πόλιν, Οὐεσπασιανὸς δ' ἐκ τοῦ πρὸς ἡμᾶς πολέμου καὶ βασιλείας ἦρξατο. Τίτῳ μὲν γὰρ καὶ πηγαὶ πλουσιώτεραι ῥέουσιν, αἱ ξηρανθεῖσαι πρότερον ὑμῖν. πρὸ γοῦν τῆς αὐτοῦ παρουσίας τήν τε Σιλωὰμ ἐπιλιποῦσαν ἴστε καὶ τὰς ἔξω τοῦ ἄστεως ἁπάσας, ὥστε πρὸς ἀμφορεῖς ὠνεῖσθαι τὸ ὕδωρ· τὸ δὲ νῦν οὕτω

Digitized by Google

πληθύουσι τοῖς πολεμίοις ὑμῶν ὡς μὴ μόνον αὐτοῖς καὶ κτήνεσιν ἀλλὰ καὶ κήποις διαρκεῖν. τό γε μὴν τέρας τοῦτο πεπείρασθε καὶ πρότερον ἐφ' ἁλώσει τῆς πόλεως γεγενημένον, ὅθ' ὁ προειρημένος Βαβυλώνιος ἐπεστράτευσεν, ὃς τήν τε πόλιν ἑλὼν ἐνέπρησε καὶ τὸν ναόν, οὐδέν, οἶμαι, τῶν τότε ἡσεβηκότων τηλικοῦτον ἡλίκα ὑμεῖς· ὥστε ἔγωγε πεφευγέναι μὲν ἐκ τῶν ἁγίων οἶμαι τὸ θεῖον, ἑστάναι δὲ παρ' οἷς πολεμεῖτε νῦν. ἀλλ' ἀνὴρ μὲν ἀγαθὸς οἰκίαν ἀσελγῆ φεύξεται καὶ τοὺς ἐν αὐτῇ στυγήσει, τὸν δὲ θεὸν ἔτι πείσεσθε τοῖς ὑμετέροις κακοῖς παραμένειν, ὃς τά τε κρυπτὰ πάντα ἐφορᾷ καὶ τῶν σιγωμένων ἀκούει; τί δὲ σιγᾶται παρ' ὑμῖν, ἢ τί κρύπτεται; τί δ' οὐχὶ καὶ τοῖς ἐχθροῖς φανερὸν γέγονε; πομπεύετε γὰρ παρανομοῦντες, καὶ καθ' ἡμέραν ἐρίζετε τίς χείρων γένηται, τῆς ἀδικίας ὥσπερ ἀρετῆς ἐπίδειξιν ποιούμενοι. καταλείπεται δὲ ὅμως ἔτι σωτηρίας ὁδός, ἐὰν θέλητε, καὶ τὸ θεῖον εὐδιάλλακτον ἐξομολογουμένοις καὶ μετανοοῦσιν. ὦ σιδήρειοι, φύψατε τὰς κανοκλίας, λάβετε ἤδη κατερειπομένης αἰδῶ πατρίδος, ἐπιστράφητε, καὶ θεάσασθε τὸ κάλλος ἧς προδίδοτε, οἷον ἄστυ, οἷον ἱερόν, ὅσων ἐθνῶν θῶρα. ἐπὶ ταῦτά τις ὁδηγεῖ φλόγας; ταῦτά τις μηκέτι εἶναι θέλει; καὶ τί σώζεσθαι τούτων ἀξιώτερον; ἄτεγκτοί γε καὶ λίθων ἀπαθέστεροι. καὶ εἰ μὴ ταῦτα γνησίοις ὄμμασι βλέπετε, γενεὰς γοῦν ὑμετέρας οἰκτείρατε, καὶ πρὸ ὀφθαλμῶν ἑκάστῳ ἔστω τέκνα καὶ γυνὴ καὶ γονεῖς, οὓς ἀναλώσει μετὰ μικρὸν ἢ λιμὸς ἢ πόλεμος. οἶδα ὅτι μοι συγκινδυνεύει μήτηρ καὶ γυνὴ καὶ γένος οὐκ ἄσημον καὶ πάλαι λαμπρὸς οἶκος, καὶ τάχα δοκῶ διὰ ταῦτα συμβουλεύειν. ἀποκτείνατε αὐτούς, λάβετε μισθὸν τῆς ἑαυτῶν σωτηρίας τοὐμὸν αἷμα. κἀγὼ θνήσκειν ἕτοιμος, εἰ μετ' ἐμὲ σωφρονεῖν μέλλετε."

Digitized by Google

τοιαῦτα τοῦ Ἰωσήπου μετὰ δακρύων ἐμβοῶντος, οἱ στασιασταὶ μὲν οὔτε ἐνέδοσαν οὔτε ἀσφαλῆ τὴν μεταβολὴν ἔκριναν, ὁ δὲ δῆμος ἐκινήθη πρὸς αὐτομολίαν. καὶ οἱ μὲν τὰς κτήσεις ἐλαχίστου πωλοῦντες, οἱ δὲ τὰ πολυτελέστερα τῶν κειμηλίων, τοὺς μὲν χρυσοῦς, ὡς μὴ φωραθείεν ὑπὸ τῶν λῃστῶν, κατέπινον, ἔπειτα πρὸς τοὺς Ῥωμαίους διαδιδράσκοντες, ὁπότε κατενέγκαιεν, εὐπόρουν πρὸς ἃ δέοιντο. διηφίει γὰρ τοὺς πολλοὺς ὁ Τίτος εἰς τὴν χώραν, ὅποι βούλοιτο ἕκαστος· καὶ τοῦτο αὐτοὺς μᾶλλον πρὸς τὸ αὐτομολεῖν παρεκάλει, τῶν μὲν εἴσω κακῶν στερησομένους, μὴ δουλεύσοντας δὲ Ῥωμαίοις. οἱ δὲ περὶ τὸν Ἰωάννην καὶ τὸν Σίμωνα περιεφύλαττον τὰς τούτων ἐξόδους πλέον ἢ τὰς Ῥωμαίων εἰσόδους, καὶ σκιάν τις ὑπονοίας παρασχὼν μόνον εὐθέως ἀπεσφάττετο. τοῖς γε μὴν εὐπόροις καὶ τὸ μένειν πρὸς ἀπώλειαν ἴσον ἦν· προφάσει γὰρ αὐτομολίας ἀνῃρεῖτό τις διὰ τὴν οὐσίαν. τῷ λιμῷ δὲ ἡ ἀπόνοια τῶν στασιαστῶν συνήκμαζε, καὶ καθ' ἡμέραν ἀμφότερα προσεξεκαίετο τὰ δεινά. φανερὸς μὲν γὰρ οὐδαμοῦ σῖτος ἦν, ἐπεισπηδῶντες δὲ διηρεύνων τὰς οἰκίας· ἔπειθ' εὑρόντες μὲν ὡς ἀρνησαμένους ἠκίζοντο, μὴ εὑρόντες δὲ ὡς ἐπιμελέστερον κρύψαντας ἐβασάνιζον. τεκμήριον δὲ τοῦ τε ἔχειν καὶ μὴ τὰ σώματα τῶν ἀθλίων, ὧν οἱ μὲν ἔτι συνεστῶτες εὐπορεῖν τροφῆς ἐδόκουν, οἱ τηκόμενοι δὲ ἤδη παρωδεύοντο, καὶ κτείνειν ἄλογον ἐδόκει τοὺς ὑπ' ἐνδείας τεθνηξομένους αὐτίκα. πολλοὶ δὲ λάθρᾳ τὰς κτήσεις ἑνὸς ἀντηλλάξαντο μέτρου, πυρῶν μέν, εἰ πλουσιώτεροι τυγχάνοιεν ὄντες, οἱ δὲ πενέστεροι κριθῆς· ἔπειτα κατακλείοντες ἑαυτοὺς εἰς τὰ μυχαίτατα τῶν οἰκιῶν τινὲς μὲν ὑπ' ἄκρας ἐνδείας ἀνέργαστον τὸν σῖτον ἤσθιον, οἱ δὲ ἔπεσσον ὡς ἤ τε ἀνάγκη καὶ τὸ δέος παρῄνει. καὶ

Digitized by Google

τράπεζα μὲν οὐδαμοῦ παρετίθετο, τοῦ δὲ πυρὸς ἀφέλ-
3 κοντες ἔτ' ὠμὰ τὰ σιτία διήρπαζον. ἐλεεινὴ δ' ἦν
ἡ τροφὴ καὶ δακρύων ἄξιος ἡ θέα, τῶν μὲν δυνατω-
τέρων πλεονεκτούντων, τῶν δὲ ἀσθενῶν ὀδυρομένων.
πάντων μὲν δὴ παθῶν ὑπερίσταται λιμός, οὐδὲν δ' 5
οὕτως ἀπόλλυσιν ὡς αἰδῶ· τὸ γὰρ ἄλλως ἐντροπῆς
ἄξιον ἐν τούτῳ καταφρονεῖται. γυναῖκες γοῦν ἀνδρῶν
καὶ παῖδες πατέρων, καὶ τὸ οἰκτρότατον, μητέρες νη-
πίων ἐξήρπαζον ἐξ αὐτῶν τῶν στομάτων τὰς τροφάς,
καὶ τῶν φιλτάτων ἐν χερσὶ μαραινομένων οὐκ ἦν 10
φειδὼ τοὺς τοῦ ζῆν ἀφελέσθαι σταλαγμούς. τοιαῦτα
δ' ἐσθίοντες ὅμως οὐ διελάνθανον, πανταχοῦ δ' ἐφί-
σταντο οἱ στασιασταὶ καὶ τούτων ταῖς ἁρπαγαῖς. ὁπότε
γὰρ κατίδοιεν ἀποκεκλεισμένην οἰκίαν, σημεῖον ἦν
τοῦτο τοὺς ἔνδον προσφέρεσθαι τροφήν· εὐθέως δ' 15
ἐξαράξαντες τὰς θύρας εἰσεπήδων, καὶ μόνον οὐκ ἐκ
τῶν φαρύγγων ἀναθλίβοντες τὰς ἀκόλους ἀνέφερον.
ἐτύπτοντο δὲ γέροντες ἀντεχόμενοι τῶν σιτίων, καὶ κό-
μης ἐσπαράττοντο γυναῖκες συγκαλύπτουσαι τὰ ἐν χερ-
σίν. οὐδέ τις ἦν οἶκτος πολιᾶς ἢ νηπίων, ἀλλὰ συνεπ- 20
αίροντες τὰ παιδία τῶν ψωμῶν ἐκκρεμάμενα κατέσειον
εἰς ἔδαφος. τοῖς δὲ φθάσασι τὴν εἰσδρομὴν αὐτῶν καὶ
προκαταπιοῦσι τὸ ἁρπαγησόμενον ὡς ἀδικηθέντες ἦσαν
ὠμότεροι. δεινὰς δὲ βασάνων ὁδοὺς ἐπενόουν πρὸς
ἔρευναν τροφῆς, ὀρόβοις μὲν ἐμφράττοντες τοῖς ἀθλίοις 25
τοὺς τῶν αἰδοίων πόρους, ῥάβδοις δ' ὀξείαις ἀναπεί-
ροντες τὰς ἕδρας. τὰ φρικτὰ δὲ καὶ ἀκοαῖς ἔπασχέ τις
εἰς ἐξομολόγησιν ἑνὸς ἄρτου, καὶ ἵνα μηνύσῃ δράκα
μίαν κεκρυμμένην ἀλφίτων. οἱ βασανισταὶ δ' οὐκ ἐπεί-
νων (καὶ γὰρ ἧττον ἂν ὠμὸν ἦν τὸ μετ' ἀνάγκης), 30
γυμνάζοντες δὲ τὴν ἀπόνοιαν καὶ προπαρασκευάζοντες
αὐτοῖς εἰς τὰς ἑξῆς ἡμέρας ἐφόδια. τοῖς δ' ἐπὶ τὴν

Digitized by Google

Ῥωμαίων φρουρὰν νύκτωρ ἔξερπύσασιν ἐπὶ λαχάνων
συλλογὴν ἀγρίων καὶ πόας ὑπαντῶντες, ὅτε ἤδη δια-
πεφευγέναι τοὺς πολεμίους ἐδόκουν, ἀφήρπαζον τὰ
κομισθέντα· καὶ πολλάκις ἱκετευόντων καὶ τὸ φρικτὸν
ἐπικαλουμένων ὄνομα τοῦ θεοῦ, μεταδοῦναί τι μέρος
αὐτοῖς ὧν κινδυνεύσαντες ἤνεγκαν, οὐδ' ὁτιοῦν μετέ-
δοσαν· ἀγαπητὸν δ' ἦν τὸ μὴ καὶ προσαπολέσθαι σε-
συλημένον.

οἱ μὲν δὴ ταπεινότεροι τοιαῦτα πρὸς τῶν δορυ- 4
φόρων ἔπασχον, οἱ δὲ ἐν ἀξιώματι καὶ πλούτῳ πρὸς
τοὺς τυράννους ἀνήγοντο. τούτων οἱ μὲν ἐπιβουλὰς
ψευδεῖς ἐγκαλούμενοι διεφθείροντο, οἱ δὲ ὡς προδι-
δοῖεν Ῥωμαίοις τὴν πόλιν. τὸ δὲ ἑτοιμότατον ἦν μηνυ-
τής τις ὑποβλητὸς ὡς αὐτομολεῖν διεγνωκότων. ὁ δὲ
ὑπὸ Σίμωνος γυμνωθεὶς πρὸς Ἰωάννην ἀνεπέμπετο,
καὶ τῶν ὑπὸ Ἰωάννου σεσυλημένων ὁ Σίμων μετελάμ-
βανεν· ἀντιπρούπινον δ' ἀλλήλοις τὸ αἷμα τῶν δημο-
τῶν, καὶ τὰ πτώματα τῶν ἀθλίων διεμερίζοντο. καὶ
τοῦ μὲν κρατεῖν στάσις ἦν ἐν ἀμφοτέροις, τῶν δὲ ἀσε-
βημάτων ὁμόνοια· καὶ γὰρ ὁ μὴ μεταδοὺς ἐκ τῶν ἀλ-
λοτρίων κακῶν θατέρῳ μονοτρόπως ἐδόκει πονηρός,
καὶ ὁ μὴ μεταλαβὼν ὡς ἀγαθοῦ τινὸς ἤλγει τὸν νοσφι-
σμὸν τῆς ὠμότητος.

καθ' ἕκαστον μὲν οὖν ἐπεξιέναι τὴν παρανομίαν 5
αὐτῶν ἀδύνατον, συνελόντα δ' εἰπεῖν, μήτε πόλιν ἄλ-
λην τοιαῦτα πεπονθέναι μήτε γενεὰν ἐξ αἰῶνος γεγο-
νέναι κακίας γονιμωτέραν, οἵ γε τελευταῖον καὶ τὸ
γένος ἐφαύλιζον τῶν Ἑβραίων, ὡς ἧττον ἀσεβεῖς δο-
κοῖεν πρὸς ἀλλοτρίους, ἐξωμολογήσαντο δ' ὅπερ ἦσαν
εἶναι δοῦλοι καὶ σύγκλυδες καὶ νόθα τοῦ ἔθνους φθάρ-
ματα. τὴν μέν γε πόλιν ἀνέτρεψαν αὐτοί, Ῥωμαίους
δὲ ἄκοντας ἠνάγκασαν ἐπιγραφῆναι σκυθρωπῷ κατορ-

Digitized by Google

θώματι, καὶ μόνον οὐχ εἵλκυσαν ἐπὶ τὸν ναὸν βραδῦνον τὸ πῦρ. ἀμέλει καιόμενον ἐκ τῆς ἄνω πόλεως ἀφορῶντες οὔτε ἤλγησαν οὔτε ἐδάκρυσαν, ἀλλὰ ταῦτα τὰ πάθη παρὰ Ῥωμαίοις εὑρέθη.

καὶ ταῦτα μὲν κατὰ χώραν ὕστερον μετ' ἀποδείξεως
11 τῶν πραγμάτων ἐροῦμεν· Τίτῳ δὲ τὰ μὲν χώματα προύκοπτε, καίτοι πολλὰ κακουμένων ἀπὸ τοῦ τείχους τῶν στρατιωτῶν, πέμψας δ' αὐτὸς μοῖραν τῶν ἱππέων ἐκέλευσε τοὺς κατὰ τὰς φάραγγας ἐπὶ συγκομιδῇ τροφῆς ἐξιόντας ἐνεδρεύειν. ἦσαν δὲ τινὲς μὲν καὶ τῶν μαχίμων, οὐκέτι διαρκούμενοι ταῖς ἁρπαγαῖς, τὸ δὲ πλέον ἐκ τοῦ δήμου πένητες, οὓς αὐτομολεῖν ἀπέτρεπε τὸ περὶ τῶν οἰκείων δέος· οὔτε γὰρ λήσεσθαι τοὺς στασιαστὰς ἤλπιζον μετὰ γυναικῶν καὶ παιδίων διαδιδράσκοντες, καὶ καταλιπεῖν ταῦτα τοῖς λησταῖς οὐχ ὑπέμενον ὑπὲρ αὐτῶν σφαγησόμενα. τολμηροὺς δὲ πρὸς τὰς ἐξόδους ὁ λιμὸς ἐποίει, καὶ κατελείπετο μὴ λανθάνοντας εἰς τοὺς πολεμίους ἁλίσκεσθαι. λαμβανόμενοι δὲ κατ' ἀνάγκην ἠμύνοντο δέει τῆς κολάσεως, καὶ μετὰ μάχην ἱκετεύειν ἄωρον ἐδόκει. μαστιγούμενοι δὴ καὶ προβασανιζόμενοι τοῦ θανάτου πᾶσαν αἰκίαν, ἀνεσταυροῦντο τοῦ τείχους ἀντικρύ. Τίτῳ μὲν οὖν οἰκτρὸν τὸ πάθος κατεφαίνετο, πεντακοσίων ἑκάστης ἡμέρας, ἔσθ' ὅτε καὶ πλειόνων ἁλισκομένων, οὔτε δὲ τοὺς βίᾳ ληφθέντας ἀφεῖναι ἀσφαλές, καὶ φυλάττειν τοσούτους φρουρὰν τῶν φυλαξάντων ἐώρα· τό γε μὴν πλέον οὐκ ἐκώλυε, τάχ' ἂν ἐνδοῦναι πρὸς τὴν ὄψιν ἐλπίσας αὐτούς, εἰ μὴ παραδοῖεν, ὅμοια πεισομένους. προσήλουν δ' οἱ στρατιῶται δι' ὀργὴν καὶ μῖσος τοὺς ἁλόντας ἄλλον ἄλλῳ σχήματι πρὸς χλεύην, καὶ διὰ τὸ πλῆθος χώρα τε ἐνέλειπε τοῖς σταυροῖς καὶ σταυροὶ τοῖς σώμασιν.

Digitized by Google

οἱ στασιασταὶ δὲ τοσοῦτον ἀπεδέησαν τοῦ μετα- 2
βαλέσθαι πρὸς τὸ πάθος, ὥστε καὶ τοὐναντίον αὐτοὶ
σοφίσασθαι πρὸς τὸ λοιπὸν πλῆθος· σύροντες γὰρ τοὺς
τῶν αὐτομόλων οἰκείους ἐπὶ τὸ τεῖχος καὶ τῶν δημο-
τῶν τοὺς ἐπὶ πίστιν ὡρμημένους, οἷα πάσχουσιν οἱ
Ῥωμαίοις προσφεύγοντες ἐπεδείκνυσαν, καὶ τοὺς κε-
κρατημένους ἱκέτας ἔλεγον, οὐκ αἰχμαλώτους. τοῦτο
πολλοὺς τῶν αὐτομολεῖν ὡρμημένων, μέχρι τἀληθὲς
ἐγνώσθη, κατέσχεν εἴσω. ἔνιοι δὲ καὶ παραχρῆμα διέ-
δρασαν ὡς ἐπὶ βέβαιον τιμωρίαν, ἀνάπαυσιν ἡγούμενοι
τὸν ἐκ τῶν πολεμίων θάνατον ἐν λιμοῦ συγκρίσει.
πολλοὺς δὲ καὶ χειροκοπῆσαι κελεύσας Τίτος τῶν ἁ-
λωκότων, ὡς μὴ δοκοῖεν αὐτόμολοι καὶ πιστεύοιντο διὰ
τὴν συμφοράν, εἰσέπεμψε πρὸς τὸν Ἰωάννην καὶ τὸν
Σίμωνα, νῦν γε ἤδη παύσασθαι παραινῶν, καὶ μὴ
πρὸς ἀναίρεσιν τῆς πόλεως αὐτὸν βιάζεσθαι, κερδῆσαι
δ' ἐκ τῆς ἐν ὑστάτοις μεταμελείας τάς τε αὐτῶν ψυχὰς
καὶ τηλικαύτην πατρίδα καὶ ναὸν ἀκοινώνητον ἄλλοις.
περιιὼν δὲ τὰ χώματα τοὺς ἐργαζομένους ἅμα κατήπει-
γεν, ὡς οὐκ εἰς μακρὰν ἀκολουθήσων ἔργοις τῷ λόγῳ.
πρὸς ταῦτα αὐτόν τε ἐβλασφήμουν ἀπὸ τοῦ τείχους
Καίσαρα καὶ τὸν πατέρα αὐτοῦ, καὶ τοῦ μὲν θανάτου
καταφρονεῖν ἐβόων (ῥᾳδίως γὰρ αὐτὸν πρὸ δουλείας
καλῶς), ἐργάσεσθαι δ' ὅσα ἂν δύνωνται κακὰ Ῥω-
μαίους ἕως ἐμπνέωσι, πατρίδος δ' οὐ μέλειν τοῖς ὡς
αὐτός φησιν ἀπολουμένοις, καὶ ναὸν ἀμείνω τούτου τῷ
θεῷ τὸν κόσμον εἶναι. σωθήσεσθαί γε μὴν καὶ τοῦτον
ὑπὸ τοῦ κατοικοῦντος, ὃν καὶ αὐτοὶ σύμμαχον ἔχοντες
πᾶσαν χλευάζειν ἀπειλὴν ὑστεροῦσαν ἔργων· τὸ γὰρ
τέλος εἶναι τοῦ θεοῦ. τοιαῦτα ταῖς λοιδορίαις ἀναμίσ-
γοντες ἐκεκράγεσαν.

ἐν δὲ τούτῳ καὶ ὁ ἐπιφανὴς Ἀντίοχος παρῆν, ἅλ- 3

Digitized by Google

λους τε ὁπλίτας συχνοὺς ἔχων καὶ περὶ αὐτὸν στῖφος Μακεδόνων καλούμενον, ἡλικας πάντας, ὑψηλούς, ὀλίγον ὑπὲρ ἀντίπαιδας, τὸν Μακεδονικὸν τρόπον ὡπλισμένους τε καὶ πεπαιδευμένους, ὅθεν καὶ τὴν ἐπίκλησιν εἶχον, ὑστεροῦντες οἱ πολλοὶ τοῦ γένους. εὐδαιμονῆσαι γὰρ μάλιστα τῶν ὑπὸ Ῥωμαίοις βασιλέων τὸν Κομμαγηνὸν συνέβη πρὶν γεύσασθαι μεταβολῆς· ἀπέφηνε δὲ κἀκεῖνος ἐπὶ γήρως ὡς οὐδένα χρὴ λέγειν πρὸ θανάτου μακάριον. ἀλλ' ὅ γε παῖς ἀκμάζοντος αὐτοῦ τηνικαῦτα παρὼν θαυμάζειν ἔφασκε τί δή ποτε Ῥωμαῖοι κατοκνοῖεν προσιέναι τῷ τείχει. πολεμιστὴς δέ τις αὐτὸς ἦν καὶ φύσει παράβολος, κατά τε τὴν ἀλκὴν τοσοῦτος ὡς ὀλίγων τὴν τόλμαν διαμαρτάνειν. μειδιάσαντος δὲ τοῦ Τίτου καὶ „κοινὸς ὁ πόνος" εἰπόντος, ὡς εἶχεν ὥρμησεν ὁ Ἀντίοχος μετὰ τῶν Μακεδόνων πρὸς τὸ τεῖχος. αὐτὸς μὲν οὖν διά τε ἰσχὺν καὶ κατ' ἐμπειρίαν ἐφυλάττετο τὰ τῶν Ἰουδαίων βέλη, τοξεύων εἰς αὐτούς, τὰ μειράκια δ' αὐτῷ συνετρίβη πάντα πλὴν ὀλίγων· διὰ γὰρ αἰδῶ τῆς ὑποσχέσεως προσεφιλονείκει μαχόμενα, καὶ τέλος ἀνεχώρουν τραυματίαι πολλοί, συννοοῦντες ὅτι καὶ τοῖς ἀληθῶς Μακεδόσιν, εἰ μέλλοιεν κρατεῖν, δέοι τῆς Ἀλεξάνδρου τύχης.

4 τοῖς δὲ Ῥωμαίοις ἀρξαμένοις δωδεκάτῃ μηνὸς Ἀρτεμισίου συνετελέσθη τὰ χώματα μόλις ἑνάτῃ καὶ εἰκάδι, ταῖς δεκαεπτὰ συνεχῶς πονουμένων ἡμέραις. μέγιστα γὰρ ἐχώσθη τὰ τέσσαρα, καὶ θάτερον μὲν τὸ ἐπὶ τὴν Ἀντωνίαν ὑπὸ τοῦ πέμπτου τάγματος ἐβλήθη κατὰ μέσον τῆς Στρουθίου καλουμένης κολυμβήθρας, τὸ δὲ ἕτερον ὑπὸ τοῦ δωδεκάτου διεστῶτος ὅσον εἰς πήχεις εἴκοσι. τῷ δεκάτῳ δὲ τάγματι, διέχοντι πολὺ τούτων, κατὰ βόρειον κλίμα τὸ ἔργον ἦν καὶ κολυμ[illegible]ν Ἀμύγδαλον προσαγορευομένην· τούτου δὲ τὸ

Digitized by Google

πεντεκαιδέκατον ἀπὸ τριάκοντα πηχῶν ἐχώννυ κατὰ τὸ τοῦ ἀρχιερέως μνημεῖον. προσαγομένων δ' ἤδη τῶν ὀργάνων ὁ μὲν Ἰωάννης ἔνδοθεν ὑπορύξας τὸ κατὰ τὴν Ἀντωνίαν μέχρι τῶν χωμάτων διάστημα, καὶ διαλαβὼν σταυροῖς τοὺς ὑπονόμους, ἀνακρήμνησι τὰ ἔργα, πίσσῃ δὲ καὶ ἀσφάλτῳ διακεχρισμένην ὕλην εἰσκομίσας ἐνίησι πῦρ. καὶ τῶν σταυρῶν ὑποκαέντων ἥ τε διῶρυξ ἐνέδωκεν ἀθρόα, καὶ μετὰ μεγίστου ψόφου κατεσείσθη τὰ σώματα εἰς αὐτήν. τὸ μὲν οὖν πρῶτον μετὰ τοῦ κονιορτοῦ καπνὸς ἠγείρετο βαθύς, πνιγομένου τῷ πτώματι τοῦ πυρός· τῆς δὲ θλιβούσης ὕλης διαβιβρωσκομένης ἤδη φανερὰ φλὸξ ἐρρήγνυτο. καὶ τοῖς Ῥωμαίοις ἔκπληξις μὲν πρὸς τὸ αἰφνίδιον, ἀθυμία δὲ πρὸς τὴν ἐπίνοιαν ἐμπίπτει. καὶ κρατήσειν οἰομένοις ἤδη τὸ συμβὰν καὶ πρὸς τὸ μέλλον ἔψυξε τὴν ἐλπίδα· τὸ δὲ ἀμύνειν ἀχρεῖον ἐδόκει πρὸς τὸ πῦρ, καὶ εἰ σβεσθείη, τῶν χωμάτων καταποθέντων.

μετὰ δὲ ἡμέρας δύο καὶ τοῖς ἄλλοις ἐπιτίθενται χώμασιν οἱ περὶ τὸν Σίμωνα· καὶ γὰρ δὴ προσαγαγόντες ταύτῃ τὰς ἑλεπόλεις οἱ Ῥωμαῖοι διέσειον ἤδη τὸ τεῖχος. Τεφθαῖος δέ τις ἀπὸ Γαρσὶς πόλεως τῆς Γαλιλαίας, καὶ Μεγάσσαρος τῶν βασιλικῶν καὶ Μαριάμμης θεράπων, μεθ' ὧν Ἀδιαβηνός τις υἱὸς Ναβαταίου, τοὔνομα κληθεὶς ἀπὸ τῆς τύχης Χαγείρας, ὅπερ σημαίνει χωλός, ἁρπάσαντες λαμπάδας προεπήδησαν ἐπὶ τὰς μηχανάς. τούτων τῶν ἀνδρῶν οὔτε τολμηρότεροι κατὰ τόνδε τὸν πόλεμον ἐκ τῆς πόλεως ἐφάνησαν οὔτε φοβερώτεροι· καθάπερ γὰρ εἰς φίλους ἐκτρέχοντες, οὐ πολεμίων στίφος, οὔτε ἔδεισαν οὔτε ἐμέλλησαν οὔτε ἀπέστησαν, ἀλλὰ διὰ μέσων ἐνθορόντες τῶν ἐχθρῶν ὑφῆψαν τὰς μηχανάς, βαλλόμενοι δὲ καὶ τοῖς ξίφεσιν ἀνωθούμενοι πάντοθεν οὐ πρότερον ἐκ τοῦ κινδύνου

Digitized by Google

μετεκινήθησαν ἢ δράξασθαι τῶν ὀργάνων τὸ πῦρ. αἰρομένης δ' ἤδη τῆς φλογὸς Ῥωμαῖοι μὲν ἀπὸ τῶν στρατοπέδων συνθέοντες ἐβοήθουν, Ἰουδαῖοι δὲ ἐκ τοῦ τείχους ἐκώλυον καὶ τοῖς σβεννύειν πειρωμένοις συνεπλέκοντο, κατὰ μηδὲν τῶν ἰδίων φειδόμενοι σωμάτων. καὶ οἳ μὲν εἶλκον ἐκ τοῦ πυρὸς τὰς ἑλεπόλεις, τῶν ὑπὲρ αὐτὰς γέρρων φλεγομένων, οἱ δὲ Ἰουδαῖοι καὶ διὰ τῆς φλογὸς ἀντελαμβάνοντο, καὶ τοῦ σιδήρου ξέοντος δρασσόμενοι τοὺς κριοὺς οὐ μεθίεσαν. διέβαινε δ' ἀπὸ τούτων ἐπὶ τὰ χώματα τὸ πῦρ, καὶ τοὺς ἀμύνοντας προσελάμβανεν. ἐν τούτῳ δ' οἱ μὲν Ῥωμαῖοι κυκλούμενοι τῇ φλογὶ καὶ τὴν σωτηρίαν τῶν ἔργων ἀπογνόντες ἀνεχώρουν ἐπὶ τὰ στρατόπεδα, Ἰουδαῖοι δὲ προσέκειντο πλείους ἀεὶ γινόμενοι, τῶν ἔνδοθεν προσβοηθούντων, καὶ τῷ κρατεῖν τεθαρρηκότες ἀταμιεύτοις ἐχρῶντο ταῖς ὁρμαῖς, προελθόντες δὲ μέχρι τῶν ἐρυμάτων ἤδη συνεπλέκοντο τοῖς φρουροῖς. τάξις δ' ἐστὶν ἐκ διαδοχῆς ἱσταμένη πρὸ τοῦ στρατοπέδου, καὶ δεινὸς ἐπ' αὐτῇ Ῥωμαίων νόμος, τὸν ὑποχωρήσαντα καθ' ἣν δή ποτ' οὖν αἰτίαν θνήσκειν. οὗτοι τοῦ μετὰ κολάσεως τὸν μετ' ἀρετῆς θάνατον προκρίναντες ἵστανται, καὶ πρὸς τὴν τούτων ἀνάγκην πολλοὶ τῶν τραπέντων ἐπεστράφησαν αἰδούμενοι. διαθέντες δὲ καὶ τοὺς ὀξυβελεῖς ἐπὶ τοῦ τείχους εἶργον τὸ προσγινόμενον πλῆθος ἐκ τῆς πόλεως, οὐδὲν εἰς ἀσφάλειαν ἢ φυλακὴν τῶν σωμάτων προνοουμένους· συνεπλέκοντο γὰρ οἱ Ἰουδαῖοι τοῖς προστυχοῦσι, καὶ ταῖς αἰχμαῖς ἀφυλάκτως ἐμπίπτοντες αὐτοῖς τοῖς σώμασι τοὺς ἐχθροὺς ἔπαιον. οὔτε δ' ἔργοις αὐτοὶ πλέον ἢ τῷ θαρρεῖν περιῆσαν, καὶ Ῥωμαῖοι τῇ τόλμῃ πλέον εἶκον ἢ τῷ κακοῦσθαι.

6 παρῆν δ' ἤδη ὁ Καῖσαρ ἀπὸ τῆς Ἀντωνίας, ὅπου κεχώριστο κατασκεπτόμενος τόπον ἄλλοις χώμασι· καὶ

Digitized by Google

πολλὰ τοὺς στρατιώτας φαυλίσας, εἰ κρατοῦντες τῶν πολεμίων τειχῶν κινδυνεύουσι τοῖς ἰδίοις, καὶ πολιορκουμένων ὑπομένουσιν αὐτοὶ τύχην, ὥσπερ ἐκ δεσμωτηρίου καθ' αὑτῶν Ἰουδαίους ἀνέντες, περιῄει μετὰ τῶν ἐπιλέκτων κατὰ πλευρὰ τοῖς πολεμίοις αὐτός. οἳ δὲ κατὰ στόμα παιόμενοι καὶ πρὸς τοῦτον ἐπιστραφέντες ἐκαρτέρουν. μιγείσης δὲ τῆς παρατάξεως ὁ μὲν κονιορτὸς τῶν ὀμμάτων ἡ κραυγὴ δὲ τῶν ἀκοῶν ἐπεκράτει, καὶ οὐδετέρῳ παρῆν ἔτι τεκμήρασθαι τὸ ἐχθρὸν ἢ τὸ φίλιον. Ἰουδαίων δ' οὐ τοσοῦτον ἔτι κατ' ἀλκὴν ὅσον ἀπογνώσει σωτηρίας παραμενόντων, καὶ Ῥωμαίους ἐτόνωσεν αἰδὼς δόξης τε καὶ τῶν ὅπλων καὶ προκινδυνεύοντος Καίσαρος, ὥστε μοι δοκοῦσι τὰ τελευταῖα δι' ὑπερβολὴν θυμῶν κἂν ὅλον ἁρπάσαι τὸ τῶν Ἰουδαίων πλῆθος, εἰ μὴ τὴν ῥοπὴν τῆς παρατάξεως φθάσαντες ἀνεχώρησαν εἰς τὴν πόλιν.

διεφθαρμένων δὲ τῶν χωμάτων Ῥωμαῖοι μὲν ἦσαν ἐν ἀθυμίαις, τὸν μακρὸν κάματον ἐπὶ μιᾶς ὥρας ἀπολέσαντες· καὶ πολλοὶ μὲν ταῖς συνήθεσι μηχαναῖς ἀπήλπιζον ἁλώσεσθαι τὴν πόλιν, Τίτος δὲ μετὰ τῶν ἡγε- 12
μόνων ἐβουλεύετο. καὶ τοῖς μὲν θερμοτέροις ἐδόκει πᾶσαν προσάγοντα τὴν δύναμιν ἀποπειρᾶσθαι τοῦ τείχους βίᾳ· μέχρι μὲν γὰρ νῦν κατασπάσμασιν Ἰουδαίους τῆς στρατιᾶς συμπεπλέχθαι, προσιόντων δὲ ἀθρόων οὐδὲ τὴν ἔφοδον οἴσειν· καταχωσθήσεσθαι γὰρ ὑπὸ τῶν βελῶν. τῶν δὲ ἀσφαλεστέρων οἳ μὲν καὶ τὰ χώματα ποιεῖν πάλιν, οἳ δὲ καὶ δίχα τούτων προσκαθέζεσθαι, μόνον παραφυλάττοντας τάς τε ἐξόδους αὐτῶν καὶ τὰς εἰσκομιδὰς τῶν ἐπιτηδείων, παρῄνουν, καὶ τῷ λιμῷ καταλιπεῖν τὴν πόλιν, μηδὲ συμπλέκεσθαι κατὰ χεῖρα τοῖς πολεμίοις· ἅμαχον γὰρ εἶναι τὴν ἀπόγνωσιν, οἷς εὐχὴ μὲν τῷ σιδήρῳ πεσεῖν, ἀπόκειται δὲ καὶ δίχα

Digitized by Google

τούτου πάθος χαλεπώτερον. αὐτῷ δὲ τὸ μὲν ἀργεῖν καθόλου μετὰ τοσαύτης δυνάμεως οὐκ ἐδόκει πρέπειν, καὶ τὸ μάχεσθαι περιττὸν πρὸς ἀλλήλων φθαρησομένοις· βάλλεσθαι δὲ χώματα δύσεργον ἀπέφαινεν ὕλης ἀπορίᾳ, καὶ τὸ παραφυλάττειν τὰς ἐξόδους δυσεργότερον. κυκλώσασθαί τε γὰρ τῇ στρατιᾷ τὴν πόλιν διὰ τὸ μέγεθος καὶ δυσχωρίαν οὐκ εὐμαρὲς εἶναι, καὶ σφαλερὸν ἄλλως πρὸς τὰς ἐπιθέσεις· τῶν δὲ φανερῶν φυλαττομένων ἀφανεῖς ἐπινοεῖσθαι Ἰουδαίοις ὁδοὺς κατά τε ἀνάγκην καὶ δι' ἐμπειρίαν. εἰ δέ τι λάθρᾳ παρεισκομίζοιτο, τριβὴν ἔσεσθαι πλείω τῇ πολιορκίᾳ, θεδιέναι τε μὴ τὴν δόξαν τοῦ κατορθώματος αὐτῷ τὸ μῆκος ἐλαττώσῃ τοῦ χρόνου· τούτῳ μὲν γὰρ εἶναι πᾶν ἀνύσιμον, πρὸς δὲ τῆς εὐκλείας τὸ τάχος. δεῖν γε μήν, εἰ καὶ τῷ τάχει μετ' ἀσφαλείας βούλοιτο χρήσασθαι, περιτειχίζειν ὅλην τὴν πόλιν· μόνως γὰρ οὕτως ἂν πάσας ἀποφράξαι τὰς ἐξόδους, καὶ Ἰουδαίους ἢ πρὸς ἅπαντα ἀπογνόντας τὴν σωτηρίαν παραδώσειν τὴν πόλιν, ἢ λιμώττοντας χειρωθήσεσθαι ῥᾳδίως. οὐδὲ γὰρ ἠρεμήσειν αὐτὸν ἄλλως, ἀλλὰ καὶ τῶν χωμάτων ἐπιμελήσεσθαι πάλιν, χρώμενον τοῖς κωλύουσιν ἀτονωτέροις. εἰ δέ τῳ μέγα δοκεῖ καὶ δυσήνυτον τὸ ἔργον, χρῆναι σκοπεῖν ὡς οὔτε Ῥωμαίοις τι μικρὸν ἐνεργεῖν πρέπει, καὶ δίχα πόνου κατορθοῦν τι τῶν μεγάλων οὐδενὶ ῥᾴδιον ἀλλ' ἢ θεῷ μόνῳ.

2 τούτοις πείσας τοὺς ἡγεμόνας διανέμειν ἐκέλευσε τὰς δυνάμεις ἐπὶ τὸ ἔργον. ὁρμὴ δέ τις ἐμπίπτει δαιμόνιος τοῖς στρατιώταις, καὶ μερισαμένων τὸν περίβολον οὐ μόνον τῶν ταγμάτων ἦν ἔρις, ἀλλὰ καὶ τῶν ἐν αὐτοῖς τάξεων πρὸς ἀλλήλας· καὶ στρατιώτης μὲν δεκαδάρχην, δεκαδάρχης δὲ ἑκατοντάρχην, οὗτος δὲ ἐσπούδαζεν ἀρέσασθαι χιλίαρχον. τῶν δὲ χιλιάρχων ἐπὶ τοὺς

Digitized by Google

ἡγεμόνας ἔτεινεν ἡ φιλοτιμία, καὶ τῶν ἡγεμόνων τὴν ἅμιλλαν ἐβράβευε Καῖσαρ· περιιὼν γὰρ αὐτὸς ἑκάστης ἡμέρας πολλάκις ἐπεσκόπει τὸ ἔργον. ἀρξάμενος δ' ἀπὸ τῆς Ἀσσυρίων παρεμβολῆς, καθ' ἣν αὐτὸς ἐστρατοπεδεύετο, ἐπὶ τὴν κατωτέρω καινόπολιν ἦγε τὸ τεῖχος, ἔνθεν διὰ τοῦ Κεδρῶνος ἐπὶ τὸ Ἐλαιῶν ὄρος. εἶτα ἀνακάμπτων κατὰ μεσημβρίαν περιλαμβάνει τὸ ὄρος ἄχρι τῆς Περιστερεῶνος καλουμένης πέτρας, τόν τε ἐξῆς λόφον ὃς ἐπίκειται τῇ κατὰ τὴν Σιλωὰμ φάραγγι, κἀκεῖθεν ἐκκλίνας πρὸς δύσιν εἰς τὴν τῆς Πηγῆς κατῆλθε φάραγγα. μεθ' ἣν ἀναβαίνων κατὰ τὸ Ἀνάνου τοῦ ἀρχιερέως μνημεῖον, καὶ διαλαβὼν τὸ ὄρος ἔνθα Πομπήιος ἐστρατοπεδεύσατο, πρὸς κλίμα βόρειον ἐπέστρεφε, καὶ προελθὼν μέχρι κώμης τινός (Ἐρεβίνθων οἶκος καλεῖται), καὶ μετ' ἐκείνην τὸ Ἡρώδου μνημεῖον περισχών, κατ' ἀνατολὴν τῷ ἰδίῳ στρατοπέδῳ συνῆπτεν ὅθεν ἤρξατο. τὸ μὲν οὖν τεῖχος ἐνὸς δέοντος τεσσαράκοντα σταδίων ἦν, ἔξωθεν δὲ αὐτῷ προσφκοδομήθη τρισκαίδεκα φρούρια· καὶ τούτων οἱ κύκλοι δέκα συνηριθμοῦντο σταδίων. τρισὶ δ' ὠκοδομήθη τὸ πᾶν ἡμέραις, ὡς τὸ μὲν ἔργον μηνῶν εἶναι ἄξιον, τὸ δὲ τάχος ἠττῆσθαι πίστεως. περικλείσας δὲ τῷ τείχει τὴν πόλιν, καὶ δύναμιν τοῖς φρουρίοις ἐγκαταστήσας, τὴν μὲν πρώτην φυλακὴν τῆς νυκτὸς περιιὼν αὐτὸς ἐπεσκέπτετο, τὴν δευτέραν δὲ ἐπέτρεψεν Ἀλεξάνδρῳ, τὴν τρίτην δὲ ἔλαχον οἱ τῶν ταγμάτων ἡγεμόνες. διεκληροῦντο δ' οἱ φύλακες τοὺς ὕπνους, καὶ δι' ὅλης νυκτὸς περιῄεσαν κατὰ διαστήματα τῶν φρουρίων.

Ἰουδαίοις δὲ μετὰ τῶν ἐξόδων ἀπεκόπη πᾶσα σωτηρίας ἐλπίς, καὶ βαθύνας ἑαυτὸν ὁ λιμὸς κατ' οἴκους καὶ γενεὰς τὸν δῆμον ἐπεβόσκετο. καὶ τὰ μὲν τέγη πεπλήρωτο γυναικῶν καὶ βρεφῶν λελυμένων, οἱ στενω-

Digitized by Google

ποὶ δὲ γερόντων νεκρῶν. παῖδες δὲ καὶ νεανίαι διοιδοῦντες ὥσπερ εἴδωλα κατὰ τὰς ἀγορὰς ἀνειλοῦντο, καὶ κατέπιπτον ὅπῃ τινὰ τὸ πάθος καταλαμβάνοι. θάπτειν δὲ τοὺς προσήκοντας οὔτε ἴσχυον οἱ κάμνοντες, καὶ τὸ διευτονοῦν ὤκνει διὰ τὸ πλῆθος τῶν νεκρῶν καὶ τὸ κατὰ σφᾶς ἄδηλον· πολλοὶ γοῦν τοῖς ὑπ' αὐτῶν θαπτομένοις ἐπαπέθνησκον, πολλοὶ δ' ἐπὶ τὰς θήκας, πρὶν ἐπιστῆναι τὸ χρεών, προῆλθον. οὔτε δὲ θρῆνος ἐν ταῖς συμφοραῖς οὔτ' ὀλοφυρμὸς ἦν, ἀλλ' ὁ λιμὸς ἤλεγχε τὰ πάθη. ξηροῖς γὰρ τοῖς ὄμμασι καὶ σεσηρόσι τοῖς στόμασιν οἱ δυσθανατοῦντες ἐφεώρων τοὺς φθάσαντας ἀναπαύσασθαι, βαθεῖα δὲ τὴν πόλιν περιεῖχε σιγὴ καὶ νὺξ θανάτου γέμουσα, καὶ τούτων οἱ λῃσταὶ χαλεπώτεροι. τυμβωρυχοῦντες γοῦν τὰς οἰκίας ἐσύλων τοὺς νεκρούς, καὶ τὰ κατακαλύμματα τῶν σωμάτων περισπῶντες μετὰ γέλωτος ἐξῄεσαν, τάς τε ἀκμὰς τῶν ξιφῶν ἐδοκίμαζον ἐν τοῖς πτώμασι, καί τινας τῶν ἐρριμμένων ἔτι ζῶντας διήλαυνον ἐπὶ πεῖρα τοῦ σιδήρου. τοὺς δὲ ἱκετεύοντας χρῆσαι σφίσι δεξιὰν καὶ ξίφος τῷ λιμῷ κατέλιπον ὑπερηφανοῦντες. καὶ τῶν ἐκπνεόντων ἕκαστος ἀτενίσας εἰς τὸν ναὸν ἀφεώρα, τοὺς στασιαστὰς ζῶντας ἀπολιπών. οἳ δὲ τὸ μὲν πρῶτον ἀπὸ τοῦ δημοσίου θησαυροῦ τοὺς νεκροὺς θάπτειν ἐκέλευον, τὴν ὀσμὴν οὐ φέροντες, ἔπειθ' ὡς οὐ διήρκουν, ἀπὸ τῶν τειχῶν ἐρρίπτουν εἰς τὰς φάραγγας. περιιὼν δὲ ταύτας ὁ Τίτος ὡς ἐθεάσατο πεπλησμένας τῶν νεκρῶν καὶ βαθὺν ἰχῶρα μυδώντων ὑπορρέοντα τῶν σωμάτων, ἐστέναξέ τε καὶ τὰς χεῖρας ἀνατείνας κατεμαρτύρετο τὸν θεὸν ὡς οὐκ εἴη τὸ ἔργον αὐτοῦ.

τὰ μὲν δὴ κατὰ τὴν πόλιν εἶχεν οὕτω, Ῥωμαίοις δέ, μηδενὸς ἔτι τῶν στασιαστῶν ἐκτρέχοντος (ἤδη γὰρ καὶ τούτων ἀθυμία καὶ λιμὸς ἐφῆπτετο), πρὸς εὐθυμίας

Digitized by Google

ἦσαν, σίτου τε ἀφθονίαν καὶ τῶν ἄλλων ἐπιτηδείων ἐκ τῆς Συρίας καὶ τῶν πλησίον ἐπαρχιῶν ἔχοντες· ἱστάμενοι δὲ πολλοὶ τοῦ τείχους πλησίον καὶ πολὺ πλῆθος τῶν ἐδωδίμων ἐπιδεικνύμενοι, τῷ κατὰ σφᾶς κόρῳ τὸν λιμὸν τῶν πολεμίων ἐξέκαιον. πρὸς δὲ τὸ πάθος τῶν στασιαστῶν μηδὲν ἐνδιδόντων, Τίτος οἰκτείρων τὰ λείψανα τοῦ δήμου καὶ σπουδάζων τὸ γοῦν περιὸν ἐξαρπάσαι πάλιν ἦρχετο χωμάτων, χαλεπῶς αὐτῷ τῆς ὕλης ποριζομένης· ἡ μὲν γὰρ περὶ τὴν πόλιν πᾶσα τοῖς προτέροις ἔργοις ἐκπέκοπτο, συνεφόρουν δ' ἄλλην ἀπ' ἐνενήκοντα σταδίων οἱ στρατιῶται. καὶ πρὸς μόνης ὕψουν τῆς Ἀντωνίας κατὰ μέρη τέσσαρα πολὺ μείζονα τῶν προτέρων χώματα. περιιὼν δ' ὁ Καῖσαρ τὰ τάγματα, καὶ κατεπείγων τὸ ἔργον, ἐπεδείκνυ τοῖς λῃσταῖς ὡς ἐν χερσὶν εἶησαν αὐτοῦ. μόνοις δ' ἐκείνοις ἄρα κακῶν ἀπολώλει μεταμέλεια, καὶ τὰς ψυχὰς χωρίσαντες ἀπὸ τῶν σωμάτων ἀμφοτέροις ὡς ἀλλοτρίοις ἐχρῶντο· οὔτε γὰρ πάθος αὐτῶν ἡμέρου τὴν ψυχήν, οὔτε ἀλγηδὼν ἥπτετο τοῦ σώματος, οἵ γε καὶ νεκρὸν τὸν δῆμον ὥσπερ κύνες ἐσπάραττον καὶ τὰ δεσμωτήρια τῶν ἀρρώστων ἐνεπίμπλασαν.

Σίμων γοῦν οὐδὲ Ματθίαν, δι' ὃν κατέσχε τὴν 13
πόλιν, ἀβασάνιστον ἀνεῖλε. Βοηθοῦ παῖς ἦν οὗτος ἐκ τῶν ἀρχιερέων, ἐν τοῖς μάλιστα τῷ δήμῳ πιστὸς καὶ τίμιος, ὃς ὑπὸ τοῖς ζηλωταῖς κακουμένου τοῦ πλήθους, οἷς ἤδη καὶ Ἰωάννης προσῆν, πείθει τὸν δῆμον εἰσαφιέναι τὸν Σίμωνα βοηθόν, οὐδὲν οὔτε προσυνθέμενος οὔτε προσδοκήσας φαῦλον ἐξ αὐτοῦ. παρελθὼν δ' ἐκεῖνος ὡς ἐκράτησε τῆς πόλεως, ἐχθρὸν ἐν ἴσῳ τοῖς ἄλλοις ἠγεῖτο καὶ τὸν ὑπὲρ αὐτοῦ σύμβουλον, ὡς ἂν ἐξ ἁπλότητος γεγενημένον. ἀχθέντα δὲ τηνικαῦτα καὶ κατηγορούμενον τὰ Ῥωμαίων φρονεῖν κατακρίνει μὲν

Digitized by Google

θανάτῳ, μηδὲ ἀπολογίας ἀξιώσας, σὺν τρισὶν υἱοῖς (ὁ γὰρ τέταρτος ἔφθη διαδρὰς πρὸς Τίτον), ἱκετεύοντα δ' ἀναιρεθῆναι πρὸ τῶν τέκνων, καὶ ταύτην αἰτούμενον τὴν χάριν ἀνθ' ὧν ἀνοίξειεν αὐτῷ τὴν πόλιν, τελευταῖον ἀνελεῖν ἐκέλευσεν. ὃ μὲν οὖν ἐν ὄψει φονευθεῖσιν ἐπεσφάγη τοῖς παισίν, ἄντικρυς Ῥωμαίων προαχθείς· οὕτω γὰρ ὁ Σίμων Ἀνάνῳ τῷ Βαμάδου προσέταξεν, ὃς ἦν ὠμότατος αὐτῷ τῶν δορυφόρων, ἐπειρωνευόμενος, εἴ τι βοηθήσουσιν αὐτῷ πρὸς οὓς ἐξελθεῖν εἵλετο. θάπτειν δὲ ἀπεῖπε τὰ σώματα. μετὰ τούτους ἱερεύς τις Ἀνανίας υἱὸς Μασαμβάλου τῶν ἐπισήμων, καὶ ὁ γραμματεὺς τῆς βουλῆς Ἀριστεύς, γένος ἐξ Ἀμμαοῦς, καὶ σὺν τούτοις πεντεκαίδεκα τῶν ἀπὸ τοῦ δήμου λαμπρῶν, ἀναιροῦνται. τὸν δὲ τοῦ Ἰωσήπου πατέρα συγκλείσαντες ἐφύλαττον, κηρύττουσι δὲ μηδένα τῶν κατὰ τὴν πόλιν μήτε συνομιλεῖν μήτε ἐπὶ τὸ αὐτὸ συναθροίζεσθαι, δέει προδοσίας, καὶ τοὺς συνολοφυρομένους πρὸ ἐξετάσεως ἀνῄρουν.

2 ταῦτα ὁρῶν Ἰούδης τις υἱὸς Ἰούδου, τῶν ὑπάρχων τοῦ Σίμωνος εἷς ὢν καὶ πεπιστευμένος ὑπ' αὐτοῦ κύργον φυλάττειν, τάχα μέν τι καὶ οἰκτῳ τῶν ὠμῶς ἀπολλυμένων, τὸ δὲ πλέον ἑαυτοῦ προνοίᾳ, συγκαλέσας τοὺς πιστοτάτους τῶν ὑπ' αὐτὸν δέκα, "μέχρι τίνος ἀνθέξομεν" ἔφη "τοῖς κακοῖς; ἢ τίνας σωτηρίας ἔχομεν ἐλπίδας πιστοὶ πονηρῷ μένοντες; οὐχ ὁ μὲν λιμὸς ἤδη καθ' ἡμῶν, Ῥωμαῖοι δὲ παρὰ μικρὸν ἔνδον, Σίμων δὲ καὶ πρὸς εὐεργέτας ἄπιστος, καὶ δέος μὲν ἤδη παρ' αὐτῷ κολάσεως, ἡ δὲ παρὰ Ῥωμαίοις δεξιὰ βέβαιος; φέρε, παραδόντες τὸ τεῖχος σώσωμεν ἑαυτοὺς καὶ τὴν πόλιν. πείσεται δ' οὐδὲν δεινὸν Σίμων, ἐὰν ἀπεγνωκὼς ἑαυτοῦ τάχιον δῷ δίκην." τούτοις τῶν δέκα πεισθέντων, ὑπὸ τὴν ἕω τοὺς λοιποὺς τῶν ὑποτεταγμένων

Digitized by Google

ἄλλον ἀλλαχόσε διέπεμψεν, ὡς μὴ φωραθείη τι τῶν βεβουλευμένων, αὐτὸς δὲ περὶ τρίτην ὥραν ἀπὸ τοῦ πύργου τοὺς Ῥωμαίους ἐκάλει. τῶν δὲ οἱ μὲν ὑπερηφάνουν οὐ δ' ἠπίστουν, οἱ πολλοὶ δ' ὤκνουν ὡς μετὰ μικρὸν ἀκινδύνως ληψόμενοι τὴν πόλιν. ἐν ὅσῳ δὲ Τίτος μετὰ τῶν ὁπλιτῶν παρῄει πρὸς τὸ τεῖχος, ἔφθη γνοὺς ὁ Σίμων, καὶ μετὰ τάχους τόν τε πύργον προκαταλαμβάνει καὶ τοὺς ἄνδρας συλλαβὼν ἐν ὄψει τῶν Ῥωμαίων ἀναιρεῖ, καὶ πρὸ τοῦ τείχους λωβησάμενος ἔρριψε τὰ σώματα.

κἀν τούτῳ περιιὼν Ἰώσηπος (οὐ γὰρ ἀνίει παρακαλῶν) βάλλεται τὴν κεφαλὴν λίθῳ, καὶ παραχρῆμα πίπτει καρωθείς. ἐκδρομὴ δ' ἐπὶ τῷ πτώματι τῶν Ἰουδαίων γίνεται, κἂν ἔφθη συρεὶς εἰς τὴν πόλιν, εἰ μὴ ταχέως Καῖσαρ ἔπεμψε τοὺς ὑπερασπίζοντας. μαχομένων δὲ τούτων ὁ Ἰώσηπος μὲν αἴρεται, βραχὺ τῶν πραττομένων ἐπαΐων, οἱ στασιασταὶ δέ, ὡς ἀνελόντες ὃν ἐπεθύμουν μάλιστα, μετὰ χαρᾶς ἀνεβόων. διαγγέλλεται δ' εἰς τὴν πόλιν, καὶ τὸ καταλειπόμενον πλῆθος ἐπέσχεν ἀθυμία, πεπεισμένους οἴχεσθαι τῷ ὄντι δι' ὃν αὐτομολεῖν ἐθάρρουν. ἀκούσασα δ' ἡ τοῦ Ἰωσήπου μήτηρ ἐν τῷ δεσμωτηρίῳ τεθνάναι τὸν υἱόν, πρὸς μὲν τοὺς φύλακας ἀπὸ Ἰωταπάτων τοῦτ' ἔφη πεπεῖσθαι (καὶ γὰρ οὐδὲ ζῶντος ἀπολαύειν), ἰδίᾳ δ' ὀλοφυρομένη πρὸς τὰς θεραπαινίδας τοῦτον εἰλήφεναι τῆς εὐτεκνίας ἔλεγε καρπόν, τὸ μηδὲ θάψαι τὸν υἱὸν ὑφ' οὗ ταφήσεσθαι προσεδόκησεν. ἀλλὰ γὰρ οὔτε ταύτην ἐπὶ πλέον ὠδύνα τὸ ψεῦδος οὔτε τοὺς λῃστὰς ἔθαλπε· ταχέως γὰρ ἐκ τῆς πληγῆς ἀνήνεγκεν ὁ Ἰώσηπος, καὶ προελθὼν τοὺς μὲν οὐκ εἰς μακρὰν ἐβόα δίκας αὐτῷ δώσειν τοῦ τραύματος, τὸν δὲ δῆμον πάλιν ἐπὶ πίστιν 3

Digitized by Google

προυκαλεῖτο. θάρσος δὲ τῷ λαῷ καὶ τοῖς στασιασταῖς
ἔκπληξις ἐμπίπτει πρὸς τὴν ὄψιν αὐτοῦ.
4 τῶν δὲ αὐτομόλων οἱ μὲν ὑπ' ἀνάγκης ἀπὸ τοῦ
τείχους ἐπήδων ταχέως, οἱ δὲ προϊόντες ὡς ἐπὶ μάχῃ
μετὰ χερμάδων, ἔπειτα πρὸς τοὺς Ῥωμαίους ἔφευγον. 5
συνείπετο δὲ τούτοις τύχη τῶν εἴσω χαλεπωτέρα, καὶ
τοῦ παρὰ σφίσι λιμοῦ συντονώτερον εὕρισκον πρὸς
ὅλεθρον τὸν παρὰ Ῥωμαίοις κόρον. παρεγίνοντο μὲν
γὰρ ἀπὸ τῆς ἐνδείας πεφυσημένοι καὶ ὥσπερ ὑδρω-
πιῶντες, ἔπειτα ἀθρόως κενοῖς ὑπερεμπιπλάμενοι τοῖς 10
σώμασιν ἐρρήγνυντο, πλὴν τῶν δι' ἐμπειρίαν ταμιευ-
σαμένων τὰς ὀρέξεις καὶ κατ' ὀλίγον προσθέντων τρο-
φὴν ἀπειθισμένῳ τῷ σώματι φέρειν. καὶ τοὺς οὕτω δὲ
σωζομένους ἑτέρα πληγὴ μετελάμβανε. τῶν γὰρ παρὰ
τοῖς Σύροις τις αὐτομόλων φωρᾶται τῶν τῆς γαστρὸς 15
λυμάτων χρυσοῦς ἐκλέγων. καταπίνοντες δέ, ὡς ἔφα-
μεν, αὐτοὺς προῆσαν, ἐπειδὴ ἀνηρεύνων πάντας οἱ
στασιασταί, καὶ πολὺ πλῆθος ἦν ἐν τῇ πόλει χρυσοῦ·
δώδεκα γοῦν Ἀττικῶν ὠνοῦντο τὰ πρότερον ἰσχύοντα
πέντε καὶ εἴκοσιν. ἀλλά τοι τῆς ἐκείνοις ἐλεγχθείσης 20
δι' ἑνός, ἀναπίμπλαται μὲν φήμη εἰς τὰ στρατόπεδα
ὡς μεστοὶ χρυσίου παρεῖεν οἱ αὐτόμολοι, τὸ δὲ τῶν
Ἀράβων πλῆθος καὶ οἱ Σύροι τοὺς ἱκέτας ἀνατέμνοντες
ἠρεύνων τὰς γαστέρας. καὶ τούτου τοῦ πάθους οὐδὲν
ἔμοιγε δοκεῖ συμβῆναι Ἰουδαίοις χαλεπώτερον· μιᾷ 25
5 γοῦν ἀνεσχίσθησαν νυκτὶ πρὸς δισχιλίους. καὶ γνοὺς
τὴν παρανομίαν Καῖσαρ ὀλίγου μὲν ἐδέησε τὸ ἱππικὸν
περιστήσας κατακοντίσαι τοὺς αἰτίους, εἰ μὴ πολὺ πλῆ-
θος ἐνείχετο καὶ τῶν ἀνηρημένων πολλαπλασίους ἦσαν
οἱ κολασθησόμενοι. συγκαλέσας δὲ τούς τε τῶν συμ- 30
μάχων ἡγεμόνας καὶ τοὺς τῶν ταγμάτων (συνδιεβάλ-
λοντο γὰρ καὶ τῶν στρατιωτῶν τινές) πρὸς ἑκατέρους

Digitized by Google

ἀγανακτεῖν ἔλεγεν, εἰ τῶν μὲν σὺν αὐτῷ στρατευομένων τινὲς τοιαῦτα δρῶσι κέρδους ἕνεκεν ἀδήλου, μηδὲ τὰ ὅπλα σφῶν αὐτῶν αἰδούμενοι πεποιημένα ἐξ ἀργύρου τε καὶ χρυσοῦ· τοῖς δ' Ἄραψι καὶ τοῖς Σύροις, εἰ πρῶτον μὲν ἐν ἀλλοτρίῳ πολέμῳ τοῖς πάθεσιν αὐτεξουσίως χρῶνται, ἔπειτα τῇ περὶ φόνους ὠμότητι καὶ τῷ πρὸς Ἰουδαίους μίσει Ῥωμαίους ἐπιγράφουσι· καὶ γὰρ νῦν ἐνίους αὐτῶν τῶν στρατιωτῶν συναπολαύειν τῆς κακοδοξίας. τούτοις μὲν οὖν διηπείλησε θάνατον, εἴ τις εὑρεθείη πάλιν τὸ αὐτὸ τολμῶν, τοῖς δὲ ἀπὸ τῶν ταγμάτων ἐπέστελλεν ἐρευνήσαντας τοὺς ὑπόπτους ἀναγαγεῖν ἐπ' αὐτόν. κατεφρόνει δέ, ὡς ἔοικε, φιλοχρηματία πάσης κολάσεως, καὶ δεινὸς ἐμπέφυκεν ἀνθρώποις τοῦ κερδαίνειν ἔρως, οὐδέν τε οὕτω πάθος ὡς πλεονεξία παραβάλλεται. ἡ ταῦτα μὲν ἄλλως καὶ μέτρον ἔχει καὶ φόβοις ὑποτάσσεται, θεὸς δὲ ἦν ὁ τοῦ λαοῦ παντὸς κατακρίνας καὶ πᾶσαν αὐτοῖς σωτηρίας ὁδὸν εἰς ἀπώλειαν ἀποστρέφων. ὃ γοῦν μετ' ἀπειλῆς ἀπεῖπεν ὁ Καῖσαρ, λάθρᾳ κατὰ τῶν αὐτομόλων ἐτολμᾶτο, καὶ τοὺς διαδιδράσκοντας, πρὶν πᾶσιν ὀφθῆναι, προαπαντῶντες ἔσφαττον οἱ βάρβαροι, περισκοπούμενοι δὲ μή τις ἐπίδοι Ῥωμαίων ἀνέσχιζον, κἂν τῶν σπλάγχνων τὸ μιαρὸν κέρδος εἶλκον. ὀλίγοις δ' ἐνευρίσκετο, καὶ τοὺς πολλοὺς παρανήλισκεν ἐλπὶς μόνη.

τοῦτο μὲν δὴ τὸ πάθος πολλοὺς τῶν αὐτομόλων ἐπανήγαγεν· Ἰωάννης δέ, ὡς ἐπέλιπον αἱ ἁρπαγαὶ παρὰ 6
τοῦ δήμου, πρὸς ἱεροσυλίαν ἐτράπετο, καὶ πολλὰ μὲν τῶν ἀναθημάτων κατεχώνευεν ἐκ τοῦ ναοῦ, πυλλὰ δὲ τῶν πρὸς τὰς λειτουργίας ἀναγκαίων σκεύη, κρατῆράς τε καὶ πίνακας καὶ τραπέζας. ἀπέσχετο δ' οὐδὲ τῶν ὑπὸ τοῦ Σεβαστοῦ καὶ τῆς γυναικὸς αὐτοῦ πεμφθέντων ἀκροτοφόρων. οἱ μὲν γὰρ Ῥωμαίων βασιλεῖς ἐτί-

Digitized by Google

μησάν τε καὶ προσεκόσμησαν τὸ ἱερὸν ἀεί· τότε δ' ὁ Ἰουδαῖος καὶ τὰ τῶν ἀλλοφύλων κατέσπα. πρὸς δὲ τοὺς συνόντας ἔλεγεν ὡς δεῖ μετ' ἀδείας καταχρήσασθαι τοῖς θείοις ὑπὲρ τοῦ θείου, καὶ τοὺς τῷ ναῷ στρατευομένους ἐξ αὐτοῦ τρέφεσθαι. διὰ τοῦτο καὶ τὸν ἱερὸν οἶνον καὶ τὸ ἔλαιον, ὃ τοῖς ὁλοκαυτώμασιν οἱ ἱερεῖς ἐφύλαττον ἐπιχεῖν, ἐκκενώσας (ἦν δ' ἐν τῷ ἐνδοτέρῳ ἱερῷ) διένειμε τῷ πλήθει, κἀκεῖνοι δίχα φρίκης πλέον τοῦ ἵν' ἠλείφοντο καὶ ἔπινον ἐξ αὐτῶν. οὐκ ἂν ὑποστειλαίμην εἰπεῖν ἃ μοι κελεύει τὸ πάθος. οἶμαι Ῥωμαίων βραδυνόντων ἐπὶ τοὺς ἁλιτηρίους ἢ καταποθῆναι ἂν ὑπὸ χάσματος ἢ κατακλυσθῆναι τὴν πόλιν, ἢ τοὺς τῆς Σοδομηνῆς μεταλαβεῖν κεραυνούς· πολὺ γὰρ τῶν ταῦτα παθόντων ἤνεγκε γενεὰν ἀθεωτέραν. τῇ γοῦν τούτων ἀπονοίᾳ πᾶς ὁ λαὸς συναπώλετο.

7 καὶ τί δεῖ κατὰ μέρος ἐκδιηγεῖσθαι τὰς συμφοράς; ἀλλὰ πρὸς Τίτου ἐν ταύταις ταῖς ἡμέραις Μανναῖος ὁ Λαζάρου φυγὼν διὰ μιᾶς ἔλεγεν ἐκκεκομίσθαι πύλης, ἣν αὐτὸς ἐπεπίστευτο, μυριάδας ἕνδεκα νεκρῶν ἐπὶ πεντακισχιλίοις ὀκτακοσίοις ὀγδοήκοντα, ἀφ' ἧς αὐτοῖς ἡμέρας παρεστρατοπεδεύσατο τεσσαρεσκαιδεκάτῃ Ξανθικοῦ μηνὸς ἄχρι Πανέμου νουμηνίας. τοῦτο δ' ἦν πλῆθος ἀπόρων· καὶ οὐδὲ αὐτὸς ἐφεστώς, ἀλλὰ δημοσίᾳ μισθὸν διδοὺς ἐξ ἀνάγκης ἠρίθμει. τοὺς δὲ λοιποὺς οἱ προσήκοντες ἔθαπτον· ταφὴ δ' ἦν τὸ προκομίσαντας ἐκ τοῦ ἄστεος ῥῖψαι. μετὰ δὲ τοῦτον διαδράντες πολλοὶ τῶν ἐπισήμων τὰς πάσας τῶν ἀπόρων νεκρῶν ἀπήγγελλον μυριάδας ἑξήκοντα διὰ τῶν πυλῶν ἐκριφῆναι, τῶν δὲ ἄλλων ἀνεξεύρετον εἶναι τὸν ἀριθμόν. μηκέτι δὲ εὐτονούντων τοὺς πτωχοὺς ἐκφέρειν, ἔλεγον συσσωρεύοντας εἰς τοὺς μεγίστους οἴκους τὰ πτώματα ἀποκλείειν. καὶ τοῦ μὲν σίτου τὸ μέτρον πραθῆναι

Digitized by Google

ταλάντου, μετὰ ταῦτα δὲ ὡς οὐδὲ ποηλογεῖν ἔτι οἷόν τε ἦν περιτειχισθείσης τῆς πόλεως, προελθεῖν τινὰς εἰς τοσοῦτον ἀνάγκης ὥστε τὰς ἀμάρας ἐρευνῶντας καὶ παλαιὸν ὄνθον βοῶν προσφέρεσθαι τὰ ἐκ τούτων σκύβαλα, καὶ τὸ μηδὲ ὄψει φορητὸν πάλαι τότε γενέσθαι τροφήν. ταῦτα Ῥωμαῖοι μὲν ἀκούοντες ἠλέησαν, οἱ στασιασταὶ δὲ καὶ βλέποντες οὐ μετενόουν, ἀλλ' ἠνείχοντο μέχρις αὐτῶν προελθεῖν· πεπήρωντο γὰρ ὑπὸ τοῦ χρεών, ὃ τῇ τε πόλει καὶ αὐτοῖς ἤδη παρῆν.

ΛΟΓΟΣ ΕΚΤΟΣ.

Τὰ μὲν οὖν τῶν Ἱεροσολύμων πάθη προύκοπτε καθ' ἡμέραν ἐπὶ τὸ χεῖρον, τῶν τε στασιαστῶν μᾶλλον παροξυνομένων ἐν ταῖς συμφοραῖς καὶ τοῦ λιμοῦ μετὰ τὸν δῆμον ἤδη κἀκείνους νεμομένου· τό γε μὴν πλῆθος τῶν σεσωρευμένων ἀνὰ τὴν πόλιν πτωμάτων ὄψει τε φρικῶδες ἦν καὶ λοιμώδη προσέβαλλεν ὀσμήν, πρός τε τὰς ἐκδρομὰς ἐμπόδιον τοῖς μαχομένοις. ὥσπερ γὰρ διὰ παρατάξεως φόνῳ μυρίῳ γεγυμνασμένους χωροῦντας ἔδει τὰ σώματα πατεῖν. οἱ δὲ ἐπιβαίνοντες οὔτε ἔφριττον οὔτε ἠλέουν οὔτε κληδόνα κακὴν σφῶν αὐτῶν ὑπελάμβανον τὴν εἰς τοὺς κατοιχομένους ὕβριν· πεφυρμένοι δ' ὁμοφύλῳ φόνῳ τὰς δεξιάς, ἐπὶ τὸν πρὸς τοὺς ἀλλοφύλους πόλεμον ἐξέθεον, ὀνειδίζοντες, ἔμοιγε δοκεῖ, τὸ θεῖον εἰς βραδύτητα τῆς ἐπ' αὐτοῖς κολάσεως· οὐ γὰρ ἐλπίδι νίκης ὁ πόλεμος, ἤδη δὲ ἀπογνώσει σωτηρίας ἐθρασύνετο. Ῥωμαῖοι δέ, καίτοι πολλὰ περὶ τὴν τῆς ὕλης συγκομιδὴν ταλαιπωρούμενοι, τὰ χώματα διήγειραν μιᾷ καὶ εἴκοσι ἡμέραις, κείραντες, ὡς προε

Digitized by Google

ρηται, τὴν περὶ τὸ ἄστυ χώραν ἐπ᾽ ἐνενήκοντα σταδίους ἐν κύκλῳ πᾶσαν. ἦν δὲ ἐλεεινὴ καὶ τῆς γῆς ἡ θέα· τὰ γὰρ πάλαι δένδρεσι καὶ παραδείσοις κεκοσμημένα τότε πανταχόθεν ἠρήμωτο καὶ περικέκοπτο τὴν ὕλην. οὐδείς τε τὴν πάλαι Ἰουδαίαν καὶ τὰ περικαλλῆ προάστεια τῆς πόλεως ἑωρακὼς ἀλλόφυλος, ἔπειτα τὴν τότε βλέπων ἐρημίαν, οὐκ ὠλοφύρατο καὶ κατεστέναξε τὴν μεταβολὴν παρ᾽ ὅσον γένοιτο. πάντα γὰρ ἐλυμήνατο τὰ σημεῖα τοῦ κάλλους ὁ πόλεμος, καὶ οὐκ ἄν τις ἐξαπίνης ἐπιστὰς τῶν προεγνωκότων ἐγνώρισε τὸν τόπον, ἀλλὰ παρὼν ἐζήτει τὴν πόλιν.

2 Ῥωμαίοις δὲ καὶ Ἰουδαίοις τὸ τέλος τῶν χωμάτων ἴσην ἐνεποίει δέους ἀρχήν. οἱ μὲν γάρ, εἰ μὴ καὶ ταῦτα καύσειαν, ἁλώσεσθαι τὴν πόλιν προσεδόκων, Ῥωμαῖοι δὲ οὐκ ἂν ἔθ᾽ αἱρήσειν κἀκείνων διαφθαρέντων· ὕλης τε γὰρ ἦν ἀπορία, καὶ τῶν μὲν πόνων ἤδη τὸ σῶμα τῶν δ᾽ ἐπαλλήλων πταισμάτων αἱ ψυχαὶ τοῖς στρατιώταις ἐλείποντο. τάς γε μὴν κατὰ τὴν πόλιν συμφορὰς Ῥωμαίοις πλέον εἶναι συνέβαινε πρὸς ἀθυμίας ἢ τοῖς ἐν αὐτῇ· παρὰ γὰρ τὰ τηλικαῦτα πάθη τοῖς μαχομένοις οὐδὲν ἐχρῶντο μαλακωτέροις, ἀλλ᾽ ἐθράυοντο πάντοτε τὰς ἐλπίδας, τῶν μὲν χωμάτων ταῖς ἐπιβουλαῖς, τῶν δὲ ὀργάνων στερρότητι τοῦ τείχους, τῆς δὲ κατὰ χεῖρα μάχης ταῖς τῶν συμπλεκομένων τόλμαις πλεονεκτούμενοι. τὸ δὲ μέγιστον, στάσεώς τε καὶ λιμοῦ καὶ πολέμου καὶ τοσούτων κακῶν εὑρίσκοντες ἐπάνω τὸ παράστημα τῆς ψυχῆς Ἰουδαίους ἔχοντας, ὑπελάμβανον τῶν ἀνδρῶν ἀμάχους μὲν τὰς ὁρμὰς ἀνάλωτον δὲ τὴν ἐπὶ συμφοραῖς εὐθυμίαν εἶναι· τί γὰρ ἂν μὴ ὑποστῆναι δεξιᾷ τύχῃ χρωμένους τοὺς ὑπὸ κακῶν πρὸς ἀλκὴν τρεπομένους;

οἱ μὲν οὖν ἐρρωμενεστέρας διὰ ταῦτα τῶν χωμάτων
3 ἐποιοῦντο τὰς φυλακάς· οἱ δὲ περὶ τὸν Ἰωάννην κατὰ

Digitized by Google

τὴν Ἀντωνίαν ἅμα καὶ πρὸς τὸ μέλλον, εἰ καταρριφθείη τὸ τεῖχος, ἠσφαλίζοντο, καὶ πρὶν ἐπιστῆναι τοὺς πριοὺς ἐπέθεντο τοῖς ἔργοις. οὐ μὴν ἐκράτησάν γε τῆς ἐπιχειρήσεως, ἀλλὰ προελθόντες μετὰ λαμπάδων, πρὶν ἐγγίσαι τοῖς χώμασι, ψυχρότεροι τῆς ἐλπίδος ὑπέστρεψαν. πρῶτον μὲν γὰρ οὐδὲ ὁμονοεῖν ἡ σκέψις αὐτῶν ἐδόκει κατὰ μέρος ἐκπηδώντων κἀκ διαλειμμάτων καὶ μεμελλημένως μετὰ δέους, καθόλου τ' εἰπεῖν, οὐκ Ἰουδαϊκῶς. τὰ γὰρ ἴδια τοῦ ἔθνους ὑστέρητο ἅμα, τόλμα καὶ ὁρμὴ καὶ δρόμος ὁμοῦ πάντων καὶ τὸ μηδὲ πταίοντας ἀναστρέφειν. ἀτονώτεροι δὲ ἑαυτῶν προελθόντες καὶ τοὺς Ῥωμαίους εὗρον ἐρρωμενέστερον τοῦ συνήθους παρατεταγμένους. τοῖς μέν γε σώμασι καὶ ταῖς πανοπλίαις οὕτως ἐφράξαντο τὰ χώματα πάντοθεν ὡς τῷ πυρὶ μηδαμόθεν καταλιπεῖν παράδυσιν, τὴν δὲ ψυχὴν ἐτόνωσαν ἕκαστος μὴ μετακινηθῆναι τῆς τάξεως πρὸ θανάτου· πρὸς γὰρ τῷ πάσας αὐτῶν ὑποκόπτεσθαι τὰς ἐλπίδας, εἰ κἀκεῖνα καταφλεγείη τὰ ἔργα, δεινὴ τοὺς στρατιώτας εἶχεν αἰδώς, εἰ πάντα κρατήσειαν πανουργία μὲν ἀρετῆς, ἀπόνοια δὲ ὅπλων, πλῆθος δὲ ἐμπειρίας, Ἰουδαῖοι δὲ Ῥωμαίων. ἅμα δέ τι καὶ τὰ ἀφετήρια συνήργει τῶν προπηδώντων ἐφικνούμενα, καὶ πεσών τις τῷ μεθ' ἑαυτὸν ἐμπόδιον ἦν, ὅ τε κίνδυνος τοῦ πρόσω χωρεῖν ἐποίει μαλακωτέρους. τῶν δ' ἐνδοτέρω βέλους ὑποδραμόντων οἳ μέν, πρὶν εἰς χεῖρας ἐλθεῖν, τὴν εὐταξίαν καὶ τὸ πύκνωμα τῶν πολεμίων καταπλαγέντες, οἳ δὲ νυττόμενοι τοῖς ξυστοῖς ἐπαλινδρόμουν. καὶ τέλος ἀλλήλους κακίζοντες εἰς δειλίαν ἀνεχώρουν ἄπρακτοι. νουμηνία Πανέμου μηνὸς ἡ ἐπιχείρησις ἦν.

ἀναχωρησάντων δὲ τῶν Ἰουδαίων προσῆγον οἱ Ῥωμαῖοι τὰς ἑλεπόλεις, βαλλόμενοι πέτραις τε ἀπὸ τῆς Ἀντωνίας καὶ πυρὶ καὶ σιδήρῳ καὶ παντὶ τῷ χορηγουμένῳ

Digitized by Google

Ἰουδαίοις ὑπὸ τῆς ἀνάγκης βέλει· καίπερ γὰρ πολὺ τῷ τείχει πεποιθότες καὶ τῶν ὀργάνων καταφρονοῦντες, ὅμως ἐκώλυον τοὺς Ῥωμαίους προσάγειν. οἱ δὲ τὴν σπουδὴν τῶν Ἰουδαίων τοῦ μὴ πληγῆναι τὴν Ἀντωνίαν ὑπολαμβάνοντες γίνεσθαι δι' ἀσθένειαν τοῦ τείχους, καὶ σαθροὺς ἐλπίσαντες εἶναι τοὺς θεμελίους, ἀντεφιλονείκουν. οὐ μὴν ὑπήκουε τὸ τυπτόμενον, ἀλλ' οἱ μὲν συνεχῶς βαλλόμενοι καὶ πρὸς μηδένα τῶν καθύπερθεν κινδύνων ἐνδιδόντες ἐνεργοὺς παρεῖχον τὰς ἐλεπόλεις· ὡς δ' ἦσαν ἐλάττους καὶ περιεθραύοντο ταῖς πέτραις, ἕτεροι τοὺς θυρεοὺς ὀροφώσαντες ὑπὲρ τῶν σωμάτων χερσὶ καὶ μοχλοῖς ὑπώρυττον τοὺς θεμελίους, καὶ τέσσαράς γε λίθους προσκαρτερήσαντες ἐξέσεισαν. ἀνέπαυσε δὲ νὺξ ἑκατέρους, καὶ ἐν ταύτῃ τὸ τεῖχος ὑπὸ τῶν κριῶν σεσαλευμένον, καθ' ὃ τοῖς προτέροις ἐπεβουλεύων χώμασιν ὁ Ἰωάννης ὑπώρυξεν, ἐνδούσης τῆς διώρυχος ἐξαπίνης κατερείπεται.

4 τούτου συμβάντος παραδόξως ἑκατέροις διηγέρθη τὰ φρονήματα. Ἰουδαίους μὲν γάρ, οὓς ἀθυμεῖν εἰκὸς ἦν τῷ παρ' ἐλπίδα γενέσθαι τὸ πτῶμα καὶ μὴ προησφαλίσθαι πρὸς αὐτό, θαρρεῖν ὡς μενούσης συνέβαινε τῆς Ἀντωνίας· Ῥωμαίων δέ γε τὴν παρ' ἐλπίδα χαρὰν ἐπὶ τῷ καταρριφθέντι ταχέως ἔσβεσεν ὄψις ἑτέρου τείχους, ὅπερ ἔνδοθεν οἱ περὶ τὸν Ἰωάννην ἀντῳκοδομήκεσαν. εὐμαρεστέρα μέν γε τῆς πρότερον ἡ προσβολὴ κατεφαίνετο· τό τε γὰρ ἀναβῆναι διὰ τῶν καταρριφθέντων ῥᾷον ἐδόκει, καὶ τὸ τεῖχος ἀσθενέστερόν τε πολλῷ τῆς Ἀντωνίας καὶ ταχέως τῷ πρόσκαιρον εἶναι λύσειν ὑπελάμβανον. οὐ μὴν ἐτόλμα τις ἀναβῆναι· προῦπτος γὰρ τοῖς ἀρξαμένοις ἦν ἀπώλεια.

5 νομίζων δ' ὁ Τίτος ἐγείρεσθαι μάλιστα τὰς τῶν πολεμούντων προθυμίας ἐλπίδι καὶ λόγῳ, τάς τε προτροπὰς

Digitized by Google

καὶ τὰς ὑποσχέσεις πολλάκις μὲν λήθην ἐνεργάζεσθαι τῶν κινδύνων ἔστι δ' ὅτε καὶ θανάτου καταφρόνησιν, συναγαγὼν ἐπὶ ταὐτὸ τοὺς ἀλκίμους, ἐπειρᾶτο τῶν ἀνδρῶν, "ὦ συστρατιῶται" λέγων, "τὸ μὲν παρακαλεῖν ἐπὶ τὰ μὴ φέροντα κίνδυνον αὐτόθεν τοῖς παρακαλουμένοις ἀκλεές, ἀμέλει δὲ καὶ τῷ παρακαλοῦντι φέρει κατάγνωσιν ἀνανδρίας· δεῖ δ', οἶμαι, προτροπῆς εἰς μόνα τὰ σφαλερὰ τῶν πραγμάτων, ὡς ἐκεῖνά γε καθ' αὑτοὺς πράττειν ἄξιον. ὥστε ἔγωγε τὸ μὲν ὑπάρχειν χαλεπὴν τὴν ἐπὶ τὸ τεῖχος ἄνοδον αὐτοῖς ὑμῖν προτίθημι· τὸ δ' ὅτι μάλιστα προσήκει μάχεσθαι τοῖς δυσκόλοις τοὺς ἀρετῆς ἐφιεμένους, καὶ ὅτι καλὸν ἐν εὐκλείᾳ τελευτή, καὶ ὡς οὐκ ἄκαρπον ἔσται τοῖς καταρξαμένοις τὸ γενναῖον, διέξειμι. πρῶτον μὲν οὖν ὑμῖν γενέσθω προτροπὴ τό τινας ἴσως ἀποτρέπον, ἡ Ἰουδαίων μακροθυμία καὶ τὸ καρτερικὸν ἐν οἷς κακοπαθοῦσιν. αἰσχρὸν γὰρ Ῥωμαίους τε ὄντας καὶ στρατιώτας ἐμούς, καὶ διδακτὸν μὲν ἐν εἰρήνῃ τὸ πολεμεῖν ἔθιμον δ' ἐν πολέμῳ τὸ κρατεῖν ἔχοντας, ἡττᾶσθαι κατὰ χεῖρα Ἰουδαίων ἢ κατὰ ψυχήν, καὶ ταῦτα πρὸς τέλει τῆς νίκης καὶ συνεργουμένους ὑπὸ τοῦ θεοῦ. τὰ μὲν γὰρ ἡμέτερα πταίσματα τῆς Ἰουδαίων ἐστὶν ἀπονοίας, τὰ δ' ἐκείνων πάθη ταῖς τε ὑμετέραις ἀρεταῖς καὶ ταῖς τοῦ θεοῦ συνεργίαις αὔξεται· στάσις γὰρ καὶ λιμὸς καὶ πολιορκία καὶ δίχα μηχανημάτων πίπτοντα τείχη τί ἂν ἀλλ' ἢ θεοῦ μὲν εἴη μῆνις ἐκείνοις, βοήθεια δ' ἡμετέρα; τὸ τοίνυν μὴ μόνον ἐλαττοῦσθαι χειρόνων, ἀλλὰ καὶ τὴν θείαν συμμαχίαν προδιδόναι, πρὸς ἡμῶν οὐκ ἂν εἴη. πῶς δ' οὐκ αἰσχρὸν Ἰουδαίους μέν, οἷς πολλὴν αἰσχύνην οὐ φέρει τὸ λείπεσθαι μαθοῦσι δουλεύειν, ὑπὲρ τοῦ μηκέτι τοῦτο πάσχειν θανάτου καταφρονεῖν, καὶ πολλάκις εἰς μέσους ἡμᾶς ἐκτρέχειν, οὐκ ἐλπίδι τοῦ κρα-

Digitized by Google

τήσειν ἀλλὰ διὰ ψιλὴν ἐπίδειξιν ἀνδρείας· ἡμᾶς δὲ τοὺς γῆς ὀλίγου δεῖν ἁπάσης καὶ θαλάσσης κρατοῦντας, οἷς καὶ τὸ μὴ νικᾶν ὄνειδος, μηδὲ ἅπαξ εἰς τοὺς πολεμίους παραβάλλεσθαι, περιμένειν δὲ τὸν λιμὸν κατ' αὐτῶν καὶ τὴν τύχην, ἀργοὺς καθεζομένους μετὰ τοιούτων ὅπλων, καὶ ταῦτα δι' ὀλίγου τοῦ παραβόλου τὸ πᾶν κατορθῶσαι δυναμένους; ἀναβάντες γοῦν ἐπὶ τὴν Ἀντωνίαν ἔχομεν τὴν πόλιν· καὶ γὰρ ἂν γένηταί τις ἔτι πρὸς τοὺς ἔνδον, ὅπερ οὐκ οἶομαι, μάχη, τό γε κατὰ κορυφὴν εἶναι καὶ ταῖς ἀναπνοαῖς ἐπικαθῆσθαι τῶν πολεμίων ταχέως τὴν ὁλοσχερῆ νίκην ἐγγυᾶται. καὶ ἔγωγε τὸ μὲν ὑμνεῖν ἄρτι τὴν ἐν πολέμῳ τελευτὴν καὶ τὴν ἐπὶ τοῖς ἀρειμανίοις πεσοῦσιν ἀθανασίαν παραλείπω, ἐπαρασαίμην δ' ἂν τοῖς ἄλλως ἔχουσι τὸν κατ' εἰρήνην ἐκ νόσου θάνατον, οἷς μετὰ τοῦ σώματος καὶ ἡ ψυχὴ τάφῳ κατακρίνεται. τίς γὰρ οὐκ οἶδε τῶν ἀγαθῶν ἀνδρῶν ὅτι τὰς μὲν ἐν παρατάξει ψυχὰς σιδήρῳ τῶν σαρκῶν ἀπολυθείσας τὸ καθαρώτατον στοιχεῖον αἰθὴρ ξενοδοχῶν ἄστροις ἐγκαθιδρύει, δαίμονες δ' ἀγαθοὶ καὶ ἥρωες εὐμενεῖς ἰδίοις ἐκγόνοις ἐμφανίζονται, τὰς δὲ ἐν νοσοῦσι τοῖς σώμασι συνταπείσας, κἂν τὰ μάλιστα κηλίδων ἢ μιασμάτων ὥσι καθαραί, νὺξ ὑπόγειος ἀφανίζει καὶ λήθη βαθεῖα δέχεται, λαμβανούσας ἅμα τοῦ τε βίου καὶ τῶν σωμάτων, ἔτι δὲ τῆς μνήμης περιγραφήν; εἰ δὲ κέκλωσται μὲν ἀνθρώποις ἀναγκαία τελευτή, κουφότερος δ' εἰς αὐτὴν νόσου πάσης σίδηρος ὑπηρέτης, πῶς οὐκ ἀγεννὲς μὴ διδόναι ταῖς χρείαις ὃ τῷ χρεὼν ἀποδώσομεν; καὶ ταῦτα μὲν ὡς οὐ δυναμένων σωθῆναι τῶν ἐπιχειρησόντων διεξῆλθον· ἔνεστι δὲ σώζεσθαι τοῖς ἀνδριζομένοις καὶ ἐκ τῶν σφαλερωτάτων. πρῶτον μὲν γὰρ τὸ καταρριφθὲν εὐεπίβατον, ἔπειτα πᾶν τὸ οἰκοδομηθὲν εὐδιάλυτον. ὑμεῖς τε πλείους,

Digitized by Google

θαρσήσαντες ἐπὶ τὴν πρᾶξιν, ἀλλήλοις προτροπὴ καὶ βοήθεια γίνεσθε, καὶ τοῖς πολεμίοις τὸ ὑμέτερον παράστημα ταχέως κλάσει τὰ φρονήματα. καὶ τάχ' ἂν ὑμῖν ἀναίμακτον τὸ κατόρθωμα γένοιτο μόνον καταρξαμένοις· ἀναβαίνοντας μὲν γὰρ κωλύειν πειράσονται κατὰ τὸ εἰκός, λαθόντας δὲ καὶ βιασαμένους ἅπαξ οὐκ ἂν ὑποσταῖεν ἔτι, κἂν ὀλίγοι φθάσητε. τὸν δὲ καταρξάμενον αἰσχυνοίμην ἂν εἰ μὴ ποιήσαιμι ζηλωτὸν ἐν ταῖς ἐπικαρπίαις, καὶ ὁ μὲν ζῶν ἄρξει τῶν νῦν ὁμοίων, μακαριστὰ δ' ἀκολουθήσει καὶ τοῖς πεσοῦσι τὰ ἀριστεῖα."

τοιαῦτα τοῦ Τίτου διεξιόντος τὸ μὲν ἄλλο πλῆθος 6
ἔδεισε τοῦ κινδύνου τὸ μέγεθος, τῶν δ' ἐν ταῖς σπείραις στρατευομένων Σαβῖνος τοὔνομα, γένος ἀπὸ Συρίας, ἀνὴρ καὶ κατὰ χεῖρα καὶ κατὰ ψυχὴν ἄριστος ἐφάνη. καίτοι προϊδὼν ἄν τις αὐτὸν ἀπό γε τῆς σωματικῆς ἕξεως οὐ δίκαιον εἶναι στρατιώτην ἔδοξε. μέλας μὲν γὰρ ἦν τὴν χροιάν, ἰσχνός, τὴν σάρκα πεπιλημένος· ἀλλ' ἐνῴκει τις ἡρωικὴ ψυχὴ λεπτῷ σώματι καὶ πολὺ τῆς ἰδίας ἀλκῆς γενναιοτέρῳ. πρῶτος γοῦν ἀναστάς "ἐπιδίδωμί σοι, Καῖσαρ," ἔφη "προθύμως ἐμαυτόν. πρῶτος ἀναβαίνω τὸ τεῖχος. καὶ εὔχομαι μέν μου τῇ τε ἰσχύι καὶ τῇ γνώμῃ τὴν σὴν ἀκολουθῆσαι τύχην· εἰ δὲ νεμεσηθείην τῆς ἐπιβολῆς, ἴσθι με μὴ παίσαντα παρ' ἐλπίδας, ἀλλ' ὑπὲρ σοῦ κρίσει τὸν θάνατον ἠρημένον." ταῦτα εἰπών, καὶ τῇ μὲν ἀριστερᾷ χειρὶ τὸν θυρεὸν ὑπὲρ τῆς κεφαλῆς προανατείνας, τῇ δεξιᾷ δὲ τὸ ξίφος σπασάμενος, ἐχώρει πρὸς τὸ τεῖχος, μάλιστα περὶ ὥραν τῆς ἡμέρας ἕκτην. εἵποντο δ' αὐτῷ καὶ τῶν ἄλλων ἕνδεκα μόνοι ζηλωταὶ τῆς ἀνδρείας γενόμενοι. προῆγε δὲ πολὺ πάντας ὁ ἀνὴρ ὁρμῇ τινὶ δαιμονίῳ χρώμενος. οἱ φρουροὶ δ' ἀπὸ τοῦ τείχους κατηκόντιζόν τε αὐτοὺς καὶ βέλεσι πάντοθεν ἀπείροις ἔβαλλον, καὶ πέ-

Digitized by Google

τρας ἑξαισίους κατεκύλιον, αἳ τῶν μὲν ἔνδεκα παρέσυραν ἑνίους, ὁ δὲ Σαβῖνος ἁπάντων τοῖς ἀφιεμένοις καὶ καταχωννύμενος ὑπὸ τῶν βελῶν οὐ πρότερον ἐπέσχε τὴν ὁρμὴν ἢ γενέσθαι τε ἐπ' ἄκρῳ καὶ τρέψασθαι τοὺς πολεμίους· καταπλαγέντες γὰρ αὐτοῦ τήν τε δύναμιν οἱ Ἰουδαῖοι καὶ τὸ παράστημα τῆς ψυχῆς, ἅμα δὲ καὶ πλείους ἀναβεβηκέναι δόξαντες, ἐτράπησαν. ἔνθα δὴ καταμέμψαιτ' ἄν τις ὡς φθονερὰν ἐπὶ ταῖς ἀρεταῖς τὴν τύχην καὶ κωλύουσαν ἀεὶ τὰ παράδοξα τῶν κατορθωμάτων. ὁ γοῦν ἀνὴρ οὗτος ὅτε ἐκράτησε τῆς ἐπιβολῆς ἐσφάλη, καὶ πταίσας πρός τινα πέτραν πρηνὴς ἐπ' αὐτὴν μετὰ μεγίστου ψόφου κατέπεσεν. ἐπιστραφέντες δ' οἱ Ἰουδαῖοι, καὶ κατιδόντες μόνον τε αὐτὸν καὶ πεπτωκότα, πάντοθεν ἔβαλλον. ὃ δ' εἰς γόνυ διαναστὰς καὶ προκαλυψάμενος τὸν θυρεόν, τὸ μὲν πρῶτον ἠμύνετο καὶ πολλοὺς τῶν πλησιασάντων ἔτρωσεν, αὖθις δ' ὑπὸ πλήθους τραυμάτων παρῆκε τὴν δεξιάν, καὶ τέλος, πρὶν ἀποδοῦναι τὴν ψυχήν, κατεχώσθη τοῖς βέλεσιν, ἀνὴρ ἄξιος μὲν ἀμείνονι χρήσασθαι δι' ἀνδρείαν τύχῃ, πεσὼν δὲ τῆς ἐπιβολῆς ἀναλόγως. τῶν δ' ἄλλων τρεῖς μὲν τοὺς ἤδη πρὸς τοῖς ἄκροις ὄντας συντρίψαντες ἀπέκτειναν τοῖς λίθοις, οἱ δ' ὀκτὼ τραυματίαι κατασυρέντες ἀνεκομίσθησαν εἰς τὸ στρατόπεδον.

ταῦτα μὲν οὖν τρίτῃ Πανέμου μηνὸς ἐπράχθη· 7 μετὰ δὲ ἡμέρας δύο τῶν προκοιτούντων τινὲς ἐπὶ τοὺς χώμασι φυλάκων εἴκοσι συνελθόντες προσκαλοῦνται μὲν τὸν τοῦ πέμπτου τάγματος σημαιοφόρον καὶ δύο τινὰς τῶν ἐν ταῖς ἴλαις ἱππέων καὶ σαλπιγκτὴν ἕνα, κατὰ δ' ὥραν τῆς νυκτὸς ἑνάτην προβαίνουσι μὲν ἡσυχῇ διὰ τῶν ἐρειπίων ἐπὶ τὴν Ἀντωνίαν, ἀποσφάξαντες δὲ τοὺς πρώτους τῶν φρουρῶν κοιμωμένους κρατοῦσι τοῦ τείχους καὶ τῷ σαλπιγκτῇ σημαίνειν ἐκέλευσαν. πρὸς

Digitized by Google

ὃ τῶν μὲν ἄλλων φυλάκων ἐξανάστασίς τε αἰφνίδιος ἦν καὶ φυγή, πρίν τινα τὸ πλῆθος ἐπιδεῖν τῶν ἐπιβεβηκότων· ὅ τε γὰρ φόβος καὶ ἡ σάλπιγξ φαντασίαν αὐτοῖς τοῦ πλήθους ἀναβεβηκέναι πολεμίων παρεῖχε. Καῖσαρ δὲ τοῦ σημείου κατακούσας ἐξοπλίζει τήν τε δύναμιν διὰ τάχους καὶ μετὰ τῶν ἡγεμόνων πρῶτος ἀναβαίνει, τοὺς ἐπιλέκτους ἔχων. καταφευγόντων δ' Ἰουδαίων εἰς τὸ ἱερόν, καὶ αὐτοὶ διὰ τῆς διώρυχος εἰσέπιπτον ἦν ὁ Ἰωάννης ἐπὶ τὰ χώματα τῶν Ῥωμαίων ὑπώρυξε. καὶ διαναστάντες ἀπ' ἀμφοτέρων οἱ στασιασταὶ τῶν ταγμάτων, τοῦ τε Ἰωάννου καὶ τοῦ Σίμωνος, εἶργον αὐτούς, οὐδεμίαν οὔτε ἰσχύος οὔτε προθυμίας ἐλλείποντες ὑπερβολήν· πέρας γὰρ ἀλώσεως ὑπελάμβανον τὸ Ῥωμαίους παρελθεῖν εἰς τὸ ἅγιον, ὃ δὴ κἀκεῖνοι τοῦ κρατεῖν ἀρχήν. συρρήγνυνται δὲ περὶ τὰς εἰσόδους μάχη καρτερά, τῶν μὲν καταλαβέσθαι καὶ τὸ ἱερὸν εἰσβιαζομένων, τῶν δὲ Ἰουδαίων ἐξωθούντων αὐτοὺς ἐπὶ τὴν Ἀντωνίαν. καὶ τὰ βέλη μὲν ἦν ἀμφοτέροις ἄχρηστα καὶ τὰ δόρατα, σπασάμενοι δὲ τὰ ξίφη συνεπλέκοντο. καὶ περὶ τὴν συμβολὴν ἄκριτον ἦν ὁποτέρωθεν ἕκαστοι μάχοιντο, πεφυρμένων μὲν τῶν ἀνδρῶν καὶ περὶ τὴν στενοχωρίαν διηλλαγμένων, τῆς δὲ βοῆς ἀσημάντου προσπιπτούσης διὰ τὸ μέγεθος. φόνος τε ἦν ἑκατέρωθεν πολύς, καὶ τῶν πεσόντων τά τε σώματα καὶ τὰς πανοπλίας πατοῦντες ἔθρανον οἱ μαχόμενοι. ἀεὶ δ' ἐφ' ὁπότερον βρίσειε ῥέπων ὁ πόλεμος, παρακέλευσις μὲν ἦν τῶν πλεονεκτούντων, οἰμωγαὶ δὲ τῶν τρεπομένων. οὔτε δ' αἱ φυγαὶ τόπον εἶχον οὔθ' αἱ διώξεις, ἀλλ' ἀγχώμαλοι ῥοπαὶ καὶ μετακλίσεις μεμιγμένης ἐγίνοντο τῆς παρατάξεως. τοῖς δ' ἔμπροσθεν γινομένοις ἢ τοῦ πτείνειν ἢ τοῦ θνήσκειν ἀνάγκη παρῆν, οὐκ οὔσης ἀναφυγῆς· οἱ γὰρ κατὰ νώτου πρόσω βιαζόμενοι τοὺς σφετέρους

Digitized by Google

παρ' ἀμφοῖν οὐδὲ τῇ μάχῃ μεταίχμιον κατέλιπον. πλεονεκτούντων δὲ τῶν Ἰουδαίων τοῖς θυμοῖς τὴν Ῥωμαίων ἐμπειρίαν, καὶ κλινομένης καθ' ἅπαν ἤδη τῆς παρατάξεως (ἀπὸ γὰρ ἑνάτης νυκτὸς ὥρας εἰς ἑβδόμην τῆς ἡμέρας ἐπολέμουν, οἱ μὲν ἀθρόοι καὶ τὸν τῆς ἁλώσεως κίνδυνον ἔχοντες ἀνδρείας ἐφόδιον, Ῥωμαῖοι δὲ μέρει τῆς δυνάμεως· οὕτω γὰρ ἐπαναβεβήκει τὰ τάγματα, κἀκείνοις ἐπανεῖχον οἱ μαχόμενοι), τότε κρατεῖν τῆς Ἀντωνίας ἀποχρῆν ἐπὶ τοῦ παρόντος ἐδόκει.

8 Ἰουλιανὸς δέ τις ἑκατοντάρχης τῶν ἀπὸ τῆς Βιθυνίας, οὐκ ἄσημος ὢν ἀνήρ, ὃν ἐγὼ κατ' ἐκεῖνον ἱστόρησα τὸν πόλεμον ὅπλων τε ἐμπειρίᾳ καὶ ἀλκῇ σώματος καὶ ψυχῆς παραστήματι πάντων ἄριστος, ὁρῶν τοὺς Ῥωμαίους ἐνδιδόντας ἤδη καὶ κακῶς ἀμυνομένους (παρειστήκει δὲ Τίτῳ κατὰ τὴν Ἀντωνίαν) προπηδᾷ, καὶ νικῶντας ἤδη τοὺς Ἰουδαίους τρέπεται μόνος μέχρι τῆς τοῦ ἐνδοτέρω ἱεροῦ γωνίας. ἔφευγε δὲ τὸ πλῆθος ἄθρουν, οὔτε τὴν ἰσχὺν οὔτε τὴν τόλμαν ἀνθρωπίνην ὑπολαμβάνοντες. ὃ δὲ διὰ μέσων τῶν σκεδαννυμένων ἄλλοτε ἄλλῃ διάττων ἐφόνευε τοὺς καταλαμβανομένους, καὶ τῆς ὄψεως ἐκείνης οὐδὲν οὔτε τῷ Καίσαρι θαυμασιώτερον οὔτε τοῖς ἄλλοις παρέστη φρικωδέστερον. ἐδιώκετο δ' ἄρα καὶ αὐτὸς ὑπὸ τῆς εἱμαρμένης, ἣν ἀρήξανον διαφυγεῖν θνητὸν ὄντα. τὰ γὰρ ὑποδήματα πεπαρμένα πυκνοῖς καὶ ὀξέσιν ἥλοις ἔχων, ὥσπερ τῶν ἄλλων στρατιωτῶν ἕκαστος, καὶ κατὰ λιθοστρώτου τρέχων ὑπολισθάνει, πεσὼν δ' ὕπτιος μετὰ μεγίστου τῆς πανοπλίας ἦχου τοὺς φεύγοντας ἐπιστρέφει. καὶ τῶν μὲν ἀπὸ τῆς Ἀντωνίας Ῥωμαίων ἤρθη βοὴ περὶ τἀνδρὶ δεισάντων, οἱ δὲ Ἰουδαῖοι περιστάντες αὐτὸν ἀθρόοι τοῖς τε ξυστοῖς καὶ ταῖς φομφαίαις πάντοθεν ἔπαιον. ὃ δὲ πολὺν μὲν τῷ θυρεῷ σίδηρον ἐξε-

Digitized by Google

δέχετο, πολλάκις δ' ἀναστῆναι πειράσας ὑπὸ τοῦ πλήθους τῶν τυπτόντων ἀνετράπη, καὶ κείμενος δ' ὅμως ἔνυττε τῷ ξίφει πολλούς. οὐδὲ γὰρ ἀνηρέθη ταχέως, τῷ τε κράνει καὶ τῷ θώρακι πεφραγμένος πάντα τὰ καίρια πρὸς σφαγήν, καὶ τὸν αὐχένα συνέλκων, μέχρι κοπτομένων αὐτῷ τῶν ἄλλων μελῶν καὶ μηδενὸς προσαμῦναι τολμῶντος ἐνέδωκε. δεινὸν δὲ πάθος εἰσῆλθε Καίσαρα ἀνδρὸς οὕτως ἐναρέτου καὶ ἐν ὄψει τοσούτων φονευομένου· καὶ αὐτὸν μὲν ὁ τόπος διέκλειε τοῦ βοηθεῖν θέλοντα, τοὺς δυναμένους δὲ κατάπληξις. Ἰουλιανὸς μὲν οὖν πολλὰ δυσθανατήσας καὶ τῶν κτεινόντων ὀλίγους ἀπλῆγας καταλιπὼν μόλις ἀποσφάττεται, μέγιστον οὐ παρὰ Ῥωμαίοις καὶ Καίσαρι μόνον ἀλλὰ καὶ παρὰ τοῖς πολεμίοις κλέος καταλιπών· Ἰουδαῖοι δὲ καὶ τὸν νεκρὸν ἁρπασάμενοι πάλιν τοὺς Ῥωμαίους τρέπονται, καὶ κατακλείουσιν εἰς τὴν Ἀντωνίαν. ἠγωνίσαντο δ' ἐξ αὐτῶν ἐπισήμως κατὰ ταύτην τὴν μάχην Ἀλεξᾶς μέν τις καὶ Γυφθαῖος τοῦ Ἰωάννου τάγματος, ἐκ δὲ τῶν περὶ Σίμωνα Μαλαχίας τε καὶ ὁ τοῦ Μέρτωνος Ἰούδας, καὶ Σωσᾶ υἱὸς Ἰάκωβος τῶν Ἰδουμαίων ἡγεμόνων, τῶν δὲ ζηλωτῶν ἀδελφοὶ δύο, παῖδες Ἀρί, Σίμων τε καὶ Ἰούδης.

Καῖσαρ δὲ τοῖς μὲν σὺν αὐτῷ στρατιώταις κατα- 2
σκάπτειν προσέταξε τοὺς θεμελίους τῆς Ἀντωνίας, καὶ τῇ δυνάμει πάσῃ ῥᾳδίαν τὴν ἄνοδον εὐτρεπίζειν· αὐτὸς δὲ τὸν Ἰώσηπον παραστησάμενος (ἐπέπυστο γὰρ ἐπ' ἐκείνης τῆς ἡμέρας, Πανέμου δ' ἦν ἑπτακαιδεκάτη, τὸν ἐνδελεχισμὸν καλούμενον ἀνδρῶν ἀπορίᾳ διαλελοιπέναι τῷ θεῷ, καὶ τὸν δῆμον ἐπὶ τούτῳ δεινῶς ἀθυμεῖν) λέγειν τῷ Ἰωάννῃ πάλιν ἐκέλευσεν ἃ καὶ πρότερον, ὡς εἰ καί τις αὐτὸν ἔρως κακὸς ἔχοι τοῦ μάχεσθαι, προελθόντι μεθ' ὅσων βούλεται πολεμεῖν ἔξειμι, δίχα τοῦ

Digitized by Google

συναπολέσθαι τήν τε πόλιν καὶ τὸν ναὸν αὐτῷ, μηκέτι μέντοι μιαίνειν τὸ ἅγιον, μηδὲ εἰς τὸν θεὸν πλημμελεῖν. παρεῖναι δ' αὐτῷ τὰς ἐπιλελοιπυίας θυσίας ἐκτελεῖν, δι' ὧν ἂν ἐπιλέξηται Ἰουδαίων. καὶ ὁ Ἰώσηπος, ὡς ἂν εἰ μὴ τῷ Ἰωάννῃ μόνον ἀλλὰ καὶ τοῖς πολλοῖς, ἐν ἐπηκόῳ στὰς τά τε τοῦ Καίσαρος διήγγειλεν ἐβραΐζων, καὶ πολλὰ προσηντιβόλει φείσασθαι τῆς πατρίδος, καὶ διαρκεδάσαι τοῦ ναοῦ γενόμενον ἤδη τὸ πῦρ, τούς τε ἐναγισμοὺς ἀποδοῦναι τῷ θεῷ. πρὸς ταῦτα τοῦ δήμου μὲν ἦν κατήφεια καὶ σιγή, πολλὰ δ' ὁ τύραννος λοιδορηθείς τε τῷ Ἰωσήπῳ καὶ καταρασάμενος τὸ τελευταῖον προσέθηκεν ὡς οὐκ ἄν ποτε δείσειεν ἅλωσιν· θεοῦ γὰρ ὑπάρχειν τὴν πόλιν. καὶ ὁ Ἰώσηπος πρὸς ταῦτα ἀνέκραγε "πάνυ γοῦν καθαρὰν τῷ θεῷ τετήρηκας αὐτήν, ἀμίαντον δὲ μένει τὸ ἅγιον· εἰς ὅν τ' ἐλπίζεις σύμμαχον οὐδὲν ἠσέβησας, τὰς δὲ ἐθίμους θυσίας ἀπολαμβάνει. κἂν μέν σού τις ἀφέληται τὴν καθ' ἡμέραν τροφήν, ἀσεβέστατε, τοῦτον ἡγήσῃ πολέμιον, αὐτὸν δέ, ὃν τῆς αἰωνίου θρησκείας ἐστέρησας θεόν, ἐλπίζεις σύμμαχον ἕξειν ἐν τῷ πολέμῳ; καὶ Ῥωμαίοις τὰς ἁμαρτίας ἀνατίθης, οἳ μέχρι νῦν κήδονται τῶν ἡμετέρων νόμων, καὶ τὰς ὑπὸ σοῦ διακοπείσας θυσίας ἀποδίδοσθαι τῷ θεῷ βιάζονται; τίς οὐκ ἂν στενάξειε καὶ κατολοφύραιτο τῆς παραδόξου μεταβολῆς τὴν πόλιν, εἴ γε ἀλλόφυλοι μὲν καὶ πολέμιοι τὴν σὴν ἀσέβειαν ἐπανορθοῦνται, σὺ δὲ ὁ Ἰουδαῖος, ὁ τοῖς νόμοις ἐντραφείς, κἀκείνων πρὸς αὐτοὺς γίνῃ χαλεπώτερος; ἀλλ' ὦ Ἰωάννη, καὶ μετανοῆσαι μὲν ἐκ κακῶν οὐκ αἰσχρὸν ἐν ἐσχάτοις, καὶ καλὸν ὑπόδειγμα βουλομένῳ σώζειν τὴν πατρίδα σοι πρόκειται βασιλεὺς Ἰουδαίων Ἰεχωνίας, ὃς ποτε στρατεύσαντι τῷ Βαβυλωνίῳ δι' αὐτὸν ἑκὼν ἐξέστη πρὶν ἁλῶναι τῆς πόλεως, καὶ μετὰ γενεᾶς αἰχμαλωσίαν ὑπέμεινεν ἐθε-

Digitized by Google

λούσιον ὑπὲρ τοῦ μὴ παραδοῦναι ταῦτα πολεμίοις τὰ ἅγια καὶ τὸν οἶκον τοῦ θεοῦ περιιδεῖν φλεγόμενον. διὰ τοῦτο λόγος τε αὐτὸν πρὸς ἁπάντων Ἰουδαίων ἱερὸς ἀνυμνεῖ, καὶ μνήμη ῥέουσα δι' αἰῶνος ἀεὶ νέα τοῖς ἐπιγινομένοις παραδίδωσιν ἀθάνατον. καλόν, ὦ Ἰώαννη, ὑπόδειγμα, κἂν προσῇ κίνδυνος. ἐγὼ δέ σοι καὶ τὴν ἀπὸ Ῥωμαίων συγγνώμην ἐγγυῶμαι. μέμνησο δὲ ὡς ὁμόφυλος ὢν παραινῶ καὶ Ἰουδαῖος ὢν ἐπαγγέλλομαι· καὶ χρὴ σκοπεῖν τίς ὁ συμβουλεύων καὶ πόθεν. μὴ γὰρ ἐγωγέ ποτε γενοίμην ζῶν οὕτως αἰχμάλωτος, ἵνα παύσωμαι τοῦ γένους ἢ τῶν πατρίων ἐπιλάθωμαι. πάλιν ἀγανακτεῖς καὶ κέκραγάς μοι λοιδορούμενος, ἀξίῳ γε καὶ χαλεπωτέρων, ὃς ἄντικρυς εἱμαρμένης τι παραινῶ καὶ τοὺς ὑπὸ τοῦ θεοῦ βιάζομαι κατακρίτους σῴζειν. τίς οὐκ οἶδε τὰς τῶν παλαιῶν προφητῶν ἀναγραφὰς καὶ τὸν ἐπιῤῥέποντα τῇ τλήμονι πόλει χρησμὸν ἤδη ἑνεστῶτα; τότε γὰρ ἅλωσιν αὐτῆς προεῖπον, ὅταν ὁμοφύλου τις ἄρξῃ φόνου. τῶν ὑμετέρων δὲ πτωμάτων οὐχ ἡ πόλις καὶ τὸ ἱερὸν δὲ πᾶν πεπλήρωται; θεὸς ἄρα, θεὸς αὐτὸς ἐπάγει μετὰ Ῥωμαίων καθάρσιον αὐτῷ πῦρ, καὶ τὴν τοσούτων μιασμάτων γέμουσαν πόλιν ἀναρπάζει."

ταῦτα λέγων ὁ Ἰώσηπος μετ' ὀδυρμοῦ καὶ δακρύων 2
λυγμῷ τὴν φωνὴν ἀνεκόπη. καὶ Ῥωμαῖοι μὲν ᾤκτειράν τε τοῦ πάθους καὶ τῆς προαιρέσεως αὐτὸν ἐθαύμασαν· οἱ δὲ περὶ τὸν Ἰωάννην παρῳξύνοντο μᾶλλον ἐπὶ τοὺς Ῥωμαίους, ἐπιθυμοῦντες ἐγκρατεῖς κἀκείνου γενέσθαι. τῶν γε μὴν εὐγενῶν πολλοὺς ἐκίνησεν ὁ λόγος. καὶ τινὲς μὲν ὀρρωδοῦντες τὰς φυλακὰς τῶν στασιαστῶν κατὰ χώραν ἔμενον, ἀπώλειαν μέντοι σφῶν τε αὐτῶν καὶ τῆς πόλεως κατεγνώκεσαν· εἰσὶ δ' οἳ καιροφυλακήσαντες ἄδειαν ἀναχωρήσεως, πρὸς τοὺς Ῥωμαίους

Digitized by Google

κατέφυγον. ὧν ἦσαν ἀρχιερεῖς μὲν Ἰώσηπός τε καὶ Ἰησοῦς, υἱοὶ δ' ἀρχιερέων τρεῖς μὲν Ἰσμαήλου τοῦ κατομηθέντος ἐν Κυρήνῃ, καὶ τοῦ Ματθίου τέσσαρες, καὶ εἷς ἑτέρου Ματθίου παῖς, διαδρὰς μετὰ τὴν τοῦ πατρὸς ἀπώλειαν, ὃν ὁ τοῦ Γιώρα Σίμων ἀπέκτεινε σὺν τρισὶν υἱοῖς, ὡς προείρηται. πολλοὶ δὲ καὶ τῶν ἄλλων εὐγενῶν τοῖς ἀρχιερεῦσι συμμετεβάλοντο. Καῖσαρ δ' αὐτοὺς τά τε ἄλλα φιλοφρόνως ἐδέξατο, καὶ γινώσκων ἀλλοφύλοις ἤθεσιν ἀηδῆ τὴν διατριβὴν ἔξειν ἀπέπεμψεν αὐτοὺς εἰς Γόφναν, τέως ἐκεῖ παραινῶν μένειν· ἀποδώσειν γὰρ ἑκάστῳ τὰς κτήσεις κατὰ σχολὴν ἀπὸ τοῦ πολέμου γενόμενος. οἱ μὲν οὖν εἰς τὸ δοθὲν πολίχνιον μετὰ πάσης ἀσφαλείας ἀνεχώρουν ἅσμενοι· μὴ φαινομένων δ' αὐτῶν διεφήμισαν οἱ στασιασταὶ πάλιν ὡς ἀποσφαγείεν ὑπὸ Ῥωμαίων οἱ αὐτόμολοι, δῆλον ὅτι τοὺς λοιποὺς ἀποτρέποντες τῷ φόβῳ διαδιδράσκειν. ἤνυστο δ' ὡς καὶ πρότερον αὐτοῖς τὸ πανούργημα πρὸς καιρόν· ἐπεσχέθησαν γὰρ ὑπὸ τοῦ δέους αὐτομολεῖν.

3 αὖθις δ', ὡς ἀνακαλέσας τοὺς ἄνδρας ἀπὸ τῆς Γόφνας Τίτος ἐκέλευσε μετὰ τοῦ Ἰωσήπου περιελθόντας τὸ τεῖχος ὀφθῆναι τῷ δήμῳ, πλεῖστοι πρὸς τοὺς Ῥωμαίους ἔφευγον. γινόμενοι δ' ἀθρόοι καὶ πρὸ τῶν Ῥωμαίων ἱστάμενοι μετ' οἰμωγῆς καὶ δακρύων ἱκέτευον τοὺς στασιαστὰς τὸ μὲν πρῶτον ὅλῃ τοὺς Ῥωμαίους δέξασθαι τῇ πόλει, καὶ τὴν πατρίδα σῶσαι πάλιν, εἰ δὲ μή, τοῦ γε ἱεροῦ πάντως ὑπεξελθεῖν καὶ φύσασθαι τὸν ναὸν αὐτοῖς· οὐ γὰρ ἂν τολμῆσαι Ῥωμαίους μὴ μετὰ μεγίστης ἀνάγκης καταφλέξαι τὰ ἅγια. τούτοις μᾶλλον ἀντεφιλονείκουν, καὶ πολλὰ βλάσφημα τοῖς αὐτομόλοις ἀντικεκραγότες ἐπὶ τῶν ἱερῶν πυλῶν τούς τε ὀξυβελεῖς καὶ καταπέλτας καὶ λιθοβόλους μηχανὰς διέστησαν, ὡς τὸ κύκλῳ μὲν ἱερὸν ἀπὸ πλήθους νεκρῶν προσεοικέναι

Digitized by Google

πολυανδρίῳ, τὸν δὲ ναὸν αὐτὸν φρουρίῳ· τοῖς δ' ἁγίοις καὶ ἀβάτοις μετὰ τῶν ὅπλων εἰσεπήδων, θερμὰς ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων ἔχοντες φόνων· καὶ προύκοψαν εἰς τοσοῦτον παρανομίας ὥστε, ἢν ἂν εἰκὸς ἦν ἀγανάκτησιν γενέσθαι Ἰουδαίων εἰ Ῥωμαῖοι ταῦτα ἐξυβρίζοιεν εἰς αὐτούς, ταύτην εἶναι παρὰ Ῥωμαίων τότε πρὸς Ἰουδαίους ἀσεβοῦντας εἰς τὰ ἴδια. τῶν μέν γε στρατιωτῶν οὐκ ἔστιν ὅστις οὐ μετὰ φρίκης εἰς τὸν ναὸν ἀφεώρα καὶ προσεκύνει, τούς τε λῃστὰς ηὔχετο πρὶν ἀνηκέστου πάθους μετανοῆσαι. Καῖσαρ δ' ὑπερ- 4
παθήσας πάλιν ἐξανείδιζε τοὺς περὶ τὸν Ἰωάννην, λέγων "ἆρ' οὐχ ὑμεῖς, ὦ μιαρώτατοι, τὸν θρύφακτον τοῦτον προυβάλεσθε τῶν ἁγίων; οὐχ ὑμεῖς δὲ τὰς ἐν αὐτῷ στήλας διεστήσατε, γράμμασιν Ἑλληνικοῖς καὶ ἡμετέροις κεχαραγμένας, ἃ μηδένα τὸ γείσιον ὑπερβαίνειν παραγγέλλει; οὐχ ἡμεῖς δὲ τοὺς ὑπερβάντας ὑμῖν ἀναιρεῖν ἐπετρέψαμεν, κἂν Ῥωμαίων τις ᾖ; τί οὖν νῦν, ἀλιτήριοι, καὶ νεκροὺς ἐν αὐτῷ καταπατεῖτε; τί δὲ τὸν ναὸν αἵματι ξένῳ καὶ ἐγχωρίῳ φύρετε; μαρτύρομαι θεοὺς ἐγὼ πατρίους, καὶ εἴ τις ἐφεώρα ποτὲ τόνδε τὸν χῶρον (νῦν μὲν γὰρ οὐκ οἶομαι), μαρτύρομαι δὲ καὶ στρατιὰν ἐμὴν καὶ τοὺς παρ' ἐμοὶ Ἰουδαίους καὶ ὑμᾶς αὐτούς, ὡς οὐκ ἐγὼ ταῦθ' ὑμᾶς ἀναγκάζω μιαίνειν, κἂν ἀλλάξητε τῆς παρατάξεως τὸν τόπον, οὔτε προσελεύσεταί τις Ῥωμαίων τοῖς ἁγίοις οὔτε ἐνυβρίσει. τηρήσω δὲ τὸν ναὸν ὑμῖν καὶ μὴ θέλουσι."

ταῦτα τοῦ Ἰωσήπου διαγγέλλοντος ἐκ τυῦ Καίσα- 5
ρος, οἱ λῃσταὶ καὶ ὁ τύραννος οὐκ ἀπ' εὐνοίας ἀλλὰ κατὰ δειλίαν γίνεσθαι τὰς παρακλήσεις δοκοῦντες ὑπερηφάνουν. Τίτος δὲ ὡς οὔτε οἰκτον ἑαυτῶν τοὺς ἄνδρας οὔτε φειδὼ τινα τοῦ ναοῦ ποιουμένους ἑώρα, πάλιν πρὸς πόλεμον ἄκων ἐχώρει. πᾶσαν μὲν οὖν τὴν δύνα-

Digitized by Google

μιν ἐπάγειν αὐτοῖς οὐχ οἷόν τε ἦν, μὴ χωρουμένην τῷ τόπῳ, τριάκοντα δ' ἐπιλέξας ἀφ' ἑκάστης ἑκατονταρχίας τοὺς ἀρίστους, καὶ τοῖς χιλιάρχοις ἀνὰ χιλίους παραδούς, τούτων δ' ἐπιτάξας ἡγεμόνα Κερεάλιον, ἐπιθέσθαι προσέταξε ταῖς φυλακαῖς περὶ ὥραν τῆς νυκτὸς ἑνάτην. ὄντα δὲ καὶ αὐτὸν ἐν τοῖς ὅπλοις καὶ συγκαταβαίνειν παρεσκευασμένον οἵ τε φίλοι διὰ τὸ μέγεθος τοῦ κινδύνου κατέσχον, καὶ τὰ παρὰ τῶν ἡγεμόνων λεγόμενα· πλέον γὰρ αὐτὸν ἀνύσειν ἔφασαν ἐπὶ τῆς Ἀντωνίας καθεζόμενον καὶ τὴν μάχην ἀγωνοθετοῦντα τοῖς στρατιώταις ἢ εἰ καταβὰς προκινδυνεύοι· πάντας γὰρ ὁρῶντος Καίσαρος ἀγαθοὺς πολεμιστὰς ἔσεσθαι. τούτοις πεισθεὶς ὁ Καῖσαρ, καὶ δι' ἓν τοῦτο τοῖς στρατιώταις ὑπομένειν εἰπών, ἵνα κρίνῃ τὰς ἀρετὰς αὐτῶν καὶ μήτε τῶν ἀγαθῶν τις ἀγέραστος μήτε τῶν ἐναντίων ἀτιμώρητος διαλάθῃ, γένηται δ' αὐτόπτης καὶ μάρτυς ἁπάντων ὁ καὶ τοῦ κολάζειν καὶ τοῦ τιμᾶν κύριος, τοὺς μὲν ἐπὶ τὴν πρᾶξιν ἔπεμπε καθ' ἣν ὥραν καὶ προείρηται, προελθὼν δ' αὐτὸς εἰς τὸ κάτοπτον ἀπὸ τῆς Ἀντωνίας ἐκαραδόκει τὸ μέλλον.

6 οὐ μὴν οἵ γε πεμφθέντες τοὺς φύλακας εὗρον κοιμωμένους ὡς ἤλπισαν, ἀλλ' ἀναπηδήσασι μετὰ κραυγῆς εὐθέως συνεπλέκοντο. πρὸς δὲ τὴν τῶν ἐκκοιτούντων βοὴν ἔνδοθεν οἱ λοιποὶ κατὰ στῖφος ἐξέθεον. τῶν μὲν δὴ πρώτων τὰς ὁρμὰς ἐξεδέχοντο Ῥωμαῖοι, περιέπιπτον δ' οἱ μετ' ἐκείνους τῷ σφετέρῳ τάγματι, καὶ πολλοὶ τοῖς οἰκείοις ὡς πόλεμίοις ἐχρῶντο. τὴν μὲν γὰρ διὰ βυῆς ἐπίγνωσιν ἡ κραυγὴ συγχυθεῖσα παρ' ἀμφοῖν, τὴν δὲ δι' ὀμμάτων ἡ νὺξ ἕκαστον ἀφείλετο, καὶ τυφλώττειν ἄλλως οὖς μὲν οἱ θυμοὶ παρεσκεύαζον οὖς δὲ οἱ φόβοι. διὰ τοῦτο τὸν προστυχόντα πλήττειν ἦν ἄκριτον. Ῥωμαίους μὲν οὖν συνησπικότας καὶ κατὰ συντά-

Digitized by Google

ξεις προπηδῶντας ἧττον ἔβλαπτεν ἄγνοια· καὶ γὰρ ἦν παρ' ἑκάστῳ μνήμη τοῦ συνθήματος· Ἰουδαῖοι δ' ἀεὶ σκεδαννύμενοι, καὶ τάς τε προσβολὰς καὶ τὰς ὑποχωρήσεις ἀνέδην ποιούμενοι, πολλάκις φαντασίαν παρεῖχον ἀλλήλοις πολεμίων· τὸν ὑποστρέφοντα γὰρ ἕκαστος οἰκεῖον διὰ σκότους ὡς ἐπιόντα Ῥωμαῖον ἐξεδέχετο. πλείους γοῦν ὑπὸ τῶν ἰδίων ἢ τῶν πολεμίων ἐτρώθησαν, ἕως ἡμέρας γενομένης ὄψει τὸ λοιπὸν ἡ μάχη διεκρίνετο, καὶ κατὰ φάλαγγα διαστάντες τοῖς τε βέλεσιν εὐτάκτοις ἐχρῶντο καὶ ταῖς ἀμύναις. οὐδέτεροι δὲ οὔτ' εἶκον οὔτ' ἐκοπίων, ἀλλ' οἱ μέν, ὡς ἐφορῶντος Καίσαρος, κατ' ἄνδρα καὶ κατὰ συντάξεις ἤριζον ἀλλήλοις, καὶ προκοπῆς ἕκαστος ἐκείνην αὐτῷ τὴν ἡμέραν ἄρξειν ὑπελάμβανεν, εἰ γενναίως ἀγωνίσαιτο· Ἰουδαίοις δ' ἐβράβευε τὰς τόλμας ὅ τε περὶ σφῶν αὐτῶν καὶ τοῦ ἱεροῦ φόβος καὶ ὁ τύραννος ἐφεστὼς καὶ τοὺς μὲν παρακαλῶν τοὺς δὲ μαστιγῶν καὶ διεγείρων ἀπειλαῖς. συνέβαινε δὲ τὸ μὲν πλεῖστον σταδιαίαν εἶναι τὴν μάχην, ἐν ὀλίγῳ δὲ καὶ ταχέως ἀντιστρέφεσθαι τὰς ῥοπάς· οὐδέτεροι γὰρ οὔτε φυγῆς οὔτε διώξεως μῆκος εἶχον. ἀεὶ δὲ πρὸς τὸ συμβαῖνον οἰκεῖος ἀπὸ τῆς Ἀντωνίας ὁ θόρυβος ἦν, θαρρεῖν δὲ καὶ κρατοῦσι τοῖς σφετέροις ἐπεβόων καὶ μένειν τρεπομένοις. ἦν δ' ὥσπερ τι πολέμου θέατρον· οὐδὲν γὰρ οὔτε Τίτον οὔτε τοὺς περὶ αὐτὸν ἐλάνθανε τῶν κατὰ τὴν μάχην. τὸ δὲ πέρας, ἀρξάμενοι τῆς νυκτὸς ἑνάτης ὥρας, ὑπὲρ πέμπτην τῆς ἡμέρας διελύθησαν, ἀφ' οὗπερ ἤρξαντο τόπου τῆς συμβολῆς, μηδέτεροι βεβαίως κλίναντες τοὺς ἑτέρους, ἀλλὰ τὴν νίκην μέσην ἐν ἀγχωμάλῳ τῇ παρατάξει καταλιπόντες. καὶ Ῥωμαίων μὲν ἐπισήμως ἠγωνίσαντο πολλοί, Ἰουδαίων δ' ἐκ μὲν τῶν περὶ Σίμωνα Ἰούδας ὁ τοῦ Μέρτωνος καὶ Σίμων ὁ τοῦ Ἰωσίου, τῶν δὲ Ἰδουμαίων

Digitized by Google

Ἰάκωβος καὶ Σίμων, Καθλᾶ μὲν οὗτος παῖς, Σωσᾶ δὲ ὁ Ἰάκωβος, τῶν δὲ μετὰ Ἰωάννου Γυφθαῖος καὶ Ἀλεξᾶς, τῶν δὲ ζηλωτῶν Σίμων υἱὸς Ἀρί.

7 ἐν τούτῳ δ' ἡ λοιπὴ τῶν Ῥωμαίων δύναμις, ἡμέραις ἑπτὰ καταστρεψαμένη τοὺς τῆς Ἀντωνίας θεμελίους, μέχρι τοῦ ἱεροῦ πλατείαν ἄνοδον εὐτρεπίσαντο. πλησιάσαντα δὲ τῷ πρώτῳ περιβόλῳ τὰ τάγματα κατήρχετο χωμάτων, τὸ μὲν ἄντικρυς τῆς τοῦ εἴσω ἱεροῦ γωνίας ἥτις ἦν κατ' ἄρκτον καὶ δύσιν, τὸ δὲ κατὰ τὴν βόρειον ἐξέδραν ἣ μεταξὺ τῶν δύο πυλῶν ἦν, τῶν δὲ λοιπῶν δύο θάτερον μὲν κατὰ τὴν ἑσπέριον στοὰν τοῦ ἔξωθεν ἱεροῦ, τὸ δὲ ἕτερον ἔξω κατὰ τὴν βόρειον. προύκοπτε μέντοι μετὰ πολλοῦ καμάτου καὶ ταλαιπωρίας αὐτοῖς τὰ ἔργα, καὶ τὴν ὕλην ἀφ' ἑκατὸν σταδίων συγκομίζουσιν. ἐκακοῦντο δ' ἐσθ' ὅπῃ καὶ κατ' ἐπιβουλὰς αὐτοί, διὰ περιουσίαν τοῦ κρατεῖν ὄντες ἀδεέστεροι, καὶ δι' ἀπόγνωσιν ἤδη σωτηρίας χρώμενοι τολμηροτέροις τοῖς Ἰουδαίοις. τῶν γὰρ ἱππέων τινὲς ὁπότε προέλθοιεν ἐπὶ ξυλείαν ἢ χόρτου συλλογήν, τὸν τῆς κομιδῆς χρόνον ἀνίεσαν βόσκεσθαι τοὺς ἵππους ἀποχαλινοῦντες, οὓς Ἰουδαῖοι κατὰ στῖφος ἐκπηδῶντες ἥρπαζον. καὶ τούτου συνεχῶς γινομένου, νομίσας Καῖσαρ ὅπερ ἦν, ἀμελείᾳ τῶν σφετέρων πλέον ἢ τῇ Ἰουδαίων ἀνδρείᾳ γίνεσθαι τὰς ἁρπαγάς, ἔγνω σκυθρωπότερον τοὺς λοιποὺς πρὸς φυλακὴν τῶν ἵππων ἐπιστρέψαι, καὶ κελεύσας ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ τῶν ἀπολεσάντων στρατιωτῶν ἕνα, φόβῳ τοῖς ἄλλοις ἐτήρησε τοὺς ἵππους· οὐκέτι γὰρ εἶων νέμεσθαι, καθάπερ δὲ συμπεφυκότες αὐτοῖς ἐπὶ τὰς χρείας ἐξήεσαν.

οἳ μὲν οὖν προσεπολέμουν τῷ ἱερῷ καὶ τὰ χώματα
8 διήγειρον· μετὰ δὲ μίαν ἡμέραν αὐτῶν τῆς ἀνόδου πολλοὶ τῶν στασιαστῶν, οἷς ἁρπαγαί τε ἐπέλειπον ἤδη

Digitized by Google

καὶ ὁ λιμὸς ἤπειγε, συνελθόντες ταῖς κατὰ τὸ Ἐλαιῶν ὄρος Ῥωμαίων φυλακαῖς ἐπιτίθενται, περὶ ὥραν ἑνδεκάτην τῆς ἡμέρας, οἰόμενοι πρῶτον μὲν ἀδοκήτων, ἔπειτα πρὸς θεραπείας ἤδη τοῦ σώματος ὄντων ῥᾳδίως διεκπεσεῖν. προαισθόμενοι δὲ τὴν ἔφοδον αὐτῶν οἱ Ῥωμαῖοι, καὶ ταχέως ἐκ τῶν πλησίον φρουρίων συνδραμόντες, εἶργον ὑπερπηδᾶν καὶ διαμόπτειν τὸ περιτείχισμα βιαζομένους. γενομένης δὲ καρτερᾶς τῆς συμβολῆς ἄλλα τε πολλὰ παρ' ἑκατέρων γενναίως ἐπράχθη, Ῥωμαίων μὲν μετὰ τῆς ἰσχύος ἐμπειρίᾳ τοῦ πολεμεῖν χρωμένων, Ἰουδαίων δ' ἀφειδέσι ταῖς ὁρμαῖς καὶ τοῖς θυμοῖς ἀκατασχέτοις (ἐστρατήγει δὲ τῶν μὲν αἰδὼς τῶν δ' ἀνάγκη· τό τε γὰρ ἐξαφεῖναι Ἰουδαίους ὥσπερ ἄρκυσιν ἐνειλημμένους Ῥωμαίοις αἴσχιστον ἐδόκει, κἀκεῖνοι μίαν ἐλπίδα σωτηρίας εἶχον, εἰ βιασάμενοι φήξειαν τὸ τεῖχος), καὶ τῶν ἀπὸ σπείρας τις ἱππέων, Πεδάνιος τοὔνομα, τρεπομένων ἤδη τῶν Ἰουδαίων καὶ κατὰ τῆς φάραγγος συνωθουμένων ῥόθιον ἐκ πλαγίου παρελαύνων τὸν ἵππον, ἁρπάζει τινὰ φεύγοντα τῶν πολεμίων, νεανίαν στιβαρόν τε ἄλλως τὸ σῶμα καὶ καθωπλισμένον, δραξάμενος ἐκ τοῦ σφυροῦ. τοσοῦτον μὲν ἑαυτὸν ἐκ τρέχοντος ἐπέκλινε τοῦ ἵππου, τοσοῦτον δ' ἐπεδείξατο τῆς τε δεξιᾶς τὸν τόνον καὶ τοῦ λοιποῦ σώματος, ἔτι δ' ἐμπειρίας ἱππικῆς. ὃ μὲν οὖν ὥσπερ τι κειμήλιον ἁρπασάμενος ἦκε φέρων Καίσαρι τὸν αἰχμάλωτον· Τίτος δὲ τὸν μὲν λαβόντα τῆς δυνάμεως θαυμάσας, τὸν δὲ ληφθέντα τῆς περὶ τὸ τεῖχος ἐπιχειρήσεως κολάσαι κελεύσας, αὐτὸς ἐν ταῖς περὶ τὸ ἱερὸν διαμάχαις ἦν καὶ τὰ χώματα κατήπειγεν.

ἐν ᾧ Ἰουδαῖοι κακούμενοι ταῖς συμβολαῖς ἀεὶ κατ' ὀλίγον κορυφουμένου τοῦ πολέμου καὶ τῷ ναῷ προσέρποντος, καθάπερ σηπομένου σώματος, ἀπέκοπτον τὰ 9

Digitized by Google

προειλημμένα μέλη, φθάνοντες τὴν εἰς τὸ πρόσω νομήν. τῆς γὰρ βορείου καὶ κατὰ δύσιν στοᾶς τὸ συνεχὲς πρὸς τὴν Ἀντωνίαν ἐμπρήσαντες, ἔπειτα ἀπέρρηξαν ὅσον πήχεις εἴκοσι, ταῖς ἰδίαις χερσὶν ἀρξάμενοι καίειν τὰ ἅγια. μετὰ δ' ἡμέρας δύο, τετράδι καὶ εἰκάδι τοῦ προειρημένου μηνός, τὴν πλησίον στοὰν ὑποπιμπρᾶσι Ῥωμαῖοι, καὶ μέχρι πεντεκαίδεκα πηχῶν προκόψαντος τοῦ πυρὸς ἀποκόπτουσιν ὁμοίως Ἰουδαῖοι τὴν ὀροφήν, μήτε καθ' ἅπαν ἐξιστάμενοι τῶν ἔργων καὶ τὸ πρὸς τὴν Ἀντωνίαν συναφὲς αὐτῶν διαιροῦντες· καὶ παρὸν κωλύειν ὑποπιμπράντας, οἳ δὲ πρὸς τὴν ἐμβολὴν τοῦ πυρὸς ἠρεμήσαντες τὴν νομὴν ἐμέτρησαν αὐτῷ σφίσι χρησίμως. περὶ μὲν δὴ τὸ ἱερὸν οὐ διέλιπον αἱ συμβολαί, συνεχὴς δ' ἦν κατὰ μέρος ἐκθεόντων ἐπ' ἀλλήλους ὁ πόλεμος.

10 τῶν Ἰουδαίων δέ τις κατὰ ταύτας τὰς ἡμέρας ἀνὴρ τό τε σῶμα βραχὺς καὶ τὴν ὄψιν εὐκαταφρόνητος, γένους τε ἕνεκα καὶ τῶν ἄλλων ἄσημος (Ἰωνάθης ἐκαλεῖτο), προελθὼν κατὰ τὸ τοῦ ἀρχιερέως Ἰωάννου μνημεῖον ἄλλα τε πολλὰ πρὸς τοὺς Ῥωμαίους ὑπερηφάνως ἐφθέγγετο, καὶ τὸν ἄριστον αὐτῶν εἰς μονομαχίαν προυκαλεῖτο. τῶν δὲ ταύτῃ παρατεταγμένων οἱ πολλοὶ μὲν ὑπερηφάνουν, ἦσαν δ' οἳ κατὰ τὸ εἰκὸς ἐδεδοίκεσαν· ἤπτετό γε μὴν τινῶν καὶ λογισμὸς οὐκ ἀσύνετος, θανατῶντι μὴ συμπλέκεσθαι· τοὺς γὰρ ἀπεγνωκότας τὴν σωτηρίαν τά τ' ἄλλα καὶ τὰς ὁρμὰς ἀταμιεύτους ἔχειν καὶ τὸ θεῖον ἀδυσώπητον, τό τε παραβάλλεσθαι πρὸς οὓς καὶ τὸ νικᾶν οὐ μέγα καὶ μετ' αἰσχύνης τὸ λειφθῆναι σφαλερόν, οὐκ ἀνδρείας ἀλλὰ θρασύτητος εἶναι. μηδενὸς δ' ἐπὶ πολὺ προϊόντος, καὶ τοῦ Ἰουδαίου πολλὰ κατακερτομοῦντος αὐτοὺς εἰς δειλίαν (ἀλαζὼν γάρ τις ἦν αὐτὸς σφόδρα καὶ ὑπερήφανος), τῶν Ῥωμαίων τις

Digitized by Google

Πούδης ὄνομα, τῶν ἐξ ἴλης ἱππέων, βδελυξάμενος αὐτοῦ τά τε ῥήματα καὶ τὸ αὔθαδες (εἰκὸς δὲ καὶ πρὸς τὴν βραχύτητα τοῦ σώματος αὐτὸν ἀπερισκέπτως ἐπαρθῆναι) προπηδᾷ. καὶ τὰ μὲν ἄλλα περιῆν συμβαλών, προεδόθη δ' ὑπὸ τῆς τύχης· πεσόντα γὰρ αὐτὸν ὁ Ἰωνάθης ἀποσφάττει προσδραμών. ἔπειτα ἐπιβὰς τῷ νεκρῷ τό τε ξίφος ἡμαγμένον ἀνέσειε καὶ τῇ λαιᾷ τὸν θυρεόν, ἐπηλάλαξέ τε τῇ στρατιᾷ πολλά, καὶ πρὸς τὸν πεσόντα κομπάζων καὶ τοὺς ὁρῶντας Ῥωμαίους ἐπισκώπτων, ἕως αὐτὸν ἀνασκιρτῶντα καὶ ματαΐζοντα Πρίσκος τις ἑκατοντάρχης τοξεύσας διήλασε βέλει. πρὸς ὃ τῶν τε Ἰουδαίων καὶ τῶν Ῥωμαίων κραυγὴ συνεξήρθη διάφορος. ὃ δὲ δινηθεὶς ἐκ τῶν ἀλγηδόνων ἐπὶ τὸ σῶμα τοῦ πολεμίου κατέπεσεν, ὠκυτάτην ἀποφήνας ἐν πολέμῳ τὴν ἐπὶ τοῖς ἀλόγως εὐτυχοῦσι νέμεσιν.

οἱ δ' ἀνὰ τὸ ἱερὸν στασιασταὶ φανερῶς τ' οὐκ ἀνίεσαν τοὺς ἐπὶ τῶν χωμάτων στρατιώτας ἀμυνόμενοι καθ' ἑκάστην ἡμέραν, καὶ τοῦ προειρημένου μηνὸς ἑβδόμῃ καὶ εἰκάδι δόλον ἐνσκευάζονται. τῆς ἑσπερίου στοᾶς τὸ μεταξὺ τῶν δοκῶν καὶ τῆς ὑπ' αὐταῖς ὀροφῆς ὕλης ἀναπιμπλᾶσιν αὖης, πρὸς δὲ ἀσφάλτου τε καὶ πίσσης, ἔπειτα ὡς καταπονούμενοι δῆθεν ὑπεχώρουν. πρὸς ὃ τῶν μὲν ἀσκέπτων πολλοὶ ταῖς ὁρμαῖς φερόμενοι προσέκειντο τοῖς ὑποχωροῦσιν, ἐπί τε τὴν στοὰν ἐπήδων προσθέμενοι κλίμακας· οἱ δὲ συνετώτεροι, τὴν ἄλογον τροπὴν τῶν Ἰουδαίων ὑπονοήσαντες, ἔμενον. κατεπλήσθη μέντοι τῶν ἀναπηδησάντων ἡ στοά, κἀν τούτῳ οἱ Ἰουδαῖοι πᾶσαν ὑποπιμπρᾶσιν αὐτήν. αἰρομένης δ' αἰφνιδίως πάντοθεν τῆς φλογός, τούς τε ἔξω τοῦ κινδύνου Ῥωμαίους ἔκπληξις ἐπέσχε δεινὴ καὶ τοὺς περισχεθέντας ἀμηχανία. κυκλούμενοι δ' ὑπὸ τῆς φλογὸς οἱ μὲν εἰς τὴν πόλιν ὀπίσω κατεκρήμνιζον ἑαυτούς,

3

Digitized by Google

οἳ δ' εἰς τοὺς πολεμίους· πολλοὶ δ' ἐλπίδι σωτηρίας εἰς τοὺς σφετέρους καταπηδῶντες ἐκλῶντο τὰ μέλη, πλείστων δ' ἔφθανε τὰς ὁρμὰς τὸ πῦρ, καί τινες τὴν φλόγα σιδήρῳ. περιεῖχε δ' εὐθέως καὶ τοὺς ἄλλως φθειρομένους τὸ πῦρ ἐπὶ πλεῖστον ἐκφερόμενον. Καίσαρα δέ, καίπερ χαλεπαίνοντα τοῖς ἀπολλυμένοις ἐπειδὴ δίχα παραγγέλματος ἀναβεβήκεσαν, ὅμως οἶκτος εἰσῆλθε τῶν ἀνδρῶν. καὶ μηδενὸς προσαμύνειν δυναμένου, τοῦτο γοῦν παραμύθιον ἦν τοῖς φθειρομένοις, τὰ βλέπειν ὑπὲρ οὗ τις ἠφίει τὴν ψυχὴν ὀδυνώμενον· βοῶν τε γὰρ αὐτοῖς καὶ προπηδῶν καὶ τοῖς περὶ αὐτὸν ἐκ τῶν ἐνόντων ἐπαμύνειν παρακαλῶν δῆλος ἦν. τὰς δὲ φωνὰς ἕκαστος καὶ τὴν διάθεσιν ὥσπερ τι λαμπρὸν ἀποφέρων ἐντάφιον, εὔθυμος ἀπέθνησκεν. ἔνιοί γε μὴν ἐπὶ τὸν τοῖχον τῆς στοᾶς ὄντα πλατὺν ἀναχωρήσαντες ἐκ μὲν τοῦ πυρὸς διεσώθησαν, ὑπὸ δὲ τῶν Ἰουδαίων περισχεθέντες ἐπὶ πολὺ μὲν ἀντέσχον διατιτρωσκόμενοι, τέλος δὲ πάντες ἔπεσον, καὶ τελευταῖος αὐτῶν τις νεανίας, ὀνόματι Λόγγος, ὅλον ἐπικοσμήσας τὸ πάθος, καὶ κατ' ἄνδρα μνήμης ἀξίων ὄντων πάντων τῶν ἀπολωλότων ἄριστος φανείς, ὃν οἱ μὲν Ἰουδαῖοι τῆς τε ἀλκῆς ἀγάμενοι, καὶ ἄλλως ἀνελεῖν ἀσθενοῦντες, καταβῆναι πρὸς αὐτοὺς ἐπὶ δεξιᾷ παρεπάλουν, ὁ δὲ ἀδελφὸς Κορνήλιος ἐκ θατέρου μὴ καταισχῦναι τὸ σφέτερον κλέος καὶ τὴν Ῥωμαίων στρατιάν. τούτῳ πεισθεὶς καὶ διαράμενος φανερὸν ἑκατέροις τοῖς τάγμασι τὸ ξίφος ἑαυτὸν ἀναιρεῖ. τῶν δὲ τῷ πυρὶ περισχεθέντων Σερτώριός τις πανουργίᾳ διασώζεται. προσκαλεσάμενος γάρ τινα τῶν συστρατιωτῶν Λούκιον, ᾧ συνεσκήνει, μεγάλῃ τῇ φωνῇ, "κληρονόμον" ἔφη "καταλείπω σε τῶν ἐμαυτοῦ κτημάτων, εἰ προσελθών με δέξαιο." τοῦ δὲ ἑτοίμως προσδραμόντος, ὃ μὲν ἐπ' αὐτὸν κατενεχθεὶς

Digitized by Google

ἔζησεν, ὁ δὲ δεξάμενος ὑπὸ τοῦ βάρους τῷ λιθοστρώτῳ προσαραχθεὶς παραχρῆμα θνήσκει.

τοῦτο τὸ πάθος πρὸς καιρὸν μὲν Ῥωμαίοις ἐνεποίησεν ἀθυμίαν, πρὸς δὲ τὸ μέλλον ὅμως κατεσκεύασε φυλακτικωτέρους, καὶ πρὸς τὰς τῶν Ἰουδαίων ἐνέδρας ὠφέλησεν, ἐν αἷς τὰ πολλὰ δι' ἄγνοιαν τῶν τόπων καὶ τὸ ἦθος τῶν ἀνδρῶν ἐβλάπτοντο. κατεκάη δὲ ἡ στοὰ μέχρι τοῦ Ἰωάννου πύργου, ὃν ἐκεῖνος ἐν τῷ πρὸς Σίμωνα πολέμῳ κατεσκεύασεν ὑπὲρ τὰς ἐξαγούσας ὑπὲρ τὸν ξυστὸν πύλας· τὸ δὲ λοιπὸν ἐπὶ διεφθαρμένοις ἤδη Ἰουδαίοι τοῖς ἀναβᾶσιν ἀπέκοψαν. τῇ δ' ὑστεραίᾳ καὶ Ῥωμαῖοι τὴν βόρειον στοὰν ἐνέπρησαν μέχρι τῆς ἀνατολικῆς ὅλην, ὧν ἡ συνάπτουσα γωνία τῆς Κεδρῶνος καλουμένης φάραγγος ὑπερβεδόμητο, παρ' ὃ καὶ φοβερὸν ἦν τὸ βάθος.

καὶ τὰ μὲν περὶ τὸ ἱερὸν ἐν τούτοις ἦν, τῶν δ' ὑπὸ 3
τοῦ λιμοῦ φθειρομένων κατὰ τὴν πόλιν ἄπειρον μὲν ἔπιπτε τὸ πλῆθος, ἀδιήγητα δὲ συνέβαινε τὰ πάθη. καθ' ἑκάστην γὰρ οἰκίαν, εἴ που τροφῆς παραφανείη σκιά, πόλεμος ἦν, καὶ διὰ χειρῶν ἐχώρουν οἱ φίλτατοι πρὸς ἀλλήλους, ἐξαρπάζοντες τὰ ταλαίπωρα τῆς ψυχῆς ἐφόδια. πίστις δ' ἀπορίας οὐδὲ τοῖς θνήσκουσιν ἦν, ἀλλὰ καὶ τοὺς ἐκπνέοντας οἱ λῃσταὶ διηρεύνων, μή τις ὑπὸ κόλπον ἔχων τροφὴν σκήπτοιτο τὸν θάνατον αὐτῷ. οἱ δ' ὑπ' ἐνδείας κεχηνότες ὥσπερ λυσσῶντες κύνες ἐσφάλλοντο, καὶ παρεφέροντο ταῖς τε θύραις ἐνσειόμενοι μεθυόντων τρόπον, καὶ ὑπ' ἀμηχανίας εἰς τοὺς αὐτοὺς οἴκους εἰσπηδῶντες δὶς ἢ τρὶς ὥρᾳ μιᾷ. πάντα δ' ὑπ' ὀδόντας ἦγεν ἡ ἀνάγκη, καὶ τὰ μηδὲ τοῖς ῥυπαρωτάτοις τῶν ἀλόγων ζῴων πρόσφορα συλλέγοντες ἐσθίειν ὑπέφερον. ζωστήρων γοῦν καὶ ὑποδημάτων τὸ τελευταῖον οὐκ ἀπέσχοντο, καὶ τὰ δέρματα τῶν θυρεῶν

Digitized by Google

ἀποδέροντες ἐμασῶντο. τροφὴ δ' ἦν καὶ χόρτου τισὶ παλαιοῦ σπαράγματα· τὰς γὰρ ἴνας ἔνιοι συλλέγοντες ἐλάχιστον σταθμὸν ἐπώλουν Ἀττικῶν τεσσάρων. καὶ τί δεῖ τὴν ἐπ' ἀψύχοις ἀναίδειαν τοῦ λιμοῦ λέγειν; εἶμι γὰρ αὐτοῦ δηλώσων ἔργον οἷον μήτε παρ' Ἕλλησι μήτε παρὰ βαρβάροις ἱστόρηται, φρικτὸν μὲν εἰπεῖν ἄπιστον δ' ἀκοῦσαι. καὶ ἐγὼ δέ, μὴ δόξαιμι τερατεύεσθαι τοῖς αὖθις ἀνθρώποις, κἂν παρέλιπον τὴν συμφορὰν ἡδέως, εἰ μὴ τῶν κατ' ἐμαυτὸν εἶχον ἀπείρους μάρτυρας. ἄλλως τε καὶ ψυχρὰν ἂν κατεθέμην τῇ πατρίδι χάριν, καθυφέμενος τὸν λόγον οὗ πέπονθε τὰ ἔργα.

4 γυνή τις τῶν ὑπὲρ τὸν Ἰορδάνην κατοικούντων, Μαρία τοὔνομα, πατρὸς Ἐλεαζάρου, κώμης Βηθεζώβ (σημαίνει δὲ τοῦτο οἶκος ὑσσώπου), διὰ γένος καὶ πλοῦτον ἐπίσημος, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὰ Ἱεροσόλυμα καταφυγοῦσα συνεπολιορκεῖτο. ταύτης τὴν μὲν ἄλλην κτῆσιν οἱ τύραννοι διήρπασαν, ὅσην ἐκ τῆς Περαίας ἀνασκευασαμένη μετήνεγκεν εἰς τὴν πόλιν, τὰ δὲ λείψανα τῶν κειμηλίων, κἂν εἴ τι τροφῆς ἐπινοηθείη, καθ' ἡμέραν εἰσπηδῶντες ἥρπαζον οἱ δορυφόροι. δεινὴ δὴ τὸ γύναιον ἀγανάκτησις εἰσῄει, καὶ πολλάκις λοιδοροῦσα καὶ καταρωμένη τοὺς ἅρπαγας ἐφ' ἑαυτὴν ἠρέθιζεν. ὡς δ' οὔτε παροξυνόμενός τις οὔτ' ἐλεῶν αὐτὴν ἀνῄρει, καὶ τὸ μὲν εὑρεῖν τι σιτίον ἄλλοις ἐκοπία, πανταχόθεν δ' ἄπορον ἦν ἤδη καὶ τὸ εὑρεῖν, ὁ λιμὸς δὲ διὰ σπλάγχνων καὶ μυελῶν ἐχώρει, καὶ τοῦ λιμοῦ μᾶλλον ἐξέκαιον οἱ θυμοί, σύμβουλον λαβοῦσα τὴν ὀργὴν μετὰ τῆς ἀνάγκης ἐπὶ τὴν φύσιν ἐχώρει, καὶ τὸ τέκνον (ἦν δ' αὐτῇ παῖς ὑπομάστιος) ἁρπασαμένη "βρέφος" εἶπεν "ἄθλιον, ἐν πολέμῳ καὶ λιμῷ καὶ στάσει τίνι σε τηρήσω; τὰ μὲν παρὰ Ῥωμαίοις δουλεία, κἂν ζήσωμεν ἐπ' αὐτούς· φθάνει δὲ καὶ τὴν δουλείαν ὁ λιμός, οἱ στασια-

Digitized by Google

σταὶ δ' ἀμφοτέρων χαλεπώτεροι. ἴθι γενοῦ μοι τροφή, καὶ τοῖς στασιασταῖς ἐρινὺς καὶ τῷ βίῳ μῦθος ὁ μόνος ἐλλείπων ταῖς Ἰουδαίων συμφοραῖς." καὶ ταῦθ' ἅμα λέγουσα κτείνει τὸν υἱόν, ἔπειτ' ὀπτήσασα τὸ μὲν ἥμισυ κατεσθίει, τὸ δὲ λοιπὸν κατακαλύψασα ἐφύλαττεν. εὐθέως δ' οἱ στασιασταὶ παρῆσαν, καὶ τῆς ἀθεμίτου κνίσης σπάσαντες ἠπείλουν, εἰ μὴ δείξειε τὸ παρασκευασθέν, ἀποσφάξειν αὐτὴν εὐθέως. ἡ δὲ καὶ μοῖραν αὐτοῖς εἰποῦσα καλὴν τετηρηκέναι, τὰ λείψανα τοῦ τέκνου διεκάλυψε. τοὺς δὲ εὐθέως φρίκη καὶ φρενῶν ἔκστασις ἥρει, καὶ παρὰ τὴν ὄψιν ἐπεπήγεσαν. ἡ δέ "ἐμόν" ἔφη "τοῦτο τὸ τέκνον γνήσιον, καὶ τὸ ἔργον ἐμόν. φάγετε· καὶ γὰρ ἐγὼ βέβρωκα. μὴ γένησθε μήτε μαλακώτεροι γυναικὸς μήτε συμπαθέστεροι μητρός. εἰ δ' ὑμεῖς εὐσεβεῖς καὶ τὴν ἐμὴν ἀποστρέφεσθε θυσίαν, ἐγὼ μὲν ἥμισυ βέβρωκα, καὶ τὸ λοιπὸν δ' ἐμοὶ μεινάτω." μετὰ ταῦτα οἱ μὲν τρέμοντες ἐξῆεσαν, πρὸς ἓν τοῦτο δειλοί, καὶ μόλις ταύτης τῆς τροφῆς τῇ μητρὶ παραχωρήσαντες· ἀνεπλήσθη δ' εὐθέως ὅλη τοῦ μύσους ἡ πόλις, καὶ πρὸ ὀμμάτων ἕκαστος τὸ πάθος λαμβάνων ὡς παρ' αὐτῷ καινοτομηθὲν ἔφριττεν. σπουδὴ δὲ τῶν λιμωττόντων ἐπὶ τὸν θάνατον ἦν, καὶ μακαρισμὸς τῶν φθασάντων πρὶν ἀκοῦσαι καὶ θεάσασθαι κακὰ τηλικαῦτα.

ταχέως δὲ καὶ Ῥωμαίοις διηγγέλθη τὸ πάθος. τῶν δὲ οἱ μὲν ἠπίστουν οἱ δὲ ᾤκτειραν, τοὺς δὲ πολλοὺς εἰς μῖσος τοῦ ἔθνους σφοδρότερον συνέβη προελθεῖν. Καῖσαρ δ' ἀπελογεῖτο καὶ περὶ τούτου τῷ θεῷ, φάσκων παρὰ μὲν αὐτοῦ Ἰουδαίοις εἰρήνην καὶ αὐτονομίαν προτείνεσθαι καὶ πάντων ἀμνηστίαν τῶν τετολμημένων, τοὺς δὲ ἀντὶ μὲν ὁμονοίας στάσιν ἀντὶ δὲ εἰρήνης πόλεμον, πρὸ κόρου δὲ καὶ εὐθηνίας λιμὸν αἱρουμένους, ἰδίαις δὲ χερσὶν ἀρξαμένους καίειν τὸ συντηρούμενον ὑφ'

Digitized by Google

ἡμῶν ἱερόν, αὐτοὺς εἶναι καὶ τοιαύτης τροφῆς ἀξίους. καλύψειν μέντοι τὸ τῆς τεκνοφαγίας μύσος αὐτῷ τῷ τῆς πατρίδος πτώματι, καὶ οὐ καταλείψειν ἐπὶ τῆς οἰκουμένης ἡλίῳ καθορᾶν πόλιν ἐν ᾗ μητέρες οὕτω τρέφονται. προσήκειν μέντοι πρὸ μητέρων πατράσι τὴν τοιαύτην τροφήν, οἳ καὶ μετὰ τηλικαῦτα πάθη μένουσιν ἐν τοῖς ὅπλοις. ταῦθ' ἅμα διεξιὼν ἐνενόει καὶ τὴν ἀπόγνωσιν τῶν ἀνδρῶν· οὐ γὰρ ἂν ἔτι σωφρονῆσαι τοὺς πάντα προπεπονθότας ἐφ' οἷς εἰκὸς ἦν μεταβαλέσθαι μὴ παθοῦσιν.

4 ἤδη δὲ τῶν δύο ταγμάτων συντετελεκότων τὰ χώματα Λώου μηνὸς ὀγδόῃ, προσάγειν ἐκέλευσε τοὺς κριοὺς κατὰ τὴν ἑσπέριον ἐξέδραν τοῦ ἔσωθεν ἱεροῦ. πρὸ δὲ τούτων ἓξ ἡμέραις ἀδιαλείπτως ἡ στερροτάτη πασῶν ἐλέπολις τύπτουσα τὸν τοῖχον οὐδὲν ἤνυσεν, ἀλλὰ καὶ ταύτης καὶ τῶν ἄλλων τὸ μέγεθος καὶ ἡ ἁρμονία τῶν λίθων ἦν ἀμείνων. τῆς δὲ βορείου πύλης ὑπώρυττον ἕτεροι τοὺς θεμελίους, καὶ πολλὰ ταλαιπωρήσαντες τοὺς ἔμπροσθεν λίθους ἐξεκύλισαν. ἀνείχετο δ' ὑπὸ τῶν ἐνδοτέρω καὶ διέμενεν ἡ πύλη, μέχρι τὰς διὰ τῶν ὀργάνων καὶ τῶν μοχλῶν ἐπιχειρήσεις ἀπογνόντες κλίμακας ταῖς στοαῖς προσέφερον. οἱ δὲ Ἰουδαῖοι κωλῦσαι μὲν οὐκ ἔφθασαν, ἀναβᾶσι δὲ συμπεσόντες ἐμάχοντο, καὶ τοὺς μὲν ἀνωθοῦντες εἰς τοὐπίσω κατεκρήμνιζον, τοὺς δ' ὑπαντιάζοντες ἀνῄρουν. πολλοὺς δὲ τῶν κλιμάκων ἀποβαίνοντας, πρὶν φράξασθαι τοῖς θυρεοῖς, παίοντες ταῖς ῥομφαίαις ἔφθανον· ἐνίας δὲ γεμούσας ὁπλιτῶν κλίμακας παρακλίναντες ἄνωθεν κατέσειον. ἦν δ' οὐκ ὀλίγος καὶ αὐτῶν φόνος. οἱ δ' ἀνενέγκαντες τὰς σημαίας περὶ αὐτῶν ἐπολέμουν, δεινὴν ἡγούμενοι καὶ πρὸς αἰσχύνης τούτων τὴν ἁρπαγήν. τέλος δὲ καὶ τῶν σημαιῶν οἱ Ἰουδαῖοι κρατοῦσι καὶ τοὺς ἀναβάντας·

Digitized by Google

διαφθείρουσιν· οἱ δὲ λοιποὶ πρὸς τὸ τῶν ἀπολωλότων πάθος ὀρρωδοῦντες ἀνεχώρουν. τῶν μὲν οὖν Ῥωμαίων ἄπρακτος οὐδεὶς ἀπέθανε, τῶν δὲ στασιαστῶν οἳ κατὰ τὰς προτέρας μάχας ἠγωνίσαντο γενναίως καὶ τότε, καὶ Ἐλεάζαρος ὁ ἀδελφιδοῦς τοῦ τυράννου Σίμωνος. ὁ δὲ Καῖσαρ ὡς ἑώρα τὴν ἐπὶ τοῖς ἀλλοτρίοις ἱεροῖς φειδὼ πρὸς βλάβης τοῖς στρατιώταις γινομένην καὶ φόνου, τὰς πύλας προσέταξεν ὑφάπτειν.

ἐν δὲ τούτῳ πρὸς αὐτὸν αὐτομολοῦσιν Ἄνανός τε ὁ ἀπ' Ἀμμαοῦς, τῶν Σίμωνος δορυφόρων ὁ φονικώτατος, καὶ Ἀρχέλαος υἱὸς Μαγαδάτου, συγγνώμην ἐλπίσαντες ἐπειδὴ κρατούντων Ἰουδαίων ἀπεχώρουν. Τίτος δὲ καὶ τοῦτο πανούργημα προυβάλλετο τῶν ἀνδρῶν, καὶ τὴν ἄλλην περὶ τοὺς Ἰουδαίους ὠμότητα πεπυσμένος ὥρμητο κτείνειν ἑκατέρους, ὑπ' ἀνάγκης ἥχθαι λέγων αὐτούς, οὐκ ἐκ προαιρέσεως παρεῖναι, καὶ σωτηρίας οὐκ ἀξίους εἶναι τοὺς φλεγομένης ἤδη δι' αὐτοὺς τῆς πατρίδος ἐξαλλομένους. ἐκράτει δ' ὅμως τοῦ θυμοῦ ἡ πίστις, καὶ ἀφίησι τοὺς ἄνδρας, οὐ μὴν ἐν ἴσῃ μοίρᾳ κατέστασσε τοῖς ἄλλοις.

ἤδη δὲ ταῖς πύλαις οἱ στρατιῶται προσῆγον τὸ πῦρ, καὶ περιτηκόμενος ὁ ἄργυρος διεδίδου ταχέως εἰς τὴν ξυλείαν τὰς φλόγας, ἔνθεν ἀθρόως ἐκφερόμεναι τῶν στοῶν ἐπελαμβάνοντο. τοῖς δ' Ἰουδαίοις ὁρῶσι τὸ πῦρ ἐν κύκλῳ μετὰ τῶν σωμάτων παρεῖθησαν αἱ ψυχαί, καὶ διὰ τὴν κατάπληξιν ἀμύνειν μὲν ἢ σβεννύειν ὥρμησεν οὐδείς, αὖοι δ' ἑστῶτες ἀφεώρων. οὐ μὴν πρὸς τὸ δαπανώμενον ἀθυμοῦντες εἰς γοῦν τὸ λοιπὸν ἐσωφρόνουν, ἀλλ' ὡς ἤδη καὶ τοῦ ναοῦ καιομένου τοὺς θυμοὺς ἐπὶ Ῥωμαίους ἔθηγον.

ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα τὸ πῦρ ἐπεκράτει· κατὰ μέρος γάρ, οὐχ ὁμοῦ πάν-

Digitized by Google

3 τοθεν ἰσχυσαν ὑφάψαι τὰς στοάς· τῇ δ' ἐπιούσῃ Τίτος μέρει τῆς δυνάμεως σβεννύειν τε καὶ παρὰ τὰς πύλας ὁδοποιεῖν εἰς εὐμαρεστέραν, τῶν ταγμάτων ἄνοδον κελεύσας αὐτὸς συνῆγε τοὺς ἡγεμόνας. καὶ συνελθόντων ἐξ τῶν κορυφαιοτάτων, Τιβερίου τε Ἀλεξάνδρου τοῦ πάντων τῶν στρατευμάτων ἐπάρχοντος, καὶ Σέξτου Κερεαλίου τὸ πέμπτον ἄγοντος τάγμα, καὶ Λαρκίου Λεπίδου τὸ δέκατον, καὶ Τίτου Φρυγίου τὸ πεντεκαιδέκατον, πρὸς οἷς Φρόντων ἦν Λιτέρνιος, στρατοπεδάρχης τῶν ἀπ' Ἀλεξανδρείας δύο ταγμάτων, καὶ Μάρκος Ἀντώνιος Ἰουλιανὸς ὁ τῆς Ἰουδαίας ἐπίτροπος, καὶ μετὰ τούτους ἐπιτρόπων καὶ χιλιαρχῶν ἀθροισθέντων, βουλὴν περὶ τοῦ ναοῦ προυτίθει. τοῖς μὲν οὖν ἐδόκει χρῆσθαι τῷ τοῦ πολέμου νόμῳ· μὴ γὰρ ἂν ποτε Ἰουδαίους παύσασθαι νεωτερίζοντας τοῦ ναοῦ μένοντος, ἐφ' ὃν οἱ πανταχόθεν συλλέγονται. τινὲς δὲ παρήνουν, εἰ μὲν καταλίποιεν αὐτὸν οἱ Ἰουδαῖοι καὶ μηδεὶς ἐπ' αὐτοῦ τὰ ὅπλα θείη, σώζειν, εἰ δὲ πολεμοῖεν ἐπιβάντες, καταφλέγειν· φρούριον γάρ, οὐκέτι ναὸν εἶναι, καὶ τὸ λοιπὸν ἔσεσθαι τῶν ἀναγκασάντων τὴν ἀσέβειαν, οὐκ αὐτῶν. ὁ δὲ Τίτος οὐδ' ἂν εἰ ἐπιβάντες ἐπ' αὐτοῦ πολεμοῖεν Ἰουδαῖοι, ἔφη ἀντὶ τῶν ἀνδρῶν ἀμύνασθαι τὰ ἄψυχα, οὐδὲ καταφλέξειν ποτὲ τηλικοῦτον ἔργον· Ῥωμαίων γὰρ ἔσεσθαι τὴν βλάβην, ὥσπερ καὶ κόσμον τῆς ἡγεμονίας αὐτοῦ μένοντος. θαρροῦντες δ' ἤδη προσετίθεντο τῇ γνώμῃ Φρόντων τε καὶ Ἀλέξανδρος καὶ Κερεάλιος. τότε μὲν οὖν διαλύει τὸ συνέδριον, καὶ τὰς ἄλλας δυνάμεις διαναπαῦσαι κελεύσας τοῖς ἡγεμόσιν, ὅπως ἐρρωμενεστέραις ἐν τῇ παρατάξει χρήσαιντο, τοῖς ἀπὸ τῶν σπειρῶν ἐπιλέκτοις ὁδοποιεῖν διὰ τῶν ἐρειπίων προσέταξε καὶ τὸ πῦρ σβεννύειν.

Digitized by Google

κατ' ἐκείνην μὲν δὴ τὴν ἡμέραν Ἰουδαίων κάματός τε καὶ κατάπληξις ἐκράτησε τὰς ὁρμάς· τῇ δ' ἐπιούσῃ συλλεξάμενοί τε τὴν ἰσχὺν καὶ ἀναθαρσήσαντες ἐκεκθέουσι διὰ τῆς ἀνατολικῆς πύλης τοῖς φύλαξι τοῦ ἔξωθεν ἱεροῦ περὶ δευτέραν ὥραν. οἱ δὲ παρτερῶς μὲν ἐδέξαντο αὐτῶν τὴν ἐμβολήν, καὶ φραξάμενοι τοῖς θυρεοῖς κατὰ μέτωπον ὥσπερ τεῖχος ἐκύκνωσαν τὴν φάλαγγα, θᾶλοι δὲ ἦσαν οὐκ ἐπὶ πολὺ συμμενοῦντες, πλήθει τε τῶν ἐκτρεχόντων καὶ θυμοῖς ἡττώμενοι. φθάσας δὲ τῆς παρατάξεως τὴν ῥοπὴν Καῖσαρ (καθεώρα γὰρ ἀπὸ τῆς Ἀντωνίας) ἐπήμυνε μετὰ τῶν ἐπιλέκτων ἱππέων. Ἰουδαῖοι δὲ τὴν ἔφοδον οὐχ ὑπέμειναν, ἀλλὰ τῶν πρώτων πεσόντων ἐτράπησαν οἱ πολλοί. καὶ ὑποχωροῦσι μὲν τοῖς Ῥωμαίοις ἐπιστρεφόμενοι προσέκειντο, μεταβαλλομένων δ' ἀνέφευγον πάλιν, ἕως περὶ πέμπτην τῆς ἡμέρας ὥραν οἱ μὲν βιασθέντες εἰς τὸ ἔνδον συνεκλείσθησαν ἱερόν, Τίτος δ' ἀνεχώρησεν εἰς τὴν Ἀντωνίαν, διεγνωκὼς τῇ ἐπιούσῃ ἡμέρᾳ ὑπὸ τὴν ἕω μετὰ πάσης ἐμβαλεῖν τῆς δυνάμεως καὶ τὸν ναὸν περικατασχεῖν.

τοῦ δὲ ἄρα κατεψήφιστο μὲν τὸ πῦρ ὁ θεὸς πάλαι, παρῆν δ' ἡ εἱμαρμένη χρόνων περίοδος, ἡμέρᾳ δεκάτῃ Λώου μηνός, καθ' ἣν καὶ τὸ πρότερον ὑπὸ τοῦ τῶν Βαβυλωνίων βασιλέως ἐνεπρήσθη. λαμβάνουσι δ' αἱ φλόγες ἐκ τῶν οἰκείων τὴν ἀρχὴν καὶ τὴν αἰτίαν. ὑποχωρήσαντος γὰρ τοῦ Τίτου πρὸς ὀλίγον λωφήσαντες οἱ στασιασταὶ πάλιν τοῖς Ῥωμαίοις ἐπιτίθενται, καὶ τῶν τοῦ ναοῦ φρουρῶν γίνεται συμβολὴ πρὸς τοὺς σβεννύντας τὸ πῦρ τοῦ ἔξωθεν ἱεροῦ· οἱ τρεψάμενοι τοὺς Ἰουδαίους μέχρι τοῦ ναοῦ παρῆλθον. ἔνθα δή τῶν στρατιωτῶν τις, οὔτε παράγγελμα περιμείνας οὔτε ἐπὶ τηλικούτῳ δείσας ἐγχειρήματι, δαιμονίῳ ὁρμῇ τινὶ χρώμενος ἁρπάζει μὲν ἐκ τῆς φλεγομένης ὕλης, ἀνακουφι-

Digitized by Google

σθεὶς δ' ὑπὸ συστρατιώτου τὸ πῦρ ἐνίησι θυρίδι χρυσῇ, καθ' ἣν εἰς τοὺς περὶ τὸν ναὸν οἴκους εἰσιτὸν ἦν ἐκ τοῦ βορείου κλίματος. αἰρομένης δὲ τῆς φλογὸς Ἰουδαίων μὲν ἐγείρεται κραυγὴ τοῦ πάθους ἀξία, καὶ πρὸς τὴν ἄμυναν συνέθεον, οὔτε τοῦ ζῆν ἔτι φειδὼ λαμβάνοντες οὔτε ταμιευόμενοι τὴν ἰσχύν, δι' ὃ καὶ φυλακτικοὶ πρότερον ἦσαν οἰχομένου· δραμὼν δέ τις ἀγγέλλει Τίτῳ, κἀκεῖνος (ἔτυχε δὲ κατὰ σκηνὴν ἀναπαυόμενος ἐκ τῆς μάχης) ὡς εἶχεν ἀναπηδήσας ἔθεε πρὸς τὸν ναὸν εἴρξων τὸ πῦρ, κατόπιν δὲ οἵ τε ἡγεμόνες εἵποντο πάντες καὶ πτοηθέντα τούτοις ἠκολούθει τὰ τάγματα. βοὴ δ' ἦν καὶ θόρυβος ἅτε τηλικαύτης δυνάμεως ἀτάκτως κεκινημένης. ὁ μὲν οὖν Καῖσαρ τῇ τε βοῇ καὶ τῇ δεξιᾷ διεσήμαινε τοῖς μαχομένοις τὸ πῦρ σβεννύειν· οὔτε δὲ βοῶντος ἤκουον, μείζονι κραυγῇ τὰς ἀκοὰς προκατειλημμένοι, καὶ τῷ νεύματι τῆς χειρὸς οὐ προσεῖχον, οἱ μὲν τῷ πολεμεῖν οἱ δὲ ὀργῇ περισπώμενοι. τῶν δὲ ταγμάτων εἰσθεόντων οὔτε παραίνεσις οὔτε ἀπειλὴ κατεῖχε τὰς ὁρμάς, ἀλλὰ θυμὸς ἁπάντων ἐστρατήγει· καὶ περὶ τὰς εἰσόδους συνωθούμενοι πολλοὶ μὲν ὑπ' ἀλλήλων κατεπατοῦντο, πολλοὶ δὲ θερμοῖς ἔτι καὶ τυφομένοις τοῖς ἐρειπίοις τῶν στοῶν ἐμπίπτοντες ἡττωμένων συμφοραῖς ἐχρῶντο. πλησίον δὲ τοῦ ναοῦ γινόμενοι τῶν μὲν τοῦ Καίσαρος παραγγελμάτων προσεποιοῦντο μηδὲ κατακούειν, τοῖς πρὸ αὐτῶν δὲ τὸ πῦρ ἐνιέναι παρεκελεύοντο. τῶν δὲ στασιαστῶν ἀμηχανία μὲν ἦν ἤδη τοῦ βοηθεῖν, φόνος δὲ πανταχοῦ καὶ τροπή. τὸ δὲ πλέον ἀπὸ τοῦ δήμου λαὸς ἀσθενὴς καὶ ἄνοπλος ὅπου καταληφθείη τις ἀπεσφάττετο, καὶ περὶ μὲν τὸν βωμὸν πλῆθος ἐσωρεύετο νεκρῶν, κατὰ δὲ τῶν τοῦ βωμοῦ βάθρων αἷμά τε ἔρρει πολὺ καὶ τὰ τῶν ἄνω πονουμένων σώματα κατωλίσθανε.

Digitized by Google

Καῖσαρ δὲ ὡς οὔτε τὰς ὁρμὰς ἐνθουσιώντων τῶν 7
στρατιωτῶν κατασχεῖν οἷός τε ἦν καὶ τὸ πῦρ ἐπεκράτει,
παρελθὼν μετὰ τῶν ἡγεμόνων ἔνδον ἐθεάσατο τοῦ
ναοῦ τὸ ἅγιον καὶ τὰ ἐν αὐτῷ, πολὺ μὲν τῆς παρὰ τοῖς
ἀλλοφύλοις φήμης ἀμείνω, τοῦ δὲ κόμπου καὶ τῆς παρὰ
τοῖς οἰκείοις δόξης οὐκ ἐλάττω. τῆς φλογὸς δ' οὐδέπω
διικνουμένης οὐδαμόθεν εἴσω, τοὺς δὲ περὶ τὸν ναὸν
οἴκους νεμομένης, νομίσας ὅπερ ἦν, ἔτι σώζεσθαι τὸ
ἔργον δύνασθαι, προπηδᾷ, καὶ αὐτός τε παρακαλεῖν
τοὺς στρατιώτας ἐπειρᾶτο τὸ πῦρ σβεννύειν, καὶ Λιβε-
ράλιον ἑκατοντάρχην τῶν περὶ αὐτὸν λογχοφόρων ξύ-
λοις παίοντα τοὺς ἀπειθοῦντας ἐκέλευσεν εἴργειν. τῶν
δὲ καὶ τὴν πρὸς Καίσαρα αἰδῶ καὶ τὸν ἀπὸ τοῦ κωλύ-
οντος φόβον ἐνίκων οἱ θυμοὶ καὶ τὸ πρὸς Ἰουδαίους
μῖσος καὶ πολεμική τις ὁρμὴ λαβροτέρα· τοὺς δὲ πολ-
λοὺς ἐνῆγεν ἁρπαγῆς ἐλπίς, δόξαν τε ἔχοντας ὡς τἄνδον
ἅπαντα χρημάτων μεστὰ εἴη, καὶ τὰ πέριξ ὁρῶντας χρυ-
σοῦ πεποιημένα. φθάνει δέ τις καὶ τῶν εἴσω παρελη-
λυθότων, ἐκπηδήσαντος τοῦ Καίσαρος πρὸς ἐποχὴν τῶν
στρατιωτῶν, πῦρ εἰς τοὺς στροφέας ἐμβαλὼν τῆς πύλης
ἐν σκότῳ, ἐξαπίνης τ' ἔνδοθεν ἐκφανείσης φλογὸς οἵ τε
ἡγεμόνες μετὰ τοῦ Καίσαρος ἀνεχώρουν, καὶ τοὺς ἔξω-
θεν οὐδεὶς ὑφάπτειν ἐκώλυεν.

ὁ μὲν οὖν ναὸς οὕτως ἄκοντος Καίσαρος ἐμπίπρα-
ται· πολλὰ δ' ἄν τις ἐπολοφυράμενος ἔργῳ πάντων 8
ὧν ὄψει καὶ ἀκοῇ παρειλήφαμεν θαυμασιωτάτῳ κατα-
σκευῆς τε ἕνεκα καὶ μεγέθους, ἔτι τε τῆς καθ' ἕκαστον
πολυτελείας καὶ τῆς περὶ τὰ ἅγια δόξης, μεγίστην λά-
βοι παραμυθίαν τὴν εἱμαρμένην, ἄφυκτον οὖσαν ὥσ-
περ ἐμψύχοις, οὕτω καὶ ἔργοις καὶ τόποις. θαυμάσαι
δ' ἄν τις ἐν αὐτῇ τῆς περιόδου τὴν ἀκρίβειαν. καὶ
μῆνα γοῦν, ὡς ἔφην, καὶ ἡμέραν ἐπετήρησε τὴν αὐτὴν

Digitized by Google

ἐν ᾗ πρότερον ὑπὸ Βαβυλωνίων ὁ ναὸς ἐνεπρήσθη. καὶ ἀπὸ μὲν τῆς πρώτης αὐτοῦ κτίσεως, ἣν κατεβάλετο Σολομὼν ὁ βασιλεύς, μέχρι τῆς νῦν ἀναιρέσεως, ἣ γέγονεν ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ ἡγεμονίας, ἔτη συνάγεται χίλια ἑκατὸν τριάκοντα, πρὸς δὲ μῆνες ἑπτὰ καὶ πεντεκαίδεκα ἡμέραι· ἀπὸ δὲ τῆς ὕστερον, ἣν ἔτει δευτέρῳ Κύρου βασιλεύοντος ἐποιήσατο Ἀγγαῖος, ἔτη μέχρι τῆς ὑπὸ Οὐεσπασιανοῦ ἀλώσεως τριάκοντα ἐννέα πρὸς ἑξακοσίοις καὶ ἡμέραι τεσσαράκοντα πέντε.

καιομένου δὲ τοῦ ναοῦ τῶν μὲν προσπιπτόντων ἦν ἁρπαγή, φόνος δὲ τῶν καταλαμβανομένων μυρίος· οὔτε δ' ἡλικίας ἦν ἔλεος οὔτ' ἐντροπὴ σεμνότητος, ἀλλὰ καὶ παιδία καὶ γέροντες καὶ βέβηλοι καὶ ἱερεῖς ὁμοίως ἀνῃροῦντο, καὶ πᾶν γένος ἐπεξῄει περισχὼν ὁ πόλεμος, ὁμοῦ τούς τε ἱκετεύοντας καὶ τοὺς ἀμυνομένους. συνήχει δ' ἡ φλὸξ ἐπὶ πλεῖστον ἐκφερομένη τοῖς τῶν πιπτόντων στεναγμοῖς, καὶ διὰ μὲν τὸ ὕψος τοῦ λόφου καὶ τὸ τοῦ φλεγομένου μέγεθος ἔργου πᾶσαν ἂν τις ἔδοξε καίεσθαι τὴν πόλιν, τῆς δὲ βοῆς ἐκείνης οὐδὲν ἐπινοηθῆναι δύναιτ' ἂν ἢ μεῖζον ἢ φοβερώτερον. τῶν τε γὰρ Ῥωμαϊκῶν ταγμάτων ἀλαλαγμὸς ἦν συμφερομένων, καὶ τῶν στασιαστῶν πυρὶ καὶ σιδήρῳ κεκυκλωμένων κραυγή, τοῦ τε ἀπολειφθέντος ἄνω λαοῦ τροπή τε μετ' ἐκπλήξεως εἰς τοὺς πολεμίους καὶ πρὸς τὸ πάθος οἰμωγαί. σύνεβόα δὲ τοῖς ἐπὶ τοῦ λόφου τὸ κατὰ τὴν πόλιν πλῆθος· ἤδη δὲ πολλοὶ τῷ λιμῷ μαραινόμενοι καὶ μεμυκότες, ὡς εἶδον τὸ τοῦ ναοῦ πῦρ, εἰς ὀδυρμοὺς πάλιν καὶ κραυγὴν εὐτόνησαν. συνήχει δ' ἥ τε Περαία καὶ τὰ πέριξ ὄρη, βαρυτέραν ποιοῦντα τὴν ὀφρύν. ἦν δὲ τοῦ θορύβου τὰ πάθη φοβερώτερα. τὸν μέν γε τοῦ ἱεροῦ λόφον ἐκ ῥιζῶν ἄν τις ἔδοξε βράττεσθαι, πάντοθεν τοῦ πυρὸς καταγέμοντα, δαψιλέστερον δὲ τὸ αἷμα

Digitized by Google

τοῦ πυρὸς εἶναι καὶ τῶν φονευόντων πλείους τοὺς φονευομένους· οὐδαμοῦ γὰρ ἡ γῆ διεφαίνετο τῶν νεκρῶν, ἀλλὰ σωροῖς ἐπεμβαίνοντες οἱ στρατιῶται σωμάτων ἐπὶ τοὺς διαφεύγοντας ἔθεον. τὸ μὲν οὖν ληστρικὸν πλῆθος ὠσάμενοι τοὺς Ῥωμαίους μόλις εἰς τὸ ἔξω διεκπίπτουσιν ἱερὸν κἀκεῖθεν εἰς τὴν πόλιν, τοῦ δημοτικοῦ δὲ τὸ λειφθὲν ἐπὶ τὴν ἔξω στοὰν κατέφυγε. τῶν δ' ἱερέων τινὲς τὸ μὲν πρῶτον ἀπὸ τοῦ ναοῦ τούς τε ὀβελοὺς καὶ τὰς ἕδρας αὐτῶν μολίβδου πεποιημένας ἀνασπῶντες εἰς τοὺς Ῥωμαίους ἠφίεσαν, αὖθις δ' ὡς οὔτ' ἤνυόν τι καὶ τὸ πῦρ ἐπ' αὐτοὺς ἀνερρήγνυτο, ἐπὶ τὸν τοῖχον ἀναχωρήσαντες, ὄντα ὀκτάπηχυν τὸ εὖρος, ἕμενον. δύο γε μὴν τῶν ἐπισήμων, παρὸν σωθῆναι πρὸς Ῥωμαίους μεταστᾶσιν, ἢ διακαρτερεῖν πρὸς τὴν μετὰ τῶν ἄλλων τύχην, ἑαυτοὺς ἔρριψαν εἰς τὸ πῦρ καὶ τῷ ναῷ συγκατεφλέγησαν, Μήιρός τε υἱὸς Βελγᾶ καὶ Ἰώσηπος Δαλαίου.

Ῥωμαῖοι δὲ μάταιον τὴν ἐπὶ τοῖς πέριξ φειδὼ κρίναντες τοῦ ναοῦ φλεγομένου πάντα συνεπίμπρασαν, τά τε λείψανα τῶν στοῶν καὶ τὰς πύλας, πλὴν δύο, τῆς μὲν ἐκ τῶν ἀνατολικῶν τῆς δὲ ἐκ μεσημβρίας· καὶ ταύτας ὕστερον κατέσκαψαν. ἔκαιον δὲ καὶ τὰ γαζοφυλάκια, ἐν οἷς ἄπειρον μὲν χρημάτων πλῆθος ἄπειροι δ' ἐσθῆτες καὶ ἄλλα κειμήλια, συνελόντι δ' εἰπεῖν, πᾶς ὁ Ἰουδαίων σεσώρευτο πλοῦτος, ἀνεσκευασμένων ἐκεῖ τῶν οἴκων τῶν εὐπόρων. ἦκον δὲ καὶ ἐπὶ τὴν λοιπὴν στοὰν τοῦ ἔξωθεν ἱεροῦ· καταπεφεύγει δ' ἐπ' αὐτὴν ἀπὸ τοῦ δήμου γύναια καὶ παιδία καὶ σύμμικτος ὄχλος πλεῖστος εἰς ἑξακισχιλίους. πρὶν δὲ Καίσαρα κρῖναί τι περὶ αὐτῶν ἢ κελεῦσαι τοὺς ἡγεμόνας, φερόμενοι τοῖς θυμοῖς οἱ στρατιῶται τὴν στοὰν ὑφάπτουσι. καὶ συνέβη τοὺς μὲν ῥιπτοῦντας αὐτοὺς ἐκ τῆς φλογὸς διαφθαρῆναι, τοὺς δ' ἐν αὐτῇ, περιεσώθη δ' ἐκ τοσού-

Digitized by Google

των οὐδείς. τούτοις αἴτιος τῆς ἀπωλείας ψευδοπροφήτης τις κατέστη, κατ' ἐκείνην κηρύξας τὴν ἡμέραν τοῖς ἐπὶ τῆς πόλεως ὡς ὁ θεὸς ἐπὶ τὸ ἱερὸν ἀναβῆναι κελεύσει, δεξομένους τὰ σημεῖα τῆς σωτηρίας. πολλοὶ δ' ἦσαν ἐγκάθετοι παρὰ τῶν τυράννων τότε πρὸς τὸν δῆμον προφῆται, προσμένειν τὴν ἀπὸ τοῦ θεοῦ βοήθειαν καταγγέλλοντες, ὡς ἧττον αὐτομολοῖεν καὶ τοὺς ἐπάνω δέους καὶ φυλακῆς γινομένους ἐλπὶς παρακρατοίη. πείθεται δὲ ταχέως ἄνθρωπος ἐν συμφοραῖς. ὅταν δὲ δὴ καὶ τῶν κατεχόντων δεινῶν ἀπαλλαγὴν ὁ ἐξαπατῶν ὑπογράφῃ, τόθ' ὁ πάσχων ὅλος γίνεται τῆς ἐλπίδος.

3 τὸν γοῦν ἄθλιον δῆμον οἱ μὲν ἀπατεῶνες καὶ καταψευδόμενοι τοῦ θεοῦ τηνικαῦτα παρέπειθον, τοῖς δὲ ἐναργέσι καὶ προσημαίνουσι τὴν μέλλουσαν ἐρημίαν τέρασιν οὔτε προσεῖχον οὔτε ἐπίστευον, ἀλλ' ὡς ἐμβεβροντημένοι καὶ μήτ' ὄμματα μήτε ψυχὴν ἔχοντες τῶν τοῦ θεοῦ κηρυγμάτων παρήκουσαν, τοῦτο μὲν ὅτε ὑπὲρ τὴν πόλιν ἄστρον ἔστη ῥομφαίᾳ παραπλήσιον καὶ παρατείνας ἐπ' ἐνιαυτὸν κομήτης, τοῦτο δὲ ἡνίκα πρὸ τῆς ἀποστάσεως καὶ τοῦ πρὸς τὸν πόλεμον κινήματος, ἀθροιζομένου τοῦ λαοῦ πρὸς τὴν τῶν ἀζύμων ἑορτήν (ὀγδόη δ' ἦν Ξανθικοῦ μηνός), κατὰ νυκτὸς ἐνάτην ὥραν, τοσοῦτον φῶς περιέλαμψε τὸν βωμὸν καὶ τὸν ναὸν ὡς δοκεῖν ἡμέραν εἶναι λαμπράν, καὶ τοῦτο παρέτεινεν ἐφ' ἡμίσειαν ὥραν· ὃ τοῖς μὲν ἀπείροις ἀγαθὸν ἐδόκει, τοῖς δ' ἱερογραμματεῦσι πρὸς τῶν ἀποβεβηκότων εὐθέως ἐκρίθη. καὶ κατὰ τὴν αὐτὴν ἑορτὴν βοῦς μὲν ἀχθεῖσα ὑπὸ τοῦ ἀρχιερέως πρὸς τὴν θυσίαν ἔτεκεν ἄρνα ἐν τῷ ἱερῷ μέσῳ, ἡ δὲ ἀνατολικὴ πύλη τοῦ ἐνδοτέρω, χαλκῆ μὲν οὖσα καὶ στιβαρωτάτη, κλειομένη δὲ περὶ δείλην μόλις ὑπ' ἀνδρῶν εἴκοσι, καὶ μοχλοῖς

Digitized by Google

μὲν ἐπερειδομένη σιδηροδέτοις, καταπῆγας δ' ἔχουσα βαθυτάτους εἰς τὸν οὐδὸν ὄντα διηνεκοῦς λίθου καθιεμένους, ὤφθη κατὰ νυκτὸς ὥραν ἕκτην αὐτομάτως ἠνεῳγμένη· δραμόντες δ' οἱ τοῦ ἱεροῦ φύλακες ἤγγειλαν τῷ στρατηγῷ, κἀκεῖνος ἀναβὰς μόλις αὐτὴν ἴσχυσε κλεῖσαι. πάλιν τοῦτο τοῖς μὲν ἰδιώταις κάλλιστον ἐδόκει τέρας· ἀνοίξαι γὰρ τὸν θεὸν αὐτοῖς τὴν τῶν ἀγαθῶν πύλην· οἱ λόγιοι δὲ λυομένην αὐτομάτως τοῦ ναοῦ τὴν ἀσφάλειαν ἐνενόουν, καὶ πολεμίοις δῶρον ἀνοίγεσθαι τὴν πύλην, θηλωτικόν τ' ἐρημίας ἀπέφαινον ἐν ἑαυτοῖς τὸ σημεῖον. μετὰ δὲ τὴν ἑορτὴν ἡμέραις ὕστερον οὐ πολλαῖς, μιᾷ καὶ εἰκάδι Ἀρτεμισίου μηνός, φάσμα τι δαιμόνιον ὤφθη μεῖζον πίστεως. τερατεία δ' ἂν ἔδοξεν, οἶμαι, τὸ ῥηθησόμενον, εἰ μὴ καὶ παρὰ τοῖς θεασαμένοις ἱστορεῖτο, καὶ τὰ ἐπακολουθήσαντα πάθη τῶν σημείων ἦν ἄξια· πρὸ γὰρ ἡλίου δύσεως ὤφθη μετέωρα περὶ πᾶσαν τὴν χώραν ἅρματα καὶ φάλαγγες ἔνοπλοι διάττουσαι τῶν νεφῶν καὶ κυκλούμεναι τὰς πόλεις. κατὰ δὲ τὴν ἑορτὴν ἣ πεντηκοστὴ καλεῖται, νύκτωρ οἱ ἱερεῖς παρελθόντες εἰς τὸ ἔνδον ἱερόν, ὥσπερ αὐτοῖς ἔθος ἦν πρὸς τὰς λειτουργίας, πρῶτον μὲν κινήσεως ἀντιλαβέσθαι ἔφασαν καὶ κτύπου, μετὰ δὲ ταῦτα φωνῆς ἀθρόας "μεταβαίνωμεν ἐντεῦθεν." τὸ δὲ τούτων φοβερώτερον· Ἰησοῦς γάρ τις υἱὸς Ἀνάνου, τῶν ἰδιωτῶν, ἀγροῖκος, πρὸ τεσσάρων ἐτῶν τοῦ πολέμου, τὰ μάλιστα τῆς πόλεως εἰρηνευομένης καὶ εὐθηνούσης, ἐλθὼν εἰς τὴν ἑορτὴν ἐν ᾗ σκηνοποιεῖσθαι πάντας ἔθος τῷ θεῷ κατὰ τὸ ἱερόν, ἐξαπίνης ἀναβοᾶν ἤρξατο "φωνὴ ἀπ' ἀνατολῆς, φωνὴ ἀπὸ δύσεως, φωνὴ ἀπὸ τῶν τεσσάρων ἀνέμων, φωνὴ ἐπὶ Ἱεροσόλυμα καὶ τὸν ναόν, φωνὴ ἐπὶ νυμφίους καὶ νύμφας, φωνὴ ἐπὶ τὸν λαὸν πάντα." τοῦτο μεθ' ἡμέραν καὶ νύκτωρ κατὰ πάντας

Digitized by Google

τοὺς στενωποὺς περιῄει κεκραγώς. τῶν δ' ἐπισήμων τινὲς δημοτῶν, ἀγανακτήσαντες πρὸς τὸ κακόφημον, συλλαμβάνουσι τὸν ἄνθρωπον καὶ πολλαῖς αἰκίζονται πληγαῖς. ὃ δ' οὔθ' ὑπὲρ ἑαυτοῦ φθεγξάμενος οὔτ' ἰδίᾳ πρὸς τοὺς παίοντας, ἃς καὶ πρότερον φωνὰς βοῶν διετέλει. νομίσαντες δ' οἱ ἄρχοντες ὅπερ ἦν, δαιμονιώτερον εἶναι τὸ κίνημα τοῦ ἀνδρός, ἀνάγουσιν αὐτὸν ἐπὶ τὸν παρὰ Ῥωμαίοις ἔπαρχον, ἔνθα μάστιξι μέχρις ὀστέων ξαινόμενος οὔθ' ἱκέτευσεν οὔτ' ἐδάκρυσεν, ἀλλ' ὡς ἐνῆν μάλιστα τὴν φωνὴν ὀλοφυρτικῶς παρεγκλίνων πρὸς ἑκάστην ἀπεκρίνατο πληγήν "αἰαῖ Ἱεροσολύμοις." τοῦ δὲ Ἀλβίνου διερωτῶντος (οὗτος γὰρ ἔπαρχος ἦν) τίς τε εἴη καὶ πόθεν, καὶ διὰ τί ταῦτα φθέγγοιτο, πρὸς ταῦτα μὲν οὐδ' ὁτιοῦν ἀπεκρίνατο, τὸν δ' ἐπὶ τῇ πόλει θρῆνον εἴρων οὐ διέλειπε, μέχρι καταγνοὺς μανίαν ὁ Ἀλβῖνος ἀπέλυσεν αὐτόν. ὃ δὲ τὸν μέχρι τοῦ πολέμου χρόνον οὔτε προσῄει τινὶ τῶν πολιτῶν οὔτ' ὤφθη λαλῶν, ἀλλὰ καθ' ἡμέραν ὥσπερ εὐχὴν μεμελετηκὼς "αἰαῖ Ἱεροσολύμοις" ἐθρήνει· οὔτε δέ τινι τῶν τυπτόντων αὐτὸν ὑσημέραι κατηρᾶτο, οὔτε τοὺς τροφῆς μεταδιδόντας εὐλόγει, μία δὲ πρὸς πάντας ἦν ἡ σκυθρωπὴ κληδὼν ἀπόκρισις. μάλιστα δὲ ἐν ταῖς ἑορταῖς ἐκεκράγει. καὶ τοῦτ' ἐφ' ἑπτὰ ἔτη καὶ μῆνας πέντε εἴρων, οὔτ' ἠμβλύνθη τὴν φωνὴν οὔτε ἔκαμεν, μέχρις οὗ κατὰ τὴν πολιορκίαν ἔργα τὰς κληδόνας ἰδὼν ἀνεπαύσατο. περιιὼν γὰρ ἐπὶ τοῦ τείχους "αἰαῖ πάλιν τῇ πόλει καὶ τῷ λαῷ καὶ τῷ ναῷ" διαπρύσιον ἐβόα· ὡς δὲ τελευταῖον προσέθηκεν "αἰαῖ δὲ κἀμοί," λίθος ἐκ τοῦ πετροβόλου σχασθεὶς καὶ πλήξας αὐτὸν παραχρῆμα κτείνει, φθεγγόμενος δ' ἔτι τὰς κληδόνας ἐκείνας τὴν ψυχὴν ἀφῆκεν.

4 ταῦτά τις ἐννοῶν εὑρήσει τὸν μὲν θεὸν ἀνθρώπων

Digitized by Google

κηδόμενον καὶ παντοίως προσημαίνοντα τῷ σφετέρῳ γένει τὰ σωτήρια, τοὺς δ' ὑπ' ἀνοίας καὶ κακῶν αὐθαιρέτων ἀπολλυμένους, ὅπου γε Ἰουδαῖοι καὶ τὸ ἱερὸν μετὰ τὴν καθαίρεσιν τῆς Ἀντωνίας τετράγωνον ἐποίησαν, ἀναγεγραμμένον ἐν τοῖς λογίοις ἔχοντες ἁλώσεσθαι τὴν πόλιν καὶ τὸν ναὸν ἐπειδὰν τὸ ἱερὸν γένηται τετράγωνον. τὸ δὲ ἐπᾶραν αὐτοὺς μάλιστα πρὸς τὸν πόλεμον ἦν χρησμὸς ἀμφίβολος ὁμοίως ἐν τοῖς ἱεροῖς εὑρημένος γράμμασιν, ὡς κατὰ τὸν καιρὸν ἐκεῖνον ἀπὸ τῆς χώρας τις αὐτῶν ἄρξει τῆς οἰκουμένης. τοῦτο οἱ μὲν ὡς οἰκεῖον ἐξέλαβον, καὶ πολλοὶ τῶν σοφῶν ἐπλανήθησαν περὶ τὴν κρίσιν· ἐδήλου δ' ἄρα τὴν Οὐεσπασιανοῦ τὸ λόγιον ἡγεμονίαν, ἀποδειχθέντος ἐπὶ Ἰουδαίας αὐτοκράτορος. ἀλλὰ γὰρ οὐ δυνατὸν ἀνθρώποις τὸ χρεὼν διαφυγεῖν οὐδὲ προορωμένοις. οἱ δὲ καὶ τῶν σημείων ἃ μὲν ἔκριναν πρὸς ἡδονὴν ἃ δ' ἐξουθένησαν, μέχρις οὗ τῇ τε ἁλώσει τῆς πατρίδος καὶ τῷ σφῶν αὐτῶν ὀλέθρῳ διηλέγχθησαν τὴν ἄνοιαν.

Ῥωμαῖοι δὲ τῶν μὲν στασιαστῶν καταπεφευγότων 6
εἰς τὴν πόλιν, καιομένου δὲ αὐτοῦ τε τοῦ ναοῦ καὶ τῶν περιξ ἁπάντων, κομίσαντες τὰς σημαίας εἰς τὸ ἱερὸν καὶ θέμενοι τῆς ἀνατολικῆς πύλης ἄντικρυς ἔθυσάν τε αὐταῖς αὐτόθι καὶ τὸν Τίτον μετὰ μεγίστων εὐφημιῶν ἀπέφηναν αὐτοκράτορα. ταῖς δὲ ἁρπαγαῖς οὕτως ἐνεπλήσθησαν οἱ στρατιῶται πάντες ὥστε κατὰ τὴν Συρίαν πρὸς ἧμισυ τῆς πάλαι τιμῆς τὸν σταθμὸν τοῦ χρυσίου πιπράσκεσθαι.

τῶν δὲ ἀνὰ τὸν τοῖχον τοῦ ναοῦ ἱερέων διακαρτερούντων παῖς διψήσας ἱκέτευε τοὺς φύλακας τῶν Ῥωμαίων δοῦναι δεξιὰν αὐτῷ, καὶ τὸ δίψος ἐξωμολογεῖτο. τῶν δὲ τῆς ἡλικίας καὶ τῆς ἀνάγκης οἰκτον λαβόντων καὶ δόντων δεξιὰς καταβὰς αὐτός τε πίνει,

Digitized by Google

καὶ ὃ φέρων ἦκεν ἀγγεῖον πλήσας ὕδατος ᾤχετο φεύγων ἄνω πρὸς τοὺς σφετέρους. τῶν δὲ φυλάκων καταλαβεῖν μὲν οὐδεὶς ἴσχυσε, πρὸς δὲ τὴν ἀπιστίαν ἐβλασφήμουν. κἀκεῖνος οὐδὲν ἔφη παραβεβηκέναι τῶν συνθηκῶν· λαβεῖν γὰρ δεξιὰν οὐ τοῦ μένειν παρ' αὐτοῖς, ἀλλὰ τοῦ καταβῆναι μόνον καὶ λαβεῖν ὕδωρ, ἅπερ ἀμφότερα πεποιηκὼς πιστὸς ἔδοξεν εἶναι. τὸ μὲν δὴ πανούργημα διὰ τὴν ἡλικίαν μάλιστα τοῦ παιδὸς ἀπεθαύμαζον οἱ πλανηθέντες· πέμπτῃ δ' ἡμέρᾳ λιμώττοντες οἱ ἱερεῖς καταβαίνουσι, καὶ πρὸς Τίτον ἀναχθέντες ὑπὸ τῶν φυλάκων ἱκέτευον τυχεῖν σωτηρίας. ὃ δὲ τὸν μὲν τῆς συγγνώμης καιρὸν αὐτοῖς παρῳχηκέναι φήσας, οἰκτεσθαι δὲ δι' ὃν εὐλόγως ἂν αὐτοὺς ἔσωζε, πρέπειν δὲ τοῖς ἱερεῦσι τῷ ναῷ συναπολέσθαι, κελεύει κολάσαι τοὺς ἄνδρας.

2 οἱ δὲ περὶ τοὺς τυράννους ὡς τῷ τε πολέμῳ πανταχόθεν ἐκρατοῦντο καὶ περιτετειχισμένοις διαφυγεῖν οὐδαμόθεν ἦν, προσκαλοῦνται τὸν Τίτον εἰς λόγους. ὃ δὲ διὰ τὸ φιλάνθρωπον φύσει τὸ γοῦν ἄστυ περισῶσαι προαιρούμενος, καὶ τῶν φίλων ἐναγόντων (ἤδη γὰρ μετριάζειν τοὺς ληστὰς ὑπελάμβανον), ἵσταται κατὰ τὸ πρὸς δύσιν μέρος τοῦ ἔξωθεν ἱεροῦ. ταύτῃ γὰρ ὑπὲρ τὸν ξυστὸν ἦσαν πύλαι καὶ γέφυρα συνάπτουσα τῷ ἱερῷ τὴν ἄνω πόλιν· αὕτη τότε μέση τῶν τυράννων ἦν καὶ τοῦ Καίσαρος. τὸ δὲ πλῆθος ἑκατέροις βύζην ἐφειστήκει, Ἰουδαῖοι μὲν περὶ Σίμωνα καὶ Ἰωάννην μετέωροι συγγνώμης ἐλπίδι, Ῥωμαῖοι δὲ Καίσαρι, καραδοκοῦντες αὐτῶν τὴν ἄξίωσιν. παραγγείλας δὲ τοῖς στρατιώταις Τίτος θυμοῦ τε καὶ βελῶν μένειν ἐγκρατεῖς, καὶ τὸν ἑρμηνέα παραστησάμενος, ὅπερ ἦν τεκμήριον τοῦ κρατεῖν, πρῶτος ἤρξατο λέγειν. "ἆρά γε ἤδη κεκόρεσθε τῶν τῆς πατρίδος κακῶν, ἄνδρες οἱ

Digitized by Google

μήτε τῆς ἡμετέρας δυνάμεως μήτε τῆς αὐτῶν ἀσθενείας ἔννοιαν λαβόντες, ὁρμῇ δὲ ἀσκέπτῳ καὶ μανίᾳ τόν τε δῆμον καὶ τὴν πόλιν καὶ τὸν ναὸν ἀπολωλεκότες, ἀπολούμενοι δὲ καὶ αὐτοὶ δικαίως, οἳ πρῶτον μὲν ἀφ' οὗ Πομπήιος εἷλεν ὑμᾶς κατὰ κράτος, οὐκ ἐπαύσασθε νεωτεροποιίας, ἔπειτα καὶ φανερὸν ἐξηνέγκατε πρὸς Ῥωμαίους πόλεμον. ἆρά γε πλήθει πεποιθότες; καὶ μὴν ἐλάχιστον ὑμῖν μέρος ἀντήρκεσε τοῦ Ῥωμαίων στρατιωτικοῦ. πίστει τοιγαροῦν συμμάχων; καὶ τί τῶν ἔξω τῆς ἡμετέρας ἡγεμονίας ἐθνῶν ἔμελλεν αἱρήσεσθαι Ἰουδαίους πρὸ Ῥωμαίων; ἀλλ' ἀλκῇ σωμάτων; καὶ μὴν ἴστε Γερμανοὺς δουλεύοντας ἡμῖν. ὀχυρότητι δὲ τειχῶν; καὶ τί μεῖζον ὠκεανοῦ τείχους κώλυμα, ὃν περιβεβλημένοι Βρεττανοὶ τὰ Ῥωμαίων ὅπλα προσκυνοῦσι; καρτερίᾳ ψυχῆς καὶ πανουργίᾳ στρατηγῶν; ἀλλὰ μὴν ἤδειτε καὶ Καρχηδονίους ἀλόντας. τοιγαροῦν ὑμᾶς ἐπήγειρε κατὰ Ῥωμαίων ἡ Ῥωμαίων φιλανθρωπία, οἳ πρῶτον μὲν ὑμῖν τήν τε χώραν ἔδομεν νέμεσθαι καὶ βασιλεῖς ὁμοφύλους ἐπεστήσαμεν, ἔπειτα τοὺς πατρίους νόμους ἐτηρήσαμεν, καὶ ζῆν οὐ μόνον καθ' ἑαυτοὺς ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἐπετρέψαμεν ὡς ἐβούλεσθε· τὸ δὲ μέγιστον, δασμολογεῖν τε ὑμῖν ἐπὶ τῷ θεῷ καὶ ἀναθήματα συλλέγειν ἐπετρέψαμεν, καὶ τοὺς ταῦτα φέροντας οὔτε ἐνουθετήσαμεν οὔτε ἐκωλύσαμεν, ἵν' ἡμῶν γένησθε πλουσιώτεροι πολέμιοι, καὶ παρασκευάσησθε τοῖς ἡμετέροις χρήμασι καθ' ἡμῶν. ἔπειτα τηλικούτων ἀγαθῶν ἀπολαύοντες ἐπὶ τοὺς παρασχόντας ἠνέγκατε τὸν κόρον, καὶ δίκην τῶν ἀτιθασεύτων ἕρπετῶν τοῖς σαίνουσι τὸν ἰὸν ἐναφήκατε. ἔστω γοῦν, κατεφρονήσατε τῆς Νέρωνος ῥᾳθυμίας, καὶ καθάπερ ῥήγματα ἢ σπάσματα τὸν ἄλλον χρόνον κακοήθως ἠρεμοῦντες ἐν τῇ μείζονι νόσῳ διεφάνητε, καὶ

Digitized by Google

πρὸς ἐλπίδας ἀναιδεῖς καὶ ἀμέτρους ἐξετείνατε τὰς ἐπιθυμίας. ἦκεν ὁ πατὴρ οὑμὸς εἰς τὴν χώραν, οὐ τιμωρησόμενος ὑμᾶς τῶν κατὰ Κέστιον, ἀλλὰ νουθετήσων. δέον γοῦν, εἴπερ ἐπ' ἀναστάσει τοῦ ἔθνους παρῆν, ἐπὶ τὴν ῥίζαν ὑμῶν δραμεῖν καὶ ταύτην ἐκπορθεῖν τὴν πόλιν εὐθέως, ὃ δὲ Γαλιλαίαν ἐδῄου καὶ τὰ πέριξ, ἐπιδιδοὺς ὑμῖν χρόνον εἰς μεταμέλειαν. ἀλλ' ὑμῖν ἀσθένεια τὸ φιλάνθρωπον ἐδόκει, κἀκ τῆς ἡμετέρας πραότητος τὴν τόλμαν ἐπεθρέψατε. Νέρωνος οἰχομένου τοῦθ' ὅπερ ἐχρῆν τοὺς πονηροτάτους ἐποιήσατε, ταῖς ἐμφυλίοις ἡμῶν ταραχαῖς ἐπεθαρρήσατε, καὶ χωρισθέντων εἰς τὴν Αἴγυπτον ἐμοῦ τε καὶ τοῦ πατρὸς εἰς παρασκευὰς τοῦ πολέμου κατεχρήσασθε τοῖς καιροῖς, καὶ οὐκ ᾐδέσθητε ταράσσειν αὐτοκράτορας γεγενημένους οὓς καὶ στρατηγοὺς φιλανθρώπους ἐπειράσατε. προσφυγούσης γοῦν ἡμῖν τῆς ἡγεμονίας, καὶ τῶν μὲν κατὰ ταύτην ἡρεμούντων πάντων, πρεσβευομένων δὲ καὶ συνηδομένων τῶν ἔξωθεν ἐθνῶν, πάλιν οἱ Ἰουδαῖοι πολέμιοι, καὶ πρεσβεῖαι μὲν ὑμῶν πρὸς τοὺς ὑπὲρ Εὐφράτην ἐπὶ νεωτερισμῷ, περίβολοι δὲ τειχῶν ἀνοικοδομούμενοι καινοί, στάσεις δὲ καὶ τυράννων φιλονεικίαι καὶ πόλεμος ἐμφύλιος, μόνα τοῖς οὕτω πονηροῖς πρέποντα. ἦκον ἐπὶ τὴν πόλιν ἐγώ, παρὰ τοῦ πατρὸς ἄκοντος λαβὼν σκυθρωπὰ παραγγέλματα· τὸν δῆμον ἀκούσας εἰρηνικὰ φρονεῖν ἤσθην. ὑμᾶς παύσασθαι πρὸ πολέμου παρεκάλουν, μέχρι πολλοῦ πολεμούντων ἐφειδόμην, δεξιὰς αὐτομόλοις ἔδωκα, καταφυγοῦσι πίστιν ἐτήρησα, πολλοὺς αἰχμαλώτους ἠλέησα, τοὺς ἐπείγοντας βασανίσας ἐκώλυσα, τείχεσιν ὑμετέροις μηχανὰς ἄκων προσήγαγον, ἀεὶ φονῶντας τοὺς στρατιώτας ἐφ' ὑμῖν κατέσχον, καθ' ἑκάστην νίκην ὡς ἡττώμενος ὑμᾶς εἰς εἰρήνην προυκαλεσάμην. τοῦ ἱεροῦ πλησίον

Digitized by Google

γενόμενος πάλιν ἑκὼν ἐξελαθόμην τῶν τοῦ πολέμου νόμων, φείσασθαι δὲ παρεκάλουν τῶν ἰδίων ὑμᾶς ἁγίων καὶ σῶσαι τὸν ναὸν ἑαυτοῖς, διδοὺς ἄδειάν τε ἐξόδου καὶ πίστιν σωτηρίας, εἰ δ' ἐβούλεσθε, καὶ μάχης καιρὸν ἐν ἄλλῳ τόπῳ. πάντων ὑπερείδετε, καὶ τὸν ναὸν ἰδίαις χερσὶν ἐνεπρήσατε. ἔπειτα, μιαρώτατοι, προκαλεῖσθέ με πρὸς λόγους νῦν; ἵνα τί σώσητε τοιοῦτον οἷον ἀπόλωλεν; οἵας ὑμᾶς αὐτοὺς ἀξιοῦτε μετὰ τὸν ναὸν σωτηρίας; ἀλλὰ καὶ νῦν μετὰ τῶν ὅπλων ἑστήκατε, καὶ οὐδ' ἐν ἐσχάτοις ὑποκρίνεσθε γοῦν ἱκέτας, ὦ ταλαίπωροι, τίνι πεποιθότες; οὐ νεκρὸς μὲν ὑμῶν ὁ δῆμος, οἰχεται δὲ ὁ ναός, ὑπ' ἐμοὶ δὲ ἡ πόλις, ἐν χερσὶ δὲ ταῖς ἐμαῖς ἔχετε τὰς ψυχάς; εἶθ' ὑπολαμβάνετε δόξαν ἀνδρείας τὸ δυσθανατᾶν; οὐ μὴν ἐγὼ φιλονεικήσω πρὸς τὴν ἀπόνοιαν ὑμῶν, ῥίψασι δὲ τὰ ὅπλα καὶ παραδοῦσι τὰ σώματα χαρίζομαι τὸ ζῆν, ὥσπερ ἐν οἰκίᾳ πρᾶος δεσπότης, τὰ μὲν ἀνήκεστα κολάσας, τὰ δὲ λοιπὰ σώζων ἐμαυτῷ."

πρὸς δὲ ταῦτα ἀποκρίνονται δεξιὰν μὲν μὴ δύνασθαι παρ' αὐτοῦ λαβεῖν, ὁμωμοκέναι γὰρ μηδέποτε τοῦτο ποιήσειν· ἔξοδον δ' ἠτοῦντο διὰ τοῦ περιτειχίσματος μετὰ γυναικῶν καὶ τέκνων· ἀπελεύσεσθαι γὰρ εἰς τὴν ἔρημον καὶ καταλείψειν αὐτῷ τὴν πόλιν. πρὸς ταῦτα ἀγανακτήσας Τίτος, εἰ τύχην ἁλωκότων ἔχοντες αἱρέσεις αὐτῷ προτείνουσιν νενικηκότων, κηρῦξαι μὲν ἐκέλευσεν εἰς αὐτοὺς μήτε αὐτομολεῖν ἔτι μήτε δεξιὰν ἐλπίζειν (φείσεσθαι γὰρ οὐδενός), ἀλλὰ πάσῃ δυνάμει μάχεσθαι, καὶ σώζειν ἑαυτοὺς ὅπως ἂν δύναιντο· πάντα γὰρ αὐτὸς ἤδη πράξειν πολέμου νόμῳ. τοῖς δὲ στρατιώταις ἐμπιπράναι καὶ διαρπάζειν ἐκέλευσε τὴν πόλιν. οἱ δ' ἐκείνην μὲν ἐπέσχον τὴν ἡμέραν, τῇ δ' ὑστεραίᾳ τό τε ἀρχεῖον καὶ τὴν ἄκραν καὶ

Digitized by Google

τὸ βουλευτήριον καὶ τὸν Ὀφλᾶν καλούμενον ὑφῆψαν. καὶ προύκοψε τὸ πῦρ μέχρι τῶν Ἑλένης βασιλείων, ἃ δὴ κατὰ μέσην τὴν ἄκραν ἦν. ἐκαίοντο δ' οἵ τε στενωποὶ καὶ αἱ οἰκίαι νεκρῶν ὑπὸ τοῦ λιμοῦ διεφθαρμένων πλήρεις.

4 κατὰ ταύτην τὴν ἡμέραν οἵ τε Ἰζάτου βασιλέως υἱοὶ καὶ ἀδελφοί, πρὸς οἷς πολλοὶ τῶν ἐπισήμων δημοτῶν ἐκεῖ συνελθόντες, ἱκέτευσαν Καίσαρα δοῦναι δεξιὰν αὐτοῖς. ὃ δέ, καίτοι πρὸς πάντας τοὺς ὑπολοίπους διωργισμένος, οὐκ ἤλλαξε τὸ ἦθος, δέχεται δὲ τοὺς ἄνδρας. καὶ τότε μὲν ἐν φρουρᾷ πάντας εἶχε, τοὺς δὲ τοῦ βασιλέως παῖδας καὶ συγγενεῖς δήσας ὕστερον εἰς Ῥώμην ἀνήγαγε, πίστιν ὁμήρων παρέξοντας.

7 οἱ στασιασταὶ δ' ἐπὶ τὴν βασιλικὴν ὁρμήσαντες αὐλήν, εἰς ἣν δι' ὀχυρότητα πολλοὶ τὰς κτήσεις ἀπέθεντο, τούς τε Ῥωμαίους ἀπ' αὐτῆς τρέπονται, καὶ τὸ συνηθροισμένον αὐτόθι τοῦ δήμου πᾶν φονεύσαντες, ὄντας εἰς ὀκτακισχιλίους καὶ τετρακοσίους, τὰ χρήματα διήρπασαν. ἐξώγρησαν δὲ καὶ Ῥωμαίων δύο, τὸν μὲν ἱππέα τὸν δὲ πεζόν. καὶ τὸν μὲν πεζὸν ἀποσφάξαντες εὐθέως ἔσυραν περὶ τὴν πόλιν, ὥσπερ ἐν ἑνὶ σώματι πάντας Ῥωμαίους ἀμυνόμενοι, ὁ δὲ ἱππεὺς ὠφέλιμόν τι αὐτοῖς πρὸς σωτηρίαν ὑποθήσεσθαι λέγων ἀνάγεται πρὸς Σίμωνα· παρ' ᾧ μηδὲν εἰπεῖν ἔχων Ἀρδάλῳ τινὶ τῶν ἡγεμόνων παραδίδοται κολασθησόμενος. ὃ δ' αὐτοῦ ὀπίσω τὼ χεῖρε δήσας καὶ ταινίᾳ τοὺς ὀφθαλμοὺς ἀντικρὺ τῶν Ῥωμαίων προήγαγεν ὡς καρατομήσων· φθάνει δ' ἐκεῖνος εἰς τοὺς Ῥωμαίους διαφυγών, ἐν ὅσῳ τὸ ξίφος ἐσπάσατο ὁ Ἰουδαῖος. τοῦτον διαφυγόντα ἐκ τῶν πολεμίων ἀνελεῖν μὲν οὐχ ὑπέμεινε Τίτος, ἀνάξιον δὲ Ῥωμαίων εἶναι στρατιώτην κρίνας ὅτι ζῶν ἐλήφθη,

Digitized by Google

τά τε ὅπλα ἀφείλετο καὶ τοῦ τάγματος ἐξέβαλεν, ἅπερ ἦν αἰσχυνομένῳ θανάτου χαλεπώτερα.

τῇ δ' ἑξῆς Ῥωμαῖοι τρεψάμενοι τοὺς λῃστὰς ἐκ τῆς 2 κάτω πόλεως τὰ μέχρι τοῦ Σιλωὰμ πάντα ἐνέπρησαν. καὶ τοῦ μὲν ἄστεος ἥδοντο δαπανωμένου, τῶν δὲ ἁρπαγῶν διημάρτανον, ἐπειδὴ πάνθ' οἱ στασιασταὶ προκενοῦντες ἀνεχώρουν εἰς τὴν ἄνω πόλιν. ἦν γὰρ αὐτοῖς μετάνοια μὲν οὐδεμία τῶν κακῶν, ἀλαζονεία δ' ὡς ἐπ' ἀγαθοῖς. καιομένην γοῦν ἀφορῶντες τὴν πόλιν, ἱλαροῖς τοῖς προσώποις εὔθυμοι τὴν τελευτὴν προσδέχεσθαι ἔλεγον, πεφονευμένου μὲν τοῦ δήμου, κεκαυμένου δὲ τοῦ ναοῦ, φλεγομένου δὲ τοῦ ἄστεος, μηδὲν καταλιπόντες τοῖς πολεμίοις. οὐ μὴν ὅ γε Ἰώσηπος ἐν ἐσχάτοις ἱκετεύων αὐτοὺς ὑπὲρ τῶν λειψάνων τῆς πόλεως ἔκαμνεν, ἀλλὰ πολλὰ μὲν πρὸς τὴν ὠμότητα καὶ τὴν ἀσέβειαν εἰπών, πολλὰ δὲ συμβουλεύσας πρὸς σωτηρίαν, οὐδὲν τοῦ χλευασθῆναι πλέον ἀπηνέγκατο. ἐπεὶ δ' οὔτε παραδοῦναι διὰ τὸν ὅρκον ἑαυτοὺς ὑπέμενον οὔτε πολεμεῖν ἐξ ἴσου Ῥωμαίοις ἔθ' οἷοί τε ἦσαν, ὥσπερ εἱρκτῇ περιειλημμένοι, τό τε τοῦ φονεύειν ἔθος ἐκίνει τὰς δεξιάς, σκιδνάμενοι κατὰ τὰ ἔμπροσθεν τῆς πόλεως τοῖς ἐρειπίοις ὑπελόχων τοὺς αὐτομολεῖν ὡρμημένους. ἡλίσκοντο δὲ πολλοί, καὶ πάντας ἀποσφάττοντες (ὑπὸ γὰρ ἐνδείας οὐδὲ φυγεῖν ἴσχυον) ἐρρίπτουν αὐτῶν κυσὶ τοὺς νεκρούς. ἐδόκει δὲ πᾶς τρόπος ἀπωλείας τοῦ λιμοῦ κουφότερος, ὥστε καὶ Ῥωμαίοις ἀπηλπικότες ἤδη τὸν ἔλεον ὅμως προσέφευγον, καὶ φονεύουσι τοῖς στασιασταῖς ἑκόντες ἐνέπιπτον. τόπος τε ἐπὶ τῆς πόλεως οὐδεὶς γυμνὸς ἦν, ἀλλὰ πᾶς λιμοῦ νεκρὸν εἶχεν ἢ στάσεως.

ἔθαλπε δὲ τούς τε τυράννους καὶ τὸ σὺν αὐτοῖς 3 λῃστρικὸν ἐλπὶς ἐσχάτη περὶ τῶν ὑπονόμων, εἰς οὓς

Digitized by Google

καταφεύγοντες οὐ προσεδόκων ἐρευνηθήσεσθαι· μετὰ δὲ τὴν παντελῆ τῆς πόλεως ἅλωσιν ἀναζευξάντων τῶν Ῥωμαίων προελθόντες ἀποδράσεσθαι ἐπεχείρουν. τὸ δ' ἦν ἄρα ὄνειρος αὐτοῖς· οὔτε γὰρ τὸν θεὸν οὔτε Ῥωμαίους λήσειν ἔμελλον. τηνικαῦτά γε μὴν τοῖς ὑπογείοις πεποιθότες αὐτοὶ πλείονα τῶν Ῥωμαίων ἐνεπίμπρασαν, καὶ τοὺς ἐκ τῶν καιομένων καταφεύγοντας εἰς τὰς διώρυχας ἔπτεινόν τε ἀνέδην καὶ ἐσύλων, κἂν εἴ τινος εὕροιεν τροφὴν ἁρπάζοντες, αἵματι πεφυρμένην κατέπινον. ἦν δὲ καὶ πρὸς ἀλλήλους ἐν ταῖς ἁρπαγαῖς ἤδη πόλεμος αὐτοῖς, δοκοῦσι δ' ἄν μοι μὴ φθασθέντες ὑπὸ τῆς ἁλώσεως δι' ὑπερβολὴν ὠμότητος γεύσασθαι καὶ τῶν νεκρῶν.

8 Καίσαρ δέ, ὡς ἀμήχανον ἦν ἐξελεῖν δίχα χωμάτων τὴν ἄνω πόλιν περικρημνον οὖσαν, διανέμει τοῖς ἔργοις τὴν δύναμιν. Λάου μηνὸς εἰκάδι. καλεπὴ δ' ἦν τῆς ὕλης ἡ κομιδή, πάντων, ὡς ἔφην, τῶν περὶ τὴν πόλιν ἐφ' ἑκατὸν σταδίους ἐφιλωμένων εἰς τὰ πρότερον χώματα. τῶν μὲν οὖν τεσσάρων ταγμάτων ἠγείρετο τὰ ἔργα κατὰ τὸ πρὸς δύσιν κλίμα τῆς πόλεως, ἄντικρυς τῆς βασιλικῆς αὐλῆς, τὸ δὲ συμμαχικὸν πλῆθος καὶ ὁ λοιπὸς ὄχλος κατὰ τὸν ξυστὸν καὶ τὴν γέφυραν καὶ τὸν Σίμωνος πύργον, ὃν ᾠκοδόμησε πρὸς Ἰωάννην πολεμῶν ἑαυτῷ φρούριον.

2 κατὰ ταύτας τὰς ἡμέρας οἱ τῶν Ἰδουμαίων ἡγεμόνες κρύφα συνελθόντες ἐβουλεύσαντο περὶ παραδόσεως σφῶν αὐτῶν, καὶ πέμψαντες ἄνδρας πέντε πρὸς Τίτον ἱκέτευον δοῦναι δεξιὰν αὐτοῖς. ὃ δὲ καὶ τοὺς τυράννους ἐνδώσειν ἐλπίσας ἀποσπασθέντων τῶν Ἰδουμαίων, οἳ πολὺ τοῦ πολέμου μέρος ἦσαν, βραδέως μὲν ἀλλ' οὖν κατανεύει τε σωτηρίαν αὐτοῖς καὶ τοὺς ἄνδρας ἀνέπεμψε. παρασκευαζομένων δ' ἀποχωρεῖν αἰσθάνε-

Digitized by Google

ται Σίμων, καὶ πέντε μὲν τοὺς ἀπελθόντας πρὸς Τίτον εὐθέως ἀναιρεῖ, τοὺς δ' ἡγεμόνας, ὧν ἐπισημότατος ἦν ὁ τοῦ Σωσᾶ Ἰάκωβος, συλλαβὼν εἴργνυσι· τὸ δὲ πλῆθος τῶν Ἰδουμαίων ἀμηχανοῦν διὰ τὴν ἀφαίρεσιν τῶν ἡγεμόνων οὐκ ἀφύλακτον εἶχε, καὶ τὸ τεῖχος φρουραῖς ἐπιμελεστέραις διελάμβανεν. οὐ μὴν ἀντέχειν οἱ φρουροὶ πρὸς τὰς αὐτομολίας ἴσχυον, ἀλλὰ καίτοι πλείστων φονευομένων πολὺ πλείους οἱ διαφεύγοντες ἦσαν. ἐδέχοντο δὲ Ῥωμαῖοι πάντας, τοῦ τε Τίτου διὰ πραότητα τῶν προτέρων ἀμελήσαντος παραγγελμάτων, καὶ αὐτοὶ κόρῳ τοῦ κτείνειν ἀπεχόμενοι καὶ κέρδους ἐλπίδι· τοὺς γὰρ δημοτικοὺς καταλιπόντες μόνους τὸν ἄλλον ὄχλον ἐπώλουν σὺν γυναιξὶ καὶ τέκνοις, ἐλαχίστης τιμῆς ἕκαστον, πλήθει τε τῶν πιπρασκομένων καὶ ὀλιγότητι τῶν ὠνουμένων. καίπερ δὲ προκηρύξας μηδένα μόνον αὐτομολεῖν, ὅπως καὶ τὰς γενεὰς ἐξαγάγοιεν, ὅμως καὶ τούτους ἐδέχετο· ἐπέστησε μέντοι τοὺς διακρινοῦντας ἀπ' αὐτῶν, εἴ τις εἴη κολάσεως ἄξιος. καὶ τῶν μὲν ἀπεμποληθέντων ἄπειρον τὸ πλῆθος ἦν, οἱ δημοτικοὶ δὲ διεσώθησαν ὑπὲρ τετρακισμυρίους, οὓς διαφῆκε Καῖσαρ ἢ φίλον ἦν ἑκάστῳ.

ἐν δὲ ταῖς αὐταῖς ἡμέραις καὶ τῶν ἱερέων τις, Θε- 3
βουθὶ παῖς, Ἰησοῦς ὄνομα, λαβὼν περὶ σωτηρίας ὅρκους παρὰ Καίσαρος ἐφ' ᾧ παραδώσει τινὰ τῶν ἱερῶν κειμηλίων, ἔξεισι, καὶ παραδίδωσιν ἀπὸ τοῦ τοίχου τοῦ ναοῦ λυχνίας δύο ταῖς κατὰ τὸν ναὸν κειμέναις παραπλησίας, τραπέζας τε καὶ κρατῆρας καὶ φιάλας, πάνθ' ὁλόχρυσα καὶ στιβαρώτατα· παραδίδωσι δὲ καὶ τὰ καταπετάσματα καὶ τὰ ἐνδύματα τῶν ἀρχιερέων σὺν τοῖς λίθοις, καὶ πολλὰ τῶν πρὸς τὰς ἱερουργίας σκευῶν ἄλλα. συλληφθεὶς δὲ καὶ ὁ γαζοφύλαξ τοῦ ἱεροῦ Φινέας ὄνομα τρύς τε χιτῶνας καὶ τὰς ζώνας ἐπέδειξε τῶν ἱε-

Digitized by Google

ρέων, πορφύραν τε πολλὴν καὶ κόκκον, ἃ πρὸς τὰς χρείας ἀπέκειτο τοῦ καταπετάσματος, σὺν οἷς κιννάμωμόν τε πολὺ καὶ κασσίαν καὶ πλῆθος ἑτέρων ἀρωμάτων, ἃ συμμίσγοντες ἐθυμίων ὁσημέραι τῷ θεῷ. παρεδόθη δὲ ὑπ' αὐτοῦ πολλὰ καὶ τῶν ἄλλων κειμηλίων, κόσμος θ' ἱερὸς οὐκ ὀλίγος, ἅπερ αὐτῷ βίᾳ ληφθέντι τὴν τῶν αὐτομόλων συγγνώμην ἔδωκε.

4 συντετελεσμένων δ' ἤδη καὶ τῶν χωμάτων ἑβδόμῃ Γορπιαίου μηνὸς ἐν ὀκτωκαίδεκα ἡμέραις Ῥωμαῖοι μὲν προσῆγον τὰς μηχανάς, τῶν δὲ στασιαστῶν οἱ μέν, ἀπεγνωκότες ἤδη τὴν πόλιν, ἀνεχώρουν τοῦ τείχους εἰς τὴν ἄκραν, οἱ δ' ἐγκατεδύοντο τοῖς ὑπονόμοις, πολλοὶ δὲ διαστάντες ἠμύνοντο τοὺς προσάγοντας τὰς ἑλεπόλεις. ἐκράτουν δὲ καὶ τούτων Ῥωμαῖοι πλήθει τε καὶ βίᾳ, καὶ τὸ μέγιστον, εὐθυμοῦντες ἀθύμων ἤδη καὶ παρειμένων. ὡς δὲ περιερράγη μέρος τι τοῦ τείχους, καί τινες τῶν πύργων τυπτόμενοι τοῖς κριοῖς ἐνέδοσαν, φυγὴ μὲν ἦν εὐθέως τῶν ἀμυνομένων, δέος δὲ καὶ τοῖς τυράννοις ἐμπίπτει σφοδρότερον τῆς ἀνάγκης· πρὶν γὰρ ὑπερβῆναι τοὺς πολεμίους, ἐνάρκων τε καὶ μετέωροι πρὸς φυγὴν ἦσαν. ἦν δ' ἰδεῖν τοὺς πάλαι σοβαροὺς καὶ τοῖς ἀσεβήμασιν ἀλαζόνας τότε ταπεινοὺς καὶ τρέμοντας, ὡς ἐλεεινὴν εἶναι καίπερ ἐν πονηροτάτοις τὴν μεταβολήν. ὥρμησαν μὲν οὖν ἐπὶ τὸ περιτείχισμα δραμόντες ὥσασθαί τε τοὺς φρουροὺς καὶ διακόψαντες ἐξελθεῖν· ὡς δὲ τοὺς μὲν πάλαι πιστοὺς εὑρὼν οὐδαμοῦ (διέφυγον γὰρ ὅπῃ τινὶ συνεβούλευσεν ἡ ἀνάγκη), προθέοντες δὲ οἱ μὲν ὅλον ἀνατετράφθαι τὸ πρὸς δύσιν τεῖχος ἤγγελλον, οἱ δ' ἐμβεβληκέναι τοὺς Ῥωμαίους, οἱ δ' ἤδη πλησίον εἶναι ζητοῦντας αὐτούς, ἕτεροι δὲ καὶ ἀφορᾶν ἐπὶ τῶν πύργων πολεμίους ἔλεγον πλάζοντος τὰς ὄψεις τοῦ δέους, ἐπὶ στόμα πεσόντες ἀνῴμωξαν

Digitized by Google

τὴν ἑαυτῶν φρενοβλάβειαν, καὶ καθάπερ ὑποκεκομμένοι τὰ νεῦρα τῆς φυγῆς ἠπόρουν. ἔνθα δὴ μάλιστ' ἄν τις καταμάθοι τήν τε τοῦ θεοῦ δύναμιν ἐπὶ τοῖς ἀνοσίοις καὶ τὴν Ῥωμαίων τύχην. οἱ μὲν γὰρ τύραννοι τῆς ἀσφαλείας ἐγύμνωσαν ἑαυτοὺς κἀκ τῶν πύργων κατέβησαν ἑκόντες, ἐφ' ὧν βίᾳ μὲν οὐδέποτ' ἁλῶναι, μόνῳ δ' ἐδύναντο λιμῷ· Ῥωμαῖοι δὲ τοσαῦτα περὶ τοῖς ἀσθενεστέροις τείχεσι καμόντες παρέλαβον τύχῃ τὰ μὴ δυνατὰ τοῖς ὀργάνοις· παντὸς γὰρ ἰσχυρότεροι μηχανήματος ἦσαν οἱ τρεῖς πύργοι, περὶ ὧν ἀνωτέρω δεδηλώκαμεν.

καταλιπόντες δὴ τούτους, μᾶλλον δ' ὑπὸ τοῦ θεοῦ καταβληθέντες ἀπ' αὐτῶν, παραχρῆμα μὲν εἰς τὴν ὑπὸ Σιλωὰμ φάραγγα καταφεύγουσιν, αὖθις δ' ὀλίγον ἀνακύψαντες ἐκ τοῦ δέους ὥρμησαν ἐπὶ τὸ τῇδε περιτείχισμα. χρησάμενοι δὲ ταῖς τόλμαις ἀγεννεστέραις τῆς ἀνάγκης (κατεάγεισαν γὰρ ἤδη τὴν ἰσχὺν ἅμα τῷ δέει καὶ ταῖς συμφοραῖς) ὑπὸ τῶν φρουρῶν ἀνωθοῦνται, καὶ σκεδασθέντες ἀπ' ἀλλήλων κατέδυσαν εἰς τοὺς ὑπονόμους. Ῥωμαῖοι δὲ τῶν τειχῶν κρατήσαντες τάς τε σημαίας ἔστησαν ἐπὶ τῶν πύργων, καὶ μετὰ κρότου καὶ χαρᾶς ἐπαιάνιζον ἐπὶ τῇ νίκῃ, πολὺ τῆς ἀρχῆς κουφότερον τοῦ πολέμου τὸ τέλος εὑρηκότες. ἀναιμωτὶ γοῦν τοῦ τελευταίου τείχους ἐπιβάντες ἠπίστουν, καὶ μηδένα βλέποντες ἀντίπαλον ἀήθως ἠπόρηντο. εἰσχυθέντες δὲ τοῖς στενωποῖς ξιφήρεις τούς τε καταλαμβανομένους ἐφόνευον ἀνέδην, καὶ τῶν συμφευγόντων τὰς οἰκίας αὐτάνδρους ὑπεπίμπρασαν. πολλὰ δὲ κεραΐζοντες, ὁπότ' ἔνδον παρέλθοιεν ἐφ' ἁρπαγήν, γενεὰς ὅλας νεκρῶν κατελάμβανον, καὶ τὰ δωμάτια πλήρη τῶν τοῦ λιμοῦ πτωμάτων· ἔπειτα πρὸς τὴν ὄψιν πεφρικότες κεναῖς χερσὶν ἐξῄεσαν. οὐ μὴν οἰκτείροντες τοὺς

Digitized by Google

οὕτως ἀπολωλότας ταὐτὸ καὶ πρὸς τοὺς ζῶντας ἔπασχον, ἀλλὰ τὸν ἐντυγχάνοντα διελαύνοντες ἀπέφραξαν μὲν τοὺς στενωποὺς νεκροῖς, αἵματι δ' ὅλην τὴν πόλιν κατέκλυσαν, ὡς πολλὰ τῶν φλεγομένων σβεσθῆναι τῷ φόνῳ. καὶ οἱ μὲν κτείνοντες ἐπαύσαντο πρὸς ἑσπέραν, ἐν δὲ τῇ νυκτὶ τὸ πῦρ ἐπεκράτει. φλεγομένοις δ' ἐπανέτειλεν Ἱεροσολύμοις ἡμέρα Γορπιαίου μηνὸς ὀγδόη, πόλει τοσαύταις χρησαμένῃ συμφοραῖς κατὰ τὴν πολιορκίαν ὅσοις ἀπὸ τῆς κτίσεως ἀγαθοῖς κεχρημένη πάντως ἂν ἐπίφθονος ἔδοξεν, οὐ μὴν ἀξία κατ' ἄλλο τι τῶν τηλικούτων ἀτυχημάτων ἢ τὸ γενεὰν τοιαύτην ἐνεγκεῖν ὑφ' ἧς ἀνετράπη.

9 παρελθὼν δὲ Τίτος εἴσω τά τ' ἄλλα τῆς ὀχυρότητος τὴν πόλιν καὶ τῶν πύργων ἀπεθαύμασεν, οὓς οἱ τύραννοι κατὰ φρενοβλάβειαν ἀπέλιπον. κατιδὼν γοῦν τό τε ναστὸν αὐτῶν ὕψος καὶ τὸ μέγεθος ἑκάστης πέτρας, τήν τε ἀκρίβειαν τῆς ἁρμονίας, καὶ ὅσοι μὲν εὖρος ἡλίκοι δὲ ἦσαν τὴν ἀνάτασιν, "σὺν θεῷ γ' ἐπολεμήσαμεν" ἔφη, "καὶ θεὸς ἦν ὁ τῶνδε τῶν ἐρυμάτων Ἰουδαίους καθελών, ἐπεὶ χεῖρές τε ἀνθρώπων ἢ μηχαναί τί πρὸς τούτους τοὺς πύργους δύνανται;" τότε μὲν οὖν πολλὰ τοιαῦτα διελέχθη πρὸς τοὺς φίλους, τοὺς δὲ τῶν τυράννων δεσμώτας οἷ κατελήφθησαν ἐν τοῖς φρουρίοις ἀνῆκεν. αὖθις δὲ τὴν ἄλλην ἀφανίζων πόλιν καὶ τὰ τείχη κατασκάπτων τούτους τοὺς πύργους κατέλιπε μνημεῖον εἶναι τῆς αὐτοῦ τύχης, ᾗ συστρατιώτιδι χρησάμενος ἐκράτησε τῶν ἁλῶναι μὴ δυναμένων.

2 ἐπεὶ δ' οἱ στρατιῶται μὲν ἔκαμνον ἤδη φονεύοντες, πολὺ δ' ἔτι πλῆθος τῶν περιόντων ἀνεφαίνετο, κελεύει Καῖσαρ μόνους μὲν τοὺς ἐνόπλους καὶ χεῖρας ἀντισχόντας κτείνειν, τὸ δὲ λοιπὸν πλῆθος ζωγρεῖν. οἳ δὲ μετὰ τῶν παρηγγελμένων τό τε γηραιὸν καὶ τοὺς ἀσθενεῖς

Digitized by Google

ἀνῆρουν, τὸ δ' ἀκμάζον καὶ χρήσιμον εἰς τὸ ἱερὸν συνελάσαντες ἐγκατέκλεισαν τῷ τῶν γυναικῶν περιτειχίσματι· καὶ φρουρὸν μὲν ἐπέστησε Καῖσαρ ἕνα τῶν ἀπελευθέρων, Φρόντωνα δὲ τῶν φίλων ἐπικρινοῦντα τὴν ἀξίαν ἑκάστῳ τύχην. ὃ δὲ τοὺς μὲν στασιώδεις καὶ ληστρικοὺς πάντας ὑπ' ἀλλήλων ἐνδεικνυμένους ἀπέκτεινε, τῶν δὲ νέων τοὺς ὑψηλοτάτους καὶ καλοὺς ἐπιλέξας ἐτήρει τῷ θριάμβῳ. τοῦ δὲ λοιποῦ πλήθους τοὺς ὑπὲρ ἑπτακαίδεκα ἔτη δήσας ἔπεμψεν εἰς τὰ κατ' Αἴγυπτον ἔργα, πλείστους δ' εἰς τὰς ἐπαρχίας διεδωρήσατο Τίτος, φθαρησομένους ἐν τοῖς θεάτροις σιδήρῳ καὶ θηρίοις. οἱ δ' ἐντὸς ἑπτακαίδεκα ἐτῶν ἐπράθησαν. ἐφθάρησαν δ' αὐτῶν, ἐν αἷς διέκρινεν ὁ Φρόντων ἡμέραις, ὑπ' ἐνδείας χίλιοι πρὸς τοῖς μυρίοις, οἳ μὲν ὑπὸ μίσους τῶν φυλάκων μὴ μεταλαμβάνοντες τροφῆς, οἳ δ' οὐ προσιέμενοι διδομένην. πρὸς δὲ τὸ πλῆθος ἦν ἔνδεια καὶ σίτου.

τῶν μὲν οὖν αἰχμαλώτων πάντων, ὅσα καθ' ὅλον 3
ἐλήφθη τὸν πόλεμον, ἀριθμὸς ἐννέα μυριάδες καὶ ἑπτακισχίλιοι συνήχθη, τῶν δ' ἀπολομένων κατὰ πᾶσαν τὴν πολιορκίαν μυριάδες ἑκατὸν καὶ δέκα. τούτων τὸ πλέον ὁμόφυλον μὲν ἀλλ' οὐκ ἐπιχώριον· ἀπὸ γὰρ τῆς χώρας ὅλης ἐπὶ τὴν τῶν ἀζύμων ἑορτὴν συνεληλυθότες ἐξαπίνης τῷ πολέμῳ περιεσχέθησαν, ὥστε τὸ μὲν πρῶτον αὐτοῖς τὴν στενοχωρίαν γενέσθαι λοιμώδη φθοράν, αὖθις δὲ καὶ λιμὸν ὠκύτερον. ὅτι δ' ἐχώρει τοσούτους ἡ πόλις, δῆλον ἐκ τῶν ἐπὶ Κεστίου συναριθμηθέντων, ὃς τὴν ἀκμὴν τῆς πόλεως διαδηλῶσαι Νέρωνι βουλόμενος καταφρονοῦντι τοῦ ἔθνους παρεκέλευσε τοὺς ἀρχιερεῖς, εἴ πως δυνατὸν εἴη τὴν πληθὺν ἐξαριθμήσασθαι. οἱ δ' ἐνστάσης τῆς ἑορτῆς (πάσχα καλεῖται), καθ' ἣν θύουσι μὲν ἀπὸ τῆς ἐνάτης ὥρας μέ-

Digitized by Google

χρι ἐνδεκάτης, ὥσπερ δὲ φρατρία περὶ ἑκάστην γίνεται θυσίαν, οὐκ ἔλασσον ἀνδρῶν δέκα (μόνον γὰρ οὐκ ἔξεστι δαίνυσθαι, πολλοὶ δὲ καὶ σὺν εἴκοσιν ἀθροίζονται), τῶν μὲν θυμάτων εἴκοσι πέντε μυριάδας ἠρίθμησαν, πρὸς δὲ ἑξακισχίλια καὶ πεντακόσια. γίνονται δ' ἀν- 5
δρῶν, ἵν' ἑκάστου δέκα δαιτυμόνας θῶμεν, μυριάδες ἑβδομήκοντα καὶ διακόσιαι, καθαρῶν ἁπάντων καὶ ἁγίων· οὔτε γὰρ λεπροῖς οὔτε γονορροίοις οὔτε γυναιξὶν ἐπ' ἐμμήνοις οὔτε τοῖς ἄλλως μεμιαμμένοις ἐξῆν τῆσδε τῆς θυσίας μεταλαμβάνειν, ἀλλ' οὐδὲ τοῖς ἀλλοφύλοις, 10
4 ὅσοι κατὰ θρησκείαν παρῆσαν. πολὺ δὲ τούτων πλῆθος ἔξωθεν συλλέγεται. τότε γε μὴν ὥσπερ εἰς εἰρκτὴν ὑπὸ τῆς εἱμαρμένης πᾶν συνεκλείσθη τὸ ἔθνος, καὶ ναστὴν ὁ πόλεμος τὴν πόλιν ἀνδρῶν ἐκυκλώσατο. πᾶσαν γοῦν ἀνθρωπίνην καὶ δαιμόνιον φθορὰν ὑπερβάλλει τὸ πλῆ- 15
θος τῶν ἀπολωλότων. ἐπὶ γοῦν τῶν φανερῶν οὓς μὲν ἀνεῖλον οὓς δ' ἠμαλωτίσαντο Ῥωμαῖοι, οὓς δ' ἐν τοῖς ὑπονόμοις ἀνηρεύνων, καὶ τοὔδαφος ἀναρρηγνύντες ὅσοις μὲν ἐνετύγχανον ἔκτεινον. εὑρέθησαν δὲ κἀκεῖ νεκροὶ πλείους δισχιλίων, οἱ μὲν ὑπὸ σφῶν αὐτῶν οἱ 20
δ' ὑπ' ἀλλήλων, τὸ πλέον δ' ὑπὸ τοῦ λιμοῦ διεφθαρμένοι. δεινὴ δ' ὑπῆντα τοῖς ἐπεισπίπτουσιν ὀδμὴ τῶν σωμάτων, ὡς πολλοὺς μὲν ἀναχωρεῖν εὐθέως, τοὺς δὲ ὑπὸ πλεονεξίας εἰσδύεσθαι, νεκροὺς σεσωρευμένους ἐμπατοῦντας· πολλὰ γὰρ τῶν κειμηλίων ἐν ταῖς διω- 25
ρυξιν εὑρίσκετο, καὶ πᾶσαν θεμιτὴν ὁδὸν ἐποίει τὸ κέρδος. ἀνήγοντο δὲ καὶ δεσμῶται πολλοὶ τῶν τυράννων· οὐδὲ γὰρ ἐν ἐσχάτοις ἐπαύσαντο τῆς ὠμότητος. ἀπετίσατό γε μὴν ὁ θεὸς ἀμφοτέρους ἀξίως, καὶ Ἰωάννης μὲν λιμώττων μετὰ τῶν ἀδελφῶν ἐν τοῖς ὑπονό- 30
μοις, ἣν πολλάκις ὑπερηφάνησε δεξιὰν παρὰ Ῥωμαίων λαβεῖν ἱκέτευσε, Σίμων δὲ πολλὰ διαμαχήσας πρὸς τὴν

Digitized by Google

ἀνάγκην, ὡς διὰ τῶν ἑξῆς δηλώσομεν, ἑαυτὸν παραδίδωσιν. ἐφυλάχθη δ' ὃ μὲν τῷ θριάμβῳ σφάγιον, ὁ δ' Ἰωάννης δεσμοῖς αἰωνίοις. Ῥωμαῖοι δὲ τάς τε ἐσχατιὰς τοῦ ἄστεος ἐνέπρησαν καὶ τὰ τείχη κατέσκαψαν.

ἑάλω μὲν οὕτως Ἱεροσόλυμα ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ ἡγεμονίας, Γορπιαίου μηνὸς ὀγδόῃ, ἁλοῦσα δὲ καὶ πρότερον πεντάκις τοῦτο δεύτερον ἠρημώθη. Ἀσωχαῖος μὲν γὰρ ὁ τῶν Αἰγυπτίων βασιλεὺς καὶ μετ' αὐτὸν Ἀντίοχος, ἔπειτα Πομπήιος, καὶ ἐπὶ τούτοις σὺν Ἡρώδῃ Σόσσιος ἑλόντες ἐτήρησαν τὴν πόλιν· πρὸ δὲ τούτων ὁ τῶν Βαβυλωνίων βασιλεὺς κρατήσας ἠρήμωσεν αὐτὴν μετὰ ἔτη τῆς κτίσεως χίλια τετρακόσια ἑξήκοντα ὀκτὼ καὶ μῆνας ἕξ. ὁ δὲ πρῶτος κτίσας ἦν Χαναναίων δυνάστης, ὁ τῇ πατρίῳ γλώσσῃ κληθεὶς βασιλεὺς δίκαιος· ἦν γὰρ δὴ τοιοῦτος. διὰ τοῦτο ἱεράσατό τε τῷ θεῷ πρῶτος, καὶ τὸ ἱερὸν πρῶτος δειμάμενος Ἱεροσόλυμα τὴν πόλιν προσηγόρευσε, Σόλυμα καλουμένην πρότερον. τὸν μὲν δὴ τῶν Χαναναίων λαὸν ἐκβαλὼν ὁ τῶν Ἰουδαίων βασιλεὺς Δαυίδης κατοικίζει τὸν ἴδιον, καὶ μετ' αὐτὸν ἔτεσι τετρακοσίοις ἑβδομήκοντα καὶ ἑπτά, μησὶν ἕξ, ὑπὸ Βαβυλωνίων κατασκάπτεται. ἀπὸ δὲ Δαυίδου τοῦ βασιλέως, ὃς πρῶτος αὐτῆς ἐβασίλευσεν Ἰουδαίος, μέχρι τῆς ὑπὸ Τίτου γενομένης κατασκαφῆς ἔτη χίλια καὶ ἑκατὸν ἑβδομήκοντα ἐννέα. ἀπὸ δὲ τῆς πρώτης κτίσεως ἔτη μέχρι τῆς ἐσχάτης ἁλώσεως δισχίλια ἑκατὸν ἑβδομήκοντα καὶ ἑπτά. ἀλλὰ γὰρ οὔθ' ἡ ἀρχαιότης οὔθ' ὁ βαθὺς πλοῦτος οὔτε τὸ διαπεφοιτηκὸς ὅλης τῆς οἰκουμένης ἔθνος οὔθ' ἡ μεγάλη δόξα τῆς θρησκείας ἤρκεσέ τι πρὸς ἀπώλειαν αὐτῇ. τοιοῦτο μὲν δὴ τὸ τέλος τῆς Ἱεροσολύμων πολιορκίας.

Digitized by Google

ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ.

1 Ἐπεὶ δὲ οὔτε φονεύειν οὔτε διαρπάζειν εἶχεν ἡ στρατιὰ πάντων τοῖς θυμοῖς ἐπιλιπόντων (οὐ γὰρ δή γε φειδοί τινὸς ἔμελλον ἀφέξεσθαι δρᾶν ἔχοντες), κελεύει Καῖσαρ ἤδη τήν τε πόλιν ἅπασαν καὶ τὸν νεὼν κατασκάπτειν, πύργους μὲν ὅσοι τῶν ἄλλων ὑπερανεστήμεσαν καταλιπόντας, Φασάηλον Ἱππικὸν Μαριάμμην, τεῖχος δ' ὅσον ἦν ἐξ ἑσπέρας τὴν πόλιν περιέχον, τοῦτο μὲν ὅπως εἴη τοῖς ὑπολειφθησομένοις φρουροῖς στρατόπεδον, τοὺς πύργους δὲ ἵνα τοῖς ἔπειτα σημαίνωσιν οἵας πόλεως καὶ τίνα τρόπον ὀχυρᾶς ἐκράτησεν ἡ Ῥωμαίων ἀνδραγαθία. τὸν δ' ἄλλον ἅπαντα τῆς πόλεως περίβολον οὕτως ἐξωμάλισαν οἱ κατασκάπτοντες ὡς μηδὲ πώποτ' οἰκηθῆναι πίστιν ἂν ἔτι παρασχεῖν τοῖς προσελθοῦσι.

τοῦτο μὲν οὖν τέλος ἐκ τῆς τῶν νεωτερισάντων ἀνοίας Ἱεροσολύμοις ἐγένετο, λαμπρᾷ τε πόλει καὶ παρὰ 2 πᾶσιν ἀνθρώποις διαβοηθείσῃ· Καῖσαρ δὲ φυλακὴν μὲν αὐτόθι καταλιπεῖν ἔγνω τῶν ταγμάτων τὸ δέκατον καί τινας ἴλας ἱππέων καὶ λόχους πεζῶν, πάντα δὲ ἤδη τὰ τοῦ πολέμου διῳκηκὼς ἐπαινέσαι τε σύμπασαν ἐκόθει τὴν στρατιὰν ἐπὶ τοῖς κατωρθωμένοις καὶ τὰ προσήκοντα γέρα τοῖς ἀριστεύσασιν ἀποδοῦναι. ποιηθέντος οὖν αὐτῷ μεγάλου κατὰ μέσην τὴν πρότερον παρεμβολὴν βήματος, καταστὰς ἐπὶ τούτῳ μετὰ τῶν ἡγεμονικωτάτων εἰς ἐπήκοον ἁπάσῃ τῇ στρατιᾷ ἔλεγε χάριν μὲν πολλὴν ἔχειν αὐτοῖς τῆς πρὸς αὐτὸν εὐνοίας, ᾗ χρώμενοι διατελοῦσιν, ἐπῄνει δὲ τῆς ἐν παντὶ πολέμῳ κειθαρχίας, ἣν ἐν πολλοῖς καὶ μεγάλοις κινδύνοις ἅμα τῇ κατὰ σφᾶς ἀνδρείᾳ παρέσχον, τῇ μὲν πατρίδι καὶ δι'

Digitized by Google

αὐτῶν τὸ κράτος αὔξοντες, φανερὸν δὲ πᾶσιν ἀνθρώποις καθιστάντες ὅτι μήτε πλῆθος πολεμίων μήτε χωρίων ὀχυρότητες ἢ μεγέθη πόλεων ἢ τῶν ἀντιτεταγμένων ἀλόγιστοι τόλμαι καὶ θηριώδεις ἀγριότητες δύναιντ' ἄν ποτε τὴν Ῥωμαίων ἀρετὴν διαφυγεῖν, κἂν πολλά τινες τὴν τύχην εὕρωνται συναγωνιζομένην. καλὸν μὲν οὖν ἔφη καὶ τῷ πολέμῳ τέλος αὐτοὺς ἐπιθεῖναι, πολλῷ χρόνῳ γενομένῳ· μηδὲ γὰρ εὔξασθαί τι τούτων ἄμεινον, ὅτ' εἰς αὐτὸν καθίσταντο. τούτου δὲ κάλλιον αὐτοῖς καὶ λαμπρότερον ὑπάρχειν, ὅτι τοὺς ἡγησομένους καὶ τῆς Ῥωμαίων ἀρχῆς ἐπιτροπεύσοντας αὐτῶν χειροτονησάντων εἰς τε τὴν πατρίδα προπεμψάντων, ἅσμενοι πάντες προσίενται, καὶ τοῖς ὑπ' αὐτῶν ἐγνωσμένοις ἐμμένουσι, χάριν ἔχοντες τοῖς ἑλομένοις. θαυμάζειν μὲν οὖν ἔφη πάντας καὶ ἀγαπᾶν, εἰδὼς ὅτι τοῦ δυνατοῦ τὴν προθυμίαν οὐδεὶς ἔσχε βραδυτέραν· τοῖς μέντοι διαπρεπέστερον ἀγωνισαμένοις ὑπὸ ῥώμης πλείονος, καὶ τὸν μὲν αὐτῶν βίον ἀριστείαις κεκοσμηκόσι, τὴν δ' αὐτοῦ στρατιὰν ἐπιφανεστέραν διὰ τῶν κατορθωμάτων πεποιηκόσιν, ἔφη τὰ γέρα καὶ τὰς τιμὰς εὐθὺς ἀποδώσειν, καὶ μηδένα τῶν πλέον πονεῖν ἑτέρου θελησάντων τῆς δικαίας ἀμοιβῆς ἁμαρτήσεσθαι, πλείστην γὰρ αὐτῷ τούτου γενήσεσθαι τὴν ἐπιμέλειαν, ἐπεὶ καὶ μᾶλλον ἐθέλειν τὰς ἀρετὰς τιμᾶν τῶν συστρατευομένων ἢ κολάζειν τοὺς ἁμαρτάνοντας.

εὐθέως οὖν ἐκέλευσεν ἀναγινώσκειν τοῖς ἐπὶ τούτῳ 3
τεταγμένοις ὅσοι τι λαμπρὸν ἦσαν ἐν πολέμῳ κατωρθωκότες. καὶ κατ' ὄνομα καλῶν ἐπῄνει τε παριόντας ὡς ἂν ὑπερευφραινόμενός τις ἐπ' οἰκείοις κατορθώμασι, καὶ στεφάνους ἐπετίθει χρυσοῦς, περιαυχένιά τε χρυσᾶ καὶ δόρατα μακρὰ χρυσᾶ καὶ σημαίας ἐδίδου πεποιημένας ἐξ ἀργύρου, καὶ τὴν ἑκάστου τάξιν ἤλλατ-

Digitized by Google

τεν εἰς τὸ κρεῖττον. οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν λαφύρων ἄργυρον καὶ χρυσὸν ἐσθῆτάς τε καὶ τῆς ἄλλης αὐτοῖς λείας δαψιλῶς ἀπένειμε. πάντων δὲ τετιμημένων ὅπως ἂν αὐτὸς ἕκαστον ἠξίωσε, τῇ συμπάσῃ στρατιᾷ ποιησάμενος εὐχὰς ἐπὶ πολλῇ κατέβαινεν εὐφημίᾳ, τρέπεται τε πρὸς θυσίας ἐπινικίους, καὶ πολλοῦ βοῶν πλήθους τοῖς βωμοῖς παρεστηκότος καταθύσας ἅπαντας τῇ στρατιᾷ διαδίδωσιν εἰς εὐωχίαν. αὐτὸς δὲ τοῖς ἐν τέλει τρεῖς ἡμέρας συνεορτάσας, τὴν μὲν ἄλλην στρατιὰν διαφίησιν, ᾗ καλῶς εἶχεν ἑκάστους ἀπιέναι, τῷ δεκάτῳ δὲ τάγματι τὴν τῶν Ἱεροσολύμων ἐπέτρεψε φυλακήν, οὐκέτ' αὐτοὺς ὑπὸ τὸν Εὐφράτην ἀποστείλας, ἔνθα πρότερον ἦσαν. μεμνημένος δὲ τοῦ δωδεκάτου τάγματος ὅτι Κεστίου στρατηγοῦντος ἐνέδωκαν τοῖς Ἰουδαίοις, τῆς μὲν Συρίας αὐτὸ παντάπασιν ἐξήλασεν (ἦν γὰρ τὸ παλαιὸν ἐν Ῥαφαναίαις), εἰς δὲ τὴν Μελιτηνὴν καλουμένην ἀπέστειλε. παρὰ τὸν Εὐφράτην ἐν μεθορίοις τῆς Ἀρμενίας ἔστι καὶ Καππαδοκίας. δύο δ' ἠξίωσεν αὐτῶν μέχρι τῆς εἰς Αἴγυπτον ἀφίξεως, τὸ πέμπτον καὶ τὸ πεντεκαιδέκατον, παραμένειν. καὶ καταβὰς ἅμα τῷ στρατῷ πρὸς τὴν ἐπὶ τῇ θαλάττῃ Καισάρειαν, εἰς ταύτην τό τε πλῆθος τῶν λαφύρων ἀπέθετο, καὶ τοὺς αἰχμαλώτους προσέταξεν ἐν αὐτῇ φυλάττεσθαι· τὸν γὰρ εἰς τὴν Ἰταλίαν πλοῦν ὁ χειμὼν ἐκώλυε.

2 καθ' ὃν δὲ καιρὸν Τίτος Καῖσαρ τοῖς Ἱεροσολύμοις πολιορκῶν προσήδρευεν, ἐν τούτῳ νεὼς φορτίδος Ὀσπασιανὸς ἐπιβὰς ἀπὸ τῆς Ἀλεξανδρείας εἰς Ῥόδον διέβαινεν· ἐντεῦθεν δὲ πλέων ἐπὶ τριηρῶν, καὶ πάσας τὰς ἐν τῷ παράπλῳ πόλεις ἐπελθών, εὐκταίως αὐτὸν δεχομένας, ἀπὸ τῆς Ἰωνίας εἰς τὴν Ἑλλάδα περαιοῦται, κἀκεῖθεν ἀπὸ Κερκύρας ἐπ' ἄκραν Ἰαπυγίαν, ὅθεν ἤδη κατὰ γῆν ἐποιεῖτο τὴν πορείαν. Τίτος δ' ἀπὸ τῆς ἐπὶ

Digitized by Google

θαλάττῃ Καισαρείας ἀναζεύξας εἰς τὴν Φιλίππου καλουμένην Καισάρειαν ἦκει, συχνόν τ' ἐν αὐτῇ χρόνον ἐπέμενε παντοίας θεωρίας ἐπιτελῶν· καὶ πολλοὶ τῶν αἰχμαλώτων ἐνταῦθα διεφθάρησαν, οἳ μὲν θηρίοις παραβληθέντες, οἳ δὲ κατὰ πληθὺν ἀλλήλοις ἀναγκαζόμενοι χρήσασθαι πολεμίοις. ἐνταῦθα καὶ τὴν Σίμωνος τοῦ Γιώρα σύλληψιν ἐπύθετο, τοῦτον γενομένην τὸν τρόπον. Σίμων οὗτος Ἱεροσολύμων πολιορκουμένων ἐπὶ τῆς ἄνω πόλεως ὤν, ἐπεὶ τῶν τειχῶν ἐντὸς ἡ Ῥωμαίων στρατιὰ γενομένη πᾶσαν ἐπόρθει τὴν πόλιν, τότε τῶν φίλων τοὺς πιστοτάτους παραλαβών, καὶ σὺν αὐτοῖς λιθοτόμους τε καὶ τὸν πρὸς τὴν ἐργασίαν ἐπιτήδειον τούτοις σίδηρον, τροφήν τε διαρκεῖν εἰς πολλὰς ἡμέρας δυναμένην, σὺν ἐκείνοις ἅπασι καθίησιν ἑαυτὸν εἴς τινα τῶν ἀφανῶν ὑπονόμων. καὶ μέχρι μὲν ἦν τὸ παλαιὸν ὄρυγμα, προυχώρουν δι' αὐτοῦ, τῆς στερεᾶς δὲ γῆς ὑπαντώσης ταύτην ὑπενόμευον, ἐλπίδι τοῦ ῥᾳστέρως δυνήσεσθαι προελθόντες, ἐν ἀσφαλεῖ ποιησάμενοι τὴν ἀνάδυσιν, ἀποσώζεσθαι. ψευδῆ δὲ τὴν ἐλπίδα διήλεγχεν ἡ πεῖρα τῶν ἔργων· ὀλίγον τε γὰρ μόλις προύβαινον οἱ μεταλλεύοντες, ἥ τε τροφὴ καίτοι ταμιευομένοις ἔμελλεν ἐπιλείψειν. τότε δὴ τοίνυν, ὡς δι' ἐκπλήξεως ἀπατῆσαι τοὺς Ῥωμαίους δυνησόμενος, λευκοὺς ἐνδιδύσκεται χιτωνίσκους, καὶ πορφυρᾶν ἐμπερονησάμενος χλανίδα, κατ' αὐτὸν ἐκεῖνον τὸν τόπον ἐν ᾧ τὸ ἱερὸν ἦν πρόσθεν, ἐκ γῆς ἀνεφάνη. τὸ μὲν οὖν πρῶτον τοῖς ἰδοῦσι θάμβος προσέπεσε, καὶ κατὰ χώραν ἔμενον, ἔπειτα δ' ἐγγυτέρω προσελθόντες ὅστις ἐστὶν ἤροντο. καὶ τοῦτο μὲν οὐκ ἐδήλου Σίμων αὐτοῖς, καλεῖν δὲ τὸν ἡγεμόνα προσέταττεν. καὶ ταχέως πρὸς αὐτὸν δραμόντων ἦκε Τερέντιος Ῥοῦφος· οὗτος γὰρ ἄρχων τῆς στρατιᾶς κατελέλειπτο. πυθόμε-

Digitized by Google

νος δὲ παρ' αὐτοῦ πᾶσαν τὴν ἀλήθειαν, τὸν μὲν ἐφύλαττε δεδεμένον, Καίσαρι δὲ ὅπως εἴη συνειλημμένος ἐθήλου. Σίμωνα μὲν οὖν εἰς δίκην τῆς κατὰ τῶν πολιτῶν ὠμότητος, ὧν πικρῶς αὐτὸς ἐτυράννησεν, ὑπὸ τοῖς μάλιστα μισοῦσι πολεμίοις ἐποίησεν ὁ θεός, οὐ βία γενόμενον αὐτοῖς ὑποχείριον, ἀλλ' αὐτὸν ἑκουσίως εἰς τὴν τιμωρίαν παραβαλόντα, δι' ὃ πολλοὺς αὐτὸς ὠμῶς ἀπέκτεινε, ψευδεῖς αἰτίας ἐπιφέρων τῆς πρὸς Ῥωμαίους μεταβολῆς. οὐ γὰρ διαφεύγει πονηρία θεοῦ χόλον, οὐδὲ ἀσθενὴς ἡ δίκη, χρόνῳ δὲ μέτεισι τοὺς εἰς αὐτὴν παρανομήσαντας, καὶ χεἰρω τὴν τιμωρίαν ἐπιφέρει τοῖς πονηροῖς, ὅτι καὶ προσεδόκησαν αὐτῆς ἀπηλλάχθαι μὴ παραυτίκα κολασθέντες. ἔγνω τοῦτο καὶ Σίμων εἰς τὰς Ῥωμαίων ὀργὰς ἐμπεσών. ἡ δὲ ἐκείνου γῆθεν ἄνοδος πολὺ καὶ τῶν ἄλλων στασιαστῶν πλῆθος ὑπ' ἐκείνας τὰξ ἡμέρας ἐν τοῖς ὑπονόμοις φωραθῆναι παρεσκεύασε. Καίσαρι δὲ εἰς τὴν παράλιον ἐπανελθόντι Καισάρειαν Σίμων προσήχθη δεδεμένος, κἀκεῖνον μὲν εἰς ὃν ἐπιτελεῖν ἐν Ῥώμῃ παρεσκευάζετο θρίαμβον προσέταξε φυλάττειν, διατρίβων δ' αὐτόθι τὴν τἀδελφοῦ γενέθλιον ἡμέραν ἐπιφανῶς ἑώρταξε, πολὺ καὶ τῆς τῶν Ἰουδαίων κολάσεως εἰς τὴν ἐκείνου τιμὴν ἀνατιθείς· ὁ γὰρ ἀριθμὸς τῶν ἔν τε ταῖς πρὸς τὰ θηρία μάχαις καὶ τῶν καταπιμπραμένων ἔν τε ταῖς ἀλληλοκτονίαις ἀναιρουμένων πεντακοσίους ἐπὶ τοῖς δισχιλίοις ὑπερίβαλε. πάντα μέντοι Ῥωμαίοις ἐδόκει ταῦτα μυρίοις αὐτῶν ἀπολλυμένων τρόκοις ἐλάττων κόλασις εἶναι.

μετὰ τοῦτο Καῖσαρ εἰς Βηρυτὸν ἦκεν (ἥ δέ ἐστιν ἐν τῇ Φοινίκῃ πόλις, Ῥωμαίων ἄποικος), πάντεθθεν χρονιωτέραν ἐποιήσατο τὴν ἐπιδημίαν, πλείονι χρώμενος τῇ λαμπρότητι περὶ τὴν τοῦ πατρὸς ἡμέραν γε-

Digitized by Google

νέθλιον ἔν τε ταῖς τῶν θεωριῶν πολυτελείας καὶ κατὰ τὴν ἄλλην ἐπίνοιαν τῶν ἄλλων ἀναλωμάτων. τὸ δὲ τῶν αἰχμαλώτων πλῆθος τὸν αὐτὸν τρόπον ὡς πρόσθεν ἀπώλλυτο.

γενέσθαι δὲ συνέβη περὶ τὸν καιρὸν τοῦτον καὶ 2
τοῖς ἐν Ἀντιοχείᾳ τῶν Ἰουδαίων ὑπολειπομένοις ἐγκλήματα καὶ κίνδυνον ὀλέθρου, τῆς πόλεως ἐπ' αὐτοὺς τῶν Ἀντιοχέων ἐκταραχθείσης διά τε τὰς ἐν τῷ παρόντι διαβολὰς αὐτοῖς ἐπενεχθείσας καὶ διὰ τὰ προϋπηργμένα χρόνῳ πρόσθεν οὐ πολλῷ. περὶ ὧν ἀναγκαῖόν ἐστι διὰ συντόμων προειπεῖν, ἵνα καὶ τῶν μετὰ ταῦτα πραχθέντων εὐπαρακολούθητον ποιήσωμαι τὴν διήγησιν.

τὸ γὰρ Ἰουδαίων γένος πολὺ μὲν κατὰ πᾶσαν τὴν 3
οἰκουμένην παρέσπαρται τοῖς ἐπιχωρίοις, πλεῖστον δὲ τῇ Συρίᾳ κατὰ τὴν γειτνίασιν ἀναμεμιγμένον, ἐξαιρέτως θ' ἐπὶ τῆς Ἀντιοχείας ἦν πολὺ διὰ τὸ τῆς πόλεως μέγεθος. μάλιστα δ' αὐτοῖς ἀδεᾶ τὴν ἐκεῖ κατοίκησιν οἱ μετ' Ἀντίοχον βασιλεῖς παρέσχον. Ἀντίοχος μὲν γὰρ ὁ κληθεὶς ἐπιφανὴς Ἱεροσόλυμα πορθήσας τὸν νεὼν ἐσύλησεν, οἱ δὲ μετ' αὐτὸν τὴν βασιλείαν παραλαβόντες τῶν ἀναθημάτων ὅσα χαλκᾶ πεποίητο πάντα τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις ἀπέδοσαν, εἰς τὴν συναγωγὴν αὐτῶν ἀναθέντες, καὶ συνεχώρησαν αὐτοῖς ἐξ ἴσου τῆς πόλεως τοῖς Ἕλλησι μετέχειν. τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν μετὰ ταῦτα βασιλέων αὐτοῖς προσφερομένων εἴς τε τὸ πλῆθος ἐπέδωκαν, καὶ τῇ κατασκευῇ καὶ τῇ πολυτελείᾳ τῶν ἀναθημάτων τὸ ἱερὸν ἐξελάμπρυναν, ἀεί τε προσαγόμενοι ταῖς θρησκείαις πολὺ πλῆθος Ἑλλήνων, κἀκείνους τρόπῳ τινὶ μοῖραν αὐτῶν πεποίηντο. καθ' ὃν δὲ καιρὸν ὁ πόλεμος ἀνεκεκήρυκτο, νεωστὶ δ' εἰς τὴν Συρίαν Οὐεσπασιανὸς κατεπεπλεύκει, τὸ δὲ κατὰ τῶν Ἰουδαίων παρὰ πᾶσιν ἤκμαζε μῖσος, τότε δή τις

Digitized by Google

Ἀντίοχος εἷς ἐξ αὐτῶν τὰ μάλιστα διὰ τὸν πατέρα τιμώμενος (ἦν γὰρ ἄρχων τῶν ἐπ' Ἀντιοχείας Ἰουδαίων), τοῦ δήμου τῶν Ἀντιοχέων ἐκκλησιάζοντος εἰς τὸ θέατρον παρελθὼν τόν τε πατέρα τὸν ἑαυτοῦ καὶ τοὺς ἄλλους ἐνεδείκνυτο, κατηγορῶν ὅτι νυκτὶ μιᾷ κατα- 5
πρῆσαι τὴν πόλιν ἅπασαν διεγνώκεισαν, καὶ παρεδίδου ξένους Ἰουδαίους τινὰς ὡς κεκοινωνηκότας τῶν βεβουλευμένων. ταῦτα δ' ἀκούων ὁ δῆμος τὴν ὀργὴν οὐ κατεῖχεν, ἀλλ' ἐπὶ μὲν τοὺς παραδοθέντας πῦρ εὐθὺς ἐκέλευον κομίζειν, καὶ παραχρῆμα πάντες ἐπὶ τοῦ 10
θεάτρου κατεφλέγησαν, ἐπὶ δὲ τὸ πλῆθος ὥρμηντο τῶν Ἰουδαίων, ἐν τῷ τάχιον ἐκείνους τιμωρίᾳ περιβαλεῖν τὴν αὐτῶν πατρίδα σώζειν νομίζοντες. Ἀντίοχος δὲ προσεπέτεινε τὴν ὀργήν, περὶ μὲν τῆς αὐτοῦ μεταβολῆς, καὶ τοῦ μεμισηκέναι τὰ τῶν Ἰουδαίων ἔθη, τε- 15
κμήριον ἐμπαρέχειν οἰόμενος τὸ ἐπιθύειν ὥσπερ νόμος ἐστὶ τοῖς Ἕλλησιν· ἐκέλευε δὲ καὶ τοὺς ἄλλους ταὐτὸ ποιεῖν ἀναγκάζειν· φανεροὺς γὰρ γενήσεσθαι τῷ μὴ θέλειν τοὺς ἐπιβεβουλευκότας. χρωμένων δὲ τῇ πείρᾳ τῶν Ἀντιοχέων ὀλίγοι μὲν ὑπέμειναν, οἱ δὲ μὴ βουλη- 20
θέντες ἀνῃρέθησαν. Ἀντίοχος δὲ στρατιώτας παρὰ τοῦ Ῥωμαίων ἡγεμόνος λαβὼν χαλεπὸς ἐφεστήκει τοῖς αὐτοῦ πολίταις, ἀργεῖν τὴν ἑβδόμην οὐκ ἐπιτρέπων, ἀλλὰ βιαζόμενος πάντα πράττειν ὅσα δὴ καὶ ταῖς ἄλλαις ἡμέραις. οὕτω τε τὴν ἀνάγκην ἰσχυρὰν ἐποίησεν ὡς μὴ 25
μόνον ἐπ' Ἀντιοχείας καταλυθῆναι τὴν ἑβδομάδα ἀργεῖν ἡμέραν, ἀλλ' ἐκεῖθεν ἀρξαμένου τοῦ πράγματος κἀν ταῖς ἄλλαις πόλεσιν ὁμοίως βραχύν τινα χρόνον.

4 τοιούτων δὴ τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις τῶν κατ' ἐκεῖνον τὸν καιρὸν κακῶν γεγενημένων, δευτέρα 30
πάλιν συμφορὰ προσέπεσε, περὶ ἧς ἀφηγεῖσθαι ἐπιχειρήσαντες καὶ ταῦτα διεξήλθομεν. ἐπεὶ γὰρ συνέβη

Digitized by Google

καταπρησθῆναι τὴν τετράγωνον ἀγορὰν ἀρχεῖά τε καὶ γραμματοφυλάκιον καὶ τὰς βασιλικάς, μόλις τε τὸ πῦρ ἐκωλύθη μετὰ πολλῆς βίας ἐπὶ πᾶσαν τὴν πόλιν περιφερόμενον, ταύτην Ἀντίοχος τὴν πρᾶξιν Ἰουδαίων κατηγόρει, καὶ τοὺς Ἀντιοχεῖς, εἰ καὶ μὴ πρότερον εἶχον πρὸς αὐτοὺς ἀπεχθῶς, τάχιστα τῇ διαβολῇ παρὰ τὴν ἐκ τοῦ συμβεβηκότος ταραχὴν ὑπαχθέντας πολὺ μᾶλλον ἐκ τῶν προϋπηργμένων τοῖς ὑπ' αὐτοῦ λεγομένοις πιστεύειν παρεσκεύασεν, ὡς μόνον οὐκ ἐπ' αὐτοὺς τὸ πῦρ ἐνιέμενον ὑπὸ τῶν Ἰουδαίων ἑωρακότας. καὶ καθάπερ ἐμμανεῖς γεγενημένοι μετὰ πολλοῦ τινὸς οἴστρου πάντες ἐπὶ τοὺς διαβεβλημένους ὥρμηντο. μόλις δ' αὐτῶν ἐδυνήθη τὰς ὁρμὰς ἐπισχεῖν Γναῖος Κολλήγας τις πρεσβευτής, ἀξιῶν ἐπιτρέψαι Καίσαρι δηλωθῆναι περὶ τῶν γεγονότων· τὸν γὰρ ἡγεμονεύοντα τῆς Συρίας Καισέννιον Παῖτον ἤδη μὲν Ὀεσπασιανὸς ἐξαπεστάλκει, συνέβαινε δὲ παρεῖναι μηδέπω. πυιούμενος δ' ἐπιμελῆ τὴν ζήτησιν ὁ Κολλήγας ἐξεῦρε τὴν ἀλήθειαν, καὶ τῶν μὲν τὴν αἰτίαν ὑπ' Ἀντιόχου λαβόντων Ἰουδαίων οὐδεὶς οὐδ' ἐκοινώνησεν, ἅπαν δὲ τοὔργον ἔπραξαν ἄνθρωποί τινες ἀλιτήριοι διὰ χρεῶν ἀνάγκας, νομίζοντες, εἰ τὴν ἀγορὰν καὶ τὰ δημόσια καταπρήσειαν γράμματα, τῆς ἀπαιτήσεως ἀπαλλαγὴν ἕξειν.

Ἰουδαῖοι μὲν οὖν ἐπὶ μετεώροις ταῖς αἰτίαις τὸ μέλλον ἔτι καραδοκοῦντες ἐν φόβοις χαλεποῖς ἀπεσάλευον· Τίτος δὲ Καῖσαρ τῆς περὶ τοῦ πατρὸς ἀγγελίας 4 αὐτῷ κομισθείσης, ὅτι πάσαις μὲν ποθεινὸς ταῖς κατὰ τὴν Ἰταλίαν πόλεσιν ἐπῆλθε, μάλιστα δ' ἡ Ῥώμη μετὰ πολλῆς αὐτὸν ἐδέξατο προθυμίας καὶ λαμπρότητος, εἰς πολλὴν χαρὰν καὶ θυμηδίαν ἐτράπετο, τῶν περὶ αὐτοῦ φροντίδων ὡς ἥδιστον ἦν ἀπηλλαγμένος. Ὀεσπασιανὸν γὰρ ἔτι μὲν καὶ μακρὰν ἀπόντα πάντες οἱ κατὰ

Digitized by Google

τὴν Ἰταλίαν ἅνθρωποι ταῖς γνώμαις περιεῖπον ὡς ἥκοντα, τὴν προσδοκίαν ἐκ τοῦ πάνυ θέλειν ἅφιξιν αὐτοῦ νομίζοντες, καὶ πάσης ἀνάγκης ἐλευθέραν τὴν πρὸς αὐτὸν ἔχοντες εὔνοιαν. τῇ τε γὰρ βουλῇ κατὰ μνήμην τῶν γεγενημένων ἐν ταῖς τῶν ἡγεμόνων μεταβολαῖς συμφορῶν εὐκταῖον ἦν ἀπολαβεῖν ἡγεμόνα γήρως σεμνότητι καὶ πράξεων ἀκμῇ πολεμικῶν κεκοσμημένον, ᾧ τὴν ὑπεροχὴν πρὸς μόνην ἠπίσταντο τὴν τῶν ἀρχομένων σωτηρίαν ἐσομένην· καὶ μὴν ὁ δῆμος ὑπὸ τῶν ἐμφυλίων κακῶν τετρυχωμένος ἔτι μᾶλλον ἐλθεῖν αὐτὸν ἔσπευδε, τότε δὴ βεβαίως μὲν ἀπαλλαγήσεσθαι τῶν συμφορῶν ὑπολαμβάνων, ἀπολήψεσθαι δὲ τὴν ἄδειαν μετὰ τῆς εὐετηρίας πεπιστευκώς. ἐξαιρέτως δὲ τὸ στρατιωτικὸν εἰς αὐτὸν ἀφεώρα· μάλιστα γὰρ οὗτοι τῶν κατωρθωμένων αὐτῷ πολέμων ἐγίνωσκόν τὸ μέγεθος, τῆς ἀπειρίας δὲ τῶν ἄλλων ἡγεμόνων καὶ τῆς ἀνανδρίας πεπειραμένοι πολλῆς μὲν αἰσχύνης αὐτοὺς ἐπεθύμουν ἀπηλλάχθαι, τὸν μόνον δὲ καὶ σώζειν αὐτοὺς καὶ κοσμεῖν δυνάμενον ἀπολαβεῖν ηὔχοντο. τοιαύτης δ' εὐνοίας ἐξ ἁπάντων ὑπαρχούσης, τοῖς μὲν κατὰ τὰς ἀξιώσεις προύχουσι τῶν ἀνδρῶν οὐκέτ' ἀνεκτὸν ἦν ἀναμένειν, ἀλλὰ πορρωτάτω τῆς Ῥώμης αὐτῷ προεντυχεῖν ἔσπευδον. οὐ μὴν οὐδὲ τῶν ἄλλων τις ἠνείχετο τῆς ἐντεύξεως τὴν ἀναβολήν, ἀλλ' οὕτως ἐξεχέοντο πάντες ἀθρόοι, καὶ πᾶσιν εὐπορώτερον καὶ ῥᾷον ἐδόκει τοῦ μένειν τὸ ἀπιέναι, ὡς καὶ τὴν πόλιν αὐτὴν τότε πρῶτον ἐν ἑαυτῇ λαβεῖν ὀλιγανθρωπίας αἴσθησιν ἡδεῖαν· ἦσαν γὰρ ἐλάττους τῶν ἀπιόντων οἱ μένοντες. ἐπεὶ δὲ προσιὼν ἠγγέλλετο καὶ τὴν ἡμερότητα τῆς ἐντεύξεως αὐτοῦ τὴν πρὸς ἑκάστους ἐθήλουν οἱ προελθόντες, ἅπαν ἤδη τὸ λοιπὸν πλῆθος ἅμα γυναιξὶ καὶ παισὶν ἐπὶ ταῖς παρόδοις ἐξεδέχοντο, καὶ καθ' οὓς γέ-

Digitized by Google

νοιτο παριὼν πρὸς τὴν ἡδονὴν τῆς θέας καὶ τὸ μειλίχιον αὐτόθεν τῆς ὄψεως παντοίας ἠφίεσαν φωνάς, τὸν εὐεργέτην καὶ σωτῆρα καὶ μόνον ἄξιον ἡγεμόνα τῆς Ῥώμης ἀποκαλοῦντες. ἅπασα δ' ἡ πόλις ὡς νεὼς ἦν στεφανωμάτων καὶ θυμιαμάτων ἀνάπλεως. μόλις δ' ὑπὸ πλήθους τῶν περὶ αὐτὸν ἱσταμένων δυνηθεὶς εἰς τὸ βασίλειον ἐλθεῖν, αὐτὸς μὲν τοῖς ἔνδον θεοῖς θυσίας τῆς ἀφίξεως χαριστηρίους ἐπετέλει, τρέπεται δὲ τὰ πλήθη πρὸς εὐωχίαν, καὶ κατὰ φυλὰς καὶ γένη καὶ γειτονίας ποιούμενοι τὰς ἑστιάσεις ηὔχοντο τῷ θεῷ σπένδοντες αὐτόν τ' ἐπὶ πλεῖστον χρόνον Ὀεσπασιανὸν ἐπιμεῖναι τῇ Ῥωμαίων ἡγεμονίᾳ, καὶ παισὶν αὐτοῦ καὶ τοῖς ἐξ ἐκείνων ἀεὶ γινομένοις φυλαχθῆναι τὸ κράτος ἀκαταγώνιστον.

ἡ μὲν οὖν Ῥωμαίων πόλις οὕτως Ὀεσπασιανὸν ἐκδεξαμένη προθύμως εὐθὺς εἰς πολλὴν εὐδαιμονίαν ἐπεδίδου· πρὸ δὲ τούτων τῶν χρόνων, ἐν οἷς Ὀεσπασιανὸς μὲν περὶ Ἀλεξάνδρειαν ἦν Τίτος δὲ τῇ τῶν Ἱεροσολύμων προσήδρευε πολιορκίᾳ, πολὺ μέρος Γερμανῶν ἐκινήθη πρὸς ἀπόστασιν, οἷς καὶ Γαλατῶν οἱ πλησίον συμφρονήσαντες κοινῇ μεγάλας ἐλπίδας αὐτοῖς συνέθεσαν ὡς καὶ τῆς Ῥωμαίων ἀπαλλαξόμενοι δεσποτείας. ἐπῆρε δ' αὐτοὺς Γερμανοὺς ἅψασθαι τῆς ἀποστάσεως καὶ τὸν πόλεμον ἐξενεγκεῖν πρῶτον μὲν ἡ φύσις, οὖσα λογισμῶν ἔρημος ἀγαθῶν καὶ μετὰ μικρᾶς ἐλπίδος ἑτοίμως ῥιψοκίνδυνος, ἔπειτα δὲ καὶ μῖσος τὸ πρὸς τοὺς κρατοῦντας, ἐπεὶ μόνοις ἴσασι Ῥωμαίοις τὸ γένος αὐτῶν δουλεύειν βεβιασμένον. οὐ μὴν ἀλλὰ μάλιστά γε πάντων ὁ καιρὸς αὐτοῖς θάρσος ἐνεποίησεν· ὁρῶντες γὰρ τὴν Ῥωμαίων ἀρχὴν ταῖς συνεχέσι τῶν αὐτοκρατόρων ἀλλαγαῖς ἐν ἑαυτῇ τεταραγμένην, πᾶν τε μέρος τῆς ὑπ' αὐτοῖς οἰκουμένης πυθόμενοι μετέω-

Digitized by Google

ρον εἶναι καὶ κραδαίνεσθαι, τοῦτον σφίσιν αὐτοῖς ἄριστον ὑπὸ τῆς ἐκείνων κακοπραγίας καὶ στάσεως καιρὸν φήθησαν παραδεδόσθαι. ἐνῆγον δὲ τὸ βούλευμα καὶ ταύταις αὐτοὺς ταῖς ἐλπίσιν ἐτύφουν Κλασσικός τις καὶ Βιτέλλιος τῶν παρ' αὐτοῖς ὄντες ἡγεμόνων, οἳ δῆλον μὲν ὡς ἐκ μακροῦ ταύτης ἐφίεντο τῆς νεωτεροποιίας, ὑπὸ τοῦ καιροῦ δὲ θαρσῆσαι προαχθέντες τὴν αὑτῶν γνώμην ἐξέφηναν. ἔμελλον δὲ προθύμως διακειμένοις τὴν πεῖραν τοῖς πλήθεσι προσφέρειν. πολλοῦ δὴ μέρους ἤδη τῶν Γερμανῶν τὴν ἀπόστασιν ἀνωμολογηκότος καὶ τῶν ἄλλων οὐκ ἂν δίχα φρονησάντων, ὥσπερ ἐκ δαιμονίου προνοίας Βεσπασιανὸς πέμπει γράμματα Πετιλίῳ Κερεαλίῳ τῷ πρότερον ἡγεμόνι Γερμανίας γενομένῳ, τὴν ὕπατον διδοὺς τιμὴν καὶ κελεύων ἄρξοντα Βρεττανίας ἀπιέναι. πορευόμενος οὖν ἐκεῖνος ὅποι προσετέτακτο, καὶ τὰ περὶ τὴν ἀπόστασιν τῶν Γερμανῶν πυθόμενος, ἤδη συνειλεγμένοις αὐτοῖς ἐπιπεσὼν καὶ παραταξάμενος πολύ τε πλῆθος αὐτῶν ἀναιρεῖ κατὰ τὴν μάχην, καὶ τῆς ἀνοίας παυσαμένους ἠνάγκασε σωφρονεῖν. ἔμελλον δέ, κἀκείνου μὴ θᾶττον εἰς τοὺς τόπους παραβαλόντος, δίκην οὐκ εἰς μακρὰν ὑφέξειν. ἡνίκα γὰρ πρῶτον ἡ περὶ τῆς ἀποστάσεως αὐτῶν ἀγγελία τῇ Ῥώμῃ προσέπεσε, Δομετιανὸς Καῖσαρ πυθόμενος οὐχ ὡς ἂν ἕτερος ἐν τούτῳ τῆς ἡλικίας (νέος γὰρ ἦν ἔτι παντάπασι) τηλικοῦτον ἄρασθαι μέγεθος πραγμάτων ὤκνησεν, ἔχων δὲ πατρόθεν ἔμφυτον τὴν ἀνδραγαθίαν, καὶ τελειοτέραν τὴν ἄσκησιν τῆς ἡλικίας πεποιημένος, ἐπὶ τοὺς βαρβάρους εὐθὺς ἤλαυνεν. οἱ δὲ πρὸς τὴν φήμην τῆς ἐφόδου καταπεσόντες ἐπ' αὐτῷ σφᾶς αὐτοὺς ἐποιήσαντο μετὰ φόβου, κέρδος εὑράμενοι τὸ χωρὶς συμφορῶν ὑπὸ τὸν αὐτὸν πάλιν ζυγὸν ὑπαχθῆναι. πᾶσιν οὖν ἐπιθεὶς τοῖς περὶ τὴν Γαλατίαν τά-

Digitized by Google

ξιν τὴν προσήκουσαν Δομετιανός, ὡς μηδ' αὖθις ἄν ποτε ῥᾳδίως ἔτι τάκεῖ ταραχθῆναι, λαμπρὸς καὶ περίβλεπτος ἐπὶ πρείττυσι μὲν τῆς ἡλικίας πρέπουσι δὲ τῷ πατρὶ κατορθώμασιν εἰς τὴν Ῥώμην ἀνέζευξεν.

τῇ δὲ προειρημένῃ Γερμανῶν ἀποστάσει κατὰ τὰς 3
αὐτὰς ἡμέρας καὶ Σκυθικὸν τόλμημα πρὸς Ῥωμαίους συνέβραμεν. οἱ γὰρ καλούμενοι Σκυθῶν Σαρμάται, πολὺ πλῆθος ὄντες, ἄθηλοι μὲν τὸν Ἴστρον ἐπεραιώθησαν εἰς τὴν Μυσίαν, ἔπειτα δὲ πολλῇ βίᾳ καὶ χαλεποὶ διὰ τὸ παντάπασιν ἀνέλπιστον τῆς ἐφόδου προσπεσόντες πολλοὺς μὲν τῶν ἐπὶ τῆς φρουρᾶς Ῥωμαίων ἀνῃροῦσι, καὶ τὸν πρεσβευτὴν τὸν ὑπατικὸν Φοντήιον Ἀγρίππαν ὑπαντιάσαντα καρτερῶς μαχόμενον κτείνουσι, τὴν δ' ὑποκειμένην χώραν ἅπασαν κατέτρεχον, ἄγοντες καὶ φέροντες ὅτῳ περιπέσοιεν. Ὄεσπασιανὸς δὲ τὰ γεγενημένα καὶ τὴν πόρθησιν τῆς Μυσίας πυθόμενος Ῥούβριον Γάλλον ἐκπέμπει δίκην ἐπιθήσοντα τοῖς Σαρμάταις, ὑφ' οὗ πολλοὶ μὲν αὐτῶν ἐν ταῖς μάχαις ἀπέθανον, τὸ δὲ περισωθὲν μετὰ δέους εἰς τὴν οἰκείαν διέφυγε. τούτῳ δὲ τῷ πολέμῳ τέλος ἐπιθεὶς ὁ στρατηγὸς καὶ τῆς εἰς τὸ μέλλον ἀσφαλείας προυνόησε· πλείοσι γὰρ καὶ μείζοσι φυλακαῖς τὸν τόπον διέλαβεν, ὡς εἶναι τοῖς βαρβάροις τὴν διάβασιν τελέως ἀδύνατον.

ὁ μὲν οὖν περὶ τὴν Μυσίαν πόλεμος ταχεῖαν οὕτως
ἔλαβε τὴν κρίσιν· Τίτος δὲ Καῖσαρ χρόνον μέν τινα 5
διέτριψεν ἐν Βηρυτῷ, καθὰ προειρήκαμεν, ἐκεῖθεν δ' ἀναζεύξας, καὶ δι' ὧν ᾖει πόλεων τῆς Συρίας, ἐν πάσαις θεωρίας τε συντελῶν πολυτελεῖς, καὶ τῶν Ἰουδαίων τοῖς αἰχμαλώτοις εἰς ἐπίδειξιν τῆς ἑαυτῶν ἀπωλείας ἀποχρώμενος, θεᾶται κατα τὴν πορείαν ποταμοῦ φύσιν ἀξίαν ἱστορηθῆναι. ῥεῖ μὲν γὰρ μέσος Ἀρκαίας τῆς Ἀγρίππα βασιλείας καὶ Ῥαφαναίας, ἔχει δὲ θαυμα-

Digitized by Google

στὴν ἰδιότητα· πολὺς γὰρ ὢν ὅτε ῥεῖ, καὶ κατὰ τὴν φορὰν οὐ σχολαῖος, ἔπειτα δὲ πᾶς ἐκ τῶν πηγῶν ἐπιλείπων ἐξ ἡμερῶν ἀριθμόν, ξηρὸν παραδίδωσιν ὁρᾶν τὸν τόπον, εἶθ' ὥσπερ οὐδεμιᾶς γενομένης μεταβολῆς ὅμοιος κατὰ τὴν ἑβδόμην ἐκδίδωσι. καὶ ταύτην ἀεὶ τὴν τάξιν ἀκριβῶς τετήρηται διαφυλάττων· ὅθεν δὴ καὶ Σαββατικὸν αὐτὸν κεκλήκασιν, ἀπὸ τῆς ἱερᾶς τῶν Ἰουδαίων ἑβδόμης οὕτως ὀνομάσαντες.

2 ὁ δὲ τῶν Ἀντιοχέων δῆμος ἐπεὶ πλησίον ὄντα Τίτον ἐπυνθάνοντο, μένειν μὲν ἐντὸς τειχῶν ὑπὸ χαρᾶς οὐχ ὑπέμενον, ἐσπευδον δ' ἐπὶ τὴν ὑπάντησιν, καὶ τριάκοντα σταδίων ἐπὶ πλέον προῆλθον, οὐκ ἄνδρες μόνον ἀλλὰ καὶ γυναίων πλῆθος ἅμα παισί, τῆς πόλεως ἐκχεόμενοι. κἀπειδήπερ ἐθεάσαντο προσιόντα, παρὰ τὴν ὁδὸν ἑκατέρωθεν κατασκάντες τάς τε δεξιὰς προύτειναν προσαγορεύοντες, καὶ παντοίοις εὐφημίσμασι χρώμενοι συνυπέστρεφον. συνεχὴς δ' ἦν αὐτῶν παρὰ πάσας ἅμα τὰς εὐφημίας δέησις ἐκβαλεῖν τῆς πόλεως τοὺς Ἰουδαίους. Τίτος μὲν οὖν οὐδὲν ἐνέδωκε πρὸς ταύτην τὴν δέησιν, ἀλλ' ἡσυχῇ τῶν λεγομένων ἐπήκουεν· ἐπ' ἀδήλῳ δὲ τῷ τί φρονεῖ καὶ τί ποιήσει πολὺς καὶ χαλεπὸς τοῖς Ἰουδαίοις ὁ φόβος ἦν. οὐδὲ γὰρ ἐπέμεινεν ἐν Ἀντιοχείᾳ Τίτος, ἀλλ' εὐθὺς ἐπὶ τὸ Ζεῦγμα τὸ κατὰ τὸν Εὐφράτην συνέτεινε τὴν πορείαν, ἔνθα δὴ καὶ παρὰ τοῦ Πάρθων βασιλέως Βολογέσου πρὸς αὐτὸν ἦκον στέφανον χρυσοῦν ἐπὶ τῇ κατὰ τῶν Ἰουδαίων νίκῃ κομίζοντες. ὃν δεξάμενος εἰστία τοὺς βασιλικούς, κἀκεῖθεν εἰς τὴν Ἀντιόχειαν ἐπανέρχεται. τῆς δὲ βουλῆς καὶ τοῦ δήμου τῶν Ἀντιοχέων πολλὰς ποιησαμένων δεήσεις ἐλθεῖν εἰς τὸ θέατρον αὐτῶν, ἐν ᾧ πᾶν τὸ πλῆθος ἠθροισμένον ἐξεδέχετο, φιλανθρώπως ὑπήκουσε.

Πάλιν δ' αὐτῶν σφόδρα λιπαρῶς ἐγκειμένων καὶ συν-

Digitized by Google

ἐχῶς δεομένων ἐξελάσαι τῆς πόλεως τοὺς Ἰουδαίους, εὔστοχον ἐποιήσατο τὴν ἀπόκρισιν, εἰπών "ἀλλ' ἤ γε πατρὶς αὐτῶν, εἰς ἣν ἐκβαλεῖν ἐχρῆν ἂν τοὺς Ἰουδαίους, ἀνῄρηται, καὶ δέξαιτ' ἂν οὐδεὶς αὐτοὺς ἔτι τόπος." ἐπὶ δευτέραν οὖν Ἀντιοχεὶς τρέπονται δέησιν, τῆς προτέρας ἁμαρτόντες· τὰς γὰρ χαλκᾶς ἠξίουν δέλτους ἀνελεῖν αὐτόν, ἐν αἷς γέγραπται τὰ δικαιώματα τῶν Ἰουδαίων. οὐ μὴν οὐδὲ τοῦτο Τίτος ἐπένευσεν αὐτοῖς, ἀλλ' ἐάσας πάντα κατὰ χώραν τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις ὡς πρότερον ἔχειν, εἰς Αἴγυπτον ἀπηλλάττετο. καὶ κατὰ τὴν πορείαν τοῖς Ἱεροσολύμοις προσελθών, καὶ τὴν λυπρὰν ἐρημίαν βλεπομένην ἀντιθεὶς τῇ ποτὲ τῆς πόλεως λαμπρότητι, καὶ τὸ μέγεθος τῶν ἐρηγμένων κατασκευασμάτων καὶ τὸ πάλαι κάλλος εἰς μνήμην βαλόμενος, ᾤκτειρε τῆς πόλεως τὸν ὄλεθρον, οὐχ ὥσπερ ἄλλος ἄν τις αὐχῶν ὅτι τηλικαύτην οὖσαν καὶ τοσαύτην εἶλε κατὰ κράτος, ἀλλὰ πολλάκις ἐπαρώμενος τοῖς αἰτίοις τῆς ἀποστάσεως ὑπάρξασι καὶ ταύτην ἐπὶ τῇ πόλει τὴν τιμωρίαν γενέσθαι παρασκευάσασιν· οὕτως ἔκδηλος ἦν οὐκ ἂν ἐθελήσας ἐκ τῆς συμφορᾶς τῶν κολασθέντων γενέσθαι τῆς ἀρετῆς αὐτοῦ τὴν ἐπιφάνειαν. τοῦ δὲ πολλοῦ πλούτου τῆς πόλεως ἔτι καὶ τοῖς ἐρεπίοις οὐκ ὀλίγον μέρος ἀνευρίσκετο· τὰ μὲν γὰρ πολλὰ ἀνέσκαπτον οἱ Ῥωμαῖοι, τὰ πλείω δ' ἐκ μηνύσεως τῶν αἰχμαλώτων ἀνῃροῦντο, χρυσόν τε καὶ ἄργυρον καὶ τὰ τῆς ἄλλης τιμιώτατα κατασκευῆς, ἅπερ οἱ κεκτημένοι πρὸς τὰς ἀθήλους τοῦ πολέμου τύχας κατὰ γῆς ἀποτεθησαυρίκεσαν.

Τίτος δὲ τὴν προκειμένην ποιούμενος πορείαν ἐπ' 3
Αἴγυπτον, καὶ τὴν ἔρημον ᾗ τάχιστα διανύσας, ἦκεν εἰς Ἀλεξάνδρειαν· καὶ πλεῖν ἐπὶ τῆς Ἰταλίας διεγνωκώς, δυοῖν αὐτῷ ταγμάτων συνηκολουθηκότων ἑκάτερον

Digitized by Google

ὅθεν περ ἀφῖκτο πάλιν ἀπέστειλεν, εἰς μὲν τὴν Μυσίαν τὸ πέμπτον, εἰς Παννονίαν δὲ τὸ πεντεκαιδέκατον. τῶν αἰχμαλώτων δὲ τοὺς μὲν ἡγεμόνας Σίμωνα καὶ Ἰωάννην, τόν τε ἄλλον ἀριθμὸν ἑπτακοσίους ἄνδρας ἐπιλέξας μεγέθει τε καὶ κάλλει σωμάτων ὑπερβάλλοντας, προσέταξεν εἰς τὴν Ἰταλίαν αὐτίκα μάλα πομίζεσθαι, βουλόμενος αὐτοὺς ἐν τῷ θριάμβῳ παραγαγεῖν. τοῦ πλοῦ δ' αὐτῷ κατὰ νοῦν ἀνυσθέντος, ὁμοίως μὲν ἡ Ῥώμη περὶ τὴν ὑποδοχὴν εἶχε καὶ τὰς ὑπαντήσεις ὥσπερ ἐπὶ τοῦ πατρός, λαμπρότερον δ' ἦν Τίτῳ καὶ αὐτὸς ὁ πατὴρ ὑπαντῶν καὶ δεχόμενος. τῷ δὲ πλήθει τῶν πολιτῶν δαιμόνιόν τινα τὴν χαρὰν παρεῖχε τὸ βλέπειν αὐτοὺς ἤδη τοὺς τρεῖς ἐν ταὐτῷ γεγονότας. οὐ πολλῶν δ' ἡμερῶν διελθουσῶν ἔνα καὶ κοινὸν ἔγνωσαν τὸν ἐπὶ τοῖς κατωρθωμένοις ποιήσασθαι θρίαμβον, καίπερ ἑκατέρῳ τῆς βουλῆς ἴδιον ψηφισαμένης. προδιασαφηθείσης δὲ τῆς ἡμέρας ἐφ' ἧς ἔμελλεν ἡ πομπὴ γενήσεσθαι τῶν ἐπινικίων, οὐδεὶς οἶκοι καταλέλειπτο τῆς ἀμέτρου πληθύος ἐν τῇ πόλει, πάντες δ' ὅπῃ καὶ στῆναι μόνον ἦν οἷον προεληλυθότες, τοὺς τόπους κατειλήφεσαν, ὅσον τοῖς ὀφθησομένοις μόνον εἰς πάροδον ἀναγκαίαν καταλιπόντες.

4 τοῦ δὲ στρατιωτικοῦ παντὸς ἔτι νύκτωρ κατὰ λόχους καὶ τάξεις ὑπὸ τοῖς ἡγεμόσι προεξωδευκότος καὶ περὶ θύρας ὄντος οὐ τῶν ἄνω βασιλείων ἀλλὰ πλησίον τοῦ τῆς Ἴσιδος ἱεροῦ (ἐκεῖ γὰρ ἀνεπαύοντο τῆς νυκτὸς ἐκείνης οἱ αὐτοκράτορες), περὶ αὐτὴν ἀρχομένην ἤδη τὴν ἕω παρίασιν Οὐεσπασιανὸς καὶ Τίτος δάφνῃ μὲν ἐστεφανωμένοι, πορφυρᾶς δ' ἐσθῆτας πατρίους ἀμπε[illegible]σμένοι, καὶ προΐασιν εἰς τοὺς Ὀκταβίας περιπάτους· θα γὰρ ἥ τε βουλὴ καὶ τὰ τέλη τῶν ἀρχόντων οἵ τῶν τιμημάτων ἵππεῖς τὴν ἄφιξιν αὐτῶν ἀνέμε-

Digitized by Google

νον. πεποίητο δὲ βῆμα πρὸ τῶν στοῶν, δίφρων αὐτοῖς ἐλεφαντίνων ἐπ' αὐτοῦ κειμένων, ἐφ' οὓς παρελθόντες ἐκαθέσθησαν, καὶ τὸ στρατιωτικὸν εὐθέως ἐπευφήμει, πολλὰς αὐτοῖς τῆς ἀρετῆς μαρτυρίας ἀποδιδόντες ἅπαντες. κἀκεῖνοι χωρὶς ὅπλων ἦσαν ἐν ἐσθῆσι σηρικαῖς, ἐστεφανωμένοι δάφναις. δεξάμενος δ' αὐτῶν τὴν εὐφημίαν Ὀεσπασιανός, ἔτι βουλομένων λέγειν τὸ τῆς σιγῆς ἐποιήσατο σύμβολον, καὶ πολλῆς ἐκ πάντων ἡσυχίας γενομένης ἀνεστάς, καὶ τῷ περιβλήματι τὸ πλέον τῆς κεφαλῆς μέρος ἐπικαλυψάμενος, εὐχὰς ἐποιήσατο τὰς νενομισμένας. ὁμοίως δὲ καὶ Τίτος ηὔξατο. μετὰ δὲ τὰς εὐχὰς εἰς κοινὸν ἅπασιν Ὀεσπασιανὸς βραχέα διαλεχθείς, τοὺς μὲν στρατιώτας ἀπέλυσεν ἐπὶ τὸ νενομισμένον ἄριστον αὐτοῖς ὑπὸ τῶν αὐτοκρατόρων εὐτρεπισθέν, πρὸς δὲ τὴν πύλην αὐτὸς ἀνεχώρει τὴν ἀπὸ τοῦ πέμπεσθαι δι' αὐτῆς ἀεὶ τοὺς θριάμβους τῆς προσηγορίας ἀπ' αὐτῶν τετυχυῖαν. ἐνταῦθα τροφῆς προαπογεύονται, καὶ τὰς θριαμβικὰς ἐσθῆτας ἀμφιασάμενοι, τοῖς τε παριδρυμένοις τῇ πύλῃ θύσαντες θεοῖς, ἔπεμπον τὸν θρίαμβον, διὰ τῶν θεάτρων διεξελαύνοντες, ὅπως εἴη τοῖς πλήθεσιν ἡ θέα ῥᾴων.

ἀμήχανον δὲ κατὰ τὴν ἀξίαν εἰπεῖν τῶν θεαμάτων ἐκείνων τὸ πλῆθος καὶ τὴν μεγαλοπρέπειαν ἐν ἅπασιν οἷς ἄν τις ἐπινοήσειεν ἢ τεχνῶν ἔργοις ἢ πλούτου μέρεσιν ἢ φύσεως σπανιότησι· σχεδὸν γὰρ ὅσα τοῖς πώποτ' ἀνθρώποις εὐδαιμονήσασιν ἐκτήθη κατὰ μέρος ἄλλα παρ' ἄλλοις θαυμαστὰ καὶ πολυτελῆ, ταῦτ' ἐπὶ τῆς ἡμέρας ἐκείνης ἀθρόα τῆς Ῥωμαίων ἡγεμονίας ἔδειξε τὸ μέγεθος. ἀργύρου γὰρ καὶ χρυσοῦ καὶ ἐλέφαντος ἐν παντοίαις ἰδέαις κατασκευασμάτων ἦν ὁρᾶν οὐχ ὥσπερ ἐν πομπῇ κομιζόμενον πλῆθος, ἀλλ' ὡς ἂν εἴποι τις ῥέοντα ποταμόν. καὶ τὰ μὲν ἐκ πορφύρας ὑφάσματα

Digitized by Google

τῆς σπανιωτάτης φερόμενα, τὰ δ' εἰς ἀκριβῆ ζωγραφίαν πεποικιλμένα τῇ Βαβυλωνίων τέχνῃ· λίθοι τε διαφανεῖς, οἱ μὲν χρυσοῖς ἐμπεπλεγμένοι στεφάνοις οἱ δὲ κατ' ἄλλας ποιήσεις, τοσοῦτοι παρηνέχθησαν ὥστε μαθεῖν ὅτι μάτην εἶναί τι τούτων σπάνιον ὑπειλήφαμεν. ἐφέρετο δὲ καὶ θεῶν ἀγάλματα τῶν παρ' αὐτοῖς μεγέθεσι θαυμαστὰ καὶ κατὰ τὴν τέχνην οὐ παρέργως πεποιημένα, καὶ τούτων οὐδὲν ὅ τι μὴ τῆς ὕλης τῆς πολυτελοῦς. ζῴων τε πολλαὶ φύσεις παρήγοντο, κόσμον οἰκεῖον ἁπάντων περικειμένων. ἦν δὲ καὶ τὸ κομίζον ἕκαστα τούτων ἀνθρώπων πλῆθος ἁλουργαῖς ἐσθῆσι καὶ διαχρύσοις κεκοσμημένον, οἵ τ' εἰς αὐτὸ τὸ πομπεύειν διακριθέντες ἐξαίρετον εἶχον καὶ καταπληκτικὴν περὶ αὐτοὺς τοῦ κόσμου τὴν πολυτέλειαν. ἐπὶ τούτοις οὐδὲ τῶν αἰχμαλώτων ἦν ἰδεῖν ὄχλον ἀκόσμητον, ἀλλ' ἡ τῶν ἐσθήτων ποικιλία καὶ τὸ κάλλος αὐτῆς τὴν ἀπὸ τῆς κακώσεως τῶν σωμάτων ἀηδίαν ἔκλεπτε τῆς ὄψεως. θαῦμα δὲ ἐν τοῖς μάλιστα παρεῖχεν ἡ τῶν φερομένων πηγμάτων κατασκευή· καὶ γὰρ διὰ μέγεθος ἦν δεῖσαι τῷ βεβαίῳ τῆς φορᾶς ἀπαντήσαντα, τριώροφα γὰρ αὐτῶν πολλὰ καὶ τετρώροφα πεποίητο, καὶ τῇ πολυτελείᾳ τῇ περὶ τὴν κατασκευὴν ἦν ἡσθῆναι μετ' ἐκπλήξεως· καὶ γὰρ ὑφάσματα πολλοῖς διάχρυσα περιεβέβλητο, καὶ χρυσὸς καὶ ἐλέφας οὐκ ἀποίητος πᾶσι περιεπεπήγει. διὰ πολλῶν δὲ μιμημάτων ὁ πόλεμος ἄλλως εἰς ἄλλα μεμερισμένος ἐναργεστάτην ὄψιν ἑαυτοῦ παρεῖχεν· ἦν γὰρ ὁρᾶν χώραν μὲν εὐδαίμονα δηουμένην, ὅλας δὲ φάλαγγας κτεινομένας πολεμίων, καὶ τοὺς μὲν φεύγοντας τοὺς δ' εἰς αἰχμαλωσίαν ἀγομένους, τείχη δὲ ὑπερβάλλοντα μεγέθει μηχαναῖς ἐρειπόμενα, καὶ φρουρίων ἁλισκομένας ὀχυρότητας, καὶ πόλεων πολυανθρώπων περιβόλους κατ' ἄκρας ἐχομένους, καὶ

Digitized by Google

στρατιὰν ἔνδον τειχῶν εἰσχεομένην, καὶ πάντα φόνου πληθύοντα τόπον, καὶ τῶν ἀδυνάτων χεῖρας ἀνταίρειν ἱκεσίας, πῦρ τε ἐνιέμενον ἱεροῖς καὶ κατασκαφὰς οἴκων ἐπὶ τοῖς δεσπόταις, καὶ μετὰ πολλὴν ἐρημίαν καὶ κατήφειαν ποταμοὺς ῥέοντας οὐκ ἐπὶ γῆν γεωργουμένην, οὐδὲ ποτὸν ἀνθρώποις ἢ βοσκήμασιν, ἀλλὰ διὰ τῆς ἔτι πανταχόθεν φλεγομένης· ταῦτα γὰρ Ἰουδαῖοι πεισομένους αὐτοὺς τῷ πολέμῳ παρέδοσαν. ἡ τέχνη δὲ καὶ τῶν κατασκευασμάτων ἡ μεγαλουργία τοῖς οὐκ εἰδόσι τὰ γενόμενα τότε ἐδείκνυεν ὡς παροῦσι. τέτακτο δ' ἐφ' ἑκάστῳ τῶν πηγμάτων ὁ τῆς ἁλισκομένης πόλεως στρατηγός, ὃν τρόπον ἐλήφθη. πολλαὶ δὲ καὶ νῆες εἵποντο. λάφυρα δὲ τὰ μὲν ἄλλα χύδην ἐφέρετο, διέπρεπε δὲ πάντων τὰ ἐγκαταληφθέντα τῷ ἐν Ἱεροσολύμοις ἱερῷ, χρυσῆ τε τράπεζα τὴν ὁλκὴν πολυτάλαντος, καὶ λυχνία χρυσοῦ μὲν ὁμοίως πεποιημένη, τὸ δὲ ἔργον ἐξήλλακτο τῆς κατὰ τὴν ἡμετέραν χρῆσιν συνηθείας. ὁ μὲν γὰρ μέσος ἦν κίων ἐκ τῆς βάσεως πεπηγώς, λεπτοὶ δ' ἀπ' αὐτοῦ μεμήκυντο καυλίσκοι, τριαίνης σχήματι παραπλησίαν τὴν θέσιν ἔχοντες, λύχνον ἕκαστος αὐτῶν ἐπ' ἄκρων κεχαλκευμένος· ἑπτὰ δ' ἦσαν οὗτοι, τῆς παρὰ τοῖς Ἰουδαίοις ἑβδομάδος τὴν τιμὴν ἐμφανίζοντες. ὅ τε νόμος ὁ τῶν Ἰουδαίων ἐπὶ τούτοις ἐφέρετο τῶν λαφύρων τελευταῖος. ἐπὶ τούτοις παρῆσαν πολλοὶ νίκης ἀγάλματα κομίζοντες· ἐξ ἐλέφαντος δ' ἦν πάντων καὶ χρυσοῦ ἡ κατασκευή. μεθ' ἃ Οὐεσπασιανὸς ἤλαυνε πρῶτος, καὶ Τίτος εἵπετο, Δομετιανὸς δὲ παρίππευεν, αὐτός τε διαπρεπῶς κεκοσμημένος καὶ τὸν ἵππον παρέχων θέας ἄξιον.

ἦν δὲ τῆς πομπῆς τὸ τέλος ἐπὶ τὸν νεὼν τοῦ Καπετωλίου Διός, ἐφ' ὃν ἐλθόντες ἔστησαν· ἦν γὰρ παλαιὸν πάτριον περιμένειν μέχρις ἂν τὸν τοῦ στρατηγοῦ

Digitized by Google

τῶν πολεμίων θάνατον ἀπαγγείλῃ τις. Σίμων οὗτος ἦν ὁ Γιώρα, τότε πεπομπευκὼς ἐν τοῖς αἰχμαλώτοις, βρόχῳ δὲ περιβληθεὶς εἰς τὸν ἐπὶ τῆς ἀγορᾶς ἐσύρετο τόπον, αἰκιζομένων αὐτὸν ἅμα τῶν ἀγόντων. νόμος δ' ἐστὶ Ῥωμαίοις ἐκεῖ κτείνειν τοὺς ἐπὶ κακουργίᾳ θάνατον κατεγνωσμένους. ἐπεὶ δ' ἀπηγγέλθη τέλος ἔχων καὶ πάντες εὐφήμησαν, ἤρχοντο τῶν θυσιῶν, ἃς ἐπὶ ταῖς νομιζομέναις καλλιερήσαντες εὐχαῖς ἀπῆεσαν εἰς τὸ βασίλειον. καὶ τοὺς μὲν αὐτοὶ πρὸς εὐωχίαν ὑπεδέχοντο, τοῖς δ' ἄλλοις ἅπασιν εὐπρεπεῖς κατὰ τὸ οἰκεῖον αἱ τῆς ἑστιάσεως ἦσαν παρασκευαί· ταύτην γὰρ τὴν ἡμέραν ἡ Ῥωμαίων πόλις ἑώρταζεν ἐπινίκιον μὲν τῆς κατὰ τῶν πολεμίων στρατείας, πέρας δὲ τῶν ἐμφυλίων κακῶν, ἀρχὴν δὲ τῶν ὑπὲρ τῆς εὐδαιμονίας ἐλπίδων.

7 μετὰ δὲ τοὺς θριάμβους καὶ τὴν βεβαιοτάτην τῆς Ῥωμαίων ἡγεμονίας κατάστασιν Οὐεσπασιανὸς ἔγνω τέμενος εἰρήνης κατασκευάσαι. ταχὺ δὲ δὴ μάλα καὶ πάσης ἀνθρωπίνης κρεῖττον ἐπινοίας ἐτετελείωτο. τῇ γὰρ ἐκ τοῦ πλούτου χορηγίᾳ δαιμονίῳ χρησάμενος, ἔτι καὶ τοῖς ἐκπαλαι κατωρθωμένοις γραφῆς τε καὶ πλαστικῆς ἔργοις αὐτὸ κατεκόσμησε· πάντα γὰρ εἰς ἐκεῖνον τὸν νεὼν συνῆχθη καὶ κατετέθη, δι' ὧν τὴν θέαν ἄνθρωποι πρότερον περὶ πᾶσαν ἐπλανῶντο τὴν οἰκουμένην, ἕως ἄλλο παρ' ἄλλοις ἦν κείμενον, ἰδεῖν ποθοῦντες. ἀνέθηκε δ' ἐνταῦθα καὶ τὰ ἐκ τοῦ ἱεροῦ τῶν Ἰουδαίων χρυσᾶ κατασκευάσματα, σεμνυνόμενος ἐπ' αὐτοῖς. τὸν δὲ νόμον αὐτῶν καὶ τὰ πορφυρᾶ τοῦ σηκοῦ καταπετάσματα προσέταξεν ἐν τοῖς βασιλείοις ἀποθεμένους φυλάττειν.

6 εἰς δὲ τὴν Ἰουδαίαν πρεσβευτὴς Λουκίλιος Βάσσος ἐκπεμφθείς, καὶ τὴν στρατιὰν παρὰ Κερεαλίου Οὐιτελλιανοῦ παραλαβών, τὸ μὲν ἐν τῷ Ἡρωδείῳ φρούριον

Digitized by Google

προσηγάγετο μετὰ τῶν ἐχόντων, μετὰ ταῦτα δὲ πᾶν
ὅσον ἦν στρατιωτικὸν συναγαγών (πολὺ δ' ἦν κατὰ
μέρη διῃρημένον) καὶ τῶν ταγμάτων τὸ δέκατον, ἔγνω
στρατεύειν ἐπὶ Μαχαιροῦντα. πάνυ γὰρ ἦν ἀναγκαῖον
ἐξαιρεθῆναι τὸ φρούριον, μὴ διὰ τὴν ὀχυρότητα πολ-
λοὺς εἰς ἀπόστασιν ἐπαγάγηται· καὶ γὰρ τοῖς κατέ-
χουσι βεβαίαν ἐλπίδα σωτηρίας καὶ τοῖς ἐπιοῦσιν ὄκνον
καὶ δέος ἡ τοῦ χωρίου φύσις ἦν παρασχεῖν ἱκανωτάτη.
αὐτὸ μὲν γὰρ τὸ τετειχισμένον πετρώδης ὄχθος ἐστίν,
εἰς μήκιστον ὕψος ἐγηγερμένος, ὡς εἶναι καὶ διὰ τοῦτο
δυσχείρωτος, μεμηχάνηται δ' ὑπὸ τῆς φύσεως εἶναι
μηδὲ προσιτός· φάραγξι γὰρ πάντοθεν ἀσύνοπτον
ἐχούσαις τὸ βάθος περιτετάφρευται, μήτε περαθῆναι
ῥᾳδίως δυναμέναις καὶ χωσθῆναι παντάπασιν ἀμηχά-
νοις. ἡ μὲν γὰρ ἀπὸ τῆς ἑσπέρας περιτέμνουσα παρα-
τείνει σταδίους ἑξήκοντα, πέρας αὐτῆς τὴν Ἀσφαλτῖτιν
ποιουμένη λίμνην (κατὰ τοῦτο δέ πῃ καὶ αὐτὸς ὁ Μα-
χαιροῦς τὴν ὑψηλοτάτην ἔχει κορυφὴν ὑπερανίσχου-
σαν)· αἱ δὲ ἀπὸ τῆς ἄρκτου καὶ μεσημβρίας φάραγγες
μεγέθει μὲν ἀπολείπονται τῆς προειρημένης, ὁμοίως δ'
εἰσὶν ἀμήχανοι πρὸς ἐπιχείρησιν. τῆς δὲ πρὸς τὴν ἀνα-
τολὴν φάραγγος τὸ μὲν βάθος οὐκ ἔλαττον ἑκατὸν εὑ-
ρίσκεται πηχῶν, τέρμα δὲ γίνεται πρὸς ὄρος ἀπαντικρὺ
κείμενον Μαχαιροῦντος.

ταύτην τοῦ τόπου κατιδὼν τὴν φύσιν βασιλεὺς 2
Ἰουδαίων Ἀλέξανδρος πρῶτος ἐπ' αὐτοῦ τειχίζει φρού-
ριον, ὃ μετὰ ταῦτα Γαβίνιος Ἀριστοβούλῳ πολεμῶν
καθεῖλεν. Ἡρώδῃ δὲ βασιλεύοντι παντὸς ἔδοξε μᾶλ-
λον ἐπιμελείας ἄξιον εἶναι καὶ κατασκευῆς ὀχυρωτά-
της, μάλιστα καὶ διὰ τὴν τῶν Ἀράβων γειτνίασιν· κεῖ-
ται γὰρ ἐν ἐπικαίρῳ πρὸς τὴν ἐκείνων γῆν ἀποβλέπων.
μέγαν μὲν οὖν τόπον τείχεσι καὶ πύργοις περιβαλὼν

Digitized by Google

πόλιν ἐνταῦθα κατῴκισεν, ἐξ ἧς ἄνοδος εἰς αὐτὴν ἔφερε τὴν ἀκρώρειαν· οὐ μὴν ἀλλὰ καὶ περὶ αὐτὴν ἄνω τὴν κορυφὴν τεῖχος ἐδείματο, καὶ πύργους ἐπὶ ταῖς γωνίαις ἑκατὸν ἑξήκοντα πηχῶν ἀνέστησε. μέσον δὲ τοῦ περιβόλου βασίλειον φκοδομήσατο μεγέθει τε καὶ κάλλει τῶν οἰκήσεων πολυτελές, πολλὰς δὲ καὶ δεξαμενὰς εἰς ὑποδοχὴν ὕδατος καὶ χορηγίαν ἄφθονον ἐν τοῖς ἐπιτηδειοτάτοις τῶν τόπων κατεσκεύασεν, ὥσπερ πρὸς τὴν φύσιν ἁμιλληθείς, ἵν' αὐτὸς τὸ κατ' ἐκείνην τοῦ τόπου δυσάλωτον ὑπερβάληται ταῖς χειροποιήτοις ὀχυρώσεσιν· ἔτι τε γὰρ καὶ βελῶν πλῆθος καὶ μηχανημάτων ἐγκατέθετο, καὶ πᾶν ἐπενόησεν ἑτοιμάσασθαι τὸ παρασχεῖν δυνάμενον τοῖς ἐνοικοῦσι μηκίστης πολιορκίας καταφρόνησιν.

3 ἐπεφύκει δ' ἐν τοῖς βασιλείοις καὶ πήγανον ἄξιον τοῦ μεγέθους θαυμάσαι· συκῆς γὰρ οὐδεμιᾶς ὕψους καὶ πάχους ἀπελείπετο. λόγος δ' ἦν ἀπὸ τῶν Ἡρώδου χρόνων αὐτὸ διαρκέσαι, κἂν ἐπὶ πλεῖστον ἴσως ἔμεινεν· ἐξεκόπη δ' ὑπὸ τῶν παραλαβόντων τὸν τόπον Ἰουδαίων. τῆς φάραγγος δὲ τῆς κατὰ τὴν ἄρκτον περιεχούσης τὴν πόλιν Βαάρας ὀνομάζεταί τις τόπος, φύει τε ῥίζαν ὁμωνύμως λεγομένην αὐτῷ. αὕτη φλογὶ μὲν τὴν χροιὰν ἔοικε, περὶ δὲ τὰς ἑσπέρας σέλας ἀπαστράπτουσα τοῖς ἐπιοῦσι καὶ βουλομένοις λαβεῖν αὐτὴν οὐκ ἔστιν εὐχείρωτος, ἀλλ' ὑποφεύγει, καὶ οὐ πρότερον ἵσταται πρὶν ἄν τις οὖρον γυναικὸς ἢ τὸ ἔμμηνον αἷμα χέῃ κατ' αὐτῆς. οὐ μὴν ἀλλὰ καὶ τότε τοῖς ἁψαμένοις πρόδηλός ἐστι θάνατος, εἰ μὴ τύχοι τις αὐτὴν ἐκείνην ἐκπενεγκάμενος τὴν ῥίζαν ἐκ τῆς χειρὸς ἀπηρτημένην. ἀλίσκεται δὲ καὶ καθ' ἕτερον τρόπον ἀκινδύνως, ὅς ἐστι τοιόσδε. κύκλῳ πᾶσαν αὐτὴν περιορύσσουσιν, ὡς εἶναι τὸ κρυπτόμενον τῆς ῥίζης βραχύτατον, εἶτ' ἐξ αὐτῆς ἀποδοῦσι

Digitized by Google

κύνα, κἀκείνου τῷ δήσαντι συνακολουθεῖν ὁρμήσαντος ἢ μὲν ἀνασπᾶται ῥᾳδίως, θνήσκει δ' εὐθὺς ὁ κύων ὥσπερ ἀντιδοθεὶς τοῦ μέλλοντος τὴν βοτάνην ἀναιρήσεσθαι· φόβος γὰρ οὐδεὶς τοῖς μετὰ ταῦτα λαμβάνουσιν. ἔστι δὲ μετὰ τοσούτων κινδύνων διὰ μίαν ἰσχὺν περισπούδαστος· τὰ γὰρ καλούμενα δαιμόνια (ταῦτα δὲ πονηρῶν ἐστὶν ἀνθρώπων πνεύματα) τοῖς ζῶσιν εἰσδυόμενα, καὶ κτείνοντα τοὺς βοηθείας μὴ τυγχάνοντας, αὖτη ταχέως ἐξελαύνει, κἂν προσενεχθῇ μόνον τοῖς νοσοῦσι. ῥέουσι δὲ καὶ θερμῶν ὑδάτων πηγαὶ κατὰ τὸν τόπον, πολὺ τὴν γεῦσιν ἀλλήλων διαφέρουσαι· πικραὶ μὲν γὰρ αὐτῶν τινές εἰσιν, αἱ δὲ γλυκύτητος οὐδὲν ἀπολείπουσι. πολλαὶ δὲ καὶ ψυχρῶν ὑδάτων ἀναδόσεις οὐ μόνον ἐν τῷ χθαμαλωτέρῳ τὰς πηγὰς παραλλήλους ἔχουσιν, ἀλλ' ὡς ἂν καὶ μᾶλλόν τις θαυμάσειε· σπήλαιον γάρ τι πλησίον ὁρᾶται ποιλότητι μὲν οὐ βαθύ, τῇ πέτρᾳ δὲ προυχούσῃ σκεπόμενον· ταύτης ἄνωθεν ὡσανεὶ μαστοὶ δύο ἀνέχουσιν, ἀλλήλων ὀλίγῳ διεστῶτες, καὶ ψυχροτάτην μὲν ἄτερος πηγήν, ἄτερος δὲ θερμοτάτην ἐκδίδωσιν, αἳ μισγόμεναι ποιοῦσι λουτρὸν ἥδιστον παιώνιόν τε νοσημάτων, πολλῷ δὲ μάλιστα νεύρων ἄκεσιν. ἔχει δ' ὁ τόπος καὶ θείου καὶ στυπτηρίας μέταλλα.

Βάσσος δὲ πάντῃ περισκεψάμενος τὸ χωρίον ἔγνω 4
ποιεῖσθαι τὴν πρόσοδον, χωννὺς τὴν φάραγγα τὴν πρὸς ταῖς ἀνατολαῖς, καὶ τῶν ἔργων εἵρετο, σπουδὴν ποιούμενος ἧ τάχος ἐξᾶραι τὰ χώματα καὶ δι' αὐτῶν ῥᾳδίαν ποιῆσαι τὴν πολιορκίαν. οἱ δ' ἔνδον ἀπειλημμένοι τῶν Ἰουδαίων, αὐτοὶ καθ' ἑαυτοὺς ἀπὸ τῶν ξένων διακριθέντες, ἐκείνους μὲν ἠνάγκασαν, ὄχλον ἄλλως εἶναι νομίζοντες, ἐν τῇ κάτω πόλει παραμένειν καὶ τοὺς κινδύνους προεκδέχεσθαι, τὸ δ' ἄνω φρούριον αὐτοὶ καταλαβόντες εἶχον καὶ διὰ τὴν ἰσχὺν τῆς ὀχυρότητος καὶ

Digitized by Google

προνοίᾳ τῆς σωτηρίας αὐτῶν· τεύξεσθαι γὰρ ἀφέσεως ὑπελάμβανον, εἰ τὸ χωρίον Ῥωμαίοις ἐγχειρίσειαν. πείρᾳ δὲ πρότερον ἐβούλοντο τὰς ὑπὲρ τοῦ διαφεύξεσθαι τὴν πολιορκίαν ἐλπίδας ἐλέγξαι. διὰ τοῦτο καὶ προθύμως ἐποιοῦντο τὰς ἐξόδους ἀνὰ πᾶσαν ἡμέραν, καὶ τοῖς τυχοῦσι συμπλεκόμενοι πολλοὶ μὲν ἔθνησκον πολλοὺς δὲ τῶν Ῥωμαίων ἀνῄρουν. ἀεὶ δὲ τοῦ κρατεῖν ὁ καιρὸς ἐβράβευεν ἑκατέροις τὸ πλέον, τοῖς μὲν Ἰουδαίοις, εἰ πρὸς ἀφυλακτοτέρους προσπέσοιεν, τοῖς δὲ ἐπὶ τῶν χωμάτων προϊοῦσιν, εἰ τὴν ἐκδρομὴν αὐτῶν δέχοιντο πεφραγμένως. ἀλλ' οὐκ ἐν τούτοις ἔμελλε γενήσεσθαι τὸ πέρας τῆς πολιορκίας, ἔργον δέ τι πραχθὲν ἐκ συντυχίας παράλογον τῆς παραδόσεως τοῦ φρουρίου τὴν ἀνάγκην ἐπέστησε τοῖς Ἰουδαίοις. ἦν ἐν τοῖς πολιορκουμένοις νεανίας τολμῆσαί τε θρασὺς καὶ κατὰ χεῖρα δραστήριος, Ἐλεάζαρος ὄνομα. ἐγεγόνει δ' οὗτος ἐν ταῖς ἐκδρομαῖς ἐπιφανής, τοὺς πολλοὺς ἐξιέναι καὶ κωλύειν τὴν χῶσιν παρακαλῶν καὶ κατὰ τὰς μάχας πολλὰ καὶ δεινὰ τοὺς Ῥωμαίους διατιθείς, τοῖς δὲ σὺν αὐτῷ τολμῶσιν ἐπεκτρέχειν ῥᾳδίαν μὲν τὴν προσβολὴν τιθέμενος, ἀκίνδυνον δὲ παρέχων τὴν ἀναχώρησιν τῷ τελευταῖος ἀπιέναι. καὶ δή ποτε τῆς μάχης διακριθείσης καὶ γεγονυίας ἀμφοτέρων ἀναχωρήσεως αὐτός, ἅτε δὴ περιφρονῶν καὶ νομίζων οὐκ ἂν ἔτι τῶν πολεμίων οὐδένα τότε μάχης ἄρξειν, μείνας τῶν πυλῶν ἔξω τοῖς ἐπὶ τοῦ τείχους διελάλει, καὶ πᾶς πρὸς ἐκείνους τὴν διάνοιαν ἦν. ὁρᾷ δὲ τὸν καιρὸν τοῦ Ῥωμαϊκοῦ τις στρατοπέδου Ῥοῦφος, γένος Αἰγύπτιος, καὶ μηδενὸς ἂν προσδοκήσαντος ἐξαίφνης ἐπιδραμών, σὺν αὐτοῖς ἁράμενος αὐτὸν τοῖς ὅπλοις, ἕως κατεῖχε τοὺς ἀπὸ τῶν τειχῶν ἰδόντας ἔκπληξις, φθάνει τὸν ἄνδρα μεταθεὶς εἰς τὸ Ῥωμαίων στρατόπεδον. τοῦ δὲ στρατηγοῦ κελεύσαν-

Digitized by Google

τος γυμνὸν διαλαβεῖν αὐτόν, καὶ καταστήσαντας εἰς τὸ φανερώτατον τοῖς ἐκ τῆς πόλεως ἀποβλέπουσι μάστιξιν αἰκίζεσθαι, σφόδρα τοὺς Ἰουδαίους τὸ περὶ τὸν νεανίαν πάθος συνέχεεν, ἀθρόα τε ἡ πόλις ἀνφώμωξε, καὶ θρῆνος ἦν μείζων ἢ καθ' ἑνὸς ἀνδρὸς συμφοράν. τοῦτο συνιδὼν ὁ Βάσσος κατὰ τῶν πολεμίων ἀρχὴν ἐποιήσατο στρατηγήματος, καὶ βουληθεὶς αὐτῶν ἐπιτεῖναι τὸ περιαλγές, ἵνα βιασθῶσιν ἀντὶ τῆς σωτηρίας τἀνδρὸς ποιήσασθαι τοῦ φρουρίου παράδοσιν, τῆς ἐλπίδος οὐ διήμαρτεν. ὃ μὲν γὰρ προσέταξε καταπηγνύναι σταυρὸν ὡς αὐτίκα κρεμῶν τὸν Ἐλεάζαρον· τοῖς δ' ἀπὸ τοῦ φρουρίου τοῦτο θεασαμένοις ὀδύνη τε πλείων προσέπεσε, καὶ διωλύγιον ἀνφώμωξον, οὐκ ἀνασχετὸν εἶναι τὸ πάθος βοῶντες. ἐνταῦθα δὴ τοίνυν Ἐλεάζαρος ἱκέτευεν αὐτοὺς μήτ' αὐτὸν περιιδεῖν ὑπομείναντα θανάτων τὸν οἰκτιστον, καὶ σφίσιν αὐτοῖς τὴν σωτηρίαν παρασχεῖν τῇ Ῥωμαίων εἴξαντας ἰσχύι καὶ τύχῃ, μετὰ πάντας ἤδη κεχειρωμένους. οἱ δὲ καὶ πρὸς τοὺς ἐκείνου λόγους κατακλώμενοι, καὶ πολλῶν ἔνδον ὑπὲρ αὐτοῦ δεομένων (ἦν γὰρ ἐκ μεγάλης καὶ σφόδρα πολυανθρώπου συγγενείας), παρὰ τὴν αὐτῶν φύσιν εἰς οἶκτον ἐνέδωκαν, καί τινας ἐξαποστείλαντες κατὰ τάχος διελέγοντο ποιεῖσθαι τὴν παράδοσιν τοῦ φρουρίου, ἀξιοῦντες ἵνα ἀδεεῖς ἀπαλλάττωνται, κομισάμενοι τὸν Ἐλεάζαρον. δεξαμένων δὲ τῶν Ῥωμαίων καὶ τοῦ στρατηγοῦ ταῦτα, τὸ πλῆθος τῶν ἐν τῇ κάτω πόλει, τὴν γεγενημένην ἰδίᾳ τοῖς Ἰουδαίοις πυθόμενοι σύμβασιν, αὐτοὶ κατὰ νύκτα λαθόντες ἔγνωσαν ἀποδρᾶναι. τὰς πύλας δ' αὐτῶν ἀνοιξάντων παρὰ τῶν τὴν ὁμολογίαν πεποιημένων πρὸς τὸν Βάσσον ἦκε μήνυσις, εἴτ' οὖν τῆς σωτηρίας αὐτοῖς φθονησάντων, εἴτε καὶ διὰ δέος μὴ τὴν αἰτίαν αὐτοὶ λάβωσι τῆς ἐκείνων ἀποδράσεως. οἱ μὲν οὖν ἀν-

Digitized by Google

δρειότατοι τῶν ἐξιόντων ἔφθασαν διεκπαίσασθαι καὶ διέφυγον· τῶν δ' ἔνδον καταληφθέντων ἄνδρες μὲν ἀνῃρέθησαν ἐπὶ τοῖς χιλίοις ἑπτακόσιοι, γύναια δὲ καὶ παῖδες ἠνδραποδίσθησαν. τὰς δὲ πρὸς τοὺς παραδόντας τὸ φρούριον ὁμολογίας οἰόμενος δεῖν ὁ Βάσσος διαφυλάττειν αὐτούς τ' ἀφίησι καὶ τὸν Ἐλεάζαρον ἀπέδωκεν.

ταῦτα δὲ διοικησάμενος ἠπείγετο τὴν στρατιὰν ἄγων ἐπὶ τὸν προσαγορευόμενον Ἰάρδην δρυμόν· πολλοὶ γὰρ εἰς αὐτὸν ἠγγέλθησαν ἠθροῖσθαι τῶν κατὰ τὰς πολιορκίας πρότερον ἔκ τε Ἱεροσολύμων καὶ Μαχαιροῦντος ἀποδράντων. ἐλθὼν οὖν ἐπὶ τὸν τόπον, καὶ γνοὺς τὴν ἀγγελίαν οὐκ ἐψευσμένην, πρῶτον μὲν τοῖς ἱππεῦσιν ἅπαν κυκλοῦται τὸ χωρίον, ὅπως τοῖς διεκπαίεσθαι τολμῶσι τῶν Ἰουδαίων ἄπορος ἡ φυγὴ γίνηται διὰ τοὺς ἱππέας, τοὺς δὲ πεζοὺς ἐκέλευσε δενδροτομεῖν τὴν ὕλην εἰς ἣν καταπεφεύγεσαν. καθίστανται δὲ διὰ τοῦτο πρὸς ἀνάγκην οἱ Ἰουδαῖοι τοῦ δρᾶν τι γενναῖον, ὡς ἐκ τοῦ παραβόλως ἀγωνίσασθαι τάχ' ἂν καὶ διαφυγόντες. ἀθρόοι δὴ καὶ μετὰ βοῆς ᾄξαντες ἐνέπιπτον τοῖς κεκυκλωμένοις. οἳ δ' αὐτοὺς ἐδέχοντο καρτερῶς, καὶ πολλῇ τῶν μὲν ἀπονοίᾳ τῶν δὲ φιλονεικίᾳ χρωμένων χρόνος μὲν οὐκ ὀλίγος διὰ τοῦτο τῇ μάχῃ προύβη, τέλος δ' αὐτῆς οὐχ ὅμοιον ἀπέβη τοῖς ἀγωνισαμένοις· Ῥωμαίων μὲν γὰρ δώδεκα τοὺς πάντας συνέβη πεσεῖν, ὀλίγους τε τρωθῆναι, τῶν Ἰουδαίων δ' ἐκ τῆς μάχης ταύτης οὐδεὶς διέφυγεν, ἀλλ' ὄντες οὐκ ἐλάττους τρισχιλίων πάντες ἀπέθανον, καὶ στρατηγὸς αὐτῶν Ἰούδας ὁ τοῦ Ἀρὶ παῖς, περὶ οὗ πρότερον εἰρήκαμεν ὅτι τάξεως ἡγούμενός τινός ἐν τῇ πολιορκίᾳ τῶν Ἱεροσολύμων κατά τινας διαδὺς τῶν ὑπονόμων ἔλαθεν [illegible]ράς.

[illegible]ρὶ δὲ τὸν αὐτὸν καιρὸν ἐπέστειλε Καῖσαρ Βάσσῳ

Digitized by Google

καὶ Λιβερίῳ Μαξίμῳ (οὗτος δ' ἦν ἐπίτροπος), κελεύων πᾶσαν γῆν ἀποδόσθαι τῶν Ἰουδαίων. οὐ γὰρ κατῴκισεν ἐκεῖ πόλιν, ἰδίαν αὐτῷ τὴν χώραν φυλάττων, ὀκτακοσίοις δὲ μόνοις ἀπὸ τῆς στρατιᾶς διαφειμένοις χωρίον ἔδωκεν εἰς κατοίκησιν, ὃ καλεῖται μὲν Ἀμμαοῦς, ἀπέχει δὲ τῶν Ἱεροσολύμων σταδίους τριάκοντα. φόρον δὲ τοῖς ὁπουδήποτ' οὖσιν Ἰουδαίοις ἐπέβαλε, δύο δραχμὰς ἕκαστον κελεύσας ἀνὰ πᾶν ἔτος εἰς τὸ Καπετώλιον φέρειν, ὥσπερ πρότερον εἰς τὸν ἐν Ἱεροσολύμοις νεὼν συνετέλουν.

καὶ τὰ μὲν Ἰουδαίων τότε τοιαύτην εἶχε κατάστασιν, ἤδη δ' ἔτος τέταρτον Ὀεσπασιανοῦ διέποντος τὴν 7 ἡγεμονίαν συνέβη τὸν βασιλέα τῆς Κομμαγηνῆς Ἀντίοχον μεγάλαις συμφοραῖς πανοικεσίᾳ περιπεσεῖν ἀπὸ τοιαύτης αἰτίας. Καισέννιος Παῖτος ὁ τῆς Συρίας ἡγεμὼν τότε καθεστηκώς, εἴτ' οὖν ἀληθεύων εἴτε καὶ διὰ τὴν πρὸς Ἀντίοχον ἔχθραν (οὐ σφόδρα γὰρ τὸ σαφὲς ἠλέγχθη), γράμματα πρὸς Καίσαρα διεπέμψατο, λέγων τὸν Ἀντίοχον μετὰ τοῦ παιδὸς Ἐπιφανοῦς διεγνωκέναι Ῥωμαίων ἀφίστασθαι, συνθήκας πρὸς τὸν βασιλέα τῶν Πάρθων πεποιημένον· δεῖν οὖν προκαταλαβεῖν αὐτούς, μὴ φθάσαντες τῶν πραγμάτων ἄρξασθαι πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν πολέμῳ συνταράξωσιν. ἔμελλε δὲ Καῖσαρ τοιούτου μηνύματος αὐτῷ προσπεσόντος μὴ περιορᾶν· καὶ γὰρ ἡ γειτνίασις τῶν βασιλέων ἐποίει τὸ πρᾶγμα μείζονος ἄξιον προνοίας. τὰ γὰρ Σαμόσατα, τῆς Κομμαγηνῆς μεγίστη πόλις, κεῖται παρὰ τὸν Εὐφράτην, ὥστ' εἶναι τοῖς Πάρθοις, εἴ τι τοιοῦτον διενενόητο, ῥᾴστην μὲν τὴν διάβασιν βεβαίαν δὲ τὴν ὑποδοχήν. πιστευθεὶς οὖν ὁ Παῖτος, καὶ λαβὼν ἐξουσίαν πράττειν ἃ δοκεῖ συμφέρειν, οὐκ ἐμέλλησεν, ἐξαίφνης δὲ τῶν περὶ τὸν Ἀντίοχον οὐδὲν προσδοκώντων εἰς τὴν

Digitized by Google

Κομμαγηνὴν ἐνέβαλε, τῶν μὲν ταγμάτων ἄγων τὸ ἕκτον, καὶ πρὸς τούτῳ λόχους καί τινας ἴλας ἱππέων, συνεμάχουν δὲ καὶ βασιλεῖς αὐτῷ, τῆς μὲν Χαλκιδικῆς λεγομένης Ἀριστόβουλος, τῆς Ἐμέσης δὲ καλουμένης Σόεμος. ἦν δ' αὐτοῖς τὰ περὶ τὴν εἰσβολὴν ἀνανταγώνιστα· τῶν γὰρ κατὰ τὴν χώραν οὐδεὶς ἤθελε χεῖρας ἀνταίρειν. Ἀντίοχος δέ, τῆς ἀγγελίας ἀδοκήτως προσπεσούσης, πολέμου μὲν οὐδ' ἐπίνοιαν πρὸς Ῥωμαίους ἔσπασεν, ἔγνω δὲ πᾶσαν τὴν βασιλείαν ὡς εἶχεν ἐπὶ σχήματος καταλιπὼν μετὰ γυναικὸς καὶ τέκνων ὑπεξελθεῖν, οὕτως ἂν οἰόμενος καθαρὸν Ῥωμαίοις ἑαυτὸν ἀποδεῖξαι τῆς ἐπενηνεγμένης αἰτίας. καὶ προελθὼν ἀπὸ τῆς πόλεως ἑκατὸν σταδίους πρὸς τοῖς εἴκοσιν εἰς τὸ πεδίον ἐν αὐτῷ καταυλίζεται. Παῖτος δ' ἐπὶ μὲν τὰ Σαμόσατα τοὺς καταληψομένους ἀποστέλλει, καὶ δι' ἐκείνων εἶχε τὴν πόλιν, αὐτὸς δὲ μετὰ τῆς ἄλλης δυνάμεως ἐπ' Ἀντίοχον ἐποιεῖτο τὴν ὁρμήν. οὐ μὴν ὁ βασιλεὺς οὐδ' ὑπὸ τῆς ἀνάγκης προήχθη πρᾶξαί τι πρὸς Ῥωμαίους πολεμικόν, ἀλλὰ τὴν αὐτοῦ τύχην ὀδυρόμενος ὅ τι δέοι παθεῖν ὑπέμενε. νέοις δὲ καὶ πολέμων ἐμπείροις καὶ ῥώμῃ σωμάτων διαφέρουσιν οὐ ῥᾴδιον ἦν τοῖς παισὶν αὐτοῦ τὴν συμφορὰν ἀμαχεὶ καρτερεῖν. τρέπονται οὖν πρὸς ἀλκὴν Ἐπιφανής τε καὶ Καλλίνικος. σφοδρᾶς δὲ τῆς μάχης καὶ παρ' ὅλην τὴν ἡμέραν γενομένης, αὐτοὶ τὴν ἀνδρείαν διαπρεπῆ παρέσχον, καὶ μηδὲν ἐλαττωθείσῃ τῇ σφετέρᾳ δυνάμει ἐσπέρας διελύθησαν. Ἀντιόχῳ δ' οὐδ' ἐπὶ τῇ μάχῃ τοῦτον κεχωρηκυίᾳ τὸν τρόπον μένειν ἀνεκτὸν ἐδόκει· λαβὼν δὲ τὴν γυναῖκα καὶ τὰς θυγατέρας μετ' ἐκείνων ἐποιεῖτο φυγὴν εἰς Κιλικίαν, καὶ τοῦτο πράξας τὰ φρονήματα τῶν οἰκείων στρατιωτῶν κατέκλασεν· ὡς γὰρ ἀπεγνωσμένης ὑπ' αὐτοῦ τῆς βασιλείας ἀπέστησαν καὶ πρὸς τοὺς Ῥωμαίους μετεβάλοντο, καὶ

Digitized by Google

πάντων πρόδηλος ἦν ἀπόγνωσις. πρὶν οὖν τελέως ἐρημωθῆναι τῶν συμμάχων, τοῖς περὶ τὸν Ἐπιφανῆ σώζειν αὐτοὺς ἐκ τῶν πολεμίων ἦν ἀναγκαῖον. καὶ γίνονται δέκα σύμπαντες ἱππεῖς οἱ μετ' αὐτοῦ τὸν Εὐφράτην διαβάντες, ἔνθεν ἤδη μετ' ἀδείας πρὸς τὸν βασιλέα τῶν Πάρθων Βολογέσην κομισθέντες οὐχ ὡς φυγάδες ὑπερηφανήθησαν, ἀλλ' ὡς ἔτι τὴν παλαιὰν ἔχοντες εὐδαιμονίαν πάσης τιμῆς ἠξιώθησαν.

Ἀντιόχῳ δ' εἰς Ταρσὸν ἀφιγμένῳ τῆς Κιλικίας 3
ἑκατοντάρχην Παῖτος ἐπιπέμψας, δεδεμένον αὐτὸν εἰς Ῥώμην ἀπέστειλεν. Ὀεσπασιανὸς δ' οὐχ ὑπέμεινεν οὕτω πρὸς αὐτὸν ἀναχθῆναι τὸν βασιλέα, τῆς παλαιᾶς ἀξιῶν φιλίας μᾶλλον αἰδῶ λαβεῖν ἢ διὰ τὴν τοῦ πολέμου πρόφασιν ἀπαραίτητον ὀργὴν διαφυλάττειν. κελεύει δὴ καθ' ὁδὸν ἔτ' ὄντος αὐτοῦ τῶν δεσμῶν ἀφαιρεθῆναι, καὶ παρέντα τὴν εἰς Ῥώμην ἄφιξιν τὸ νῦν ἐν Λακεδαίμονι διάγειν, δίδωσί τε μεγάλας αὐτῷ προσόδους χρημάτων, ὅπως μὴ μόνον ἄφθονον ἀλλὰ καὶ βασιλικὴν ἔχοι τὴν δίαιταν. ταῦτα τοῖς περὶ τὸν Ἐπιφανῆ πυθομένοις, πρότερον σφόδρα περὶ τοῦ πατρὸς δεδιόσιν, ἀνείθησαν αἱ ψυχαὶ μεγάλης καὶ δυσδιαθέτου φροντίδος. ἐλπὶς δὲ καὶ αὐτοῖς τῶν παρὰ Καίσαρος διαλλαγῶν ἐγένετο, Βολογέσου περὶ αὐτῶν ἐπιστείλαντος· οὐδὲ γὰρ εὐδαιμονοῦντες ὑπέμενον ἔξω τῆς Ῥωμαίων ζῆν ἡγεμονίας. δόντος δὲ Καίσαρος ἡμέρως αὐτοῖς τὴν ἄδειαν εἰς Ῥώμην παρεγένοντο, τοῦ τε πατρὸς ὡς αὐτοὺς ἐκ τῆς Λακεδαίμονος εὐθὺς ἐλθόντος πάσης ἀξιούμενοι τιμῆς κατέμενον ἐνταῦθα.

τὸ δὲ τῶν Ἀλανῶν ἔθνος ὅτι μέν εἰσι Σκύθαι περὶ 4
τὸν Τάναϊν καὶ τὴν Μαιῶτιν λίμνην κατοικοῦντες, πρότερόν που δεδηλώκαμεν, κατὰ τούτους δὲ τοὺς χρόνους διανοηθέντες εἰς τὴν Μηδίαν καὶ προσωτέρω ταύ-

Digitized by Google

της ἔτι καθ' ἁρπαγὴν ἐμβαλεῖν, τῷ βασιλεῖ τῶν Ὑρκανῶν διαλέγονται· τῆς παρόδου γὰρ οὗτος δεσπότης ἐστίν, ἣν ὁ βασιλεὺς Ἀλέξανδρος πύλαις σιδηραῖς κλειστὴν ἐποίησε. κἀκείνου τὴν εἴσοδον αὐτοῖς παρασχόντος, ἀθρόοι καὶ μηδὲν προϋποπτεύσασι τοῖς Μήδοις ἐπιπεσόντες χώραν πολυάνθρωπον καὶ παντοίων ἀνάμεστον βοσκημάτων διήρπαζον, μηδενὸς αὐτοῖς τολμῶντος ἀνθίστασθαι· καὶ γὰρ ὁ βασιλεύων τῆς χώρας Πάκορος ὑπὸ δέους εἰς τὰς δυσχωρίας ἀναφυγὼν τῶν μὲν ἄλλων ἁπάντων παρακεχωρήκει, μόλις δὲ παρ' αὐτῶν ἐρρύσατο τήν τε γυναῖκα καὶ τὰς παλλακὰς αἰχμαλώτους γενομένας, ἑκατὸν δοὺς τάλαντα. μετὰ πολλῆς οὖν ῥᾳστώνης ἀμαχεὶ ποιούμενοι τὰς ἁρπαγάς, μέχρι τῆς Ἀρμενίας προῆλθον πάντα λεηλατοῦντες. Τιριδάτης δ' αὐτῆς ἐβασίλευεν, ὃς ὑπαντιάσας αὐτοῖς καὶ ποιησάμενος μάχην παρὰ μικρὸν ἦλθεν ἐπ' αὐτῆς ζωὸς ἁλῶναι τῆς παρατάξεως· βρόχον γὰρ αὐτῷ τις πόρρωθεν περιβαλὼν ἔμελλεν ἐπισπάσειν, εἰ μὴ τῷ ξίφει θᾶττον ἐκεῖνος τὸν τόνον κόψας ἔφθη διαφυγεῖν. οἱ δὲ καὶ διὰ τὴν μάχην ἔτι μᾶλλον ἀγριωθέντες τὴν μὲν χώραν ἐλυμήναντο, πολὺ δὲ πλῆθος ἀνθρώπων καὶ τῆς ἄλλης λείας ἄγοντες ἐξ ἀμφοῖν τῶν βασιλειῶν πάλιν εἰς τὴν οἰκείαν ἐκομίσθησαν.

8 ἐπὶ δὲ τῆς Ἰουδαίας Βάσσου τελευτήσαντος Φλάβιος Σίλβας διαδέχεται τὴν ἡγεμονίαν· καὶ τὴν μὲν ἄλλην ἅπασαν ὁρῶν τῷ πολέμῳ κεχειρωμένην, ἓν δὲ μόνον ἔτι φρούριον ἀφεστηκός, ἐστράτευσεν ἐπὶ τοῦτο, πᾶσαν τὴν ἐν τοῖς τόποις δύναμιν συναγαγών. καλεῖται δὲ τὸ μὲν φρούριον Μασάδα, προειστήκει δὲ τῶν κατειληφότων αὐτὸ σικαρίων δυνατὸς ἀνὴρ Ἐλεάζαρος, ἀπόγονος Ἰούδα τοῦ πείσαντος Ἰουδαίων οὐκ ὀλίγους, ὡς πρότερον δεδηλώκαμεν, μὴ ποιεῖσθαι τὰς ἀπογραφάς, ὅτε

Digitized by Google

Κυρήνιος τιμητὴς εἰς τὴν Ἰουδαίαν ἐπέμφθη. τότε γὰρ οἱ σικάριοι συνέστησαν ἐπὶ τοὺς ὑπακούειν Ῥωμαίων θέλοντας, καὶ πάντα τρόπον ὡς πολεμίοις προσεφέροντο, τὰς μὲν κτήσεις ἁρπάζοντες καὶ περιελαύνοντες, ταῖς δ' οἰκήσεσιν αὐτῶν πῦρ ἐνιέντες· οὐδὲν γὰρ ἀλλοφύλων αὐτοὺς ἔφασκον διαφέρειν, οὕτως ἀγεννῶς τὴν περιμάχητον Ἰουδαίοις ἐλευθερίαν προεμένους καὶ δουλείαν αἱρεῖσθαι τὴν ὑπὸ Ῥωμαίοις ἀνωμολογηκότας. ἦν δ' ἄρα τοῦτο πρόφασις εἰς παρακάλυμμα τῆς ὠμότητος καὶ τῆς πλεονεξίας ὑπ' αὐτῶν λεγόμενον. σαφὲς δὲ διὰ τῶν ἔργων ἐποίησαν· οἱ μὲν γὰρ αὐτοῖς τῆς ἀποστάσεως ἐκοινώνησαν καὶ τοῦ πρὸς Ῥωμαίους συνήραντο πολέμου, τὰ παρ' ἐκείνων δὲ τολμήματα χείρω πρὸς αὐτοὺς ἐγένετο. κἀπὶ τῷ ψεύδεσθαι πάλιν τὴν πρόφασιν ἐξελεγχόμενοι μᾶλλον ἐκάκουν τοὺς τὴν πονηρίαν αὐτῶν διὰ τῆς δικαιολογίας ὀνειδίζοντας. ἐγένετο γάρ πως ὁ χρόνος ἐκεῖνος παντοδαπῆς ἐν τοῖς Ἰουδαίοις πονηρίας πολυφόρος, ὡς μηδὲν κακίας ἔργον ἄπρακτον παραλιπεῖν, μηδ' εἴ τις ἐπινοίᾳ διαπλάττειν ἐθελήσειεν ἔχειν ἄν τι καινότερον ἐξευρεῖν. οὕτως ἰδίᾳ τε καὶ κοινῇ πάντες ἐνόσησαν, καὶ πρὸς ὑπερβάλλειν ἀλλήλους ἔν τε ταῖς πρὸς τὸν θεὸν ἀσεβείαις καὶ ταῖς εἰς τοὺς πλησίον ἀδικίαις ἐφιλονείκησαν, οἱ μὲν δυνατοὶ τὰ πλήθη κακοῦντες, οἱ πολλοὶ δὲ τοὺς δυνατοὺς ἀπολλύναι σπεύδοντες· ἦν γὰρ ἐκείνοις μὲν ἐπιθυμία τοῦ τυραννεῖν, τοῖς δὲ τοῦ βιάζεσθαι καὶ τὰ τῶν εὐπόρων διαρπάζειν. πρῶτοι μὲν οὖν οἱ σικάριοι τῆς παρανομίας καὶ τῆς πρὸς τοὺς συγγενεῖς ἤρξαντο ὠμότητος, μήτε λόγον ἄρρητον εἰς ὕβριν μήτ' ἔργον ἀπείραστον εἰς ὄλεθρον τῶν ἐπιβουλευθέντων παραλείποντες. ἀλλὰ καὶ τούτους Ἰωάννης ἀπέδειξεν αὐτοῦ μετριωτέρους. οὐ γὰρ μόνον ἀνῄρει πάντας ὅσοι τὰ δίκαια καὶ συμφέ-

Digitized by Google

ροντα συνεβούλευον, καθάπερ ἐχθίστοις μάλιστα δὴ τῶν πολιτῶν τοῖς τοιούτοις προσφερόμενος, ἀλλὰ καὶ κοινῇ τὴν πατρίδα μυρίων ἐνέπλησε κακῶν, οἷα πράξειν ἔμελλεν ἄνθρωπος ἤδη καὶ τὸν θεὸν ἀσεβεῖν τετολμηκώς· τράπεζάν τε γὰρ ἄθεσμον παρετίθετο, καὶ τὴν νενομισμένην καὶ πάτριον ἐξεδιήτησεν ἁγνείαν, ἵνα ᾖ μηκέτι θαυμαστὸν εἰ τὴν πρὸς ἀνθρώπους ἡμερότητα καὶ κοινωνίαν οὐκ ἐτήρησεν ὁ τῆς πρὸς θεὸν εὐσεβείας οὕτω καταμανείς. πάλιν τοίνυν ὁ Γιώρα Σίμων τί κακὸν οὐκ ἔδρασεν; ἢ ποίας ὕβρεως ἐλευθέρων ἀπέσχετο σωμάτων, οἳ τοῦτον ἀνέδειξαν τύραννον; ποία δὲ αὐτοὺς φιλία, ποία δὲ συγγένεια πρὸς τοὺς ἐφ' ἑκάστης ἡμέρας φόνους οὐχὶ θρασυτέρους ἐποίησε; τὸ μὲν γὰρ τοὺς ἀλλοτρίους κακῶς ποιεῖν ἀγεννοῦς ἔργον εἶναι πονηρίας ὑπελάμβανον, λαμπρὰν δὲ φέρειν ἐπίδειξιν ἡγοῦντο τὴν ἐν τοῖς οἰκειοτάτοις ὠμότητα. παρημιλλήσατο δὲ καὶ τὴν τούτων ἀπόνοιαν ἡ τῶν Ἰδουμαίων μανία· ἐκεῖνοι γὰρ οἱ μιαρώτατοι τοὺς ἀρχιερέας κατασφάξαντες, ὅπως μηδὲ μέρος τι τῆς πρὸς τὸν θεὸν εὐσεβείας διαφυλάττηται, πᾶν ὅσον ἦν λείψανον ἔτι πολιτικοῦ σχήματος ἐξέκοψαν, καὶ τὴν τελεωτάτην εἰσήγαγον διὰ πάντων ἀνομίαν, ἐν ᾗ τὸ τῶν ζηλωτῶν κληθέντων γένος ἤκμαζεν, οἳ τὴν προσηγορίαν τοῖς ἔργοις ἐπηλήθευσαν. πᾶν γὰρ κακίας ἔργον ἐξεμιμήσαντο, μηδ' εἴ τι πρότερον προϋπαρχθὲν ἡ μνήμη παραδέδωκεν αὐτοὶ παραλιπόντες ἀζήλωτον· καίτοι τὴν προσηγορίαν αὐτοῖς ἀπὸ τῶν ἐπ' ἀγαθῷ ζηλουμένων ἐπέθεσαν, ἢ κατειρωνευόμενοι τῶν ἀδικουμένων διὰ τὴν αὐτῶν θηριώδη φύσιν, ἢ τὰ μέγιστα τῶν κακῶν ἀγαθὰ νομίζοντες. τοιγαροῦν προσῆκον ἕκαστοι τὸ τέλος εὕροντο, τοῦ θεοῦ τὴν ἀξίαν ἐπὶ πᾶσιν αὐτοῖς τιμωρίαν βραβεύσαντος· ὅσας γὰρ ἀνθρώπου δύναται φύσις κο-

Digitized by Google

λάσεις ὑπομεῖναι, πᾶσαι κατέσκηψαν εἰς αὐτοὺς μέχρι καὶ τῆς ἐσχάτης τοῦ βίου τελευτῆς, ἣν ὑπέμειναν ἐν πολυτρόποις αἰκίαις ἀποθανόντες. οὐ μὴν ἀλλὰ φαίη τις ἂν αὐτοὺς ἐλάττω παθεῖν ὧν ἔδρασαν· τὸ γὰρ δικαίως ἐπ' αὐτῶν οὐ προσῆν. τοὺς δὲ ταῖς ἐκείνων ὠμότησι περιπεσόντας οὐ τοῦ παρόντος ἂν εἴη καιροῦ κατὰ τὴν ἀξίαν ὀδύρεσθαι. πάλιν οὖν ἐπάνειμι πρὸς τὸ καταλειπόμενον μέρος τῆς διηγήσεως.

ἐπὶ γὰρ τὸν Ἐλεάζαρον καὶ τοὺς κατέχοντας σὺν 2
αὐτῷ τὴν Μασάδαν σικαρίους ὁ τῶν Ῥωμαίων στρατηγὸς ἦκε τὰς δυνάμεις ἄγων. καὶ τῆς μὲν χώρας ἁπάσης εὐθὺς ἐκράτει, φρουρὰς ἐν τοῖς ἐπικαιροτάτοις αὐτῆς μέρεσιν ἐγκαταστήσας, τεῖχος δὲ περιέβαλε κύκλῳ περὶ πᾶν τὸ φρούριον, ὅπως μηδενὶ τῶν πολιορκουμένων ᾖ ῥάδιον διαφυγεῖν. καὶ διανέμει τοὺς φυλάξοντας, αὐτὸς δὲ καταστρατοπεδεύει τόπον ὡς μὲν πρὸς τὴν πολιορκίαν ἐπιτηδειότατον ἐκλαβών, καθ' ὃν αἱ τοῦ φρουρίου πέτραι τῷ πλησίον ὄρει συνήγγιζον, ἄλλως δὲ πρὸς ἀφθονίαν τῶν ἐπιτηδείων δύσκολον· οὐ γὰρ ἡ τροφὴ μόνον πόρρωθεν ἐκομίζετο καὶ σὺν μεγάλῃ ταλαιπωρίᾳ τῶν ἐπὶ τούτῳ τεταγμένων Ἰουδαίων, ἀλλὰ καὶ τὸ ποτὸν ἦν ἀγώγιμον εἰς τὸ στρατόπεδον, τοῦ τόπου μηδεμίαν ἐγγὺς πηγὴν ἀναδιδόντος. ταῦτ' οὖν προοικονομησάμενος ὁ Σίλβας ἐπὶ τὴν πολιορκίαν ἐτράπετο, πολλῆς ἐπιτεχνήσεως καὶ ταλαιπωρίας δεομένην διὰ τὴν ὀχυρότητα τοῦ φρουρίου τοιοῦδε τὴν φύσιν ὑπάρχοντος.

πέτραν οὐκ ὀλίγην τῇ περιόδῳ καὶ μῆκος ὑψηλὴν 3
πανταχόθεν περιερρώγασι βαθεῖαι φάραγγες κάτωθεν ἐξ ἀοράτου τέρματος, κρημνώδεις καὶ πάσῃ βάσει ζῴων ἀπρόσιτοι, πλὴν ὅσον κατὰ δύο τόπους τῆς πέτρας εἰς ἄνοδον οὐκ εὐμαρῆ παρεικούσης. ἔστι δὲ τῶν ὁδῶν ἡ μὲν ἀπὸ τῆς Ἀσφαλτίτιδος λίμνης πρὸς ἥλιον ἀνίσχοντα,

Digitized by Google

καὶ πάλιν ἀπὸ τῆς δύσεως ᾗ ῥᾷον πορευθῆναι. καλοῦσι δὲ τὴν ἑτέραν ὄφιν, τῇ στενότητι προσεικάσαντες καὶ τοῖς συνεχέσιν ἑλιγμοῖς· κλᾶται γὰρ περὶ τὰς τῶν κρημνῶν ἐξοχάς, καὶ πολλάκις εἰς αὐτὴν ἀναστρέφουσα καὶ κατὰ μικρὸν αὖθις ἐκμηκυνομένη μόλις ψαύει τοῦ πρόσω. δεῖ δὲ παραλλὰξ τὸν δι' αὐτῆς βαδίζοντα τὸν ἕτερον τοῖν ποδοῖν ἐρείδεσθαι. ἔστι δὲ πρόδηλος ὅλεθρος· ἑκατέρωθεν γὰρ βάθος κρημνῶν ὑποκέχηνε, τῇ φοβερότητι πᾶσαν εὐτολμίαν ἐκπλῆξαι δυνάμενον. διὰ τοιαύτης οὖν ἐλθόντι σταδίους τριάκοντα κορυφὴ τὸ λοιπόν ἐστιν, οὐκ εἰς ὀξὺ τέρμα συνηγμένη, ἀλλ' ὥστ' εἶναι κατ' ἄκρας ἐπίπεδος. ἐπὶ ταύτῃ πρῶτος μὲν ὁ ἀρχιερεὺς ᾠκοδομήσατο φρούριον Ἰωνάθης, καὶ προσηγόρευσε Μασάδαν· ὕστερον δ' Ἡρώδῃ τῷ βασιλεῖ διὰ πολλῆς ἐγένετο σπουδῆς ἡ τοῦ χωρίου κατασκευή. τεῖχός τε γὰρ ἦγειρε περὶ πάντα τὸν κύκλον τῆς κορυφῆς ἑπτὰ σταδίων ὄντα, λευκοῦ μὲν λίθου πεποιημένον, ὕψος δὲ δώδεκα καὶ πλάτος ὀκτὼ πήχεις ἔχον. τριάκοντα δ' αὐτῷ καὶ ἑπτὰ πύργοι πεντηκονταπήχεις ἀνεστήκεσαν, ἐξ ὧν ἦν εἰς οἰκήματα διελθεῖν περὶ πᾶν τὸ τεῖχος ἔνδον ᾠκοδομημένα· τὴν γὰρ κορυφὴν πίονα καὶ πεδίου παντὸς οὖσαν μαλακωτέραν ἀνῆκεν εἰς γεωργίαν ὁ βασιλεύς, ἵν' εἴ ποτε τῆς ἔξω τροφῆς ἀπορία γένοιτο, μηδὲ ταύτῃ κάμοιεν οἱ τὴν αὐτῶν σωτηρίαν τῷ φρουρίῳ πεπιστευκότες. καὶ βασίλειον δὲ κατεσκεύασεν ἐν αὐτῷ, κατὰ τὴν ἀπὸ τῆς ἑσπέρας ἀνάβασιν, ὑποκάτω μὲν τῶν τῆς ἄκρας τειχῶν, πρὸς δὲ τὴν ἄρκτον ἐγκλῖνον. τοῦ δὲ βασιλείου τὸ τεῖχος ἦν ὕψει μέγα καὶ καρτερόν, πύργους ἔχον ἑξηκονταπήχεις ἐγγωνίους τέτταρας. ἥ τε τῶν οἰκημάτων ἔνδον καὶ στοῶν καὶ βαλανείων κατασκευὴ παντοία καὶ πολυτελὴς ἦν, κιόνων μὲν ἁπανταχοῦ μονολίθων ὑφεστηκότων, τοίχων δὲ καὶ

Digitized by Google

τῶν ἐν τοῖς οἰκήμασιν ἐβαφῶν λίθου στρώσει πεποικιλμένων. πρὸς ἕκαστον δὲ τῶν οἰκουμένων τόπων ἄνω τε καὶ περὶ τὸ βασίλειον καὶ πρὸ τοῦ τείχους πολλοὺς καὶ μεγάλους ἐτετμήκει λάκκους ἐν ταῖς πέτραις, φυλακτῆρας ὑδάτων, μηχανώμενος εἶναι χορηγίαν ὅση τῶν ἐκ πηγῶν ἐστὶ χρωμένοις. ὀρυκτὴ δ' ὁδὸς ἐκ τοῦ βασιλείου πρὸς ἄκραν τὴν κορυφὴν ἀνεφέρετο, τοῖς ἔξωθεν ἀφανής. οὗ μὴν οὐδὲ ταῖς φανεραῖς ὁδοῖς ἦν οἷόν τε χρήσασθαι ῥᾳδίως πολεμίους· ἡ μὲν γὰρ ἐφα διὰ τὴν φύσιν, ὡς προειπομεν, ἐστὶν ἄβατος, τὴν δ' ἀπὸ τῆς ἑσπέρας μεγάλῳ κατὰ τὸ στενώτατον πύργῳ διετείχισεν, ἀπέχοντι τῆς ἄκρας πήχεων οὐκ ἔλαττον διάστημα χιλίων, ὃν οὔτε παρελθεῖν δυνατὸν ἦν οὔτε ῥᾴδιον ἐλεῖν. δυσέξοδος δὲ καὶ τοῖς μετ' ἀδείας βαδίζουσιν ἐπεποίητο.

οὕτω μὲν οὖν πρὸς τὰς τῶν πολεμίων ἐφόδους φύσει τε καὶ χειροποιήτως τὸ φρούριον ὠχύρωτο, τῶν δ' 4
ἔνδον ἀποκειμένων παρασκευῶν ἔτι μᾶλλον ἄν τις ἐθαύμασε τὴν λαμπρότητα καὶ τὴν διαμονήν· σῖτός τε γὰρ ἀπέκειτο πολὺς καὶ πολὺν χρόνον ἀρκεῖν ἱκανώτατος, οἶνός τε πολὺς ἦν καὶ ἔλαιον, ἔτι δὲ παντοῖος ὀσπρίων καρπὸς καὶ φοίνικες ἐσεσώρευντο. πάντα δ' εὗρεν ὁ Ἐλεάζαρος, τοῦ φρουρίου μετὰ τῶν σικαρίων ἐγκρατὴς δόλῳ γενόμενος, ἀκμαῖα καὶ μηδὲν τῶν νεωστὶ κειμένων ἀποδέοντα· καίτοι σχεδὸν ἀπὸ τῆς παρασκευῆς εἰς τὴν ὑπὸ Ῥωμαίοις ἅλωσιν ἑκατὸν ἦν χρόνος ἐτῶν. ἀλλὰ καὶ Ῥωμαῖοι τοὺς περιλειφθέντας τῶν καρπῶν εὗρον ἀδιαφθόρους. αἴτιον δ' οὐκ ἂν ἁμάρτοι τις ὑπολαμβάνων εἶναι τὸν ἀέρα τῆς διαμονῆς, ὕψει τῶν περὶ τὴν ἄκραν πάσης ὄντα γεώδους καὶ θολερᾶς ἀμιγῆ κράσεως. εὑρέθη δὲ καὶ παντοίων πλῆθος ὅπλων ὑπὸ τοῦ βασιλέως ἀποτεθησαυρισμένον, ὡς ἀνδράσιν ἀρ-

Digitized by Google

κειν μυρίοις· ἀργός τε σίδηρος καὶ χαλκός, ἔτι δὲ καὶ μόλιβδος, ἅτε δὴ τῆς παρασκευῆς ἐπὶ μεγάλαις αἰτίαις γενομένης. λέγεται γὰρ αὐτῷ τὸν Ἡρώδην τοῦτο τὸ φρούριον εἰς ὑποφυγὴν ἑτοιμάζειν, διπλοῦν ὑφορώμενον κίνδυνον, τὸν μὲν παρὰ τοῦ πλήθους τῶν Ἰουδαίων, μὴ καταλύσαντες ἐκεῖνον τοὺς πρὸ αὐτοῦ βασιλέας ἐπὶ τὴν ἀρχὴν καταγάγωσι, τὸν μείζω δὲ καὶ χαλεπώτερον ἐκ τῆς βασιλευούσης Αἰγύπτου Κλεοπάτρας. αὕτη γὰρ τὴν αὐτῆς γνώμην οὐκ ἐπέσχεν, ἀλλὰ πολλάκις Ἀντωνίῳ λόγους προσέφερε τὸν μὲν Ἡρώδην ἀνελεῖν ἀξιοῦσα, χαρίσασθαι δ' αὐτῇ τὴν βασιλείαν τῶν Ἰουδαίων δεομένη· καὶ μᾶλλον ἄν τις ἐθαύμασεν ὅτι μηδέπω τοῖς προστάγμασιν Ἀντώνιος ὑπηκηκόει, κακῶς ὑπὸ τοῦ πρὸς αὐτὴν ἔρωτος δεδουλωμένος, οὐχ ὅτι περὶ τοῦ μὴ χαρίσασθαι προσεδόκησε. διὰ τοιούτους μὲν φόβους Ἡρώδης Μασάδαν κατασκευασάμενος ἔμελλε Ῥωμαίοις ἀπολείψειν ἔργον τοῦ πρὸς Ἰουδαίους πολέμου τελευταῖον.

5 ἐπεὶ γὰρ ἔξωθεν ἤδη περιτετειχίκει πάντα τὸν τόπον ὁ τῶν Ῥωμαίων, ὡς προείπομεν, ἡγεμών, καὶ τοῦ μή τινα ἀποδρᾶναι πρόνοιαν ἐπεποίητο τὴν ἀκριβεστάτην, ἐνεχείρει τῇ πολιορκίᾳ, μόνον εὑρὼν ἕνα τόπον ἐπιβολὴν χωμάτων δέξασθαι δυνάμενον. μετὰ γὰρ τὸν διατειχίζοντα πύργον τὴν ἀπὸ τῆς δύσεως ὁδὸν ἄγουσαν εἴς τε τὸ βασίλειον καὶ τὴν ἀκρώρειαν, ἣν τις ἐξοχὴ πέτρας εὐμεγέθης τῷ πλάτει καὶ πολὺ προκύπτουσα, τοῦ δ' ὕψους τῆς Μασάδας τριακοσίους πήχεις ὑποκάτω. Λευκὴν δὲ αὐτὴν ὠνόμαζον. ἐπὶ ταύτην οὖν ἀναβὰς καὶ κατασχὼν αὐτὴν ὁ Σίλβας ἐκέλευσε τὸν στρατὸν χοῦν ἐπιφέρειν. τῶν δὲ προθύμως καὶ μετὰ πολλῆς χειρὸς ἐργαζομένων στερεὸν εἰς διακοσίους πήχεις ὑψώθη τὸ χῶμα. οὐ μὴν οὔτε βέβαιον οὔτε αὔταρκες ἐδόκει τοῦτο

Digitized by Google

τὸ μέτρον εἶναι τοῖς μηχανήμασιν εἰς ἐπιβάθραν, ἀλλ' ἐπ' αὐτοῦ βῆμα λίθων μεγάλων συνηρμοσμένων ἐποιήθη, πεντήκοντα πηχῶν εὖρός τε καὶ ὕψος. ἦν δὲ τῶν ἄλλων τε μηχανημάτων ἡ κατασκευὴ παραπλησία τοῖς ὑπὸ μὲν Ὀεσπασιανοῦ πρότερον μετὰ ταῦτα δ' ὑπὸ Τίτου πρὸς τὰς πολιορκίας ἐπινοηθεῖσι, καὶ πύργος ἑξηκοντάπηχυς συνετελέσθη, σιδήρῳ κατακεφραγμένος ἅπας, ἐξ οὗ πολλοῖς ὀξυβελέσι καὶ πετροβόλοις βάλλοντες οἱ Ῥωμαῖοι τοὺς ἀπὸ τοῦ τείχους μαχομένους ταχέως ἀνέστειλαν καὶ προκύπτειν ἐκώλυσαν. ἐν ταὐτῷ δὲ καὶ κριὸν ὁ Σίλβας μέγαν κατασκευασάμενος, συνεχεῖς ποιεῖσθαι κελεύσας τῷ τείχει τὰς ἐμβολάς, μόλις μὲν ἀλλ' οὖν ἀναρρήξας τι μέρος αὐτοῦ κατήρειψε. φθάνουσι δ' οἱ σικάριοι ταχέως ἔνδοθεν οἰκοδομησάμενοι τεῖχος ἕτερον, ὃ μηδ' ὑπὸ τῶν μηχανημάτων ἔμελλεν ὅμοιόν τι πείσεσθαι· μαλακὸν γὰρ αὐτὸ καὶ τὴν σφοδρότητα τῆς ἐμβολῆς ὑπεκλύειν δυνάμενον τοιῷδε τρόπῳ κατεσκεύασαν. δοκοὺς μεγάλας ἐπὶ μῆκος προσεχεῖς ἀλλήλαις κατὰ τὴν τομὴν συνέθεσαν. δύο δ' ἦσαν στίχοι παράλληλοι, τοσοῦτον διεστῶτες ὅσον εἶναι πλάτος τείχους, καὶ μέσον ἀμφοῖν τὸν χοῦν ἐνεφόρουν. ὅπως δὲ μὴ ὑφουμένου τοῦ χώματος ἡ γῆ διαχέοιτο, πάλιν ἑτέραις δοκοῖς ἐπικαρσίαις τὰς κατὰ μῆκος κειμένας διέδεσαν. ἦν οὖν ἐκείνοις μὲν οἰκοδομία τὸ ἔργον παραπλήσιον, τῶν μηχανημάτων δ' αἱ πληγαὶ φερόμεναι πρὸς εἶκον ἐξελύοντο, καὶ τῷ σάλῳ συνιζάνον ἐποίουν αὐτὸ στεριφώτερον. τοῦτο συνιδὼν ὁ Σίλβας πυρὶ μᾶλλον αἱρήσειν ἐνόμισε τὸ τεῖχος, καὶ τοῖς στρατιώταις προσέταττε λαμπάδας αἰθομένας ἀθρόους εἰσακοντίζειν. τὸ δ', οἷα δὴ ξύλων τὸ πλέον πεποιημένον, ταχὺ τοῦ πυρὸς ἀντελάβετο, καὶ τῇ χαυνότητι πυρωθὲν διὰ βάθους φλόγα πολλὴν ἐξεπύρσευσεν. ἀρχομένου

Digitized by Google

μὲν οὖν ἔτι τοῦ πυρὸς βορρᾶς ἐμπνέων τοῖς Ῥωμαίοις φοβερὸς ἦν· ἄνωθεν γὰρ ἀποστρέφων ἐπ' ἐκείνους ἤλαυνε τὴν φλόγα, καὶ σχεδὸν ἤδη τῶν μηχανημάτων ὡς συμφλεγησομένων ἀπεγνώκεσαν. ἔπειτα δ' αἰφνίδιον νότος μεταβαλὼν καθάπερ ἐκ δαιμονίου προνοίας, καὶ πολὺς ἐναντίος πνεύσας, τῷ τείχει φέρων αὐτὴν προσέβαλε, καὶ πᾶν ἤδη διὰ βάθους ἐφλέγετο.

Ῥωμαῖοι μὲν οὖν τῇ παρὰ τοῦ θεοῦ συμμαχίᾳ κεχρημένοι χαίροντες εἰς τὸ στρατόπεδον ἀπηλλάττοντο, μέθ' ἡμέραν ἐπιχειρεῖν τοῖς πολεμίοις διεγνωκότες, καὶ τὰς φυλακὰς νύκτωρ ἐπιμελεστέρας ἐποιήσαντο, μή τι-
6 νες αὐτῶν λάθωσιν ἀποδράντες· οὐ μὴν οὔτ' αὐτὸς Ἐλεάζαρος ἐν νῷ δρασμὸν ἔλαβεν οὔτ' ἄλλῳ τινὶ τοῦτο ποιεῖν ἐμελλεν ἐπιτρέψειν. ὁρῶν δὲ τὸ μὲν τεῖχος ὑπὸ τοῦ πυρὸς ἀνακαιόμενον, ἄλλον δ' οὐδένα σωτηρίας τρόπον οὐδ' ἀλκῆς ἐπινοῶν, ἃ δὲ ἔμελλον Ῥωμαῖοι δράσειν αὐτοὺς καὶ τέκνα καὶ γυναῖκας αὐτῶν, εἰ κρατήσειαν, ὑπ' ὀφθαλμοὺς αὐτῷ τιθέμενος, θάνατον κατὰ πάντων ἐβουλεύσατο. καὶ τοῦτο κρίνας ἐκ τῶν παρόντων ἄριστον, τοὺς ἀνδρωδεστάτους τῶν ἑταίρων συναγαγὼν τοιούτοις ἐπὶ τὴν πρᾶξιν λόγοις παρεκάλει. "πάλαι διεγνωκότας ἡμᾶς, ἄνδρες ἀγαθοί, μήτε Ῥωμαίοις μήτ' ἄλλῳ τινὶ δουλεύειν ἢ θεῷ (μόνος γὰρ οὗτος ἀληθὴς ἐστι καὶ δίκαιος ἀνθρώπων δεσπότης), ἥκε νῦν καιρὸς ἐπαληθεῦσαι κελεύων τὸ φρόνημα τοῖς ἔργοις. πρὸς ὃν αὐτοὺς μὴ καταισχύνωμεν, πρότερον μηδὲ δουλείαν ἀκίνδυνον ὑπομείναντες, νυνὶ δὲ μετὰ δουλείας ἑλόμενοι τιμωρίας ἀνηκέστους, εἰ ζῶντες ὑπὸ Ῥωμαίοις ἐσόμεθα· πρῶτοί τε γὰρ πάντων ἀπέστημεν, καὶ πολεμοῦμεν αὐτοῖς τελευταῖοι. νομίζω δὲ καὶ παρὰ θεοῦ ταύτην ἡμῖν δεδόσθαι χάριν, τοῦ δύνασθαι καλῶς καὶ ἐλευθέρως ἀποθανεῖν, ὅπερ ἄλλοις οὐκ ἐγένετο

Digitized by Google

παρ' ἐλπίδα κρατηθεῖσιν. ἡμῖν δὲ πρόδηλος μέν ἐστιν ἡ γενησομένη μεθ' ἡμέραν ἅλωσις, ἐλευθέρα δ' ἡ τοῦ γενναίου θανάτου μετὰ τῶν φιλτάτων αἵρεσις. οὔτε γὰρ τοῦτο ἀποκωλύειν οἱ πολέμιοι δύνανται πάντως εὐχόμενοι ζῶντας ἡμᾶς παραλαβεῖν, οὔθ' ἡμεῖς ἐκείνους ἔτι νικᾶν μαχόμενοι. ἔδει μὲν γὰρ εὐθὺς ἴσως ἐξ ἀρχῆς, ὅτε τῆς ἐλευθερίας ἡμῖν ἀντιποιεῖσθαι θελήσασι πάντα καὶ παρ' ἀλλήλων ἀπέβαινε χαλεπὰ καὶ παρὰ τῶν πολεμίων χείρω, τῆς τοῦ θεοῦ γνώμης στοχάζεσθαι, καὶ γινώσκειν ὅτι τὸ πάλαι φίλον αὐτῷ φῦλον Ἰουδαίων ἀπώλειαν κατέγνωστο· μένων γὰρ εὐμενής, ἢ μετρίως γοῦν ἡμῖν ἀπηχθημένος, οὐκ ἂν τοσούτων μὲν ἀνθρώπων περιεῖδεν ὄλεθρον, προήκατο δὲ τὴν ἱερωτάτην αὐτοῦ πόλιν πυρὶ καὶ κατασκαφαῖς πολεμίων. ἡμεῖς δ' ἄρα καὶ μόνοι τοῦ παντὸς Ἰουδαίων γένους ἠλπίσαμεν περιέσεσθαι τὴν ἐλευθερίαν φυλάξαντες, ὥσπερ ἀναμάρτητοι πρὸς τὸν θεὸν γενόμενοι καὶ μηδεμιᾶς μετασχόντες ⟨παρανομίας⟩, οἳ καὶ τοὺς ἄλλους ἐδιδάξαμεν. τοιγαροῦν ὁρᾶτε πῶς ἡμᾶς ἐλέγχει μάταια προσδοκήσαντας, κρείττονα τῶν ἐλπίδων τὴν ἐν τοῖς δεινοῖς ἀνάγκην ἐπαγαγών. οὐδὲ γὰρ ἡμᾶς ἡ τοῦ φρουρίου φύσις ἀνάλωτος οὖσα πρὸς σωτηρίαν ὠφέλησεν, ἀλλὰ καὶ τροφῆς ἀφθονίαν καὶ πλῆθος ὅπλων καὶ τὴν ἄλλην ἔχοντες παρασκευὴν περιττεύουσαν, ὑπ' αὐτοῦ περιφανῶς τοῦ θεοῦ τὴν ἐλπίδα τῆς σωτηρίας ἀφῃρήμεθα· τὸ γὰρ πῦρ εἰς τοὺς πολεμίους φερόμενον οὐκ αὐτομάτως ἐπὶ τὸ κατασκευασθὲν τεῖχος ὑφ' ἡμῶν ἀνέστρεψεν, ἀλλ' ἔστι ταῦτα χόλος πολλῶν ἀδικημάτων, ἃ μανέντες εἰς τοὺς ὁμοφύλους ἐτολμήσαμεν. ὑπὲρ ὧν μὴ τοῖς ἐχθίστοις Ῥωμαίοις δίκας ἀλλὰ τῷ θεῷ δι' ἡμῶν αὐτῶν ὑπόσχωμεν. αὗται δ' εἰσὶν ἐκείνων μετριώτεραι· θνησκέτωσαν γὰρ γυναῖκες ἀνύβριστοι καὶ παῖδες δουλείας

Digitized by Google

ἀπείρατοι, μετὰ δ' αὐτοὺς ἡμεῖς εὐγενῆ χάριν ἀλλήλοις παράσχωμεν, καλὸν ἐντάφιον τὴν ἐλευθερίαν φυλάξαντες. πρότερον δὲ καὶ τὰ χρήματα καὶ τὸ φρούριον πυρὶ διαφθείρωμεν· λυπηθήσονται γὰρ Ῥωμαῖοι, σαφῶς οἶδα, μήτε τῶν ἡμετέρων σωμάτων κρατήσαντες καὶ τοῦ κέρδους ἁμαρτόντες. τὰς τροφὰς μόνας ἐάσωμεν· αὗται γὰρ ἡμῖν τεθνηκόσι μαρτυρήσουσιν ὅτι μὴ δι' ἔνδειαν ἐκρατήθημεν, ἀλλ' ὥσπερ ἐξ ἀρχῆς διέγνωμεν, θάνατον ἑλόμενοι πρὸ δουλείας."

7 ταῦτα Ἐλεάζαρος ἔλεγεν, οὐ μὴν κατ' αὐτὸ ταῖς γνώμαις προσέπιπτε τῶν παρόντων, ἀλλ' οἱ μὲν ἔσπευδον ὑπακούειν καὶ μόνον οὐχ ἡδονῆς ἐνεπίμπλαντο, καλὸν εἶναι τὸν θάνατον νομίζοντες, τοὺς δ' αὐτῶν μαλακωτέρους γυναικῶν καὶ γενεᾶς οἰκτος εἰσήει· πάντως δὲ καὶ τῆς ἑαυτῶν προδήλου τελευτῆς εἰς ἀλλήλους ἀποβλέποντες τοῖς δακρύοις τὸ μὴ βουλόμενον τῆς γνώμης ἐσήμαινον. τούτους ἰδὼν Ἐλεάζαρος ἀποδειλιῶντας καὶ πρὸς τὸ μέγεθος τοῦ βουλεύματος τὰς ψυχὰς ὑποκλωμένους, ἔδεισε μή ποτε καὶ τοὺς ἑρωμένως τῶν λόγων ἀκούσαντας αὐτοὶ συνεκθηλύνωσι ποτνιώμενοι καὶ δακρύοντες. οὔκουν ἀνῆκε τὴν παρακέλευσιν, ἀλλ' ἑαυτὸν ἐπεγείρας καὶ πολλοῦ λήματος πλήρης γενόμενος λαμπροτέροις ἐνεχείρει λόγοις περὶ ψυχῆς ἀθανασίας, μέγα τε σχετλιάσας καὶ τοῖς δακρύουσιν ἀτενὲς ἐμβλέψας "ἢ πλεῖστον" εἶπεν "ἐψεύσθην, νομίζων ἀνδράσιν ἀγαθοῖς τῶν ὑπὲρ τῆς ἐλευθερίας ἀγώνων συναίρεσθαι, ζῆν καλῶς ἢ τεθνάναι διεγνωκόσιν. ὑμεῖς δ' ἤτε τῶν τυχόντων οὐδὲν εἰς ἀρετὴν οὐδ' εἰς εὐτολμίαν διαφέροντες, οἵ γε καὶ τὸν ἐπὶ μεγίστων ἀπαλλαγῆ κακῶν φοβεῖσθε θάνατον, δέον ὑπὲρ τούτου μήτε μελλῆσαι μήτε σύμβουλον ἀναμεῖναι. πάλαι γὰρ εὐθὺς ἀπὸ τῆς πρώτης αἰσθήσεως παιδεύοντες ἡμᾶς οἱ πάτριοι καὶ

Digitized by Google

θεῖοι λόγοι διετέλουν, ἔργοις τε καὶ φρονήμασι τῶν ἡμετέρων προγόνων αὐτοὺς βεβαιούντων, ὅτι συμφορὰ τὸ ζῆν ἐστὶν ἀνθρώποις, οὐχ ὁ θάνατος. οὗτος μὲν γὰρ ἐλευθερίαν διδοὺς ψυχαῖς εἰς τὸν οἰκεῖον καὶ καθαρὸν ἀφίησι τόπον ἀπαλλάσσεσθαι, πάσης συμφορᾶς ἀπαθεῖς ἐσομένας· ἕως δ' εἰσὶν ἐν σώματι θνητῷ δεδεμέναι καὶ τῶν τούτου κακῶν συναναπίμπλανται, τἀληθέστατον εἰπεῖν, τεθνήκασι· κοινωνία γὰρ θείῳ πρὸς θνητὸν ἀπρεπής ἐστι. μέγα μὲν οὖν δύναται ψυχὴ καὶ σώματι συνδεδεμένη· ποιεῖ γὰρ αὐτῆς ὄργανον αἰσθανόμενον ἀοράτως αὐτὸ κινοῦσα καὶ θνητῆς φύσεως περαιτέρω προάγουσα ταῖς πράξεσιν· οὐ μὴν ἀλλ' ἐπειδὰν ἀπολυθεῖσα τοῦ καθέλκοντος αὐτὴν βάρους ἐπὶ γῆν καὶ προσκρεμαμένου χῶρον ἀπολάβῃ τὸν οἰκεῖον, τότε δὴ μακαρίας ἰσχύος καὶ πανταχόθεν ἀκωλύτου μετέχει δυνάμεως, ἀόρατος μένουσα τοῖς ἀνθρωπίνοις ὄμμασιν ὥσπερ αὐτὸς ὁ θεός. οὐδὲ γὰρ ἕως ἐστὶν ἐν σώματι θεωρεῖται· πρόσεισι γὰρ ἀφανῶς, καὶ μὴ βλεπομένη πάλιν ἀπαλλάττεται, μίαν μὲν αὐτὴ φύσιν ἔχουσα τὴν ἄφθαρτον, αἰτία δὲ σώματι γινομένη μεταβολῆς. ὅτου γὰρ ἂν ψυχὴ προσάψηται, τοῦτο ζῇ καὶ τέθηλεν, ὅτου δ' ἂν ἀπαλλαγῇ, μαρανθὲν ἀποθνήσκει· τοσοῦτον περίεστιν αὐτῇ ἀθανασίας. ὕπνος δὲ τεκμήριον ὑμῖν ἔστω τῶν λόγων ἐναργέστατον, ἐν ᾧ ψυχαί, τοῦ σώματος αὐτὰς μὴ περισπῶντος, ἡδίστην μὲν ἔχουσιν ἀνάπαυσιν ἐφ' ἑαυτῶν γενόμεναι, θεῷ δ' ὁμιλοῦσαι κατὰ συγγένειαν πάντῃ μὲν ἐπιφοιτῶσι, πολλὰ δὲ τῶν ἐσομένων προθεσπίζουσι. τί δὲ δεῖ θεδιέναι θάνατον, τὴν ἐν ὕπνῳ γινομένην ἀνάπαυσιν ἀγαπῶντας; πῶς δὲ οὐκ ἀνόητόν ἐστι τὴν ἐν τῷ ζῆν ἐλευθερίαν διώκοντας τῆς ἀιδίου φθονεῖν ἑαυτοῖς; ἔδει μὲν οὖν ἡμᾶς οἰκοθεν πεπαιδευμένους ἄλλοις εἶναι παράδειγμα τῆς πρὸς θά-

Digitized by Google

νατον ἑτοιμότητος· οὐ μὴν ἀλλ' εἰ καὶ τῆς παρὰ τῶν ἀλλοφύλων δεόμεθα πίστεως, βλέψωμεν εἰς Ἰνδοὺς τοὺς σοφίαν ἀσκεῖν ὑπισχνουμένους. ἐκεῖνοί τε γὰρ ὄντες ἄνδρες ἀγαθοὶ τὸν μὲν τοῦ ζῆν χρόνον ὥσπερ ἀναγκαίαν τινὰ τῇ φύσει λειτουργίαν ἀκουσίως ὑπομένουσι, σπεύδουσι δὲ τὰς ψυχὰς ἀπολῦσαι τῶν σωμάτων, καὶ μηδενὸς αὐτοὺς κατεπείγοντος κακοῦ μηδὲ ἐξελαύνοντος, πόθῳ τῆς ἀθανάτου διαίτης προλέγουσι μὲν τοῖς ἄλλοις ὅτι μέλλουσιν ἀπιέναι, καὶ ἔστιν ὁ κωλύσων οὐδείς, ἀλλὰ πάντες αὐτοὺς εὐδαιμονίζοντες πρὸς τοὺς οἰκείους ἕκαστοι διδόασιν ἐπιστολάς· οὕτω βεβαίαν καὶ ἀληθεστάτην ταῖς ψυχαῖς τὴν μετ' ἀλλήλων εἶναι δίαιταν πεπιστεύκασιν. οἳ δὲ ἐπειδὰν ἀκούσωσι τῶν ἐντεταλμένων αὐτοῖς, πυρὶ τὸ σῶμα παραδόντες ὅπως δὴ καὶ καθαρωτάτην ἀποκρίνωσι τοῦ σώματος τὴν ψυχήν, ὑμνούμενοι τελευτῶσι· ῥᾷον γὰρ ἐκείνους εἰς τὸν θάνατον οἱ φίλτατοι προπέμπουσιν ἢ τῶν ἄλλων ἀνθρώπων ἕκαστος τοὺς πολίτας εἰς μηκίστην ἀποδημίαν, καὶ σφᾶς μὲν αὐτοὺς δακρύουσιν, ἐκείνους δὲ μακαρίζουσιν ἤδη τὴν ἀθάνατον τάξιν ἀπολαμβάνοντας. ἆρ' οὖν οὐκ αἰδούμεθα χεῖρον Ἰνδῶν φρονοῦντες, καὶ διὰ τῆς ἑαυτῶν ἀτολμίας τοὺς πατρίους νόμους, οἷς πᾶσιν ἀνθρώποις εἰς ζῆλον ἦκουσιν, αἰσχρῶς ὑβρίζοντες; ἀλλ' εἰ γε καὶ τοὺς ἐναντίους ἐξ ἀρχῆς λόγους ἐπαιδεύθημεν, ὡς ἄρα μέγιστον ἀγαθὸν ἀνθρώποις ἐστὶ τὸ ζῆν, συμφορὰ δ' ὁ θάνατος, ὁ γοῦν καιρὸς ἡμᾶς παρακαλεῖ φέρειν εὐκαρδίως αὐτόν, θεοῦ γνώμῃ καὶ κατ' ἀνάγκας τελευτήσαντας. πάλαι γάρ, ὡς ἔοικε, κατὰ τοῦ κοινοῦ παντὸς Ἰουδαίων γένους ταύτην ἔθετο τὴν ψῆφον ὁ θεός, ὥσθ' ἡμᾶς τοῦ ζῆν ἀπηλλάχθαι μὴ μέλλοντας αὐτῷ χρῆσθαι κατὰ τρόπον. μὴ γὰρ αὐτοῖς ὑμῖν ἀνάπτετε τὰς αἰτίας, μηδὲ χαρίζεσθε τοῖς Ῥωμαίοις ὅτι

Digitized by Google

πάντας ἡμᾶς ὁ πρὸς αὐτοὺς πόλεμος διέφθειρεν. οὐ γὰρ ἐκείνων ἰσχύι ταῦτα συ[illegible]βηκεν, ἀλλὰ κρειττων αἰτία γενομένη τὸ δοκεῖν ἐκείνοις νικᾶν παρέσχηκεν. ποίοις γὰρ ὅπλοις Ῥωμαίων τεθνήκασιν οἱ Καισάρειαν Ἰουδαῖοι κατοικοῦντες; ἀλλ' οὐδὲ μελλήσαντας αὐτοὺς ἐκείνων ἀφίστασθαι, μεταξὺ δὲ τὴν ἑβδόμην ἑορτάζοντας, τὸ πλῆθος τῶν Καισαρέων ἐπιβραμὸν μηδὲ χεῖρας ἀνταίροντας ἅμα γυναιξὶ καὶ τέκνοις κατέσφαξαν, οὐδὲ αὐτοὺς Ῥωμαίους ἐντραπέντες, οἳ μόνους ὡς ἡμᾶς ἡγοῦντο πολεμίους τοὺς ἀφεστηκότας; ἀλλὰ φήσει τις ὅτι Καισαρεῦσιν ἦν ἀεὶ διαφορὰ πρὸς τοὺς παρ' αὐτοῖς, καὶ τοῦ καιροῦ λαβόμενοι τὸ παλαιὸν μῖσος ἀπεπλήρωσαν. τί οὖν τοὺς ἐν Σκυθοπόλει φῶμεν; ἡμῖν γὰρ ἐκεῖνοι διὰ τοὺς Ἕλληνας πολεμεῖν ἐτόλμησαν, ἀλλ' οὐ μετὰ τῶν συγγενῶν ἡμῶν Ῥωμαίους ἀμύνεσθαι. πολὺ τοίνυν ὤνησεν αὐτοὺς ἡ πρὸς ἐκείνους εὔνοια καὶ πίστις. ὑπ' αὐτῶν μέντοι πανοικεσίᾳ πικρῶς κατεφονεύθησαν, ταύτην τῆς συμμαχίας ἀμοιβὴν ἀπολαβόντες· ἃ γὰρ ἐκείνους ὑφ' ἡμῶν ἐκώλυσαν, ταῦθ' ὑπέμειναν ὡς αὐτοὶ δρᾶσαι θελήσαντες. μακρὸν ἂν εἴη νῦν ἰδίᾳ περὶ ἑκάστων λέγειν. ἴστε γὰρ ὅτι τῶν ἐν Συρίᾳ πόλεων οὐκ ἔστιν ἥτις τοὺς παρ' αὐτῇ κατοικοῦντας Ἰουδαίους οὐκ ἀνῄρηκεν, ἡμῖν πλέον ἢ Ῥωμαῖοι ὄντας πολεμίους, ὅπου γε Δαμασκηνοὶ μηδὲ πρόφασιν εὔλογον πλάσαι δυνηθέντες φόνου μιαρωτάτου τὴν αὐτῶν πόλιν ἐνέπλησαν, ὀκτακισχιλίους πρὸς τοῖς μυρίοις Ἰουδαίους ἅμα γυναιξὶ καὶ γενεαῖς ἀποσφάξαντες. τὸ δὲ ἐν Αἰγύπτῳ πλῆθος τῶν μετ' αἰκίας ἀνῃρημένων ἔξ που μυριάδας ὑπερβαλεῖν ἐπυνθανόμεθα. κἀκεῖνοι μὲν ἴσως ἐπ' ἀλλοτρίας γῆς οὐδὲν ἀντίπαλον εὐράμενοι τοῖς πολεμίοις οὕτως ἀπέθανον, τοῖς δ' ἐπὶ τῆς οἰκείας

Digitized by Google

τὸν πρὸς Ῥωμαίους πόλεμον ἀραμένοις ἅπασι τί τῶν ἐλπίδα νίκης ἐχυρὰν παρασχεῖν δυναμένων οὐχ ὑπῆρξε; καὶ γὰρ ὅπλα καὶ τείχη καὶ φρουρίων δυσάλωτοι κατασκευαὶ καὶ φρόνημα πρὸς τοὺς ὑπὲρ τῆς ἐλευθερίας κινδύνους ἄτρεστον πάντας πρὸς τὴν ἀπόστασιν ἐπέρρωσεν. ἀλλὰ ταῦτα πρὸς βραχὺν χρόνον ἀρκέσαντα καὶ ταῖς ἐλπίσιν ἡμᾶς ἐπάραντα μειζόνων ἀρχὴ κακῶν ἐφάνη· πάντα γὰρ ἦλω καὶ πάντα τοῖς πολεμίοις ὑπέπεσεν, ὥσπερ εἰς τὴν ἐκείνων εὐκλεεστέραν νίκην, οὐκ εἰς τὴν τῶν παρασκευασαμένων σωτηρίαν εὑρεπισθέντα. καὶ τοὺς μὲν ἐν ταῖς μάχαις ἀποθνήσκοντας εὐδαιμονίζειν προσῆκεν (ἀμυνόμενοι γὰρ καὶ τὴν ἐλευθερίαν οὐ προέμενοι τεθνήκασι), τὸ δὲ πλῆθος τῶν ὑπὸ Ῥωμαίοις γενομένων τίς οὐκ ἂν ἐλεήσειεν; ἢ τίς οὐκ ἂν ἐπειχθείη πρὸ τοῦ ταὐτὰ παθεῖν ἐκείνοις ἀποθανεῖν; ὧν οἱ μὲν στρεβλούμενοι καὶ πυρὶ καὶ μάστιξιν αἰκιζόμενοι τεθνήκασιν, οἱ δ' ἀπὸ θηρίων ἡμίβρωτοι πρὸς δευτέραν αὐτοῖς τροφὴν ζῶντες ἐφυλάχθησαν, γέλωτα καὶ παιδιὰν τοῖς πολεμίοις παρασχόντες. ἐκείνων μὲν οὖν ἀθλιωτάτους ὑποληπτέον τοὺς ἔτι ζῶντας, οἳ πολλάκις εὐχόμενοι τὸν θάνατον λαβεῖν οὐκ ἔχουσι· ποῦ δ' ἡ μεγάλη πόλις ἡ τοῦ παντὸς Ἰουδαίων γένους μητρόπολις, ἡ τοσούτοις μὲν ἐρυμνὴ τειχῶν περιβόλοις, τοσαῦτα δ' αὐτῆς φρούρια καὶ μεγέθη πύργων προβεβλημένη, μόλις δὲ χωροῦσα τὰς εἰς τὸν πόλεμον παρασκευάς, τοσαύτας δὲ μυριάδας ἀνδρῶν ἔχουσα τῶν ὑπὲρ αὐτῆς μαχομένων; ποῦ γέγονεν ἡμῖν ἡ τὸν θεὸν ἔχειν οἰκιστὴν πεπιστευμένη; πρόρριζος ἐκ βάθρων ἀνήρπασται, καὶ μόνον αὐτῆς μνημεῖον ὑπολέλειπται τὸ τῶν ἀνῃρηκότων αὐτὴν στρατόπεδον, ὅτι τοῖς λειψάνοις ἐποικοῦν. πρεσβῦται δὲ δύστηνοι τῇ σποδῷ

Digitized by Google

τοῦ τεμένους παρακάθηνται, καὶ γυναῖκες ὀλίγαι πρὸς ὕβριν αἰσχίστην ὑπὸ τῶν πολεμίων τετηρημέναι. ταῦτα τίς ἐν νῷ βαλλόμενος ἡμῶν καρτερήσει τὸν ἥλιον ὁρᾶν, κἂν δύνηται ζῆν ἀκινδύνως; τίς οὕτω τῆς πατρίδος ἐχθρός, ἢ τίς οὕτως ἄνανδρος καὶ φιλόψυχος, ὡς μὴ καὶ περὶ τοῦ μέχρι νῦν ζῆσαι μετανοεῖν; ἀλλ' εἴθε πάντες ἐτεθνήκειμεν πρὶν τὴν ἱερὰν ἐκείνην πόλιν περσὶν ἰδεῖν κατασκαπτομένην πολεμίων, πρὶν τὸν ναὸν τὸν ἅγιον οὕτως ἀνοσίως ἐξορωρυγμένον. ἐπεὶ δὲ ἡμᾶς οὐκ ἀγεννὴς ἐλπὶς ἐβουκόλησεν ὡς τάχα που δυνήσεσθαι πολεμίους ὑπὲρ αὐτῆς ἀμύνασθαι, φρούδη δὲ γέγονε νῦν καὶ μόνους ἡμᾶς ἐπὶ τῆς ἀνάγκης καταλέλοιπε, σπεύσωμεν καλῶς ἀποθανεῖν, ἐλεήσωμεν ἡμᾶς αὐτοὺς καὶ τὰ τέκνα καὶ τὰς γυναῖκας, ἕως ἡμῖν ἔξεστι παρ' ἡμῶν αὐτῶν λαβεῖν τὸν ἔλεον. ἐπὶ μὲν γὰρ θάνατον ἐγεννήθημεν καὶ τοὺς ἐξ αὐτῶν ἐγεννήσαμεν, καὶ τοῦτον οὐδὲ τοῖς εὐδαιμονοῦσιν ἔστι διαφυγεῖν· ὕβρις δὲ καὶ δουλεία καὶ τὸ βλέπειν γυναῖκας εἰς αἰσχύνην ἀγομένας μετὰ τέκνων οὐκ ἔστιν ἀνθρώποις κακὸν ἐκ φύσεως ἀναγκαῖον, ἀλλὰ ταῦτα διὰ τὴν αὐτῶν δειλίαν ὑπομένουσιν οἱ παρὸν πρὸ αὐτῶν ἀποθανεῖν μὴ θελήσαντες. ἡμεῖς δ' ἐπ' ἀνδρείᾳ μέγα φρονοῦντες Ῥωμαίων ἀπέστημεν, καὶ τὰ τελευταῖα νῦν ἐπὶ σωτηρίᾳ προκαλουμένων ἡμᾶς οὐχ ὑπηκούσαμεν. τίνι τοίνυν οὐκ ἔστιν ὁ θυμὸς αὐτῶν πρόθηλος, εἰ ζώντων ἡμῶν κρατήσουσιν; ἄθλιοι μὲν οἱ νέοι τῆς ῥώμης τῶν σωμάτων εἰς πολλὰς αἰκίας ἀρκέσοντες, ἄθλιοι δ' οἱ παρηβηκότες, φέρειν τῆς ἡλικίας τὰς συμφορὰς οὐ δυναμένης. ὄψεταί τις γυναῖκα πρὸς βίαν ἀγομένην, φωνῆς ἐπακούσεται τέκνου πατέρα βοῶντος χεῖρας δεδεμένον. ἀλλ' ἕως εἰσὶν ἐλεύθεραι καὶ ξίφος ἔχουσι, καλὴν ὑπουργίαν

Digitized by Google

ἡμῖν ὑπουργησάτωσαν. ἀδούλωτοι μὲν ὑπὸ τῶν πολεμίων ἀποθάνωμεν, ἐλεύθεροι δὲ μετα τέκνων καὶ γυναικῶν τοῦ ζῆν συνεξέλθωμεν. ταῦθ' ἡμᾶς οἱ νόμοι κελεύουσι, ταῦθ' ἡμᾶς γυναῖκες καὶ παῖδες ἱκετεύουσι. τούτων τὴν ἀνάγκην θεὸς ἀπέσταλκε, τούτων Ῥωμαῖοι τἀναντία θέλουσι, καὶ μή τις ἡμῶν πρὸ τῆς ἁλώσεως ἀποθάνῃ δεδοίκασι. σπεύσωμεν οὖν ἀντὶ τῆς ἐλπιζομένης αὐτοῖς καθ' ἡμῶν ἀπολαύσεως ἐκπλῆξιν τοῦ θανάτου καὶ θαῦμα τῆς τόλμης καταλιπεῖν."

9 ἔτι γε βουλόμενον αὐτὸν παρακαλεῖν πάντες ὑπετέμνοντο καὶ πρὸς τὴν πρᾶξιν ἠπείγοντο, ἀνεπισχέτου τινὸς ὁρμῆς πεπληρωμένοι, καὶ δαιμονῶντες ἀπῆεσαν, ἄλλος πρὸ ἄλλου φθάσαι γλιχόμενος, καὶ ταύτην ἐπίδειξιν εἶναι τῆς ἀνδρείας καὶ τῆς εὐβουλίας νομίζοντες, τὸ μή τις ἐν ὑστάτοις γενόμενος ὀφθῆναι· τοσοῦτος αὐτοῖς γυναικῶν καὶ παιδίων καὶ τῆς αὐτῶν σφαγῆς ἔρως ἐνέπεσεν. καὶ μὴν οὐδ' ὥσπερ ἄν τις ᾠήθη τῇ πράξει προσιόντες ἠμβλύνθησαν, ἀλλ' ἀτενῆ τὴν γνώμην διεφύλαξαν οἷαν ἔσχον τῶν λόγων ἀκροώμενοι, τοῦ μὲν οἰκείου καὶ φιλοστόργου πάθους ἅπασι παραμένοντος, τοῦ λογισμοῦ δ' ὡς τὰ κράτιστα βεβουλευκότος τοῖς φιλτάτοις ἐπικρατοῦντος. ὁμοῦ γὰρ ἠσπάζοντο γυναῖκας περιπτυσσόμενοι καὶ τέκνα προσηγκαλίζοντο, τοῖς ὑστάτοις φιλήμασιν ἐμφυόμενοι καὶ δακρύοντες, ὁμοῦ δέ, καθάπερ ἀλλοτρίαις χερσὶν ὑπουργούμενοι, συνετέλουν τὸ βούλευμα, τὴν ἐπίνοιαν ὧν πείσονται κακῶν ὑπὸ τοῖς πολεμίοις γενόμενοι παραμύθιον τῆς ἐν τῷ κτείνειν ἀνάγκης ἔχοντες. καὶ πέρας οὐδεὶς τηλικούτου τολμήματος ἧττων εὑρέθη, πάντες δὲ διὰ τῶν οἰκειοτάτων διεξῆλθον, ἄθλιοι τῆς ἀνάγκης, οἷς αὐτοχειρὶ γυναῖκας τὰς αὐτῶν καὶ τέκνα κτεί-

Digitized by Google

ναι κακῶν ἔδοξεν εἶναι τὸ κουφότατον. οὗτοι δὴ τοίνυν τὴν ἐπὶ τοῖς πεπραγμένοις ὀδύνην οὐκέτι φέροντες, καὶ τοὺς ἀνηρημένους νομίζοντες ἀδικεῖν κἂν βραχὺν αὐτοῖς ἔτι χρόνον ἐπιζήσωσι, ταχὺ μὲν τὴν κτῆσιν ἅπασαν εἰς ταὐτὸ σωρεύσαντες πῦρ εἰς αὐτὴν ἐνέβαλον, κλήρῳ δ' ἐξ αὐτῶν ἑλόμενοι δέκα τοὺς ἁπάντων σφαγεῖς ἐσομένους, καὶ γυναικί τις αὐτὸν καὶ παισὶ κειμένοις παραστρώσας καὶ τὰς χεῖρας περιβαλών, παρεῖχον ἑτοίμους τὰς σφαγὰς τοῖς τὴν δύστηνον ὑπουργίαν ἐκτελοῦσιν. οἳ δὲ ἀτρέστως πάντας φονεύσαντες τὸν αὐτὸν ἐπ' ἀλλήλοις τοῦ κλήρου νόμον ὥρισαν, ἵν' ὁ λαχὼν τοὺς ἐννέα κτείνας ἑαυτὸν ἐπὶ πᾶσιν ἀνέλῃ. πάντες οὕτως ἐθάρρουν ἑαυτοῖς μήτ' εἰς τὸ δρᾶν μήτ' εἰς τὸ παθεῖν ἄλλος ἄλλου διαφέρειν. καὶ τέλος οἳ μὲν τὰς σφαγὰς ὑπέθεσαν, ὁ δ' εἷς καὶ τελευταῖος τὸ πλῆθος τῶν κειμένων περιαθρήσας, μή πού τις ἔτι ἐν πολλῷ φόνῳ τῆς αὐτοῦ λείπεται χειρὸς δεόμενος, ὡς ἔγνω πάντας ἀνηρημένους, πῦρ μὲν τοῖς βασιλείοις ἐνίησιν, ἀθρόᾳ δὲ τῇ χειρὶ δι' αὐτοῦ πᾶν ἐλάσας τὸ ξίφος πλησίον τῶν οἰκείων κατέπεσε. καὶ οἳ μὲν ἐτεθνήκεσαν ὑπειληφότες οὐδὲν ἔχον ψυχὴν ὑποχείριον ἐξ αὐτῶν Ῥωμαίοις καταλιπεῖν, ἔλαθε δὲ γυνὴ πρεσβῦτις καὶ συγγενὴς ἑτέρα τις Ἐλεαζάρου, φρονήσει καὶ παιδείᾳ πλείστων γυναικῶν διαφέρουσα, καὶ πέντε παιδία τοῖς ὑπονόμοις, οἳ ποτὸν ἦγον ὕδωρ διὰ γῆς, ἐγκατακρυβῆναι τῶν ἄλλων πρὸς τῇ σφαγῇ τὰς διανοίας ἐχόντων, οἳ τὸν ἀριθμὸν ἦσαν ἑξήκοντα πρὸς τοῖς ἐνακοσίοις, γυναικῶν ἅμα καὶ παίδων αὐτοῖς συναριθμουμένων. καὶ τὸ πάθος ἐπράχθη πεντεκαιδεκάτῃ Ξανθικοῦ μηνός.

οἱ δὲ Ῥωμαῖοι μάχην ἔτι προσδοκῶντες, ὑπὸ τὴν ἕω διασκευασάμενοι καὶ τὰς ἀπὸ τῶν χωμάτων ἐφόδους 2

Digitized by Google

ταῖς ἐπιβάθραις γεφυρώσαντες, προσβολὴν ἐποίουν. βλέποντες δ' οὐδένα τῶν πολεμίων, ἀλλὰ δεινὴν παντα-
κόθεν ἐρημίαν καὶ πῦρ ἔνδον καὶ σιωπήν, ἀπόρως εἶ-
χον τὸ γεγονὸς συμβαλεῖν, καὶ τέλος ὡς εἰς ἄφεσιν βο-
λῆς ἠλάλαξαν, εἴ τινα τῶν ἔνδον προκαλέσαιντο. τῆς δὲ
βοῆς αἴσθησις γίνεται τοῖς γυναίοις, κἀκ τῶν ὑπονόμων
ἀναδῦσαι τὸ πραχθέν, ὡς εἶχε, πρὸς τοὺς Ῥωμαίους
ἐμήνυον, πάντα τῆς ἑτέρας ὡς ἐλέχθη τε καὶ τίνα τρό-
πον ἐπράχθη σαφῶς ἐκδιηγουμένης. οὐ μὴν ῥᾳδίως
αὐτῇ προσεῖχον τῷ μεγέθει τοῦ τολμήματος ἀπι-
στοῦντες, ἐπεχείρουν τε τὸ πῦρ σβεννύναι, καὶ ταχέως
ὁδὸν δι' αὐτοῦ τεμόντες τῶν βασιλείων ἐντὸς ἐγέ-
νοντο. καὶ τῷ πλήθει τῶν πεφονευμένων ἐπιτυχόντες
οὐχ ὡς ἐπὶ πολεμίοις ἥσθησαν, τὴν δὲ γενναιότη-
τα τοῦ βουλεύματος καὶ τὴν ἐν τοσούτοις ἄτρεπτον
ἐπὶ τῶν ἔργων ἐθαύμασαν τοῦ θανάτου. καταφρό-
νησιν.

τοιαύτης δὲ τῆς ἁλώσεως γενομένης ἐπὶ μὲν τοῦ
φρουρίου καταλείπει φυλακὴν ὁ στρατηγός, αὐτὸς δὲ
μετὰ τῆς δυνάμεως ἀπῆλθεν εἰς Καισάρειαν· οὐδὲ
γὰρ ὑπελείπετό τις τῶν κατὰ τὴν χώραν πολεμίων,
ἀλλ' ἤδη πᾶσα διὰ μακροῦ τοῦ πολέμου κατέστραπτο,
πολλοῖς καὶ τῶν ἀπωτάτω κατοικούντων αἴσθησιν καὶ
κίνδυνον ταραχῆς παρασχόντος. ἔτι δὲ καὶ περὶ Ἀλε-
ξάνδρειαν τὴν ἐν Αἰγύπτῳ μετὰ ταῦτα συνέβη πολ-
λοὺς Ἰουδαίων ἀποθανεῖν. τοῖς γὰρ ἐκ τῆς στάσεως
τῶν σικαρίων ἐκεῖ διαφυγεῖν δυνηθεῖσιν οὐκ ἀπέχρη
τὸ σώζεσθαι, πάλιν δὲ καινοτέροις ἐνεχείρουν πράγ-
μασι, καὶ πολλοὺς τῶν ὑποδεξαμένων ἔπειθον τῆς
ἐλευθερίας ἀντιποιεῖσθαι, καὶ Ῥωμαίους μὲν μηδὲν
κρείττους αὑτῶν ὑπολαμβάνειν, θεὸν δὲ μόνον ἡγεῖ-
σθαι δεσπότην. ἐπεὶ δ' αὐτοῖς τῶν οὐκ ἀφανῶν τινὲς

Digitized by Google

Ἰουδαίων ἀντέβαινον, τοὺς μὲν ἀπέσφαξαν, τοῖς δ' ἄλλοις ἐνέκειντο πρὸς τὴν ἀπόστασιν παρακαλοῦντες. ὁρῶντες δ' αὐτῶν τὴν ἀπόνοιαν οἱ πρωτεύοντες τῆς γερουσίας οὐκέτ' ἀσφαλῶς αὐτοῖς ἐνόμιζον περιορᾶν, ἀλλὰ πάντας ἀθροίσαντες εἰς ἐκκλησίαν τοὺς Ἰουδαίους ἤλεγχον τὴν ἀπόνοιαν τῶν σικαρίων, πάντων αἰτίους ἀποφαίνοντες ἐκείνους τῶν κακῶν· καὶ νῦν ἔφασαν αὐτούς, ἐπείπερ οὐδὲ πεφευγότες τῆς σωτηρίας ἐλπίδα βεβαίαν ἔχουσι (γνωσθέντας γὰρ ὑπὸ Ῥωμαίων εὐθὺς ἀπολεῖσθαι), τῆς αὐτοῖς προσηκούσης συμφορᾶς ἀναπιμπλάναι τοὺς μηδενὸς τῶν ἁμαρτημάτων μετασχόντας. φυλάξασθαι τοίνυν τὸν ἐξ αὐτῶν ὄλεθρον τὸ πλῆθος παρεκάλουν, καὶ περὶ αὐτῶν πρὸς Ῥωμαίους ἀπολογήσασθαι τῇ τούτων παραδόσει. συνιδόντες οὖν τοῦ κινδύνου τὸ μέγεθος ἐπείσθησαν τοῖς λεγομένοις, καὶ μετὰ πολλῆς ὁρμῆς ἐπὶ τοὺς σικαρίους ᾔξαντες συνήρπαζον αὐτούς. τῶν δ' ἐξακόσιοι μὲν εὐθὺς ἁλῶσαν, ὅσοι δ' εἰς τὴν Αἴγυπτον καὶ τὰς ἐκεῖ Θήβας διέφυγον, οὐκ εἰς μακρὰν συλληφθέντες ἐπανήχθησαν. ἐφ' οἷς οὐκ ἔστιν ὃς οὐ τὴν καρτερίαν καὶ τὴν εἴτε ἀπόνοιαν εἴτε τῆς γνώμης ἰσχὺν χρὴ λέγειν οὐ κατεπλάγη· πάσης γὰρ ἐπ' αὐτοὺς βασάνου καὶ λύμης τῶν σωμάτων ἐπινοηθείσης ἐφ' ἓν τοῦτο μόνον, ὅπως αὐτῶν Καίσαρα δεσπότην ὁμολογήσωσιν, οὐδεὶς ἐνέδωκεν, οὐδ' ἐμέλλησεν εἰπεῖν, ἀλλὰ πάντες ὑπερτέραν τῆς ἀνάγκης τὴν αὐτῶν γνώμην διεφύλαξαν, ὥσπερ ἀναισθήτοις σώμασι, χαιρούσῃ μόνον οὐχὶ τῇ ψυχῇ τὰς βασάνους καὶ τὸ πῦρ δεχόμενοι. μάλιστα δ' ἡ τῶν παίδων ἡλικία τοὺς θεωμένους ἐξέπληξεν· οὐδὲ γὰρ ἐκείνων τις ἐξενικήθη Καίσαρα δεσπότην ἐξονομάσαι. τοσοῦτον ἄρα τῆς τῶν σωμάτων ἀσθενείας ἡ τῆς τόλμης ἰσχὺς ἐπεκράτει.

Digitized by Google

2 Λούπος τότε διῴκει τὴν Ἀλεξάνδρειαν, καὶ περὶ τοῦ κινήματος τούτου Καίσαρι κατὰ τάχος ἐπέστειλεν. ὁ δὲ τῶν Ἰουδαίων τὴν ἀκατάπαυστον ὑφορώμενος νεωτεροποιίαν, καὶ δείσας μὴ πάλιν εἰς ἓν ἀθρόοι συλλεγῶσι καί τινας αὐτοῖς συνεπισπάσωνται, προσέταξε τῷ Λούπῳ τὸν ἐν τῇ Ὀνίου καλουμένῃ νεὼν καθελεῖν τῶν Ἰουδαίων. ἣ δέ ἐστιν ἐν Αἰγύπτῳ καὶ διὰ τοιαύτην αἰτίαν ᾠκίσθη τε καὶ τὴν ἐπίκλησιν ἔλαβεν. Ὀνίας Σίμωνος υἱός, εἷς τῶν ἐν Ἱεροσολύμοις ἀρχιερέων, φεύγων Ἀντίοχον τὸν Συρίας βασιλέα πολεμοῦντα τοῖς Ἰουδαίοις ἦκεν εἰς Ἀλεξάνδρειαν, καὶ δεξαμένου Πτολεμαίου φιλοφρόνως αὐτὸν διὰ τὴν πρὸς Ἀντίοχον ἀπέχθειαν, ἔφη σύμμαχον αὐτῷ ποιήσειν τὸ τῶν Ἰουδαίων ἔθνος, εἰ πεισθείη τοῖς ὑπ' αὐτοῦ λεγομένοις. ποιήσειν δὲ τὰ δυνατὰ τοῦ βασιλέως ὁμολογήσαντος, ἠξίωσεν ἐπιτρέπειν αὐτῷ νεών τέ που τῆς Αἰγύπτου κατασκευάσασθαι καὶ τοῖς πατρίοις ἔθεσι θεραπεύειν τὸν θεόν· οὕτω γὰρ Ἀντιόχῳ μὲν ἔτι μᾶλλον ἐκπολεμώσεσθαι τοὺς Ἰουδαίους, τὸν ἐν Ἱεροσολύμοις νεὼν πεπορθηκότι, πρὸς αὐτὸν δ' εὐνοϊκωτέρως ἕξειν καὶ πολλοὺς ἐπ' ἀδείᾳ τῆς εὐσεβείας ὡς αὐτὸν συλλεγήσεσθαι. 3 πεισθεὶς Πτολεμαῖος τοῖς λεγομένοις δίδωσιν αὐτῷ χώραν ἑκατὸν ἐπὶ τοῖς ὀγδοήκοντα σταδίοις ἀπέχουσαν Μέμφεως. νομὸς δ' οὗτος Ἡλιουπολίτης καλεῖται, ἔνθα φρούριον κατασκευασάμενος Ὀνίας τὸν μὲν ναὸν οὐχ ὅμοιον ᾠκοδόμησε τῷ ἐν Ἱεροσολύμοις, ἀλλὰ πύργῳ παραπλήσιον, λίθων μεγάλων εἰς ἑξήκοντα πήχεις ἀνεστηκότα, τοῦ βωμοῦ δὲ τὴν κατασκευὴν πρὸς τὸν οἶκοι ἐξεμιμήσατο καὶ τοῖς ἀναθήμασιν ὁμοίως ἐκόσμησε, χωρὶς τῆς περὶ τὴν λυχνίαν κατασκευῆς· οὐ γὰρ ἐποίησε λυχνίαν, αὐτὸν δὲ χαλκευσάμενος λύχνον χρυσοῦν ἐπιφαίνοντα σέλας χρυσῆς

Digitized by Google

ἀλύσεως ἐξεκρέμασε. τὸ δὲ τέμενος πᾶν ὀπτῇ πλίνθῳ περιεστείχιστο, πύλας ἔχον λιθίνας. ἀνῆκε δὲ καὶ χώραν πολλὴν ὁ βασιλεὺς εἰς χρημάτων πρόσοδον, ὅπως εἴη καὶ τοῖς ἱερεῦσιν ἀφθονία καὶ τῷ θεῷ πολλὰ τὰ πρὸς τὴν εὐσέβειαν. οὐ μὴν Ὀνίας ἐξ ὑγιοῦς γνώμης ταῦτα ἔπραττεν, ἀλλ' ἦν αὐτῷ φιλονεικία πρὸς τοὺς ἐν τοῖς Ἱεροσολύμοις Ἰουδαίους, ὀργὴν τῆς φυγῆς ἀπομνημονεύοντι· καὶ τοῦτο τὸ ἱερὸν ἐνόμιζε κατασκευάσας εἰς αὐτὸ περισπάσειν ἀπ' ἐκείνων τὸ πλῆθος. ἐγεγόνει δέ τις καὶ παλαιὰ πρόρρησις ἔτεσί που πρόσθεν ἑξακοσίοις· Ἡσαΐας ὄνομα τῷ προαγορεύσαντι τοῦδε τοῦ ναοῦ τὴν ἐν Αἰγύπτῳ γενησομένην ὑπ' ἀνδρὸς Ἰουδαίου κατασκευήν.

τὸ μὲν οὖν ἱερὸν οὕτως ἐπεποίητο, Λοῦπος δ' ὁ 4
τῆς Ἀλεξανδρείας ἡγεμών, τὰ παρὰ Καίσαρος λαβὼν γράμματα καὶ παραγενόμενος εἰς τὸ ἱερὸν καί τινα τῶν ἀναθημάτων ἐκφορήσας, τὸν ναὸν ἀπέκλεισε. Λούπου δὲ μετὰ βραχὺ τελευτήσαντος Παυλῖνος διαδεξάμενος τὴν ἡγεμονίαν οὔτε τῶν ἀναθημάτων οὐδὲν κατέλιπε (πολλὰ γὰρ διηπείλησε τοῖς ἱερεῦσιν, εἰ μὴ πάντα προκομίσειαν) οὔτε προσιέναι τῷ τεμένει τοὺς θρησκεύειν βουλομένους ἀφῆκεν, ἀλλ' ἀποκλείσας τὰς πύλας ἀπρόσιτον αὐτὸ παντελῶς ἐποίησεν, ὡς μηδ' ἴχνος ἔτι τῆς εἰς τὸν θεὸν θεραπείας ἐν τῷ τόπῳ καταλιπεῖν. χρόνος ἦν εἰς τὴν ἀπόκλεισιν τοῦ ναοῦ γεγονὼς ἀπὸ τῆς κατασκευῆς ἔτη τρία καὶ τεσσαράκοντα καὶ τριακόσια.

ἥψατο δὲ καὶ τῶν περὶ Κυρήνην πόλεων ἡ τῶν σι- 11
καρίων ἀπόνοια καθάπερ νόσος. διαπεσὼν γὰρ εἰς αὐτὴν Ἰωνάθης, πονηρότατος ἄνθρωπος καὶ τὴν τέχνην ὑφάντης, οὐκ ὀλίγους τῶν ἀπόρων ἀνέπεισε προσέχειν αὐτῷ, καὶ προήγαγεν εἰς τὴν ἔρημον, σημεῖα

Digitized by Google

καὶ φάσματα δείξειν ὑπισχνούμενος. καὶ τοὺς μὲν
ἄλλους ἐλάνθανε ταῦτα διαπραττόμενος καὶ φενακί-
ζων, οἱ δὲ τοῖς ἀξιώμασι προύχοντες τῶν ἐπὶ τῆς
Κυρήνης Ἰουδαίων τὴν ἔξοδον αὐτοῦ καὶ παρασκευὴν
τῷ τῆς πενταπόλεως Λιβύης ἡγεμόνι Κατύλλῳ προσ-
αγγέλλουσιν. ὃ δ' ἱππέας τε καὶ πεζοὺς ἀποστείλας
ῥᾳδίως ἐκράτησεν ἀνόπλων. καὶ τὸ μὲν πλέον ἐν
χερσὶν ἀπώλετο, τινὲς δὲ καὶ ζωγρηθέντες ἀνήχθη-
σαν πρὸς τὸν Κάτυλλον. ὁ δ' ἡγεμὼν τοῦ βου-
λεύματος Ἰωνάθης τότε μὲν διέφυγε, πολλῆς δὲ καὶ
λίαν ἐπιμελοῦς ἀνὰ πᾶσαν τὴν χώραν ζητήσεως γι-
νομένης ἥλω, καὶ πρὸς τὸν ἡγεμόνα ἀναχθεὶς ἑαυτῷ
μὲν ἐμηχανᾶτο τῆς τιμωρίας ἀπαλλαγήν, τῷ Κατύλλῳ
δὲ ἔδωκεν ἀφορμὴν ἀδικημάτων. ὃ μὲν γὰρ τοὺς
πλουσιωτάτους τῶν Ἰουδαίων ἔλεγε καταψευδόμενος
2 διδασκάλους αὐτῷ τοῦ βουλεύματος γεγονέναι· προ-
θύμως δὲ τὰς διαβολὰς ἐκεῖνος ἐξεδέχετο, καὶ τῷ
πράγματι πολὺν ὄγκον περιετίθει, μεγάλα προστρα-
γῳδῶν, ἵνα δὴ δόξειε καὶ αὐτὸς Ἰουδαϊκόν τινα πό-
λεμον κατωρθωκέναι. τὸ δὲ δὴ τούτου χαλεπώτερον,
πρὸς γὰρ τῷ πιστεύειν ῥᾳδίως ἔτι καὶ διδάσκαλος ἦν
τῶν σικαρίων τῆς ψευδολογίας. κελεύσας γοῦν αὐ-
τὸν ὀνομάσαι τινὰ τῶν Ἰουδαίων Ἀλέξανδρον, ᾧ πά-
λαι προσκεκρουκὼς φανερὸν ἐξενηνόχει τὸ μῖσος, τήν
τε γυναῖκα τὴν ἐκείνου Βερενίκην ταῖς αἰτίαις συν-
εμπλέξας, τούτους μὲν πρῶτον ἀνεῖλεν, ἐπὶ δ' αὐ-
τοῖς ἅπαντας τοὺς εὐπορίᾳ χρημάτων διαφέροντας ὁμοῦ
τρισχιλίους ἐφόνευσεν ἄνδρας. καὶ ταῦτα πράττειν
ἐνόμιζεν ἀσφαλῶς, ὅτι τὰς οὐσίας αὐτῶν εἰς τὰς τοῦ
3 Καίσαρος προσόδους ἀνελάμβανεν. ὅπως δὲ μηδ'
ἀλλαχοῦ τινὲς τῶν Ἰουδαίων ἐλέγξωσιν αὐτοῦ τὴν
ἀδικίαν, πορρωτέρω τὸ ψεῦδος ἐξέτεινε, καὶ πείθει

Digitized by Google

τὸν Ἰωνάθην καί τινας τῶν ἅμα ἐκείνῳ συνειλημμένων νεωτερισμοῦ κατηγορίαν ἐπιφέρειν τοῖς ἐν Ἀλεξανδρείᾳ τε καὶ Ῥώμῃ τῶν Ἰουδαίων δοκιμωτάτοις. τούτων εἷς τῶν ἐξ ἐπιβουλῆς αἰτιαθέντων ἦν Ἰώσηπος ὁ ταῦτα συγγραψάμενος. οὐ μὴν κατ' ἐλπίδα τῷ Κατύλλῳ τὸ σκευώρημα προεχώρησεν. ἦκε μὲν γὰρ εἰς τὴν Ῥώμην τοὺς περὶ τὸν Ἰωνάθην ἄγων δεδεμένους, καὶ πέρας ᾤετο τῆς ἐξετάσεως εἶναι τὴν ἐπ' αὐτοῦ καὶ δι' αὐτοῦ γενομένην ψευδολογίαν· Ὀὐεσπασιανὸς δὲ τὸ πρᾶγμα ὑποπτεύσας ἀναζητεῖ τὴν ἀλήθειαν, καὶ γνοὺς ἄδικον τὴν αἰτίαν τοῖς ἀνδράσιν ἐπενηνεγμένην τοὺς μὲν ἀφίησι τῶν ἐγκλημάτων Τίτου σπουδάσαντος, δίκην δ' ἐπέθηκεν Ἰωνάθῃ τὴν προσήκουσαν. ζῶν γὰρ κατεκαύθη, πρότερον αἰκισθείς. Κατύλλῳ δὲ τότε μὲν ὑπῆρξε διὰ τὴν 4
πραότητα τῶν αὐτοκρατόρων μηδὲν πλέον ὑπομεῖναι καταγνώσεως· οὐκ εἰς μακρὰν δὲ νόσῳ καταληφθεὶς πολυτρόπῳ καὶ δυσιάτῳ χαλεπῶς ἀπαλλάττεται, οὐ τὸ σῶμα μόνον κολαζόμενος, ἀλλ' ἦν ἡ τῆς ψυχῆς αὐτῷ νόσος βαρυτέρα. δείμασι γὰρ ἐξεταράττετο, καὶ συνεχῶς ἀνεβόα βλέπειν εἴδωλα τῶν ὑπ' αὐτοῦ πεφονευμένων ἐφεστηκότα, καὶ κατέχειν ἑαυτὸν οὐ δυνάμενος ἐξήλλετο τῆς εὐνῆς ὡς βασάνων αὐτῷ καὶ πυρὸς προσφερομένων. τοῦ δὲ κακοῦ πολλὴν ἀεὶ τὴν ἐπίδοσιν λαμβάνοντος, καὶ τῶν ἐντέρων αὐτῷ κατὰ διάβρωσιν ἐκπεσόντων, οὕτως ἀπέθανεν, οὐδενὸς ἧττον ἑτέρου τῆς προνοίας τοῦ θεοῦ τεκμήριον γενόμενος ὅτι τοῖς πονηροῖς δίκην ἐπιτίθησιν.

• ἐνταῦθα τῆς ἱστορίας ἡμῖν τὸ πέρας ἐστίν, ἣν 5
ἐπηγγειλάμεθα μετὰ πάσης ἀκριβείας παραδώσειν τοῖς βουλομένοις μαθεῖν τίνα τρόπον οὗτος ὁ πόλεμος Ῥωμαίοις πρὸς Ἰουδαίους ἐπολεμήθη. καὶ πῶς μὲν

Digitized by Google

ἡρμήνευται, τοῖς ἀναγνωσομένοις κρίνειν ἀπολελείφθω, περὶ τῆς ἀληθείας δ' οὐκ ἂν ὀκνήσαμι θαρρῶν λέγειν ὅτι μόνης ταύτης παρὰ πᾶσαν τὴν γραφὴν ἐστοχασάμην.

Digitized by Google

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ

ΠΕΡΙ ΑΡΧΑΙΟΤΗΤΟΣ ΙΟΥΔΑΙΩΝ

ΚΑΤΑ ΑΠΙΩΝΟΣ

ΛΟΓΟΣ ΠΡΟΤΕΡΟΣ.

Ἱκανῶς μὲν ὑπολαμβάνω καὶ διὰ τῆς περὶ τὴν ἀρχαιολογίαν συγγραφῆς, κράτιστε ἀνδρῶν Ἐπαφρόδιτε, τοῖς ἐντευξομένοις αὐτῇ πεποιηκέναι φανερὸν περὶ τοῦ γένους ἡμῶν τῶν Ἰουδαίων ὅτι καὶ παλαιότατόν ἐστι καὶ τὴν πρώτην ὑπόστασιν ἔσχεν ἰδίαν, καὶ πῶς τὴν χώραν ἣν νῦν ἔχομεν κατῴκησεν· ἣν πεντακισχιλίων ἐτῶν ἱστορίαν περιέχουσαν ἐκ τῶν παρ' ἡμῖν ἱερῶν βίβλων διὰ τῆς Ἑλληνικῆς φωνῆς συνεγραψάμην. ἐπεὶ δὲ συχνοὺς ὁρῶ ταῖς ὑπὸ δυσμενείας ὑπὸ τινῶν εἰρημέναις προσέχοντας βλασφημίαις, καὶ τοῖς περὶ τὴν ἀρχαιολογίαν ὑπ' ἐμοῦ γεγραμμένοις ἀπιστοῦντας, τεκμήριόν τε ποιουμένους τοῦ νεώτερον εἶναι τὸ γένος ἡμῶν τὸ μηδεμιᾶς παρὰ τοῖς ἐπιφανέσι τῶν Ἑλληνικῶν ἱστοριογράφων μνήμης ἠξιῶσθαι, περὶ τούτων ἁπάντων ᾠήθην δεῖν γράψαι συντόμως, ⟨καὶ⟩ τῶν μὲν λοιδορούντων τὴν δυσμένειαν καὶ τὴν ἑκούσιον ἐλέγξαι ψευδολογίαν, τῶν δὲ τὴν ἄγνοιαν ἐπανορθώσασθαι, διδάξαι δὲ πάντας ὅσοι τἀληθὲς εἰδέναι βούλονται περὶ τῆς ἡμετέρας ἀρχαιότητος. χρήσομαι δὲ τῶν μὲν ὑπ' ἐμοῦ λεγομένων μάρτυσι τοῖς ἀξιοπιστοτάτοις εἶναι περὶ πάσης ἀρχαιολογίας ὑπὸ τῶν

Digitized by Google

Ἑλλήνων κεκριμένοις· τοὺς δὲ βλασφήμως περὶ ἡμῶν καὶ ψευδῶς γεγραφότας αὐτοὺς δι' ἑαυτῶν ἐλεγχομένους παρέξω. πειράσομαι δὲ καὶ τὰς αἰτίας ἀποδοῦναι δι' ἃς οὐ πολλοὶ τοῦ ἔθνους ἡμῶν ἐν ταῖς ἱστορίαις Ἕλληνες ἐμνημονεύπασιν· ἔτι μέντοι καὶ τοὺς οὐ παραλιπόντας τὴν περὶ ἡμῶν ἱστορίαν ποιήσω φανερούς τοῖς μὴ γινώσκουσιν ἢ προσποιουμένοις ἀγνοεῖν.

2 πρῶτον οὖν ἐπέρχεταί μοι πάνυ θαυμάζειν τοὺς οἰομένους δεῖν περὶ τῶν παλαιοτάτων ἔργων μόνοις προσέχειν τοῖς Ἕλλησι καὶ παρὰ τούτων πυνθάνεσθαι τὴν ἀλήθειαν, ἡμῖν δὲ καὶ τοῖς ἄλλοις ἀνθρώποις ἀπιστεῖν. πᾶν γὰρ ἐγὼ τοὐναντίον ὁρῶ συμβεβηκός, εἴ γε δεῖ μὴ ταῖς ματαίαις δόξαις ἑπακολουθεῖν ἀλλ' ἐξ αὐτῶν τὸ δίκαιον τῶν πραγμάτων λαμβάνειν. τὰ μέν γε παρὰ τοῖς Ἕλλησιν ἅπαντα νέα καὶ χθὲς καὶ πρώην, ὡς ἂν εἴποι τις, εὑρήσεις γεγονότα· λέγω δὲ τὰς κτίσεις τῶν πόλεων καὶ τὰ περὶ τὰς ἐπινοίας τῶν τεχνῶν καὶ τὰ περὶ τὰς τῶν νόμων ἀναγραφάς· πάντων δὲ νεωτάτη σχεδόν ἐστι παρ' αὐτοῖς ἡ περὶ τοῦ συγγράφειν τὰς ἱστορίας ἐπιμέλεια. τὰ μέντοι παρ' Αἰγυπτίοις τε καὶ Χαλδαίοις καὶ Φοίνιξιν (ἐῶ γὰρ νῦν ἡμᾶς ἐκείνοις συγκαταλέγειν) αὐτοὶ δήπουθεν ὁμολογοῦσιν ἀρχαιοτάτην τε καὶ μονιμωτάτην ἔχειν τῆς μνήμης τὴν παράδοσιν· καὶ γὰρ τόπους ἅπαντες οἰκοῦσιν ἥκιστα ταῖς ἐκ τοῦ περιέχοντος φθοραῖς ὑποκειμένους, καὶ πολλὴν ἐποιήσαντο πρόνοιαν τοῦ μηδὲν ἄμνηστον τῶν παρ' αὐτοῖς πραττομένων παραλιπεῖν, ἀλλ' ἐν δημοσίοις ἀναγραφαῖς ὑπὸ τῶν σοφωτάτων ἀεὶ καθιεροῦσθαι. τὸν δὲ περὶ τὴν Ἑλλάδα τόπον μυρίαι μὲν φθοραὶ κατέσχον, ἐξαλείφουσαι τὴν μνήμην τῶν γεγονότων· ἀεὶ δὲ καινοὺς καθιστάμενοι βίους τοῦ παντὸς ἐνόμιζον ἄρχειν ἕκαστος τὸν ἀφ' ἑαυτοῦ.

Digitized by Google

ὀψὲ δὲ καὶ μόλις ἔγνωσαν φύσιν γραμμάτων. οἱ γοῦν ἀρχαιοτάτην αὐτῶν τὴν χρῆσιν εἶναι θέλοντες παρὰ Φοινίκων καὶ Κάδμου σεμνύνονται μαθεῖν. οὐ μὴν οὐδ' ἀπ' ἐκείνου τοῦ χρόνου δύναιτό τις ἂν δεῖξαι σωζομένην ἀναγραφὴν οὔτ' ἐν ἱεροῖς οὔτ' ἐν δημοσίοις ἀναθήμασιν, ὅπου γε καὶ περὶ τῶν ἐπὶ Τροίαν τοσούτοις ἔτεσι στρατευσάντων ὕστερον πολλὴ γέγονεν ἀπορία τε καὶ ζήτησις, εἰ γράμμασιν ἐχρῶντο· καὶ τἀληθὲς ἐπικρατεῖ μᾶλλον περὶ τοῦ τὴν νῦν οὖσαν τῶν γραμμάτων χρῆσιν ἐκείνους ἀγνοεῖν. ὅλως δὲ παρὰ τοῖς Ἕλλησιν οὐδὲν ὁμολογούμενον εὑρίσκεται γράμμα τῆς Ὁμήρου ποιήσεως πρεσβύτερον. οὗτος δὲ καὶ τῶν Τρωϊκῶν ὕστερον φαίνεται γενόμενος· καὶ φασὶν οὐδὲ τοῦτον ἐν γράμμασι τὴν αὑτοῦ ποίησιν καταλιπεῖν, ἀλλὰ διαμνημονευομένην ἐκ τῶν ᾀσμάτων ὕστερον συντεθῆναι, καὶ διὰ τοῦτο πολλὰς ἐν αὐτῇ σχεῖν τὰς διαφωνίας. οἱ μέντοι τὰς ἱστορίας ἐπιχειρήσαντες συγγράφειν παρ' αὐτοῖς, λέγω δὲ τοὺς περὶ Κάδμον τε τὸν Μιλήσιον καὶ τὸν Ἀργεῖον Ἀκουσίλαον, καὶ μετὰ τοῦτον εἴ τινες ἄλλοι λέγονται γενέσθαι, βραχὺ τῆς Περσῶν ἐπὶ τὴν Ἑλλάδα στρατείας τῷ χρόνῳ προύλαβον. ἀλλὰ μὴν καὶ τοὺς περὶ τῶν οὐρανίων τε καὶ θείων πρώτους παρ' Ἕλλησι φιλοσοφήσαντας, οἷον Φερεκύδην τε τὸν Σύριον καὶ Πυθαγόραν καὶ Θάλητα, πάντες συμφώνως ὁμολογοῦσιν Αἰγυπτίων καὶ Χαλδαίων γενομένους μαθητὰς ὀλίγα συγγράψαι· καὶ ταῦτα τοῖς Ἕλλησιν εἶναι δοκεῖ πάντων ἀρχαιότατα, καὶ μόλις αὐτὰ πιστεύουσιν ὑπ' ἐκείνων γεγράφθαι.

πῶς οὖν οὐκ ἔστιν ἄλογον τετυφῶσθαι τοὺς Ἕλληνας ὡς μόνους ἐπισταμένους τὰ ἀρχαῖα καὶ τὴν ἀλήθειαν περὶ αὐτῶν ἀκριβῶς παραδιδόντας; ἢ τίς οὐ παρ' αὐτῶν ἂν τῶν συγγραφέων μάθοι ῥᾳδίως ὅτι μη- 3

Digitized by Google

δὲν βεβαίως εἰδότες συνέγραφον, ἀλλ' ὡς ἕκαστοι περὶ τῶν πραγμάτων εἶκαζον; πλέον γοῦν διὰ τῶν βιβλίων ἀλλήλους ἐλέγχουσι, καὶ τὰ ἐναντιώτατα περὶ τῶν αὐτῶν λέγειν οὐκ ὀκνοῦσι. περίεργος δ' ἂν εἴην ἐγὼ τοὺς ἐμοῦ μᾶλλον ἐπισταμένους διδάσκων ὅσα μὲν Ἑλλάνικος Ἀκουσιλάῳ περὶ τῶν γενεαλογιῶν διαπεφώνηκεν, ὅσα δὲ διορθοῦται τὸν Ἡσίοδον Ἀκουσίλαος, ἢ τίνα τρόπον Ἔφορος μὲν Ἑλλάνικον ἐν τοῖς πλείστοις ψευδόμενον ἐπιδείκνυσιν, Ἔφορον δὲ Τίμαιος, καὶ Τίμαιον οἱ μετ' ἐκεῖνον γεγονότες, Ἡρόδοτον δὲ πάντες. ἀλλ' οὐδὲ περὶ τῶν Σικελικῶν τοῖς περὶ Ἀντίοχον καὶ Φίλιστον ἢ Καλλίαν Τίμαιος συμφωνεῖν ἠξίωσεν, οὐδ' αὖ περὶ τῶν Ἀττικῶν οἱ τὰς Ἀτθίδας συγγεγραφότες ἢ περὶ τῶν Ἀργολικῶν οἱ τὰ περὶ Ἄργος ἱστοροῦντες ἀλλήλοις κατηκολουθήκασι. καὶ τί δεῖ λέγειν περὶ τῶν κατὰ πόλεις καὶ βραχυτέρων, ὅπου γε περὶ τῆς Περσικῆς στρατείας καὶ τῶν ἐν αὐτῇ πραχθέντων οἱ δοκιμώτατοι διαπεφωνήκασιν; πολλὰ δὲ καὶ Θουκυδίδης ὡς ψευδόμενος ὑπὸ τινῶν κατηγορεῖται, καίτοι δοκῶν ἀκριβεστάτην καθ' αὑτὸν ἱστορίαν συγγράφειν.

4 αἰτίαι δὲ τῆς τοσαύτης διαφωνίας πολλαὶ μὲν ἴσως ἂν καὶ ἕτεραι τοῖς βουλομένοις ζητεῖν ἀναφανεῖεν, ἐγὼ δὲ δυσὶ ταῖς λεχθησομέναις τὴν μεγίστην ἰσχὺν ἀνατίθημι. καὶ προτέραν ἐρῶ τὴν κυριωτέραν εἶναί μοι δοκοῦσαν. τὸ γὰρ ἐξ ἀρχῆς μὴ σπουδασθῆναι παρὰ τοῖς Ἕλλησι δημοσίας γενέσθαι περὶ τῶν ἑκάστοτε πραττομένων ἀναγραφάς, τοῦτο μάλιστα δὴ καὶ τὴν πλάνην καὶ τὴν ἐξουσίαν τοῦ ψεύδεσθαι τοῖς μετὰ ταῦτα βουληθεῖσι περὶ τῶν παλαιῶν τι γράφειν παρέσχεν. οὐ γὰρ μόνον παρὰ τοῖς ἄλλοις Ἕλλησιν ἠμελήθη τὰ περὶ τῆς ἀναγραφῆς, ἀλλ' οὐδὲ παρὰ τοῖς Ἀθηναίοις, οὓς αὐτό-

Digitized by Google

χθονας εἶναι λέγουσι καὶ παιδείας ἐπιμελεῖς, οὐδὲν τοιοῦτον εὑρίσκεται γενόμενον, ἀλλὰ τῶν δημοσίων γραμμάτων ἀρχαιοτάτους εἶναί φασι τοὺς ὑπὸ Δράκοντος αὐτοῖς περὶ τῶν φονικῶν γραφέντας νόμους, ὀλίγῳ πρότερον τῆς Πεισιστράτου τυραννίδος ἀνθρώπου γεγονότος. περὶ μὲν γὰρ Ἀρκάδων τί δεῖ λέγειν αὐχούντων ἀρχαιότητα; μόλις γὰρ οὗτοι καὶ μετὰ ταῦτα γράμμασιν ἐπαιδεύθησαν.

ἅτε δὴ τοίνυν οὐδεμιᾶς προκαταβεβλημένης ἀναγραφῆς, ἣ καὶ τοὺς μαθεῖν βουλομένους διδάξειν ἔμελλε καὶ τοὺς ψευδομένους ἐλέγξειν, ἡ πολλὴ πρὸς ἀλλήλους ἐγένετο διαφωνία τοῖς συγγραφεῦσι. δευτέραν δὲ πρὸς ταύτῃ θετέον ἐκείνην τὴν αἰτίαν. οἱ γὰρ ἐπὶ τὸ γράφειν ὁρμήσαντες οὐ περὶ τὴν ἀλήθειαν ἐσπούδασαν, καίτοι τοῦτο πρόχειρόν ἐστιν ἀεὶ τὸ ἐπάγγελμα, λόγων δὲ δύναμιν ἐπαδείκνυντο· καὶ καθ' ὅντινα τρόπον ἐν τούτῳ παρευδοκιμήσειν τοὺς ἄλλους ὑπελάμβανον, κατὰ τοῦτον ἡρμόζοντο, τινὲς μὲν ἐπὶ τὸ μυθολογεῖν τρεπόμενοι, τινὲς δὲ πρὸς χάριν ἢ τὰς πόλεις ἢ τοὺς βασιλέας ἐπαινοῦντες. ἄλλοι δὲ ἐπὶ τὸ κατηγορεῖν τῶν πράξεων ἢ τῶν γεγραφότων ἐχώρησαν, ἐνευδοκιμήσειν τούτῳ νομίζοντες. ὅλως δὲ τὸ πάντων ἐναντιώτατον ἱστορίᾳ πράττοντες διατελοῦσι. τῆς μὲν γὰρ ἀληθοῦς ἐστι τεκμήριον ἱστορίας, εἰ περὶ τῶν αὐτῶν ἅπαντες ταὐτὰ καὶ λέγοιεν καὶ γράφοιεν· οἳ δ' εἰ ταὐτὰ γράψειαν ἑτέρως; οὕτως ἐνόμιζον αὐτοὶ φανεῖσθαι πάντων ἀληθέστατοι. λόγων μὲν οὖν ἕνεκα καὶ τῆς ἐν τούτοις δεινότητος δεῖ παραχωρεῖν ἡμᾶς τοῖς συγγραφεῦσι τοῖς Ἑλληνικοῖς, οὐ μὴν καὶ τῆς περὶ τῶν ἀρχαίων ἀληθοῦς ἱστορίας, καὶ μάλιστά γε τῆς περὶ τῶν ἑκάστοις ἐπιχωρίων.

ὅτι μὲν οὖν παρ' Αἰγυπτίοις τε καὶ Βαβυλωνίοις 6

Digitized by Google

ἐκ μακροτάτων ἄνωθεν χρόνων τὴν περὶ τὰς ἀναγραφὰς ἐπιμέλειαν ὅπου μὲν οἱ ἱερεῖς ἦσαν ἐγκεχειρισμένοι καὶ περὶ ταύτας ἐφιλοσόφουν, Χαλδαῖοι δὲ παρὰ τοῖς Βαβυλωνίοις, καὶ ὅτι μάλιστα δὲ τῶν Ἑλλήσιν ἐπιμιγνυμένων ἐχρήσαντο Φοίνικες γράμμασιν εἴς τε τὰς περὶ τὸν βίον οἰκονομίας καὶ πρὸς τὴν τῶν κοινῶν ἔργων παράδοσιν, ἐπειδὴ συγχωροῦσιν ἅπαντες, ἐάσειν μοι δοκῶ· περὶ δὲ τῶν ἡμετέρων προγόνων, ὅτι τὴν αὐτήν (ἐῶ γὰρ λέγειν εἰ καὶ πλείω τῶν εἰρημένων) ἐποιήσαντο περὶ τὰς ἀναγραφὰς ἐπιμέλειαν, τοῖς ἀρχιερεῦσι καὶ τοῖς προφήταις τοῦτο προστάξαντες, καὶ ὡς μέχρι τῶν καθ' ἡμᾶς χρόνων πεφύλακται μετὰ πολλῆς ἀκριβείας, εἰ δὲ θρασύτερον εἰπεῖν καὶ φυλαχθήσεται, πειράσομαι συντόμως διδάσκειν.

7 οὐ γὰρ μόνον ἐξ ἀρχῆς ἐπὶ τούτων τοὺς ἀρίστους καὶ τῇ θεραπείᾳ τοῦ θεοῦ προσεδρεύοντας κατέστησαν, ἀλλ' ὅπως τὸ γένος τῶν ἱερέων ἄμικτον καὶ καθαρὸν διαμένῃ προυνόησαν. δεῖ γὰρ τὸν μετέχοντα τῆς ἱερωσύνης ἐξ ὁμοεθνοῦς γυναικὸς παιδοποιεῖσθαι, καὶ μὴ πρὸς χρήματα μηδὲ τὰς ἄλλας ἀποβλέπειν τιμάς, ἀλλὰ τὸ γένος ἐξετάζειν ἐκ τῶν ἀρχαίων λαμβάνοντα τὴν διαδοχὴν καὶ πολλοὺς παρασχόμενον μάρτυρας. καὶ ταῦτα πράττομεν οὐ μόνον ἐπ' αὐτῆς Ἰουδαίας, ἀλλ' ὅπου ποτὲ σύστημα τοῦ γένους ἐστὶν ἡμῶν, κἀκεῖ τὸ ἀκριβὲς ἀποσώζεται τοῖς ἱερεῦσι περὶ τοὺς γάμους· λέγω δὲ τοὺς ἐν Αἰγύπτῳ καὶ Βαβυλῶνι, καὶ εἴ που τῆς ἄλλης οἰκουμένης τοῦ γένους τῶν ἱερέων εἰσί τινες διεσπαρμένοι. πέμπουσι γὰρ εἰς Ἱεροσόλυμα συγγράψαντες πατρόθεν τοὔνομα τῶν γεινομένων καὶ τῶν ἐπάνω προγόνων, καὶ τίνες οἱ μαρτυροῦντες. πόλεμος δ' εἰ κατάσχοι, καθάπερ ἤδη γέγονε πολλάκις, Ἀντιόχου τε τοῦ Ἐπιφανοῦς εἰς τὴν χώραν ἐμβαλόντος καὶ

Digitized by Google

Πομπηίου Μάγνου καὶ Κυιντιλίου Βάρου, μάλιστα δὲ καὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, οἱ περιλειπόμενοι τῶν ἱερέων καινὰ πάλιν ἐκ τῶν ἀρχαίων γραμμάτων συνίστανται, καὶ δοκιμάζουσι τὰς ὑπολειφθείσας γυναῖκας. οὐ γὰρ ἔτι τὰς αἰχμαλώτους γενομένας προσίενται, πολλάκις γεγονυῖαν αὐταῖς τὴν πρὸς ἀλλόφυλον κοινωνίαν ὑφορώμενοι. τεκμήριον δὲ μέγιστον τῆς ἀκριβείας· οἱ γὰρ ἀρχιερεῖς οἱ παρ' ἡμῖν ἀπὸ δισχιλίων ἐτῶν ὀνομαστοὶ παῖδες ἐκ πατρός εἰσιν ἐν ταῖς ἀναγραφαῖς. οἷς δὲ τῶν εἰρημένων ὁτιοῦν γένοιτο εἰς παράβασιν, ἀπηγόρευται μήτε τοῖς βωμοῖς παρίστασθαι μήτε μετέχειν τῆς ἄλλης ἁγιστείας. εἰκότως οὖν, μᾶλλον δὲ ἀναγκαίως, ἅτε μήτε τοῦ ὑπογράφειν αὐτεξουσίου πᾶσιν ὄντος μήτε τινὸς ἐν τοῖς γραφομένοις ἐνούσης διαφωνίας, ἀλλὰ μόνων τῶν προφητῶν τὰ μὲν ἀνωτάτω καὶ τὰ παλαιότατα κατὰ τὴν ἐπίπνοιαν τὴν ἀπὸ τοῦ θεοῦ μαθόντων, τὰ δὲ καθ' αὑτοὺς ὡς ἐφένετο σαφῶς συγγραφόντων.

οὐ γὰρ μυριάδες βιβλίων εἰσὶ παρ' ἡμῖν ἀσυμ- 8
φώνων καὶ μαχομένων, δύο δὲ μόνα πρὸς τοῖς εἴκοσι βιβλία, τοῦ παντὸς ἔχοντα χρόνου τὴν ἀναγραφήν, τὰ δικαίως θεῖα πεπιστευμένα. καὶ τούτων πέντε μέν ἐστι τὰ Μωϋσέως, ἃ τούς τε νόμους περιέχει καὶ τὴν τῆς ἀνθρωπογονίας παράδοσιν μέχρι τῆς αὐτοῦ τελευτῆς. οὗτος ὁ χρόνος ἀπολείπει τρισχιλίων ὀλίγον ἐτῶν. ἀπὸ δὲ τῆς Μωϋσέως τελευτῆς μέχρι τῆς Ἀρταξέρξου τοῦ μετὰ Ξέρξην Περσῶν βασιλέως ἀρχῆς οἱ μετὰ Μωϋσῆν προφῆται τὰ κατ' αὐτοὺς πραχθέντα συνέγραψαν ἐν τρισὶ καὶ δέκα βιβλίοις. αἱ δὲ λοιπαὶ τέσσαρες ὕμνους εἰς τὸν θεὸν καὶ τοῖς ἀνθρώποις ὑποθήκας τοῦ βίου περιέχουσιν. ἀπὸ δὲ Ἀρταξέρξου μέχρι τοῦ καθ' ἡμᾶς χρόνου γέγραπται μὲν ἕκαστα, πίστεως δὲ οὐχ

Digitized by Google

ὁμοίας ἠξίωται τοῖς πρὸ αὐτῶν διὰ τὸ μὴ γενέσθαι τὴν τῶν προφητῶν ἀκριβῆ διαδοχήν. δῆλον δ' ἐστὶν ἔργῳ πῶς ἡμεῖς τοῖς ἰδίοις γράμμασι πεπιστεύκαμεν· τοσούτου γὰρ αἰῶνος ἤδη παρῳχηκότος οὔτε προσθεῖναί τις οὐδὲν οὔτε ἀφελεῖν αὐτῶν οὔτε μεταθεῖναι τετόλμηκεν. πᾶσι δὲ σύμφυτόν ἐστιν εὐθὺς ἐκ τῆς πρώτης γενέσεως Ἰουδαίοις τὸ νομίζειν αὐτὰ θεοῦ δόγματα, καὶ τούτοις ἐμμένειν, καὶ ὑπὲρ αὐτῶν, εἰ δέοι, θνήσκειν ἡδέως. ἤδη οὖν πολλοὶ πολλάκις ἑώρανται τῶν αἰχμαλώτων στρέβλας καὶ παντοίων θανάτων τρόπους ἐν θεάτροις ὑπομένοντες ἐπὶ τῷ μηδὲν ῥῆμα προέσθαι παρὰ τοὺς νόμους καὶ τὰς μετὰ τούτων ἀναγραφάς. ὃ τίς ἂν ὑπομείνειεν Ἑλλήνων ὑπὲρ αὐτοῦ; ἀλλ' οὐδ' ὑπὲρ τοῦ καὶ πάντα τὰ παρ' αὐτοῖς ἀφανισθῆναι συγγράμματα τὴν τυχοῦσαν ὑποστήσεται βλάβην· λόγους γὰρ αὐτὰ νομίζουσιν εἶναι κατὰ τὴν τῶν γραψάντων βούλησιν ἐσχεδιασμένους. καὶ τοῦτο δικαίως καὶ περὶ τῶν παλαιοτέρων φρονοῦσιν, ἐπειδὴ καὶ τῶν νῦν ἐνίους ὁρῶσι τολμῶντας περὶ τούτων συγγράφειν οἷς μήτ' αὐτοὶ παρεγένοντο μήτε πυθέσθαι παρὰ τῶν εἰδότων ἐφιλοτιμήθησαν. ἀμέλει καὶ περὶ τοῦ γενομένου νῦν ἡμῖν πολέμου τινὲς ἱστορίας ἐπιγράψαντες ἐξενηνόχασιν οὔτ' εἰς τοὺς τόπους παραβαλόντες οὔτε πλησίον τούτων πραττομένων προσελθόντες, ἀλλ' ἐκ παρακουσμάτων ὀλίγα συνθέντες τῷ τῆς ἱστορίας ὀνόματι λίαν ἀναιδῶς ἐνεπαροίνησαν.

9 ἐγὼ δὲ καὶ περὶ τοῦ πολέμου παντὸς καὶ περὶ τῶν ἐν αὐτῷ κατὰ μέρος γενομένων ἀληθῆ τὴν ἀναγραφὴν ἐποιησάμην, τοῖς πράγμασιν αὐτὸς ἅπασι παρατυχών. ἐστρατήγουν μὲν γὰρ τῶν παρ' ἡμῖν Γαλιλαίων ὀνομαζομένων, ἕως ἀντέχειν δυνατὸν ἦν, ἐγενόμην δὲ παρὰ Ῥωμαίοις συλληφθεὶς αἰχμάλωτος· καὶ

Digitized by Google

με διὰ φυλακῆς Οὐεσπασιανὸς καὶ Τίτος ἔχοντες ἀεὶ προσεδρεύειν αὐτοῖς ἠνάγκασαν, τὸ μὲν πρῶτον δεδεμένον, αὖθις δὲ λυθεὶς συνεπέμφθην ἀπὸ τῆς Ἀλεξανδρείας Τίτῳ πρὸς τὴν Ἱεροσολύμων πολιορκίαν. ἐν ᾧ χρόνῳ τῶν πραττομένων οὐκ ἔστιν ὃ τὴν ἐμὴν γνῶσιν διέφυγε· καὶ γὰρ τὰ κατὰ τὸ στρατόπεδον τὸ Ῥωμαίων ὁρῶν ἐπιμελῶς ἀνέγραφον, καὶ τὰ παρὰ τῶν αὐτομόλων ἀπαγγελλόμενα μόνος αὐτὸς συνίην. εἶτα σχολῆς ἐν τῇ Ῥώμῃ λαβόμενος πάσης μοι τῆς πραγματείας ἐν παρασκευῇ γεγενημένης, χρησάμενός τισι πρὸς τὴν Ἑλληνίδα φωνὴν συνεργοῖς, οὕτως ἐποιησάμην τῶν πράξεων τὴν παράδοσιν. τοσοῦτον δέ μοι περιῆν θάρσος τῆς ἀληθείας ὥστε πρώτους πάντων τοὺς αὐτοκράτορας τοῦ πολέμου γενομένους Οὐεσπασιανὸν καὶ Τίτον ἠξίωσα λαβεῖν μάρτυρας. πρώτοις γὰρ δέδωκα τὰ βιβλία, καὶ μετ' ἐκείνους πολλοῖς μὲν Ῥωμαίων τοῖς συμπεπολεμηκόσι πολλοῖς δὲ τῶν ἡμετέρων ἐπίπρασκον, ἀνδράσι καὶ τῆς Ἑλληνικῆς σοφίας μετεσχηκόσιν, ὧν ἐστὶν Ἰούλιος Ἀρχέλαος, Ἡρώδης ὁ σεμνότατος, καὶ αὐτὸς ὁ θαυμασιώτατος βασιλεὺς Ἀγρίππας. οὗτοι μὲν οὖν ἅπαντες ἐμαρτύρησαν ὅτι τῆς ἀληθείας προύστην ἐπιμελῶς, οὐκ ἂν ὑποστειλάμενοι καὶ σιωπήσαντες, εἴ τι κατ' ἄγνοιαν ἢ χαριζόμενος μετέθηκα τῶν γεγονότων ἢ παρέλιπον· φαῦλοι δέ τινες ἄνθρωποι διαβάλλειν μου τὴν ἱστορίαν ἐπικεχειρήκασιν, ὥσπερ ἐν σχολῇ μειρακίων γύμνασμα προκείσθαι νομίζοντες κατηγορίας παραδόξου καὶ διαβολῆς, δέον ἐκεῖνο γινώσκειν, ὅτι δεῖ τὸν ἄλλοις παράδοσιν πράξεων ἀληθινῶν ὑπισχνούμενον αὐτὸν ἐπίστασθαι ταύτας πρότερον ἀκριβῶς, ἢ παρηκολουθηκότα τοῖς γεγονόσιν ἢ παρὰ τῶν εἰδότων πυνθανόμενον· ὅπερ ἐγὼ μάλιστα περὶ ἀμφοτέρας νομίζω πε-

Digitized by Google

ποιηκέναι τὰς πραγματείας. τὴν μὲν γὰρ ἀρχαιολογίαν, ὥσπερ ἔφην, ἐκ τῶν ἱερῶν γραμμάτων μεθηρμήνευκα, γεγονὼς ἱερεὺς ἐκ γένους καὶ μετεσχηκὼς τῆς φιλοσοφίας τῆς ἐν ἐκείνοις τοῖς γράμμασι· τοῦ δὲ πολέμου τὴν ἱστορίαν ἔγραψα πολλῶν μὲν αὐτουργὸς πράξεων πλείστων δ' αὐτόπτης γενόμενος, ὅλως δὲ τῶν λεχθέντων ἢ πραχθέντων οὐδ' ὁτιοῦν ἀγνοήσας. πῶς οὖν οὐκ ἂν θρασεῖς τις ἡγήσαιτο τοὺς ἀνταγωνίζεσθαί μοι περὶ τῆς ἀληθείας ἐπικεχειρηκότας; οἳ κἂν τοῖς τῶν αὐτοκρατόρων ὑπομνήμασιν ἐντυγχεῖν λέγωσιν, ἀλλ' οὔ γε καὶ τοῖς ἡμετέροις τῶν ἀντιπολεμούντων πράγμασι παρέτυχον.

11 περὶ μὲν οὖν τούτων ἀναγκαίαν ἐποιησάμην τὴν παρέκβασιν, ἐπισημήνασθαι βουλόμενος τῶν ἐπαγγελλομένων τὰς ἱστορίας συγγράφειν τὴν εὐχέρειαν· ἱκανῶς δὲ φανερόν, ὡς οἶμαι, πεποιηκὼς ὡς ὅτι πάτριός ἐστιν ἡ περὶ τῶν παλαιῶν ἀναγραφὴ τοῖς βαρβάροις μᾶλλον ἢ τοῖς Ἕλλησιν, βούλομαι μικρὰ πρότερον διαλεχθῆναι πρὸς τοὺς ἐπιχειροῦντας νέαν ἡμῶν ἀποφαίνειν τὴν κατάστασιν ἐκ τοῦ μηδὲν περὶ ἡμῶν, ὡς φασὶν ἐκεῖνοι, λελέχθαι παρὰ τοῖς Ἑλληνικοῖς συγγραφεῦσιν· εἶτα δὲ τὰς μαρτυρίας τῆς ἀρχαιότητος ἐκ τῶν παρ' ἄλλοις γραμμάτων παρέξω, καὶ τοὺς βεβλασφημηκότας ἡμῶν τὸ γένος ἀποδείξω λίαν ἀλόγως βλασφημοῦντας.

12 ἡμεῖς τοίνυν οὔτε χώραν οἰκοῦμεν παράλιον οὔτ' ἐμπορίαις χαίρομεν, οὐδὲ ταῖς πρὸς ἄλλους διὰ τούτων ἐπιμιξίαις· ἀλλ' εἰσὶ μὲν ἡμῶν αἱ πόλεις μακρὰν ἀπὸ θαλάσσης ἀπῳκισμέναι, χώραν δὲ ἀγαθὴν νεμόμενοι ταύτην ἐκπονοῦμεν, μάλιστα δὲ πάντων περὶ παιδοτροφίαν φιλοκαλοῦντες, καὶ τὸ φυλάττειν τοὺς νόμους καὶ τὴν κατὰ τούτους παραδεδομένην εὐσέ-

Digitized by Google

βειαν ἔργον ἀναγκαιότατον παντὸς τοῦ βίου πεποιημένου. προσούσης τοίνυν τοῖς εἰρημένοις καὶ τῆς περὶ τὸν βίον ἡμῶν ἰδιότητος, οὐδὲν ἦν ἐν τοῖς παλαιοῖς χρόνοις τὸ ποιοῦν πρὸς τοὺς Ἕλληνας ἡμῖν ἐπιμιξίαν, ὥσπερ Αἰγυπτίοις μὲν τὰ παρ' αὐτῶν ἐξαγόμενα καὶ πρὸς αὐτοὺς εἰσαγόμενα, τοῖς δὲ τὴν παράλιον τῆς Φοινίκης κατοικοῦσιν ἡ περὶ τὰς καπηλείας καὶ τὰς ἐμπορίας σπουδὴ διὰ τὸ φιλοχρηματεῖν. οὐ μὴν οὐδὲ πρὸς ληστείας ὥσπερ ἄλλοι τινὲς ἢ τὸ πλέον ἔχειν ἀξιοῦν πολεμοῦντες ἐτράπησαν ἡμῶν οἱ πατέρες, καίτοι πολλὰς τῆς χώρας ἐχούσης μυριάδας ἀνδρῶν οὐκ ἀτόλμων. διὰ τοῦτο Φοίνικες μὲν αὐτοὶ κατ' ἐμπορίαν τοῖς Ἕλλησιν ἐπεισπλέοντες εὐθὺς ἐγνώσθησαν, καὶ δι' ἐκείνων Αἰγύπτιοι, καὶ πάντες ἀφ' ὧν τὸν φόρτον εἰς τοὺς Ἕλληνας διεκόμιζον, μεγάλα πελάγη διαίροντες. Μῆδοι δὲ μετὰ ταῦτα καὶ Πέρσαι φανεροὶ κατέστησαν τῆς Ἀσίας ἐπάρξαντες, οἳ δὲ καὶ μέχρι τῆς ἑτέρας ἠπείρου Πέρσαι στρατεύσαντες· Θρᾷκες δὲ διὰ γειτονίαν, καὶ τὸ Σκυθικὸν ἀπὸ τῶν εἰς τὸν Πόντον ἐγνώσθη πλεόντων. ἅλως γὰρ ἅπαντες οἱ παρὰ τὴν θάλατταν καὶ τὴν πρὸς ταῖς ἀνατολαῖς καὶ πρὸς τὴν ἑσπέριον κατοικοῦντες τοῖς συγγράφειν τι βουλομένοις γνωριμώτεροι κατέστησαν, οἱ δὲ ταύτης ἀνωτέρω τὰς οἰκήσεις ἔχοντες ἐπὶ πλεῖστον ἠγνοήθησαν. καὶ τοῦτο φαίνεται καὶ περὶ τὴν Εὐρώπην συμβεβηκός, ὅπου γε τῆς Ῥωμαίων πόλεως, τοιαύτην ἐκ μακροῦ δύναμιν κεκτημένης καὶ τοιαύτας πράξεις κατορθούσης πολεμικάς, οὔθ' ὁ Ἡρόδοτος οὔθ' ὁ Θουκυδίδης οὔτε τῶν ἅμα τούτοις γενομένων οὐδὲ εἷς ἐμνημόνευκεν, ἀλλ' ὀψέ ποτε καὶ μόλις αὐτῶν εἰς τοὺς Ἕλληνας ἡ γνῶσις διεξῆλθεν. περὶ μὲν γὰρ Γαλατῶν τε καὶ Ἰβήρων οὕτως ἠγνόησαν οἱ δοκοῦντες ἀκριβέ-

Digitized by Google

στατοι συγγραφεῖς, ὧν ἐστὶν Ἔφορος, ὥστε πόλιν οἴεται μίαν εἶναι τοὺς Ἴβηρας τοὺς τοσοῦτο μέρος τῆς ἑσπερίου γῆς κατοικοῦντας· καὶ τὰ μήτε γενόμενα παρ' αὐτοῖς ἔθη μήτε λεγόμενα γράφειν, ὡς ἐκείνων αὐτοῖς χρωμένων, ἐτόλμησαν. αἴτιον δὲ τοῦ μὲν μὴ γινώσκειν τἀληθὲς τὸ λίαν ἀνεπίμικτον, τοῦ δὲ γράφειν ψευδῆ τὸ βούλεσθαι δοκεῖν τι πλέον τῶν ἄλλων ἱστορεῖν. πῶς οὖν ἔτι θαυμάζειν προσῆκεν εἰ μηδὲ τὸ ἡμέτερον ἔθνος πολλοῖς ἐγινώσκετο, μηδὲ τῆς ἐν τοῖς συγγράμμασι μνήμης ἀφορμὴν παρέσχεν, οὕτω μὲν ἀπῳκισμένον τῆς θαλάσσης, οὕτω δὲ βιοτεύειν προῃρημένον;

13 φέρε τοίνυν ἡμᾶς ἀξιοῦν τεκμηρίῳ χρήσασθαι περὶ τῶν Ἑλλήνων, ὅτι μὴ παλαιόν ἐστιν αὐτῶν τὸ γένος, τῷ μηδὲν ἐν ταῖς ἡμετέραις ἀναγραφαῖς περὶ αὐτῶν εἰρῆσθαι. ἆρ' οὐχὶ πάντως ἂν κατεγέλων, αὐτάς, οἶμαι, τὰς ὑπ' ἐμοῦ νῦν εἰρημένας κομίζοντες αἰτίας, καὶ μάρτυρας ἂν τοὺς πλησιοχώρους παρείχοντο τῆς αὐτῶν ἀρχαιότητος; κἀγὼ τοίνυν πειράσομαι τοῦτο ποιεῖν. Αἰγυπτίοις γὰρ καὶ Φοίνιξι μάλιστα δὴ χρήσομαι μάρτυσιν, οὐκ ἄν τινος ὡς ψευδῆ τὴν μαρτυρίαν διαβάλλειν δυνηθέντος· φαίνονται γὰρ καὶ δὴ μάλιστα πρὸς ἡμᾶς δυσμενῶς διατεθέντες κοινῇ μὲν ἅπαντες Αἰγύπτιοι, Φοινίκων δὲ Τύριοι. περὶ μέντοι Χαλδαίων οὐκέτι δυναίμην ἂν ταὐτὸ τοῦτο λέγειν, ἐπεὶ καὶ τοῦ γένους ἡμῶν ἀρχηγοὶ καθεστήκασι καὶ διὰ τὴν συγγένειαν ἐν ταῖς αὐτῶν ἀναγραφαῖς Ἰουδαίων μνημονεύουσιν. ὅταν δὲ τὰς περὶ τούτων πίστεις παράσχω, τότε καὶ τῶν Ἑλλήνων συγγραφέων ἀποφανῶ τοὺς μνήμην Ἰουδαίων πεποιηκότας, ἵνα μηδὲ ταύτην ἔτι τὴν πρόφασιν οἱ βασκαίνοντες ἔχωσι τῆς πρὸς ἡμᾶς ἀντιλογίας.

Digitized by Google

ἄρξομαι δὴ πρῶτον ἀπὸ τῶν παρ' Αἰγυπτίοις 14
γραμμάτων. αὐτὰ μὲν οὖν οὐχ οἷόν τε παρατίθεσθαι
τἀκείνων· Μανεθὼν δ' ἦν τὸ γένος ἀνὴρ Αἰγύπτιος,
τῆς Ἑλληνικῆς μετεσχηκὼς παιδείας, ὡς δῆλος ἐστί·
γέγραφε γὰρ Ἕλλάδι φωνῇ τὴν πάτριον ἱστορίαν, ἔκ
τε τῶν ἱερῶν, ὡς φησὶν αὐτός, μεταφράσας καὶ πολ-
λὰ τὸν Ἡρόδοτον ἐλέγχει τῶν Αἰγυπτιακῶν ὑπ' ἀγνοίας
ἐψευσμένον. αὐτὸς δὴ τοίνυν ὁ Μανεθὼν ἐν τῇ δευ-
τέρᾳ τῶν Αἰγυπτιακῶν ταῦτα περὶ ἡμῶν γράφει· πα-
ραθήσομαι δὲ τὴν λέξιν αὐτοῦ, καθάπερ αὐτὸν ἐκεῖ-
νον παραγαγὼν μάρτυρα. "ἐγένετο βασιλεὺς ἡμῖν, Τί-
μαος ὄνομα. ἐπὶ τούτου οὐκ οἶδ' ὅπως ὁ θεὸς ἀντέ-
πνευσεν, καὶ παραδόξως ἐκ τῶν πρὸς ἀνατολὴν μερῶν
ἄνθρωποι τὸ γένος ἄσημοι καταθαρσήσαντες ἐπὶ τὴν
χώραν ἐστράτευσαν, καὶ ῥᾳδίως ἀμαχητὶ ταύτην κατὰ
κράτος εἷλον, καὶ τοὺς ἡγεμονεύσαντας ἐν αὐτῇ χει-
ρωσάμενοι τὸ λοιπὸν τάς τε πόλεις ὠμῶς ἐνέπρησαν
καὶ τὰ ἱερὰ τῶν θεῶν κατέσκαψαν, πᾶσι δὲ τοῖς ἐπι-
χωρίοις ἐχθρότατά πως ἐχρήσαντο, τοὺς μὲν σφάζον-
τες, τῶν δὲ καὶ τὰ τέκνα καὶ γυναῖκας εἰς δουλείαν
ἄγοντες. πέρας δὲ καὶ βασιλέα ἕνα ἐξ αὐτῶν ἐποίη-
σαν, ᾧ ὄνομα ἦν Σάλατις. καὶ οὗτος ἐν τῇ Μέμφιδι
κατεγίνετο, τήν τε ἄνω καὶ κάτω χώραν δασμολο-
γῶν, καὶ φρουρὰν ἐν τοῖς ἐπιτηδειοτάτοις καταλείπων
τόποις. μάλιστα δὲ καὶ τὰ πρὸς ἀνατολὴν ἠσφαλί-
σατο μέρη, προορώμενος Ἀσσυρίων, τότε μεῖζον ἰσχυ-
όντων, ἐσομένην ἐπιθυμίᾳ τῆς αὐτῆς βασιλείας ἔφο-
δον. εὑρὼν δὲ ἐν νομῷ τῷ Σαΐτῃ πόλιν ἐπικαιροτά-
την, κειμένην μὲν πρὸς ἀνατολὴν τοῦ Βουβαστίτου
ποταμοῦ, καλουμένην δ' ἀπό τινος ἀρχαίας θεολογίας
Ἄυαριν, ταύτην ἔκτισέ τε καὶ τοῖς τείχεσιν ὀχυρωτά-
την ἐποίησεν, ἐνοικίσας αὐτῇ καὶ πλῆθος ὁπλιτῶν εἰς

Digitized by Google

εἴκοσι καὶ τέσσαρας μυριάδας ἀνδρῶν πρὸς φυλακήν. ἐνθάδε κατὰ θέρειαν ἦρχετο, τὰ μὲν σιτομετρῶν καὶ μισθοφορίαν παρεχόμενος, τὰ δὲ καὶ ταῖς ἐξοπλισίαις πρὸς φόβον τῶν ἔξωθεν ἐπιμελῶς γυμνάζων. ἄρξας δ' ἐννεακαίδεκα ἔτη τὸν βίον ἐτελεύτησεν. μετὰ τοῦτον δὲ ἕτερος ἐβασίλευσε τέσσαρά καὶ τετταράκοντα ἔτη, καλούμενος Βηών. μεθ' ὃν ἄλλος Ἀπαχνὰς ἔτη καὶ τριάκοντα ἔτη καὶ μῆνας ἑπτά, ἔπειτα δὲ καὶ Ἄπωφις ἐν καὶ ἑξήκοντα, καὶ Ἰανίας πεντήκοντα καὶ μῆνα ἕνα, ἐπὶ πᾶσι δὲ καὶ Ἄσσις ἐννέα καὶ τεσσαράκοντα καὶ μῆνας δύο. καὶ οὗτοι μὲν ἓξ ἐν αὐτοῖς ἐγενήθησαν πρῶτοι ἄρχοντες, πολεμοῦντες ἀεὶ καὶ ποθοῦντες μᾶλλον τῆς Αἰγύπτου ἐξᾶραι τὴν ῥίζαν. ἐκαλεῖτο δὲ τὸ σύμπαν αὐτῶν ἔθνος Ὕκσως, τοῦτο δέ ἐστι βασιλεῖς ποιμένες· τὸ γὰρ ὒκ καθ' ἱερὰν γλῶσσαν βασιλέα σημαίνει, τὸ δὲ σὼς ποιμήν ἐστι καὶ ποιμένες κατὰ τὴν κοινὴν διάλεκτον, καὶ οὕτω συντιθέμενον γίνεται Ὕκσως. τινὲς δὲ λέγουσιν αὐτοὺς Ἄραβας εἶναι." ἐν δ' ἄλλῳ ἀντιγράφῳ οὐ βασιλεῖς σημαίνεσθαι διὰ τῆς τοῦ ὒκ προσηγορίας, ἀλλὰ τοὐναντίον αἰχμαλώτους δηλοῦσθαι ποιμένας· τὸ γὰρ ὒκ πάλιν αἰγυπτιστὶ καὶ τὸ ἅκ δασυνόμενον αἰχμαλώτους ῥητῶς μηνύει. καὶ τοῦτο μᾶλλον πιθανώτερόν μοι φαίνεται καὶ παλαιᾶς ἱστορίας ἐχόμενον. τούτους δὲ τοὺς προκατωνομασμένους βασιλέας τοὺς τῶν ποιμένων καλουμένων καὶ τοὺς ἐξ αὐτῶν γενομένους κρατῆσαι τῆς Αἰγύπτου φησὶν ἔτη πρὸς τοῖς πεντακοσίοις ἕνδεκα. μετὰ ταῦτα δὲ τῶν ἐκ τῆς Θηβαΐδος καὶ τῆς ἄλλης Αἰγύπτου βασιλέων γενέσθαι φησὶν ἐπὶ τοὺς ποιμένας ἐπανάστασιν, καὶ πόλεμον αὐτοῖς συρραγῆναι μέγαν καὶ πολυχρόνιον. ἐπὶ δὲ βασιλέως ᾧ ὄνομα εἶναι Ἀλισφραγμούθωσις, ἡττωμένους φησὶ τοὺς ποιμένας ὑπ'

Digitized by Google

αὐτοῦ ἐκ μὲν τῆς ἄλλης Αἰγύπτου πάσης ἐκπεσεῖν, κατακλεισθῆναι δ' εἰς τόπον ἀρουρῶν ἔχοντα μυρίων τὴν περίμετρον· Λύαριν ὄνομα τῷ τόπῳ. τοῦτόν φησιν ὁ Μανεθὼν ἅπαντα τείχει τε μεγάλῳ καὶ ἰσχυρῷ περιβαλεῖν τοὺς ποιμένας, ὅπως τήν τε κτῆσιν ἅπασαν ἔχωσιν ἐν ὀχυρῷ καὶ τὴν λείαν τὴν ἑαυτῶν. τὸν δὲ Ἀλισφραγμουθωσέως υἱὸν Θούμμωσιν ἐπιχειρῆσαι μὲν αὐτοὺς διὰ πολιορκίας ἑλεῖν κατὰ κράτος, ὀκτὼ καὶ τεσσαράκοντα μυριάσι προσεδρεύσαντα τοῖς τείχεσιν· ἐπεὶ δὲ τῆς πολιορκίας ἀπέγνω, ποιήσασθαι συμβάσεις, ἵνα τὴν Αἴγυπτον ἐκλιπόντες ὅποι βούλονται πάντες ἀβλαβεῖς ἀπέλθωσι. τοὺς δὲ ἐπὶ ταῖς ὁμολογίαις πανοικεσίᾳ μετὰ τῶν κτήσεων, οὐκ ἐλάττους μυριάδων ὄντας εἴκοσι καὶ τεσσάρων, ἀπὸ τῆς Αἰγύπτου τὴν ἔρημον εἰς Συρίαν ὁδοιπορῆσαι, φοβουμένους δὲ τὴν Ἀσσυρίων δυναστείαν (τότε γὰρ ἐκείνους τῆς Ἀσίας κρατεῖν), ἐν τῇ νῦν Ἰουδαίᾳ καλουμένῃ πόλιν οἰκοδομησαμένους τοσαύταις μυριάσιν ἀνθρώπων ἀρκέσουσαν, Ἱεροσόλυμα ταύτην ὀνομάσαι. ἐν ἄλλῃ δέ τινι βίβλῳ τῶν Αἰγυπτιακῶν Μανεθὼν τοῦτό φησι τὸ ἔθνος τοὺς καλουμένους ποιμένας αἰχμαλώτους ἐν ταῖς ἱεραῖς αὐτῶν βίβλοις γεγράφθαι, λέγων ὀρθῶς. καὶ γὰρ τοῖς ἀνωτάτω προγόνοις ἡμῶν τὸ ποιμαίνειν πάτριον ἦν, καὶ νομαδικὸν ἔχοντες τὸν βίον οὕτως ἐκαλοῦντο ποιμένες. αἰχμάλωτοί τε πάλιν οὐκ ἀλόγως ὑπὸ τῶν Αἰγυπτίων ἀνεγράφησαν, ἐπειδήπερ ὁ πρόγονος ἡμῶν Ἰώσηπος ἑαυτὸν ἔφη πρὸς τὸν βασιλέα τῶν Αἰγυπτίων αἰχμάλωτον εἶναι, καὶ τοὺς ἀδελφοὺς εἰς τὴν Αἴγυπτον ὕστερον μετεπέμψατο τοῦ βασιλέως ἐπιτρέψαντος.

ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλοις ποιήσομαι τὴν ἐξέτασιν ἀκριβεστέραν· νυνὶ δὲ τῆς ἀρχαιότητος ταύ-

Digitized by Google

της παρατίθεμαι τοὺς Αἰγυπτίους μάρτυρας. πάλιν οὖν τὰ τοῦ Μανεθῶνος πῶς ἔχει πρὸς τὴν τῶν χρόνων τάξιν ὑπογράψω. φησὶ δὲ οὕτω. "μετὰ τὸ ἐξελθεῖν ἐξ Αἰγύπτου τὸν λαὸν τῶν ποιμένων εἰς Ἱεροσόλυμα ὁ ἐκβαλὼν αὐτοὺς ἐξ Αἰγύπτου βασιλεὺς Τέθμωσις ἐβασίλευσε μετὰ ταῦτα ἔτη εἴκοσι πέντε καὶ μῆνας τέσσαρας, καὶ ἐτελεύτησε, καὶ παρέλαβε τὴν ἀρχὴν αὐτοῦ υἱὸς Χέβρων ἔτη τρισκαίδεκα, μεθ' ὃν Ἀμένωφις εἴκοσι καὶ μῆνας ἑπτά, τοῦ δὲ ἀδελφὴ Ἀμεσσὶς εἴκοσι ἓν καὶ μῆνας ἐννέα, τῆς δὲ Μήφρης ὠδεκα καὶ μῆνας ἐννέα, τοῦδὲ Μηφραμούθωσις εἴκοσι πέντε καὶ μῆνας δέκα, τοῦ δὲ Θμῶσις ἐννέα καὶ μῆνας ὀκτώ, τοῦ δ' Ἀμένωφις τριάκοντα καὶ μῆνας δέκα, τοῦ δὲ Ὧρος τριάκοντα ἕξ καὶ μῆνας πέντε, τοῦ δὲ θυγάτηρ Ἀκεγχρὴς ὠδεκα καὶ μῆνα ἕνα, τῆς δὲ Ῥάθωτις ἀδελφὸς ἐννέα, τοῦ δὲ Ἀκεγχήρης ὠδεκα καὶ μῆνας πέντε, τοῦ δ' Ἀκεγχήρης ἕτερος ὠδεκα καὶ μῆνας τρεῖς, τοῦ δὲ Ἄρμαϊς τέσσαρα καὶ μῆνα ἕνα, τοῦ δὲ Ῥαμέσσης ἓν καὶ μῆνας τέσσαρας, τοῦ δὲ Ἀρμέσσης Μιαμμοῦ ἑξήκοντα ἕξ καὶ μῆνας δύο, τοῦ δὲ Ἀμένωφις δέκα καὶ ἐννέα καὶ μῆνας ἕξ, τοῦ δὲ Σέθωσις καὶ Ῥαμέσσης, ἱππικὴν καὶ ναυτικὴν ἔχων δύναμιν. οὗτος τὸν μὲν ἀδελφὸν Ἄρμαϊν ἐπίτροπον τῆς Αἰγύπτου κατέστησε, καὶ πᾶσαν μὲν αὐτῷ τὴν ἄλλην βασιλικὴν περιέθηκεν ἐξουσίαν, μόνον δὲ ἐνετείλατο διάδημα μὴ φορεῖν, μηδὲ τὴν βασιλίδα μητέρα τε τῶν τέκνων ἀδικεῖν, ἀπέχεσθαι δὲ καὶ τῶν ἄλλων βασιλικῶν παλλακίδων. αὐτὸς δὲ ἐπὶ Κύπρον καὶ Φοινίκην καὶ πάλιν Ἀσσυρίους τε καὶ Μήδους στρατεύσας, ἅπαντας, τοὺς μὲν δόρατι τοὺς δὲ ἀμαχητί, φόβῳ δὲ τῆς πολλῆς δυνάμεως, ὑποχειρίους ἔλαβε. καὶ μέγα φρονήσας ἐπὶ ταῖς εὐπραγίαις ἔτι καὶ θαρσαλεώτερον ἐπο-

Digitized by Google

ρεύετο, τὰς πρὸς ἀνατολὰς πόλεις τε καὶ χώρας καταστρεφόμενος. χρόνου τε ἱκανοῦ γεγονότος Ἄρμαϊς ὁ καταλειφθεὶς ἐν Αἰγύπτῳ πάντα τοὔμπαλιν οἷς ὁ ἀδελφὸς παρῄνει μὴ ποιεῖν ἀδεῶς ἔπραττεν· καὶ γὰρ τὴν βασιλίδα βιαίως ἔσχε, καὶ ταῖς ἄλλαις παλλακίσιν ἀφειδῶς διετέλει χρώμενος, πειθόμενος δὲ ὑπὸ τῶν φίλων διάδημα ἐφόρει, καὶ ἀντῆρε τῷ ἀδελφῷ. ὁ δὲ τεταγμένος ἐπὶ τῶν ἱερῶν τῆς Αἰγύπτου γράψας βιβλίον ἔπεμψε τῷ Σεθώσει, δηλῶν αὐτῷ πάντα, καὶ ὅτι ἀντῆρεν ὁ ἀδελφὸς αὐτοῦ Ἄρμαϊς. παραχρῆμα οὖν ὑπέστρεψεν εἰς Πηλούσιον, καὶ ἐκράτησε τῆς ἰδίας βασιλείας. ἡ δὲ χώρα ἐκλήθη ἀπὸ τοῦ αὐτοῦ ὀνόματος Αἴγυπτος· λέγει γὰρ ὅτι ὁ μὲν Σέθωσις ἐκαλεῖτο Αἴγυπτος, Ἄρμαϊς δὲ ὁ ἀδελφὸς αὐτοῦ Δαναός."

ταῦτα μὲν ὁ Μανεθών, δῆλον δέ ἐστιν ἐκ τῶν εἰ- 16
ρημένων ἐτῶν τοῦ χρόνου συλλογισθέντος ὅτι οἱ καλούμενοι ποιμένες, ἡμέτεροι δὲ πρόγονοι, τρισὶ καὶ ἐνενήκοντα καὶ τριακοσίοις πρόσθεν ἔτεσιν ἐκ τῆς Αἰγύπτου ἀπαλλαγέντες τὴν χώραν ταύτην ἐπῴκησαν ἢ Δαναὸν εἰς Ἄργος ἀφικέσθαι. καίτοι τοῦτον ἀρχαιότατον Ἀργεῖοι νομίζουσι. δύο τοίνυν ὁ Μανεθὼν ἡμῖν τὰ μέγιστα μεμαρτύρηκεν ἐκ τῶν παρ' Αἰγυπτίοις γραμμάτων, πρῶτον μὲν τὴν ἑτέρωθεν ἄφιξιν εἰς Αἴγυπτον, ἔπειτα δὲ τὴν ἐκεῖθεν ἀπαλλαγὴν οὕτως ἀρχαίαν τοῖς χρόνοις ὡς ἐγγύς που προτερεῖν αὐτὴν τῶν Ἰλιακῶν ἔτεσι χιλίοις. ὑπὲρ ὧν δ' ὁ Μανεθὼν οὐκ ἐκ τῶν παρ' Αἰγυπτίοις γραμμάτων, ἀλλ' ὡς αὐτὸς ὡμολόγηκεν, ἐκ τῶν ἀδεσπότως μυθολογουμένων προστέθεικεν, ὕστερον ἐξελέγξω κατὰ μέρος, ἀποδεικνὺς τὴν ἀπίθανον αὐτοῦ ψευδολογίαν.

βούλομαι τοίνυν ἀπὸ τούτων ἔτι μετελθεῖν ἐπὶ τὰ 17

Digitized by Google

παρὰ τοῖς Φοινιξιν ἀναγεγραμμένα περὶ τοῦ γένους ἡμῶν, καὶ τὰς ἐξ ἐκείνων μαρτυρίας παρασχεῖν. ἔστι τοίνυν παρὰ Τυρίοις πολλῶν ἐτῶν γράμματα, δημοσίᾳ γεγραμμένα καὶ πεφυλαγμένα λίαν ἐπιμελῶς, περὶ τῶν παρ' αὐτοῖς γενομένων καὶ πρὸς ἀλλήλους πραχθέντων μνήμης ἀξίων. ἐν τούτοις γέγραπται ὅτι ἐν Ἱεροσολύμοις ᾠκοδομήθη ναὸς ὑπὸ Σολομῶνος τοῦ βασιλέως ἔτεσι θᾶττον ἑκατὸν τεσσαράκοντα καὶ τρισὶν καὶ μησὶν ὀκτὼ τοῦ κτίσαι Τυρίους Καρχηδόνα. ἀνεγράφη δὲ παρ' ἐκείνοις ἡ τοῦ ναοῦ κατασκευὴ τοῦ παρ' ἡμῖν· Εἴρωμος γὰρ ὁ τῶν Τυρίων βασιλεὺς φίλος ἦν τοῦ βασιλέως ἡμῶν Σολομῶνος, πατρικὴν πρὸς αὐτὸν φιλίαν διαδεδεγμένος. αὐτὸς οὖν συμφιλοτιμούμενος εἰς τὴν τοῦ κατασκευάσματος τῷ Σολομῶνι λαμπρότητα, χρυσίου μὲν εἴκοσι καὶ ἑκατὸν ἔδωκε τάλαντα, τεμὼν δὲ καλλίστην ὕλην ἐκ τοῦ ὄρους ὃ καλεῖται Λίβανος, εἰς τὸν ὄροφον ἀπέστειλεν. ἀντεδωρήσατο δὲ αὐτὸν ὁ Σολομὼν ἄλλοις τε πολλοῖς καὶ γῇ κατὰ χώραν τῆς Γαλιλαίας τῇ Χαβουλὼν λεγομένῃ. μάλιστα δὲ αὐτοὺς εἰς φιλίαν τῆς σοφίας συνῆγεν ἐπιθυμία· προβλήματα γὰρ ἀλλήλοις ἀντιπέστελλον λύειν κελεύοντες, καὶ πρεῖττων ἐν τούτοις ἦν ὁ Σολομὼν καὶ τἆλλα σοφώτερος. σώζονται δὲ μέχρι νῦν παρὰ τοῖς Τυρίοις πολλαὶ τῶν ἐπιστολῶν ἃς ἐκεῖνοι πρὸς ἀλλήλους ἔγραψαν. ὅτι δ' οὐ λόγος ἐστὶν ὑπ' ἐμοῦ συγκείμενος ὁ περὶ τῶν παρὰ τοῖς Τυρίοις γραμμάτων, παραθήσομαι μάρτυρα Δῖον, ἄνδρα περὶ τὴν Φοινικικὴν ἱστορίαν ἀκριβῆ γεγονέναι πεπιστευμένον. οὗτος τοίνυν ἐν ταῖς περὶ Φοινίκων ἱστορίαις γράφει τὸν τρόπον τοῦτον. "Ἀβιβάλου τελευτήσαντος ὁ υἱὸς αὐτοῦ Εἴρωμος ἐβασίλευσεν. οὗτος τὰ πρὸς ἀνατολὰς μέρη τῆς πόλεως προσέχωσε, καὶ μείζον τὸ ἄστυ πεποίηκε,

Digitized by Google

καὶ τοῦ Ὀλυμπίου Διὸς τὸ ἱερὸν καθ' ἑαυτὸ ὂν ἐν νήσῳ, χώσας τὸν μεταξὺ τόπον, συννῆψε τῇ πόλει καὶ χρυσοῖς ἀναθήμασιν ἐκόσμησεν· ἀναβὰς δὲ εἰς τὸν Λίβανον ὑλοτόμησε πρὸς τὴν τῶν ναῶν κατασκευήν. τὸν δὲ τυραννοῦντα Ἱεροσολύμων Σολομῶνα πέμψαι φασὶ πρὸς τὸν Εἴρωμον αἰνίγματα καὶ παρ' αὐτοῦ λαβεῖν ἀξιοῦν, τὸν δὲ μὴ δυνηθέντα διακρῖναι τῷ λύσαντι χρήματα ἀποτίνειν. ὁμολογήσαντα δὲ τὸν Εἴρωμον, καὶ μὴ δυνηθέντα λῦσαι τὰ αἰνίγματα, πολλὰ τῶν χρημάτων εἰς τὸ ἐπιζήμιον ἀναλῶσαι. εἶτα δὴ Ἀβδήμονόν τινα Τύριον ἄνδρα τὰ προτεθέντα λῦσαι, καὶ αὐτὸν ἄλλα προβαλεῖν, ἃ μὴ λύσαντα τὸν Σολομῶνα πολλὰ τῷ Εἰρώμῳ προσαποτῖσαι χρήματα."

Δῖος μὲν οὕτω περὶ τῶν προειρημένων ἡμῖν μεμαρτύρηκεν· ἀλλὰ πρὸς τούτῳ παραθήσομαι Μένανδρον τὸν Ἐφέσιον. γέγραφε δὲ οὗτος τὰς ἐφ' ἑκάστου τῶν βασιλέων πράξεις παρὰ τοῖς Ἕλλησι καὶ βαρβάροις γενομένας, ἐκ τῶν παρ' ἐκείνοις ἐπιχωρίων γραμμάτων σπουδάσας τὴν ἱστορίαν μαθεῖν. γράφων δὴ περὶ τῶν βεβασιλευκότων ἐν Τύρῳ, ἔπειτα γενόμενος κατὰ τὸν Εἴρωμον, ταῦτα φησί. "τελευτήσαντος δὲ Ἀβιβάλου διεδέξατο τὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ Εἴρωμος, ὃς βιώσας ἔτη πεντήκοντα τρία ἐβασίλευσεν ἔτη τριάκοντα τέσσαρα. οὗτος ἔχωσε τὸν εὐρύχωρον, τόν τε χρυσοῦν κίονα τὸν ἐν τοῖς τοῦ Διὸς ἀνέθηκεν, ἔτι τε ὕλην ξύλων ἀπελθὼν ἔκοψεν ἀπὸ τοῦ λεγομένου ὄρους Λιβάνου, κέδρινα ξύλα εἰς τὰς τῶν ἱερῶν στέγας, καθελὼν τε τὰ ἀρχαῖα ἱερὰ καινοὺς ᾠκοδόμησε, τό τε τοῦ Ἡρακλέους καὶ τῆς Ἀστάρτης τέμενος ἀνιέρευσε, καὶ τὸ μὲν τοῦ Ἡρακλέους πρῶτον ἐποιήσατο ἐν τῷ Περιτίῳ μηνί, εἶτα τὸ τῆς Ἀστάρτης, ὁπότε 18

Digitized by Google

Τιτυοῖς ἐπεστράτευσε μὴ ἀποδιδοῦσι τοὺς φόρους, οὓς καὶ ὑποτάξας ἑαυτῷ πάλιν ἀνέστρεψεν. ἐπὶ τούτου δέ τις ἦν Ἀβδήμονος παῖς νεώτερος, ὃς ἐνίκα τὰ προβλήματα ἃ ἐπέτασσε Σολομὼν ὁ Ἱεροσολύμων βασιλεύς."

ψηφίζεται δὲ ὁ χρόνος ἀπὸ τούτου τοῦ βασιλέως ἄχρι τῆς Καρχηδόνος κτίσεως οὕτως. "τελευτήσαντος Εἰρώμου διεδέξατο τὴν βασιλείαν Βαλεάζαρος ὁ υἱός, ὃς βιώσας ἔτη τεσσαράκοντα τρία ἐβασίλευσεν ἔτη ἑπτά. μετὰ τοῦτον Ἀβδάστρατος ὁ αὐτοῦ υἱὸς βιώσας ἔτη εἴκοσι ἐννέα ἐβασίλευσεν ἔτη ἐννέα. τοῦτον οἱ τῆς τροφοῦ αὐτοῦ υἱοὶ τέσσαρες ἐπιβουλεύσαντες ἀπώλεσαν, ὧν ὁ πρεσβύτερος ἐβασίλευσεν ἔτη δώδεκα. μεθ' οὓς Ἄσταρτος ὁ Δελαιαστάρτου, ὃς βιώσας ἔτη πεντήκοντα τέσσαρα ἐβασίλευσεν ἔτη δώδεκα. μετὰ τοῦτον ὁ ἀδελφὸς αὐτοῦ Ἀσέρυμος βιώσας ἔτη τέσσαρα καὶ πεντήκοντα ἐβασίλευσεν ἔτη ἐννέα. οὗτος ἀπώλετο ὑπὸ τοῦ ἀδελφοῦ Φέλητος, ὃς λαβὼν τὴν βασιλείαν ἦρξε μῆνας ὀκτώ, βιώσας ἔτη πεντήκοντα. τοῦτον ἀνεῖλεν Εἰθώβαλος ὁ τῆς Ἀστάρτης ἱερεύς, ὃς βασιλεύσας ἔτη τριάκοντα δύο ἐβίωσεν ἔτη ἑξήκοντα ὀκτώ. τοῦτον διεδέξατο Βαδέζωρος υἱός, ὃς βιώσας ἔτη τεσσαράκοντα πέντε ἐβασίλευσεν ἔτη ἕξ. τούτου διάδοχος γέγονε Μάτγηνος ὁ υἱός, ὃς βιώσας ἔτη τριάκοντα δύο ἐβασίλευσεν ἔτη ἐννέα. τούτου διάδοχος γέγονε Φυγμαλίων, βιώσας δ' ἔτη πεντήκοντα ἕξ ἐβασίλευσεν ἔτη τεσσαράκοντα ἑπτά. ἐν δὲ τῷ ἐπ' αὐτοῦ ἕβδόμῳ ἔτει ἡ ἀδελφὴ αὐτοῦ φυγοῦσα ἐν τῇ Λιβύῃ πόλιν ᾠκοδόμησε Καρχηδόνα." συνάγεται δὴ πᾶς ὁ χρόνος ἀπὸ τῆς Εἰρώμου βασιλείας ἄχρι Καρχηδόνος κτίσεως ἔτη ρνε' μῆνες η'. ἐπεὶ δὲ δωδεκάτῳ ἔτει τῆς Εἰρώμου βασιλείας ἐν Ἱεροσολύμοις ᾠκοδομήθη ὁ ναός, γέγονεν οὖν ἀπὸ τῆς οἰκοδομήσεως τοῦ ναοῦ ἄχρι

Digitized by Google

Καρχηδόνος κτίσεως ἔτη ἑκατὸν τεσσαράκοντα τρία, μῆνες ὀκτώ.

τῆς μὲν οὖν παρὰ Φοινίκων μαρτυρίας τί δεῖ προσθεῖναι πλείω; βλέπεται γὰρ τἀληθὲς ἰσχυρῶς ὡμολογημένον. καὶ πολὺ δή που προάγει τῆς τοῦ νεὼ κατασκευῆς ἡ τῶν προγόνων ἡμῶν εἰς τὴν χώραν ἄφιξις· ὅτε γὰρ αὐτὴν πᾶσαν πολέμῳ παρέλαβον, τότε τὸν νεὼν κατεσκεύασαν. καὶ ταῦτα σαφῶς ἐκ τῶν ἱερῶν γραμμάτων ὑπ' ἐμοῦ δεδήλωται διὰ τῆς ἀρχαιολογίας.

λέξω δὲ νῦν ἤδη τὰ παρὰ Χαλδαίοις ἀναγεγραμ- 19
μένα καὶ ἱστορούμενα περὶ ἡμῶν, ἅπερ ἔχει πολλὴν ὁμολογίαν καὶ περὶ τῶν ἄλλων τοῖς ἡμετέροις γράμμασι. μάρτυς δὲ τούτων Βηρωσσός, ἀνὴρ Χαλδαῖος μὲν τὸ γένος, γνώριμος δὲ τοῖς περὶ παιδείαν ἀναστρεφομένοις, ἐπειδὴ περί τε ἀστρονομίας καὶ περὶ τῶν παρὰ Χαλδαίοις φιλοσοφουμένων αὐτὸς εἰς τοὺς Ἕλληνας ἐξήνεγκε τὰς συγγραφάς. οὗτος τοίνυν ὁ Βηρωσσὸς ταῖς ἀρχαιοτάταις ἐπακολουθῶν ἀναγραφαῖς περί τε τοῦ γενομένου κατακλυσμοῦ καὶ τῆς ἐν αὐτῷ φθορᾶς τῶν ἀνθρώπων, καθάπερ Μωϋσῆς οὕτως ἱστόρηκε, καὶ περὶ τῆς λάρνακος ἐν ᾗ Νῶχος ὁ τοῦ γένους ἡμῶν ἀρχηγὸς διεσώθη, προσενεχθείσης αὐτῆς ταῖς ἀκρωρείαις τῶν Ἀρμενίων ὀρῶν. εἶτα τοὺς ἀπὸ Νώχου καταλέγων καὶ τοὺς χρόνους αὐτοῖς προστιθεὶς ἐπὶ Ναβοπαλάσσαρον παραγίνεται, τὸν Βαβυλῶνος καὶ Χαλδαίων βασιλέα, καὶ τὰς τούτου πράξεις ἀφηγούμενος λέγει τίνα τρόπον πέμψας ἐπὶ τὴν Αἴγυπτον καὶ ἐπὶ τὴν ἡμετέραν γῆν τὸν υἱὸν τὸν ἑαυτοῦ Ναβουχοδονόσορον μετὰ πολλῆς δυνάμεως, ἐπειδήπερ ἀφεστῶτας αὐτοὺς ἐπύθετο, πάντων ἐκράτησε, καὶ τὸν ναὸν ἐνέπρησε τὸν ἐν Ἱεροσολύμοις, ὅλως τε

Digitized by Google

πάντα τὸν παρ' ἡμῶν λαὸν ἀναστήσας εἰς Βαβυλῶνα μετῴκισεν. συνέβη δὲ καὶ τὴν πόλιν ἐρημωθῆναι χρόνον ἐτῶν ἑβδομήκοντα μέχρι Κύρου τοῦ Περσῶν βασιλέως. κρατῆσαι δέ φησι τὸν Βαβυλώνιον Αἰγύπτου Συρίας Φοινίκης Ἀραβίας, πάντας [δὲ] ὑπερβαλόμενον ταῖς πράξεσι τοὺς πρὸ αὐτοῦ Χαλδαίων καὶ Βαβυλωνίων βεβασιλευκότας. εἶθ' ἑξῆς ὑποκαταβὰς ὀλίγον ὁ Βηρωσσὸς πάλιν παρατίθεται ἐν τῇ τῆς ἀρχαιότητος ἱστοριογραφίᾳ· αὐτὰ δὲ παραθήσομαι τὰ τοῦ Βηρωσσοῦ, τοῦτον ἔχοντα τὸν τρόπον. "ἀκούσας δ' ὁ πατὴρ αὐτοῦ Ναβοπαλάσσαρος ὅτι ὁ τεταγμένος σατράπης ἔν τε Αἰγύπτῳ καὶ τοῖς περὶ τὴν Συρίαν τὴν Κοίλην καὶ τὴν Φοινίκην τόποις ἀποστάτης γέγονεν, οὐ δυνάμενος αὐτὸς ἔτι κακοπαθεῖν, συστήσας τῷ υἱῷ Ναβουχοδονοσόρῳ ὄντι ἔτι ἐν ἡλικίᾳ μέρη τινὰ τῆς δυνάμεως, ἐξέπεμψεν ἐπ' αὐτόν. συμμίξας δὲ Ναβουχοδονόσορος τῷ ἀποστάτῃ καὶ παραταξάμενος αὐτοῦ τε ἐκυρίευσε καὶ τὴν χώραν ἑαυτῆς ὑπὸ τὴν αὐτοῦ βασιλείαν ἐποίησεν. τῷ δὲ πατρὶ αὐτοῦ συνέβη Ναβοπαλασσάρῳ κατὰ τοῦτον τὸν καιρὸν ἀρρωστήσαντι ἐν τῇ Βαβυλωνίων πόλει μεταλλάξαι τὸν βίον, ἔτη βεβασιλευκότι εἴκοσιν ἐννέα. αἰσθόμενος δὲ μετ' οὐ πολὺ τὴν τοῦ πατρὸς τελευτὴν Ναβουχοδονόσορος, καταστήσας τὰ κατὰ τὴν Αἴγυπτον πράγματα καὶ τὴν λοιπὴν χώραν, καὶ τοὺς αἰχμαλώτους Ἰουδαίων τε καὶ Φοινίκων καὶ Σύρων καὶ τῶν κατὰ τὴν Αἴγυπτον ἐθνῶν συντάξας τισὶ τῶν φίλων μετὰ βαρυτάτης δυνάμεως καὶ τῆς λοιπῆς ὠφελείας ἀνακομίζειν εἰς τὴν Βαβυλωνίαν, αὐτὸς ὁρμήσας ὀλιγοστὸς παρεγένετο διὰ τῆς ἐρήμου εἰς Βαβυλῶνα. καταλαβὼν δὲ τὰ πράγματα διοικούμενα ὑπὸ Χαλδαίων καὶ διατηρουμένην τὴν βασιλείαν ὑπὸ τοῦ βελτίστου αὐτῶν, κυ-

Digitized by Google

ρισύσας ἐξ ὁλοκλήρου τῆς πατρικῆς ἀρχῆς, τοῖς μὲν αἰχμαλώτοις παραγενομένοις συνέταξεν αὐτοῖς ἀποικίας ἐν τοῖς ἐπιτηδειοτάτοις τῆς Βαβυλωνίας τόποις ἀποδεῖξαι, αὐτὸς δὲ ἀπὸ τῶν ἐκ τοῦ πολέμου λαφύρων τό τε Βήλου ἱερὸν καὶ τὰ λοιπὰ κοσμήσας φιλοτίμως, τήν τε ὑπάρχουσαν ἐξ ἀρχῆς πόλιν ἀνακαινίσας καὶ ἑτέραν ἔξωθεν προσχαρισάμενος πρὸς τὸ μηκέτι δύνασθαι τοὺς πολιορκοῦντας τὸν ποταμὸν ἀναστρέφοντας ἐπὶ τὴν πόλιν κατασκευάζειν, ὑπερεβάλετο τρεῖς μὲν τῆς ἔνδον πόλεως περιβόλους τρεῖς δὲ τῆς ἔξω τούτων, τοὺς μὲν ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, τοὺς δὲ ἐξ αὐτῆς τῆς πλίνθου. καὶ τειχίσας ἀξιολόγως τὴν πόλιν, καὶ τοὺς πυλῶνας κοσμήσας ἱεροπρεπῶς, προσκατεσκεύακε τοῖς πατρικοῖς βασιλείοις ἕτερα βασίλεια ἐχόμενα ἐκείνων, ὑπεραίροντα ἀνάστημα καὶ τὴν πολλὴν πολυτέλειαν. μακρὰ δ' ἴσως ἔσται ἐάν τις ἐξηγῆται, πλὴν ὄντα γε εἰς ὑπερβολὴν ὡς μεγάλα καὶ ὑπερήφανα συνετελέσθη ἡμέραις πεντεκαίδεκα. ἐν δὲ τοῖς βασιλείοις τούτοις ἀναλήμματα λίθινα ὑψηλὰ ἀνοικοδομήσας καὶ τὴν ὄψιν ἀποδοὺς ὁμοιοτάτην τοῖς ὄρεσι, καταφυτεύσας δένδρεσι παντοδαποῖς ἐξειργάσατο, καὶ κατασκευάσας τὸν καλούμενον κρεμαστὸν παράδεισον διὰ τὸ τὴν γυναῖκα αὐτοῦ ἐπιθυμεῖν τῆς ὀρείας διαθέσεως, τεθραμμένην ἐν τοῖς κατὰ τὴν Μηδίαν τόποις."

ταῦτα μὲν οὗτος ἱστόρησε περὶ τοῦ προειρημένου βασιλέως, καὶ πολλὰ πρὸς τούτοις ἐν τῇ τρίτῃ βίβλῳ τῶν Χαλδαϊκῶν, ἐν ᾗ μέμφεται τοῖς Ἑλληνικοῖς συγγραφεῦσιν ὡς μάτην οἰομένοις ὑπὸ Σεμιράμεως τῆς Ἀσσυρίας κτισθῆναι τὴν Βαβυλῶνα, καὶ τὰ θαυμάσια κατασκευασθῆναι περὶ αὐτὴν ὑπ' ἐκείνης ἔργα ψευδῶς γεγραφόσι. καὶ κατὰ ταῦτα τὴν μὲν τῶν Χαλδαίων

Digitized by Google

γραφὴν ἀξιόπιστον ἡγητέον, οὐ μὴν ἀλλὰ κἂν τοῖς ἀρχείοις τῶν Φοινίκων σύμφωνα τοῖς ὑπὸ Βηρωσσοῦ λεγομένοις ἀναγέγραπται περὶ τοῦ τῶν Βαβυλωνίων βασιλέως, ὅτι καὶ τὴν Συρίαν καὶ τὴν Φοινίκην ἅπασαν ἐκεῖνος κατεστρέψατο. περὶ τούτων γοῦν συμφωνεῖ καὶ Φιλόστρατος ἐν ταῖς ἱστορίαις, μεμνημένος τῆς Τύρου πολιορκίας, καὶ Μεγασθένης ἐν τῇ τετάρτῃ τῶν Ἰνδικῶν, δι' ἧς ἀποφαίνειν πειρᾶται τὸν προειρημένον βασιλέα τῶν Βαβυλωνίων Ἡρακλέους ἀνδρείᾳ καὶ μεγέθει πράξεων διενηνοχέναι· καταστρέψασθαι γὰρ αὐτόν φησι καὶ Λιβύης τὴν πολλὴν καὶ Ἰβηρίαν. τὰ δὲ περὶ τοῦ ναοῦ προειρημένα τοῦ ἐν Ἱεροσολύμοις, ὅτι κατεπρήσθη μὲν ὑπὸ τῶν Βαβυλωνίων ἐπιστρατευσάντων, ἤρξατο δὲ πάλιν ἀνοικοδομεῖσθαι Κύρου τῆς Ἀσίας τὴν βασιλείαν παρειληφότος, ἐκ τῶν Βηρωσσοῦ σαφῶς ἐπιδειχθήσεται παρατεθέντων. λέγει γὰρ οὕτω διὰ τῆς τρίτης. "Ναβουχοδονόσορος μὲν οὖν μετὰ τὸ ἄρξασθαι τοῦ προειρημένου τείχους ἐμπεσὼν εἰς ἀρρωστίαν μετηλλάξατο τὸν βίον, βεβασιλευκὼς ἔτη τεσσαράκοντα τρία, τῆς δὲ βασιλείας κύριος ἐγένετο ὁ υἱὸς αὐτοῦ Εὐειλμαράδουχος. οὗτος προστὰς τῶν πραγμάτων ἀνόμως καὶ ἀσελγῶς, ἐπιβουλευθεὶς ὑπὸ τοῦ τὴν ἀδελφὴν ἔχοντος αὐτοῦ Νηριγλισσοόρου ἀνῃρέθη, βασιλεύσας ἔτη δύο. μετὰ δὲ τὸ ἀναιρεθῆναι τοῦτον διαδεξάμενος τὴν ἀρχὴν ὁ ἐπιβουλεύσας αὐτῷ Νηριγλισσόορος ἐβασίλευσεν ἔτη τέσσαρα. τούτου υἱὸς Λαβοροσοάρχοδος ἐκυρίευσε μὲν τῆς βασιλείας παῖς ὢν μῆνας ἐννέα, ἐπιβουλευθεὶς δὲ διὰ τὸ πολλὰ ἐμφαίνειν κακοήθη ὑπὸ τῶν φίλων ἀπετυμπανίσθη. ἀπολομένου δὲ τούτου συνελθόντες οἱ ἐπιβουλεύσαντες αὐτῷ κοινῇ τὴν βασιλείαν περιέθηκαν Ναβοννήδῳ τινὶ τῶν ἐκ Βαβυλῶ-

Digitized by Google

νος, ὄντι ἐκ τῆς αὐτῆς ἐπισυστάσεως. ἐπὶ τούτου τὰ περὶ τὸν ποταμὸν τείχη τῆς Βαβυλωνίων πόλεως ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου κατεκοσμήθη. οὔσης δὲ τῆς βασιλείας αὐτοῦ ἐν τῷ ἑπτακαιδεκάτῳ ἔτει, προεξεληλυθὼς Κῦρος ἐκ τῆς Περσίδος μετὰ δυνάμεως πολλῆς, καὶ καταστρεψάμενος τὴν λοιπὴν Ἀσίαν πᾶσαν, ὥρμησεν ἐπὶ τῆς Βαβυλωνίας. αἰσθόμενος δὲ Ναβόννηδος τὴν ἔφοδον αὐτοῦ, ἀπαντήσας μετὰ τῆς δυνάμεως καὶ παραταξάμενος, ἡττηθεὶς τῇ μάχῃ καὶ φυγὼν ὀλιγοστὸς συνεκλείσθη εἰς τὴν Βορσιππηνῶν πόλιν. Κῦρος δὲ Βαβυλῶνα καταλαβόμενος, καὶ συντάξας τὰ ἔξω τῆς πόλεως τείχη κατασκάψαι διὰ τὸ λίαν αὐτῷ πραγματικὴν καὶ δυσάλωτον φανῆναι τὴν πόλιν, ἀνέξευξεν ἐπὶ Βόρσιππον, ἐκπολιορκήσων τὸν Ναβόννηδον. τοῦ δὲ Ναβοννήδου οὐχ ὑπομείναντος τὴν πολιορκίαν ἀλλ' ἐγχειρίσαντος αὐτὸν πρότερον, χρησάμενος Κῦρος φιλανθρώπως, καὶ δοὺς οἰκητήριον αὐτῷ Καρμανίαν, ἐξέπεμψεν ἐκ τῆς Βαβυλωνίας. Ναβόννηδος μὲν οὖν τὸ λοιπὸν τοῦ χρόνου διαγενόμενος ἐν ἐκείνῃ τῇ χώρᾳ κατέστρεψε τὸν βίον."

ταῦτα σύμφωνον ἔχει ταῖς ἡμετέραις βίβλοις τὴν 21
ἀλήθειαν. γέγραπται γὰρ ἐν αὐταῖς ὅτι Ναβουχοδονόσορος ὀκτωκαιδεκάτῳ τῆς αὐτοῦ βασιλείας ἔτει τὸν παρ' ἡμῖν ναὸν ἠρήμωσε, καὶ ἦν ἀφανὴς ἐπὶ ἔτη πεντήκοντα, δευτέρῳ δὲ τῆς Κύρου βασιλείας ἔτει τῶν θεμελίων ὑποβληθέντων, δευτέρῳ πάλιν τῆς Δαρείου βασιλείας ἀπετελέσθη. προσθήσω δὲ καὶ τὰς τῶν Φοινίκων ἀναγραφάς· οὐ γὰρ παραλειπτέον τῶν ἀποδείξεων τὴν περιουσίαν. ἔστι δὲ τοιαύτη τῶν χρόνων ἡ καταρίθμησις· "ἐπὶ Εἰθωβάλου τοῦ βασιλέως ἐπολιόρκησε Ναβουχοδονόσορος τὴν Τύρον ἐπ' ἔτη τρισκαίδεκα. μετὰ τοῦτον ἐβασίλευσε Βαὰλ ἔτη δέκα.

Digitized by Google

μετὰ τοῦτον δικασταὶ κατεστάθησαν καὶ ἐδίκασαν, Ἐκνίβαλος Βασλάχου μῆνας δύο, Χέλβης Ἀβδαίου μῆνας δέκα, Ἄββαρος ἀρχιερεὺς μῆνας τρεῖς, Μίγγονος καὶ Γεράστρατος τοῦ Ἀβδηλέμου δικασταὶ ἔτη ἓξ, ὧν μεταξὺ ἐβασίλευσε Βαλάτορος ἐνιαυτὸν ἕνα. τούτου τελευτήσαντος ἀποστείλαντες μετεπέμψαντο Μέρβαλον ἐκ τῆς Βαβυλῶνος, καὶ ἐβασίλευσεν ἔτη τέσσαρα. τούτου τελευτήσαντος μετεπέμψαντο τὸν ἀδελφὸν αὐτοῦ Εἴρωμον, ὃς ἐβασίλευσεν ἔτη εἴκοσιν. ἐπὶ τούτου Κῦρος Περσῶν ἐδυνάστευσεν." οὐκοῦν ὁ σύμπας χρόνος ἔτη πεντήκοντα τέσσαρα καὶ τρεῖς μῆνες πρὸς αὐτοῖς· ἑβδόμῳ μὲν γὰρ ἔτει τῆς Ναβουχοδονοσόρου βασιλείας ἤρξατο πολιορκεῖν Τύρον, τεσσαρεσκαιδεκάτῳ δ' ἔτει τῆς Εἰρώμου Κῦρος ὁ Πέρσης τὸ κράτος παρέλαβεν. καὶ σύμφωνα μὲν ἐπὶ τοῦ ναοῦ τοῖς ἡμετέροις γράμμασι τὰ Χαλδαίων καὶ Τυρίων, ὡμολογημένη δὲ καὶ ἀναντίρρητος ἡ περὶ τῶν εἰρημένων μοι μαρτυρία τῆς τοῦ γένους ἡμῶν ἀρχαιότητος.

τοῖς μὲν οὖν μὴ σφόδρα φιλονείκοις ἀρκέσειν ὑπο-
22 λαμβάνω τὰ προειρημένα, δεῖ δ' ἄρα καὶ τῶν ἀπιστούντων ταῖς μὲν ἐν τοῖς βαρβάροις ἀναγραφαῖς, μόνοις δὲ τοῖς Ἕλλησι πιστεύειν ἀξιούντων ἀποπληρῶσαι τὴν ἐπιζήτησιν, καὶ παρασχεῖν πολλοὺς καὶ τούτων ἐπισταμένους τὸ ἔθνος ἡμῶν, καὶ καθ' ὃ καιρὸς ἦν αὐτοῖς, μνημονεύοντας παραθέσθαι ἐν ἰδίοις αὐτῶν συγγράμμασιν. Πυθαγόρας τοίνυν ὁ Σάμιος ἀρχαῖος ὤν, σοφίᾳ δὲ καὶ τῇ περὶ τὸ θεῖον εὐσεβείᾳ πάντων ὑπειλημμένος διενεγκεῖν τῶν φιλοσοφησάντων, οὐ μόνον ἐγνωκὼς τὰ παρ' ἡμῖν θῆλύς ἐστιν, ἀλλὰ καὶ ζηλωτὴς αὐτῶν ἐκ πλείστου γεγενημένος. αὐτοῦ μὲν οὖν οὐδὲν ὁμολογεῖται σύγγραμμα, πολλοὶ δὲ τὰ περὶ αὐτὸν ἱστορήκασι, καὶ τούτων ἐπισημότατός ἐστιν Ερμιππος,

Digitized by Google

ἀνὴρ περὶ πᾶσαν ἱστορίαν ἐπιμελής. λέγει τοίνυν ἐν τῷ πρώτῳ τῶν περὶ Πυθαγόρου βιβλίων ὅτι Πυθαγόρας, ἑνὸς αὐτῶν τῶν συνουσιαστῶν τελευτήσαντος, τοὔνομα Καλλιφῶντος, τὸ γένος Κροτωνιάτου, τὴν ἐκείνου ψυχὴν ἔλεγε συνδιατρίβειν αὐτῷ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ ὅτι παρεκελεύετο μὴ διέρχεσθαι τόπον ἐφ' ὃν ἂν ὄνος ὀκλάσῃ, καὶ τῶν διψίων ὑδάτων ἀπέχεσθαι, καὶ πάσης ἀπέχειν βλασφημίας. εἶτα προστίθησι μετὰ ταῦτα καὶ τάδε· "ταῦτα δ' ἔπραττε καὶ ἔλεγε τὰς Ἰουδαίων καὶ Θρᾳκῶν δόξας μιμούμενος καὶ μεταφέρων εἰς ἑαυτόν." λέγεται γὰρ ὡς ἀληθῶς ὁ ἀνὴρ ἐκεῖνος πολλὰ τῶν παρὰ Ἰουδαίοις νομίμων εἰς τὴν αὑτοῦ μετενεγκεῖν φιλοσοφίαν. ἦν δὲ καὶ κατὰ πόλεις οὐκ ἄγνωστον ἡμῶν πάλαι τὸ ἔθνος, καὶ πολλὰ τῶν ἐθῶν εἴς τινας ἤδη διαπεφοιτήκει καὶ ζήλου παρ' ἐνίοις ἠξιοῦτο. δηλοῖ δὲ ὁ Θεόφραστος ἐν τοῖς περὶ νόμων· λέγει γὰρ ὅτι κωλύουσιν οἱ Τυρίων νόμοι ξενικοὺς ὅρκους ὀμνύειν, ἐν οἷς μετὰ τινῶν ἄλλων καὶ τὸν καλούμενον ὅρκον κορβὰν καταριθμεῖ. παρ' οὐδενὶ δ' ἂν οὗτος εὑρεθείη πλὴν μόνοις Ἰουδαίοις, δηλοῖ δ', ὡς ἂν εἴποι τις, ἐκ τῆς Ἑβραίων μεθερμηνευόμενος διαλέκτου, δῶρον θεοῦ.

καὶ μὴν οὐδὲ Ἡρόδοτος ὁ Ἁλικαρνασσεὺς ἠγνόηκεν ἡμῶν τὸ ἔθνος, ἀλλὰ τρόπῳ τινὶ φαίνεται μεμνημένος. περὶ γὰρ Κόλχων ἱστορῶν ἐν τῇ δευτέρᾳ βίβλῳ φησὶν οὕτως. "μοῦνοι δὲ πάντων" φησί "Κόλχοι καὶ Αἰγύπτιοι καὶ Αἰθίοπες περιτέμνονται ἀπ' ἀρχῆς τὰ αἰδοῖα. Φοίνικες δὲ καὶ Σύριοι οἱ ἐν τῇ Παλαιστίνῃ, καὶ οὗτοι ὁμολογοῦσι παρ' Αἰγυπτίων μεμαθηκέναι. Σύριοι δὲ οἱ περὶ Θερμώδοντα καὶ Παρθένιον ποταμόν, καὶ Μάκρωνες οἱ τούτοισιν ἀστυγείτονες ὄντες, ἀπὸ Κόλχων φασὶ νεωστὶ μεμαθηκέναι. οὗτοι γάρ

Digitized by Google

εἰσιν οἱ περιτεμνόμενοι ἀνθρώπων μοῦνοι, καὶ οὗτοι Αἰγυπτίοισι φαίνονται ποιεῦντες κατὰ ταὐτά. αὐτῶν δὲ Αἰγυπτίων καὶ Αἰθιόπων οὐκ ἔχω εἰπεῖν ὁκότεροι παρὰ τῶν ἑτέρων ἐξέμαθον." οὐκοῦν εἴρηκε Σύρους τοὺς ἐν τῇ Παλαιστίνῃ περιτέμνεσθαι· τῶν δὲ τὴν Παλαιστίνην κατοικούντων μόνοι τοῦτο ποιοῦσιν Ἰουδαῖοι. τοῦτο ἄρα γινώσκων εἴρηκε περὶ αὐτῶν.

καὶ Χοιρίλος δὲ ἀρχαιότερος γενόμενος ποιητὴς μέμνηται τοῦ ἔθνους ἡμῶν, ὅτι συνεστράτευται Ξέρξῃ τῷ Περσῶν βασιλεῖ ἐπὶ τὴν Ἑλλάδα. καταριθμησάμενος γὰρ πάντα τὰ ἔθνη τελευταῖον καὶ τὸ ἡμέτερον ἐνέταξε, λέγων

> τῷ δ' ὄπιθεν διέβαινε γένος θαυμαστὸν ἰδέσθαι,
> γλῶσσαν μὲν Φοίνισσαν ἀπὸ στομάτων ἀφιέντες·
> ᾤκευν δ' ἐν Σολύμοις ὄρεσι πλατέῃ ἐπὶ λίμνῃ,
> αὐχμαλέοι κορυφάς, τροχοκούριδες· αὐτὰρ ὕπερθεν
> ἵππων δαρτὰ πρόσωπ' ἐφόρευν ἐσκληκότα καπνῷ.

δῆλον οὖν ἐστίν, ὡς οἶμαι, πᾶσιν ἡμῶν αὐτὸν μεμνῆσθαι τῷ καὶ τὰ Σόλυμα ὄρη ἐν τῇ ἡμετέρᾳ εἶναι χώρᾳ, ἃ κατοικοῦμεν, καὶ τὴν Ἀσφαλτῖτιν λεγομένην λίμνην· αὕτη γὰρ πασῶν τῶν ἐν τῇ Συρίᾳ λίμνη πλατυτέρα καὶ μείζων καθέστηκεν.

καὶ Χοιρίλος μὲν οὕτω μέμνηται ἡμῶν· ὅτι δὲ οὐ μόνον ζητήσαντο τοὺς Ἰουδαίους, ἀλλὰ καὶ ἐθαύμαζον ὅσοις αὐτῶν ἐντύχοιεν, οὐχ οἱ φαυλότατοι τῶν Ἑλλήνων ἀλλ' οἱ ἐπὶ σοφίᾳ μάλιστα τεθαυμασμένοι, ῥᾴδιον γνῶναι. Κλέαρχος γὰρ ὁ Ἀριστοτέλους ὢν μαθητὴς καὶ τῶν ἐκ τοῦ Περιπάτου φιλοσόφων οὐδενὸς δεύτερος, ἐν τῷ πρώτῳ περὶ ὕπνου βιβλίῳ φησὶν Ἀριστοτέλην τὸν διδάσκαλον αὐτοῦ περί τινος ἀνδρὸς Ἰουδαίου ταῦτα ἱστορεῖν, αὐτῷ τε τὸν λόγον Ἀριστοτέλει ἀνατίθησι. ἔστι δ' οὕτω γεγραμμένον. "ἀλλὰ τὰ μὲν πολ-

Digitized by Google

λὰ μακρὸν ἂν εἴη λέγειν, ὅσα δ' ἔχει τῶν ἐκείνου θαυμασιότητά τινα καὶ φιλοσοφίαν, ὁμοίως διελθεῖν οὐ χεῖρον. 'σαφῶς δ' ἴσθι' εἶπεν 'Υπεροχίδη, ὀνείροις ἴσα σοι δόξω λέγειν.' καὶ ὁ Ὑπεροχίδης εὐλαβούμενος 'δι' αὐτὸ γάρ' ἔφη 'τοῦτο καὶ ζητοῦμεν ἀκοῦσαι πάντες.' 'οὐκοῦν' εἶπεν ὁ Ἀριστοτέλης 'κατὰ τὸ τῶν ῥητορικῶν παράγγελμα, τὸ γένος αὐτοῦ πρῶτον διέλθωμεν, ἵνα μὴ ἀπειθῶμεν τοῖς τῶν ἀπαγγελιῶν διδασκάλοις.' 'λέγε' εἶπεν ὁ Ὑπεροχίδης 'ὅ τι σοι δοκεῖ.' 'κἀκεῖνος τοίνυν τὸ μὲν γένος ἦν Ἰουδαῖος ἐκ τῆς Κοίλης Συρίας, οὗτοι δέ εἰσιν ἀπόγονοι τῶν ἐν Ἰνδοῖς φιλοσόφων. καλοῦνται δέ, ὡς φασίν, οἱ φιλόσοφοι παρὰ μὲν Ἰνδοῖς Καλανοί, παρὰ δὲ Σύροις Ἰουδαῖοι, τοὔνομα λαβόντες ἀπὸ τοῦ τόπου· προσαγορεύεται γὰρ ὃν κατοικοῦσι τόπον Ἰουδαία. τὸ δὲ τῆς πόλεως αὐτῶν ὄνομα πάνυ σκολιόν ἐστιν· Ἱερουσαλὴμ γὰρ αὐτὴν καλοῦσιν. οὗτος οὖν ὁ ἄνθρωπος ἐπιξενούμενός τε πολλοῖς κἀκ τῶν ἄνω τόπων εἰς τοὺς ἐπιθαλαττίους ὑποκαταβαίνων Ἑλληνικὸς ἦν, οὐ τῇ διαλέκτῳ μόνον ἀλλὰ καὶ τῇ ψυχῇ. καὶ τότε διατριβόντων ἡμῶν περὶ τὴν Ἀσίαν, παραβαλὼν εἰς τοὺς αὐτοὺς τόπους ἐν οἷς ἦμεν, ἐντυγχάνει ἡμῖν τε καί τισιν ἑτέροις τῶν σχολαστικῶν, πειρώμενος αὐτῶν τῆς σοφίας. ὡς δὲ πολλοῖς τῶν ἐν παιδείᾳ συνῳκείωτο, παρεδίδου τι μᾶλλον ὧν εἶχεν." ταῦτ' εἴρηκεν Ἀριστοτέλης παρὰ τῷ Κλεάρχῳ, καὶ προσέτι πολλὴν καὶ θαυμάσιον καρτερίαν τοῦ Ἰουδαίου ἀνδρὸς ἐν τῇ διαίτῃ καὶ σωφροσύνῃ διεξιών. ἔνεστι δὲ τοῖς βουλομένοις ἐξ αὐτοῦ τὸ πλέον γνῶναι τοῦ βιβλίου· φυλάττομαι γὰρ ἐγὼ τὰ πλείω τῶν ἱκανῶν παρατίθεσθαι.

Κλέαρχος μὲν οὖν ἐν παρεκβάσει ταῦτ' εἴρηκεν (τὸ γὰρ προκείμενον αὐτῷ ἦν ἕτερον), οὕτως ἡμῶν

Digitized by Google

μνημονεύσας· Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης, ἀνὴρ φιλόσοφος ἅμα καὶ περὶ τὰς πράξεις ἱκανώτατος, Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνακμάσας καὶ Πτολεμαίῳ τῷ Λάγου συγγενόμενος, οὐ παρέργως, ἀλλὰ περὶ αὐτῶν Ἰουδαίων συγγέγραφε βιβλίον, ἐξ οὗ βούλομαι κεφαλαιωδῶς ἐπιδραμεῖν ἕνια τῶν εἰρημένων. καὶ πρῶτον ἐπιδείξω τὸν χρόνον· μνημονεύει γὰρ τῆς Πτολεμαίου περὶ Γάζαν πρὸς Δημήτριον μάχης, αὕτη δὲ γέγονεν ἐνδεκάτῳ μὲν ἔτει τῆς Ἀλεξάνδρου τελευτῆς, ἐπὶ δὲ ὀλυμπιάδος ἑβδόμης καὶ δεκάτης καὶ ἑκατοστῆς, ὡς ἱστορεῖ Κάστωρ· προσθεὶς γὰρ ταύτην τὴν ὀλυμπιάδα φησὶν "ἐπὶ ταύτης Πτολεμαῖος ὁ Λάγου ἐνίκα κατὰ Γάζαν μάχῃ Δημήτριον τὸν Ἀντιγόνου, τὸν ἐπικληθέντα πολιορκητήν." Ἀλέξανδρον δὲ τεθνάναι πάντες ὁμολογοῦσιν ἐπὶ τῆς ἑκατοστῆς τεσσαρεσκαιδεκάτης ὀλυμπιάδος. δῆλον οὖν ὅτι καὶ κατ' ἐκεῖνον καὶ κατ' Ἀλέξανδρον ἤκμαζεν ἡμῶν τὸ ἔθνος. λέγει τοίνυν ὁ Ἑκαταῖος πάλιν τάδε, ὅτι μετὰ τὴν ἐν Γάζῃ μάχην ὁ Πτολεμαῖος ἐγένετο τῶν περὶ Συρίαν τόπων ἐγκρατής, καὶ πολλοὶ τῶν ἀνθρώπων πυνθανόμενοι τὴν ἠπιότητα καὶ φιλανθρωπίαν τοῦ Πτολεμαίου συναπαίρειν εἰς Αἴγυπτον αὐτῷ καὶ κοινωνεῖν τῶν πραγμάτων ἠβουλήθησαν. "ὧν εἷς ἦν" φησὶν "Ἐζεκίας ὁ ἀρχιερεὺς τῶν Ἰουδαίων, ἄνθρωπος τὴν μὲν ἡλικίαν ὡς ἑξήκοντα ἔξ ἐτῶν, τῷ δ' ἀξιώματι τῷ παρὰ τοῖς ὁμοέθνοις μέγας καὶ τὴν ψυχὴν οὐκ ἀνόητος, ἔτι δὲ καὶ λέγειν δυνατὸς καὶ τῶν πραγμάτων, εἴπερ τις ἄλλος, ἔμπειρος· καίτοι" φησὶν "οἱ πάντες ἱερεῖς τῶν Ἰουδαίων, οἱ τὴν δεκάτην τῶν γινομένων λαμβάνοντες καὶ τὰ κοινὰ διοικοῦντες, περὶ χιλίους μάλιστα καὶ πεντακοσίους εἰσίν." πάλιν δὲ τοῦ προειρημένου μνημονεύων ἀνδρός "οὗτος" φησὶν "ὁ ἄνθρωπος τετευχὼς

Digitized by Google

τῆς τιμῆς ταύτης καὶ συνήθης ἡμῖν γενόμενος, παραλαβών τινας τῶν μεθ' ἑαυτοῦ, τὴν διαφορὰν ἀνέγνω πᾶσαν αὐτοῖς· εἶχε γὰρ τὴν κατοίκησιν αὐτῶν καὶ τὴν πολιτείαν γεγραμμένην." εἶτα Ἑκαταῖος δηλοῖ πάλιν πῶς ἔχομεν πρὸς τοὺς νόμους, ὅτι πάντα πάσχειν ὑπὲρ τοῦ μὴ παραβῆναι τούτους προαιρούμεθα, καλὸν εἶναι νομίζοντες. "τοιγαροῦν" φησί "καὶ κακῶς ἀκούοντες ὑπὸ τῶν ἀστυγειτόνων καὶ τῶν εἰσαφικνουμένων πάντων, καὶ προπηλακιζόμενοι πολλάκις ὑπὸ τῶν Περσικῶν βασιλέων καὶ σατραπῶν, οὐ δύνανται μεταπεισθῆναι τῇ διανοίᾳ, ἀλλὰ γεγυμνωμένως περὶ τούτων καὶ αἰκίαις καὶ θανάτοις δεινοτάτοις μάλιστα πάντων ἀπαντῶσι, μὴ ἀρνούμενοι τὰ πατρῷα." παρέχεται δὲ καὶ τεκμήρια τῆς ἰσχυρογνωμοσύνης τῆς περὶ τῶν νόμων οὐκ ὀλίγα. φησὶ γάρ, Ἀλεξάνδρου ποτὲ ἐν Βαβυλῶνι γενομένου καὶ προελομένου τὸ τοῦ Βήλου πεπτωκὸς ἱερὸν ἀνακαθᾶραι, καὶ πᾶσιν αὐτοῦ τοῖς στρατιώταις ὁμοίως φέρειν τὸν χοῦν προστάξαντος, μόνους τοὺς Ἰουδαίους οὐ προσσχεῖν, ἀλλὰ καὶ πολλὰς ὑπομεῖναι πληγὰς καὶ ζημίας ἀποτῖσαι μεγάλας, ἕως αὐτοῖς συγγνόντα τὸν βασιλέα δοῦναι τὴν ἄδειαν. "τῶν γε μὴν εἰς τὴν χώραν" φησὶ "πρὸς αὐτοὺς ἀφικνουμένων καὶ νεὼς καὶ βωμοὺς κατασκευασάντων ἅπαντα ταῦτα κατέσκαπτον, καὶ τῶν μὲν ζημίαν τοῖς σατράπαις ἐξέτινον, περὶ τινῶν δὲ καὶ συγγνώμης μετελάμβανον." καὶ προσεπιτίθησιν ὅτι δίκαιον ἐπὶ τούτοις αὐτούς ἐστι θαυμάζειν. λέγει δὲ καὶ περὶ τοῦ πολυανθρωπότατον γεγονέναι ἡμῶν τὸ ἔθνος· "πολλὰς μὲν γὰρ ἡμῶν" φησίν "ἀνασπάστους εἰς Βαβυλῶνα. Πέρσαι πρότερον αὐτῶν ἐποίησαν μυριάδας, οὐκ ὀλίγαι δὲ καὶ μετὰ τὸν Ἀλεξάνδρου θάνατον εἰς Αἴγυπτον καὶ Φοινίκην μετέστησαν διὰ τὴν ἐν Συ-

Digitized by Google

ρίᾳ στάσιν." ὁ δὲ αὐτὸς οὗτος ἀνὴρ καὶ τὸ μέγεθος τῆς χώρας ἣν κατοικοῦμεν καὶ τὸ κάλλος ἱστόρηκεν. "τριακοσίας γὰρ μυριάδας ἀρουρῶν σχεδὸν τῆς ἀρίστης καὶ παμφορωτάτης χώρας νέμονται" φησίν· "ἡ γὰρ Ἰουδαία τοσαύτη πλάτος ἐστίν." ἀλλὰ μὴν ὅτι καὶ τὴν πόλιν αὐτὴν τὰ Ἱεροσόλυμα καλλίστην τε καὶ μεγίστην ἐκ παλαιοτάτου κατοικοῦμεν, καὶ περὶ πλήθους ἀνδρῶν καὶ περὶ τῆς τοῦ νεὼ κατασκευῆς, οὕτως αὐτὸς διηγεῖται. . "ἔστι γὰρ τῶν Ἰουδαίων τὰ μὲν πολλὰ ὀχυρώματα κατὰ τὴν χώραν καὶ κῶμαι, μία δὲ πόλις· ὀχυρὰ πεντήκοντα μάλιστα σταδίων τὴν περίμετρον, ἣν οἰκοῦσι μὲν ἀνθρώπων περὶ δώδεκα μυριάδες, καλοῦσι δ' αὐτὴν Ἱεροσόλυμα. ἐνταῦθα δ' ἔστι κατὰ μέσον μάλιστα τῆς πόλεως περίβολος λίθινος, μῆκος ὡς πεντάπλεθρος, εὖρος δὲ πηχῶν ἑκατόν, ἔχων διπλᾶς πύλας. ἐν ᾧ βωμὸς ἔστι τετράγωνος, οὐκ ἐκ τμητῶν ἀλλ' ἐκ συλλέκτων ἀργῶν λίθων οὕτω συγκείμενος, πλευρὰν μὲν ἑκάστην εἴκοσι πηχῶν, ὕψος δὲ δεκάπηχυ. καὶ παρ' αὐτὸν οἴκημα μέγα, οὗ βωμὸς ἔστι καὶ λυχνίον, ἀμφότερα χρυσᾶ, δύο τάλαντα τὴν ὁλκήν. ἐπὶ τούτων φῶς ἔστιν ἀνεπόσβεστον καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας. ἄγαλμα δὲ οὐκ ἔστιν οὐδὲ ἀνάθημα τὸ παράπαν, οὐδὲ φύτευμα παντελῶς οὐδέν, οἷον ἄλσῶδες ἤ τι τοιοῦτον. διατρίβουσι δ' ἐν αὐτῷ καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας ἱερεῖς, ἁγνείας τινὰς ἁγνεύοντες καὶ τὸ παράπαν οἶνον οὐ πίνοντες ἐν τῷ ἱερῷ." ἔτι γε μὴν ὅτι καὶ Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνεστρατεύομεν καὶ μετὰ ταῦτα τοῖς διαδόχοις αὐτοῦ μεμαρτύρηκεν· οἷς δ' αὐτὸς παρατυχεῖν φησὶν ὑπ' ἀνδρὸς Ἰουδαίου κατὰ τὴν στρατείαν γενομένοις, τοῦτο παραθήσομαι. λέγει δ' οὕτως. "ἐμοῦ γοῦν ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν βαδίζοντος συνηκολούθει τις μετὰ

Digitized by Google

τῶν ἄλλων τῶν παραπεμπόντων ἡμᾶς ἱππέων Ἰουδαίων, ὄνομα Μοσόλλαμος, ἄνθρωπος ἱκανὸς κατὰ ψυχήν, εὔρωστος, καὶ τοξότης ὑπὸ δὴ πάντων ὁμολογούμενος καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἄριστος. οὗτος οὖν ὁ ἄνθρωπος διαβαδιζόντων πολλῶν κατὰ τὴν ὁδόν, καὶ μάντεώς τινος ὀρνιθευομένου καὶ πάντας ἐπισχεῖν ἀξιοῦντος, ἠρώτησε διὰ τί προσμένουσι. δείξαντος δὲ τοῦ μάντεως αὐτῷ τὸν ὄρνιθα, καὶ φήσαντος, ἐὰν μὲν αὐτοῦ μένῃ, προσμένειν συμφέρειν πᾶσιν, ἐὰν δ' ἀναστὰς εἰς τοὔμπροσθεν πέτηται, προάγειν, ἐὰν δὲ εἰς τοὔπισθεν, ἀναχωρεῖν αὖθις, σιωπήσας καὶ παρελκύσας τὸ τόξον ἔβαλε, καὶ τὸν ὄρνιθα κατάξας ἀπέκτεινεν. ἀγανακτούντων δὲ τοῦ μάντεως καὶ τινῶν ἄλλων, καὶ καταρωμένων αὐτῷ, 'τί μαίνεσθε' ἔφη, 'κακοδαιμονέστατον ὄρνιθα λαβόντες εἰς τὰς χεῖρας; πῶς γὰρ οὗτος τὴν αὐτοῦ σωτηρίαν οὐ προϊδών, περὶ τῆς ἡμετέρας πορείας ἡμῖν ἄν τι ὑγιὲς ἀπήγγελλεν; εἰ γὰρ ἠδύνατο προγινώσκειν τὸ μέλλον, εἰς τὸν τόπον τοῦτον οὐκ ἂν ἦλθε, φοβούμενος μὴ τοξεύσας αὐτὸν ἀποκτείνῃ Μοσόλλαμος Ἰουδαῖος."

ἀλλὰ τῶν μὲν Ἑκαταίου μαρτυριῶν ἅλις· τοῖς γὰρ βουλομένοις πλείω μαθεῖν τῷ βιβλίῳ ῥᾴδιόν ἐστιν ἐντυχεῖν· οὐκ ὀκνήσω δὲ καὶ τὸν ἐπ' εὐηθείας διασυρμῷ, καθάπερ αὐτὸς οἴεται, μνήμην πεποιημένον ἡμῶν Ἀγαθαρχίδην ὀνομάσαι. διηγούμενος γὰρ τὰ περὶ Στρατονίκην, ὃν τρόπον ἦλθε μὲν εἰς Συρίαν ἐκ Μακεδονίας, καταλιποῦσα τὸν ἑαυτῆς ἄνδρα Δημήτριον, Σελεύκου δὲ γαμεῖν αὐτὴν οὐ θελήσαντος, ὅπερ ἐκείνη προσεδόκησε, ποιουμένου δὲ τὴν ἀπὸ Βαβυλῶνος στρατείαν αὐτοῦ, τὰ περὶ τὴν Ἀντιόχειαν ἐνεωτέρισεν, εἶθ' ὡς ἀνέστρεψεν ὁ βασιλεύς, ἁλισκο-

Digitized by Google

μένης τῆς Ἀντιοχείας εἰς Σελεύκειαν φυγοῦσα, παρὸν αὐτῇ ταχέως ἀποπλεῖν, ἐνυπνίῳ κωλύοντι πεισθεῖσα ἐλήφθη καὶ ἀπέθανεν, — ταῦτα προειπὼν ὁ Ἀγαθαρχίδης, καὶ ἐπισκώπτων τῇ Στρατονίκῃ τὴν δεισιδαιμονίαν, παραδείγματι χρῆται τῷ περὶ ἡμῶν λόγῳ, καὶ γέγραφεν οὕτως. "οἱ καλούμενοι Ἰουδαῖοι πόλιν οἰκοῦντες ὀχυρωτάτην παδῶν, ἣν καλεῖν Ἱεροσόλυμα συμβαίνει τοὺς ἐγχωρίους, ἀργεῖν εἰθισμένοι δι' ἑβδόμης ἡμέρας, καὶ μήτε τὰ ὅπλα βαστάζειν ἐν τοῖς εἰρημένοις χρόνοις μήτε γεωργίας ἅπτεσθαι μήτε ἄλλης ἐπιμελεῖσθαι λειτουργίας μηδεμιᾶς, ἀλλ' ἐν τοῖς ἱεροῖς ἐκτετακότες τὰς χεῖρας εὔχεσθαι μέχρι τῆς ἑσπέρας, εἰσιόντος εἰς τὴν πόλιν Πτολεμαίου τοῦ Λάγου μετὰ τῆς δυνάμεως, καὶ τῶν ἀνθρώπων ἀντὶ τοῦ φυλάττειν τὴν πόλιν διατηρούντων τὴν ἄνοιαν, ἡ μὲν πατρὶς εἰλήφει δεσπότην πικρόν, ὁ δὲ νόμος ἐξηλέγχθη φαῦλον ἔχων ἐθισμόν. τὸ δὲ συμβὰν πλὴν ἐκείνων τοὺς ἄλλους πάντας δεδίδαχε τηνικαῦτα φυγεῖν ἐνύπνια καὶ τὴν περὶ τοῦ νόμου παραδεδομένην ὑπόνοιαν, ἡνίκ' ἂν τοῖς ἀνθρωπίνοις λογισμοῖς περὶ τῶν διαπορουμένων ἐξασθενήσωσιν." τοῦτο μὲν Ἀγαθαρχίδῃ καταγέλωτος ἄξιον δοκεῖ· τοῖς δὲ μὴ μετὰ δυσμενείας ἐξετάζουσι φαίνεται μέγα καὶ πολλῶν ἄξιον ἐγκωμίων, εἰ καὶ σωτηρίας καὶ πατρίδος ἄνθρωποί τινες νόμων φυλακὴν καὶ τὴν πρὸς θεὸν εὐσέβειαν ἀεὶ προτιμῶσιν.

23 ὅτι δὲ οὐκ ἀγνοοῦντες ἔνιοι τῶν συγγραφέων τὸ ἔθνος ἡμῶν, ἀλλ' ὑπὸ φθόνου τινὸς ἢ δι' ἄλλας αἰτίας οὐχ ὑγιεῖς τὴν μνήμην παρέλιπον, τεκμήριον οἶμαι παρέξειν. Ἱερώνυμος γὰρ ὁ τὴν περὶ τῶν διαδόχων ἱστορίαν συγγεγραφὼς κατὰ τὸν αὐτὸν μὲν ἦν Ἑκαταίῳ χρόνον, φίλος δ' ὢν Ἀντιγόνου τοῦ βασιλέως τὴν Συ-

Digitized by Google

ρίαν ἐπετρόπευεν. ἀλλ' ὅμως Ἑκαταῖος μὲν καὶ βιβλίον ἔγραψε περὶ ἡμῶν, Ἱερώνυμος δ' οὐδαμοῦ κατὰ τὴν ἱστορίαν ἐμνημόνευσε, καίτοι σχεδὸν ἐν τοῖς τόποις διατετριφώς. τοσοῦτον αἱ προαιρέσεις τῶν ἀνθρώπων διήνεγκαν· τῷ μὲν γὰρ ἐδόξαμεν καὶ σπουδαίας εἶναι μνήμης ἄξιοι, τῷ δὲ πρὸς τὴν ἀλήθειαν πάντως τι πάθος οὐκ εὐγνῶμον ἐπεσκότησεν. ἀρκοῦσι δὲ ὅμως εἰς τὴν ἀπόδειξιν τῆς ἀρχαιότητος αἵ τε Αἰγυπτίων καὶ Χαλδαίων καὶ Φοινίκων ἀναγραφαί, πρὸς ἐκείναις τε τοσοῦτοι τῶν Ἑλλήνων συγγραφεῖς. ἔτι δὲ καὶ πρὸς τοῖς εἰρημένοις Θεόφιλος καὶ Θεόδοτος καὶ Μνασέας καὶ Ἀριστοφάνης καὶ Ἑρμογένης, Εὐήμερός τε καὶ Κόνων καὶ Ζωπυρίων, καὶ πολλοί τινες ἄλλοι τάχα (οὐ γὰρ ἔγωγε πᾶσιν ἐντετύχηκα τοῖς βιβλίοις) οὐ παρέργως ἡμῶν ἐμνημονεύκασιν. οἱ πολλοὶ δὲ τῶν εἰρημένων ἀνδρῶν τῆς μὲν ἀληθείας τῶν ἐξ ἀρχῆς πραγμάτων διήμαρτον, ὅτι μὴ ταῖς ἱεραῖς ἡμῶν βίβλοις ἐνέτυχον, κοινῶς μέντοι περὶ τῆς ἀρχαιότητος ἅπαντες μεμαρτυρήκασιν, ὑπὲρ ἧς τὰ νῦν λέγειν προεθέμην. ὁ μέντοι Φαληρεὺς Δημήτριος καὶ Φίλων ὁ πρεσβύτερος καὶ Εὐπόλεμος οὐ πολὺ τῆς ἀληθείας διήμαρτον. οἷς συγγινώσκειν ἄξιον· οὐ γὰρ ἐνῆν αὐτοῖς μετὰ πάσης ἀκριβείας τοῖς ἡμετέροις γράμμασι παρακολουθεῖν.

Ἓν ἔτι μοι κεφάλαιον ὑπολείπεται τῶν κατὰ τὴν 24
ἀρχὴν προτεθέντων τοῦ λόγου, τὰς διαβολὰς καὶ τὰς λοιδορίας, αἷς κέχρηνταί τινες κατὰ τοῦ γένους ἡμῶν, ἀποδεῖξαι ψευδεῖς, καὶ τοῖς γεγραφόσι ταύτας καθ' ἑαυτῶν χρήσασθαι μάρτυσιν. ὅτι μὲν οὖν καὶ ἑτέροις τοῦτο πολλοῖς συμβέβηκε διὰ τὴν ἐνίων δυσμένειαν, οἶμαι γινώσκειν τοὺς πλέον ταῖς ἱστορίαις ἐντυγχάνοντας. καὶ γὰρ ἐθνῶν τινὲς καὶ τῶν ἐνδοξοτάτων πόλεων ὑπαίνειν τὴν εὐγένειαν καὶ τὰς πολιτείας

Digitized by Google

ἐπεχείρησαν λοιδορεῖν, Θεόπομπος μὲν τὴν Ἀθηναίων, τὴν δὲ Λακεδαιμονίων Πολυκράτης· ὁ δὲ τὸν Τριπολιτικὸν γράψας (οὐ γὰρ δὴ Θεόπομπός ἐστιν, ὥς τινες οἴονται) καὶ τὴν Θηβαίων πόλιν διέβαλε. πολλὰ δὲ καὶ Τίμαιος ἐν ταῖς ἱστορίαις περὶ τῶν προειρημένων καὶ περὶ ἄλλων βεβλασφήμηκεν. μάλιστα δὲ τοῦτο ποιοῦσι τοῖς ἐνδοξοτάτοις προσπλεκόμενοι, τινὲς μὲν διὰ φθόνον καὶ κακοήθειαν, ἄλλοι δὲ διὰ τοῦ καινολογεῖν μνήμης ἀξιωθήσεσθαι νομίζοντες. παρὰ μὲν οὖν τοῖς ἀνοήτοις ταύτης οὐ διαμαρτάνουσι τῆς ἐλπίδος, οἱ δ' ὑγιαίνοντες τῇ κρίσει πολλὴν αὐτῶν μοχθηρίαν καταδικάζουσι.

25 τῶν δὲ εἰς ἡμᾶς βλασφημιῶν ἤρξαντο μὲν Αἰγύπτιοι· βουλόμενοι δ' ἐκείνοις τινὲς χαρίζεσθαι παρατρέπειν ἐπεχείρησαν τὴν ἀλήθειαν, οὔτε τὴν εἰς Αἴγυπτον ἄφιξιν ὡς ἐγένετο τῶν ἡμετέρων προγόνων ὁμολογοῦντες οὔτε τὴν ἔξοδον ἀληθεύοντες. αἰτίας δὲ πολλὰς ἔλαβον τοῦ μισεῖν καὶ φθονεῖν, τὸ μὲν ἐξ ἀρχῆς ὅτι κατὰ τὴν χώραν αὐτῶν ἐδυνάστευσαν ἡμῶν οἱ πρόγονοι, κἀκεῖθεν ἀπαλλαγέντες ἐπὶ τὴν οἰκείαν πάλιν εὐδαιμόνησαν. εἶθ' ἡ τῶν ἱερῶν ὑπεναντιότης πολλὴν αὐτοῖς ἐνεποίησεν ἔχθραν, τοσοῦτον τῆς ἡμετέρας διαφερούσης εὐσεβείας πρὸς τὴν ὑπ' ἐκείνων νενομισμένην ὅσον θεοῦ φύσις, ζῴων ἀλόγων διέστηκεν. κοινὸν μὲν γὰρ αὐτοῖς ἐστὶ πάτριον τὸ ταῦτα θεοὺς νομίζειν, ἰδίᾳ δὲ πρὸς ἀλλήλους ἐν ταῖς τιμαῖς αὐτῶν διαφέρονται, κοῦφοι δὲ καὶ ἀνόητοι παντάπασιν ἄνθρωποι, κακῶς ἐξ ἀρχῆς εἰθισμένοι δοξάζειν περὶ θεῶν, μιμήσασθαι μὲν τὴν σεμνότητα τῆς ἡμετέρας θεολογίας οὐκ ἐχώρησαν, ὁρῶντες δὲ ζηλουμένους ὑπὸ πολλῶν ἐφθόνησαν. εἰς τοσόῦτον γὰρ ἦλθον ἀνοίας καὶ μικροψυχίας ἔνιοι τῶν παρ' αὐτοῖς ὥστ' οὐδὲ ταῖς ἀρ-

Digitized by Google

χαίαις αὐτῶν ἀναγραφαῖς ὤκνησαν τἀναντία λέγειν, ἀλλὰ καὶ σφίσιν αὐτοῖς ἐναντία γράφοντες ὑπὸ τυφλότητος τοῦ πάθους ἠγνόησαν.

ἐφ' ἑνὸς δὴ πρώτου στήσω τὸν λόγον, ᾧ καὶ μάρ- 26
τυρι μικρὸν ἔμπροσθεν τῆς ἀρχαιότητος ἐχρησάμην. ὁ γὰρ Μανεθὼν οὗτος, ὁ τὴν Αἰγυπτιακὴν ἱστορίαν ἐκ τῶν ἱερῶν γραμμάτων μεθερμηνεύειν ὑπεσχημένος, προειπὼν τοὺς ἡμετέρους προγόνους πολλαῖς μυριάσιν ἐπὶ τὴν Αἴγυπτον ἐλθόντας κρατῆσαι τῶν ἐνοικούντων, εἶτ' αὐτὸς ὁμολογῶν χρόνῳ πάλιν ὕστερον ἐκπεσόντας τὴν νῦν Ἰουδαίαν κατασχεῖν καὶ κτίσαντας Ἱεροσόλυμα τὸν νεὼν κατασκευάσασθαι, μέχρι μὲν τούτων ἠκολούθησε ταῖς ἀναγραφαῖς, ἔπειτα δὲ δοὺς ἐξουσίαν αὐτῷ διὰ τοῦ φάναι γράψειν τὰ μυθευόμενα καὶ λεγόμενα περὶ τῶν Ἰουδαίων, λόγους ἀπιθάνους παρενέβαλεν, ἀναμῖξαι βουλόμενος ἡμῖν Αἰγυπτίων πλῆθος λεπρῶν καὶ ἐπὶ ἄλλοις ἀρρωστήμασιν, ὡς φησί, φυγεῖν ἐκ τῆς Αἰγύπτου καταγνωσθέντων. Ἀμέναφιν γὰρ βασιλέα προσθείς, ψευδὲς ὄνομα, καὶ διὰ τοῦτο χρόνον αὐτοῦ τῆς βασιλείας ὁρίσαι μὴ τολμήσας, καίτοι γε ἐπὶ τῶν ἄλλων βασιλέων ἀκριβῶς τὰ ἔτη προστιθείς, τούτῳ προσάπτει τινὰς μυθολογίας, ἐπιλαθόμενος σχεδὸν ὅτι πεντακοσίοις ἔτεσι καὶ ὀκτωκαίδεκα πρότερον ἱστόρηκε γενέσθαι τὴν τῶν ποιμένων ἔξοδον εἰς Ἱεροσόλυμα· Τέθμωσις γὰρ ἦν βασιλεὺς ὅτε ἐξῆσαν. ἀπὸ δὲ τούτων μεταξὺ τῶν βασιλέων κατ' αὐτὸν ἔστι τριακόσια ἐνενήκοντα τρία ἔτη μέχρι τῶν δύο ἀδελφῶν Σέθω καὶ Ἑρμαίου, ὧν τὸν μὲν Σέθων Αἴγυπτον τὸν δὲ Ἕρμαιον Δαναὸν μετονομασθῆναι φησίν. ὃν ἐκβαλὼν ὁ Σέθως ἐβασίλευσεν ἔτη νδ', καὶ μετ' αὐτὸν ὁ πρεσβύτερος τῶν υἱῶν αὐτοῦ Ῥάμψης ξς'. τοσούτοις οὖν πρότερον ἔτεσιν ἀπελθεῖν ἐξ Αἰγύπτου τοὺς

Digitized by Google

πατέρας ἡμῶν ὡμολογηκώς, εἶτα τὸν Ἀμένωφιν εἰσποιήσας ἐμβόλιμον βασιλέα, φησὶ τοῦτον ἐπιθυμῆσαι θεῶν γενέσθαι θεατὴν ὥσπερ Ὧρος εἷς τῶν πρὸ αὐτοῦ βεβασιλευκότων, ἀνενεγκεῖν δὲ τὴν ἐπιθυμίαν ὁμωνύμῳ μὲν αὐτῷ Ἀμενώφει, πατρὸς δὲ Παάπιος ὄντι, θείας δὲ δοκοῦντι μετεσχηκέναι φύσεως κατά τε σοφίαν καὶ πρόγνωσιν τῶν ἐσομένων. εἰπεῖν οὖν αὐτῷ τοῦτον τὸν ὁμώνυμον ὅτι δυνήσεται θεοὺς ἰδεῖν, εἰ καθαρὰν ἀπό τε λεπρῶν καὶ τῶν ἄλλων μιαρῶν ἀνθρώπων τὴν χώραν ἅπασαν ποιήσειεν. ἡσθέντα δὲ τὸν βασιλέα πάντας τοὺς τὰ σώματα λελωβημένους ἐκ τῆς Αἰγύπτου συναγαγεῖν (γενέσθαι δὲ τοῦ πλήθους μυριάδας ὀκτώ), καὶ τούτους εἰς τὰς λιθοτομίας τὰς ἐν τῷ πρὸς ἀνατολὴν μέρει τοῦ Νείλου ἐμβαλεῖν αὐτόν, ὅπως ἐργάζοιντο καὶ τῶν ἄλλων Αἰγυπτίων οἱ ἐγκεχωρισμένοι. εἶναι δέ τινας ἐν αὐτοῖς καὶ τῶν λογίων ἱερέων φησί, λέπρᾳ συγκεχυμένους. τὸν δὲ Ἀμένωφιν ἐκεῖνον, τὸν σοφὸν καὶ μαντικὸν ἄνδρα, ὑποδεῖσαι πρὸς αὐτόν τε καὶ τὸν βασιλέα χόλον τῶν θεῶν, εἰ βιασθέντες ὀφθήσονται, καὶ προθέμενον εἰπεῖν ὅτι συμμαχήσουσί τινες τοῖς μιαροῖς καὶ τῆς Αἰγύπτου κρατήσουσιν ἐπ' ἔτη τρισκαίδεκα, μὴ τολμῆσαι μὲν αὐτὸν εἰπεῖν ταῦτα τῷ βασιλεῖ, γραφὴν δὲ καταλιπόντα περὶ πάντων ἑαυτὸν ἀνελεῖν. ἐν ἀθυμίᾳ δὲ εἶναι τὸν βασιλέα. κἄπειτα κατὰ λέξιν οὕτω γέγραφεν. "τῶν δὲ ταῖς λατομίαις, ὡς χρόνος ἱκανὸς διῆλθεν, ταλαιπωρούντων, ἀξιωθεὶς ὁ βασιλεὺς ἵνα πρὸς κατάλυσιν αὐτοῖς καὶ σκέπην ἀπομερίσῃ τὴν τότε τῶν ποιμένων ἐρημωθεῖσαν πόλιν Ἄβαριν, συνεχώρησεν. ἔστι δ' ἡ πόλις κατὰ τὴν θεολογίαν ἄνωθεν Τυφώνιος. οἱ δὲ εἰς ταύτην εἰσελθόντες, καὶ τὸν τόπον τοῦτον εἰς ἀπόστασιν ἔχοντες, ἡγεμόνα αὐτῶν λεγόμενόν τινα τῶν Ἡλιοπολι-

Digitized by Google

τῶν ἱερέων Ὀσάρσιφον ἐστήσαντο, καὶ τούτῳ πειθαρχήσοντες ἐν πᾶσιν ὠρκωμότησαν. ὃ δὲ πρῶτον μὲν αὐτοῖς νόμον ἔθετο μήτε προσκυνεῖν θεοὺς μήτε τῶν μάλιστα ἐν Αἰγύπτῳ θεμιστευομένων ἱερῶν ζῴων ἀπέχεσθαι μηδενός, πάντα τε θύειν καὶ ἀναλοῦν, συνάπτεσθαι δὲ μηδενὶ πλὴν τῶν συνωμοσμένων. τοιαῦτα δὲ νομοθετήσας καὶ πλεῖστα ἄλλα, μάλιστα τοῖς Αἰγυπτίοις ἔθισμοῖς ἐναντιούμενα, ἐπέλευσε πολυχειρίᾳ τὰ τῆς πόλεως ἐπισκευάζειν τείχη καὶ πρὸς πόλεμον ἑτοίμους γίνεσθαι τὸν πρὸς Ἀμένωφιν τὸν βασιλέα. αὐτὸς δὲ προσλαβόμενος μεθ' ἑαυτοῦ καὶ τῶν ἄλλων ἱερέων καὶ συμμεμιασμένων ἔπεμψε πρέσβεις πρὸς τοὺς ὑπὸ Τεθμώσεως ἀπελαθέντας ποιμένας εἰς πόλιν τὴν καλουμένην Ἱεροσόλυμα, καὶ τὰ καθ' ἑαυτὸν καὶ τοὺς ἄλλους τοὺς συνατιμασθέντας δηλώσας ἠξίου συνεπιστρατεύειν ὁμοθυμαδὸν ἐπ' Αἴγυπτον. ἐπάξειν μὲν οὖν αὐτοὺς ἐπηγγέλλατο πρῶτον μὲν εἰς Ἀῦαριν τὴν προγονικὴν αὐτῶν πατρίδα, καὶ τὰ ἐπιτήδεια τοῖς ὄχλοις παρέξειν ἀφθόνως, ὑπερμαχήσεσθαι δὲ ὅτε δέοι, καὶ ῥᾳδίως ὑποχείριον αὐτοῖς τὴν χώραν ποιήσειν. οἳ δὲ ὑπερχαρεῖς γενόμενοι πάντες προθύμως εἰς εἴκοσι μυριάδας ἀνδρῶν συνεξώρμησαν, καὶ μετ' οὐ πολὺ ἦκον εἰς Ἀῦαριν. Ἀμένωφις δ' ὁ τῶν Αἰγυπτίων βασιλεὺς ὡς ἐπύθετο τὰ κατὰ τὴν ἐκείνων ἔφοδον, οὐ μετρίως συνεχύθη, τῆς παρ' Ἀμενώφεως τοῦ Παάπιος μνησθεὶς προδηλώσεως. καὶ πρότερον συναγαγὼν πλῆθος Αἰγυπτίων, καὶ βουλευσάμενος μετὰ τῶν ἐν τούτοις ἡγεμόνων, τά τε ἱερὰ ζῷα τὰ [πρῶτα] μάλιστα ἐν τοῖς ἱεροῖς τιμώμενα ὅσ γ' ἑαυτὸν μετεπέμψατο, καὶ τοῖς κατὰ μέρος ἱερεῦσι παρήγγειλεν ὡς ἀσφαλέστατα τῶν θεῶν συγκρύψαι τὰ ξόανα. τὸν δὲ υἱὸν Σέθων, τὸν καὶ Ῥαμέσσην ἀπὸ Ῥάμψεως τοῦ πατρὸς ὠνομασμέ-

Digitized by Google

νον, πενταετῆ ὄντα ἐξέθετο πρὸς τὸν ἑαυτοῦ φίλον. αὐτὸς δὲ διαβὰς τοῖς ἄλλοις Αἰγυπτίοις, οὐσιν εἰς τριάκοντα μυριάδας ἀνδρῶν μαχιμωτάτων, καὶ τοῖς πολεμίοις ἀπαντήσασιν οὐ συνέβαλεν, ἀλλὰ μέλλειν θεομαχεῖν νομίσας, παλινδρομήσας ἦκεν εἰς Μέμφιν, ἀναλαβών τε τόν τε Ἄπιν καὶ τὰ ἄλλα τὰ ἐκεῖσε μεταπεμφθέντα ἱερὰ ζῷα, εὐθὺς εἰς Αἰθιοπίαν σὺν ἅπαντι τῷ στόλῳ καὶ πλήθει τῶν Αἰγυπτίων ἀνήχθη. χάριτι γὰρ ἦν αὐτῷ ὑποχείριος ὁ τῶν Αἰθιόπων βασιλεύς· ὅθεν ὑποδεξάμενος καὶ τοὺς ὄχλους πάντας ὑπολαβὼν οἷς ἔσχεν ἡ χώρα τῶν πρὸς ἀνθρωπίνην τροφὴν ἐπιτηδείων, καὶ πόλεις καὶ κώμας πρὸς τὴν τῶν πεπρωμένων τρισκαίδεκα ἐτῶν ἀπὸ τῆς ἀρχῆς αὐτοῦ ἔκπτωσιν αὐτάρκεις, οὐχ ἧττόν γε καὶ στρατόπεδον Αἰθιοπικὸν πρὸς φυλακὴν ἐπέταξε τοῖς παρ' Ἀμενώφεως τοῦ βασιλέως ἐπὶ τῶν ὁρίων τῆς Αἰγύπτου. καὶ τὰ μὲν κατὰ τὴν Αἰθιοπίαν τοιαῦτα, οἱ δὲ Σολυμῖται κατελθόντες σὺν τοῖς μιαροῖς τῶν Αἰγυπτίων οὕτως ἀνοσίως τοῖς ἀνθρώποις προσηνέχθησαν ὥστε τὴν τῶν προειρημένων κράτησιν χειρίστην φαίνεσθαι τοῖς τότε τὰ τούτων ἀσεβήματα θεωμένοις· καὶ γὰρ οὐ μόνον πόλεις καὶ κώμας ἐνέπρησαν, οὐδὲ ἱεροσυλοῦντες οὐδὲ λυμαινόμενοι ξόανα θεῶν ἠρκοῦντο, ἀλλὰ καὶ τοῖς ἀδύτοις ὀπτανίοις τῶν σεβαστευομένων ἱερῶν ζῴων χρώμενοι διετέλουν, καὶ θύτας καὶ σφαγεῖς τούτων ἱερεῖς καὶ προφήτας ἠνάγκαζον γίνεσθαι, καὶ γυμνοὺς ἐξέβαλον. λέγεται δ' ὅτι τὴν πολιτείαν καὶ τοὺς νόμους αὐτοῖς καταβαλόμενος ἱερεὺς τὸ γένος Ἡλιουπολίτης, ὄνομα Ὀσαρσὶφ ἀπὸ τοῦ ἐν Ἡλιουπόλει θεοῦ Ὀσίρεως, ὡς μετέβη εἰς τοῦτο τὸ γένος, μετετέθη τοὔνομα καὶ προσηγορεύθη Μωυσῆς."

Digitized by Google

ἃ μὲν οὖν Αἰγύπτιοι φέρουσι περὶ τῶν Ἰουδαίων, 27
ταῦτ' ἐστὶ καὶ ἕτερα πλείονα, ἃ παρίημι συντομίας
ἕνεκα. λέγει δὲ ὁ Μανεθὼν πάλιν ὅτι μετὰ ταῦτα
ἐπῆλθεν ὁ Ἀμένωφις ἀπὸ Αἰθιοπίας μετὰ μεγάλης
δυνάμεως, καὶ ὁ υἱὸς αὐτοῦ Ῥάμψης καὶ αὐτὸς ἔχων
δύναμιν, καὶ συμβαλόντες οἱ δύο τοῖς ποιμέσι καὶ τοῖς
μιαροῖς ἐνίκησαν αὐτούς, καὶ πολλοὺς ἀποκτείναντες
ἐδίωξαν αὐτοὺς ἄχρι τῶν ὁρίων τῆς Συρίας. ταῦτα
μὲν καὶ τὰ τοιαῦτα Μανεθὼν συνέγραψεν· ὅτι δὲ
ληρεῖ καὶ ψεύδεται περιφανῶς ἐπιδείξω, προδιαστει-
λάμενος ἐκεῖνο τῶν ὕστερον πρὸς αὐτὸν λεχθησομένων
ἕνεκα. δέδωκε γὰρ οὗτος ἡμῖν καὶ ὡμολόγηκεν ἐξ
ἀρχῆς τε μὴ εἶναι τὸ γένος Αἰγυπτίους, ἀλλ' αὐτοὺς
ἔξωθεν ἐπελθόντας κρατῆσαι τῆς Αἰγύπτου καὶ πάλιν
ἐξ αὐτῆς ἀπελθεῖν· ὅτι δ' οὐκ ἀνεμίχθησαν ἡμῖν ὕστε-
ρον τῶν Αἰγυπτίων οἱ τὰ σώματα λελωβημένοι, καὶ
ὅτι ἐκ τούτων οὐκ ἦν Μωϋσῆς ὁ τὸν λαὸν ἀγαγών,
ἀλλὰ πολλαῖς ἐγεγόνει γενεαῖς πρότερον, ταῦτα πει-
ράσομαι διὰ τῶν ὑπ' αὐτοῦ λεγομένων ἐλέγχειν.

πρώτην δὴ τὴν αἰτίαν τοῦ πλάσματος ὑποτίθεται 28
καταγέλαστον. "ὁ βασιλεύς" γάρ φησιν "Ἀμένωφις
ἐπεθύμησε τοὺς θεοὺς ἰδεῖν." ποίους; εἰ μὲν τοὺς
παρ' αὐτοῖς νενομοθετημένους, τὸν βοῦν καὶ τράγον
καὶ κροκοδείλους καὶ κυνοκεφάλους ἑώρα· τοὺς οὐ-
ρανίους δὲ πῶς ἠδύνατο; καὶ διὰ τί ταύτην ἔσχε τὴν
ἐπιθυμίαν; ὅτι νὴ Δία καὶ πρότερος αὐτοῦ βασιλεὺς
ἄλλος ἑωράκει. παρ' ἐκείνου τοίνυν ἐπέπυστο ποτα-
ποί τινές εἰσι καὶ τίνα τρόπον αὐτοὺς εἶδεν· ὥστε καιν-
ῆς αὐτῷ τέχνης οὐκ ἔδει. ἀλλὰ σοφὸς ἦν ὁ μάντις
δι' οὗ τοῦτο κατορθώσειν ὁ βασιλεὺς ὑπελάμβανε.
καὶ πῶς οὐ προέγνω τὸ ἀδύνατον αὐτοῦ τῆς ἐπιθυ-
μίας; οὐ γὰρ ἀπέβη. τίνα δὲ καὶ λόγον εἶχε διὰ τοὺς

Digitized by Google

ἠκρωτηριασμένους ἢ λεπρῶντας ἀφανεῖς εἶναι τοὺς θεούς; ὀργίζονται γὰρ ἐπὶ τοῖς ἀσεβήμασιν, οὐκ ἐπὶ τοῖς ἐλαττώμασι τῶν σωμάτων. ὀκτὼ δὲ μυριάδας τῶν λεπρῶν καὶ κακῶς διακειμένων πῶς οἷόντε μιᾷ σχεδὸν ἡμέρᾳ συλλεγῆναι; πῶς δὲ παρήκουσε τοῦ μάντεως ὁ βασιλεύς; ὃ μὲν γὰρ αὐτὸν ἐκέλευσεν ἐξορίσαι τῆς Αἰγύπτου τοὺς λελωβημένους, ὃ δ' αὐτοὺς εἰς τὰς λιθοτομίας ἐνέβαλεν, ὥσπερ τῶν ἐργαζομένων δεόμενος, ἀλλ' οὐχὶ καὶ καθᾶραι τὴν χώραν προαιρούμενος. φησὶ δὲ τὸν μὲν μάντιν αὐτὸν ἀνελεῖν, τὴν ὀργὴν τῶν θεῶν προορώμενον καὶ τὰ συμβησόμενα περὶ τὴν Αἴγυπτον, τῷ δὲ βασιλεῖ γεγραμμένην τὴν πρόρρησιν καταλιπεῖν. εἶτα πῶς οὐκ ἐξ ἀρχῆς ὁ μάντις τὸν αὐτοῦ θάνατον προηπίστατο; πῶς δὲ οὐκ εὐθὺς ἀντεῖπε τῷ βασιλεῖ βουλομένῳ τοὺς θεοὺς ἰδεῖν; πῶς δ' εὔλογος ὁ φόβος τῶν μὴ παρ' αὐτὸν συμβησομένων κακῶν; ἢ τί χεῖρον ἔδει παθεῖν, δι' ὃ ἀνελεῖν ἑαυτὸν ἔσπευδεν; τὸ δὲ δὴ πάντων εὐηθέστατον ἰδωμεν. πυθόμενος γὰρ ταῦτα, καὶ περὶ τῶν μελλόντων φοβηθείς, τοὺς λελωβημένους ἐκείνους, ὧν αὐτῷ καθαρεῦσαι προείρητο τὴν Αἴγυπτον, οὐδὲ τότε τῆς χώρας ἐξήλασεν, ἀλλὰ δεηθεῖσιν αὐτοῖς ἔδωκε πόλιν, ὡς φησί, τὴν πάλαι μὲν οἰκηθεῖσαν ὑπὸ τῶν ποιμένων, Ἀὔαριν δὲ καλουμένην. εἰς ἣν ἀθροισθέντας αὐτοὺς ἡγεμόνα φησὶν ἐξελέσθαι τῶν ἐξ Ἡλιουπόλεως πάλαι γεγονότων ἱερέων, καὶ τοῦτον αὐτοῖς εἰσηγήσασθαι μήτε θεοὺς προσκυνεῖν μήτε τῶν ἐπ' Αἰγύπτῳ θρησκευομένων ζῴων ἀπέχεσθαι, πάντα δὲ θύειν καὶ κατεσθίειν, συναπτεσθαι δὲ μηδενὶ πλὴν τῶν συνωμοσμένων· ὅρκοις τε τὸ πλῆθος ἐνδησάμενον, ἢ μὴν τούτοις ἐμμένειν τοῖς νόμοις, καὶ τειχίσαντα τὴν Αὔαριν, πρὸς τὸν βασιλέα πόλεμον ἐξενεγκεῖν. καὶ προσ-

Digitized by Google

τίθησιν ὅτι ἔπεμψεν εἰς Ἱεροσόλυμα, παρακαλῶν ἐκεί-
νους αὐτοῖς συμμαχεῖν, καὶ δώσειν αὐτοῖς τὴν Λύ-
αριν ὑπισχνούμενος· εἶναι γὰρ αὐτὴν τοῖς ἐκ τῶν Ἱε-
ροσολύμων ἀφιξομένοις προγονικήν· ἀφ' ἧς ὁρμωμέ-
νους αὐτοὺς πᾶσαν τὴν Αἴγυπτον καθέξειν. εἶτα τοὺς
μὲν ἐπελθεῖν εἴκοσι στρατοῦ μυριάσι λέγει, τὸν δὲ βα-
σιλέα τῶν Αἰγυπτίων Ἀμένωφιν, οὐκ οἰόμενον δεῖν
θεομαχεῖν, εἰς τὴν Αἰθιοπίαν εὐθὺς ἀποδρᾶναι, τὸν
δὲ Ἆπιν καί τινα τῶν ἄλλων ἱερῶν ζῴων παρατεθεικέ-
ναι τοῖς ἱερεῦσι, διαφυλάττεσθαι κελεύσαντα. εἶτα
τοὺς Ἱεροσολυμίτας ἐπελθόντας τάς τε πόλεις ἀνιστά-
ναι καὶ τὰ ἱερὰ κατακαίειν καὶ τοὺς ἱερέας ἀποσφάτ-
τειν, ὅλως τε μηδεμιᾶς ἀπέχεσθαι παρανομίας μηδὲ
ὠμότητος. ὁ δὲ τὴν πολιτείαν καὶ τοὺς νόμους αὐ-
τοῖς καταβαλόμενος ἱερεύς, φησίν, ἦν τὸ γένος Ἡλιου-
πολίτης, ὄνομα δ' Ὀσαρσὶφ ἀπὸ τοῦ ἐν Ἡλιουπόλει θεοῦ
Ὀσίρεως· μεταθέμενος δὲ Μοϋσῆν αὐτὸν προσηγόρευ-
σεν. τρισκαιδεκάτῳ δέ φησιν ἔτει τὸν Ἀμένωφιν (το-
σοῦτον γὰρ αὐτῷ χρόνον εἶναι τῆς ἐκπτώσεως πε-
πρωμένον) ἐξ Αἰθιοπίας ἐπελθόντα μετὰ πολλῆς στρα-
τιᾶς, καὶ συμβαλόντα τοῖς ποιμέσι καὶ τοῖς μιαροῖς,
νικῆσαί τε τῇ μάχῃ καὶ κτεῖναι πολλοὺς ἐπιδιώξαντα
μέχρι τῶν τῆς Συρίας ὅρων.

ἐν τούτοις πάλιν οὐ συνίησιν ἀπιθάνως ψευδό- 29
μενος. οἱ γὰρ λεπροὶ καὶ τὸ μετ' αὐτῶν πλῆθος εἰ καὶ
πρότερον ὠργίζοντο τῷ βασιλεῖ καὶ τοῖς τὰ περὶ αὐ-
τοὺς πεποιηκόσι κατά [τε] τὴν τοῦ μάντεως προαγό-
ρευσιν, ἀλλ' ὅτε τῶν λιθοτομιῶν ἐξῆλθον καὶ πόλιν
παρ' αὐτοῦ καὶ χώραν ἔλαβον, πάντως ἂν ἐγεγόνει-
σαν πραότεροι πρὸς αὐτόν. εἰ δὲ δὴ κἀκεῖνον ἐμίσουν,
ἰδίᾳ μὲν ἂν αὐτῷ ἐπεβούλευον, οὐκ ἂν δὲ πρὸς ἅπαν-
τας ἤραντο πόλεμον, δηλονότι πλείστας ἔχοντες συγ-

Digitized by Google

γενείας, τοσοῦτοί γε τὸ πλῆθος ὄντες. ὅμως δὲ καὶ τοῖς ἀνθρώποις πολεμεῖν διεγνωκότες οὐκ ἂν εἰς τοὺς αὐτῶν θεοὺς πολεμεῖν ἐτόλμησαν, οὐδ' ὑπεναντιώτατους ἔθεντο νόμους τοῖς πατρίοις αὐτῶν καὶ οἷς ἐνετράφησαν. δεῖ δ' ἡμᾶς τῷ Μανεθῶνι χάριν ἔχειν ὅτι ταύτης τῆς παρανομίας οὐχὶ τοὺς ἐξ Ἱεροσολύμων ἐλθόντας ἀρχηγοὺς γενέσθαι φησίν, ἀλλ' αὐτοὺς ἐκείνους ὄντας Αἰγυπτίους, καὶ τούτων μάλιστα τοὺς ἱερέας ἐπινοῆσαί τε ταῦτα καὶ ὁρκωμοτῆσαι τὸ πλῆθος. ἐκεῖνο μέντοι πῶς οὐκ ἄλογον, τῶν μὲν οἰκείων αὐτοῖς καὶ τῶν φίλων συναποστῆναι οὐδένα, μηδὲ τοῦ πολέμου τὸν κίνδυνον συνάρασθαι, πέμψαι δὲ τοὺς μιαροὺς εἰς Ἱεροσόλυμα, καὶ τὴν παρ' ἐκείνων ἐπάγεσθαι συμμαχίαν. ποίας αὐτοῖς φιλίας ἢ τίνος αὐτοῖς οἰκειότητος προϋπηργμένης; τοὐναντίον γὰρ ἦσαν πολέμιοι καὶ τοῖς ἔθεσι πλεῖστον διέφερον. ὃ δέ φησιν εὐθὺς ὑπακοῦσαι τοῖς ὑπισχνουμένοις ὅτι τὴν Αἴγυπτον καθέξουσιν, ὥσπερ αὐτῶν οὐ σφόδρα τῆς χώρας ἐμπείρως ἐχόντων, ἧς βιασθέντες ἐκπεπτώκασιν. εἰ μὲν οὖν ἀπόρως ἢ κακῶς ἔπραττον, ἴσως ἂν καὶ παρεβάλλοντο πόλιν δὲ κατοικοῦντες εὐδαίμονα καὶ χώραν πολλὴν κρείττω τῆς Αἰγύπτου καρπούμενοι, διὰ τί ποτ' ἂν ἐχθροῖς μὲν πάλαι τὰ δὲ σώματα λελωβημένοις, οὓς μηδὲ τῶν οἰκείων οὐδεὶς ὑπομένει, τούτοις ἔμελλον παρακινδυνεύσειν βοηθοῦντες; οὐ γὰρ δή γε τὸν γενησόμενον προῄδεσαν δρασμὸν τοῦ βασιλέως. τοὐναντίον γὰρ αὐτὸς εἴρηκεν ὡς ὁ παῖς τοῦ Ἀμενώφιος τριάκοντα μυριάδας ἔχων εἰς Πηλούσιον ὑπηντίαζεν. καὶ τοῦτο μὲν ᾔδεσαν πάντως οἱ παραγινόμενοι· τὴν δὲ μετάνοιαν αὐτοῦ καὶ τὴν φυγὴν πόθεν εἰκάζειν ἔμελλον; ἔπειτα κρατήσαντάς φησι τῆς Αἰγύπτου πολλὰ καὶ δεινὰ δρᾶν τοὺς ἐκ τῶν Ἱεροσολύμων ἐπιστρατεύσαντας,

Digitized by Google

καὶ περὶ τούτων ὀνειδίζει καθάπερ οὐ πολεμίους αὐτοῖς ἐπαγαγών, ἢ δέον τοῖς ἔξωθεν ἐπικληθεῖσιν ἐγκαλεῖν, ὁπότε ταῦτα πρὸ τῆς ἐκείνων ἀφίξεως ἔπραττον, καὶ πράξειν ὠμωμόκεσαν, οἱ τὸ γένος Αἰγύπτιοι. ἀλλὰ καὶ χρόνοις ὕστερον Ἀμένωφις ἐπελθὼν ἐνίκησε μάχῃ, καὶ κτείναν τοὺς πολεμίους μέχρι τῆς Συρίας ἤλασεν. οὕτω γὰρ παντάπασίν ἐστιν ἡ Αἴγυπτος τοῖς ὁποθενδηποτοῦν ἐπιοῦσιν εὐάλωτος· καὶ οἱ τότε πολέμῳ κρατοῦντες αὐτήν, ζῆν πυνθανόμενοι τὸν Ἀμένωφιν, οὔτε τὰς ἐκ τῆς Αἰθιοπίας ἐμβολὰς ὠχύρωσαν, πολλὴν εἰς τοῦτο παρασκευὴν ἔχοντες, οὔτε τὴν ἄλλην ἡτοίμασαν δύναμιν. "ὃ δὲ καὶ μέχρι τῆς Συρίας ἀναιρῶν" φησίν "αὐτοὺς ἠκολούθησε διὰ τῆς ψάμμου τῆς ἀνύδρου." δηλονότι οὐ ῥᾴδιον οὐδ' ἁμαχὶ στρατοπέδῳ διελθεῖν,

κατὰ μὲν οὖν τὸν Μανεθῶνα οὔτε ἐκ τῆς Αἰγύπτου τὸ γένος ἡμῶν ἐστιν οὔτε τῶν ἐκεῖθέν τινες ἀνεμίχθησαν· τῶν γὰρ λεπρῶν καὶ νοσούντων πολλοὺς μὲν εἰκὸς ἐν ταῖς λιθοτομίαις ἀποθανεῖν, πολὺν χρόνον ἐκεῖ γενομένους καὶ κακοπαθοῦντας, πολλοὺς δ' ἐν ταῖς μετὰ ταῦτα μάχαις, πλείστους δ' ἐν τῇ τελευταίᾳ καὶ τῇ φυγῇ.

λοιπόν μοι πρὸς αὐτὸν εἰπεῖν περὶ Μωϋσέως. τοῦτον δὲ τὸν ἄνδρα θαυμαστὸν μὲν Αἰγύπτιοι καὶ θεῖον νομίζουσι, βούλονται δὲ προσποιεῖν αὐτοῖς μετὰ βλασφημίας ἀπιθάνου, λέγοντες Ἡλιουπολίτην εἶναι τῶν ἐκεῖθεν ἱερέων ἕνα, διὰ τὴν λέπραν συνεξεληλαμένον. δείκνυται δ' ἐν ταῖς ἀναγραφαῖς ὀκτωκαίδεκα σὺν τοῖς πεντακοσίοις πρότερον ἔτεσι γεγονὼς καὶ τοὺς ἡμετέρους ἐξαγαγὼν ἐκ τῆς Αἰγύπτου πατέρας εἰς τὴν χώραν τὴν νῦν οἰκουμένην ὑφ' ἡμῶν. ὅτι δὲ οὐδὲ συμφορᾷ τινὶ τοιαύτῃ περὶ τὸ σῶμα κεχρημένος ἦν,

Digitized by Google

ἐκ τῶν λεγομένων ὑπ' αὐτοῦ θῆλυς ἐστί. τοὺς γὰρ λεπρῶσιν ἀπείρηκε μήτε μένειν ἐν πόλει μήτ' ἐν κώμῃ κατοικεῖν, ἀλλὰ μόνους περιπατεῖν κατεσχισμένους τὰ ἱμάτια· καὶ τὸν ἁψάμενον αὐτῶν ἢ ὁμώροφον γενόμενον οὐ καθαρὸν ἡγεῖται. καὶ μὴν κἂν θεραπευθῇ τὸ νόσημα καὶ τὴν αὐτοῦ φύσιν ἀπολάβῃ, προείρηκέ τινας ἁγνείας, καθαρμοὺς πηγαίων ὑδάτων λουτροῖς καὶ ξυρήσεις πάσης τριχός, πολλάς τε κελεύει καὶ παντοίας ἐπιτελέσαντα θυσίας τότε παρελθεῖν εἰς τὴν ἱερὰν πόλιν. καίτοι τοὐναντίον εἰκὸς ἦν προνοίᾳ τινὶ καὶ φιλανθρωπίᾳ χρήσασθαι τὸν ἐν τῇ συμφορᾷ ταύτῃ γενόμενα πρὸς τοὺς ὁμοίως αὐτῷ δυστυχήσαντας. οὐ μόνον δὲ περὶ τῶν λεπρῶν οὕτως ἐνομοθέτησεν, ἀλλ' οὐδὲ τοῖς καὶ τὸ βραχύτατόν τι τοῦ σώματος ἠκρωτηριασμένοις ἱερᾶσθαι συγκεχώρηκεν, ἀλλ' εἰ καὶ μεταξύ τις ἱερώμενος τοιαύτῃ χρήσαιτο συμφορᾷ, τὴν τιμὴν αὐτοῦ ἀφείλετο. πῶς οὖν εἰκὸς ἐκεῖνον ταῦτα νομοθετεῖν καθ' ἑαυτοῦ, εἰς ὄνειδός τε καὶ βλάβην νόμους συντιθεμένους; ἀλλὰ μὴν καὶ τοὔνομα λίαν ἀπιθάνως μετατέθεικεν· "Ὀσαρσὶφ" γάρ φησιν "ἐκαλεῖτο". τοῦτο μὲν οὖν εἰς τὴν μετάθεσιν οὐκ ἐναρμόζει, τὸ δ' ἀληθὲς ὄνομα δηλοῖ τὸν ἐκ τοῦ ὕδατος σωθέντα Μωσῆν· τὸ γὰρ ὕδωρ οἱ Αἰγύπτιοι μῶϋ καλοῦσιν.

ἱκανῶς οὖν γεγονέναι νομίζω κατάδηλον ὅτι Μανεθώς, ἕως μὲν ἠκολούθει ταῖς ἀρχαίαις ἀναγραφαῖς, οὐ πολὺ τῆς ἀληθείας διημάρτανεν, ἐπὶ δὲ τοὺς ἀδεσπότους μύθους τραπόμενος ἢ συνέθηκεν αὐτοὺς ἀπιθάνως ἢ τισι τῶν πρὸς ἀπέχθειαν εἰρηκότων ἐπίστευσεν.

32 μετὰ τοῦτον ἐξετάσαι βούλομαι Χαιρήμονα. καὶ γὰρ οὗτος Αἰγυπτιακὴν φάσκων ἱστορίαν συγγράφειν, καὶ προσθεὶς ταὐτὸ ὄνομα τοῦ βασιλέως ὅπερ ὁ Μανι-

Digitized by Google

θώς, Ἀμένωφιν, καὶ τὸν υἱὸν αὐτοῦ Ῥαμέσσην, φησὶν ὅτι κατὰ τοὺς ὕπνους ἡ Ἶσις ἐφάνη τῷ Ἀμενώφει, μεμφομένη αὐτὸν ὅτι τὸ ἱερὸν αὐτῆς ἐν τῷ πολέμῳ κατέσκαπται. Φριτιφάντην δὲ ἱερογραμματέα φάναι, ἐὰν τῶν τοὺς μολυσμοὺς ἐχόντων ἀνδρῶν καθάρῃ τὴν Αἴγυπτον, παύσασθαι τῆς πτοίας αὐτόν. ἐπιλέξαντα δὲ τῶν ἐπισινῶν μυριάδας εἴκοσι πέντε ἐκβαλεῖν. ἡγεῖσθαι δ' αὐτῶν γραμματέας Μωϋσῆν τε καὶ Ἰώσηπον, καὶ τοῦτον ἱερογραμματέα· Αἰγύπτια δ' αὐτοῖς ὀνόματα εἶναι, τῷ μὲν Μωϋσεῖ Τισιθέν, τῷ δὲ Ἰωσήπῳ Πετεσήφ. τούτους δ' εἰς Πηλούσιον ἐλθεῖν καὶ ἐπιτυχεῖν μυριάσι τριάκοντα ὀκτὼ καταλελειμμέναις ὑπὸ τοῦ Ἀμενώφιος, ἃς οὐ θέλειν εἰς τὴν Αἴγυπτον διακομίζειν· οἷς φιλίαν συνθεμένους ἐπὶ τὴν Αἴγυπτον στρατεῦσαι. τὸν δὲ Ἀμένωφιν οὐχ ὑπομείναντα τὴν ἔφοδον αὐτῶν εἰς Αἰθιοπίαν φυγεῖν, καταλιπόντα τὴν γυναῖκα ἔγκυον, ἣν κρυπτομένην ἔν τισι σπηλαίοις τεκεῖν παῖδα ὄνομα Ῥαμέσσην, ὃν ἀνδρωθέντα ἐκδιῶξαι τοὺς Ἰουδαίους εἰς τὴν Συρίαν, ὄντας περὶ εἴκοσι μυριάδας, καὶ τὸν πατέρα Ἀμένωφιν ἐκ τῆς Αἰθιοπίας καταδέξασθαι.

καὶ ταῦτα μὲν ὁ Χαιρήμων, οἶμαι δ' αὐτόθεν 33
φανερὰν εἶναι ἐκ τῶν εἰρημένων τὴν ἀμφοῖν ψευδολογίαν. ἀληθείας μὲν γάρ τινος ὑποκειμένης ἀδύνατον ἦν διαφωνεῖν ἐπὶ τοσοῦτον· οἱ δὲ τὰ ψευδῆ συντιθέντες οὐχ ἑτέροις σύμφωνα γράφουσι, ἀλλ' αὐτοῖς τὰ δόξαντα πλάττουσιν. ἐκεῖνος μὲν οὖν ἐπιθυμίαν τοῦ βασιλέως ἵνα τοὺς θεοὺς ἴδῃ φησὶν ἀρχὴν γενέσθαι τῆς τῶν μιαρῶν ἐκβολῆς, ὁ δὲ Χαιρήμων ἴδιον ὡς τῆς Ἴσιδος ἐνύπνιον συντέθεικεν. κἀκεῖνος μὲν Ἀμένωφιν εἶναι λέγει τὸν προεικόνα τῷ βασιλεῖ τὸν καθαρμόν, οὗτος δὲ Φριτιφάντην. ὁ δὲ δὴ τοῦ πλή-

Digitized by Google

θους ἀριθμὸς καὶ σφόδρα σύνεγγυς, ὀκτὼ μὲν μυριάδας ἐκείνου λέγοντος, τούτου δὲ πέντε πρὸς ταῖς εἴκοσιν. ἔτι τοίνυν ὁ μὲν Μανεθὼς πρότερον εἰς τὰς λιθοτομίας τοὺς μιαροὺς ἐκβαλών, εἶτα αὐτοῖς τὴν Ἀῦαριν δοὺς ἐγκατοικεῖν καὶ τὰ πρὸς τοὺς ἄλλους Αἰγυπτίους ἐκπολεμώσας, τότε φησὶν ἐπικαλέσασθαι τὴν παρὰ τῶν Ἱεροσολυμιτῶν αὐτοὺς ἐπικουρίαν· ὁ δὲ Χαιρήμων ἀπαλλαττομένους ἐκ τῆς Αἰγύπτου περὶ Πηλούσιον εὑρεῖν ὀκτὼ καὶ τριάκοντα μυριάδας ἀνθρώπων καταλελειμμένας ὑπὸ τοῦ Ἀμενώφιος, καὶ μετ' ἐκείνων πάλιν εἰς τὴν Αἴγυπτον ἐμβαλεῖν, φυγεῖν δὲ τὸν Ἀμένωφιν εἰς τὴν Αἰθιοπίαν. τὸ δὲ δὴ γενναιότατον, οὐδὲ τίνες ἦ πόθεν ἦσαν αἱ τοσαῦται τοῦ στρατοῦ μυριάδες εἴρηκεν, εἴτε Αἰγύπτιοι τὸ γένος εἴτ' ἔξωθεν ἥκοντες. ἀλλ' οὐδὲ τὴν αἰτίαν διεσάφησε δι' ἣν αὐτοὺς ὁ βασιλεὺς εἰς τὴν Αἴγυπτον ἀγαγεῖν οὐκ ἠθέλησεν, ὁ περὶ τῶν λεπρῶν τὸ τῆς Ἴσιδος ἐνύπνιον συμπλάσας. τῷ δὲ Μωϋσεῖ καὶ τὸν Ἰώσηπον ὁ Χαιρήμων, ὡς ἐν ταὐτῷ χρόνῳ συνεξεληλαμένον, προστέθεικεν, τὸν πρὸ Μωϋσέως πρεσβύτερον τέσσαρσι γενεαῖς τετελευτηκότα, ὧν ἐστὶν ἔτη σχεδὸν ἑβδομήκοντα καὶ ἑκατόν. ἀλλὰ μὴν ὁ Ῥαμέσσης ὁ τοῦ Ἀμενώφιος υἱὸς κατὰ μὲν τὸν Μανεθῶνα νεανίας συμπολεμεῖ τῷ πατρὶ καὶ συνεκπίπτει φυγὼν εἰς τὴν Αἰθιοπίαν, οὗτος δὲ πεποίηκεν αὐτὸν μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἐν σπηλαίῳ τινὶ γεγενημένον, καὶ μετὰ ταῦτα νικῶντα μάχῃ καὶ τοὺς Ἰουδαίους εἰς Συρίαν ἐξελαύνοντα τὸν ἀριθμὸν ὄντας περὶ μυριάδας εἴκοσιν. ὦ τῆς εὐχερείας· οὔτε γὰρ πρότερον οἵτινες ἦσαν αἱ τριάκοντα καὶ ὀκτὼ μυριάδες εἶπεν, οὔτε πῶς αἱ τεσσαράκοντα καὶ τρεῖς διεφθάρησαν, πότερον ἐν τῇ μάχῃ κατέπεσον ἢ πρὸς τὸν Ῥαμέσσην μετεβάλοντο. τὸ δὲ δὴ θαυμασιώ-

Digitized by Google

τατον, οὐδὲ τίνας καλεῖ τοὺς Ἰουδαίους δυνατόν ἐστι παρ' αὐτοῦ μαθεῖν, ἢ ποτέροις αὐτῶν τίθεται ταύτην τὴν προσηγορίαν, ταῖς εἴκοσι πέντε μυριάσι τῶν λεπρῶν ἢ ταῖς ὀκτὼ καὶ τριάκοντα ταῖς περὶ τὸ Πηλούσιον. ἀλλὰ γὰρ εὔηθες ἴσως ἂν εἴη διὰ πλειόνων ἐλέγχειν τοὺς ὑφ' ἑαυτῶν ἐληλεγμένους· τὸ γὰρ ὑπ' ἄλλων ἦν μετριώτερον.

ἐπεισάξω δὲ τούτοις Λυσίμαχον, εἰληφότα μὲν τὴν αὐτὴν τοῖς προειρημένοις ὑπόθεσιν τοῦ ψεύσματος, ὑπερπεπαικότα δὲ τὴν ἐκείνων ἀπιθανότητα τοῖς πλάσμασι, διὸ καὶ δῆλός ἐστι συντεθεικὼς κατὰ πολλὴν ἀπέχθειαν. λέγει γὰρ ἐπὶ Βοκχόρεως τοῦ Αἰγυπτίων βασιλέως τὸν λαὸν τῶν Ἰουδαίων, λεπροὺς ὄντας καὶ ψωροὺς καὶ ἄλλα νοσήματά τινα ἔχοντας, εἰς τὰ ἱερὰ καταφεύγοντας μεταιτεῖν τροφήν, παμπόλλων δὲ ἀνθρώπων νοσηλείᾳ περιπεσόντων ἀκαρπίαν ἐν τῇ Αἰγύπτῳ γενέσθαι. Βόκχοριν δέ, τὸν τῶν Αἰγυπτίων βασιλέα, εἰς Ἄμμωνος πέμψαι περὶ τῆς ἀκαρπίας τοὺς μαντευσομένους· τὸν θεὸν δὲ εἰπεῖν τὰ ἱερὰ καθᾶραι ἀπ' ἀνθρώπων ἀνάγνων καὶ δυσσεβῶν, ἐκβαλόντα αὐτοὺς ἐκ τῶν ἱερῶν εἰς τόπους ἐρήμους, τοὺς δὲ ψωροὺς καὶ λεπροὺς βυθίσαι ὡς τοῦ ἡλίου ἀγανακτοῦντος ἐπὶ τῇ τούτων ζωῇ, καὶ τὰ ἱερὰ ἁγνίσαι, καὶ οὕτω τὴν γῆν καρποφορήσειν. τὸν δὲ Βόκχοριν τοὺς χρησμοὺς λαβόντα, τούς τε ἱερεῖς καὶ ἐπιβωμίτας προσκαλεσάμενον, κελεῦσαι ἐπιλογὴν ποιησαμένους τῶν ἀκαθάρτων τοῖς στρατιώταις τούτους παραδοῦναι κατάξειν αὐτοὺς εἰς τὴν ἔρημον, τοὺς δὲ λεπροὺς εἰς μολιβδίνους χάρτας ἐνδήσαντας, ἵνα καθῶσιν εἰς τὸ πέλαγος. βυθισθέντων δὲ τῶν λεπρῶν καὶ ψωρῶν τοὺς ἄλλους συναθροισθέντας εἰς τόπους ἐρήμους ἐκτεθῆναι ἐπ' ἀπωλείᾳ· συναχθέντας δὲ βουλεύσασθαι περὶ αὐτῶν, νυ-

34

Digitized by Google

κτὸς δ' ἐπιγενομένης πῦρ καὶ λύχνους καύσαντας φυλάττειν ἑαυτούς, τήν τ' ἐπιοῦσαν νύκτα νηστεύσαντας ἱλάσκεσθαι τοὺς θεοὺς περὶ τοῦ σῶσαι αὐτούς. τῇ δ' ἐπιούσῃ ἡμέρᾳ Μωϋσῆν τινὰ συμβουλεῦσαι αὐτοῖς παραβαλλομένους μίαν ὁδὸν τέμνειν, ἄχρις ἂν ἔλθωσιν εἰς τόπους οἰκουμένους, παρακελεύσασθαί τε αὐτοῖς μήτε ἀνθρώπων τινὶ εὐνοήσειν μηδὲ ἄριστά συμβουλεύσειν ἀλλὰ τὰ χείρονα, θεῶν τε ναοὺς καὶ βωμούς, οἷς ἂν περιτύχωσιν, ἀνατρέπειν. συναινεσάντων δὲ τῶν ἄλλων, τὰ δοχθέντα ποιοῦντας διὰ τῆς ἐρήμου πορεύεσθαι, ἱκανῶς δὲ ὀχληθέντας ἐλθεῖν εἰς τὴν οἰκουμένην χώραν, καὶ τούς τε ἀνθρώπους ὑβρίζοντας καὶ τὰ ἱερὰ συλῶντας καὶ ἐμπρήσαντας ἐλθεῖν εἰς τὴν νῦν Ἰουδαίαν προσαγορευομένην, κτίσαντας δὲ πόλιν ἐνταῦθα κατοικεῖν. τὸ δὲ ἄστυ τοῦτο Ἱερόσυλα ἀπὸ τῆς ἐκείνων διαθέσεως ὠνομάσθαι· ὕστερον δ' αὐτοὺς ἐπικρατήσαντας χρόνῳ διαλλάξαι τὴν ὀνομασίαν πρὸς τὸ μὴ ὀνειδίζεσθαι, καὶ τήν τε πόλιν Ἱεροσόλυμα καὶ αὐτοὺς Ἱεροσολύμους προσαγορεύεσθαι.

35 οὗτος δὲ οὐ τὰν αὐτὸν ἐκείνοις εὗρεν εἰπεῖν βασιλέα, καινότερον δ' ὄνομα συντέθεικεν, καὶ παρεὶς ἐνύπνιον καὶ προφήτην Αἰγύπτιον, εἰς Ἄμμωνος ἐκελήλυθε περὶ τῶν ψωρῶν καὶ λεπρῶν χρησμὸν οἴσων. φησὶ γὰρ εἰς τὰ ἱερὰ συλλέγεσθαι πλῆθος Ἰουδαίων, ἀρά γε τοῦτο τοῖς λεπροῖς ὄνομα θέμενος, ἢ μόνων τῶν Ἰουδαίων τοῖς νοσήμασι περιπεσόντων; λέγει γὰρ "ὁ λαὸς τῶν Ἰουδαίων". ὁποῖος; ἔπηλυς, ἢ τὸ γένος ἐγχώριος; διὰ τί τοίνυν Αἰγυπτίους αὐτοὺς ὄντας Ἰουδαίους καλεῖς; εἰ δὲ ξένοι, διὰ τί πόθεν οὐ λέγεις; πῶς δέ, τοῦ βασιλέως πολλοὺς μὲν αὐτῶν βυθίσαντος εἰς τὴν θάλασσαν, τοὺς δὲ λοιποὺς εἰς ἐρήμους τόπους ἐκβαλόντος, τοσοῦτοι τὸ πλῆθος ὑπελείφθησαν;

Digitized by Google

ἢ τίνα τρόπον διεξῆλθον μὲν τὴν ἔρημον, ἐκράτησαν δὲ τῆς χώρας ἧς νῦν κατοικοῦμεν, ἔκτισαν δὲ καὶ πόλιν καὶ νεὼν φκοδομήσαντο πᾶσι περιβόητον; ἐχρῆν δὲ καὶ περὶ τοῦ νομοθέτου μὴ μόνον εἰπεῖν τοὔνομα, δηλῶσαι δὲ καὶ τὸ γένος ὅστις ἦν καὶ τίνων. διὰ τί δὲ τοιούτους ἂν αὐτοῖς ἐπεχείρησε τιθέναι νόμους περὶ θεῶν καὶ τῆς πρὸς ἀνθρώπους ἀδικίας κατὰ τὴν πορείαν; εἴτε γὰρ Αἰγύπτιοι τὸ γένος ἦσαν, οὐκ ἂν ἐκ τῶν πατρίων ἐθῶν οὕτω ῥᾳδίως μετεβάλλοντο· εἴτ' ἀλλαχόθεν ἦσαν, πάντως τινὲς ὑπῆρχον αὐτοῖς νόμοι διὰ μακρᾶς συνηθείας πεφυλαγμένοι. εἰ μὲν οὖν περὶ τῶν ἐξελασάντων αὐτοὺς ὤμοσαν μηδέποτε εὐνοήσειν, λόγον εἶχεν εἰκότα· πᾶσι δὲ πόλεμον ἀνθρώποις ἀκήρυκτον ἄρασθαι τούτους, εἴπερ ἔπραττον ὡς αὐτὸς λέγει κακῶς, παρὰ πάντων βοηθείας δεομένους, ἄνοιαν οὐκ ἐκείνων ἀλλὰ τοῦ ψευδομένου πάνυ πολλὴν παρίστησιν, ὅς γε καὶ τοὔνομα θέσθαι τῇ πόλει ἀπὸ τῆς ἱεροσυλίας αὐτοὺς ἐτόλμησεν εἰπεῖν, τοῦτο δὲ μετὰ ταῦτα παρατρέψαι. δῆλον γὰρ ὅτι τοῖς μὲν ὕστερον γενομένοις αἰσχύνην τοὔνομα καὶ μῖσος ἔφερεν, αὐτοὶ δ' οἱ κτίζοντες τὴν πόλιν κοσμήσειν αὐτοὺς ὑπελάμβανον οὕτως ὀνομάσαντες. ὁ δὲ γενναῖος ὑπὸ κολλῆς τοῦ λοιδορεῖν ἀκρασίας οὐ συνῆκεν ὅτι ἱεροσυλεῖν οὐ κατὰ τὴν αὐτὴν φωνὴν Ἰουδαῖοι τοῖς Ἕλλησιν ὀνομάζομεν. τί οὖν ἔτι πλείω τις λέγοι πρὸς τὸν ψευδόμενον οὕτως ἀναισχύντως;

ἀλλ' ἐπειδὴ σύμμετρον ἤδη τὸ βιβλίον εἴληφε μέγεθος, ἑτέραν ποιησάμενος ἀρχὴν τὰ λοιπὰ τῶν εἰς τὸ προκείμενον πειράσομαι προσαποδοῦναι.

Digitized by Google

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Διὰ μὲν οὖν τοῦ προτέρου βιβλίου, τιμιώτατέ μοι Ἐπαφρόδιτε, περί τε τῆς ἀρχαιότητος ἡμῶν ἐπέδειξα, τοῖς Φοινίκων καὶ Χαλδαίων καὶ Αἰγυπτίων γράμμασι πιστωσάμενος τὴν ἀλήθειαν καὶ πολλοὺς τῶν Ἑλλήνων συγγραφεῖς παρασχόμενος μάρτυρας, τήν τε ἀντίρρησιν ἐποιησάμην πρὸς Μανεθῶνα καὶ Χαιρήμονα καί τινας ἑτέρους· ἄρξομαι δὲ νῦν τοὺς ὑπολειπομένους τῶν γεγραφότων τι καθ' ἡμῶν ἐλέγχειν. καίτοι περὶ τῆς πρὸς Ἀπίωνα τὸν γραμματικὸν ἀντιρρήσεως ἐπῆλθέ μοι διαπορεῖν εἰ χρὴ σπουδάσαι· τὰ μὲν γάρ ἐστι τῶν ὑπ' αὐτοῦ γεγραμμένων τοῖς ὑπ' ἄλλων εἰρημένοις ὅμοια, τὰ δὲ λίαν ψυχρῶς προστέθεικεν, τὰ πλεῖστα δὲ βωμολοχίαν ἔχει καὶ πολλήν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἀπαιδευσίαν, ὡς ἂν ὑπ' ἀνθρώπου συγκείμενα καὶ φαύλου τὸν τρόπον καὶ παρὰ πάντα τὸν βίον ὀχλαγωγοῦ γεγονότος. ἐπεὶ δ' οἱ πολλοὶ τῶν ἀνθρώπων διὰ τὴν ἄνοιαν ὑπὸ τῶν τοιούτων ἁλίσκονται λόγων μᾶλλον ἢ τῶν μετά τινος σπουδῆς γεγραμμένων, καὶ χαίρουσι μὲν ταῖς λοιδορίαις ἄχθονται δὲ τοῖς ἐπαίνοις, ἀναγκαῖον ἡγησάμην εἶναι μηδὲ τοῦτον ἀνεξέταστον καταλιπεῖν, κατηγορίαν ἡμῶν ἄντικρυς ὡς ἐν δίκῃ γεγραφότα· καὶ γὰρ αὖ κἀκεῖνο τοῖς πολλοῖς ἀνθρώποις ὁρῶ παρακολουθοῦν, τὸ λίαν ἐφήδεσθαι ὅταν τις ἀρξάμενος βλασφημεῖν ἕτερον αὐτὸς ἐλέγχηται περὶ τῶν αὐτῷ προσόντων κακῶν. ἔστι μὲν οὖν οὐ ῥᾴδιον αὐτοῦ διελθεῖν τὸν λόγον, οὐδὲ σαφῶς γνῶναι τί λέγειν βούλεται· σχεδὸν δ' ὡς ἐν πολλῇ ταραχῇ καὶ ψευσμάτων συγχύσει, τὰ μὲν εἰς τὴν ὁμοίαν ἰδέαν πίπτει τοῖς προεξητασμένοις, περὶ τῆς ἐξ Αἰγύπτου τῶν ἡμετέρων προγόνων μεταναστά-

Digitized by Google

σεως, τὰ δ' ἐστὶ κατηγορία τῶν ἐν Ἀλεξανδρείᾳ κατοικούντων Ἰουδαίων. τρίτον δ' ἐπὶ τούτοις μέμικται περὶ τῆς ἁγιστείας τῆς κατὰ τὸ ἱερὸν ἡμῶν καὶ τῶν ἄλλων νομίμων κατηγορία.

ὅτι μὲν οὖν οὔτε Αἰγύπτιοι τὸ γένος ἦσαν ἡμῶν 2
οἱ πατέρες, οὔτε διὰ λύμην σωμάτων ἢ τοιαύτας ἄλλας συμφοράς τινας ἐκεῖθεν ἐξηλάθησαν, οὐ μόνον μετρίως ἀλλὰ καὶ πέρα τοῦ συμμέτρου πρὸαποδεδεῖχθαι νομίζω· περὶ ὧν δὲ προστίθησιν ὁ Ἀπίων ἐπιμνησθήσομαι συντόμως. φησὶ γὰρ ἐν τῇ τρίτῃ τῶν Αἰγυπτιακῶν τάδε. "Μωϋσῆς, ὡς ἤκουσα παρὰ τῶν πρεσβυτέρων τῶν Αἰγυπτίων, ἦν Ἡλιουπολίτης, ὃς πατρίοις ἔθεσι κατηγγυημένος αἰθρίους προσευχὰς ἀνῆγεν εἰς οἴους εἶχεν ἡ πόλις περιβόλους, πρὸς ἀφηλιώτην δὲ πᾶσαν ἀπέστρεφεν· ὧδε γὰρ καὶ Ἡλίου κεῖται πόλις. ἀντὶ δὲ ὀβελῶν ἔστησε κίονας, ὑφ' οἷς ἦν ἐκτύπωμα σκάφης, σκιὰ δ' ἀπ' ἄκρων ἐπ' αὐτὴν διακειμένη, ὡς ὂν ἐν αἰθέρι, τοῦτον ἀεὶ τὸν δρόμον ἡλίῳ συμπεριπολεῖ." τοιαύτη μέν τις ἡ θαυμαστὴ τοῦ γραμματικοῦ φράσις, τὸ δὲ ψεῦσμα λόγων οὐ δεόμενον ἀλλ' ἐκ τῶν ἔργων περιφανές. οὔτε γὰρ αὐτὸς Μωϋσῆς, ὅτε τὴν πρώτην σκηνὴν τῷ θεῷ κατεσκεύασεν, οὐδὲν ἐκτύπωμα τοιοῦτον εἰς αὐτὴν ἐνέθηκεν, οὐδὲ ποιεῖν τοῖς ἔπειτα προσέταξεν· ὅ τε μετὰ ταῦτα κατασκευάσας τὸν ναὸν τὸν ἐν Ἱεροσολύμοις Σολομὼν πάσης ἀπέσχετο τοιαύτης περιεργίας οἵαν συμπέπλακεν Ἀπίων. ἀκούσαι δέ φησι τῶν πρεσβυτέρων ὅτι Μωϋσῆς ὁ Ἡλιουπολίτης, δηλονότι νεώτερος μὲν ὢν αὐτός, ἐκείνοις δὲ πιστεύσας τοῖς διὰ τὴν ἡλικίαν ἐπισταμένοις αὐτὸν καὶ συγγενομένοις. καὶ περὶ μὲν Ὁμήρου τοῦ ποιητοῦ, γραμματικὸς ὢν αὐτός, οὐκ ἂν ἔχοι τίς αὐτοῦ πατρίς ἐστι διαβεβαιωσάμενος εἰπεῖν, οὐδὲ περὶ Πυθαγόρου

Digitized by Google

μόνον οὐκ ἐχθὲς καὶ πρῴην γεγονότος· περὶ δὲ Μωϋσέως, τοσούτῳ πλήθει προάγοντος ἐκείνους ἐτῶν, οὕτως ἀποφαίνεται ῥᾳδίως πιστεύων ἀκοῇ πρεσβυτέρων, ὡς δῆλός ἐστι καταψευσάμενος. τὰ δὲ δὴ τῶν χρόνων ἐν οἷς φησὶ τὸν Μωϋσῆν ἐξαγαγεῖν τοὺς λεπρῶντας καὶ τυφλοὺς καὶ τὰς βάσεις πεπηρωμένους, σφόδρα δὴ τοῖς πρὸ αὐτοῦ συμπεφώνηκεν, ὡς οἶμαι, ὁ γραμματικὸς ὁ ἀκριβέστατος. Μανεθὼς μὲν γὰρ κατὰ τὴν Τεθμώσιος βασιλείαν ἀπαλλαγῆναί φησιν ἐξ Αἰγύπτου τοὺς Ἰουδαίους, πρὸ ἐτῶν τριακοσίων ἐνενήκοντα τριῶν τῆς εἰς Ἄργος Δαναοῦ φυγῆς, Λυσίμαχος δὲ κατὰ Βόκχοριν τὸν βασιλέα, τουτέστι πρὸ ἐτῶν χιλίων ἑπτακοσίων, Μόλων δὲ καὶ ἄλλοι τινὲς ὡς αὐτοῖς ἔδοξεν· ὁ δέ γε πάντων πιστότατος Ἀπίων ὡρίσατο τὴν ἔξοδον ἀκριβῶς, κατὰ τὴν ἑβδόμην ὀλυμπιάδα, καὶ ταύτης ἔτος εἶναι πρῶτον ἐν ᾧ, φησί, Καρχηδόνα Φοίνικες ἔκτισαν. τοῦτο δὲ πάντως προσέθηκε, τὸ Καρχηδόνα, τεκμήριον οἰόμενος αὐτῷ γενέσθαι τῆς ἀληθείας ἐναργέστατον· οὐ συνῆκε δὲ καθ' ἑαυτοῦ τὸν ἔλεγχον ἐπισπώμενος. εἰ γὰρ περὶ τῆς ἀποικίας πιστεύειν δεῖ ταῖς Φοινίκων ἀναγραφαῖς, ἐν ἐκείναις Εἴρωμος ὁ βασιλεὺς γέγραπται πρεσβύτερος τῆς Καρχηδόνος κτίσεως ἔτεσι πλείοσι πρὸς τοῖς πεντήκοντα καὶ ἑκατόν, περὶ οὗ τὰς πίστεις ἀνωτέρω παρέσχον ἐκ τῶν Φοινίκων ἀναγραφῶν, ὅτι Σολομῶνι τῷ τὸν ναὸν οἰκοδομησαμένῳ τὸν ἐν Ἱεροσολύμοις φίλος ἦν Εἴρωμος, καὶ πολλὰ συνεβάλλετο πρὸς τὴν τοῦ ναοῦ κατασκευήν· αὐτὸς δὲ ὁ Σολομὼν ᾠκοδόμησε τὸν ναὸν μετὰ τὸ ἐξελθεῖν ἐξ Αἰγύπτου τοὺς Ἰουδαίους δώδεκα καὶ ἑξακοσίοις ἔτεσιν ὕστερον. τὸν δὲ ἀριθμὸν τῶν ἐλαθέντων τὸν αὐτὸν Λυσιμάχῳ σχεδιάσας (ἕνδεκα γὰρ αὐτοὺς εἶναί φησι μυριάδας) θαυμαστήν τινα καὶ πιθανὴν ἀποδίδωσιν αἰτίαν, ἀφ' ἧς

Digitized by Google

φησὶ τὸ σάββατον ὠνομάσθαι· "ὁδεύσαντες" γάρ φησιν "ἓξ ἡμερῶν ὁδὸν βουβῶνας ἔσχον, καὶ διὰ ταύτην τὴν αἰτίαν τῇ ἑβδόμῃ ἡμέρᾳ ἀνεπαύσαντο σωθέντες εἰς τὴν χώραν τὴν νῦν Ἰουδαίαν λεγομένην, καὶ ἐκάλεσαν τὴν ἡμέραν σάββατον, σώζοντες τὴν Αἰγυπτίων γλῶτταν· τὸ γὰρ βουβῶνος ἄλγος καλοῦσιν Αἰγύπτιοι σαββάτωσιν." οὐκ ἂν οὖν τις ἢ καταγελάσειε τῆς φλυαρίας, ἢ τοὐναντίον μισήσειε τὴν ἐν τῷ τοιαῦτα γράφειν ἀναίδειαν; δῆλον γὰρ ὅτι πάντες ἐβουβωνίασαν ἕνδεκα μυριάδες ἀνθρώπων. ἀλλ' εἰ μὲν ἦσαν ἐκεῖνοι τυφλοὶ καὶ χωλοὶ καὶ πάντα τρόπον νοσοῦντες, ὁποίους αὐτοὺς εἶναί φησιν Ἀπίων, οὐδ' ἂν μιᾶς ἡμέρας προελθεῖν ὁδὸν ἠδυνήθησαν· εἰ δ' οἷοι βαδίζειν διὰ πολλῆς ἐρημίας καὶ προσέτι νικᾶν τοὺς αὐτοῖς ἀνθισταμένους μαχόμενοι πάντες, οὐκ ἂν ἀθρόοι μετὰ τὴν ἕκτην ἡμέραν ἐβουβωνίασαν. οὔτε γὰρ φύσει πως γίνεται τὸ τοιοῦτον τοῖς βαδίζουσιν ἐξ ἀνάγκης, ἀλλὰ πολλαὶ μυριάδες στρατοπέδων τὸ σύμμετρον ἀεὶ βαδίζουσιν, οὔτε κατ' αὐτόματον εἰκὸς οὕτω συμβῆναι· πάντων γὰρ ἀλογώτατον. ὁ δὲ θαυμαστὸς Ἀπίων διὰ μὲν ἓξ ἡμερῶν αὐτοὺς ἐλθεῖν εἰς τὴν Ἰουδαίαν προείρηκε, πάλιν δὲ τὸν Μωϋσῆν εἰς τὸ μεταξὺ τῆς Αἰγύπτου καὶ τῆς Ἀραβίας ὄρος, ὃ καλεῖται Σίναιον, ἀναβάντα φησὶν ἡμέρας τεσσαράκοντα κρυφθῆναι, κἀκεῖθεν καταβάντα δοῦναι τοῖς Ἰουδαίοις τοὺς νόμους. καίτοι πῶς οἷόν τε τοὺς αὐτοὺς καὶ τεσσαράκοντα μένειν ἡμέρας ἐν ἐρήμῳ καὶ ἀνύδρῳ τόπῳ καὶ τὴν μεταξὺ πᾶσαν ἐν ἡμέραις ἓξ διελθεῖν; ἡ δὲ περὶ τὴν ὀνομασίαν τοῦ σαββάτου γραμματικὴ μετάθεσις ἀναίδειαν ἔχει πολλὴν ἢ δεινὴν ἀμαθίαν. τὸ γὰρ σαββὼ καὶ σάββατον πλεῖστον ἀλλήλων διαφέρει· τὸ μὲν γὰρ σάββατον κατὰ τὴν Ἰουδαίων διάλεκτον ἀνάπαυσίς ἐστιν ἀπὸ παντὸς ἔργου, τὸ δὲ

Digitized by Google

σαββῶ, καθάπερ ἐκεῖνός φησι, δηλοῖ παρ' Αἰγυπτίοις τὸ βουβῶνος ἄλγος.

3 τοιαῦτα μέν τινα περὶ Μωϋσέως καὶ τῆς ἐξ Αἰγύπτου γενομένης τοῖς Ἰουδαίοις ἀπαλλαγῆς ὁ Αἰγύπτιος Ἀπίων ἐκαινοποίησε, παρὰ τοὺς ἄλλους ἐπινοήσας. καὶ τί γε δεῖ θαυμάζειν εἰ περὶ τῶν ἡμετέρων ψεύδεται προγόνων, λέγων αὐτοὺς εἶναι τὸ γένος Αἰγυπτίους; αὐτὸς γὰρ περὶ αὑτοῦ τοὐναντίον ἐψεύδετο, καὶ γεγενημένος ἐν Ὀάσει τῆς Αἰγύπτου, πάντων Αἰγυπτίων πρῶτος ὤν, ὡς ἂν εἴποι τις, τὴν μὲν ἀληθῆ πατρίδα καὶ τὸ γένος ἐξωμόσατο, Ἀλεξανδρεὺς δὲ εἶναι καταψευδόμενος ὁμολογεῖ τὴν μοχθηρίαν τοῦ γένους. εἰκότως οὖν οὓς μισεῖ καὶ βούλεται λοιδορεῖν, τούτους Αἰγυπτίους καλεῖ. εἰ μὴ γὰρ φαυλοτάτους εἶναι ἐνόμιζεν Αἰγυπτίους, οὐκ ἂν τοῦ γένους αὐτὸς ἔφυγεν, ὡς οἵ γε μεγαλοφρονοῦντες ἐπὶ ταῖς ἑαυτῶν πατρίσι σεμνύνονται μὲν ἀπὸ τούτων αὐτοὶ χρηματίζοντες, τοὺς ἀδίκως δ' αὐτῶν ἀντιποιουμένους ἐλέγχουσι. πρὸς ἡμᾶς δὲ δυοῖν θάτερον Αἰγύπτιοι πεπόνθασιν· ἢ γὰρ ὡς ἐπισεμνυνόμενοι προσποιοῦνται τὴν συγγένειαν, ἢ κοινωνοὺς ἡμᾶς ἐπισπῶνται τῆς αὐτῶν κακοδοξίας. ὁ δὲ γενναῖος Ἀπίων δοκεῖ μὲν τὴν βλασφημίαν τὴν καθ' ἡμῶν ὥσπερ τινὰ μισθὸν ἐθελῆσαι παρασχεῖν Ἀλεξανδρεῦσι τῆς δοθείσης αὐτῷ πολιτείας, καὶ τὴν ἀπέχθειαν αὐτῶν ἐπιστάμενος τὴν πρὸς τοὺς συνοικοῦντας αὐτοῖς ἐπὶ τῆς Ἀλεξανδρείας Ἰουδαίους προτέθειται μὲν ἐκείνοις λοιδορεῖσθαι, συμπεριλαμβάνει δὲ καὶ τοὺς ἄλλους ἅπαντας, ἐν ἀμφοτέροις ἀναισχύντως ψευδόμενος.

4 τίνα τοίνυν ἐστὶ τὰ δεινὰ καὶ σχέτλια τῶν ἐν Ἀλεξανδρείᾳ κατοικούντων Ἰουδαίων, ἃ κατηγόρηκεν αὐτῶν, ἴδωμεν. "ἐλθόντες" φησίν "ἀπὸ Συρίας ἔπη-

Digitized by Google

σαν πρὸς ἀλίμενον θάλασσαν, γειτνιάσαντες ταῖς τῶν κυμάτων ἐκβολαῖς." οὐκοῦν ὁ τόπος εἰ λοιδορίαν ἔχει, τὴν οὐ πατρίδα μὲν λεγομένην δὲ αὐτοῦ, τὴν Ἀλεξάνδρειαν λοιδορεῖ· ἐκείνης γὰρ καὶ το παράλιόν ἐστι μέρος, ὡς πάντες ὁμολογοῦσιν, εἰς κατοίκησιν τὸ κάλλιστον. Ἰουδαῖοι δ' εἰ μὲν βιασάμενοι κατέσχον ὡς μηδ' ὕστερον ἐκπεσεῖν, ἀνδρείας τεκμήριόν ἐστ' αὐτοῖς. εἰς κατοίκησιν δὲ αὐτοῖς ἔδωκε τόπον Ἀλέξανδρος, καὶ ἴσης παρὰ τοῖς Μακεδόσι τιμῆς ἐπέτυχον. οὐκ οἶδα δὲ τί ποτ' ἂν ἔλεγεν Ἀπίων, εἰ πρὸς τῇ Νεκροπόλει κατῴκουν, καὶ μὴ πρὸς τοῖς βασιλείοις ἦσαν ἱδρυμένοι καὶ μέχρι νῦν αὐτῶν ἡ φυλὴ τὴν προσηγορίαν εἶχε Μακεδόνες. εἰ μὲν οὖν ἀναγνοὺς τὰς ἐπιστολὰς Ἀλεξάνδρου τοῦ βασιλέως καὶ τὰς Πτολεμαίου τοῦ Λάγου, καὶ τῶν μετ' ἐκεῖνον τῆς Αἰγύπτου βασιλέων ἐντυχὼν τοῖς γράμμασι, καὶ τὴν στήλην τὴν ἑστῶσαν ἐν Ἀλεξανδρείᾳ καὶ τὰ δικαιώματα περιέχουσαν ἃ Καῖσαρ ὁ μέγας τοῖς Ἰουδαίοις ἔδωκεν, εἰ μὲν οὖν ταῦτα, φημί, γινώσκων τἀναντία γράφειν ἐτόλμησε, πονηρὸς ἦν, εἰ δὲ μηδὲν ἠπίστατο τούτων, ἀπαίδευτος. τὸ δὲ δὴ θαυμάζειν πῶς Ἰουδαῖοι ὄντες Ἀλεξανδρεῖς ἐκλήθησαν, τῆς ὁμοίας ἀπαιδευσίας. πάντες γὰρ οἱ εἰς ἀποικίαν τινὰ κατακληθέντες, κἂν πλεῖστον ἀλλήλων τοῖς γένεσι διαφέρωσιν, ἀπὸ τῶν οἰκιστῶν τὴν προσηγορίαν λαμβάνουσι. καὶ τί δεῖ περὶ τῶν ἄλλων λέγειν; αὐτῶν γὰρ ἡμῶν οἱ τὴν Ἀντιόχειαν κατοικοῦντες Ἀντιοχεῖς ὀνομάζονται· τὴν γὰρ πολιτείαν αὐτοῖς ἔδωκεν ὁ κτίστης Σέλευκος. ὁμοίως οἱ ἐν Ἐφέσῳ καὶ κατὰ τὴν ἄλλην Ἰωνίαν τοῖς αὐθιγενέσι πολίταις ὁμωνυμοῦσι, τοῦτο παρασχόντων αὐτοῖς τῶν διαδόχων. ἡ δὲ Ῥωμαίων φιλανθρωπία πᾶσι μικροῦ δεῖν τῆς αὐτῶν προσηγορίας μεταδέδωκεν, οὐ μόνον ἀνδράσιν ἀλλὰ καὶ μεγάλοις

Digitized by Google

ἔθνεσιν ὅλοις· Ἴβηρες γοῦν οἱ πάλαι καὶ Τυρρηνοὶ καὶ Σαβῖνοι Ῥωμαῖοι καλοῦνται. εἰ δὲ τοῦτον ἀφαιρεῖται τὸν τρόπον τῆς πολιτείας Ἀπίων, παυσάσθω λέγων αὐτὸν Ἀλεξανδρέα· γεννηθεὶς γάρ, ὡς προεῖπον, ἐν τῷ βαθυτάτῳ τῆς Αἰγύπτου, πῶς ἂν Ἀλεξανδρεὺς εἴη, τῆς κατὰ δόσιν πολιτείας, ὡς αὐτὸς ἐφ' ἡμῶν ἠξίωκεν, ἀναιρουμένης; καίτοι μόνοις Αἰγυπτίοις οἱ κύριοι νῦν Ῥωμαῖοι τῆς οἰκουμένης μεταλαμβάνειν ἠστινοσοῦν πολιτείας ἀπειρήκασιν. ὃ δ' οὕτως ἐστὶ γενναῖος ὡς μετέχειν ἀξιῶν αὐτὸς ὧν τυγχεῖν ἐκωλύετο, συκοφαντεῖν ἐπεχείρησε τοὺς δικαίως λαβόντας. οὐ γὰρ ἀπορία γε τῶν οἰκησόντων τὴν μετὰ σπουδῆς ὑπ' αὐτοῦ κτιζομένην Ἀλέξανδρος τῶν ἡμετέρων τινὰς ἐκεῖ συνήθροισεν, ἀλλὰ πάντας δοκιμάζων ἐπιμελῶς ἀρετῆς καὶ πίστεως τοῦτο τοῖς ἡμετέροις τὸ γέρας ἔδωκεν. ἔτιμα γὰρ ἡμῶν τὸ ἔθνος, ὡς καί φησιν Ἑκαταῖος περὶ ἡμῶν ὅτι διὰ τὴν ἐπιείκειαν καὶ πίστιν, ἣν αὐτῷ παρέσχον Ἰουδαῖοι, τὴν Σαμαρεῖτιν χώραν προσέθηκεν ἔχειν αὐτοῖς ἀφορολόγητον. ὅμοια δὲ Ἀλεξάνδρῳ καὶ Πτολεμαῖος ὁ Λάγου περὶ τῶν ἐν Ἀλεξανδρείᾳ κατοικούντων ἐφρόνησε· καὶ γὰρ τὰ κατὰ τὴν Αἴγυπτον αὐτοῖς ἐνεχείρισε φρούρια, πιστῶς ἅμα καὶ γενναίως φυλάξειν ὑπολαμβάνων, καὶ Κυρήνης ἐγκρατῶς ἄρχειν βουλόμενος καὶ τῶν ἄλλων τῶν ἐν τῇ Λιβύῃ πόλεων εἰς αὐτὰς μέρος Ἰουδαίων ἔπεμψε κατοικῆσον. ὁ δὲ μετ' αὐτὸν Πτολεμαῖος, ὁ φιλάδελφος ἐπικληθείς, οὐ μόνον εἴ τινες ἦσαν αἰχμάλωτοι παρ' αὐτῷ τῶν ἡμετέρων, πάντας ἀπέδωκεν, ἀλλὰ καὶ χρήματα πολλάκις ἐδωρήσατο, καὶ τὸ μέγιστον, ἐπιθυμητὴς ἐγένετο τοῦ γνῶναι τοὺς ἡμετέρους νόμους καὶ ταῖς τῶν ἱερῶν γραφῶν βίβλοις ἐντυχεῖν. ἔπεμψε γοῦν ἀξιῶν ἄνδρας ἀποσταλῆναι τοὺς ἑρμηνεύσοντας αὐτῷ τὸν νόμον, καὶ τοῦ γραφῆναι ταῦτα

Digitized by Google

καλῶς τὴν ἐπιμέλειαν ἐπέταξεν οὐ τοῖς τυχοῦσιν, ἀλλὰ Δημήτριον τὸν Φαληρέα καὶ Ἀνδρέαν καὶ Ἀριστέα, τὸν μὲν παιδείᾳ τῶν καθ' ἑαυτὸν διαφέροντα Δημήτριον, τοὺς δὲ τὴν τοῦ σώματος αὐτοῦ φυλακὴν ἐγκεχειρισμένους, ἐπὶ τῆς ἐπιμελείας ταύτης ἔταξεν, οὐκ ἂν δή που τοὺς νόμους καὶ τὴν πάτριον ἡμῶν φιλοσοφίαν ἐπιθυμήσας ἐκμαθεῖν, εἰ τῶν χρωμένων αὐτοῖς ἀνδρῶν κατεφρόνει καὶ μὴ λίαν ἐθαύμαζεν.

Ἀπίωνα δὲ σχεδὸν ἐφεξῆς πάντες ἔλαθον οἱ τῶν προγόνων αὐτοῦ Μακεδόνων βασιλεῖς οἰκειότατα πρὸς ἡμᾶς διατεθέντες. καὶ γὰρ τρίτος Πτολεμαῖος, ὁ λεγόμενος εὐεργέτης, κατασχὼν ὅλην Συρίαν κατὰ κράτος οὐ τοῖς ἐν Αἰγύπτῳ θεοῖς χαριστήρια τῆς νίκης ἔθυσεν, ἀλλὰ παραγενόμενος εἰς Ἱεροσόλυμα πολλάς, ὡς ἡμῖν νόμιμόν ἐστιν, ἐπετέλεσε θυσίας τῷ θεῷ, καὶ ἀνέθηκεν ἀναθήματα τῆς νίκης ἄξια. ὁ δὲ φιλομήτωρ Πτολεμαῖος καὶ ἡ γυνὴ αὐτοῦ Κλεοπάτρα τὴν βασιλείαν ὅλην τὴν ἑαυτῶν Ἰουδαίοις ἐπίστευσαν, καὶ στρατηγοὶ πάσης τῆς δυνάμεως ἦσαν Ὀνίας καὶ Δοσίθεος Ἰουδαῖοι, ὧν Ἀπίων σκώπτει τὰ ὀνόματα, δέον τὰ ἔργα θαυμάζειν, καὶ μὴ λοιδορεῖν ἀλλὰ χάριν αὐτοῖς ἔχειν ὅτι διεσώσαντο τὴν Ἀλεξάνδρειαν, ἧς ὡς πολίτης ἀντιποιεῖται· πολεμούντων γὰρ αὐτῶν τῇ βασιλίσσῃ Κλεοπάτρᾳ καὶ κινδυνευόντων ἀπολέσθαι κακῶς, οὗτοι συμβάσεις ἐποίησαν καὶ τῶν ἐμφυλίων κακῶν ἀπήλλαξαν. ἀλλὰ μετὰ ταῦτα, φησίν, Ὀνίας ἐπὶ τὴν πόλιν ἦγαγε στρατὸν ὀλίγον, ὄντος ἐκεῖ Θέρμου τοῦ παρὰ Ῥωμαίων πρεσβευτοῦ καὶ παρόντος. ὀρθῶς δὲ ποιῶν, φαίην ἄν, καὶ μάλα δικαίως. ὁ γὰρ Φύσκων ἐπικληθεὶς Πτολεμαῖος, ἀποθανόντος αὐτῷ τοῦ ἀδελφοῦ Πτολεμαίου τοῦ φιλομήτορος, ἀπὸ Κυρήνης ἐξῆλθε Κλεοπάτραν ἐκβαλεῖν βουλόμενος τῆς βασιλείας et filios regis, ut ipse regnum

Digitized by Google

injuste sibimet applicaret; propter haec ergo Onias adversus eum bellum pro Cleopatra suscepit, et fidem quam habuit circa reges, nequaquam in necessitate deseruit. testis autem deus justitiae ejus manifestus apparuit. nam Physcon Ptolemaeus quum adversum exercitum quidem Oniae pugnare praesumeret, omnes vero Judaeos in civitate positos cum filiis et uxoribus capiens nudos atque vinctos elephantis subjecisset ut ab eis conculcati deficerent, et ad hoc etiam bestias ipsas inebriasset, in contrarium quae praeparaverat evenere: elephanti enim relinquentes sibi appositos Judaeos, impetu facto super amicos ejus multos ex ipsis interemere. et post haec Ptolemaeus quidem aspectum terribilem contemplatus est, prohibentem se ut illis noceret hominibus: concubina vero sua carissima, quam alii quidem Ithacam alii vero Hirenen denominant, supplicante ne tantam impietatem perageret, ei concessit, et ex his quae jam egerat vel acturus erat, poenitentiam egit. unde recte hanc diem Judaei Alexandriae constituti, eo quod aperte a deo salutem promeruere, celebrare noscuntur. Apion autem omnium calumniator etiam propter bellum adversus Physconem gestum Judaeos accusare praesumpsit, quum eos laudare debuerit. is autem etiam ultimae Cleopatrae reginae Alexandrinorum meminit, veluti nobis improperans quoniam circa nos fuit ingrata; et non potius illam redarguere studuit, cui nihil omnino injustitiae et malorum operum defuit vel circa generis necessarios, vel circa maritos suos, qui etiam dilexerint eam, vel in communi contra Romanos omnes et benefactores suos imperatores, quae etiam sororem Arsinoen occidit in templo, nihil sibi nocentem. peremit autem et fratrem insidiis, paternosque deos et sepulcra progenitorum depopulata est. percipiensque regnum a primo Caesare, ejus filio et successori rebellare praesumpsit, Antoniumque corrumpens amatoriis rebus et patriae inimicum

Digitized by Google

fecit et infidelem circa suos amicos instituit, alios quidem genere regali spolians, alios autem demens ad mala gerenda compellens. sed quid oportet amplius dicere, quum illum ipsum in navali certamine relinquens, id est maritum et parentem communium filiorum, tradere cum exercitu principatum et se sequi coegit? novissime vero Alexandria a Caesare capta, ad hoc usque perducta est ut salutem hinc sperare se judicaret, si posset ipsa manu sua Judaeos perimere, eo quod circa omnes crudelis et infidelis exstaret. putasne gloriandum nobis non esse, si, quemadmodum dicit Apion, famis tempore Judaeis triticum non est mensa? sed illa quidem poenam subiit competentem, nos autem maximo Caesare utimur teste auxilii atque fidei quam circa eum contra Aegyptios gessimus, nec non et senatu ejusque consultis, et epistolis Caesaris Augusti, quibus nostra merita comprobantur. has literas Apionem oportebat inspicere, et secundum genera examinare testimonia sub Alexandro facta et omnibus Ptolemaeis, et quae a senatu constituta sunt, nec non et maximis Romanis imperatoribus. si vero Germanicus frumenta cunctis in Alexandria commorantibus metiri non potuit, hoc indicium est sterilitatis ac penuriae frumentorum, non accusatio Judaeorum. quid enim sentiant omnes imperatores de Judaeis in Alexandria commorantibus, palam est: nam administratio tritici nihilo magis ab eis quam ab aliis Alexandrinis translata est. maximam vero eis fidem olim a regibus datam conservare voluerunt, id est fluminis custodiam totiusque custodiae, nequaquam his rebus indignos esse judicantes.

sed super hoc "quomodo ergo" inquit, "si sunt cives, 6
eosdem deos, quos Alexandrini, non colunt?" cui respondeo: quomodo etiam, quum vos sitis Aegyptii, inter alterutros praelio magno et sine foedere de religione contenditis? aut certe propterea non vos omnes dicimus Aegyptios, et neque com-

Digitized by Google

muniter homines, quoniam bestias adversantes naturae nostrae colitis, multa diligentia nutrientes? quum genus utique nostrorum unum atque idem esse videatur. si autem in vobis Aegyptiis tantae differentiae opinionum sunt, quid miraris super his qui aliunde in Alexandriam advenerunt, si legibus a principio constitutis circa talia permansere? is autem seditionis causas nobis apponit; qui si cum veritate ob hoc accusat Judaeos in Alexandria constitutos, cur omnes non culpare possit eo quod noscamur habere concordiam? porro etiam seditionis auctores quilibet inveniet Apionis similes Alexandrinorum fuisse cives. donec enim Graeci fuere et Macedones hanc civitatem habentes, nullam seditionem adversus nos gessere, sed antiquis cessere solemnitatibus. quum vero multitudo Aegyptiorum crevisset inter eos propter confusiones temporum, etiam hoc opus semper est additum. nostrum vero genus permansit purum. ipsi igitur molestiae hujus fuere principium, nequaquam populo Macedonicam habente constantiam neque prudentiam Graecam, sed cunctis scilicet utentibus malis moribus Aegyptiorum, et antiquas inimicitias adversum nos exercentibus. e diverso namque factum est quod nobis improperare praesumunt. nam quum plurimi eorum non opportune jus ejus civitatis obtineant, peregrinos vocantes eos qui hoc privilegium ad omnes impetrasse noscuntur. nam Aegyptiis neque regum quisquam videtur jus civitatis fuisse largitus, neque nunc quilibet imperatorum. nos autem Alexander quidem introduxit, reges autem auxere, Romani vero semper custodire dignati sunt. itaque derogare nobis Apion voluit, quia imperatorum non statuamus imagines, tanquam illis hoc ignorantibus aut defensione Apionis indigentibus; quum potius debuerit admirari magnanimitatem modestiamque Romanorum, quoniam subjectos non cogunt patria jura transcendere, sed suscipiunt honores sicut dare offerentes pium at-

Digitized by Google

que legitimum est. non enim honoribus gratiam habent qui ex necessitate et violentia conferuntur. Graecis itaque et aliis quibusdam bonum esse creditur imagines instituere. denique et patrum et uxorum filiorumque figuras depingentes exsultant, quidam vero etiam nihil sibi competentium sumunt imagines. alii vero et servos diligentes hoc faciunt. quid ergo mirum est si etiam principibus ac dominis hunc honorem praebere videantur? porro autem legislator, non quasi prophetans Romanorum potentiam non honorandam, sed tanquam causam neque deo neque hominibus utilem despiciens, et quoniam totius animati, multo magis dei inanimati, probatur hoc inferius, interdixit imagines fabricare. aliis autem honoribus post deum colendos non prohibuit viros bonos, quibus nos et imperatores et populum Romanum dignitatibus ampliamus. facimus autem pro eis continua sacrificia; et non solum quotidianis diebus ex impensa communi omnium Judaeorum talia celebramus, verum quum nullas alias hostias ex communi neque pro filiis peragamus, solis imperatoribus hunc honorem praecipuum pariter exhibemus, quem hominum nulli persolvimus. haec itaque communiter satisfactio posita sit adversus Apionem pro his quae de Alexandria dicta sunt.

admiror autem etiam eos qui ei hujusmodi fomitem praebuere, id est Posidonium et Apollonium Molonis, quoniam accusant quidem nos, quare nos eosdem deos cum aliis non colimus. mentientes autem pariter, et de nostro templo blasphemias componentes incongruas, non se putant impie agere, quum sit valde turpissimum liberis qualibet ratione mentiri, multo magis de templo apud cunctos homines nominato, tanta sanctitate pollente. in hoc enim sacrario Apion praesumpsit edicere asini caput collocasse Judaeos, et id colere ac dignum facere tanta religione; et hoc affirmat fuisse depalatum, dum Antiochus Epiphanes et exspoliasset templum

Digitized by Google

et illud caput invenisset ex auro compositum, multis pecuniis dignum. ad hoc igitur primum quidem respondeo, quoniam Aegyptius, vel si aliquid tale apud nos fuisset, nequaquam debuerat increpare, quum non sit deterior asinus furonibus et hircis et aliis qui sunt apud eos dii. deinde quomodo non intellexit operibus increpatus de incredibili suo mendacio? legibus namque semper utimur iisdem; in quibus sine fine consistimus. et quum varii casus nostram civitatem sicut etiam aliorum vexaverint, et ⟨*Antiochus*⟩ Theos ac Pompejus Magnus ac Licinius Crassus et ad novissimum Titus Caesar bello vincentes obtinuerint templum, nihil hujusmodi illic invenere, sed purissimam pietatem, de qua nihil nobis est apud alios effabile. quia vero Antiochus neque justam fecit templi depraedationem, sed egestate pecuniarum ad hoc accessit, quum non esset hostis, et socios insuper nos suos et amicos aggressus est, nec aliquid dignum derisione illic invenit. multi et digni conscriptores super hoc quoque testantur, Polybius Megalopolitanus, Strabo Cappadox, Nicolaus Damascenus, Timagenes et Castor chronographus et Apollodorus; qui omnes dicunt pecuniis indigentem Antiochum transgressum foedera Judaeorum et spoliasse templum auro argentoque plenum. haec igitur Apion debuit respicere, nisi cor asini ipse potius habuisset et impudentiam canis, qui apud ipsos assolet coli. neque enim extrinsecus alia ratiocinatione mentitus est. nos itaque asinis neque honorem neque potestatem aliquam damus, sicut Aegyptii crocodilis et aspidibus, quando eos qui ab istis mordentur et a crocodilis rapiuntur, felices et deo dignos arbitrantur. sed sunt apud nos asini, quod apud alios sapientes viros, onera sibimet imposita sustinentes; et si ad areas accedentes comedant aut proposita non adimpleant, multas valde plagas accipiunt, quippe operibus et ad agriculturam rebus necessariis ministrantes. sed

Digitized by Google

aut omnium rudissimus fuit Apion ad componendum verba fallacia, aut certe ex rebus initia sumens haec implere non valuit, quando nulla potest contra nos blasphemia provenire.

alteram vero fabulam, derogatione nostra plenam, de 7
Graecis apposuit; de quo hoc dicere sat erit, quoniam qui de pietate loqui praesumunt, oportet eos non ignorare minus esse immundum per templa transire quam sacerdotibus scelesta verba confingere. isti vero magis studuere defendere sacrilegum regem quam justa et veracia de nostris et de templo conscribere. volentes enim Antiocho gratificari et perfidiam ac sacrilegium ejus tegere, quo circa gentem nostram est usus propter egestatem pecuniarum, detrahentes nobis etiam quae in futuris essent mentiti sunt. propheta vero aliorum factus est Apion, et dixit Antiochum in templo invenisse lectum et hominem in eo jacentem, et appositam ei mensulam maritimis terrenisque volatilium dapibus plenam, et quod obstupuisset his homo. illum vero mox adorasse regis ingressum tanquam maximam sibi opem praebituri; ac procidentem ad ejus genua, extensa dextera poposcisse libertatem; et jubente rege ut consideret, et diceret quis esset vel cur ibidem habitaret vel quae esset causa ciborum ejus, tunc hominem cum gemitu et lacrimis lamentabiliter suam narrasse necessitatem. ait, inquit, esse se Graecum; et dum peragraret provinciam parandi victus causa, correptum se subito ab alienigenis hominibus atque deductum ad templum, et inclusum illic, et a nullo conspici, sed cuncta dapium apparatione saginari. et primum quidem haec sibi inopinabilia beneficia visa attulisse laetitiam, deinde suspicionem, postea stuporem; postremum consulentem a ministris ad se accedentibus audisse legem ineffabilem Judaeorum, pro qua nutriebatur; et hoc illos facere singulis annis quodam tempore constituto. et comprehendere quidem Graecum peregrinum,

Digitized by Google

eumque annuo tempore saginare, et deductum ad quandam silvam occidere quidem eum hominem, ejusque corpus sacrificare secundum suas solemnitates, et gustare ex ejus visceribus, et jusjurandum facere in immolatione Graeci ut inimicitias contra Graecos haberent, et tunc in quandam foveam reliqua hominis pereuntis abjicere. deinde refert eum dixisse paucos jam dies debitos sibimet superesse, atque rogasse ut reveritus Graecorum deos, et superans in suo sanguine insidias Judaeorum, de malis eum circumstantibus deliberaret. hujusmodi ergo fabula non tantum omni tragoedia plenissima est, sed etiam crudeli impudentia redundat. non tamen a sacrilegio privat Antiochum, sicut arbitrati sunt qui haec ad illius gratiam conscripsere. non enim praesumpsit aliquid tale ut ad templum accederet, sed sic invenit non sperans. fuit ergo voluntatibus iniquis impius, et nihilominus sine deo, quicquid jussit mendacii superfluitas, quam ex ipsa re cognoscere valde facillimum est. non enim circa solos Graecos discordia legum esse dignoscitur, sed maxime adversus Aegyptios et plurimos alios. cujus enim regionis homines non contigit aliquando apud nos peregrinari, ut adversus solos Graecos renovata conjuratione per effusionem sanguinis ageremus? vel quomodo possibile ut ad has hostias omnes Judaei colligerentur, et tantis milibus ad gustandum viscera illa sufficerent, sicut ait Apion? vel cur inventum hominem quicunque fuit (non enim suo nomine conscripsit) aut quomodo eum in suam patriam rex non cum pompa deduxit? dum posset, hoc faciens, ipse quidem putari pius et Graecorum amator eximius, assumere vero contra Judaeorum odium auxilia magna cunctorum. sed haec relinquo: insensatos enim non verbis sed operibus decet arguere. sciant igitur omnes, qui videre constructionem templi nostri, qualis fuerit, et intransgressibilem ejus purificationis integritatem.

Digitized by Google

quattuor enim porticus habuit in circuitu, et harum singulae propriam secundum legem habuere custodiam. in exteriorem itaque ingredi licentia fuit omnibus etiam alienis: mulieres tantummodo menstruatae transire prohibebantur. in secundam vero porticum cuncti Judaei ingrediebantur, eorumque conjuges quum essent ab omni pollutione mundae. in tertiam masculi Judaeorum mundi exsistentes atque purificati, in quartam autem sacerdotes, stolis induti sacerdotalibus: in adytum vero soli principes sacerdotum, propria stola circumamicti. tanta vero est circa omnia providentia pietatis ut secundum quasdam horas sacerdotes ingredi constitutum sit. mane etiam aperto templo oportebat facientes traditas hostias introire, et meridie rursus, dum claudéretur templum. denique ne vas quidem aliquod portari licet in templum, sed erant in eo solummodo posita altare mensa thuribulum candelabrum, quae omnia in lege conscripta sunt. etenim nihil amplius neque mysteriorum aliquorum ineffabilium agitur, neque intus ulla epulatio administratur. haec enim quae praedicta sunt, habent totius populi testimonium manifestum rationemque gestorum. licet enim sint tribus quattuor sacerdotum, et harum tribuum singulae habeant hominum plus quam quinque milia, fit tamen observatio particulariter per dies certos; et his transactis alii succedentes ad sacrificia veniunt, et congregati in templum mediante die a praecedentibus claves templi et ad numerum vasa omnia percipiunt, nulla re quae ad cibum aut potum attineat in templum delata. talia namque etiam ad altaria offerre prohibitum est, praeter illa quae ad sacrificia praeparantur.

quid ergo Apionem dicimus nisi, nihil horum exami- 8
nantem, verba incredula protulisse? sed turpe est, historiae veram notitiam si proferre grammaticus non possit. et sciens templi nostri pietatem, hanc quidem praetermisit, hominis

Digitized by Google

autem Graeci comprehensionem finxit, pabulum ineffabile et ciborum opulentissimam claritatem, et pravos ingredientes, ubi nec nobilissimos Judaeorum licet intrare, nisi fuerint sacerdotes. haec ergo pessima est impietas atque mendacium spontaneum, ad eorum seductionem qui noluerunt discutere veritatem, per ea siquidem mala ineffabilia, quae praedicta sunt, nobis detrahere tentavere.

9 rursumque tanquam piissimus deridet, adjiciens fabulae inania facta. ait enim illum retulisse, dum bellum Judaei contra Idumaeos haberent longo quodam tempore, ex aliqua civitate Idumaeorum, qui in ea Apollinem colebat, venisse ad Judaeos, cujus hominis nomen dicitur Zabidus, deinde eis promisisse traditurum se eis Apollinem deum Dorensium, venturumque illum ad nostrum templum, si omnes ascenderent et adducerent omnem multitudinem Judaeorum. Zabidum vero fecisse quoddam machinamentum ligneum, et circumposuisse sibi, et in eo tres ordines finxisse lucernarum, et ita ambulasse ut procul stantibus appareret quasi stella per terram iter agens. τοὺς μὲν Ἰουδαίους ὑπὸ τοῦ παραδόξου τῆς θέας καταπεπληγμένους, πόρρω μένοντας ἡσυχίαν ἄγειν, τὸν δὲ Ζάβιδον ἐπὶ πολλῆς ἡσυχίας εἰς τὸν ναὸν παρελθεῖν, καὶ τὴν χρυσῆν ἀποσῦραι τοῦ κάνθωνος κεφαλήν (οὕτω γὰρ ἀστεϊζόμενος γέγραφε), καὶ πάλιν εἰς Δῶραν κατὰ τάχος ἀπελθεῖν. ἆρ' οὖν καὶ ἡμεῖς ἂν εἴποιμεν ὅτι τὸν κάνθωνα, τουτέστιν ἑαυτόν, Ἀπίων ἐπιφορτίζει καὶ ποιεῖ τῆς μωρολογίας ἅμα καὶ τῶν ψευσμάτων κατάγομον; καὶ γὰρ τόπους οὐκ ὄντας γράφει καὶ πόλεις οὐκ εἰδὼς μετατίθησιν. ἡ μὲν γὰρ Ἰδουμαία τῆς ἡμετέρας χώρας ἐστὶν ὅμορος, κατὰ Γάζαν κειμένη, καὶ Δῶρα ταύτης ἐστὶν οὐδεμία πόλις· τῆς μέντοι Φοινίκης παρὰ τὸ Καρμήλιον ὄρος Δῶρα πόλις ὀνομάζεται, μηδὲν ἐπικοινω-

Digitized by Google

νοῦσα τοῖς Ἀπίωνος φλυαρήμασι· τεσσάρων γὰρ ἡμερῶν ὁδὸν τῆς Ἰουδαίας ἀφέστηκεν. τί δ' ἡμῶν ἔτι κατηγορεῖ τὸ μὴ κοινοὺς ἔχειν τοῖς ἄλλοις θεούς, εἰ ῥᾳδίως οὕτως ἐπείσθησαν οἱ πατέρες ἡμῶν ἥξειν τὸν Ἀπόλλωνα πρὸς αὐτούς, καὶ μετὰ τῶν ἄστρων ἐπὶ τῆς γῆς ὠήθησαν ὁρᾶν αὐτὸν περιπατοῦντα; λύχνον γὰρ οὐδέπω δῆλον ὅτι πρόσθεν ἑωράκασιν οἱ τὰς τοσαύτας καὶ τηλικαύτας λυχνοκαΐας ἐπιτελοῦντες. ἀλλ' οὐδέ τις αὐτῷ βαδίζοντι κατὰ τὴν χώραν τῶν τοσούτων μυριάδων ὑπήντησεν, ἔρημα δὲ καὶ τὰ τείχη φυλάκων εὗρε πολέμου συνεστηκότος. ἐῶ τἄλλα· τοῦ ναοῦ δ' αἱ θύραι τὸ μὲν ὕψος ἦσαν ἑπτὰ πηχῶν, εἴκοσι δὲ πλάτος, κατάχρυσοι δὲ πᾶσαι καὶ μικροῦ δεῖν σφυρήλατοι· ταύτας ἔκλειον οὐκ ἐλάττους ὄντες ἄνδρες διακόσιοι καθ' ἑκάστην ἡμέραν, καὶ τὸ καταλιπεῖν ἠνοιγμένας ἦν ἀθέμιτον. ῥᾳδίως οὖν αὐτὰς ὁ λυχνοφόρος ἐκεῖνος ἠνέῳξεν ἂν ἀνοίξειν οἰόμενος καὶ τὴν τοῦ κάνθωνος, ὡς ᾤετο, κεφαλὴν ἔχων. πότερον οὖν αὐτὴν πάλιν ὡς ἡμᾶς ἀνέστρεψεν, ἢ λαβὼν Ἀπίων αὐτὴν εἰσεκόμισεν, ἵν' Ἀντίοχος εὕρῃ πρὸς δευτέραν Ἀπίωνι μυθολογίαν;

καταψεύδεται δὲ καὶ ὅρκον ἡμῶν ὡς ὀμνύοντων τὸν θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν μηδενὶ εὐνοήσειν ἀλλοφύλῳ, μάλιστα δὲ Ἕλλησιν. ἔδει δὲ καταψευδόμενον ἅπαξ εἰπεῖν μηδενὶ εὐνοήσειν ἀλλοφύλῳ, μάλιστα δ' Αἰγυπτίοις· οὕτω γὰρ ἂν τοῖς ἐξ ἀρχῆς αὐτοῦ πλάσμασιν ἥρμοττε τὰ περὶ τὸν ὅρκον, εἴπερ ἦσαν ὑπὸ Αἰγυπτίων τῶν συγγενῶν οἱ πατέρες ἡμῶν οὐχὶ διὰ πονηρίαν ἀλλ' ἐπὶ συμφοραῖς ἐξελαθέντες. τῶν Ἑλλήνων δὲ πλέον τοῖς τόποις ἢ τοῖς ἐπιτηδεύμασιν ἀφεστήκαμεν, ὥστε μηδεμίαν ἡμῖν εἶναι πρὸς αὐτοῖς ἔχθραν μηδὲ ζηλοτυπίαν. τοὐναντίον

Digitized by Google

μέντοι πολλοὶ παρ' αὐτῶν εἰς τοὺς ἡμετέρους νόμους συνέβησαν εἰσελθεῖν, καὶ τινὲς μὲν ἔμειναν, εἰσὶ δ' οἳ τὴν καρτερίαν οὐχ ὑπομείναντες πάλιν ἀπέστησαν. καὶ τοῦτον οὐδεὶς πώποτε τὸν ὅρκον εἶπεν ἀκοῦσαι παρ' ἡμῖν ὀμωμοσμένον, ἀλλὰ μόνος Ἀπίων, ὡς ἔοικεν, ἤκουσεν· αὐτὸς γὰρ ὁ συνθεὶς αὐτὸν ἦν.

11 σφόδρα τοίνυν τῆς πολλῆς συνέσεως καὶ ἐπὶ τῷ μέλλοντι ῥηθήσεσθαι θαυμάζειν ἄξιόν ἐστιν Ἀπίωνα. τεκμήριον γὰρ εἶναί φησι τοῦ μήτε νόμοις ἡμᾶς χρῆσθαι δικαίοις μήτε τὸν θεὸν εὐσεβεῖν ὡς προσῆκε, τὸ μὴ ἄρχειν, δουλεύειν δὲ μᾶλλον ἔθνεσι καὶ ἄλλοτε ἄλλοις, καὶ τὸ κεχρῆσθαι συμφοραῖς εἰσὶ περὶ τὴν πόλιν, αὐτῶν δηλονότι πόλεως ἡγεμονικωτάτης ἐκ τῶν ἄνωθεν ἄρχειν, ἀλλὰ μὴ Ῥωμαίοις δουλεύειν συνειθισμένων· καίτοι τούτων ἂν τις ἀπόσχοιτο τοιαύτης μεγαλοψυχίας. τῶν μὲν γὰρ ἄλλων οὐκ ἔστιν ὅστις ἀνθρώπων οὐχὶ ἱκανῶς καθ' αὐτοῦ φαίη τοῦτον ὑπ' Ἀπίωνος λελέχθαι τὸν λόγον. ὀλίγοις μὲν γὰρ ὑπῆρξεν ἐφ' ἡγεμονίας διὰ καιροπτίας γενέσθαι, καὶ τούτους αἱ μεταβολαὶ πάλιν ἄλλοις δουλεύειν ὑπέζευξαν· τὸ πλεῖστον δὲ φῦλον ἄλλων ὑπακήκοε πολλάκις. Αἰγύπτιοι δ' ἄρα μόνοι διὰ τὸ καταφυγεῖν, ὡς φασίν, εἰς τὴν χώραν αὐτῶν τοὺς θεοὺς καὶ σωθῆναι μεταβαλόντας εἰς μορφὰς θηρίων, ἐξαίρετον γέρας εὕροντο τὸ μηδενὶ δουλεύειν τῶν τῆς Ἀσίας ἢ τῆς Εὐρώπης κρατησάντων· οἳ μίαν ἡμέραν ἐκ τοῦ παντὸς αἰῶνος ἐλευθερίας οὐ τυχόντες φαίνονται, ἀλλ' οὐδὲ παρὰ τῶν οἰκοδεσποτῶν. ὅντινα μὲν γὰρ αὐτοῖς ἐχρήσαντο Πέρσαι τρόπον, οὐχ ἅπαξ μόνον ἀλλὰ καὶ πολλάκις πορθοῦντες τὰς πόλεις, ἱερὰ κατασκάπτοντες, τοὺς παρ' αὐτῶν νομιζομένους θεοὺς κατασφάζοντες, οὐκ ἂν ὀνειδίσαιμι· μιμεῖσθαι γὰρ οὐ προσῆκε τὴν Ἀπίωνος ἀπαιδευσίαν, ὃς οὔτε τὰς Ἀθη-

Digitized by Google

ναίων τύχας οὔτε τὰς Λακεδαιμονίων ἐνενόησεν, ὧν τοὺς μὲν ἀνδρειοτάτους τοὺς δὲ εὐσεβεστάτους τῶν Ἑλλήνων ἅπαντες λέγουσιν. ἐῶ βασιλέας τοὺς ἐπ' εὐσεβείᾳ διαβοηθέντας, ὧν ἕνα Κροῖσον, οἷαις ἐχρήσατο συμφοραῖς βίου. ἐῶ τὴν καταπρησθεῖσαν Ἀθηναίων ἀκρόπολιν, τὸν ἐν Ἐφέσῳ ναόν, τὸν ἐν Δελφοῖς, ἄλλους μυρίους· καὶ οὐδεὶς ὠνείδισε ταῦτα τοῖς παθοῦσιν, ἀλλὰ τοῖς δράσασι. καινὸς δὲ κατήγορος ἡμῶν Ἀπίων εὑρέθη, τῶν ἰδίων αὐτοῦ περὶ τὴν Αἴγυπτον κακῶν ἐκλαθόμενος. ἀλλὰ Σέσωστρις αὐτὸν ὁ μυθευόμενος Αἰγύπτου βασιλεὺς ἐτύφλωσεν. ἡμεῖς δὲ τοὺς ἡμετέρους οὐκ ἂν εἴποιμεν βασιλέας, Δαυίδην καὶ Σολομῶνα, πολλὰ χειρωσαμένους ἔθνη. τούτους μὲν οὖν παραλίπωμεν· τὰ δὲ γνώριμα πᾶσιν Ἀπίων ἠγνόηκεν, ὅτι Περσῶν καὶ μετ' ἐκείνους ἡγουμένων τῆς Ἀσίας Μακεδόνων Αἰγύπτιοι μὲν ἐδούλευον ἀνδραπόδων οὐδὲν διαφέροντες, ἡμεῖς δὲ ὄντες ἐλεύθεροι προσέτι καὶ τῶν πέριξ πόλεων ἤρχομεν ἔτη σχεδὸν εἰκοσί που καὶ ἑκατόν, μέχρι Μάγνου Πομπηίου. καὶ πάντων ἐκπολεμηθέντων πρὸς Ῥωμαίων τῶν πανταχοῦ βασιλέων, μόνοι διὰ πίστιν οἱ παρ' ἡμῖν σύμμαχοι καὶ φίλοι διεφυλάχθησαν.

ἀλλὰ θαυμαστοὺς ἄνδρας οὐ παρεσχήκαμεν, οἷον 12
τεχνῶν τινῶν εὑρετὰς ἢ σοφίᾳ διαφέροντας. καὶ καταριθμεῖ Σωκράτην καὶ Ζήνωνα καὶ Κλεάνθην καὶ τοιούτους τινάς· εἶτα τὸ θαυμασιώτατον, τῶν εἰρημένων αὐτὸς ἑαυτὸν προστίθησι, καὶ μακαρίζει τὴν Ἀλεξάνδρειαν ὅτι τοιοῦτον ἔχει πολίτην. ἔδει γὰρ αὐτῷ μάρτυρος ἑαυτοῦ· τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ὀχλαγωγὸς ἐδόκει πονηρὸς εἶναι, καὶ τῷ βίῳ καὶ τῷ λόγῳ διεφθαρμένος, ὥστε εἰκότως ἐλεήσαι τις ἂν τὴν Ἀλεξάνδρειαν, εἴπερ ἐπὶ τούτῳ μέγα ἐφρόνει. περὶ δὲ τῶν παρ' ἡμῖν ἀνδρῶν γεγονότων, οὐδενὸς ἧττον ἐπαίνου τυγχάνειν

Digitized by Google

ἀξίων, ἴσασιν οἱ ταῖς ἡμετέραις ἀρχαιολογίαις ἐντυγχάνοντες.

13 τὰ δὲ λοιπὰ τῶν ἐν τῇ κατηγορίᾳ γεγραμμένων ἄξιον ἦν ἴσως ἀναπολόγητα παραλιπεῖν, ἵν' αὐτὸς αὑτοῦ καὶ τῶν ἄλλων Αἰγυπτίων ᾖ ὁ κατηγορῶν. ἐγκαλεῖ γὰρ ὅτι ζῷα θύομεν καὶ χοῖρον οὐκ ἐσθίομεν, καὶ τὴν τῶν αἰδοίων κλευάζει περιτομήν. τὸ μὲν οὖν περὶ τῆς τῶν ἡμέρων ζῴων ἀναιρέσεως κοινόν ἐστι καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους ἅπαντας, Ἀπίων δὲ τοῖς θύουσιν ἐγκαλῶν αὐτὸν ἐξήλεγξεν ὄντα τὸ γένος Αἰγύπτιον· οὐ γὰρ ἂν Ἕλλην ὢν ἢ Μακεδὼν ἐχαλέπαινεν. οὗτοι γὰρ εὔχονται θύειν ἑκατόμβας τοῖς θεοῖς, καὶ χρῶνται τοῖς ἱερείοις πρὸς εὐωχίαν, καὶ οὐ διὰ τοῦτο συμβέβηκεν ἐρημοῦσθαι τὸν κόσμον τῶν βοσκημάτων, ὅπερ Ἀπίων ἔδεισεν. εἰ μέντοι τοῖς Αἰγυπτίων ἔθεσιν ἠκολούθουν ἅπαντες, ἠρήμωτο μὲν ἂν ὁ κόσμος τῶν ἀνθρώπων, τῶν ἀγριωτάτων δὲ θηρίων ἐπληθύνθη, ἃ θεοὺς οὐτοι νομίζοντες ἐπιμελῶς ἐκτρέφουσί. καὶ μὴν εἴ τις αὐτὸν ἤρετο, τῶν πάντων Αἰγυπτίων τίνας εἶναι καὶ σοφωτάτους καὶ θεοσεβεῖς νομίζει, πάντως ἂν ὁμολόγησε τοὺς ἱερεῖς· δύο γὰρ αὐτούς φασιν ὑπὸ τῶν βασιλέων ἐξ ἀρχῆς ταῦτα προστετάχθαι, τήν τε τῶν θεῶν θεραπείαν καὶ τῆς σοφίας τὴν ἐπιμέλειαν. ἐκεῖνοι τοίνυν ἅπαντες καὶ περιτέμνονται καὶ χοιρείων ἀπέχονται βρωμάτων. οὐ μὴν οὐδὲ τῶν ἄλλων Αἰγυπτίων οὐδὲ εἷς συνθύει τοῖς θεοῖς. ἆρ' οὖν τυφλὸς ἦν τὸν νοῦν Ἀπίων ὑπὲρ Αἰγυπτίων ἡμᾶς λοιδορεῖν συνθέμενος, ἐκείνων δὲ κατηγορῶν, οἳ γε μὴ μόνον χρῶνται τοῖς ὑπὸ τούτων λοιδορουμένοις ἔθεσιν, ἀλλὰ καὶ τοὺς ἄλλους ἐδίδαξαν περιτέμνεσθαι, καθάπερ εἰρηκεν Ἡρόδοτος; ὅθεν εἰκότως μοι δοκεῖ τῆς εἰς τοὺς πατρίους αὐτοῦ νόμους βλασφημίας δοῦναι δίκην Ἀπίων τὴν πρέπουσαν· περιε-

Digitized by Google

τμήθη γὰρ ἐξ ἀνάγκης, ἑλκώσεως αὐτῷ περὶ τὸ αἰδοῖον γενομένης, καὶ μηδὲν ὠφεληθεὶς ὑπὸ τῆς περιτομῆς ἀλλὰ σηπόμενος ἐν δειναῖς ὀδύναις ἀπέθανεν. δεῖ γὰρ τοὺς εὖ φρονοῦντας τοῖς μὲν οἰκείοις νόμοις περὶ τὴν εὐσέβειαν ἀκριβῶς ἐμμένειν, τοὺς δὲ τῶν ἄλλων μὴ λοιδορεῖν. ὃ δὲ τούτους μὲν ἔφυγε, τῶν ἡμετέρων δὲ κατεψεύσατο.

τοῦτο μὲν Ἀπίωνι τοῦ βίου τὸ τέλος ἐγένετο, καὶ τοῦτο παρ' ἡμῶν ἐνταῦθα τὸ πέρας ἔστω τοῦ λόγου· ἐπεὶ δὲ καὶ Ἀπολλώνιος ὁ Μόλων καὶ Λυσίμαχος καί 14
τινες ἄλλοι τὰ μὲν ὑπ' ἀγνοίας, τὸ πλεῖστον δὲ κατὰ δυσμένειαν, περί τε τοῦ νομοθετήσαντος ἡμῖν Μωϋσέως καὶ περὶ τῶν νόμων πεποίηνται λόγους οὔτε δικαίους οὔτε ἀληθεῖς, τὸν μὲν ὡς γόητα καὶ ἀπατεῶνα διαβάλλοντες, τοὺς νόμους δὲ κακίας ἡμῖν καὶ οὐδεμιᾶς ἀρετῆς φάσκοντες εἶναι διδασκάλους, βούλομαι συντόμως καὶ περὶ τῆς ὅλης ἡμῶν καταστάσεως τοῦ πολιτεύματος καὶ περὶ τῶν κατὰ μέρος, ὡς ἂν ᾧ δυνατός, εἰπεῖν. οἶμαι γὰρ ἔσεσθαι φανερὸν ὅτι καὶ πρὸς εὐσέβειαν καὶ πρὸς κοινωνίαν τὴν μετ' ἀλλήλων καὶ πρὸς τὴν καθόλου φιλανθρωπίαν, ἔτι δὲ πρὸς δικαιοσύνην καὶ τὴν ἐν τοῖς πόνοις καρτερίαν καὶ θανάτου περιφρόνησιν ἄριστα κειμένους ἔχομεν τοὺς νόμους. παρακαλῶ δὲ τοὺς ἐντευξομένους τῇ γραφῇ μὴ μετὰ φθόνου ποιεῖσθαι τὴν ἀνάγνωσιν· οὐ γὰρ ἐγκώμιον ἡμῶν αὐτῶν πρόκειλόμην συγγράφειν, ἀλλὰ πολλὰ καὶ ψευδῆ κατηγορημένοις ἡμῖν ταύτην ἀπολογίαν δικαιοτάτην εἶναι νομίζω, τὴν ἀπὸ τῶν νόμων καθ' οὓς ζῶντες διατελοῦμεν. ἄλλως τε καὶ τὴν κατηγορίαν ὁ Ἀπολλώνιος οὐκ ἀθρόαν ὥσπερ ὁ Ἀπίων ἔταξεν, ἀλλὰ σποράδην καὶ διὰ πάσης τῆς συγγραφῆς ποτὲ μὲν ὡς ἀθέους καὶ μισανθρώπους λοιδορεῖ, ποτὲ δ' αὖ δειλίαν ἡμῖν ὀνειδίζει, καὶ τοὔμπαλιν ἔστιν ὅπου τόλμαν κατηγορεῖ καὶ

Digitized by Google

ἀπόνοιαν. λέγει δὲ καὶ ἀφυεστάτους εἶναι τῶν βαρβάρων, καὶ διὰ τοῦτο μηδὲν εἰς τὸν βίον εὕρημα συμβεβλῆσθαι μόνους. ταῦτα δὲ πάντα διελεγχθήσεσθαι νομίζω σαφῶς, εἰ τἀναντία τῶν εἰρημένων φανείη καὶ διὰ τῶν νόμων ἡμῖν προστεταγμένα καὶ πραττόμενα μετὰ πάσης ἀκριβείας ὑφ' ἡμῶν. εἰ δ' ἄρα βιασθείην μνησθῆναι τῶν παρ' ἑτέροις ὑπεναντίως νενομισμένων, τούτου δίκαιοι τὴν αἰτίαν ἔχειν εἰσὶν οἱ τὰ παρ' ἡμῖν ὡς χείρω παραβάλλειν ἀξιοῦντες. οἷς οὐδέτερον ἀπολειφθήσεσθαι νομίζω λέγειν, οὔθ' ὡς οὐχὶ τούτους ἔχομεν τοὺς νόμους, ὧν ἐγὼ παραθήσομαι τοὺς κεφαλαιωδεστάτους, οὔθ' ὡς οὐχὶ μάλιστα πάντων ἐμμένομεν τοῖς ἑαυτῶν νόμοις.

μικρὸν οὖν ἀναλαβὼν τὸν λόγον τοῦτ' ἂν εἴποιμι πρῶτον, ὅτι τῶν ἀνόμως καὶ ἀτάκτως βιούντων οἱ τάξεως καὶ νόμου κοινωνίας ἐπιθυμηταὶ γενόμενοι καὶ πρῶτοι κατάρξαντες εἰκότως ἂν ἡμερότητι καὶ φύσεως ἀρετῇ διενεγκεῖν μαρτυρηθεῖεν. ἀμέλει πειρῶνται τὰ παρ' ἑαυτοῖς ἕκαστοι πρὸς τὸ ἀρχαιότατον ἀνάγειν, ἵνα μὴ μιμεῖσθαι δόξωσιν ἑτέρους, ἀλλ' αὐτοὶ τοῦ ζῆν νομίμως ἄλλοις ὑφηγήσασθαι. τούτων δὲ τοῦτον ἐχόντων τὸν τρόπον, ἀρετὴ μέν ἐστι νομοθέτου τὰ βέλτιστα συνιδεῖν καὶ πεῖσαι τοὺς χρησομένους περὶ τῶν ὑπ' αὐτῷ τιθεμένων, πλήθους δὲ τὸ πᾶσι τοῖς δόξασιν ἐμμεῖναι, καὶ μήτε εὐτυχίαις μήτε συμφοραῖς αὐτῶν μηδὲν μεταβάλλειν. φημὶ τοίνυν τὸν ἡμέτερον νομοθέτην τῶν ὁπουδηποτοῦν μνημονευομένων νομοθετῶν προάγειν ἀρχαιότητι. Λυκοῦργοι γὰρ καὶ Σόλωνες καὶ Ζάλευκος ὁ τῶν Λοκρῶν καὶ πάντες οἱ θαυμαζόμενοι παρὰ τοῖς Ἕλλησιν ἐχθὲς δὴ καὶ πρώην ὡς πρὸς ἐκεῖνον παραβαλλόμενοι φαίνονται γεγονότες, ὅπου γε μηδ' αὐτὸ τοὔνομα πάλαι ἐγινώσκετο τοῦ νόμου παρὰ τοῖς

Digitized by Google

Ἕλλησι· καὶ μάρτυς Ὅμηρος οὐδαμοῦ τῆς ποιήσεως αὐτῷ χρησάμενος. οὐδὲ γὰρ ἦν κατὰ τοῦτον, ἀλλὰ γνώμαις ἀορίστοις τὰ πλήθη διῳκεῖτο καὶ προστάγμασι τῶν βασιλέων. ἀφ' οὗ καὶ μέχρι πολλοῦ διέμειναν ἔθεσιν ἀγράφοις χρώμενοι, καὶ πολλὰ τούτων ἀεὶ πρὸς τὸ συντυγχάνον μετατιθέντες. ὁ δὲ ἡμέτερος νομοθέτης ἀρχαιότατος γεγονὼς (τοῦτο γὰρ δήπουθεν ὁμολογεῖται καὶ παρὰ τοῖς πάντα καθ' ἡμῶν λέγουσιν) ἑαυτόν τε παρέσχεν ἄριστον τοῖς πλήθεσιν ἡγεμόνα καὶ σύμβουλον, τήν τε κατασκευὴν αὐτοῖς ὅλην τοῦ βίου τῷ νόμῳ περιλαβὼν ἔπεισε παραδέξασθαι καὶ βεβαιοτάτην εἰσαεὶ φυλαχθῆναι παρεσκεύασεν.

ἴδωμεν δὲ τῶν ἔργων αὐτοῦ τὸ πρῶτον μεγαλεῖον. 16
ἐκεῖνος γὰρ τοὺς προγόνους ἡμῶν, ἐπείπερ ἔδοξεν αὐτοῖς τὴν Αἴγυπτον ἐκλιποῦσιν ἐπὶ τὴν πάτριον γῆν ἐπανιέναι, πολλὰς τὰς μυριάδας παραλαβὼν ἐκ πολλῶν καὶ ἀμηχάνων διέσωσεν εἰς ἀσφάλειαν· καὶ γὰρ τὴν ἄνυδρον αὐτοὺς καὶ πολλὴν ψάμμον ἔδει διοδοιπορῆσαι, καὶ νικῆσαι πολέμους, καὶ τέκνα καὶ γυναῖκας καὶ λείαν ὁμοῦ σώζειν μαχομένους. ἐν οἷς ἅπασι καὶ στρατηγὸς ἄριστος ἐγένετο καὶ σύμβουλος συνετώτατος καὶ πάντων κηδεμὼν ἀληθέστατος. ἅπαν δὲ τὸ πλῆθος εἰς ἑαυτὸν ἀνηρτῆσθαι παρεσκεύασε, καὶ περὶ παντὸς ἔχων πεισθέντας αὐτοὺς τοῦ κελευσθέντος, εἰς οὐδεμίαν οἰκείαν ἔλαβε ταῦτα πλεονεξίαν. ἐν ᾧ μάλιστα τοῦ καιροῦ δυνάμεις μὲν αὐτοῖς περιβάλλονται καὶ τυραννίδας οἱ προεστηκότες, ἐθίζουσι δὲ τὰ πλήθη μετὰ πολλῆς ἀνομίας ζῆν, ἐν τούτῳ τῆς ἐξουσίας ἐκεῖνος καθεστηκὼς τοὐναντίον ᾠήθη δεῖν εὐσεβεῖν καὶ πολλὴν εὔνοιαν τοῖς λαοῖς ἐμπαρασχεῖν, οὕτως αὐτός τε τὰ μάλιστα τὴν ἀρετὴν ἐπιδείξειν τὴν αὑτοῦ νομίζων, καὶ σωτηρίαν τοῖς αὐτὸν ἡγεμόνα πεποιημένοις βεβαιοτάτην παρέξειν.

Digitized by Google

καλῆς οὖν αὐτῷ προαιρέσεως καὶ πράξεων μεγάλων ἐπιτυγχανομένων εἰκότως ἐνομίζομεν ἡγεμόνα τε καὶ σύμβουλον θεῖον ἔχειν· καὶ πείσας πρότερον ἑαυτὸν ὅτι κατὰ τὴν ἐκείνου βούλησιν ἅπαντα πράττει καὶ διανοεῖται, ταύτην ᾧετο δεῖν πρὸ παντὸς ἐμποιῆσαι τὴν ὑπόληψιν τοῖς πλήθεσιν· οἱ γὰρ πιστεύσαντες ἐπισκοπεῖν θεὸν τοὺς ἑαυτῶν βίους οὐδὲν ἀνέχονται ἐξαμαρτεῖν. τοιοῦτος μὲν δή τις αὐτὸς ἡμῶν ὁ νομοθέτης, οὐ γόης, οὐδ' ἀπατεών, ἅπερ λοιδοροῦντες λέγουσιν ἀδίκως, ἀλλ' οἷον παρὰ τοῖς Ἕλλησιν αὐχοῦσι τὸν Μίνω γεγονέναι καὶ μετ' αὐτὸν τοὺς ἄλλους νομοθέτας. οἳ μὲν γὰρ αὐτῶν τοὺς νόμους ὑποτίθενται, ὁ δέ γε Μίνως ἔλεγεν ὅτι εἰς τὸν Ἀπόλλω καὶ τὸ Δελφικὸν αὐτοῦ μαντεῖον τὰς τῶν νόμων μαντείας ἀνέφερεν, ἤτοι τἀληθὲς οὕτως ἔχειν νομίζοντες ἢ πείσειν ῥᾷον ὑπολαμβάνοντες. τίς δ' ἦν ὁ μάλιστα κατορθώσας τοὺς νόμους, καὶ τίς ὁ δικαιότατα περὶ τῆς τοῦ θεοῦ πίστεως ἐπιτυχών, πάρεστιν ἐξ αὐτῶν κατανοεῖν τῶν νόμων ἀντιπαραβάλλοντας· ἤδη γὰρ περὶ τούτων λεκτέον. οὐκοῦν ἄπειροι μὲν αἱ κατὰ μέρος τῶν ἐθῶν καὶ τῶν νόμων παρὰ τοῖς ἅπασιν ἀνθρώποις διαφοραί· οἳ μὲν γὰρ μοναρχίαις, οἳ δὲ ταῖς ὀλίγων δυναστείαις, ἄλλοι δὲ τοῖς πλήθεσιν ἐπέτρεψαν τὴν ἐξουσίαν τῶν πολιτευμάτων. ὁ δ' ἡμέτερος νομοθέτης εἰς μὲν τούτων οὐδ' ὁτιοῦν ἀπεῖδεν, ὡς δ' ἄν τις εἴποι βιασάμενος τὸν λόγον, θεοκρατίαν ἀπέδειξε τὸ πολίτευμα, θεῷ τὴν ἀρχὴν καὶ τὸ κράτος ἀνατιθείς, καὶ πείσας εἰς ἐκεῖνον ἅπαντας ἀφορᾶν ὡς αἴτιον μὲν ἁπάντων ὄντα τῶν ἀγαθῶν, ἃ κοινῇ τε πᾶσιν ἀνθρώποις ἰδίᾳ τε ἑκάστοις ὑπάρχει, καὶ ὅσων ἔτυχον αὐτοὶ δεηθέντες ἐν ἀμηχάνοις· λαθεῖν δὲ τὴν ἐκείνου γνώμην οὐκ ἐνὸν οὔτε τι τῶν πραττομένων οὐδὲν οὔθ' ὧν ἄν τις παρ' αὐτῷ διανοηθείη. ἀλλ' αὐτὸν ἀπέφηνε

Digitized by Google

καὶ ἀγένητον καὶ πρὸς τὸν ἄϊδιον χρόνον ἀναλλοίωτον, πάσης ἰδέας θνητῆς κάλλει διαφέροντα, καὶ δυνάμει μὲν ἡμῖν γνώριμον, ὁποῖος δὲ κατ' οὐσίαν ἐστὶν ἄγνωστον. ταῦτα περὶ θεοῦ φρονεῖν οἱ σοφώτατοι παρ' Ἕλλησιν ὅτι μὲν ἐδιδάχθησαν ἐκείνου τὰς ἀρχὰς παρασχόντος, ἐῶ νῦν λέγειν· ὅτι δ' ἐστὶ καλὰ καὶ πρέποντα τῇ τοῦ θεοῦ φύσει καὶ μεγαλειότητι, σφόδρα μεμαρτυρήκασι· καὶ γὰρ Πυθαγόρας καὶ Ἀναξαγόρας καὶ Πλάτων καὶ οἱ μετ' ἐκείνους ἀπὸ τῆς στοᾶς φιλόσοφοι καὶ μικροῦ δεῖν ἅπαντες οὕτω φαίνονται περὶ τῆς τοῦ θεοῦ φύσεως πεφρονηκότες. ἀλλ' οἱ μὲν πρὸς ὀλίγους φιλοσοφοῦντες εἰς πλήθη δόξαις προκατειλημμένα τὴν ἀλήθειαν τοῦ δόγματος ἐξενεγκεῖν οὐκ ἐτόλμησαν, ὁ δὲ ἡμέτερος νομοθέτης, ἅτε δὴ τὰ ἔργα παρέχων τοῖς νόμοις σύμφωνα, οὐ μόνον τοὺς καθ' αὑτὸν ἔπεισεν, ἀλλὰ καὶ τοῖς ἐξ ἐκείνων ἀεὶ γενησομένοις τὴν περὶ τοῦ θεοῦ πίστιν ἐνέφυσεν ἀμετακίνητον. αἴτιον δ' ὅτι καὶ τῷ τρόπῳ τῆς νομοθεσίας πρὸς τὸ χρήσιμον πάντων ἀεὶ πολὺ διήνεγκεν· οὐ γὰρ μέρος τῆς ἀρετῆς ἐποίησε τὴν εὐσέβειαν, ἀλλὰ ταύτης τὰ μέρη τἆλλα συνεῖδε καὶ κατέστησε· λέγω δὲ τὴν δικαιοσύνην, τὴν καρτερίαν, τὴν σωφροσύνην, τὴν τῶν πολιτῶν πρὸς ἀλλήλους ἐν ἅπασι συμφωνίαν. ἅπασαι γὰρ αἱ πράξεις καὶ διατριβαὶ καὶ λόγοι πάντες ἐπὶ τὴν πρὸς τὸν θεὸν ἡμῖν εὐσέβειαν ἔχουσι τὴν ἀναφοράν· οὐδὲν γὰρ τούτων ἀνεξέταστον οὐδὲ ἀόριστον παρέλιπε. δύο μὲν γάρ εἰσιν ἁπάσης παιδείας τρόποι καὶ τῆς περὶ τὰ ἤθη κατασκευῆς, ὧν ὁ μὲν λόγων διδασκαλικός, ἕτερος δὲ ὁ διὰ τῆς ἀσκήσεως τῶν ἐθῶν. οἱ μὲν οὖν ἄλλοι νομοθέται ταῖς γνώμαις διέστησαν, καὶ τὸν ἕτερον αὐτῶν, ὃν ἔδοξαν ἕκαστοι, ἑλόμενοι τὸν ἄλλον παρέλιπον, οἷον Λακεδαιμόνιοι μὲν καὶ Κρῆτες ἔθεσιν ἐπαίδευον, οὐ λόγοις,

Digitized by Google

Ἀθηναῖοι δὲ καὶ σχεδὸν οἱ ἄλλοι πάντες Ἕλληνες, ἃ μὲν χρὴ πράττειν ἢ μή, προσέτασσον διὰ τῶν νόμων, τοῦ δὲ πρὸς αὐτὰ διὰ τῶν ἔργων ἐθίζειν ὠλιγώρησαν. 17 ὁ δ' ἡμέτερος νομοθέτης ἄμφω ταῦτα συνήρμοσε κατὰ πολλὴν ἐπιμέλειαν· οὔτε γὰρ κωφὴν ἀπέλιπε τὴν τῶν ἐθῶν ἄσκησιν, οὔτε τὸν ἐκ τοῦ λόγου νόμον ἄπρακτον εἴασεν, ἀλλ' εὐθὺς ἀπὸ τῆς πρώτης ἀρξάμενος τροφῆς καὶ τῆς κατὰ τὸ οἰκεῖον ἑκάστῳ διαίτης, οὐδὲν οὐδὲ τῶν βραχυτάτων αὐτεξούσιον ἐπὶ ταῖς βουλήσεσι τῶν χρησομένων κατέλιπεν, ἀλλὰ καὶ περὶ σιτίων, ὅσων ἀπέχεσθαι χρὴ καὶ τίνα προσφέρεσθαι, καὶ περὶ τῶν κοινωνησόντων τῆς διαίτης, ἔργων τε εὐτονίας περὶ τὰς τέχνας καὶ τοὔμπαλιν ἀναπαύσεως ὅρον ἔθηκεν αὐτὸς καὶ κανόνα τὸν νόμον, ἵν' ὥσπερ ὑπὸ πατρὶ τούτῳ καὶ δεσπότῃ ζῶντες μήτε βουλόμενοι μηδὲν μήθ' ὑπ' ἀγνοίας ἁμαρτάνωμεν. οὐδὲ γὰρ τὴν ἀπ' ἀγνοίας ὑποτίμησιν ἠνέσχετο καταλιπεῖν, ἀλλὰ καὶ κάλλιστον καὶ ἀναγκαιότατον ἀπέδειξε παιδευμάτων τὸν νόμον, οὐκ εἰσάπαξ ἀκροασαμένους οὐδὲ δὶς ἢ πολλάκις, ἀλλ' ἑκάστης ἑβδομάδος τῶν ἄλλων ἔργων ἀφεμένους ἐπὶ τὴν ἀκρόασιν τοῦ νόμου ἐκέλευσε συλλέγεσθαι καὶ τοῦτον ἀκριβῶς ἐκμανθάνειν· ὃ δὴ πάντες οἱ νομοθέται ἐοίκασι παραλιπεῖν, 18 καὶ τοσοῦτον οἱ πλεῖστοι τῶν ἀνθρώπων ἀπέχουσι τοῦ κατὰ τοὺς οἰκείους ζῆν νόμους ὥστε σχεδὸν αὐτοὺς οὐδ' ἴσασιν, ἀλλ' ὅταν ἐξαμάρτωσι, τότε παρ' ἄλλων μανθάνουσιν ὅτι τὸν νόμον παραβεβήκασιν. οἵ τε τὰς μεγίστας καὶ κυριωτάτας παρ' αὐτοῖς ἀρχὰς διοικοῦντες ὁμολογοῦσι τὴν ἄγνοιαν· ἐπιστάτας γὰρ παρακαθίστανται τῆς τῶν πραγμάτων οἰκονομίας τοὺς ἐμπειρίαν ἔχειν τῶν νόμων ὑπισχνουμένους. ἡμῶν δ' ὀντινοῦν εἴ τις ἔροιτο τοὺς νόμους, ῥᾷον ἂν εἴποι πάντας ἢ τοὔνομα τὸ ἑαυτοῦ. τοιγαροῦν ἀπὸ τῆς πρώ-

Digitized by Google

της εὐθὺς αἰσθήσεως αὐτοὺς ἐκμανθάνοντες ἔχομεν ἐν ταῖς ψυχαῖς ὥσπερ ἐγκεχαραγμένους, καὶ σπάνιος μὲν ὁ παραβαίνων, ἀδύνατος δ' ἡ τῆς κολάσεως παραίτησις.

τοῦτο πρῶτον ἁπάντων τὴν θαυμαστὴν ὁμόνοιαν 19
ἡμῖν ἐμπεποίηκεν. τὸ γὰρ μίαν μὲν ἔχειν καὶ τὴν αὐτὴν δόξαν περὶ θεοῦ, τῷ βίῳ δὲ καὶ τοῖς ἔθεσι μηδὲν ἀλλήλων διαφέρειν, καλλίστην ἐν ἔθεσιν ἀνθρώπων συμφωνίαν ἀποτελεῖ. παρ' ἡμῖν γὰρ μόνοις οὔτε περὶ τοῦ θεοῦ λόγους ἀκούσεταί τις ἀλλήλοις ὑπεναντίους, ὁποῖα πολλὰ παρ' ἑτέροις οὐδ' ὑπὸ τῶν τυχόντων μόνον κατὰ τὸ προσπεσὸν ἑκάστῳ λέγεται πάθος, ἀλλὰ καὶ παρά τισι τῶν φιλοσόφων αὐτῶν τετόλμηται, τῶν μὲν τὴν ὅλην τοῦ θεοῦ φύσιν ἀναιρεῖν τοῖς λόγοις ἐπικεχειρηκότων, ἄλλων δὲ τὴν ὑπὲρ ἀνθρώπων αὐτοῦ πρόνοιαν ἀφαιρουμένων· οὔτ' ἐν τοῖς ἐπιτηδεύμασι τῶν βίων ὄψεται διαφοράν, ἀλλὰ κοινὰ μὲν ἔργα πάντων παρ' ἡμῖν, εἷς δὲ ὁ λόγος ὁ τῷ νόμῳ συμφωνῶν περὶ θεοῦ, πάντα λέγων ἐκεῖνον ἐφορᾶν. καὶ μὴν περὶ τῶν κατὰ τὸν βίον ἐπιτηδευμάτων ὅτι δεῖ πάντα τὰ ἄλλα τέλος ἔχειν τὴν εὐσέβειαν, καὶ γυναικῶν ἀκούσειεν ἄν τις καὶ τῶν οἰκετῶν.

ὅθεν δὴ καὶ τὸ προφερόμενον ἡμῖν ὑπὸ τινῶν ἔγ- 20
κλημα, τὸ δὴ μὴ καινῶν εὑρετὰς ἔργων ἢ λόγων ἄνδρας παρασχεῖν, ἐντεῦθεν συμβέβηκεν. οἱ μὲν γὰρ ἄλλοι τὸ μηδενὶ τῶν πατρίων ἐμμένειν καλὸν εἶναι νομίζουσι, καὶ τοῖς μάλιστα τολμῶσι ταῦτα παραβαίνειν σοφίας δεινότητα μαρτυροῦσιν· ἡμεῖς δὲ τοὐναντίον μίαν εἶναι καὶ φρόνησιν καὶ ἀρετὴν ὑπειλήφαμεν τὸ μηδὲν ὅλως ὑπεναντίον μήτε πρᾶξαι μήτε διανοηθῆναι τοῖς ἐξ ἀρχῆς νομοθετηθεῖσιν. ὅπερ εἰκότως ἂν εἴη τεκμήριον τοῦ κάλλιστα τεθῆναι τὸν νόμον· τὰ γὰρ μὴ τοῦτον ἔχοντα τὸν τρόπον αἱ πεῖραι δεόμενα διορθώσεως ἐλέγχουσιν.

Digitized by Google

21 ἡμῖν δὲ τοῖς πεισθεῖσιν ἐξ ἀρχῆς τεθῆναι τὸν νόμον κατὰ θεοῦ βούλησιν, οὐδ' εὐσεβὲς ἦν ἔτι τοῦτον μὴ φυλάττειν. τί γὰρ αὐτοῦ τις ἂν μετακινήσειεν, ἢ τί κάλλιον ἐξεύροι, ἢ τί παρ' ἑτέρων ὡς ἄμεινον ἐξενέγκοι; ἆρά γε τὴν ὅλην κατάστασιν τοῦ πολιτεύματος; καὶ τίς ἢ καλλίων ἢ δικαιοτέρα γένοιτο τῆς θεὸν μὲν ἡγεμόνα τῶν ὅλων ἡγεῖσθαι πεποιημένης, τοῖς ἱερεῦσι δὲ κοινῇ μὲν τὰ μέγιστα διοικεῖν ἐπιτρεπούσης, τῷ δὲ πάντων ἀρχιερεῖ πάλιν αὖ πεπιστευκυίας τὴν τῶν ἄλλων ἱερέων ἡγεμονίαν; οὓς οὐ κατὰ πλοῦτον οὐδέ τισιν ἄλλαις προύχοντας αὐτομάτοις πλεονεξίαις πρῶτον εὐθὺς ὁ νομοθέτης ἐπὶ τὴν τιμὴν ἔταξεν, ἀλλ' ὅσοι τῶν μετ' αὐτοῦ πειθοῖ τε καὶ σωφροσύνῃ τῶν ἄλλων διέφερον, τούτοις τὴν περὶ τὸν θεὸν μάλιστα θεραπείαν ἐνεχείρισεν. τούτοις δ' ἦν καὶ τοῦ νόμου καὶ τῶν ἄλλων ἐπιτηδευμάτων ἀκριβὴς ἐπιμέλεια· καὶ γὰρ ἐπόπται πάντων καὶ δικασταὶ τῶν ἀμφισβητουμένων καὶ κολασταὶ τῶν κατεγνωσμένων οἱ ἱερεῖς ἐτάχθησαν.

22 τίς ἂν οὖν ἀρχὴ γένοιτο ταύτης ὁσιωτέρα; τίς δὲ θεῷ τιμὴ μᾶλλον ἁρμόζουσα, παντὸς μὲν τοῦ πλήθους κατεσκευασμένου πρὸς τὴν εὐσέβειαν, ἐξαίρετον δὲ τὴν ἐπιμέλειαν τῶν ἱερέων πεπιστευμένων, ὥσπερ δὲ τελετῆς τινὸς τῆς ὅλης πολιτείας οἰκονομουμένης; ἃ γὰρ ὀλίγων ἡμερῶν ἀριθμὸν ἐπιτηδεύοντες ἄλλοι φυλάττειν οὐ δύνανται, μυστήρια καὶ τελετὰς ὀνομάζοντες, ταῦτα μετὰ πολλῆς ἡδονῆς καὶ γνώμης ἀμεταπείστου φυλάττομεν ἡμεῖς διὰ τοῦ παντὸς αἰῶνος. τίνες οὖν εἰσὶν αἱ προρρήσεις καὶ ἀπαγορεύσεις; ἁπλαῖ τε καὶ γνώριμοι. πρώτη δ' ἡγεῖται περὶ θεοῦ, λέγουσα, ὁ θεὸς ἔχει τὰ πάντα παντελὴς καὶ μακάριος, αὐτὸς ἑαυτῷ καὶ πᾶσιν αὐτάρκης, ἀρχὴ καὶ μέσα καὶ τέλος πάντων. οὗτος ἔργοις μὲν καὶ χάρισιν ἐναργὴς καὶ

Digitized by Google

παντὸς οὑτινοσοῦν φανερώτερος, μορφὴν δὲ καὶ μέγεθος ἡμῖν ἀφανέστατος· πᾶσα μὲν γὰρ ὕλη πρὸς εἰκόνα τὴν τούτου, κἂν ᾖ πολυτελής, ἄτιμος, πᾶσα δὲ τέχνη πρὸς μιμήσεως ἐπίνοιαν ἄτεχνος· οὐδὲν ὅμοιον οὔτ' ἐπινοοῦμεν οὔτ' εἰκάζειν ἐστὶν ὅσιον. ἔργα βλέπομεν αὐτοῦ, φῶς, οὐρανόν, γῆν, ἥλιον καὶ σελήνην, ὕδατα, ζῴων γενέσεις, καρπῶν ἀναδόσεις. ταῦτα ὁ θεὸς ἐποίησεν οὐ χερσίν, οὐ πόνοις, οὐδὲ τινῶν συνεργασαμένων ἐπιδεηθείς, ἀλλ' αὐτοῦ καλὰ θελήσαντος καλῶς ἦν εὐθὺς γεγονότα. τούτῳ δεῖ πάντας ἀκολουθεῖν, καὶ θεραπεύειν αὐτὸν ἀσκοῦντας ἀρετήν· τρόπος γὰρ θεοῦ θεραπείας οὗτος ὁσιώτατος.

εἷς ναὸς ἑνὸς θεοῦ (φίλον γὰρ ἀεὶ παντὶ τὸ ὅμοιον), 23
κοινὸς ἁπάντων κοινοῦ θεοῦ ἁπάντων. τοῦτον θεραπεύουσι μὲν διὰ παντὸς οἱ ἱερεῖς, ἡγεῖται δὲ τούτων ὁ πρῶτος ἀεὶ κατὰ γένος. οὗτος μετὰ τῶν συνιερέων θύσει τῷ θεῷ, φυλάξει τοὺς νόμους, δικάσει περὶ τῶν ἀμφισβητουμένων, κολάσει τοὺς ἐλεγχθέντας ἐπ' ἀδίκῳ. ὁ δέ γε τούτῳ μὴ πειθόμενος ὑφέξει δίκην ὡς εἰς τὸν θεὸν αὐτὸν ἀσεβῶν. θύομεν τὰς θυσίας οὐκ εἰς πλήρωσιν ἑαυτῶν καὶ μέθην (ἀβούλητα γὰρ τῷ θεῷ τάδε, καὶ πρόφασις ἂν ῥᾳδίως γένοιτο καὶ πολυτελείας), ἀλλὰ σώφρονας εὐτάκτους εὐσταλεῖς, ὅπως μάλιστα σωφρονῶμεν. καὶ ἐπὶ ταῖς θυσίαις ὑπὲρ τῆς κοινῆς εὔχεσθαι δεῖ πρῶτον σωτηρίας, εἶθ' ὑπὲρ ἑαυτῶν· ἐπὶ γὰρ κοινωνίᾳ γεγόναμεν, καὶ ταύτην ὁ προτιμῶν τοῦ καθ' ἑαυτὸν ἰδίου μάλιστ' ἂν εἴη θεῷ κεχαρισμένος. παράκλησις δὲ πρὸς τὸν θεὸν ἔστω διὰ τῆς εὐχῆς καὶ δέησις οὐχ ὅπως διδῷ τὰ ἀγαθά (δέδωκε γὰρ αὐτὸς ἑκὼν καὶ πᾶσιν εἰς μέσον κατέθηκεν), ἀλλ' ὅπως δέχεσθαι δυνώμεθα καὶ λαβόντες φυλάττωμεν. ἁγνείας ἐπὶ ταῖς θυσίαις διείρηκεν ὁ νόμος ἀπὸ κήδους, ἀπὸ λέχους,

Digitized by Google

ἀπὸ κοινωνίας τῆς πρὸς γυναῖκα, καὶ πολλῶν ἄλλων, ἃ μακρὸν ἂν εἴη νῦν γράφειν.

τοιοῦτος μὲν ὁ περὶ θεοῦ καὶ τῆς ἐκείνου θεραπείας
24 λόγος ἡμῖν ἐστίν, ὁ δ' αὐτὸς ἅμα καὶ νόμος· τίνες δὲ οἱ περὶ γάμων; μίξιν μόνην οἶδεν ὁ νόμος κατὰ φύσιν τὴν πρὸς γυναῖκα, καὶ ταύτην εἰ μέλλοι τέκνων ἕνεκα γίνεσθαι· τὴν δὲ πρὸς ἄρρενας ἐστύγηκε, καὶ θάνατος τοὐπιτίμιον εἴ τις ἐπιχειρήσειεν. γαμεῖν δὲ κελεύει μὴ πρωικὶ προσέχοντας, μηδὲ βιαίαις ἁρπαγαῖς, μηδ' αὖ θόλῳ καὶ ἀπάτῃ πείσαντας, ἀλλὰ μνηστεύειν παρὰ τοῦ δοῦναι κυρίου καὶ κατὰ συγγένειαν τὴν ἐπιτήδειον. γυνὴ δὲ χεῖρον, φησίν, ἀνδρὸς εἰς ἅπαντα. τοιγαροῦν ὑπακουέτω, μὴ πρὸς ὕβριν, ἀλλ' ἵνα ἄρχηται· θεὸς γὰρ ἀνδρὶ τὸ κράτος ἔδωκε. ταύτῃ συνεῖναι δεῖ τὸν γήμαντα μόνῃ, τὸ δὲ τὴν ἄλλου πειρᾶν ἀνόσιον· εἰ δέ τις τοῦτο πράξειεν, οὐδεμία θανάτου παραίτησις, οὔτ' εἰ βιάσαιτο παρθένον ἑτέρῳ προσωμολογημένην, οὔτ' εἰ πείσειε γεγαμημένην. τέκνα τρέφειν ἅπαντα προσέταξε, καὶ γυναιξὶν ἀπεῖπε μήτ' ἀμβλοῦν τὸ σπαρὲν μήτε διαφθείρειν ἄλλῃ μηχανῇ· τεκνοκτόνος γὰρ ἂν εἴη, ψυχὴν ἀφανίζουσα καὶ τὸ γένος ἐλαττοῦσα. τοιγαροῦν εἴ τις ἐπὶ λέχος ἢ φθορὰν παρέλθοι, καθαρὸς εἶναι οὐ δύναται. ἢ καὶ μετὰ τὴν νόμιμον συνουσίαν ἀνδρὸς καὶ γυναικὸς ἀπολούσασθαι κελεύει ὁ νόμος. ψυχῆς τε γὰρ καὶ σώματος ἐγγίνεται μολυσμὸς ὡς πρὸς ἄλλην χώραν ὑποβαλόντων· καὶ γὰρ ἐμφυομένη σώμασι κακοπαθεῖ ἡ ψυχή, καὶ τούτων αὖ πάλιν ὡς θανάτῳ διακριθεῖσα. διό περ ἁγνείας ἐπὶ πᾶσι τοῖς τοιούτοις προσέταξεν.

25 οὐ μὴν οὐδ' ἐπὶ ταῖς τῶν παίδων γενέσεσιν ἐπέτρεπεν εὐωχίας συνάγειν καὶ προφάσεις ποιεῖσθαι μέθης, ἀλλὰ σώφρονα τὴν ἀρχὴν εὐθὺς τῆς τροφῆς ἔταξε,

Digitized by Google

καὶ γράμματα παιδεύειν ἐκέλευσε, περί τε τοὺς νόμους ἀναστρέφεσθαι καὶ τῶν προγόνων τὰς πράξεις ἐπίστασθαι, τὰς μὲν ἵνα μιμῶνται, τοῖς δ' ἵνα συντρεφόμενοι μήτε παραβαίνωσι μήτε σκῆψιν ἀγνοίας ἔχωσι.

τῆς δ' εἰς τοὺς τετελευτηκότας προυνόησεν ὁσίας 26
οὔτε πολυτελείαις ἐνταφίων οὔτε κατασκευαῖς μνημείων ἐπιφανῶν, ἀλλὰ τὰ μὲν περὶ τὴν κηδείαν προσέταξε τοῖς οἰκειοτάτοις ἐπιτελεῖν, πᾶσι δὲ τοῖς παριοῦσι θαπτομένου τινὸς καὶ συνελθεῖν καὶ συναποδύρασθαι ἐποίησε νόμιμον, καθαίρειν δὲ καὶ τὸν οἶκον καὶ τοὺς ἐνοικοῦντας ἀπὸ κήδους, ἵνα πλεῖστον ἀπέχῃ τοῦ θοκεῖν καθαρὸς εἶναί τις φόνον ἐργασάμενος.

γονέων τιμὴν μετὰ τὴν πρὸς θεὸν δευτέραν ἔταξε, 27
καὶ τὸν οὐκ ἀμειβόμενον τὰς παρ' αὐτῶν χάριτας ἀλλ' εἰς ὁτιοῦν ἐλλείποντα λευσθησόμενον παραδίδωσι. καὶ παντὸς τοῦ πεσβυτέρου τιμὴν ἔχειν τοὺς νέους φησίν, ἐπεὶ πρεσβύτατον ὁ θεός. κρύπτειν οὐδὲν ἐᾷ πρὸς φίλους· οὐ γὰρ εἶναι φιλίαν τὴν μὴ πάντα πιστεύουσαν. κἂν συμβῇ δέ τις ἔχθρα, τούτων ἀπόρρητα λέγειν κεκώλυκε. δικάζων εἰ δῶρά τις λάβοι, θάνατος ἡ ζημία. περιορῶν ἱκέτην, βοηθεῖν ἐνόν, ὑπεύθυνος. ὃ μὴ κατέθηκέ τις, οὐκ ἀναιρήσεται. τῶν ἀλλοτρίων οὐδενὸς ἅψεται. δανείσας τόκον οὐ λήψεται. ταῦτα καὶ πολλὰ τούτοις ὅμοια τὴν πρὸς ἀλλήλους ἡμῶν συνέχει κοινωνίαν.

πῶς δὲ καὶ περὶ τῆς πρὸς ἀλλοφύλους ἐπιεικείας 28
ἐφρόνησεν ὁ νομοθέτης, ἄξιον ἰδεῖν· φανεῖται γὰρ ἄριστα πάντων προνοησάμενος ὅπως μήτε τὰ οἰκεῖα διαφθείρωμεν, μήτε φθονήσωμεν τοῖς μετέχειν τῶν ἡμετέρων προαιρουμένοις. ὅσοι μὲν γὰρ θέλουσιν ὑπὸ τοὺς αὐτοὺς ἡμῖν νόμους ζῆν ὑπελθόντες, δέχεται φι-

Digitized by Google

λοφρόνως, οὐ τῷ γένει μόνον ἀλλὰ καὶ τῇ προαιρέσει τοῦ βίου νομίζων εἶναι τὴν οἰκειότητα· τοὺς δ' ἐκ παρέργου προσιόντας ἀναμίγνυσθαι ταῖς συνηθείαις οὐκ ἠθέλησε.

29 τἆλλα δὲ προείρηκεν ὧν ἐστὶν ἡ μετάδοσις ἀναγκαία· πᾶσι παρέχειν τοῖς δεομένοις ὕδωρ τροφήν, ὁδοὺς φράζειν, ἄταφον μὴ περιορᾶν. ἐπιεικῆ δὲ καὶ τὰ πρὸς τοὺς πολεμίους κριθέντας εἶναι· οὐδὲ γὰρ ἐᾶ τὴν γῆν αὐτῶν πυρπολεῖν, οὐδὲ κόπτειν ἥμερα δένδρα συγκεχώρηκεν, ἀλλὰ καὶ σκυλεύειν ἀπείρηκε τοὺς ἐν μάχῃ πεσόντας, καὶ τῶν αἰχμαλώτων προυνόησεν ὅπως αὐτῶν ὕβρις ἀπῇ, μάλιστα δὲ γυναικῶν. οὕτω δὲ ἡμερότητα καὶ φιλανθρωπίαν ἡμᾶς ἐπαίδευσεν ὡς οὐδὲ τῶν ἀλόγων ζῴων ὠλιγώρηκεν, ἀλλὰ μόνην μὲν ἀφῆκε τούτων χρῆσιν τὴν νόμιμον, πᾶσαν δ' ἑτέραν ἐκώλυσεν. ἃ δ' ὥσπερ ἱκετεύοντα προσφεύγει ταῖς οἰκίαις, ἀπεῖπεν ἀνελεῖν. οὐδὲ νεοττοῖς ἐπέτρεψε τοὺς γονέας αὐτῶν συνεξαίρειν, φείδεσθαι δὲ κἀν τῇ πολεμίᾳ τῶν ἐργαζομένων ζῴων, καὶ μὴ φονεύειν. οὕτω πανταχόθεν τὰ πρὸς ἐπιείκειαν περιεσκέψατο, διδασκαλικοῖς μὲν τοῖς προειρημένοις χρησάμενος νόμοις, τοὺς δ' αὖ κατὰ τῶν παραβαινόντων τιμωρητικοὺς τάξας ἄνευ προφά-
30 σεως· ζημία γὰρ ἐπὶ τοῖς πλείστοις τῶν παραβαινόντων ἐστὶ θάνατος, ἂν μοιχεύσῃ τις, ἂν βιάσηται κόρην, ἂν ἄρσενι τολμήσῃ πεῖραν προσφέρειν, ἂν ὑπομείνῃ παθεῖν πειρασθείς. ἔστι δὲ καὶ ἐπὶ δούλοις ὁμοίως ὁ νόμος ἀπαραίτητος. ἀλλὰ καὶ περὶ μέτρων εἴ τις κακουργήσειεν ἢ σταθμῶν, ἢ περὶ πράσεως ἀδίκου καὶ δόλῳ γενομένης, κἂν ὑφέληταί τις ἀλλότριον, κἂν ὃ μὴ κατέθηκεν ἀνέληται· πάντων εἰσὶ κολάσεις, οὐχ οἷαι παρ' ἑτέροις, ἀλλ' ἐπὶ τὸ μεῖζον. περὶ μὲν γὰρ γονέων ἀδικίας ἢ τῆς εἰς τὸν θεὸν ἀσεβείας, κἂν μέλλῃ τις, εὐ-

Digitized by Google

θέως ἀπόλλυται. τοῖς μέντοι γε κατὰ τοὺς νόμους πάντα πράττουσι τὸ γέρας ἐστὶν οὐκ ἄργυρος οὐδὲ χρυσός, οὐ μὴν οὐδὲ κοτίνου στέφανος ἢ σελίνου καὶ τοιαύτη τις ἀνακήρυξις, ἀλλ' αὐτὸς ἕκαστος αὐτῷ τὸ συνειδὸς ἔχων μαρτυροῦν πεπίστευκε, τοῦ μὲν νομοθέτου προφητεύσαντος, τοῦ δὲ θεοῦ τὴν πίστιν ἰσχυρὰν παρεσχηκότος, ὅτι τοῖς τοὺς νόμους διαφυλάξασι, κἂν εἰ θέοι θνήσκειν ὑπὲρ αὐτῶν, προθύμως ἀποθανοῦσιν ἔδωκεν ὁ θεὸς γενέσθαι τε πάλιν καὶ βίον ἀμείνω λαβεῖν ἐκ περιτροπῆς. ὤκνουν δ' ἂν ἐγὼ νῦν ταῦτα γράφειν, εἰ μὴ διὰ τῶν ἔργων ἅπασιν ἦν φανερὸν ὅτι πολλοὶ καὶ πολλάκις ἤδη τῶν ἡμετέρων περὶ τοῦ μηδὲ ῥῆμα φθέγξασθαι παρὰ τὸν νόμον πάντα παθεῖν γενναίως προείλοντο.

καίτοι γε εἰ μὴ συμβεβήκει γνώριμον ἡμῶν τὸ 31
ἔθνος ἅπασιν ἀνθρώποις ὑπάρχειν κἀν φανερῷ κεῖσθαι τὴν ἐθελούσιον ἡμῶν τοῖς νόμοις ἀκολουθίαν, ἀλλά τις ἢ συγγράψαι λέγων αὐτὸς ἀνεγίνωσκε τοῖς Ἕλλησιν, ἤ που γε περιτυχεῖν ἔξω τῆς γινωσκομένης γῆς ἔφασκεν ἀνθρώποις τοιαύτην μὲν ἔχουσι δόξαν οὕτω σεμνὴν περὶ τοῦ θεοῦ, τοιούτοις δὲ νόμοις πολὺν αἰῶνα βεβαίως ἐμμεμενηκόσι, πάντας ἂν οἶμαι θαυμάσαι διὰ τὰς συνεχεῖς παρ' αὐτοῖς μεταβολάς. ἀμέλει τῶν γράψαι τι παραπλήσιον εἰς πολιτείαν καὶ νόμους ἐπιχειρησάντων ὡς θαυμαστὰ συνθέντων κατηγοροῦσι, φάσκοντες αὐτοὺς λαβεῖν ἀδυνάτους ὑποθέσεις. καὶ τοὺς μὲν ἄλλους παραλείπω φιλοσόφους, ὅσοι τι τοιοῦτον ἐν τοῖς συγγράμμασιν ἐπραγματεύσαντο· Πλάτων δὲ θαυμαζόμενος παρὰ τοῖς Ἕλλησιν ὡς καὶ σεμνότητι βίου διενεγκὼν καὶ δυνάμει λόγων καὶ πειθοῖ πάντας ὑπεράρας τοὺς ἐν φιλοσοφίᾳ γεγονότας, ὑπὸ τῶν φασκόντων δεινῶν εἶναι τὰ πολιτικὰ μικροῦ δεῖν χλευα-

Digitized by Google

ζόμενος καὶ κωμῳδούμενος διατελεῖ. καίτοι τἀκείνου σκοπῶν συχνῶς τις ἂν εὕροι ῥᾴονα ὄντα καὶ τῆς τῶν πολλῶν ἔγγιον συνηθείας. αὐτὸς δὲ Πλάτων ὡμολόγησεν ὅτι τὴν ἀληθῆ περὶ τοῦ θεοῦ δόξαν εἰς τὴν τῶν ὄχλων ἄγνοιαν οὐκ ἦν ἀσφαλὲς ἐξενεγκεῖν. ἀλλὰ τὰ μὲν Πλάτωνος λόγους τινὰς εἶναι κενοὺς νομίζουσι, κατὰ πολλὴν ἐξουσίαν κεκαλλιγραφημένους· μάλιστα δὲ τῶν νομοθετῶν Λυκοῦργόν τε θαυμάζουσι, καὶ τὴν Σπάρτην ἅπαντες ὑμνοῦσιν ὅτι τοῖς ἐκείνου νόμοις ἐπὶ πλεῖστον ἐνεκαρτέρησεν. οὐκοῦν τοῦτο μὲν ὡμολογήσθω, τεκμήριον ἀρετῆς εἶναι, τὸ πείθεσθαι τοῖς νόμοις· οἱ δὲ Λακεδαιμονίους θαυμάζοντες τὸν ἐκείνων χρόνον ἀντιπαραβαλλέτωσαν τοῖς πλείοσιν ἢ δισχιλίοις ἔτεσι τῆς ἡμετέρας πολιτείας, καὶ προσέτι λογιζέσθωσαν ὅτι Λακεδαιμόνιοι μὲν ὅσον ἐφ' ἑαυτῶν χρόνον εἶχον τὴν ἐλευθερίαν, ἀκριβῶς ἔδοξαν τοὺς νόμους διαφυλάττειν, ἐπεὶ μέντοι περὶ αὐτοὺς ἐγένοντο μεταβολαὶ τῆς τύχης, μικροῦ δεῖν ἁπάντων ἐξελάθοντο τῶν νόμων, ἡμεῖς δ' ἐν τύχαις μυρίαις γεγονότες διὰ τὰς τῶν βασιλευσάντων τῆς Ἀσίας μεταβολὰς οὐδ' ἐν τοῖς ἐσχάτοις τῶν δεινῶν τοὺς νόμους προύδομεν, οὐκ ἀργίας οὐδὲ τρυφῆς αὐτοὺς χάριν περιέποντες, ἀλλ' εἴ τις ἐθέλοι σκοπεῖν, πολλῷ τινι τῆς δοκούσης ἐπιτετάχθαι Λακεδαιμονίοις καρτερίας μείζονας ἄθλους καὶ πόνους ἡμῖν ἐπιτιθέντες. οἱ μέν γε μήτε γῆν ἐργαζόμενοι μήτε περὶ τέχνας πονοῦντες, ἀλλὰ πάσης ἐργασίας ἄφετοι, λιπαροὶ καὶ τὰ σώματα πρὸς κάλλος ἀσκοῦντες ἐπὶ τῆς πόλεως διῆγον, ἄλλοις ὑπηρέτας πρὸς ἅπαντα τὰ τοῦ βίου χρώμενοι καὶ τροφὴν ἑτοίμην παρ' ἐκείνων λαμβάνοντες. ἐφ' ᾗ δὴ τοῦτο μόνον τὸ καλὸν ἔργον καὶ φιλάνθρωπον, ἅπαντα καὶ πράττειν καὶ πάσχειν ὑπομένοντες, τὸ κρατεῖν πάντων ἐφ' οἷς

Digitized by Google

ἂν στρατεύωσιν. ὅτι δὲ μηδὲ τοῦτο κατώρθωσαν, ἐῶ λέγειν· οὐ γὰρ καθ' ἕνα μόνον, ἀλλὰ πολλοὶ πολλάκις ἀθρόως τῶν τοῦ νόμου προσταγμάτων ἀμελήσαντες αὐτοὺς μετὰ τῶν ὅπλων παρέδοσαν τοῖς πολεμίοις.

ἆρ' οὖν καὶ παρ' ἡμῖν, οὐ λέγω τοσούτους, ἀλλὰ 32 δύο ἢ τρεῖς ἔγνω τις προδότας γενομένους τῶν νόμων ἢ θάνατον φοβηθέντας, οὐχὶ τὸν ῥᾷστον ἐκεῖνον λέγω, τὸν συμβαίνοντα τοῖς μαχομένοις, ἀλλὰ τὸν μετὰ λύμης τῶν σωμάτων, ὁποῖος εἶναι δοκεῖ πάντων χαλεπώτατος; ὥστ' ἐγὼ νομίζω τινὰς κρατήσαντας ἡμῶν οὐχ ὑπὸ μίσους προσφέρεσθαι ὡς ὑποχειρίοις, ἀλλ' ὡς θαυμαστόν τι θέαμα βουλομένους ἰδεῖν, εἴ τινες εἰσὶν ἄνθρωποι οἱ μόνον εἶναι κακὸν αὐτοῖς πεπιστευκότες, εἰ πρᾶξαί τι παρὰ τοὺς ἑαυτῶν νόμους ἢ λόγον εἰπεῖν παρ' ἐκείνους παραβιασθεῖεν. οὐ χρὴ δὴ θαυμάζειν εἰ πρὸς θάνατον ἀνδρείως ἔχομεν ὑπὲρ τῶν νόμων παρὰ τοὺς ἄλλους ἅπαντας. οὐδὲ γὰρ τὰ ῥᾷστα δοκοῦντα τῶν ἡμετέρων ἐπιτηδευμάτων ἄλλοι ῥᾳδίως ὑπομένουσιν, αὐτουργίαν λέγω καὶ τροφῆς λιτότητα, καὶ τὸ μηδὲν εἰκῇ μηδ' ὡς ἔτυχεν ἕκαστος ἐπιτεθυμηκὼς φαγεῖν ἢ πιεῖν, ἢ συνουσίᾳ προσελθεῖν ἢ πολυτελείᾳ, καὶ πάλιν ἀργίας ὑπομεῖναι τάξιν ἀμετακίνητον· ἀλλ' οἱ τοῖς ξίφεσιν ὁμόσε χωροῦντες καὶ τοὺς πολεμίους ἐξ ἐφόδου τρεπόμενοι τοῖς προστάγμασι τοῖς περὶ διαίτης οὐκ ἀντιβλέψειαν. ἡμῖν δὲ πάλιν ἐκ τοῦ περὶ ταῦτα τῷ νόμῳ πειθαρχεῖν ἡδέως κἀκεῖ περίεστιν ἐπιδείκνυσθαι τὸ γενναῖον.

εἶτα Λυσίμαχοι καὶ Μόλωνες καὶ τοιοῦτοί τινες 33 ἄλλοι συγγραφεῖς, ἀδόκιμοι σοφισταί, μειρακίων ἀπατεῶνες, ὡς πάνυ ἡμᾶς φαυλοτάτους ἀνθρώπων λοιδοροῦσιν. ἐγὼ δ' οὐκ ἂν ἐβουλόμην περὶ τῶν παρ' ἑτέ-

Digitized by Google

ροις νομίμων ἐξετάζειν. τὰ γὰρ αὐτῶν ἡμῖν φυλάττειν πάτριόν ἐστιν, οὐ τῶν ἀλλοτρίων κατηγορεῖν· καὶ περί γε τοῦ μήτε χλευάζειν μήτε βλασφημεῖν τοὺς νομιζομένους θεοὺς παρ' ἑτέροις ἄντικρυς ἡμῖν ὁ νομοθέτης ἀπείρηκεν, αὐτῆς ἕνεκα προσηγορίας τοῦ θεοῦ. τῶν δὲ κατηγόρων διὰ τῆς ἀντιπαραθέσεως ἡμᾶς ἐλέγχειν οἰομένων, οὐχ οἷόν τε κατασιωπᾶν, ἄλλως τε καὶ τοῦ λόγου μέλλοντος οὐχ ὑφ' ἡμῶν ἐλεγχθήσεσθαι νῦν αὐτὸν συντιθέντων, ἀλλ' ὑπὸ πολλῶν εἰρημένου καὶ λίαν εὐδοκιμούντων. τίς γὰρ τῶν παρὰ τοῖς Ἕλλησιν ἐπὶ σοφίᾳ τεθαυμασμένων οὐκ ἐπιτετίμηκε καὶ ποιητῶν τοῖς ἐπιφανεστάτοις καὶ νομοθετῶν τοῖς μάλιστα πεπιστευμένοις, ὅτι τοιαύτας δόξας περὶ θεῶν ἐξ ἀρχῆς τοῖς πλήθεσιν ἐγκατέσπειραν; ἀριθμῷ μὲν ὁπόσους ἂν αὐτοὶ ἐθελήσωσιν ἀποφήνασθαι, ἐξ ἀλλήλων δὲ γινομένους, καὶ κατὰ παντοίους τρόπους γενέσεων· τούτους δὲ καὶ διαιροῦντες τόποις καὶ διαίταις ὥσπερ τῶν ζῴων τὰ γένη, τοὺς μὲν ὑπὸ γῆν τοὺς δὲ ἐν θαλάττῃ, τοὺς μέντοι πρεσβυτάτους αὐτῶν ἐν ταρτάρῳ δεδεμένους· ὅσοις δὲ τὸν οὐρανὸν ἀπένειμαν, τούτοις πατέρα μὲν τῷ λόγῳ τύραννον δὲ τοῖς ἔργοις καὶ δεσπότην ἐφιστάντες, καὶ διὰ τοῦτο συνισταμένην ἐπιβουλὴν ἐπ' αὐτὸν ὑπὸ γυναικὸς καὶ ἀδελφοῦ καὶ θυγατρός, ἣν ἐκ τῆς ἑαυτοῦ κεφαλῆς ἐγέννησεν, ἵνα δὴ συλλαβόντες αὐτὸν καθείρξωσιν, ὥσπερ αὐτὸς ἐκεῖνος τὸν πατέρα τὸν ἑαυτοῦ.

34 ταῦτα δικαίως μέμψεως πολλῆς ἀξιοῦσιν οἱ φρονήσει διαφέροντες, καὶ πρὸς τούτοις καταγελῶσιν, εἰ τῶν θεῶν τοὺς μὲν ἀγενείους καὶ μειράκια τοὺς δὲ πρεσβυτέρους καὶ γενειῶντας εἶναι χρὴ δοκεῖν, ἄλλους δὲ τετάχθαι πρὸς ταῖς τέχναις, χαλκεύοντά τινα, τὴν δὲ ὑφαίνουσαν, τὸν δὲ πολεμοῦντα καὶ μετ' ἀνθρώπων

Digitized by Google

μαχόμενον, τοὺς δὲ κιθαρίζοντας ἢ τοξικῇ χαίροντας· εἶτ' αὐτοῖς ἐγγινομένας πρὸς ἀλλήλους στάσεις καὶ περὶ ἀνθρώπων φιλονεικίας, μέχρι τοῦ μὴ μόνον ἀλλήλοις τὰς χεῖρας προσφέρειν, ἀλλὰ καὶ ὑπ' ἀνθρώπων τραυματιζομένους ὀδύρεσθαι καὶ κακοπαθεῖν. τὸ δὲ δὴ πάντων ἀσελγέστερον, τὴν περὶ τὰς μίξεις ἀκρασίαν καὶ τοὺς ἔρωτας πῶς οὐκ ἄτοπον μικροῦ δεῖν ἅπασι προσάψαι, καὶ τοῖς ἄρρεσι τῶν θεῶν καὶ ταῖς θηλείαις; εἶθ' ὁ γενναιότατος καὶ πρῶτος, αὐτὸς ὁ πατήρ, τὰς ἀπατηθείσας ὑπ' αὐτοῦ καὶ γενομένας ἐγκύους καθειργνυμένας ἢ καταποντιζομένας περιορᾷ, καὶ τοὺς ἐξ αὐτοῦ γεγονότας οὔτε σώζειν δύναται, κρατούμενος ὑπὸ τῆς εἱμαρμένης, οὔτ' ἀδακρυτὶ τοὺς θανάτους αὐτῶν ὑπομένειν. καλά γε ταῦτα, καὶ τούτοις ἄλλα ἑπόμενα, μοιχείας μὲν ἐν οὐρανῷ βλεπομένης οὕτως ἀναισχύντως ὑπὸ τῶν θεῶν ὥστε τινὰς καὶ ζηλοῦν ὁμολογεῖν τοὺς ἐπ' αὐτῇ δεδεμένους. τί γὰρ οὐκ ἔμελλον, ὁπότε μηδ' ὁ πρεσβύτατος καὶ βασιλεὺς ἐδυνήθη τῆς πρὸς τὴν γυναῖκα μίξεως ἐπισχεῖν τὴν ὁρμὴν ὅσον γοῦν εἰς τὸ δωμάτιον ἀπελθεῖν; οἱ δὲ δὴ δουλεύοντες τοῖς ἀνθρώποις θεοί, καὶ νῦν μὲν οἰκοδομοῦντες ἐπὶ μισθῷ νῦν δὲ ποιμαίνοντες, ἄλλοι δὲ τρόπον κακούργων ἐν χαλκῷ δεδεμένοι δεσμωτηρίῳ, τίνα τῶν εὖ φρονούντων οὐκ ἂν παροξύνειαν καὶ τοῖς ταῦτα συνθεῖσιν ἐπιπλῆξαι καὶ πολλὴν εὐήθειαν καταγνῶναι τῶν προσιεμένων; οἳ δὲ καὶ δεῖμόν τινα καὶ φόβον, ἤδη δὲ καὶ λύσσαν καὶ ἀπάτην καὶ τί γὰρ οὐχὶ τῶν κακίστων παθῶν εἰς θεοῦ φύσιν καὶ μορφὴν ἀνέπλασαν. τοῖς δὲ εὐφημοτέροις τούτων καὶ θύειν τὰς πόλεις ἔπεισαν. τοιγαροῦν εἰς πολλὴν ἀνάγκην καθίστανται τοὺς μέν τινας τῶν θεῶν νομίζειν δοτῆρας ἀγαθῶν, τοὺς δὲ καλεῖν ἀποτροπαίους. εἶτα δὲ τούτους, ὥσπερ τοὺς πονηροτάτους τῶν ἀνθρώ-

Digitized by Google

πων, χάρισι καὶ δώροις ἀποσείονται, μέγα τι λήψεσθαι κακὸν ὑπ' αὐτῶν προσδοκῶντες, εἰ μὴ μισθὸν αὐτοῖς παράσχοιεν.

35 τί τοίνυν τὸ αἴτιον τῆς τοσαύτης ἀνωμαλίας καὶ περὶ τὸ θεῖον πλημμελείας; ἐγὼ μὲν ὑπολαμβάνω τὸ μήτε τὴν ἀληθῆ τοῦ θεοῦ φύσιν ἐξ ἀρχῆς συνιδεῖν αὐτῶν τοὺς νομοθέτας, μήθ' ὅσον καὶ λαβεῖν ἠδυνήθησαν ἀκριβῆ γνῶσιν διορίσαντας, πρὸς τοῦτο ποιήσασθαι τὴν ἄλλην τάξιν τοῦ πολιτεύματος, ἀλλ' ὥσπερ ἄλλο τι τῶν φαυλοτάτων ἐφῆκαν τοῖς μὲν ποιηταῖς, οὕστινας ἂν βούλωνται θεοὺς εἰσάγειν πάντα πάσχοντας, τοῖς δὲ ῥήτορσι, πολιτογραφεῖν κατὰ ψήφισμα τῶν ξένων θεῶν τὸν ἐπιτήδειον. πολλῆς δὲ καὶ ζωγράφοι καὶ πλάσται τῆς εἰς τοῦτο παρὰ τῶν Ἑλλήνων ἀπέλαυσαν ἐξουσίας, αὐτὸς ἕκαστός τινα μορφὴν ἐπινοῶν, ὃ μὲν ἐκ πηλοῦ πλάττων ὃ δὲ γράφων· οἱ δὲ μάλιστα θαυμαζόμενοι τῶν δημιουργῶν τὸν ἐλέφαντα καὶ τὸν χρυσὸν ἔχουσι τῆς ἀεὶ καινουργίας τὴν ὑπόθεσιν. εἶθ' οἱ μὲν πρότερον ἐν ταῖς τιμαῖς ἀκμάσαντες θεοὶ γεγηράκασιν, ἄλλοι δὲ καινοί τινες εἰσαγόμενοι θρησκείας τυγχάνουσιν. καὶ τῶν ἱερῶν τὰ μὲν ἐρημοῦνται, τὰ δὲ νεωστὶ κατὰ τὴν τῶν ἀνθρώπων βούλησιν ἕκαστος ἱδρύεται, δέον τοὐναντίον τὴν περὶ τοῦ θεοῦ δόξαν αὐτοὺς καὶ τὴν πρὸς αὐτὸν τιμὴν ἀμετακίνητον διαφυλάττειν.

36 Ἀπολλώνιος μὲν οὖν ὁ Μόλων τῶν ἀνοήτων εἷς ἦν καὶ τετυφωμένων· τοὺς μέντοι κατ' ἀλήθειαν ἐν τοῖς Ἑλληνικοῖς φιλοσοφήσαντας οὔτε τῶν προειρημένων οὐδὲν διέλαθεν, οὔτε τὰς ψυχρὰς προφάσεις τῶν ἀλληγοριῶν ἠγνόησαν. διό περ τῶν μὲν εἰκότως κατεφρόνησαν, εἰς δὲ τὴν ἀληθῆ καὶ πρέπουσαν περὶ τοῦ θεοῦ δόξαν ἡμῖν συνεφώνησαν. ἀφ' ἧς ὁρμηθεὶς ὁ Πλάτων

Digitized by Google

οὔτε τῶν ἄλλων οὐδένα ποιητῶν φησὶ δεῖν εἰς τὴν πολιτείαν παραδέχεσθαι, καὶ τὸν Ὅμηρον εὐφήμως ἀποπέμπεται, στεφανώσας καὶ μύρου αὐτοῦ καταχέας, ἵνα δὴ μὴ τὴν ὀρθὴν δόξαν περὶ θεοῦ τοῖς μύθοις ἀφανίσειε. μάλιστα δὲ Πλάτων μεμίμηται τὸν ἡμέτερον νομοθέτην κἀν τῷ μηδὲν οὕτω παίδευμα προστάττειν τοῖς πολίταις ὡς τὸ πάντας ἀκριβῶς τοὺς νόμους ἐκμανθάνειν. καὶ μὴν καὶ περὶ τοῦ μὴ δεῖν ὡς ἔτυχεν ἐπιμίγνυσθαί τινας ἔξωθεν, ἀλλ' εἶναι καθαρὸν τὸ πολίτευμα τῶν ἐμμενόντων τοῖς νόμοις προυνόησεν. ὧν οὐδὲν λογισάμενος ὁ Μόλων Ἀπολλώνιος ἡμῶν κατηγόρησεν ὅτι μὴ παραδεχόμεθα τοὺς ἄλλοις προκατειλημμένους δόξαις περὶ θεοῦ, μηδὲ κοινωνεῖν ἐθέλομεν τοῖς καθ' ἑτέραν συνήθειαν βίου ζῆν προαιρουμένοις. ἀλλ' οὐδὲ τοῦτ' ἐστὶν ἴδιον ἡμῶν, κοινὸν δὲ πάντων, οὐχ Ἑλλήνων δὲ μόνων ἀλλὰ καὶ τῶν ἐν τοῖς Ἕλλησιν εὐδοκιμωτάτων. Λακεδαιμόνιοι δὲ καὶ ξενηλασίας ποιούμενοι διετέλουν καὶ τοῖς αὑτῶν ἀποδημεῖν πολίταις οὐκ ἐπέτρεπον, διαφθορὰν ἐξ ἀμφοῖν ὑφορώμενοι γενήσεσθαι περὶ τοὺς νόμους. ἐκείνοις μὲν οὖν τάχα δυσκολίαν τις ὀνειδίσειεν ἂν εἰκότως· οὐδενὶ γὰρ οὔτε τῆς πολιτείας οὔτε τῆς παρ' αὐτοῖς μετεδίδοσαν διατριβῆς· ἡμεῖς δὲ τὰ μὲν τῶν ἄλλων ζηλοῦν οὐκ ἀξιοῦμεν, τοὺς μέντοι μετέχειν τῶν ἡμετέρων βουλομένους ἡδέως δεχόμεθα. καὶ τοῦτο ἂν εἴη τεκμήριον, οἶμαι, φιλανθρωπίας ἅμα καὶ μεγαλοψυχίας.

ἐῶ περὶ Λακεδαιμονίων ἐπὶ πλείω λέγειν. οἱ δὲ 37
κοινὴν εἶναι τὴν ἑαυτῶν δόξαντες πόλιν Ἀθηναῖοι πῶς περὶ τούτων εἶχον, Ἀπολλώνιος ἠγνόησεν, ὅτι καὶ τοὺς ῥῆμα μόνον παρὰ τοὺς ἐκείνων νόμους φθεγξαμένους περὶ θεῶν ἀπαραιτήτως ἐκόλασαν. τίνος γὰρ ἑτέρου χάριν Σωκράτης ἀπέθανεν; οὐ γὰρ δὴ προεδίδου

Digitized by Google

τὴν πόλιν τοῖς πολεμίοις, οὐδὲ τῶν ἱερῶν ἐσύλησεν οὐδέν, ἀλλ' ὅτι καινοὺς ὅρκους ὤμννε καί τι δαιμόνιον αὐτῷ σημαίνειν ἔφασκεν, ἢ σπουδάξων ἢ διαπαίζων, ὡς ἔνιοι λέγουσι, διὰ ταῦτα κατεγνώσθη κώνειον πιὼν ἀποθανεῖν· καὶ διαφθείρειν δὲ τοὺς νέους ὁ κατήγορος αὐτὸν ᾐτιᾶτο, τῆς πατρίου πολιτείας καὶ τῶν νόμων ὅτι προῆγεν αὐτοὺς καταφρονεῖν. Σωκράτης μὲν οὖν πολίτης Ἀθηναίων τοιαύτην ὑπέμεινε τιμωρίαν, Ἀναξαγόρας δὲ Κλαζομένιος ἦν· ἀλλ' ὅτι νομιζόντων Ἀθηναίων τὸν ἥλιον εἶναι θεόν, ὃ δ' αὐτὸν ἔφη μύδρον εἶναι διάπυρον, θάνατον αὐτοῦ παρ' ὀλίγας ψήφους κατέγνωσαν. καὶ Διαγόρᾳ τῷ Μηλίῳ τάλαντον ἐπεκήρυξαν, εἴ τις αὐτὸν ἀνέλοι, ἐπεὶ τὰ παρ' αὐτοῖς μυστήρια χλευάζειν ἐλέγετο. καὶ Πρωταγόρας εἰ μὴ θᾶττον ἔφυγε, συλληφθεὶς ἂν ἐτεθνήκει, γράψαι τι δόξας οὐχ ὁμολογούμενον τοῖς Ἀθηναίοις περὶ θεῶν. τί δὲ δεῖ θαυμάζειν εἰ πρὸς ἄνδρας οὕτως ἀξιοπίστους διετέθησαν, οἵ γε μηδὲ γυναικῶν ἐφείσαντο; νῦν μὲν γάρ τινα ἱέρειαν ἀπέκτειναν, ἐπεί τις αὐτῆς κατηγόρησεν ὅτι ξένους ἐμύει θεούς· νόμῳ δ' ἦν τοῦτο παρ' αὐτοῖς κεκωλυμένον, καὶ τιμωρία κατὰ τῶν ξένον εἰσαγόντων θεὸν ὥριστο θάνατος. οἱ δὲ τοιούτῳ νόμῳ χρώμενοι δῆλον ὅτι τοὺς τῶν ἄλλων οὐκ ἐνόμιζον εἶναι θεούς· οὐ γὰρ ἂν αὐτοῖς πλειόνων ἀπολαύειν ἐφθόνουν. τὰ μὲν οὖν Ἀθηναίων ᾤχετο καλῶς, Σκύθαι δὲ φόνους χαίροντες ἀνθρώπων καὶ βραχὺ τῶν θηρίων διαφέροντες ὅμως τὰ παρ' αὐτοῖς οἴονται δεῖν περιστέλλειν, καὶ τὸν ὑπὸ τῶν Ἑλλήνων ἐπὶ σοφίᾳ θαυμασθέντα, τὸν Ἀνάχαρσιν, ἐπανελθόντα πρὸς αὐτοὺς ἀνεῖλον, ἐπεὶ τῶν Ἑλληνικῶν ἐθῶν ἔδοξεν ἥκειν ἀνάπλεως. πολλοὺς δὲ καὶ παρὰ Πέρσαις ἄν τις εὕροι καὶ διὰ τὴν αὐτὴν αἰτίαν κεκολασμένους. ἀλλὰ δῆλον ὅτι τοῖς Περσῶν ἔχαιρε

Digitized by Google

νόμοις ὁ Ἀπολλώνιος, κἀκείνους ἐθαύμαζεν, ὅτι τῆς ἀνδρείας αὐτῶν ἀπέλαυσαν οἱ Ἕλληνες καὶ τῆς ὁμογνωμοσύνης ἧς εἶχον περὶ θεῶν, ταύτης μὲν οὖν ἐν τοῖς ἔργοις οἷς κατέπρησαν, τῆς ἀνδρείας δὲ δουλεῦσαι παρὰ μικρὸν ἐλθόντες. ἁπάντων δὲ καὶ τῶν ἐπιτηδευμάτων μιμητὴς ἐγένετο τῶν Περσικῶν, γυναῖκας ἀλλοτρίας ὑβρίζων καὶ παῖδας ἐκτέμνων. παρ' ἡμῖν δὲ θάνατος ὥρισται κἂν ἄλογόν τις ζῷον οὕτως ἀδικῇ· καὶ τούτων ἡμᾶς τῶν νόμων ἀπαγαγεῖν οὔτε φόβος ἴσχυσε τῶν κρατησάντων οὔτε ξῆλος τῶν παρὰ τοῖς ἄλλοις τετιμημένων. οὐδὲ τὴν ἀνδρείαν ἠσκήσαμεν ἐπὶ τῷ πολέμους ἄρασθαι χάριν πλεονεξίας, ἀλλ' ἐπὶ τῷ τοὺς νόμους διαφυλάττειν. τὰς γοῦν ἄλλας ἐλαττώσεις πράως ὑπομένοντες, ἐπειδάν τινες ἡμᾶς τὰ νόμιμα κινεῖν ἀναγκάζωσι, τότε καὶ παρὰ δύναμιν αἱρούμεθα πολέμους καὶ μέχρι τῶν ἐσχάτων ταῖς συμφοραῖς ἐγκαρτεροῦμεν. διὰ τί γὰρ ἂν καὶ ζηλώσαιμεν τοὺς ἑτέρων νόμους, ὁρῶντες μηδὲ παρὰ τοῖς θεμένοις αὐτοὺς τετηρημένους; πῶς γὰρ οὐκ ἔμελλον Λακεδαιμόνιοι μὲν τῆς ἀνεπιμίκτου καταγνώσεσθαι πολιτείας καὶ τῆς περὶ τοὺς γάμους ὀλιγωρίας, Ἠλεῖοι δὲ καὶ Θηβαῖοι τῆς παρὰ φύσιν καὶ ἄφαν ἀνέδην πρὸς τοὺς ἄρρενας μίξεως; ἃ γοῦν πάλαι κάλλιστα καὶ συμφορώτατα πράττειν ὑπελάμβανον, ταῦτ' εἰ καὶ μὴ παντάπασι τοῖς ἔργοις πεφεύγασιν, οὐχ ὁμολογοῦσιν, ἀλλὰ καὶ τοὺς περὶ αὐτῶν νόμους ἀπομίγνυνται, τοσοῦτόν ποτε παρὰ τοῖς Ἕλλησιν ἰσχύσαντας ὥστε καὶ τοῖς θεοῖς τὰς τῶν ἀρρένων μίξεις ἐπεφήμισαν, κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ τοὺς τῶν γνησίων ἀδελφῶν γάμους, ταύτην ἀπολογίαν αὐταῖς τῶν ἀτόπων καὶ παρὰ φύσιν ἡδονῶν συντιθέντες.

ἐῶ νῦν περὶ τῶν τιμωριῶν λέγειν, ὅσας μὲν ἐξ 38
ἀρχῆς ἔδοσαν οἱ πλεῖστοι νομοθέται τοῖς πονηροῖς δια-

Digitized by Google

λύσεις, ἐπὶ μοιχείας μὲν ζημίας χρημάτων, ἐπὶ φθορᾶς δὲ γάμους νομοθετήσαντες, ὅσας δὲ περὶ τῆς ἀσεβείας προφάσεις περιέχουσιν ἀρνήσεως, εἰ καί τις ἐπιχειρήσειεν ἐξετάζειν. ἤδη γὰρ παρὰ τοῖς πλείοσι μελέτη γέγονε τοῦ παραβαίνειν τοὺς νόμους. οὐ μὴν καὶ παρ' ἡμῖν, ἀλλὰ κἂν πλούτου καὶ πόλεων καὶ τῶν ἄλλων ἀγαθῶν στερηθῶμεν, ὁ γοῦν νόμος ἡμῖν ἀθάνατος διαμένει· καὶ οὐδεὶς Ἰουδαίων οὔτε μακρὰν οὕτως ἂν ἀπέλθοι τῆς πατρίδος οὔτ' ἐπίκικρον φοβηθήσεται δεσπότην ὡς μὴ πρὸ ἐκείνου δεδιέναι τὸν νόμον. εἰ μὲν οὖν διὰ τὴν ἀρετὴν τῶν νόμων οὕτω πρὸς αὐτοὺς διακείμεθα, συγχωρησάτωσαν ὅτι κρατίστους ἔχομεν νόμους· εἰ δὲ φαύλοις οὕτως ἡμᾶς ἐμμένειν ὑπολαμβάνουσι, τί οὐκ ἂν αὐτοὶ δικαίως πάθοιεν τοὺς κρείττονας οὐ φυλάττοντες; ἐπεὶ τοίνυν ὁ πολὺς χρόνος πιστεύεται πάντων εἶναι δοκιμαστὴς ἀληθέστατος, τοῦτον ἂν ποιησαίμην ἐγὼ μάρτυρα τῆς ἀρετῆς ἡμῶν τοῦ νομοθέτου καὶ τῆς ὑπ' ἐκείνου φήμης περὶ τοῦ θεοῦ παραδοθείσης. ἀπείρου γὰρ τοῦ χρόνου γεγονότος, εἴ τις αὐτὸν παραβάλλοι ταῖς τῶν ἄλλων ἡλικίαις νομοθετῶν, παρὰ πάντας ἂν εὕροι τοῦτον.

39 ὑφ' ἡμῶν τε διηλέγχθησαν οἱ νόμοι, καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις ἀεὶ καὶ μᾶλλον αὐτῶν ζῆλον ἐμπεποιήκασι. πρῶτοι μὲν γὰρ οἱ παρὰ τοῖς Ἕλλησι φιλοσοφήσαντες τῷ μὲν δοκεῖν τὰ πάτρια διεφύλαττον, ἐν δὲ τοῖς πράγμασι καὶ τῷ φιλοσοφεῖν ἐκείνῳ κατηκολούθησαν, ὅμοια μὲν περὶ θεοῦ φρονοῦντες, εὐτέλειαν δὲ βίου καὶ τὴν πρὸς ἀλλήλους κοινωνίαν διδάσκοντες. οὐ μὴν ἀλλὰ καὶ πλήθεσιν ἤδη πολὺς ζῆλος γέγονεν ἐκ μακροῦ τῆς ἡμετέρας εὐσεβείας, οὐδ' ἔστιν οὐ πόλις Ἑλλήνων οὐδ' ἡτισοῦν οὐδὲ βάρβαρος, οὐδὲ ἓν ἔθνος, ἔνθα μὴ τὸ τῆς ἑβδομάδος, ἣν ἀγομεν ἡμεῖς, ἔθος οὐ

Digitized by Google

διαπεφοίτηκε, καὶ αἱ νηστεῖαι καὶ λύχνων ἀνακαύσεις καὶ πολλὰ τῶν εἰς βρῶσιν ἡμῖν οὐ νενομισμένων παρατετήρηται. μιμεῖσθαι δὲ πειρῶνται καὶ τὴν πρὸς ἀλλήλους ἡμῶν ὁμόνοιαν καὶ τὴν τῶν ὄντων ἀνάδοσιν καὶ τὸ φιλεργὸν ἐν ταῖς τέχναις καὶ τὸ καρτερικὸν ἐν ταῖς ὑπὲρ τῶν νόμων ἀνάγκαις. τὸ γὰρ θαυμασιώτατον, ὅτι χωρὶς τοῦ τῆς ἡδονῆς ἐπαγωγοῦ οὐ δελεαστὸς αὐτὸς καθ' αὑτὸν ἴσχυσεν ὁ νόμος· καὶ ὥσπερ ὁ θεὸς διὰ παντὸς τοῦ κόσμου πεφοίτηκεν, οὕτως ὁ νόμος διὰ πάντων ἀνθρώπων βεβάδικεν. αὐτὸς δέ τις ἕκαστος τὴν πατρίδα καὶ τὸν οἶκον ἐπισκοπῶν τὸν αὐτοῦ τοῖς ὑπ' ἐμοῦ λεγομένοις οὐκ ἀπιστήσει. χρὴ τοίνυν πάντων ἀνθρώπων καταγνῶναι ποιηρίαν ἐθελούσιον, εἰ τἀλλότρια καὶ φαῦλα πρὸ τῶν οἰκείων καὶ καλῶν ζηλοῦν ἐπιτεθυμήκασιν, ἢ παύσασθαι βασκαίνοντας ἡμῖν τοὺς κατηγοροῦντας. οὐδὲ γὰρ ἐπιφθόνου τινὸς ἀντιποιούμεθα πράγματος, τὸν αὐτῶν τιμῶντες νομοθέτην καὶ τοῖς ὑπ' ἐκείνου προφητευθεῖσι περὶ τοῦ θεοῦ πεπιστευκότες· καὶ γὰρ εἰ μὴ συνίεμεν αὐτοὶ τῆς ἀρετῆς τῶν νόμων ἁπάντων, ὑπὸ τοῦ πλήθους γοῦν τῶν ζηλούντων μέγα φρονεῖν ἐπ' αὐτοῖς προήχθημεν.

ἀλλὰ γὰρ περὶ μὲν τῶν νόμων καὶ τῆς πολιτείας 40
τὴν ἀκριβῆ πεποίημαι παράδοσιν ἐν τοῖς περὶ ἀρχαιολογίας μοι γραφεῖσι· νυνὶ δ' αὐτῶν ἐπεμνήσθην ἐφ' 23
ὅσον ἦν ἀναγκαῖον, οὔτε τὰ τῶν ἄλλων ψέγειν οὔτε τὰ παρ' ἡμῖν ἐγκωμιάζειν προθέμενος, ἀλλ' ἵνα τοὺς περὶ ἡμῶν ἀδίκως γεγραφότας ἐλέγξω πρὸς αὐτὴν ἀναιδῶς τὴν ἀλήθειαν πεφιλονεικηκότας. καὶ δή μοι δοκῶ πεπληρῶσθαι διὰ τῆς γραφῆς ἱκανῶς ἃ προϋπεσχόμην. καὶ γὰρ ἀρχαιότητι προϋπάρχον ἐπέδειξα τὸ γένος, τῶν κατηγόρων ὅτι νεώτατόν ἐστιν εἰρηκότων· καὶ γὰρ πολλοὺς ἐν τοῖς συγγράμμασιν ἐμνημονευκότας ἡμῶν ἀρ-

Digitized by Google

χαίους παρέσχομεν μάρτυρας, ἐκείνων ὅτι μηδείς ἐστι διαβεβαιουμένων. ἀλλὰ μὴν Αἰγυπτίους ἔφασαν ἡμῶν τοὺς προγόνους· ἐδείχθησαν δ' εἰς Αἴγυπτον ἐλθόντες ἑτέρωθεν. διὰ δὲ λύμην σωμάτων αὐτοὺς ἐκβληθῆναι κατεψεύσαντο· προαιρέσει καὶ περιουσίᾳ ῥώμης ἐφάνησαν ἐπὶ τὴν οἰκείαν ὑποστρέψαντες γῆν. οἳ μὲν ὡς φαυλότατον ἡμῶν τὸν νομοθέτην ἐλοιδόρησαν, τῷ δὲ τῆς ἀρετῆς πάλαι μὲν ὁ θεός, μετ' ἐκεῖνον δὲ μάρτυς ὁ χρόνος εὕρηται γεγενημένος.

41 περὶ τῶν νόμων οὐκ ἐδέησε λόγου πλείονος. αὐτοὶ γὰρ ἑωράθησαν δι' αὐτῶν οὐκ ἀσέβειαν μὲν εὐσέβειαν δ' ἀληθεστάτην διδάσκοντες, οὐδ' ἐπὶ μισανθρωπίαν ἀλλ' ἐπὶ τὴν τῶν ὄντων κοινωνίαν παρακαλοῦντες, ἀδικίας ἐχθροί, δικαιοσύνης ἐπιμελεῖς, ἀργίαν καὶ πολυτέλειαν ἐξορίζοντες, αὐτάρκεις καὶ φιλοπόνους εἶναι διδάσκοντες, πολέμων μὲν ἀπείργοντες εἰς πλεονεξίαν, ἀνδρείους δ' ὑπὲρ αὐτῶν εἶναι παρασκευάζοντες, ἀπαραίτητοι πρὸς τὰς τιμωρίας, ἀσόφιστοι λόγων παρασκευαῖς, τοῖς ἔργοις ἀεὶ βεβαιούμενοι· ταῦτα γὰρ ἀεὶ ἡμεῖς παρέχομεν τῶν γραμμάτων ἐναργέστερα. διό περ ἐγὼ θαρσήσας ἂν εἴποιμι πλείστων ἅμα καὶ καλλίστων ἡμᾶς εἰσηγητὰς τοῖς ἄλλοις γεγονέναι. τί γὰρ εὐσεβείας ἀπαραβάτου κάλλιον; τί δὲ τοῦ πειθαρχεῖν τοῖς νόμοις δικαιότερον; ἢ τί συμφορώτερον τοῦ πρὸς ἀλλήλους ὁμονοεῖν, καὶ μήτ' ἐν συμφοραῖς διίστασθαι μήτ' ἐν εὐτυχίαις στασιάζειν ἐξυβρίζοντας, ἀλλ' ἐν πολέμῳ μὲν θανάτου καταφρονεῖν, ἐν εἰρήνῃ δὲ τέχναις ἢ γεωργίαις προσανέχειν, πάντα δὲ καὶ πανταχοῦ πεπεῖσθαι τὸν θεὸν ἐποπτεύοντα διέπειν; ταῦτ' εἰ μὲν παρ' ἑτέροις ἢ ἐγράφη πρότερον ἢ ἐφυλάχθη βεβαιότερον, ἡμεῖς ἂν ἐκείνοις χάριν ὠφείλομεν ὡς μαθηταὶ γεγονότες· εἰ δὲ καὶ χρώμενοι μάλιστα πάντων βλεπόμεθα καὶ τὴν

Digitized by Google

πρώτην εὕρεσιν αὐτῶν ἡμετέραν οὖσαν ἐπεδείξαμεν, Ἀπίωνες μὲν καὶ Μόλωνες καὶ πάντες ὅσοι τῷ ψεύδεσθαι καὶ λοιδορεῖν χαίρουσιν ἐξεληλέγχθωσαν, σοὶ δέ, Ἐπαφρόδιτε, μάλιστα τὴν ἀλήθειαν ἀγαπῶντι, καὶ διὰ σὲ τοῖς ὁμοίως βουλευσαμένοις περὶ τοῦ γένους ἡμῶν εἰδέναι, τοῦτό τε καὶ τὸ πρὸ αὐτοῦ γεγράφθω βιβλίον.

Digitized by Google

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ
ΕΙΣ ΜΑΚΚΑΒΑΙΟΥΣ
ΛΟΓΟΣ
Η
ΠΕΡΙ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΛΟΓΙΣΜΟΥ.

Φιλοσοφώτατον λόγον ἐπιδείκνυσθαι μέλλων, εἰ αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός, συμβουλεύσαιμ' ἂν ὑμῖν ὀρθῶς ὅπως προσέχητε προθύμως τῇ φιλοσοφίᾳ. καὶ γὰρ ἀναγκαῖος εἰς ἐπιστήμην παντὶ ὁ λόγος, καὶ ἄλλως τῆς μεγίστης ἀρετῆς· λέγω δὴ ὅτι φρονήσεως περιέχει ἔπαινον, εἰ ἄρα τῶν σωφροσύνης κωλυτικῶν παθῶν ὁ λογισμὸς φαίνεται ἐπικρατεῖν, γαστριμαργίας τε καὶ ἐπιθυμίας. ἀλλὰ καὶ τῶν τῆς δικαιοσύνης ἐμποδιστικῶν παθῶν κυριεύειν ἀναφαίνεται, οἷον κακοηθείας, καὶ τῶν τῆς ἀνδρείας ἐμποδιστικῶν παθῶν, θυμοῦ τε καὶ φόβου καὶ πόνου. πῶς οὖν, ἴσως εἴποιεν ἄν τινες, εἰ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ, λήθης καὶ ἀγνοίας οὐ δεσπόζει; γελοῖον ἐπιχειροῦντες λέγειν. οὐ γὰρ τῶν ἑαυτοῦ παθῶν ὁ λογισμὸς κρατεῖ, ἀλλὰ τῶν τῆς δικαιοσύνης καὶ ἀνδρείας καὶ σωφροσύνης ἐναντίων, καὶ τούτων οὐχ ὥστε αὐτὰ καταλῦσαι ἀλλ' ὥστε αὐτοῖς μὴ εἶξαι. πολλαχόθεν μὲν οὖν καὶ ἀλλαχόθεν ἔχοιμ' ἂν ὑμῖν ἐπιδεῖξαι ὅτι αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ λογισμός, πολὺ δὲ πλέον τοῦτο ἀποδεῖξαι ἀπὸ τῆς ἀνδραγαθίας τῶν ὑπὲρ ἀρετῆς ἀποθανόντων,

Digitized by Google

Ἐλεαζάρου τε καὶ τῶν ἑπτὰ ἀδελφῶν καὶ τῆς τούτων μητρός· ἅπαντες γὰρ οὗτοι τῶν ὑπὲρ τῶν τοῦ θεοῦ νόμων ἕως θανάτου πόνων καταφρονήσαντες, καὶ ὑπὲρ θεοσεβείας τὸ ζῆν αὐτῶν ὑπεριδόντες, ὑπέδειξαν ὅτι περικρατεῖ τῶν παθῶν ὁ λογισμός. τῶν μὲν οὖν ἀρετῶν ἐπέστη μοι ἐπαινεῖν τοὺς κατ' ἐκεῖνον τὸν καιρὸν ὑπὲρ τῆς καλοκαγαθίας ἀποθανόντας μετὰ τῆς μητρὸς ἄνδρας, τῶν δὲ τιμῶν μακαρίσαιμ' ἂν αὐτούς· θαυμασθέντες γὰρ ἐκεῖνοι οὐ μόνον ὑπὸ πάντων ἀνθρώπων ἐπὶ τῇ ἀνδρείᾳ καὶ ὑπομονῇ, ἀλλὰ καὶ ὑπὸ τῶν καταικισαμένων, αἴτιοι κατέστησαν τοῦ καταλυθῆναι τὴν κατὰ τοῦ ἔθνους τυραννίδα, νικήσαντες τὸν τύραννον τῇ ὑπομονῇ, ὥστε καθαρισθῆναι δι' αὐτῶν τὴν πατρίδα. ἀλλὰ καὶ περὶ τοῦ ζητουμένου αὐτίκα δὴ λέγειν ἐξέσται ἀρξαμένῳ τῆς ὑποθέσεως, ὥσπερ εἰώθαμεν ποιεῖν, καὶ οὕτως εἰς τὸν περὶ αὐτῶν τρέψομαι λόγον, δόξαν διδοὺς τῷ πανσόφῳ θεῷ.

ζητοῦμεν δὴ τοίνυν εἰ αὐτοκράτωρ ἐστὶ τῶν παθῶν 2
ὁ λογισμός, καὶ διακρίνομεν τί ποτέ ἐστι λογισμὸς καὶ τί πάθος, καὶ πόσαι αἱ τῶν παθῶν ἰδέαι, καὶ εἰ πάντων ἐπικρατεῖ τούτων ὁ λογισμός. λογισμὸς μὲν τοίνυν ἐστὶ νοῦς μετὰ ὀρθοῦ λόγου προτιμῶν τὸν τῆς σοφίας βίον, σοφία δ' ἐστὶ γνῶσις θείων καὶ ἀνθρωπίνων πραγμάτων καὶ τῶν τούτων αἰτίων. αὕτη δὴ τοίνυν ἐστὶν ἡ τοῦ νόμου παιδεία, δι' ἧς τὰ θεῖα σεμνῶς καὶ τὰ ἀνθρώπινα συμφερόντως μανθάνομεν. τῆς δὲ σοφίας ἰδέαι καθεστήκασι τέσσαρες, φρόνησις δικαιοσύνη ἀνδρεία καὶ σωφροσύνη· κυριωτάτη δὲ πασῶν ἡ φρόνησις, ἐξ ἧς δὴ τῶν παθῶν ὁ λογισμὸς ἐπικρατεῖ. παθῶν δὲ φύσεις εἰσὶν αἱ περιεκτικώτατα δύο, ἡδονή τε καὶ πόνος· τούτων δὲ ἑκάτερον καὶ περὶ τὸ σῶμα καὶ περὶ τὴν ψυχὴν πέφυκε. πολλαὶ δὲ καὶ περὶ τὴν ἡδο-

Digitized by Google

νὴν καὶ τὸν πόνον παθῶν εἰσὶν ἀκολουθίαι. πρὸ μὲν οὖν τῆς ἡδονῆς ἐστὶν ἐπιθυμία, μετὰ δὲ τὴν ἡδονὴν χαρά· πρὸ δὲ τοῦ πόνου ἐστὶ φόβος, μετὰ δὲ τὸν πόνον λύπη. θυμὸς δὲ κοινὸν πάθος ἐστὶν ἡδονῆς τε καὶ πόνου, ἐὰν ἐννοηθῇ τις ὅτι αὐτῷ περιέπεσεν. ἐν τῇ 6
ἡδονῇ δέ ἐστι καὶ ἡ κακοήθης διάθεσις, πολυτροπωτάτη πάντων οὖσα τῶν παθῶν, κατὰ μὲν τὴν ψυχὴν ἀλαζονεία φιλαργυρία φιλοδοξία φιλονεικία καὶ βασκανία, κατὰ δὲ τὸ σῶμα παντοφαγία λαιμαργία μονοφαγία. καθάπερ οὖν δυοῖν τοῦ σώματος καὶ τῆς ψυχῆς φυτῶν 10
ὄντων ἡδονῆς τε καὶ πόνου, πολλαὶ τούτων τῶν φυτῶν εἰσὶ παραφυάδες, ὧν ἑκάστην ὁ παγγέωργος λογισμὸς περικαθαίρων τε καὶ ἀποκνίζων καὶ περιπλέκων καὶ ἐπάρδων καὶ πάντα τρόπον μετοχετεύων ἑξημεροῖ τὰς τῶν ἠθῶν καὶ παθῶν ὕλας. ὁ γὰρ λογισμὸς τῶν μὲν 13
ἀρετῶν ἐστὶν ἡγεμών, τῶν δὲ παθῶν αὐτοκράτωρ· ἐπιθεωρεῖται γὰρ πρῶτον διὰ τῶν κωλυτικῶν τῆς σωφροσύνης ἔργων ὅτι αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ λογισμός. σωφροσύνη δὴ τοίνυν ἐστὶν ἐπικράτεια τῶν ἐπιθυμιῶν, τῶν δὲ ἐπιθυμιῶν αἱ μέν εἰσι ψυχικαὶ αἱ 20
δὲ σωματικαί, καὶ τούτων ἀμφοτέρων ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται, ἐπεὶ πόθεν κινούμενοι πρὸς τὰς ἀπειρημένας τροφὰς ἀποστρεφόμεθα τὰς ἐξ αὐτῶν ἡδονάς; οὐχ ὅτι τῶν ὀρέξεων δύναται ἐπικρατεῖν ὁ λογισμός; ἐγὼ μὲν οἶμαι. τοιγαροῦν ἐνύδρων ἐπιθυμοῦντες καὶ 25
ὀρνέων καὶ τετραπόδων καὶ παντοίων βρωμάτων τῶν ἀπηγορευμένων ἡμῖν κατὰ τὸν νόμον ἀπεχόμεθα διὰ τὴν τοῦ λογισμοῦ ἐπικράτειαν· ἀνέχεται γὰρ τὰ τῶν ὀρέξεων πάθη ὑπὸ τοῦ σώφρονος νοὸς ἀνακαμπτόμενα, καὶ φιμοῦται πάντα τὰ τοῦ σώματος κινήματα ὑπὸ τοῦ 30
λογισμοῦ.

3 καὶ τί θαυμαστόν, εἰ αἱ τῆς ψυχῆς ἐπιθυμίαι πρὸς

Digitized by Google

τὴν τοῦ κάλλους μετουσίαν ἀκυροῦνται; ταύτῃ γοῦν ὁ σώφρων Ἰωσὴφ ἐπαινεῖται, ὅτι τῷ λογισμῷ καὶ τῇ διανοίᾳ περιεκράτησε τῆς ἡδυπαθείας· νέος γὰρ ὢν καὶ ἀκμάζων πρὸς συνουσιασμὸν ἠκύρωσε τῷ λογισμῷ τὸν τῶν παθῶν οἶστρον. οὐ μόνον δὲ τὴν ἐπὶ τῆς ἡδυπαθείας οἰστρηλασίαν ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται, ἀλλὰ καὶ πάσης ἐπιθυμίας δεσπόζειν ἀναδείκνυται. λέγει γοῦν ὁ νόμος "οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐδὲ ὅσα τοῦ πλησίον σου ἐστί." καίτοι ὅτε μηδ' ἐπιθυμεῖν ἡμᾶς εἴρηκεν ὁ νόμος, πολὺ πλέον πείσειεν ἂν ἡμᾶς ὅτι τῶν ἐπιθυμιῶν κρατεῖν δύναιτ' ἂν ὁ λογισμός, ὥσπερ καὶ τῶν κφλυτικῶν τῆς δικαιοσύνης παθῶν· ἐπεὶ τίνα τρόπον μονοφάγος τις ὢν τὸ ἦθος καὶ γαστρίμαργος καὶ μέθυσος μεταπαιδεύεται, εἰ μὴ δῆλον ὅτι κύριός ἐστι τῶν παθῶν ὁ λογισμός; αὐτίκα γοῦν ὁ τῷ νόμῳ πολιτευόμενος, κἂν φιλάργυρός τις ᾖ, βιάζεται τὸν αὐτοῦ τρόπον, τοῖς δεομένοις δανείζων χωρὶς τόκων, καὶ τὸ δάνειον τῶν ἑβδομάδων ἐνστασῶν χρεωκοπούμενος· κἂν φειδωλός τις ᾖ, ὑπὸ τοῦ νόμου κρατεῖται διὰ τὸν λογισμόν, μήτε ἐπικαρπολογούμενος τοὺς ἀμητοὺς μήτε ἐπιρρωλογούμενος τοὺς ἀμπελῶνας. καὶ ἐπὶ τῶν ἑτέρων δὲ ἔστιν ἐπιγνῶναι τοῦτο, ὅτι τῶν παθῶν ἐστὶν αὐτοκράτωρ ὁ λογισμός. ὁ γὰρ νόμος καὶ τῆς πρὸς γονεῖς εὐνοίας κρατεῖ, μὴ καταπροδιδοὺς τὴν ἀρετὴν δι' αὐτούς, καὶ τῆς πρὸς γαμετὴν φιλίας ἐπικρατεῖ, διὰ παρανομίαν αὐτὴν ἀπελέγχων, καὶ τῆς τῶν τέκνων φιλίας κυριεύει, διὰ κακίαν αὐτὰ κολάζων, καὶ τῆς φίλων συνηθείας δεσπόζει, διὰ πονηρίαν αὐτοὺς ἐξελέγχων. καὶ μὴ νομίσητε παράδοξον εἶναι, ὅπου γε καὶ ἔχθρας ἐπικρατεῖν ὁ λογισμὸς δύναται διὰ τὸν νόμον, μήτε δενδροτομῶν τὰ ἥμερα τῶν πολεμίων φυτά, τά τε τῶν ἐχθρῶν τοῖς ἀπολέσασι διασώζων καὶ τὰ πε-

Digitized by Google

πτωκότα συνεγείρων. καὶ τῶν βιαιοτέρων δὲ παθῶν ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται, φιλαρχίας καὶ κενοδοξίας καὶ ἀλαζονείας καὶ μεγαλαυχίας καὶ βασκανίας· πάντα γὰρ ταῦτα τὰ κακοήθη πάθη ὁ σώφρων νοῦς εἰς ἀγαθὸν προτρέπων ἀπωθεῖται καὶ βιάζεται, ὥσπερ καὶ τὸν θυμόν· καὶ γὰρ καὶ τούτου δεσπόζει. θυμούμενος γέ τοι Μωϋσῆς κατὰ Δαθὰν καὶ Ἀβιρὰμ οὐ θυμῷ τι κατ' αὐτῶν ἐποίησεν, ἀλλὰ λογισμῷ τὸν θυμὸν διήτησε. δυνατὸς γὰρ ὁ σώφρων νοῦς, ὡς ἔφην, κατὰ τῶν παθῶν ἀριστεῦσαι, καὶ τὰ μὲν αὐτῶν μεταθεῖναι τὰ δὲ καὶ ἀκυρῶσαι· ἐπεὶ διὰ τί ὁ πάνσοφος ἡμῶν πατὴρ Ἰακὼβ τοὺς περὶ Συμεὼν καὶ Λευὶ αἰτιᾶται μὴ λογισμῷ τοὺς Σικιμίτας ἐθνηδὸν ἀποσφάξαντας, λέγων "ἐπικατάρατος ὁ θυμὸς αὐτῶν;" εἰ μὴ γὰρ ἐδύνατο ὁ λογισμὸς τοῦ θυμοῦ κρατεῖν, οὐκ ἂν εἶπεν οὕτως. ὁπηνίκα γὰρ ὁ θεὸς τὸν ἄνθρωπον κατεσκεύαζε, λόγῳ καὶ αὐτεξουσιότητι κοσμήσας, τηνικάδε καὶ τὰ πάθη αὐτῷ καὶ τὰ ἤθη περιεφύτευσε, καὶ τὸν ἡγεμόνα νοῦν διὰ τῶν ἔνδον αἰσθητηρίων ἐνεθρόνισε, καὶ τούτῳ νόμον ἔδωκε καθ' ὃν πολιτευόμενος βασιλεύσει βασιλείαν σώφρονά τε καὶ δικαίαν καὶ ἀγαθὴν καὶ ἀνδρείαν. πῶς οὖν, εἰποι τις ἄν, εἰ τῶν παθῶν δεσπότης ἐστὶν ὁ λογισμός, λήθης καὶ ἀγνοίας οὐ κρατεῖ; ἔστι δὲ κομιδῇ γελοῖος ὁ λόγος· οὐ γὰρ τῶν ἑαυτοῦ παθῶν ὁ λογισμὸς ἐπικρατεῖν φαίνεται, ἀλλὰ τῶν σώματος. οἷον ἐπιθυμίαν τις οὐ δύναται ἐκκόψαι ἡμῶν, ἀλλὰ τὸ μὴ δουλωθῆναι τῇ ἐπιθυμίᾳ δύναται ὁ λογισμὸς παρασχέσθαι. θυμόν τις οὐ δύναται ἐκκόψαι ἡμῶν τῆς ψυχῆς, ἀλλὰ τῷ μὴ δουλωθῆναι τῷ θυμῷ δυνατὸς ὁ λογισμὸς βοηθεῖν. κακοήθειάν τις ἡμῶν οὐ δύναται ἐκκόψαι, ἀλλὰ τῷ μὴ καμφθῆναι τῇ κακοηθείᾳ δύναται ὁ λογισμὸς συμμαχῆσαι· οὐ γὰρ ἐκριζωτὴς τῶν παθῶν ὁ λογισμός ἐστιν

Digitized by Google

ἀλλ' ἀνταγωνιστής. ἔστι γοῦν τοῦτο διὰ τῆς τοῦ Δαυὶδ τοῦ βασιλέως δίψης σαφέστερον ἐπιλογίσασθαι. ἐπεὶ γὰρ δι' ὅλης τῆς ἡμέρας πολεμῶν τοὺς ἀλλοφύλους πολλοὺς ἐξ αὐτῶν ἀπέκτεινεν ὁ Δαυὶδ μετὰ τῶν τοῦ ἔθνους στρατιωτῶν, τότε δὴ γενομένης ἑσπέρας ἱδρῶν καὶ σφόδρα κεκμηκὼς ἐπὶ τὴν βασίλειον σκηνὴν ἦλθε, περὶ ἣν ὁ πᾶς τῶν προγόνων στρατὸς ἑστρατοπεδεύκει. οἱ μὲν οὖν ἄλλοι πάντες ἐπὶ τὸ δεῖπνον ἦσαν, ὁ δὲ βασιλεὺς ὡς μάλιστα διψῶν, καίπερ ἀφθόνους ἔχων πηγάς, οὐκ ἠδύνατο δι' αὐτῶν ἰάσασθαι τὴν δίψαν, ἀλλά τις αὐτὸν ἀλόγιστος ἐπιθυμία τοῦ παρὰ τοῖς πολεμίοις ὕδατος ἐπιτείνουσα συνέφρυγε καὶ λύουσα κατέφλεγεν· ὅθεν τῶν ὑπερασπιστῶν ἐπὶ τῇ τοῦ βασιλέως δίψῃ σχετλιαζόντων, τρεῖς νεανίσκοι στρατιῶται καρτεροί, καταιδεσθέντες τὴν τοῦ βασιλέως ἐπιθυμίαν, τὰς παντευχίας καθωπλίσαντο, καὶ κάλπην λαβόντες ὑπερέβησαν τοὺς τῶν πολεμίων χάρακας, καὶ λαθόντες τοὺς τῶν πυλῶν ἀκροφύλακας διεξῆσαν, ἀνερευνώμενοι κατὰ πᾶν τὸ τῶν πολεμίων στρατόπεδον, καὶ ἀνευράμενοι τὴν πηγὴν ἐξ αὐτῆς θαρραλέως τῷ βασιλεῖ ἐκόμισαν. ὁ δὲ καίπερ τῇ δίψῃ διαπυρούμενος ἐλογίσατο πάνδεινον εἶναι κίνδυνον ψυχῇ λογισθὲν ἰσοδύναμον ποτὸν αἵματι· ὅθεν ἀντιθεὶς τῇ ἐπιθυμίᾳ τὸν λογισμόν, ἔσπεισε τὸ πόμα τῷ θεῷ. δυνατὸς γὰρ ὁ σώφρων νοῦς νικῆσαι τὰς τῶν παθῶν ἀνάγκας καὶ σβέσαι τὰς τῶν οἴστρων φλεγμονάς, καὶ τὰς τῶν σωμάτων ἀλγηδόνας καθ' ὑπερβολὴν οὔσας καταπαλαῖσαι, καὶ τῇ καλοκαγαθίᾳ τοῦ λογισμοῦ διαπτύσαι πάσας τὰς τῶν παθῶν ἐπικρατείας.

ἤδη δὲ καὶ ὁ καιρὸς ἡμᾶς καλεῖ ἐπὶ τὴν ἀπόδειξιν τῆς θεωρίας τοῦ σώφρονος λογισμοῦ. ἐπειδὴ γὰρ βα- 4
θεῖαν εἰρήνην διὰ τὴν εὐνομίαν οἱ πατέρες ἡμῶν εἶχον

Digitized by Google

καὶ ἔπραττον καλῶς, ὥστε καὶ τὸν τῆς Ἀσίας βασιλέα Σέλευκον τὸν Νικάνορα χρήματα εἰς τὴν ἱερουργίαν αὐτοῖς ἀφορίσαι καὶ τὴν πολιτείαν αὐτῶν ἀποδέχεσθαι, τότε δή τινες πρὸς τὴν κοινὴν νεωτερίσαντες ὁμόνοιαν πολυτρόποις ἐχρήσαντο συμφοραῖς. Σίμων γάρ τις πρὸς Ὀνίαν ἀντιπολιτευόμενος, τὸν τότε τὴν ἀρχιερωσύνην ἔχοντα διὰ βίου, καλὸν καὶ ἀγαθὸν ἄνδρα, ἐπειδὴ πάντα τρόπον διαβάλλων ὑπὲρ τοῦ ἔθνους οὐκ ἴσχυσε κακῶσαι, φυγὰς ᾤχετο τὴν πατρίδα προδώσων. ὅθεν ἦκων ὡς Ἀπολλώνιον τὸν Συρίας τε καὶ Φοινίκης καὶ Κιλικίας στρατηγὸν ἔλεγεν "εὔνους ὢν τοῖς τοῦ βασιλέως πράγμασιν ἥκω, μηνύσων πολλὰς ἰδιωτικῶν χρημάτων μυριάδας ἐν τοῖς Ἱεροσολύμων γαζοφυλακίοις τεθησαυρίσθαι, τῷ ἱερῷ μὴ ἐπικοινωνούσας, καὶ προσήκειν ταῦτα Σελεύκῳ τῷ βασιλεῖ." τούτων δὲ ἕκαστα γνοὺς ὁ Ἀπολλώνιος τὸν μὲν Σίμωνα τῆς εἰς τὸν βασιλέα κηδεμονίας ἐπῄνει, πρὸς δὲ τὸν Σέλευκον ἀναβὰς κατεμήνυσε τὸν τῶν χρημάτων θησαυρόν, καὶ λαβὼν τὴν περὶ αὐτῶν ἐξουσίαν ταχὺ εἰς τὴν πατρίδα ἡμῶν μετὰ τοῦ κατὰ κράτος Σίμωνος καὶ βαρυτάτου στρατοῦ ἀνέβη, καὶ προσελθὼν ταῖς τοῦ βασιλέως ἐντολαῖς ἥκειν ἔλεγεν ὅπως τὰ ἰδιωτικὰ τοῦ γαζοφυλακίου λάβοι χρήματα. καὶ τοῦ ἔθνους πρὸς τὸν λόγον σχετλιάσαντος ἀντιλέγοντός τε, πάνδεινον εἶναι νομίσαντες εἰ οἱ τὰς παρακαταθήκας πιστεύσαντες τῷ ἱερῷ θησαυρῷ στερηθήσονται, ὡς οἷόν τε ἦν ἐκώλυον. μετ' ἀπειλῶν δὲ ὁ Ἀπολλώνιος ἀπῄει εἰς τὸ ἱερόν. τῶν δὲ ἱερέων μετὰ γυναικῶν καὶ παιδίων ἐν τῷ ἱερῷ ἱκετευσάντων τῷ θεῷ ὑπερασπίσαι τοῦ ἱεροῦ καταφρονουμένου [τοῦ τόπου], ἀνιόντος τε μετὰ καθωπλισμένης τῆς στρατιᾶς τοῦ Ἀπολλωνίου πρὸς τὴν τῶν χρημάτων ἁρπαγήν, οὐρανόθεν ἔφιπποι προυφάνησαν ἄγγελοι

Digitized by Google

περιαστράπτοντες τοῖς ὅπλοις, καὶ πολὺν αὐτοῖς φόβον τε καὶ τρόμον ἐνῆκαν. καταπεσὼν δὲ ἡμιθανὴς ὁ Ἀπολλώνιος ἐπὶ τὸν πάμφυλον τοῦ ἱεροῦ περίβολον, τὰς χεῖρας ἐξέτεινεν εἰς τὸν οὐρανόν, καὶ μετὰ δακρύων τοὺς Ἑβραίους παρεκάλει ὅπως προσευξάμενοι περὶ αὐτοῦ τὸν οὐράνιον ἐξευμενίσωνται στρατόν. τούτοις ἐπαχθεὶς τοῖς λόγοις Ὀνίας ὁ ἀρχιερεύς, καίπερ ἄλλως εὐλαβηθεὶς μή ποτε νομίσειεν ὁ βασιλεὺς Σέλευκος ἐξ ἀνθρωπίνης ἐπιβουλῆς καὶ οὐ θείας δίκης ἀνῃρῆσθαι τὸν Ἀπολλώνιον, ηὔξατο περὶ αὐτοῦ. καὶ ὃ μὲν παραδόξως διασωθεὶς ᾤχετο δηλώσων τῷ βασιλεῖ τὰ συμβάντα αὐτῷ· τελευτήσαντος δὲ Σελεύκου τοῦ βασιλέως διαδέχεται τὴν ἀρχὴν Ἀντίοχος Ἐπιφανὴς υἱὸς αὐτοῦ, ἀνὴρ πάνδεινος καὶ ὑπερήφανος, ὃς καταλύσας τὸν Ὀνίαν τῆς ἀρχιερωσύνης Ἰάσονα τὸν ἀδελφὸν αὐτοῦ κατέστησεν ἀρχιερέα, συνθέμενον δώσειν, εἰ ἐπιτρέψειεν αὐτῷ τὴν ἀρχήν, κατ' ἐνιαυτὸν τάλαντα τρισχίλια ἑξακόσια ἑξήκοντα. ὃ δὲ ἐπέτρεψεν αὐτῷ καὶ ἀρχιερᾶσθαι καὶ τοῦ ἔθνους ἀφηγεῖσθαι. ὃς καὶ ἐξεδιῄτησε τὸ ἔθνος καὶ ἐξεπολίτευσεν ἐπὶ πᾶσαν παρανομίαν, ὥστε μὴ μόνον ἐπ' αὐτῇ τῇ ἄκρᾳ τῆς πατρίδος ἡμῶν γυμνάσιον κατασκευάσαι, ἀλλὰ καὶ καταλῦσαι τὴν τοῦ ἱεροῦ κηδεμονίαν. ἐφ' οἷς ἀγαναχτήσασα ἡ θεία δίκη αὐτὸν αὐτοῖς τὸν Ἀντίοχον ἐπολέμωσεν· ἐπειδὴ γὰρ πολεμῶν ἦν κατ' Αἴγυπτον Πτολεμαίῳ, ἤκουσέ τε ὅτι φήμης διαδοθείσης περὶ τοῦ τεθνάναι αὐτὸν ὡς ἔνι μάλιστα χαίροιεν οἱ Ἱεροσολυμῖται, ταχέως ἐπ' αὐτοὺς ἀνέζευξεν, καὶ ὡς ἐπόρθησεν αὐτούς, δόγμα ἔθετο ὅπως, οἵτινες αὐτῶν φανεῖεν τῷ πατρίῳ πολιτευόμενοι νόμῳ, κολασθέντες θάνοιεν. ἐπειδὴ δὲ κατὰ μηδένα τρόπον ἴσχυε καταλῦσαι διὰ τῶν δογμάτων τὴν εὐνομίαν τοῦ ἔθνους, ἀλλὰ πάσας τὰς ἀπειλὰς αὐτοῦ καὶ τιμωρίας

Digitized by Google

ἑώρα καταλυομένας, ὥστε καὶ γυναῖκας, ὅτι περιέτεμνον παιδία, μετὰ τῶν βρεφῶν κατακρημνισθῆναι, προειδυίας ὅτι τοῦτο πείσονται, — ἐπεὶ οὖν τὰ δόγματα αὐτοῦ κατεφρονεῖτο ὑπὸ τοῦ λαοῦ, αὐτὸς διὰ βασάνων ἕνα ἕκαστον ἠνάγκαζε μιαρῶν ἀπογευσαμένους ἐδεσμάτων ἐξόμνυσθαι τὸν Ἰουδαϊσμόν.

προκαθίσας γέ τοι μετὰ τῶν συνέδρων ὁ τύραννος Ἀντίοχος ἐπί τινος ὑψηλοῦ τόπου, καὶ τῶν στρατευμάτων αὐτῷ παρεστηκότων κυκλόθεν ἐνόπλων, παρεκέλευσε τοῖς δορυφόροις ἕνα ἕκαστον τῶν Ἑβραίων ἐπισπᾶσθαι καὶ κρεῶν ὑείων καὶ εἰδωλοθύτων ἀναγκάζειν ἀπογεύεσθαι· εἰ δέ τινες μὴ θέλοιεν μιαροφαγῆσαι, τούτους τροχισθέντας ἀναιρεθῆναι. πολλῶν οὖν ἁναρπασθέντων ἐκ τοῦ ὄχλου, ἀνήρ τις ὀνόματι Ἐλεάζαρος, τὸ γένος ἱερεύς, τὴν ἐπιστήμην νομικὸς καὶ τὴν ἡλικίαν προήκων καὶ πολλοῖς τῶν περὶ τὸν τύραννον διὰ τὴν ἡλικίαν γνώριμος, παρήχθη πλησίον αὐτοῦ. καὶ ἰδὼν αὐτὸν ὁ Ἀντίοχος ἔφη "ἐγὼ πρὶν ἄρξασθαι τῶν κατὰ σοῦ βασάνων, ὦ πρεσβῦτα, συμβουλεύσαιμ' ἂν σοι ὅπως ἀπογευσάμενος τῶν ὑείων σώζοιο· αἰδοῦμαι γὰρ σοῦ καὶ τὴν ἡλικίαν καὶ τὴν πολιάν, ἣν μετὰ τοσοῦτον χρόνον ἔχων οὗ μοι δοκεῖς φιλοσοφεῖν, τῇ Ἰουδαίων χρώμενος θρησκείᾳ. διὰ τί γὰρ τῆς φύσεως κεχαρισμένης καλλίστην τὴν τοῦδε τοῦ ζῴου σαρκοφαγίαν βδελύττῃ; καὶ γὰρ ἀνόητον τοῦτο δοκεῖ, τὸ μὴ ἀπολαύειν τῶν χωρὶς ὀνείδους ἡδέων, καὶ ἄδικον ἀποστρέφεσθαι τὰς τῆς φύσεως χάριτας. σὺ δέ μοι καὶ ἀνοητότερον ποιήσειν δοκεῖς, εἰ κενοδοξῶν περὶ τὸ ἀληθὲς ἔτι κἀμοῦ καταφρονήσεις ἐπὶ τῇ ἰδίᾳ τιμωρίᾳ. οὐκ ἐξυπνώσεις ἀπὸ τῆς φλυάρου φιλοσοφίας ὑμῶν, καὶ ἀποσκεδάσεις τῶν λογισμῶν σου τὸν λῆρον, καὶ ἄξιον νοῦν τῆς ἡλικίας ἀναλαβὼν φιλοσοφήσεις τὴν σύμφορον

Digitized by Google

ἀλήθειαν, καὶ προσκυνήσας μου τὴν φιλάνθρωπον παρηγορίαν οἰκτειρήσεις τὸ σεαυτοῦ γῆρας; καὶ γὰρ ἐνθυμήθητι ὡς εἰ καί τις ἔστι τῆσδε τῆς θρησκείας ὑμῶν ἐποπτικὴ δύναμις, συγγνωμονήσειεν ἄν σοι ἐπὶ πάσῃ τῇ δι' ἀνάγκην παρανομίᾳ γινομένῃ." τοῦτον οὖν τὸν τρόπον ἐπὶ τὴν ἔκθεσμον σαρκοφαγίαν ἑποτρύνοντος τοῦ τυράννου, λόγον ἤτησεν ὁ Ἐλεάζαρος, καὶ λαβὼν τοῦ λέγειν ἐξουσίαν ἤρξατο δημηγορεῖν, λέγων οὕτως. "ἡμεῖς, Ἀντίοχε, θείῳ πεπεισμένοι νόμῳ πολιτεύεσθαι, οὐδεμίαν ἀνάγκην βιαιοτέραν εἶναι νομίζομεν τῆς πρὸς τὸν νόμον ἡμῶν ἀπειθείας· διὸ δὴ κατ' οὐδένα τρόπον παρανομεῖν ἀξιοῦμεν. καίτοι εἰ καὶ κατ' ἀλήθειαν μὴ ἦν ὁ νόμος ἡμῶν, ὡς σὺ ὑπολαμβάνεις, θεῖος, ἄλλως δὲ ἐνομίζομεν αὐτὸν εἶναι θεῖον, οὐδὲ οὕτως ἐξὸν ἦν ἡμῖν τὴν ἐπὶ τῇ εὐσεβείᾳ δόξαν ἀκυρῶσαι. μὴ μικρὰν οὖν εἶναι νομίσῃς ταύτην, εἰ μιαροφαγήσαιμεν, ἁμαρτίαν· τὸ γὰρ ἐπὶ μικροῖς καὶ μεγάλοις παρανομεῖν ἰσοδύναμον ἐστί· δι' ἑκατέρου γὰρ ὁ νόμος ὁμοίως ὑπερηφανεῖται. χλευάζεις δὲ ἡμῶν τὴν φιλοσοφίαν, ὥσπερ οὐ μετ' εὐλογιστίας ἐν αὐτῇ βιούντων· σωφροσύνην τε γὰρ ἡμᾶς ἐκδιδάσκει, ὥστε πασῶν τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν κρατεῖν, καὶ ἀνδρείαν ἐξασκεῖ, ὥστε πάντα πόνον ἑκουσίως ὑπομένειν, καὶ δικαιοσύνην καὶ εὐσέβειαν παιδεύει, ὥστε μόνον τὸν ὄντα θεὸν εὐσεβεῖν μεγαλοπρεπῶς. διὸ οὐ μιαροφαγοῦμεν· πιστεύοντες γὰρ θεοῦ καθεστάναι τὸν νόμον, οἴδαμεν ὅτι κατὰ φύσιν ἡμῖν συμπαθεῖ ὁ νομοθετῶν. ὁ τοῦ νόμου κτίστης τὰ μὲν οἰκειωθησόμενα ἡμῶν ταῖς ψυχαῖς ἐπέτρεψεν ἐσθίειν, τὰ δὲ ἐναντιωθησόμενα ἐκώλυσε σαρκοφαγεῖν. τυραννικὸν οὖν ἐστιν οὐ μόνον τὸ ἀναγκάζειν ἡμᾶς παρανομεῖν, ἀλλὰ καὶ ἐσθίειν, ὅπως τῇ ἐχθίστῃ ἡμῶν μιαροφαγίᾳ ταύτῃ ἐπι-

Digitized by Google

γελάσῃς ἡμᾶς. ἀλλ' οὐ γελάσεις κατ' ἐμοῦ τοῦτον τὸν γέλωτα, μὰ τοὺς ἱεροὺς τῶν προγόνων περὶ τοῦ φυλάξαι τὸν νόμον ὅρκους, οὐδ' ἂν ἐκκόψειάς μου τὰ ὄμματα καὶ τὰ σπλάγχνα τήξειας. οὐχ οὕτως εἰμὶ γέρων ἐγὼ καὶ ἄνανδρος ὑπάρχω ὥστε μοι διὰ τὴν εὐσέβειαν μὴ νεάζειν τὸν λογισμόν. πρὸς ταῦτα τροχοὺς εὐτρέπιζε καὶ τὸ πῦρ ἐκφύσα σφοδρότερον· οὐχ οὕτως οἰκτειρήσω τὸ ἐμαυτοῦ γῆρας ὥστε με δι' αὐτοῦ τὸν πάτριον καταλῦσαι νόμον. οὐ ψεύσομαί σε, παιδευτὰ νόμε, οὐδ' ἐξομοῦμαί σε, φίλη ἐγκράτεια, οὐδὲ καταισχυνῶ σε, φιλόσοφε λόγε, οὐδ' ἐξαρνήσομαί σε, ἱερωσύνη τιμία καὶ νομοθεσίας ἐπιστήμη· οὐδὲ μιανεῖ μου τὸ σεμνὸν γῆρας στόμα, οὐδὲ νομίμου βίου ἡλικίαν. ἁγνὸν δέ με εἰσδέξονται οἱ πατέρες, μὴ φοβηθέντα σου τὰς μέχρι θανάτου ἀνάγκας· ἀσεβῶν μὲν γάρ με τυραννήσεις, τῶν δὲ ἐμῶν ὑπὲρ τῆς εὐσεβείας λογισμῶν οὔτε διὰ λόγων οὔτε δι' ἔργων δεσπόσεις."

6 τοῦτον τὸν τρόπον ἀντιρρητορεύσαντα ταῖς τοῦ τυράννου παρηγορίαις περιστάντες οἱ δορυφόροι πικρῶς ἔσυρον ἐπὶ τὰ βασανιστήρια τὸν Ἐλεάζαρον. καὶ πρῶτον μὲν περιέδυσαν τὸν γηραιὸν ἐγκοσμούμενον τῇ περὶ τὴν εὐσέβειαν εὐσχημοσύνῃ· ἔπειτα περιαγκωνίσαντες ἑκατέρωθεν μάστιξι κατῄκιζον, "πείσθητι ταῖς τοῦ βασιλέως ἐντολαῖς" ἑτέρωθι κήρυκος ἐπιβοῶντος. ὁ δὲ μεγαλόφρων καὶ εὐγενὴς ἀληθῶς Ἐλεάζαρος, ὥσπερ ἐν ὀνείρῳ βασανιζόμενος, κατ' οὐδένα τρόπον μετετρέπετο, ἀλλ' ὑψηλοὺς ἀνατείνας εἰς οὐρανὸν τοὺς ὀφθαλμοὺς ἀπεξαίνετο ταῖς μάστιξι τὰς σάρκας ὁ γέρων καὶ κατερρεῖτο τῷ αἵματι καὶ τὰ πλευρὰ κατετιτρώσκετο· καὶ πίπτων εἰς τοὔδαφος ἐκ τοῦ μηκέτι φέρειν τὸ σῶμα τὰς ἀλγηδόνας, ὀρθὸν εἶχε καὶ ἀκλινῆ τὸν λογισμόν. λάξ γέ τοι τῶν πικρῶν τις δορυφόρων εἰς τοὺς κενεῶνας

Digitized by Google

ἐναλλόμενος ἔτυπτεν, ὅπως ἐξανίσταιτο πίπτων· ὃ δὲ τυπτόμενος ὑπέμενε τοὺς πόνους καὶ περιεφρόνει τῆς ἀνάγκης καὶ διεκαρτέρει τοὺς αἰκισμούς, καὶ ὡς γενναῖος ἀθλητὴς ὁ γέρων ἐνίκα τοὺς βασανίζοντας, ἱδρῶν δὲ τὸ πρόσωπον καὶ σφόδρα ἐπασθμαίνων καὶ ὑπ' αὐτῶν τῶν βασανιστῶν ἐθαυμάζετο τὴν εὐψυχίαν. ὅθεν τὰ μὲν ἐλεοῦντες τὰ τοῦ γήρως αὐτοῦ, τὰ δὲ ἐν συμπαθείᾳ διὰ τὴν συνήθειαν ὄντες, τὰ δὲ ἐν θαυμασμῷ τῆς καρτερίας, προσιόντες αὐτῷ τινὲς τῶν τοῦ βασιλέως ἔλεγον "τί τοῖς κακοῖς τούτοις σεαυτὸν ἀλογίστως παραβάλλεις, Ἐλεάζαρε; ἡμεῖς μέν σοι τῶν ἡψημένων κρεῶν παραθήσομεν, σὺ δὲ ὑποκρινόμενος τῶν ὑείων ἀπογεύσασθαι σώθητι." ὃ δὲ ὡς πικρότερον αἰκισθεὶς διὰ τῆς συμβουλίας ἔκραζε λέγων "μὴ γένοιτο ἵνα οὕτω κακῶς φρονήσωμεν οἱ παῖδες Ἀβραὰμ ὥστε μαλακοψυχήσαντες ἀπρεπὲς ἡμῖν δρᾶμα ὑποκρίνασθαι· καὶ γὰρ ἀλόγιστον εἰ πρὸς ἀλήθειαν ζήσαντες τὸν μέχρι γήρως βίον καὶ τὴν ἐπ' αὐτῷ δόξαν νομίμως φυλάξαντες νῦν μεταβαλοίμεθα, καὶ αὐτοὶ μὲν ἡμεῖς γενοίμεθα τοῖς νέοις ἀσεβείας τύπος, ἵνα καὶ παράδειγμα γενώμεθα τῆς μιαροφαγίας, αἰσχρὸν δὲ ἐπιβιώσωμεν ὀλίγον χρόνον, καὶ τοῦτον καταγελώμενοι πρὸς ἁπάντων ἐπὶ δειλίᾳ, καὶ ὑπὸ μὲν τοῦ τυράννου ὡς ἄνανδροι καταφρονηθῶμεν, τὸν δὲ θεῖον ἡμῶν νόμον μὴ μέχρι θανάτου προασπίσαιμεν. πρὸς ταῦτα ἡμεῖς μέν, ὦ Ἀβραὰμ παῖδες, εὐγενῶς ὑπὲρ τῆς εὐσεβείας τελευτᾶτε, οἱ δὲ τοῦ τυράννου δορυφόροι τί μέλλετε;" ἰδόντες οὖν αὐτὸν οὕτω πρὸς τὰς ἀνάγκας μεγαλοφρονούμενον καὶ μηδὲ πρὸς τὸν οἰκτιρμὸν αὐτῶν μεταβαλλόμενον, ἐπὶ τὸ πῦρ ἀνῆγον. ἔνθα διὰ κακοτέχνων ὀργάνων καταφλέγοντες αὐτὸν ὑπέρριπτον, καὶ δυσώδεις χυλοὺς εἰς τοὺς μυκτῆρας αὐτοῦ κατέχεον. ὃ δὲ

Digitized by Google

μέχρι τῶν ὀστέων ἤδη κατακεκαυμένος καὶ μέλλων λιποθυμεῖν, ἀνατείνας τὰ ὄμματα πρὸς τὸν θεὸν εἶπε "σὺ οἶσθα, θεέ, ὅτι παρόν μοι σώζεσθαι, βασάνοις καυστικαῖς ἀποθνήσκω διὰ τὸν νόμον. τοιγαροῦν ἵλεως γενοῦ τῷ ἔθνει σου, ἀρκεσθεὶς τῇ ἡμετέρᾳ ὑπὲρ αὐτῶν δίκῃ· καθάρσιον αὐτῶν ποίησον τὸ ἐμὸν αἷμα, καὶ ἀντὶ ψυχῶν αὐτῶν λαβὲ τὴν ἐμὴν ψυχήν." καὶ ταῦτα εἰπὼν ὁ ἱερὸς ἀνὴρ εὐγενῶς ταῖς βασάνοις ἐναπέθανε, καὶ μέχρι τῶν τοῦ θανάτου βασάνων ἀντέστη τῷ λογισμῷ διὰ τὸν νόμον.

ὁμολογουμένως οὖν δεσπότης τῶν παθῶν ἐστὶν ὁ εὐσεβὴς λογισμός. εἰ γὰρ τὰ πάθη τοῦ λογισμοῦ ἐκεκρατήκει, τούτοις ἂν ἀπέδομεν τὴν τῆς ἐπικρατείας μαρτυρίαν· νυνὶ δὲ τοῦ λογισμοῦ τὰ πάθη νικήσαντος, αὐτῷ προσηκόντως τὴν τῆς ἡγεμονίας προσνέμομεν ἐξουσίαν. καὶ δίκαιόν ἐστιν ὁμολογεῖν ἡμᾶς τὸ κράτος εἶναι τοῦ λογισμοῦ, ὅπου γε καὶ τῶν ἔξωθεν ἀλγηδόνων ἐπικρατεῖ· ἐπεὶ καὶ γελοῖον. καὶ οὐ μόνον τῶν ἀλγηδόνων ἐπιδείκνυμι κεκρατηκέναι τὸν λογισμόν, ἀλλὰ καὶ τῶν ἡδονῶν κρατεῖν καὶ μηδὲ αὐταῖς ὑπείκειν.

7 ὥσπερ γὰρ ἄριστος κυβερνήτης, ὁ τοῦ πατρὸς ἡμῶν Ἐλεαζάρου λογισμὸς πηδαλιουχῶν τὴν τῆς εὐσεβείας ναῦν, ἐν τῷ τῶν παθῶν πελάγει, καὶ καταιγιζόμενος ταῖς τοῦ τυράννου ἀπειλαῖς καὶ καταντλούμενος ταῖς τῶν βασάνων τρικυμίαις, κατ' οὐδένα τρόπον ἔτρεψε τοὺς τῆς εὐσεβείας οἴακας, ἕως οὗ ἔπλευσεν ἐπὶ τὸν τῆς ἀθανάτου νίκης λιμένα. οὐχ οὕτω πόλις πολλοῖς καὶ ποικίλοις μηχανήμασιν ἀντέσχε ποτὲ πολιορκουμένη, ὡς ὁ πανάγιος ἐκεῖνος τὴν ἱερὰν ψυχὴν αἰκισμοῖς τε καὶ στρέβλαις πυρπολούμενος ἐνίκησε τοὺς πολιορκοῦντας διὰ τὸν ὑπερασπίζοντα τῆς εὐσεβείας λογι-

Digitized by Google

σμόν· ὥσπερ γὰρ πρόκρημνον ἄκραν τὴν ἑαυτοῦ διάνοιαν ὁ πατὴρ Ἐλεάζαρος ἐκτείνας περιέκλασε τοὺς ἐπιμαινομένους τῶν παθῶν κλύδωνας. ὦ ἄξιε τῆς ἱερωσύνης ἱερεῦ, οὐκ ἐμίανας τοὺς ἱεροὺς ὀδόντας, οὐδὲ τὴν θεοσέβειαν χωρήσασαν γαστέρα ἐκοίνωσας μιαροφαγίᾳ. ὦ σύμφωνε νόμου καὶ φιλόσοφε θείου λόγου. τοιούτους δεῖ εἶναι τοὺς ἱερουργοῦντας τὸν νόμον ἰδίῳ αἵματι καὶ γενναίῳ ἱδρῶτι τοῖς μέχρι θανάτου πάθεσιν ὑπερασπίζοντας. σύ, πάτερ, τὴν εὐνομίαν ἡμῶν διὰ τῶν ὑπομονῶν εἰς δόξαν ἐκύρωσας, καὶ τὴν ἁγιστείαν σεμνολογήσας οὐ κατέλυσας, καὶ διὰ τῶν ἔργων ἐπιστοποίησας τοὺς τῆς θείας φιλοσοφίας λόγους, ὦ βασάνων βαιότερε γέρων καὶ πυρὸς εὐτονώτερε πρεσβῦτα καὶ μέγιστε παθῶν βασιλεῦ Ἐλεάζαρε. ὥσπερ γὰρ ὁ πατὴρ Ἀαρὼν τῷ θυμιατηρίῳ καθωπλισμένος διὰ τοῦ ἐθνοπλήκτου πυρὸς ἐπιτρέχων τὸν ἐμπυριστὴν ἐνίκησεν ἄγγελον, οὕτως ὁ Ἀαρωνίδης Ἐλεάζαρος διὰ τοῦ πυρὸς ὑπερτηκόμενος οὐ μετετράπη τὸν λογισμόν· καὶ τὸ θαυμασιώτατον, γέρων ὤν, λελυμένων μὲν ἤδη τῶν τοῦ σώματος τόνων, περικεχαλασμένων δὲ τῶν σαρκῶν, κεκμηκότων δὲ τῶν νεύρων, ἀνενέασε τῷ πνεύματι διὰ τοῦ λογισμοῦ. ὦ μακαρίου γήρως καὶ σεμνῆς πολιᾶς καὶ βίου νομίμου, ὃν πιστὴ θανάτου σφραγὶς ἐτελείωσεν. εἰ δὴ τοίνυν γέρων ἀνὴρ τῶν μέχρι θανάτου βασάνων περιεώρα δι' εὐσέβειαν, ὁμολογουμένως ἡγεμών ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός. ἴσως δ' ἂν εἴποιέν τινες, τῶν παθῶν οὐ πάντες ἐπικρατοῦσιν, ὅτι μηδὲ πάντες φρόνιμον ἔχουσι τὸν λογισμόν. ἀλλ' ὅσοι ἔχονται τῆς εὐσεβείας, τὸν λογισμὸν φρόνιμον ἔχειν ἐξ ὅλης καρδίας προνοοῦσι· καὶ οὗτοι μόνοι δύνανται κρατεῖν τῶν τῆς σαρκὸς παθῶν. οὐδὲν οὖν ἐναντιοῦται τὸ φαίνεσθαί τινας παθο-

Digitized by Google

κρατεῖσθαι διὰ τὸν ἀσθενῆ λογισμόν· ἐπεὶ τίς πρὸς ὅλον τὸν τῆς φιλοσοφίας κανόνα φιλοσοφῶν, καὶ πεπιστευκὼς τῷ θεῷ, καὶ εἰδὼς ὅτι τὸ δι' ἀρετὴν πάντα πόνον ὑπομένειν μακάριόν ἐστιν, οὐκ ἂν περικρατήσειε τῶν παθῶν διὰ τὴν θεοσέβειαν; μόνος γὰρ ὁ σοφὸς καὶ ἀνδρεῖός ἐστι καὶ τῶν παθῶν κύριος.

8 διὰ τοῦτο γέ τοι καὶ μειρακίσκοι τῷ τῆς εὐσεβείας λογισμῷ φιλοσοφοῦντες χαλεπωτέρων βασανιστηρίων ἐπεκράτησαν. ἐπειδὴ γὰρ κατὰ τὴν πρώτην πεῖραν ἐνικήθη περιφανῶς ὁ τύραννος, μὴ δυνηθεὶς ἀναγκάσαι γέροντα μιαροφαγῆσαι, τότε σφόδρα περιπαθῶς ἐκέλευσεν ἄλλους ἐκ τῆς τῶν Ἑβραίων λείας ἀγαγεῖν, καὶ εἰ μὲν μιαροφαγήσαιεν, ἀπολύειν φαγόντας, εἰ δὲ ἀντιλέγοιεν, πικρότερον βασανίζειν. ταῦτα διατεξαμένου τοῦ τυράννου, παρῆσαν ἀγόμενοι μετὰ γηραιᾶς μητρὸς ἑπτὰ ἀδελφοὶ καλοί τε καὶ αἰδήμονες καὶ γενναῖοι καὶ τὸν θεὸν φοβούμενοι καὶ ἐν παντὶ χαρίεντες. οὓς ἰδὼν ὁ τύραννος καθάπερ ἐν χορῷ μέσην τὴν μητέρα περιέχοντας, ἤσθη τε ἐπ' αὐτοῖς καὶ τῆς εὐπρεπείας ἐκπλαγεὶς καὶ τῆς εὐγενείας προσεμειδίασεν αὐτοῖς, καὶ πλησίον καλέσας ἔφη "ὦ νεανίαι, φιλοφρόνως ἐγὼ ἑνὸς ἑκάστου ὑμῶν τὸ κάλλος θαυμάζων καὶ τὸ πλῆθος τοσούτων ἀδελφῶν ὑπερτιμῶν οὐ μόνον συμβουλεύω μὴ μανῆναι τὴν αὐτὴν τῷ πρόβασανισθέντι γέροντι μανίαν, ἀλλὰ καὶ παρακαλῶ συνεἰξαντάς μου τῇ συμβουλίᾳ τῆς ἐμῆς ἀπολαύειν φιλίας· δυναίμην γὰρ ἂν ὥσπερ κολάζειν τοὺς ἀπειθοῦντάς μου τοῖς ἐπιτάγμασιν, οὕτω καὶ εὐεργετεῖν τοὺς εὐπειθοῦντάς μοι. πεισθέντες οὖν μοι καὶ ἀρχῆς καὶ ἐπὶ τῶν ἐμῶν πραγμάτων ἡγεμονίας λήψεσθε, ἀρνηθέντες τὸν πάτριον ὑμῶν τῆς πολιτείας θεσμόν, καὶ μεταλαβόντες Ἑλληνικοῦ βίου καὶ μεταδιαιτηθέντες ἐντρυφήσετε ταῖς νεότησιν ὑμῶν, ἐπεί, ἐὰν

Digitized by Google

ὀργίλως με διαθῆσθε διὰ τῆς ἀπειθείας, ἀναγκάσετέ με ἐπὶ δειναῖς κολάσεσιν ἕνα ἕκαστον ὑμῶν διὰ τῶν βασάνων ἀπολέσαι. κατελεήσατε οὖν ἑαυτούς, οὓς καὶ ὁ πολέμιος ἔγωγε καὶ τῆς ἡλικίας καὶ τῆς εὐμορφίας οἰκτείρομαι, καὶ διαλογίσασθε τοῦθ' ὅτι οὐδὲν ὑμῖν ἀπειθήσασι, πλὴν τοῦ μετὰ στρεβλῶν ἀποθανεῖν, ἀπόκειται." ταῦτα δὲ εἰπὼν ἐκέλευσεν εἰς τοὔμπροσθεν τεθῆναι τὰ βασανιστήρια, ὅπως καὶ διὰ τοῦ φόβου πείσειεν αὐτοὺς μιαροφαγῆσαι. ὡς δὲ τροχούς τε καὶ χεῖρας σιδηρᾶς καὶ ἀρθρέμβολα στρεβλωτήριά τε καὶ τροχαντῆρας καὶ κατασπέλτας καὶ λέβητας τήγανά τε καὶ δακτυλήθρας καὶ σφῆνας καὶ τὰ ξώπυρα τοῦ πυρὸς οἱ δορυφόροι προέθεσαν, ὑπολαβὼν ὁ τύραννος ἔφη "μειράκια, φοβήθητε, καὶ ἣν σέβεσθε δίκην ἴλεως ὑμῖν ἔσται· δι' ἀνάγκην παρανομήσασιν." οἱ δὲ ἀκούσαντες ἐπαγωγὰ ῥήματα καὶ ὁρῶντες δεινὰ οὐ μόνον οὐκ ἐφοβήθησαν, ἀλλὰ καὶ ἀντεφιλοσόφησαν τῷ τυράννῳ, καὶ διὰ τῆς εὐλογιστίας τὴν τυραννίδα αὐτοῦ κατέλυσαν. καίτοι λογισώμεθα, εἰ δειλόψυχοί τινες ἦσαν καὶ ἄνανδροι ἐν αὐτοῖς, ποίοις ἂν ἐχρήσαντο τοῖς λόγοις; οὐχὶ τούτοις; "ὦ τάλανες ἡμεῖς καὶ λίαν ἀνόητοι, βασιλέως ἡμᾶς παρακαλοῦντος καὶ ἐπὶ εὐεργεσίᾳ καλοῦντος, εἰ πεισθείημεν αὐτῷ, τί βουλεύμασι κενοῖς ἑαυτοὺς εὐφραίνομεν καὶ θανατηφόρον ἀπείθειαν τολμῶμεν; οὐ φοβηθησόμεθα, ἄνδρες ἀδελφοί, τὰ βασανιστήρια, καὶ λογιούμεθα τὰς τῶν βασάνων ἀπειλάς, καὶ φευξόμεθα τὴν κενοδοξίαν ταύτην καὶ ὀλεθροφόρον ἀλαζονείαν; ἐλεήσωμεν τὰς ἑαυτῶν ἡλικίας, καὶ κατοικτειρήσωμεν τὸ τῆς μητρὸς γῆρας, καὶ ἐνθυμηθῶμεν ὅτι ἀπειθοῦντες τεθνηξόμεθα. συγγνώσεται δὲ ἡμῖν καὶ ἡ θεία δίκη δι' ἀνάγκην τὸν βασιλέα φοβηθεῖσι. τί ἐξάγομεν ἑαυτοὺς τοῦ ἡδίστου βίου καὶ ἀποστεροῦμεν ἑαυτοὺς τοῦ

Digitized by Google

γλυκέος κόσμου; μὴ βιαζώμεθα τὴν ἀνάγκην, μηδὲ φιλοδοξήσωμεν ἐπὶ τῇ ἑαυτῶν στρέβλῃ. οὐδ' αὐτὸς ὁ νόμος ἀκουσίους ἡμᾶς θανατοῖ, φοβηθέντας τὰ βασανιστήρια. πόθεν ἡμῖν ἡ τοσαύτη ἐντέτηκε φιλονεικία καὶ ἡ θανατηφόρος ἀρέσκει καρτερία, παρὸν μετ' ἀδείας ζῆν τῷ βασιλεῖ πειθθέντας;" ἀλλὰ τούτων οὐδὲν εἶπον οἱ νεανίαι βασανίζεσθαι μέλλοντες, οὐδ' ἐνεθυμήθησαν· ἦσαν γὰρ περίφρονες τῶν παθῶν καὶ αὐτοκράτορες τῶν ἀλγηδόνων, ὥστε ἅμα τῷ παύσασθαι τὸν τύραννον συμβουλεύοντα αὐτοῖς τοῦ μιαροφαγῆσαι, πάντες διὰ μιᾶς φωνῆς ὁμοῦ, ὥσπερ ἀπὸ τῆς αὐτῆς
9 ψυχῆς, εἶπον πρὸς αὐτόν "τί μέλλεις, ὦ τύραννε; ἕτοιμοι γάρ ἐσμεν ἀποθνήσκειν, ἢ παραβαίνειν τὰς πατρίους ἡμῶν ἐντολάς· αἰσχυνόμεθα γὰρ καὶ τοὺς προγόνους εἰκότως, εἰ μὴ τῇ τοῦ νόμου εὐπειθείᾳ καὶ συμβούλῳ Μωϋσῇ χρησαίμεθα. μὴ συμβούλευε, τύραννε, παρανομίας. μὴ ἡμᾶς μισῶν ὑπὲρ ἑαυτοὺς ἡμᾶς ἐλέει· χαλεπώτερον γὰρ αὐτοῦ τοῦ θανάτου νομίζομεν εἶναί σου τὸν ἐπὶ τῇ παρανόμῳ σωτηρίᾳ ἡμῶν ἔλεον. ἐκφοβεῖς δὲ ἡμᾶς, τὸν διὰ τῶν βασάνων ἡμῖν θάνατον ἀπειλῶν, ὥσπερ οὐχὶ πρὸ βραχέος παρ' Ἐλεαζάρου μαθών. εἰ δὲ οἱ γέροντες τῶν Ἑβραίων διὰ τὴν εὐσέβειαν καὶ βασανισμοὺς ὑπομείναντες εὐσέβησαν, ἀποθάνοιμεν ἂν δικαιότερον ἡμεῖς οἱ νέοι, τὰς βασάνους τῶν σῶν ἀναγκῶν ὑπεριδόντες, ἃς καὶ ὁ παιδευτὴς ἡμῶν γέρων ἐνίκησε. πείραζε τοιγαροῦν, τύραννε. καὶ τὰς ἡμῶν ψυχὰς εἰ θανατώσεις διὰ τὴν εὐσέβειαν, μὴ νομίσῃς ἡμᾶς βλάπτειν βασανίζων. ἡμεῖς μὲν γὰρ διὰ τῆσδε τῆς κακοπαθείας καὶ ὑπομονῆς τὰ τῆς ἀρετῆς ἆθλα οἴσομεν, καὶ ἐσόμεθα παρὰ θεῷ, δι' ὃν καὶ πάσχομεν· σὺ δὲ διὰ τὴν ἡμῶν μιαιφονίαν αὐτάρκη καρτερήσεις ὑπὸ τῆς θείας δίκης αἰώνιον βάσανον."

Digitized by Google

τούτων οὕτως εἰπόντων, οὐ μόνον ὡς κατ' ἀπειθούντων ἐχαλέπαινεν ὁ τύραννος, ἀλλὰ καὶ ὡς κατ' ἀχαρίστων ὠργίσθη. εὐθὺς οὖν τὸν πρεσβύτατον αὐτῶν κελευσθέντες παρῆγον οἱ ὑπασπισταί, καὶ διαρρήξαντες τὸν χιτῶνα διέδησαν τὰς χεῖρας αὐτοῦ καὶ τοὺς βραχίονας ἱμᾶσιν ἑκατέρωθεν. ὡς δὲ τύπτοντες ταῖς μάστιξιν ἐκοπίασαν οὐδὲν ἀνύοντες, ἀνέβαλον αὐτὸν ἐπὶ τὸν τροχόν· περὶ ὃν κατατεινόμενος ὁ εὐγενὴς νεανίας ἔξαρθρος ἐγίνετο, καὶ κατὰ πᾶν μέλος κλώμενος ἐκακηγόρει λέγων "τύραννε μιαρώτατε καὶ τῆς οὐρανίου δίκης ἐχθρὲ καὶ ὠμόφρον, οὐκ ἀνδροφονήσαντά με τοῦτον κατακίζεις τὸν τρόπον οὐδ' ἀσεβήσαντα, ἀλλὰ θείου νόμου προασπίζοντα." καὶ τῶν δορυφόρων λεγόντων αὐτῷ "ὁμολόγησον φαγεῖν, ὅπως ἀπαλλαγῇς τῶν βασάνων," αὐτὸς εἶπεν αὐτοῖς "οὐχ οὕτως ἰσχυρός ἐστιν ὑμῶν ὁ τροχός, ὦ μιαροὶ διάκονοι, ὥστε μου τὸν λογισμὸν ἄγξαι. τέμνετέ μου τὰ μέλη καὶ πυροῦτέ μου τὰς σάρκας καὶ στρεβλοῦτε τὰ ἄρθρα· διὰ πασῶν γὰρ ὑμᾶς πείσω τῶν βασάνων ὅτι μόνοι παῖδες Ἑβραίων ὑπὲρ ἀρετῆς εἰσὶν ἀνίκητοι." ταῦτα λέγοντι πῦρ ὑπέστρωσαν καὶ διηρέθισαν, τὸν τροχὸν προσεπικατατείνοντες· ἐμολύνετο δὲ πάντοθεν αἵματι ὁ τροχός, καὶ ὁ σωρὸς τῆς ἀνθρακιᾶς τοῖς τῶν ἰχώρων ἐσβέννυτο σταλαγμοῖς, καὶ περὶ τοὺς ἄξονας τοῦ ὀργάνου περιέρρεον αἱ σάρκες. καὶ περιτετμημένον ἤδη ἔχων τὸ τῶν ὀστέων πῆγμα ὁ μεγαλόφρων καὶ Ἀβραμιαῖος νεανίας οὐκ ἐστέναξεν, ἀλλ' ὥσπερ ἐν πυρὶ μετασχηματιζόμενος εἰς ἀφθαρσίαν, ὑπέμεινεν εὐγενῶς τὰς στρέβλας, "μιμήσασθέ με, ἀδελφοί," λέγων. "μή μου τὸν αἰῶνα λιποτακτήσητε, μηδ' ἐξομόσησθέ μου τὴν τῆς εὐψυχίας ἀδελφότητα. ἱερὰν καὶ εὐγενῆ στρατείαν στρατεύσασθε ὑπὲρ τῆς εὐσεβείας, δι' ἧς ἵλεως ἡ δικαία καὶ πά-

Digitized by Google

τριος ἡμῶν πρόνοια τῷ ἔθνει γενηθεῖσα τιμωρήσει τὸν ἀλάστορα τύραννον." καὶ ταῦτα εἰπὼν ὁ ἱεροπρεπὴς νεανίας ἀπέρρηξε τὴν ψυχήν.

θαυμασάντων δὲ πάντων τὴν καρτεροψυχίαν αὐτοῦ, ἦγον οἱ δορυφόροι τὸν καθ' ἡλικίαν τοῦ προτέρου δεύτερον, καὶ σιδηρᾶς ἐναρμοσάμενοι χεῖρας ὀξέσι τοῖς ὄνυξιν ὀργάνῳ καταπέλτῃ προσέδησαν αὐτόν. ὡς δέ, εἰ φαγεῖν βούλοιτο πρὶν βασανίζεσθαι πυνθανόμενοι, τὴν εὐγενῆ γνώμην ἤκουσαν, ἀπὸ τῶν τενόντων ταῖς σιδηραῖς χερσὶν ἐπισπώμενοι μέχρι γε τῶν γενείων τὴν σάρκα πᾶσαν καὶ τὴν τῆς κεφαλῆς δορὰν οἱ παρδάλειοι θῆρες ἀπέσυραν. ὃ δὲ ταύτην βαρέως τὴν ἀλγηδόνα καρτερῶν ἔλεγεν "ὡς ἡδὺς πᾶς θανάτου τρόπος διὰ τὴν πάτριον ἡμῶν εὐσέβειαν. οὐ δυκεῖς, πάντων ὠμότατε τύραννε, πλεῖον ἐμοῦ σε νῦν βασανίζεσθαι, ὁρῶν σου νικώμενον τὸν τῆς τυραννίδος ὑπερήφανον λογισμὸν ὑπὸ τῆς διὰ τὴν εὐσέβειαν ἡμῶν ὑπομονῆς; ἐγὼ μὲν γὰρ ταῖς διὰ τὴν ἀρετὴν ἡδοναῖς τῶν πόνων ἐπικουφίζομαι, σὺ δὲ ἐν ταῖς τῆς ἀσεβείας ἀπειλαῖς βασανίζῃ. οὐκ ἐκφεύξῃ δέ, μιαρώτατε τύραννε, τὰς τῆς θείας ὀργῆς δίκας."

καὶ τούτου ἀοίδιμον θάνατον καρτερήσαντος ὁ τρίτος ἤγετο, παρακαλούμενος πολλὰ ὑπὸ πολλῶν, ὅπως ἀπογευσάμενος σώζοιτο. ὃ δὲ ἀναβοήσας ἔφη "ἀγνοεῖτε ὅτι ὁ αὐτός με τοῖς ἀποθανοῦσιν ἔσπειρε πατὴρ καὶ ἡ αὐτὴ μήτηρ ἐγέννησε, καὶ ἐπὶ τοῖς αὐτοῖς ἀνετράφημεν δόγμασιν; οὐκ ἐχομοῦμαι τὴν εὐγενῆ τῆς ἀδελφότητός μου συγγένειαν." οἱ δὲ πικρῶς ἐνέγκαντες τὴν παρρησίαν τοῦ ἀνδρός, ἀρθρεμβόλοις ὀργάνοις τὰς χεῖρας αὐτοῦ καὶ τοὺς πόδας ἐξήρθρουν, καὶ ἐξ ἁρμῶν ἀναμοχλεύσαντες ἐξεμέλιζον, καὶ τοὺς δακτύλους καὶ βραχίονας καὶ σκέλη καὶ ἀγκῶνας περιέκλων. καὶ κατὰ μη-

Digitized by Google

δένα τρόπον ἰσχύοντες αὐτὸν ἄγξαι, περισύραντες τὸ δέρμα σὺν ἄκραις τῶν δακτύλων κορυφαῖς ἀπεσκύθιζον. καὶ εὐθέως ἦγον ἐπὶ τὸν τροχόν, περὶ ὃν ἐκ σφονδύλων ἐκμελιζόμενος ἑώρα τὰς ἑαυτοῦ σάρκας περιλακιζομένας, καὶ κατὰ σπλάγχναν σταγόνας αἵματος ἀπορρεούσας. μέλλων δὲ ἀποθνήσκειν ἔφη "ἡμεῖς μέν, ὦ μιαρώτατε τύραννε, διὰ παιδείαν καὶ ἀρετὴν θεοῦ ταῦτα πάσχομεν· σὺ δὲ διὰ τὴν ἀσέβειαν καὶ μιαφονίαν ἀκαταλύτους κατερήσεις βασάνους."

καὶ τούτου θανόντος ἀδελφοπρεπῶς τὸν τέταρτον ἐπεσπῶντο, λέγοντες "μὴ συμμανῇς καὶ σὺ τοῖς ἀδελφοῖς σου τὴν αὐτὴν μανίαν." ὃ δὲ αὐτοῖς ἔφη "οὐχ οὕτω καυστικώτερον ἔχετε κατ' ἐμοῦ τὸ πῦρ ὥστε με δειλανδρῆσαι. μὰ τὸν μακάριον τῶν ἀδελφῶν μου θάνατον καὶ τὸν αἰώνιον τοῦ τυράννου ὄλεθρον καὶ τὸν ἀοίδιμον τῶν εὐσεβῶν βίον, οὐκ ἀρνήσομαι τὴν εὐγενῆ ἀδελφότητα. ἐπινύει, τύραννε, βασάνους, ἵνα καὶ δι' αὐτῶν μάθῃς ὅτι ἀδελφός εἰμι τῶν προβασανισθέντων." ταῦτα ἀκούσας ὁ αἱμοβόρος καὶ φονώδης καὶ παμμιαρώτατος Ἀντίοχος ἐκέλευσε τὴν γλῶτταν αὐτοῦ ἐκτμηθῆναι. ὃ δὲ ἔφη "κἂν ἀφέλῃς τὸ τῆς φωνῆς ὄργανον, καὶ σιωπῶντων εἰσακούει ὁ θεός. ἰδοὺ προκεχάλασται ἡ γλῶττα· τέμνετε· οὐ γὰρ παρὰ τοῦτο τὸν λογισμὸν ἡμῶν γλωσσοτομήσεις. ἡθέως ὑπὲρ τοῦ νόμου τοῦ θεοῦ τὰ τοῦ σώματος μέλη ἀκρωτηριαζόμεθα. σὲ δὲ ἐν τάχει μετελεύσεται ὁ θεός, ἐπεὶ τὴν τῶν θείων ὕμνων μελῳδὸν γλῶσσαν ἐκτέμνεις."

ὡς δὲ καὶ οὗτος ταῖς βασάνοις καταπισθεὶς ἀπέθανεν, ὁ πέμπτος παρεπήδησε λέγων "οὐ μέλλω, τύραννε, πρὸς τὸν ὑπὲρ τῆς ἀρετῆς βασανισμόν, αὐτὸς δὲ ἀπ' ἐμαυτοῦ παρῆλθον, ὅπως κἀμὲ κατακτείνας περὶ πλειόνων ἀδικημάτων ὀφλήσῃς τῇ οὐρανίῳ δίκῃ τιμω- 11

Digitized by Google

ρίαν. ὦ μισάνθρωπε καὶ μισάρετε, τί δράσαντας ἡμᾶς τοῦτον πορθεῖς τὸν τρόπον; ὅτι τὸν πάντων κτίστην εὐσεβοῦμεν καὶ κατὰ τὸν ἐνάρετον αὐτοῦ ζῶμεν νόμον; ἀλλὰ ταῦτα τιμῶν, οὐ βασάνων εἰσὶν ἄξια." τοιαῦτα λέγοντα οἱ δορυφόροι δήσαντες αὐτὸν εἶλκον ἐπὶ τὸν καταπέλτην, ἐφ' ὃν δήσαντες αὐτὸν ἐπὶ τὰ γόνατα, καὶ ταῦτα ποδάγραις σιδηραῖς ἐφαρμόσαντες τὴν ὀσφὺν αὐτοῦ περὶ τροχαῖον σφῆνα κατέκαμψαν, περὶ ὃν ὅλος περὶ τὸν τροχὸν σκορπίου τρόπον ἀνακλώμενος ἐξεμελίζετο. καὶ κατὰ τοῦτον τὸν τρόπον τὸ πνεῦμα στενοχωρούμενος καὶ τὸ σῶμα ἀγχόμενος "καλάς" ἔλεγεν "ἄκων, ὦ τύραννε, χάριτας ἡμῖν χαρίζῃ, διὰ γενναιοτέρων πόνων ἐπιδείξασθαι παρέχων τὴν εἰς τὸν νόμον ἡμῶν καρτερίαν."

τελευτήσαντος δὲ καὶ τούτου ὁ ἕκτος ἦγετο μειρακίσκος, ὃς πυνθανομένου τοῦ τυράννου εἰ βούλοιτο φαγὼν ἀπολύεσθαι ἔφη "ἐγὼ τὴν μὲν ἡλικίαν τῶν ἀδελφῶν μού εἰμι νεώτερος, τὴν δὲ διάνοιαν ἡλικιώτης· εἰς τὰ αὐτὰ γὰρ καὶ γεννηθέντες καὶ τραφέντες, ὑπὲρ τῶν αὐτῶν καὶ ἀποθνήσκειν ὀφείλομεν ὁμοίως, ὥστε εἰ δοκεῖ σοι βασανίζειν μὴ μιαροφαγοῦντας, βασάνιζε." ταῦτα αὐτὸν εἰπόντα παρῆγον ἐπὶ τὸν τροχόν, ἐφ' οὗ κατατεινόμενος ἐκμελῶς καὶ ἐκσφονδυλιζόμενος ὑπεκαίετο· καὶ ὀβελίσκους δὲ ὀξεῖς πυρώσαντες τοῖς νώτοις προσέφερον, καὶ τὰ πλευρὰ διαπείραντες αὐτοῦ καὶ τὰ σπλάγχνα διέκαιον. ὁ δὲ βασανιζόμενος "ὦ ἱεροπρεποῦς ἀγῶνος" ἔλεγεν, "ἐφ' ὃν διὰ τὴν εὐσέβειαν εἰς πόνων γυμνασίαν ἀδελφοὶ τοσοῦτοι κληθέντες οὐκ ἐνικήθημεν· ἀνίκητος γάρ ἐστιν, ὦ τύραννε, ἡ εὐσεβὴς ἐπιστήμη. καλοκαγαθίᾳ καθωπλισμένος τεθνήξομαι μὲν κἀγὼ μετὰ τῶν ἀδελφῶν μου, σοὶ δέ, ὦ τύραννε, μέγαν προσβαλὼν καὶ αὐτὸς τιμωρόν. καινουργὲ

Digitized by Google

τῶν βασάνων καὶ πολέμιε τῶν ἀληθῶς εὐσεβούντων, ἓξ μειράκια κατελύσαμέν σου τὴν τυραννίδα· τὸ γὰρ μὴ δυνηθῆναί σε μεταπεῖσαι τὸν λογισμὸν ἡμῶν μηδὲ βιάσασθαι πρὸς τὴν μιαροφαγίαν οὐ κατάλυσίς ἐστί σου; τὸ πῦρ σου ψυχρὸν ἡμῖν, καὶ ἄπονοι οἱ κατατρέλται καὶ ἀδύνατος ἡ βία· οὐ γὰρ τυράννου ἀλλὰ θείου νόμου παρεστήκασιν ἡμῖν δορυφόροι· διὰ τοῦτο ἀνίκητον ἔχομεν τὸν λογισμόν."

ὡς δὲ καὶ οὗτος μακαρίως ἀπέθανε καταβληθεὶς εἰς λέβητα, ὁ ἕβδομος παραγίνεται πάντων νεώτερος· ὃν κατοικτειρήσας ὁ τύραννος, καίτοι δεινῶς ὑπὸ πάντων τῶν ἀδελφῶν αὐτοῦ καταικισθείς, ὁρῶν ἤδη τὰ δεσμὰ περικείμενον πλησιέστερον αὐτοῦ μετεπέμψατο, καὶ παρηγορεῖν ἐπειρᾶτο, λέγων "τῆς μὲν τῶν ἀδελφῶν σου ἀπονοίας τὸ τέλος ὁρᾷς· διὰ γὰρ ἀπειθειαν στρεβλωθέντες τεθνᾶσι· σὺ δὲ εἰ μὲν μὴ πεισθείης, τάλας βασανισθεὶς καὶ αὐτὸς τεθνήξῃ ἄωρος, πεισθεὶς δὲ φίλος ἔσῃ καὶ τῶν ἐπὶ τῆς βασιλείας ἀφηγήσῃ πραγμάτων." καὶ ταῦτα παρακαλῶν τὴν μητέρα τοῦ παιδὸς μετεπέμψατο, ὅπως αὐτὴν ἐλεήσας τοσούτων υἱῶν στερηθεῖσαν παρορμήσειεν ἐπὶ τὴν σωτηρίαν εὐπειθῆ ποιῆσαι τὸν περιλειπόμενον. ὃ δέ, τῆς μητρὸς τῇ Ἑβραΐδι φωνῇ προτρεψαμένης αὐτὸν ὡς ἐροῦμεν μικρὸν ὕστερον, "λύσατέ με" φησίν· "εἶπω τι τῷ βασιλεῖ καὶ τοῖς σὺν αὐτῷ φίλοις πᾶσι." καὶ ἐπιχαρέντες ὅ τε βασιλεὺς καὶ οἱ σὺν αὐτῷ μάλιστα ἐπὶ τῇ ἐπαγγελίᾳ τοῦ παιδὸς ταχέως ἔλυσαν αὐτόν. ὃ δὲ δραμὼν ἔστη πλησίον τῶν τηγάνων καὶ ἔφη "ὦ ἀνόσιε καὶ πάντων τῶν πονηρῶν ἀσεβέστατε τύραννε, οὐκ ἠδέσθης, παρὰ τοῦ θεοῦ λαβὼν τὰ ἀγαθὰ καὶ τὴν βασιλείαν, τοὺς θεράποντας αὐτοῦ κατακτεῖναι καὶ τοὺς τῆς εὐσεβείας ἀσκητὰς στρεβλῶσαι, ἀνθ' ὧν ταμιεύσταί σε ἡ θεία δίκη πυ-

Digitized by Google

κνότέρῳ καὶ αἰωνίῳ πυρὶ καὶ βασάνοις, αἷς εἰς ὅλον τὸν αἰῶνα οὐκ ἀνήσουσί σε. οὐκ ἠδέσθης ἄνθρωπος ὤν, θηριωδέστατε, τοὺς ὁμοιοπαθεῖς καὶ ἐκ τῶν αὐτῶν γεγονότας στοιχείων γλωττοτομῆσαι καὶ τοῦτον καταικίσας τὸν τρόπον βασανίσαι; ἀλλ' οἳ μὲν εὐγενῶς ἀποθανόντες ἐπλήρωσαν τὴν εἰς θεὸν εὐσέβειαν, σὺ δὲ κακὸς κακῶς οἰμώξῃ, τοὺς τῆς ἀρετῆς ἀγωνιστὰς ἀναιτίως ἀποκτείνας. ὅθεν καὶ αὐτός ἀποθνήσκειν μέλλων" ἔφη "οὐκ ἀπαντομολῶ τῆς τῶν ἀδελφῶν μου ἀριστείας. ἐπικαλοῦμαι δὲ τὸν πατρῷον θεόν, ὅπως ἵλεως γένηται τῷ ἔθνει ἡμῶν. σὲ δὲ καὶ ἐν τῷ νῦν βίῳ καὶ θανόντα τιμωρήσεται." καὶ ταῦτα κατευξάμενος ἑαυτὸν ἔρριψε κατὰ τῶν τηγάνων, καὶ οὕτως ἀπέδωκε τὴν ψυχήν.

13 εἰ δὴ τοίνυν τῶν μέχρι θανάτου πόνων ὑπερεφρόνησαν οἱ ἑπτὰ ἀδελφοί, συνωμολόγηται πανταχόθεν ὅτι αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός. ὥσπερ γάρ, εἰ τοῖς πάθεσι δουλωθέντες ἐμιαροφάγησαν, ἐλέγομεν ἂν τούτους αὐτοὺς νενικῆσθαι, νυνὶ δὲ οὐχ οὕτως, ἀλλὰ τῷ ἐπαινουμένῳ παρὰ θεῷ λογισμῷ περιεγένοντο τῶν παθῶν, καὶ οὐκ ἔστι παριδεῖν τὴν ἡγεμονίαν τῆς διανοίας· ἐπεκράτησε γὰρ καὶ πάθους καὶ πόνων. πῶς οὖν οὐκ ἔστι τούτοις τὴν τῆς εὐλογιστίας παθοκράτειαν ὁμολογεῖν, οἳ τῶν διὰ πυρὸς ἀλγηδόνων οὐκ ἐπεστράφησαν; καθάπερ γὰρ προβλῆτες λιμένων πύργοι τὰς τῶν κυμάτων ἀπειλὰς ἀνακόπτοντες γαληνὸν παρέχουσι τοῖς εἰσπλέουσι τὸν ὅρμον, οὕτως ἡ ἑπτάπυργος τῶν νεανίσκων εὐλογιστία τὸν τῆς εὐσεβείας ὀχυρώσασα λιμένα τὴν τῶν παθῶν ἐνίκησεν ἀκολασίαν. ἱερὸν γὰρ εὐσεβείας στήσαντες χορὸν παρεθάρρυναν ἀλλήλους, λέγοντες "ἀδελφικῶς ἀποθάνωμεν, ἀδελφοί, περὶ τοῦ νόμου. μιμησώμεθα τοὺς τρεῖς τοὺς ἐπὶ τῆς Ἀσσυρίας νεανίας, οἳ τῆς ἰσοπάλιθος κα-

Digitized by Google

μίνου κατεφρόνησαν. μὴ δειλανδρήσωμεν πρὸς τὴν τῆς εὐσεβείας ἐπίδειξιν." καὶ ὃ μέν "θάρρει ἀδελφέ" ἔλεγεν, ὃ δέ "εὐγενῶς καρτέρησον·" ὃ δὲ καταμνησθεὶς ἔλεγε "μνήσθητε πόθεν ἐστέ, ἢ τίνος πατρὸς χειρὶ σφαγιασθῆναι διὰ τὴν εὐσέβειαν ὑπέμεινεν ὁ Ἰσαάκ." εἷς δὲ ἕκαστος καὶ ἀλλήλους ὁμοῦ πάντες ἐφορῶντες φαιδροὶ καὶ μάλα θαρραλέοι, "ἑαυτούς" ἔλεγον "τῷ θεῷ ἀφιερώσωμεν ἐξ ὅλης τῆς καρδίας τῷ δόντι τὰς ψυχάς, καὶ χρήσωμεν τῇ περὶ τὸν νόμον φυλακῇ τὰ σώματα. μὴ φοβηθῶμεν τὸν δοκοῦντα ἀποκτεῖναι τὸ σῶμα· μέγας γὰρ ψυχῆς κίνδυνος ἐν αἰωνίῳ βασανισμῷ κείμενος τοῖς παραβαίνουσι τὴν ἐντολὴν τοῦ θεοῦ. καθοπλισώμεθα τοιγαροῦν τὴν τοῦ θείου λογισμοῦ παθοκράτειαν· οὕτω γὰρ θανόντας ἡμᾶς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὑποδέξονται εἰς τοὺς κόλπους αὐτῶν, καὶ πάντες οἱ πατέρες ἐπαινέσουσι." καὶ ἑνὶ ἑκάστῳ τῶν ἀποσπωμένων αὐτῶν ἀδελφῶν ἔλεγον οἱ περιλειπόμενοι "μὴ καταισχύνῃς ἡμᾶς, ἀδελφέ, μηδὲ ψεύσῃ τοὺς προαποθανόντας ἡμῶν ἀδελφούς. οὐκ ἀγνοεῖτε δὲ τὰ τῆς ἀδελφότητος φίλτρα, ἅπερ ἡ θεία καὶ πάνσοφος πρόνοια διὰ πατέρων τοῖς γενναμένοις ἐμέρισε καὶ διὰ τῆς μητρῴας ἐφύτευσε γαστρός, ἐν ᾗ τὸν ἴσον ἀδελφοὶ κατοικήσαντες χρόνον, καὶ ἐν τῷ αὐτῷ χρόνῳ πλασθέντες, καὶ ἀπὸ τοῦ αὐτοῦ αἵματος αὐξηθέντες, καὶ διὰ τῆς αὐτῆς ψυχῆς τελεσφορηθέντες, καὶ διὰ τῶν ἴσων ἀποτεχθέντες χρόνων, καὶ ἐκ τῶν αὐτῶν γαλακτοποτοῦντες πηγῶν, ἀφ' ὧν συντρέφονται ἐν ἀγκάλαις μαστῶν φιλάδελφοι ψυχαί, καὶ αὔξονται σφοδρότερον διὰ τῆς συντροφίας καὶ διὰ τῆς καθ' ἡμέραν συνηθείας καὶ τῆς ἄλλης παιδείας καὶ τῆς ἡμετέρας ἐν νόμῳ θεοῦ ἀσκήσεως." οὕτω δὴ τοίνυν καθεστώσης συμπαθῶς τῆς φιλαδελφίας οἱ ἑπτὰ ἀδελφοὶ συμπαθέστερον ἔσχον πρὸς

Digitized by Google

ἀλλήλους. νόμῳ γὰρ τῷ αὐτῷ παιδευθέντες καὶ τὰς αὐτὰς ἐξασκήσαντες ἀρετὰς καὶ τῷ δικαίῳ συντραφέντες βίῳ μᾶλλον ἑαυτοὺς ἠγάπων· ἡ γὰρ ὁμοζηλία τῆς καλοκαγαθίας ἐπέτεινεν αὐτοῖς τὴν πρὸς ἀλλήλους ὁμόνοιαν· σὺν γὰρ τῇ εὐσεβείᾳ ποθεινοτέραν ἑαυτοῖς κατεσκεύαζον τὴν φιλαδελφίαν. ἀλλ' ὅμως καίπερ τῆς φύσεως καὶ τῆς συνηθείας καὶ τῶν τῆς ἀρετῆς ἠθῶν τὰ τῆς ἀδελφότητος αὐτοῖς φίλτρα συναυξανόντων, ἀνέσχοντο διὰ τὴν εὐσέβειαν τοὺς ἀδελφοὺς οἱ ὑπολειπόμενοι [τοὺς] καταικιζομένους ὁρῶντες καὶ μέχρι θανάτου βασανιζομένους, προσέτι δὲ καὶ ἐπὶ τὸν αἰκισμὸν ἑποτρύνοντες, ὡς μὴ μόνον τῶν ἀλγηδόνων περιφρονῆσαι αὐτούς, ἀλλὰ καὶ τῶν τῆς φιλαδελφίας παθῶν κρατῆσαι.

14 ὦ βασιλέων λογισμοὶ βασιλικώτεροι καὶ ἐλευθέρων ἐλευθερώτεροι. ὦ ἱερᾶς καὶ ἁρμονίου περὶ τῆς εὐσεβείας τῶν ἑπτὰ ἀδελφῶν συμφωνίας. οὐδεὶς ἐξ αὐτῶν ἐδειλίασεν, οὐδὲ ἐπὶ τὸν θάνατον ἐλθεῖν ὤκνησεν, ἀλλὰ πάντες ὥσπερ ἐπ' ἀθανασίας ὁδὸν τρέχοντες ἐπὶ τὸν διὰ τῶν βασάνων θάνατον ἔσπευδον· καθάπερ γὰρ χεῖρες καὶ πόδες συμφώνως τοῖς τῆς ψυχῆς ἀφηγήμασι κινοῦνται, οὕτως οἱ ἱεροὶ μείρακες ἐκεῖνοι ὡς ὑπὸ ψυχῆς μιᾶς τῆς ἀθανάτου εὐσεβείας κινούμενοι πρὸς τὸν ὑπὲρ αὐτῆς συνεφώνησαν θάνατον. ὦ παναγίας συμφώνων ἀδελφῶν ἑβδομάδος· καθάπερ γὰρ ἑπτὰ τῆς κοσμοποιίας ἡμέραι περὶ τὴν εὐσέβειαν, οὕτω περὶ τὴν ἑβδομάδα χορεύοντες οἱ μείρακες ἐκύκλουν, τὸν τῶν βασάνων φόβον καταλύοντες. νῦν ἡμεῖς ἀκούοντες τὴν θλῖψιν τῶν νεανιῶν ἐκείνων φρίττομεν· οἳ δὲ οὐ μόνον ἀκούοντες τὴν θλῖψιν, ἀλλὰ καὶ ὁρῶντες τὸν παραχρῆμα τῆς ἀπειλῆς λόγον ἐμακαρίζοντο, θαυμαζόμενοι πῶς πάσχοντες ἐνεκαρτέρουν, καὶ τοῦτο ταῖς διὰ πυρὸς

Digitized by Google

ὀδύναις, ὧν τί ἂν γένοιτο ἐπαλγέστερον; ὀξεῖα γὰρ καὶ σύντομος ἡ τοῦ πυρὸς οὖσα δύναμις ταχέως διέλυσε τὰ σώματα αὐτῶν.

καὶ μὴ θαυμαστὸν ἡγεῖσθε εἰ ὁ λογισμὸς περιεκράτησε τῶν ἀνδρῶν ἐκείνων ἐν ταῖς βασάνοις, ὅπου γε καὶ γυναικὸς νοῦς πολυτροπωτέρων ὑπερεφρόνησεν ἀλγηδόνων· ἡ μήτηρ γὰρ τῶν ἑπτὰ νεανίσκων ἐκείνων ὑπήνεγκε τὰς ἐφ' ἑνὶ ἑκάστῳ τῶν τέκνων στρέβλας. θεωρεῖτε δὲ πῶς πολύπλοκός ἐστιν ἡ τῆς φιλοτεκνίας στοργή, ἕλκουσα πάντα πρὸς τὴν τῶν σπλάγχνων συμπάθειαν, ὅπου γε καὶ τὰ ἄλογα ζῷα ὁμοίαν τὴν πρὸς τὰ ἐξ αὐτῶν γεννώμενα συμπάθειαν καὶ στοργὴν ἔχει τοῖς ἀνθρώποις. καὶ γὰρ τῶν πετεινῶν τὰ μὲν ἥμερα κατὰ τὰς οἰκίας ὀροφοκοιτοῦντα προασπίζει τῶν νεοττῶν· τὰ δὲ κατὰ κορυφὰς τῶν ὀρέων καὶ ἀπορρῶγας τῶν φαράγγων καὶ δένδρων ὀπὰς καὶ τὰς τούτων ἄκρας ἐννοσσοποιησάμενα ἀποτίκτει καὶ τὸν προσιόντα κωλύει· εἰ δὲ καὶ μὴ δύναται κωλύειν, περιπτάμενα κυκλόθεν αὐτῶν ἀλγοῦντα τῇ στοργῇ, ἀνακαλούμενα τῇ ἰδίᾳ φωνῇ, καθ' ὃν δύναται τρόπον βοηθεῖ τοῖς τέκνοις. καὶ τί δεῖ τὴν διὰ τῶν ἀλόγων ζῴων ἐπιδείκνυσθαι πρὸς τὰ τέκνα συμπάθειαν, ὅπου γε καὶ μέλισσαι περὶ τὸν τῆς κηρογονίας καιρὸν ἀπαμύνονται τοὺς προσιόντας, καὶ καθάπερ σιδήρῳ τῷ κέντρῳ πλήσσουσι τοὺς προσιόντας τῇ νοσσιᾷ αὐτῶν καὶ ἐπαμύνονται ἕως θανάτου. ἀλλ' οὐχὶ τὴν τοῦ Ἀβραὰμ ὁμόψυχον τῶν νεανίσκων μητέρα μετεκίνησε συμπάθεια τῶν τέκνων. ὦ λογισμὲ τύραννε παθῶν, καὶ εὐσέβεια μητρὶ τέκνων ποθεινοτέρα. μήτηρ δυοῖν προκειμένων, εὐσεβείας καὶ τῆς τῶν ἑπτὰ υἱῶν σωτηρίας προσκαίρου κατὰ τὴν τοῦ τυράννου ὑπόσχεσιν, τὴν εὐσέβειαν μᾶλλον ἠγάπησε τὴν σώζουσαν εἰς αἰώνιον ζωὴν κατὰ θεόν. ὦ τίνα

Digitized by Google

τρόπον ἠθολογήσαιμι φιλότεκνα γονέων πάθη, ψυχῆς τε καὶ μορφῆς ὁμοιότητα εἰς μικρὸν παιδὸς χαρακτῆρα θαυμάσιον ἐναποσφραγίζοντα, μάλιστα διὰ τὸ πάθος τοῖς γεννηθεῖσι τὰς μητέρας τῶν πατέρων καθεστάναι συμπαθεστέρας; ὅσῳ γὰρ καὶ ἀσθενόψυχοι καὶ φιλογυνώτεραι ὑπάρχουσιν αἱ μητέρες, τοσούτῳ μᾶλλόν εἰσι φιλοτεκνότεραι. πασῶν δὲ τῶν μητέρων ἐγένετο ἡ τῶν ἑπτὰ μήτηρ φιλοτεκνοτέρα, ἧτις ἑπτὰ κυοφορίαις τὴν πρὸς αὐτοὺς ἐπιφυτευομένη φιλοστοργίαν, καὶ διὰ πολλὰς τὰς καθ' ἕκαστον αὐτῶν ὀδύνας ἠναγκασμένη τὴν εἰς αὐτοὺς ἔχειν συμπάθειαν, διὰ τὸν πρὸς θεὸν φόβον ὑπερεῖδε τὴν τῶν τέκνων πρόσκαιρον σωτηρίαν. οὐ μήν γε ἀλλὰ καὶ διὰ τὴν καλοκαγαθίαν τῶν υἱῶν καὶ τὴν πρὸς τὸν νόμον αὐτῶν εὐπείθειαν μείζω τὴν ἐν αὐτοῖς εἶχε φιλοστοργίαν· δίκαιοί τε γὰρ ἦσαν καὶ σώφρονες καὶ μεγαλόψυχοι καὶ φιλάδελφοι καὶ φιλομήτορες οὕτως ὥστε καὶ μέχρι θανάτου τὰ νόμιμα φυλάσσοντας πείθεσθαι αὐτῇ. ἀλλ' ὅμως καίπερ τοσούτων ὄντων [περὶ τῶν [τὴν φιλοτεκνίαν] εἰς συμπάθειαν ἑλκόντων τὴν μητέρα, ἐπ' οὐδενὸς αὐτῶν τὸν λογισμὸν αὐτῆς αἱ παμποίκιλοι βάσανοι ἴσχυσαν μετατρέψαι, ἀλλὰ καὶ καθ' ἕνα παῖδα καὶ ὁμοῦ πάντας ἡ μήτηρ ἐπὶ τὸν ὑπὲρ τῆς εὐσεβείας προετρέπετο θάνατον. ὦ φύσις ἱερά, καὶ φίλτρα γονέων, καὶ σύνεσις φιλόστοργε, καὶ τροφεῖα, καὶ μητέρων ἀδάμαστα πάθη. καθ' ἕνα στρεβλούμενον καὶ φλεγόμενον ὁρῶσα ἡ μήτηρ οὐ μετεβάλετο διὰ τὴν εὐσέβειαν. τὰς σάρκας τῶν τέκνων ἑώρα περὶ τὸ πῦρ τηκομένας, καὶ τοὺς τῶν παιδῶν καὶ χειρῶν δακτύλους ἐπὶ γῆς σπαίροντας, καὶ τὰς τῶν κεφαλῶν μέχρι τῶν περὶ τὰ γένεια σάρκας ὥσπερ προσωπεῖα προκειμένας. ὦ πικροτέρων νῦν μήτηρ πόνων πειραθεῖσα ὑπὲρ τῶν ἐπ' αὐτοῖς ὠδίνων,

Digitized by Google

ὦ μόνη γυνὴ τὴν εὐσέβειαν ὁλόκληρον ἀποκυήσασα· οὐ μετέτρεψέ σε πρωτότοκος ἀποπνέων, οὐδὲ δεύτερος εἰς σὲ οἰκτρὸν ἐν βασάνοις βλέπων, οὐ τρίτος ἀποψύχων. οὐδὲ τοὺς ὀφθαλμοὺς ἑνὸς ἑκάστου θεωροῦσα ταυρηδὸν ἐπὶ τῶν βασάνων ὁρῶντας τὸν ἑαυτῶν αἰκισμὸν καὶ τοὺς μυκτῆρας προσημειουμένους τὸν θάνατον αὐτῶν... οὐκ ἔκλαυσας ὁρῶσα σάρκας τέκνων ἀποκαιομένας καὶ ἐπὶ χερσὶ χεῖρας ἀποτεμνομένας καὶ ἐπὶ κεφαλαῖς κεφαλὰς ἀποδειροτομουμένας καὶ ἐπὶ νεκροῖς νεκροὺς πίπτοντας, καὶ πολυάνδριον ὁρῶσα τῶν τέκνων τὸ χωρίον διὰ τῶν βασάνων οὐκ ἐδάκρυσας. οὐχ οὕτω σειρήνειοι μελῳδίαι οὐδὲ κύκνειοι πρὸς φιλησοῖαν φωναὶ τοὺς ἀκούοντας ἐφέλκονται ὡς τέκνων φωναὶ μετὰ βασάνων μητέρα φωνούντων. πηλίκαις καὶ πόσαις τότε ἡ μήτηρ τῶν υἱῶν βασανιζομένων προχοῖς τε καὶ καυστηρίοις ἐβασανίζετο βασάνοις. ἀλλὰ τὰ σπλάγχνα αὐτῆς ὁ εὐσεβὴς λογισμὸς ἐν αὐτοῖς τοῖς πάθεσιν ἀνδρειώσας ἐπέτεινε τὴν πρόσκαιρον φιλοτεκνίαν παριδεῖν, καίπερ ἑπτὰ τέκνων ἀπώλειαν ὁρῶσα καὶ τὴν τῶν στρεβλῶν πολύπλοκον ποικιλίαν. ἃς ἁπάσας ἡ γενναία μήτηρ ἐξέλυσε διὰ τὴν πρὸς θεὸν πίστιν. καθάπερ γὰρ ἐν βουλευτηρίῳ τῇ ἑαυτῆς ψυχῇ δεινοὺς ὁρῶσα συμβούλους φύσιν τε καὶ γένεσιν καὶ φιλοτεκνίαν καὶ τέκνων στρέβλας, δύο ψήφους κρατοῦσα ἡ μήτηρ, θανατηφόρον τε καὶ σωτήριον, ὑπὲρ τέκνων, οὐκ ἔγνω τὴν σῴζουσαν ἑπτὰ υἱοὺς πρὸς ὀλίγον χρόνον σωτηρίαν, ἀλλὰ τῆς θεοσεβοῦς Ἀβραὰμ καρτερίας ἡ θυγάτηρ ἐμνήσθη. ὦ μῆτερ ἔθνους, ἔκδικε τοῦ νόμου καὶ ὑπερασπίστρια τῆς εὐσεβείας, καὶ τοῦ διὰ σπλάγχνων ἀγῶνος ἀθλοφόρε, ὦ ἀρρένων πρὸς καρτερίαν γενναιοτέρα καὶ ἀνδρῶν πρὸς ὑπομονὴν ἀνδρειοτέρα. καθάπερ γὰρ ἡ τοῦ Νῶε κιβωτὸς ἐν τῷ κοσμοπληθεῖ

Digitized by Google

κατακλυσμῷ κοσμοφοροῦσα καρτερῶς ὑπέμεινε τοὺς κλύδωνας, οὕτω καὶ σὺ ἡ νομοφύλαξ πανταχόθεν τῷ τῶν παθῶν περιαντλουμένη κατακλυσμῷ, καὶ καρτεροῖς ἀνέμοις τῶν υἱῶν βασάνοις συνεχομένη, γενναίως ὑπέμεινας τὸν ὑπὲρ τῆς εὐσεβείας χειμῶνα.

16 εἰ δὴ τοίνυν καὶ γυνὴ καὶ γεραιὰ καὶ ἑπτὰ παίδων μήτηρ ὑπέμεινεν ὁρῶσα τὰς μέχρι θανάτου τῶν τέκνων βασάνους, ὁμολογουμένως αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ εὐσεβὴς λογισμός. ἀπέδειξα οὖν ὅτι οὐ μόνον ἄνδρες τῶν παθῶν ἐκράτησαν, ἀλλὰ καὶ γυνὴ τῶν μεγίστων βασάνων ὑπερεφρόνησε. καὶ οὐχ οὕτως οἱ περὶ τὸν Δανιὴλ λέοντες ἦσαν ἄγριοι, οὐδὲ ἡ κατὰ τὸν Μισαὴλ ἐκφλεγομένη κάμινος λαβροτάτῳ πυρί, ὡς ἡ τῆς φιλοτεκνίας περιέκαιεν ἐκείνην φύσις, ὁρῶσαν [αὐτὴν] οὕτω ποικίλως βασανιζομένους τοὺς ἑπτὰ υἱούς. ἀλλὰ τῷ λογισμῷ τῆς εὐσεβείας κατέσβεσε τὰ τοσαῦτα καὶ τηλικαῦτα πάθη ἡ μήτηρ. καὶ γὰρ τοῦτο ἔστιν ἐπιλογίσασθαι, ὅτι θειλόψυχος εἰ ἦν ἡ γυνή, καίπερ μήτηρ οὖσα, ὠλοφύρατο ἂν ἐπ' αὐτοῖς καὶ ἴσως ταῦτα ἂν οὕτως εἶπεν. "ὦ μελέα ἐγωγε καὶ πολλάκις τρισαθλία, ἥτις ἑπτὰ παῖδας τεκοῦσα οὐδενὸς μήτηρ γεγένημαι. ὦ μάταιοι ἑπτὰ κυοφορίαι καὶ ἀνόνητοι ἑπτὰ δεκάμηνοι, καὶ ἄκαρποι τιθηνίαι, καὶ ταλαίπωροι γαλακτοτροφίαι. μάτην ἐφ' ὑμῖν, ὦ παῖδες, πολλὰς ὑπέμεινα ὀδύνας καὶ χαλεπωτέρας φροντίδας ἀνατροφῆς. ὦ τῶν ἐμῶν παίδων οἱ μὲν ἄγαμοι, οἱ δὲ γήμαντες ἀνόνητοι· οὐκ ὄψομαι ὑμῶν τέκνα, οὐδὲ μάμμη κληθεῖσα μακαρισθήσομαι. ὦ ἡ πολύπαις καὶ καλλίπαις ἐγὼ γυνὴ χήρα καὶ μόνη πολύθρηνος· οὐδὲ ἂν ἀποθάνω θάφοντα τῶν υἱῶν ἕξω τινά." ἀλλὰ τούτῳ τῷ θρήνῳ οὐδένα ὠλοφύρατο ἡ ἱερὰ καὶ θεοσεβὴς μήτηρ, οὐδ' ἵνα μὴ ἀποθάνωσιν ἀπέτρεπεν αὐτῶν τινά, οὐδ' ὡς ἀποθνησκόν-

Digitized by Google

των ἐλυπήθη, ἀλλ' ὥσπερ ἀδαμάντινον ἔχουσα τὸν νοῦν καὶ εἰς ἀθανασίαν ἀνατίκτουσα τὸν τῶν υἱῶν ἀριθμόν, μᾶλλον ὑπὲρ τῆς εὐσεβείας ἐπὶ τὸν θάνατον αὐτοὺς προετρέπετο ἱκετεύουσα. ὦ μῆτερ δι' εὐσέβειαν θεοῦ στρατιῶτι πρεσβῦτι, καὶ γυναικὸς διὰ παρτερίαν καὶ τύραννον ἐνίκησας, καὶ ἔργοις εὑρέθης ἀνδρὸς καὶ λόγοις δυνατωτέρα. καὶ γὰρ ὅτε συνελήφθης μετὰ τῶν παίδων, εἱστήκεις τὸν Ἐλεάζαρον ὁρῶσα βασανιζόμενον, καὶ ἔλεγες τοῖς παισὶ τῇ Ἑβραΐδι διαλέκτῳ "ὦ παῖδες, γενναῖος ὁ ἀγών, ἐφ' ὃν κληθέντες ὑπὲρ τῆς διαμαρτυρίας τοῦ ἔθνους ἐναγωνίσασθε προθύμως ὑπὲρ τοῦ πατρῴου νόμου· καὶ γὰρ αἰσχρὸν τὸν μὲν γέροντα τοῦτον ὑπομένειν τὰς διὰ τὴν εὐσέβειαν ἀλγηδόνας, ὑμᾶς δὲ τοὺς νεανίσκους καταπλαγῆναι τὰς βασάνους. ἀναμνήσθητε ὅτι διὰ τὸν θεὸν τοῦ κόσμου μετελάβετε καὶ τοῦ βίου ἀπελαύσατε, καὶ διὰ τοῦτο ὀφείλετε πάντα πόνον ὑπομεῖναι διὰ τὸν θεόν, δι' ὃν καὶ ὁ πατὴρ ἡμῶν Ἀβραὰμ ἔσπευδε τὸν ἐθνοπάτορα υἱὸν σφαγιάσαι Ἰσαάκ, καὶ τὴν πατρῴαν χεῖρα ξιφηφόρον καταφερομένην ἐπ' αὐτὸν ὁρῶν ὁ Ἰσαὰκ οὐκ ἔπτηξε, καὶ Δανιὴλ ὁ δίκαιος εἰς λέοντας ἐβλήθη. καὶ Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαὴλ εἰς κάμινον πυρὸς ἀπεσφενδονίσθησαν καὶ ὑπέμειναν διὰ τὸν θεόν. καὶ ὑμεῖς οὖν τὴν αὐτὴν πίστιν εἰς τὸν θεὸν ἔχοντες μὴ χαλεπαίνετε· ἀλόγιστον γὰρ τοὺς εἰδότας εὐσέβειαν μὴ ἀντισταθῆναι τοῖς πόνοις." διὰ τούτων τῶν λόγων ἡ ἑπταμήτωρ ἕνα ἕκαστον τῶν υἱῶν παρακαλοῦσα ἀποθανεῖν ἔπεισε μᾶλλον ἢ παραβῆναι τὴν ἐντολὴν τοῦ θεοῦ, ἔτι δὲ καὶ ταῦτα εἰδότας ὅτι οἱ διὰ τὸν θεὸν ἀποθανόντες ζῶσι τῷ θεῷ, ὥσπερ Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντες οἱ πατριάρχαι.

ἔλεγον δὲ καὶ τῶν θορυφόρων τινὲς ὡς ὅτε ἔμελλε

Digitized by Google

συλλαμβάνεσθαι καὶ αὐτὴ πρὸς θάνατον, ἵνα μὴ ψαύσειέ τις τοῦ σώματος αὐτῆς, ἑαυτὴν ἔρριψε κατὰ τῆς πυρᾶς. ὦ μῆτερ σὺν ἐπτὰ καταλύσασα τὴν τοῦ τυράννου βίαν, καὶ ἀκυρώσασα τὰς κακὰς ἐπινοίας αὐτοῦ, καὶ δείξασα τὴν τῆς πίστεως γενναιότητα. καθάπερ γὰρ στέγη ἐπὶ τοῖς στύλοις, οὕτω καὶ σὺ ἐπὶ παισὶ γενναίως ἱδρυμένη ἀκλινὴς ὑπήνεγκας τὸν διὰ τῶν βασάνων σεισμόν. θάρρει τοιγαροῦν, ὦ μῆτερ ἱερόψυχε, τὴν ἐλπίδα τῆς ὑπομονῆς ἔχουσα βεβαίαν πρὸς τὸν θεόν. οὐχ οὕτω σελήνη κατ' οὐρανὸν σὺν ἄστροις σεμνὴ καθέστηκεν, ὡς σὺ τοὺς ἰσαστέρους ἑπτὰ παῖδας φωταγωγήσασα πρὸς τὴν εὐσέβειαν ἔντιμος καθέστηκας τῷ θεῷ καὶ ἡστέρισαι ἐν οὐρανῷ σὺν αὐτοῖς· ἦρ γὰρ ἡ παιδοποιία σου ἀπὸ Ἀβραὰμ τοῦ πατρός. εἰ δὲ ἔξὸν ἡμῖν ὥσπερ ἐπί τινος πίνακος ζωγραφῆσαι τὴν τῆς εὐσεβείας ἱστορίαν, οὐκ ἂν ἔφριττον οἱ θεωροῦντες μητέρα ἑπτὰ τέκνων δι' εὐσέβειαν ποικίλας βασάνους μέχρι θανάτου γινομένας ὑπομένουσαν; καὶ γὰρ ἄξιον ἦν ἐπ' αὐτοῦ τοῦ τάφου ἀναγράψαι καὶ ταῦτα τοῖς ἀπὸ τοῦδ' ἔθνους εἰς μνείαν λεγόμενα "ἐνταῦθα ὁ μέρων ἱερεὺς καὶ γυνὴ γεραιὰ καὶ ἑπτὰ παῖδες ἐγκεκήδευνται διὰ τυράννου βέαν τὴν Ἑβραίων πολιτείαν καταλῦσαι θέλοντος, οἳ καὶ ἐξεδίκησαν τὸ ἔθνος εἰς τὸν θεὸν ἀφορῶντες καὶ μέχρι θανάτου τὰς βασάνους ὑπομείναντες." ἀληθῶς γὰρ ὁ ἀγὼν θεῖος ὁ δι' αὐτῶν γεγενημένος· ἠθλοθέτει γὰρ τότε ἀρετὴ δι' ὑπομονῆς δοκιμάζουσα. τὸ νῖκος ἀφθαρσία ἐν ζωῇ πολυχρονίῳ. Ἐλεάζαρος δὲ προηγωνίζετο, ἡ δὲ μήτηρ τῶν ἑπτὰ παίδων ἐνήθλει, οἱ δὲ ἀδελφοὶ ἠγωνίζοντο, ὁ τύραννος ἀντηγωνίζετο. ὁ δὲ κόσμος καὶ ὁ τῶν ἀνθρώπων βίος ἐθεώρει. θεοσέβεια δὲ ἐνίκα, τοὺς ἑαυτῆς ἀθλητὰς στεφανοῦσα. τίνες οὐκ ἐθαύμασαν τοὺς τῆς θείας κομοθε-

Digitized by Google

σίας ἀθλητάς; τίνες οὐκ ἐξεπλάγησαν; αὐτός γέ τοι ὁ τύραννος καὶ ὅλον τὸ συμβούλιον αὐτῶν ἐξεθαύμασαν αὐτῶν τὴν ὑπομονήν, δι' ἣν καὶ τῷ θείῳ νῦν παρεστήκασι θρόνῳ καὶ μακάριον αἰῶνα βιοῦσι. καὶ γάρ φησιν ὁ Μωϋσῆς "καὶ πάντες οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου." καὶ οὗτοι οὖν οἱ ἁγιασθέντες διὰ θεὸν τετίμηνται, οὐ μόνον ταύτῃ τῇ τιμῇ, ἀλλὰ καὶ τῷ δι' αὐτοὺς τοῦ ἔθνους ἡμῶν τοὺς πολεμίους μὴ ἐπικρατῆσαι καὶ τὸν τύραννον τιμωρηθῆναι καὶ τὴν πατρίδα καθαρισθῆναι, ὥσπερ ἀντίψυχον γεγονότας τῆς τοῦ ἔθνους ἁμαρτίας. καὶ διὰ τοῦ αἵματος τῶν εὐσεβῶν ἐκείνων καὶ τοῦ ἱλαστηρίου τοῦ θανάτου αὐτῶν ἡ θεία πρόνοια τὸν Ἰσραὴλ προκακωθέντα διέσωσε· πρὸς γὰρ τὴν ἀνδρείαν αὐτῶν τῆς ἀρετῆς καὶ τὴν ἐπὶ ταῖς βασάνοις αὐτῶν ὑπομονὴν ὁ τύραννος ἀπιδὼν ἀνεκήρυξεν ὁ Ἀντίοχος τοῖς στρατιώταις αὐτοῦ εἰς ὑπόδειγμα τὴν ἐκείνων ὑπομονήν, ἔσχε τε αὐτοὺς γενναίους καὶ ἀνδρείους εἰς πεζομαχίαν καὶ πολιορκίαν, καὶ ἐκπορθήσας ἐνίκησε τοὺς πάντας πολεμίους. ὦ τῶν Ἀβραμιαίων σπερμάτων ἀπόγονοι παῖδες Ἰσραηλῖται, πείθεσθε τῷ νόμῳ τούτῳ, καὶ πάντα τρόπον εὐσεβεῖτε, γινώσκοντες ὅτι τῶν παθῶν δεσπότης ἐστὶν ὁ εὐσεβὴς λογισμός, καὶ οὐ μόνον τῶν ἔνδοθεν ἀλλὰ καὶ τῶν ἔξωθεν πόνων.

ἀνθ' ὧν διὰ τὴν εὐσέβειαν προϊέμενοι τὰ σώματα 18
τοῖς πόνοις ἐκεῖνοι οὐ μόνον ὑπὸ τῶν ἀνθρώπων ἐθαυμάσθησαν, ἀλλὰ καὶ θείας μερίδος κατηξιώθησαν, καὶ δι' αὐτοὺς εἰρήνευσε τὸ ἔθνος, καὶ τὴν εὐνομίαν τὴν ἐπὶ τῆς πατρίδος ἀνανεωσάμενοι ἐξεπολιόρκησαν τοὺς πολεμίους. καὶ ὁ τύραννος Ἀντίοχος καὶ ἐπὶ γῆς τετιμώρηται καὶ ἀποθανὼν κολάζεται. ὡς γὰρ οὐδὲν οὐδαμῶς ἴσχυσεν ἀναγκάσαι τοὺς Ἱεροσολυμίτας ἀλλοφυλῆ-

Digitized by Google

σαι καὶ τῶν πατρίων ἐθῶν ἐκδιαιτηθῆναι, τότε ἀπάρας ἀπὸ τῶν Ἱεροσολύμων ἐστράτευσεν ἐπὶ Πέρσας.

Ἔλεγε δὲ ἡ μήτηρ τῶν ἑπτὰ παίδων καὶ ταῦτα δίκαια τοῖς τέκνοις, ὅτι ἐγὼ ἐγενήθην παρθένος ἁγνή, οὐδὲ ὑπερέβην πατρικὸν οἶκον, ἐφύλασσον δὲ τὴν φκοδομημένην πλευράν. οὐ διέφθειρέ με λυμεὼν ἐρημίας φθορεὺς ἐν πεδίῳ, οὐδ' ἐλυμήνατό μου τὰ ἁγνὰ τῆς παρθενίας λυμεὼν ἀπατηλὸς ὄφις. ἔμεινα δὲ χρόνον ἀκμῆς σὺν ἀνδρί· τούτων δὲ ἐνηλίκων γενομένων ἐτελεύτησεν ὁ πατήρ, μακαρίως μέν (τὸν γὰρ τῆς εὐτεκνίας βίον ἐπιζήσας τὸν τῆς ἀτεκνίας οὐκ ὠδυνήθη καιρόν)· ὃς ἐδίδασκεν ἡμᾶς, ἔτι ὢν σὺν ἡμῖν, τὸν νόμον καὶ τοὺς προφήτας. τὸν ἀναιρεθέντα Ἄβελ ὑπὸ τοῦ Κάιν ἀνεγίνωσκεν ἡμῖν, καὶ τὸν ὁλοκαυτούμενον Ἰσαάκ, τὸν ἐν φυλακῇ Ἰωσήφ. ἔλεγε δ' ἡμῖν τὸν ζηλωτὴν Φινεές, ἐδίδασκε δὲ ἡμᾶς τοὺς ἐν πυρὶ Ἀνανίαν καὶ Ἀζαρίαν καὶ Μισαήλ, ἐδόξαζε δὲ καὶ τὸν ἐν λάκκῳ λεόντων Δανιήλ, ὃν ἐμακάριζεν. ὑπεμίμνησκε δὲ ἡμᾶς τὴν Ἡσαΐου γραφὴν τὴν λέγουσαν 'καὶν διὰ πυρὸς διέλθῃς, φλὸξ οὐ κατακαύσει σε.' τὸν ὑμνογράφον ἐμελῴδει ἡμῖν Δαυίδ, λέγοντα 'πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ κύριος.' τὸν Σολομῶντα ἐπαροιμίαζεν ἡμῖν λέγοντα 'ξύλον ζωῆς ἐστὶ πᾶσι τοῖς ποιοῦσιν αὐτοῦ τὸ θέλημα.' τὸν Ἰεζεκιὴλ ἐπιστοποιεῖτο λέγοντα 'εἰ ζήσεται τὰ ὀστᾶ τὰ ξηρὰ ταῦτα;' ᾠδὴν μὲν ἣν ἐδίδαξε Μωϋσῆς οὐκ ἐπελάθετο διδάσκων, τὴν λέγουσαν 'ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω. αὕτη ἡ ζωὴ ὑμῶν καὶ ἡ μακρότης ἡμερῶν.'

ὦ πικρᾶς τῆς τότε ἡμέρας καὶ οὐ πικρᾶς, ὅτε ὁ πικρὸς Ἑλλήνων τύραννος πῦρ πυρὶ σβέσας λέβησιν ὠμοῖς καὶ ζέουσι θυμοῖς, ἀγαγὼν ἐπὶ τὸν καταπέλτην καὶ πάσας τὰς βασάνους αὐτοῦ τοὺς ἑπτὰ παῖδας τῆς Ἀβρααμ-

Digitized by Google

μίτιδος, καὶ τὰς τῶν ὀμμάτων κόρας ἐπήρωσε καὶ γλώσσας ἐξέτεμε καὶ βασάνοις ποικίλαις ἀπέκτεινεν. ὑπὲρ ὧν ἡ θεία δίκη μετῆλθε καὶ μετελεύσεται τὸν ἀλάστορα· οἱ δὲ Ἀβραμιαῖοι παῖδες σὺν τῇ ἀθλοφόρῳ μητρὶ καὶ τῷ γεραιῷ Ἐλεάζαρ τῷ τῶν πατέρων χορῷ συναγελάζονται, ψυχὰς ἁγνὰς καὶ ἀθανάτους ἀπειληφότες παρὰ τοῦ θεοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Digitized by Google

INDEX.

(A. Antiquitates Judaicae. — B. Bellum Judaicum. — C. Contra Apionem. — M. De Maccabaeis. — V. Vita Josephi.)

Aaron A 2 15 2; 3 8 1; 4 4 2 et 7. cf. 20 11.
Abaneth A 3 7 2.
Abaris (Abarim) mons A 4 8 49.
Abartus Aseri f. A 2 7 4.
Abassarus Persa A 11 1 3, 4 4 et 6.
Abba Hecatombaeon A 4 4 7.
Abbarus Tyrius C 1 21.
Abdagases Parthus A 18 9 4.
Abdastratus Tyrius rex C 1 18.
Abdeelus A 1 12 4.
Abdemon Tyrius A 8 5 3.
Abdemonus Tyrius C 1 17 18.
Abdenago v. Azarias.
Abdon A 5 7 15.
Abela urbs Palaest. A 8 13 7.
Abellana urbs Palaest. A 8 12 4.
Abelmachea urbs Palaest. A 7 11 8.
Abelus A 1 2 1.
Abenerus A 6 6 6; 7 1 3—5.
Abennerigus A 20 2 1.
Abesaee A 7 14 3; 8 1 2.
Abesalomus A 7 1 4 et 5, 8—10.
Abesarus urbs Palaest. A 6 13 8.
Abessaeus A 7 1 3, 5 4, 10 1, 11 2, 12 1 et 4.
Abia Achazae uxor A 9 12 3.
Abia Roboami f. A 7 8 5; 8 10 1 et 4, 11 2 et 3.
Abia Samuelis f. A 6 3 2.
Abias Arabs A 20 4 1.
Abiatharus A 6 12 8; 7 5 4, 9 2 et 7, 14 4; 8 1 3.
Abibalus Tyrius A 8 5 3; C 1 17 et 18.
Abida A 8 12 6.
Abiezeres A 5 11 5.
Abigaea A 6 13 7; 7 10 1.
Abila urbs A 4 8 1; 5 1 1; 12 3 3; B 4 7 6.
Abila Lysaniae A 19 5 1.
Abilamarodachus A 10 11 2.
Abimaelus A 1 6 4.
Abimelechus Gararorum rex A 1 12 1, 18 2 et 3.
Abimelechus Gedeonis f. A 5 7 1 et 3—5.
Abimelechus pontifex A 6 12 1, 12 4.
Abinadabus A 8 2 3.
Abiramus A 4 2 2, 3 1; cf. M. 3.
Abisaeus A 6 13 9.
Abitaala A 7 1 4.
Abius A 3 8 1, 8 7.
Abramus A 1 5 5 (cf. 8 3 1), 7 1, 8 1 (cf. B 5 9 4), 8 2 et 3, 10 1—5, 11 1—17.
Abrami domus vicus A 1 7 2.
Absalomus Aristobuli avunculus A 14 4 4.
Absalomus Manahemi sectator B 2 17 9.
Absalomus Mattathiae pater A 13 5 7
Abuma urbs Palaest. A 10 5 2.
Accaron (Acaron) urbs Palaest. A 6 1 2. cf. 5 1 22, 2 4, 3 1; 6 2 3; 9 2 1; 13 4 4.
Ace urbs, postea Ptolemais A 9 14 2.
Acencheres I Aegypti rex C 1 15.
Acencheres II Aegypti rex C 1 15.
Acenchres Aegypti regina C 1 15.
Achabarorum petra B 2 20 6; V 37.
Achabus Amarini f., Israelitarum rex A 8 12—15; 9 5.
Achaia B 1 26 4; 3 1 3.

Digitized by Google

hamon A 8 15 4.
harus A 5 1 10—15.
hazes A 9 12 1 et 3.
hemaeus A 7 12 4.
hiabus A 15 7 8; 17 7 (cf. B 1 33 7) et 10; B 2 4 1, 5 3.
hiala A 9 10 2.
hias pontifex A 6 6 2.
hias vates A 8 7 7, 11 1. cf. 10 4 4.
hiba A 10 3 1.
hilaus A 7 11 8.
hilus A 7 5 4.
hima A 6 13 10.
himanus A 7 11 4.
himas A 7 9 2, 10 4; 10 8 6.
himelechus pontifex v. Abimelechus.
hina A 7 1 4.
hinadabus A 8 2 3.
hitobus A 6 6 2; 8 1 3.
hitophelus A 7 9 2 et 6 et 8.
honius A 11 5 4.
hrathus A 11 6 7.
me A 17 5 7; B 1 32 6, 33 7.
mon A 7 12 1.
ra B 5 4 1; 6 6 3. cf. 1 1 5.
rabatta urbs B 3 3 5.
rabatena toparchia A 12 8 1. B 2 20 4; 3 3 5; 4 9 3 et 9.
tipus v. Arce.
tium urbs B 1 20 1. Actiaca pugna A 15 5 1, 6 1.
usilaus C 1 2 et 3.
a Esavi uxor A 1 18 4.
a Lamechi uxor A 1 2 2.
adus ab Achabo victus A 8 14 et 15; 9 4 4—6. cf. 7 5 2.
adus a Davide victus A 7 5 2.
adus ab Joaso bello lacessitus A 9 8 7.
aeus A 11 5 6.
amus A 1 1—3; 8 3 1.
ar Dystrus A 4 8 49; 11 6 2; 12 10 5.
asa vicus B 1 1 6. A 12 10 5.
dida oppidum A 13 6 4 et 15 2. B 1 9 1.
Aderus Idumaeus A 8 7 6.
Adiabene A 20 2 1—3. B 2 16 4.
Adonias A 7 1 4, 14 4 et 6; 8 1 2—3.
Adonibezecus A 5 2 2.
Adora urbs A 13 9 1. cf. 13 6 4, 15 4.
Adoraim urbs A 8 10 1.
Adoramus A 7 5 4; 8 2 9.
Adoreus urbs B 1 8 4.
Adramelechus A 10 1 5.
Adrazarus A 7 5 1. cf. 8 7 6.
Adria s. mare Adriaticum V 3.
Adullana urbs A 6 12 3.
adytum tabernaculi A 3 6 4. templi Hierosol. A 8 3 3.
Aebutius V 24.
Aegae urbs A 11 8 1.
Aegistha A 7 14 4.
Aegla A 7 1 4.
Aegyptus, Aegyptii A 1 5 2, 8 3; 2 10 et 14, 15 3; 8 6 1 et 2, 7 et 9; 9 13 1; 10 1 et 5—7, 9 5; 11 2 2; 12 1. B 2 16 4; 4 10 5. C 1 6, 12—15, 22, 24; 2 11.
Aelana A 8 6 4.
Aelius Gallus A 15 9 3.
Aemilia tribus A 14 10 19.
Aemilius Regulus A 19 1 3.
Aemilius Secundus B 2 19 17.
Aeneas Antipatri f. A 14 10 22.
Aeoles A 1 6 1.
Aerines A 2 7 4.
Aesomia (?) tribus A 14 10 19.
Aesopus A 15 3 2.
Aeta castellum A 5 8 8.
Aethiopia Aegypto contermina A 1 6 2; 2 10 1. B 2 16 4. C 1 22. cf. A 8 10 3.
Aezelus A 1 6 4.
Africa A 1 15.
Agaba urbs A 13 16 5.
Agagus A 6 7 2.
Agalla urbs A 14 1 4.
Agara A 1 10 4.
Agatharchides Cnidius A 12 1. C 1 22.

Digitized by Google

Agathocles A 14 8 5.
Agesilaus B 2 16 4.
Aggaeus B 6 4 8.
Aggaeus rates A 11 4 6, 4 7.
Aggitha A 7 1 4.
M. Agrippa A 14 16 4; 15 10 2; 16 2 1—3, 6 4: cf. 12 3 2.
Agrippa Aristobuli f. ex Salome A 18 5 4.
Agrippa Felicis f. A 20 7 2.
Agrippa Herodis amicus A 15 9 3, 10 3. B 1 20 4, 21 1.
Agrippa Josephi f. V 1 76.
Agrippa Magnus B 1 28 1; 2 9 6, 11 1 et 5—6. A 18 5 4, 6 1—7 et 10—11, 7 2; 19 4 1, 5 1, 6 1 et 3, 7 3 et 5, 8 1—2, 9 1.
Agrippa Magni f. A 18 5 4; 19 9 2; 20 1 1, 5 2, 6 3, 7 1, 8 4 et 11, 9 4 et 5. B 2 12 8, 13 2, 15 1, 16 3, 17 1 et 4, 19 3; 3 4 2, 9 7; 4 1 1 et 43, 9 2. V 65 et 74: cf. C 1 9.
Agrippeum B 1 21 1.
Agrippias v. Anthedon.
Agrippina A 20 8 1 et 2.
Agrippinus A 20 7 3.
Ahion urbs A 8 12 4.
Aicamus A 10 9 1.
Ailath urbs A 9 12 1.
Aina urbs A 5 1 12.
Alani B 8 7 4.
Albani A 18 4 4.
Albinus A 20 9 1 et 2 et 5. B 2 14 1.
Alcimus s. Jacimus A 12 9 7, 10 1 et 3—4 et 6.
Alcyon A 19 1 20.
Alexander Aegypti praefectus v. Tiberius.
Alexander Alexandri f. B 1 28 1. A 18 5 4.
Alexander M. Antonii amicus A 15 6 7. B 1 20 3.
Alexander Aristobuli f. A 14 4 4, 5 2, 6 2. iussu Pompeii a Scipione interficitur 7 4. B 1 8 4 et 7, 9 2.
Alexander Balas A 13 2 1 et 4, 4 1 et 6, 5 7 et 8.
Alexander Cyrenensis B 7 11 12.
Alexander Dorothei f. A 12 8 5.
Alexander Herodis M. f. A 15 10 1; 16 1 2, 3 2. 4 1 et 4, 7 4, 8 1—2, 10 1—2 et 5. 11 2 et 6—7; 17 1 2; 18 5 4. B 1 23 1 et 3, 24 7—8, 25 1, 26 1—2 et 4, 27 2 et 6, 28 2.
Alexander Jannaeus A 13 11 1, 12 1—2 et 4—5, 13 3—5, 4 1—2, 15 1—3 et 5. B 1 3 1, 4 2—4 et 6—8.
Alexander Iasonis f. A 12 8 5.
Alexander Iatro B 2 12 4.
Alexander Lysimachus A 18 6 3, 8 1; 19 5 1.
Alexander Magnus A 2 16 5; 11 8 1 et 3—7; 12 9 1. C 1 22. 2 4.
Alexander Phasaeli f. A 18 5 4.
Alexander Polyhistor A 1 15.
Alexander Theodori f. A 14 10 10 et 12.
Alexander Tigranis f. A 18 5 4.
Alexander Zebina A 13 9 3.
Alexandra Alexandri Jannaei uxor A 12 16 1—2 et 4—5. B 1 5 1—4.
Alexandra Aristobuli fil. A 14 7 4. B 1 9 2.
Alexandra Aristobuli uxor A 13 16 1. B 1 4 1.
Alexandra Hyrcani f. A 15 2 5 et 7, 3 2 et 5 et 9, 6 2, 7 5 et 8.
Alexandra Phasaeli filia, Herodis M. neptis nubit Timio Cyprio B 18 3 4.
Alexandria urbs Aegypti B 2 16 4; 4 10 5. — Judaei Alexandrini B 2 18 7; 7 10 1. A 13 3 4; 14 1 2; 18 8 1; 19 5 2. C 2 4—6.
Alexandrina palus B 3 10 8.
Alexandrium castellum Judaeae A 13 16 3; 14 1 4, 5 4, 15 4. B 1 6 5, 8 3, 16 3.
Alexas Herodis M. amicus ejus sororem Salomen uxorem ducit A 17 1 1, 6 5, 8 2. B 1 28 6, 33 6 et 8.
Alexias Seleias Antipatri gener A 15 5 4.
Alexis B 6 1 8, 2 6.

Digitized by Google

Alibama Esavi uxor A 1 18 4.
Alisphragmuthosis Aegypti rex C1 14.
Aliturus mimus V 2.
Alpes B 2 16 4.
Aluras vicus Judaeae B 4 9 6.
Amadathes Amanis pater A 11 6 5.
Amalecitae, populus Arabiae Petraeae, Gobolitidem et Petram incolunt A 3 21 (cf. 2 12) et 2; 4 8 44; 5 6 1; 6 7, 14 6; 9 9 1.
Amalecitis regio Arabiae Petraeae A 2 1 2.
Amalecus Eliphazae f. A 2 1 2.
Amanes Amalecita A 6 5, 6, 10, 11.
Amanus mons A 1 6 1, 6 2.
Amanus puer nobilis A 8 15 4.
Amaraei filii A 13 1 2.
Amarames pater Moysis A 2 9 3.
Amaranus Peraeus A 20 1 1.
Amaraspis Assyriorum dux A 1 9.
Amarinus Israelitarum rex A 8 12 5.
Amasias Achazae regis f. A 9 12 1.
Amasias Judaeorum rex A 9 9 1—3.
Amasias praetor urbanus A 10 4 1.
Amasias sacerdos A 9 1 1.
Amatha v. Amathus.
Amathe s. Amathine urbs A 1 6 2; 3 14 2; 5 1 22; 7 5 4; 8 6 3.
Amathine v. Amathe.
Amathitis regio A 13 5 10.
Amathius Chanaani f. A 1 6 2.
Amathus Amatha et Betharamathum castellum A 9 10 1; 10 5 2; 13 13 3; 14 5 4; 17 10 6. B 1 4 3, 8 5; 2 4 2.
Ambivius A 18 2 2.
Amenophides tres Aegypti reges C 1 15.
Amessa Abesalomi exercitus dux A 7 10 1, 11 1 et 6: cf. 15 1.
Amesses Aegypti regina C 1 15.
Aminadabus Davidis frater A 6 8 1.
Aminadabus sacerdos A 6 1 4; 7 4 2.
Aminadabus Sauli f. A 6 14 1.
Amitala Josiae uxor A 10 5 2.
Ammanitae A 1 11 5; 5 7 7; 6 5 1; 9 10 3, 11 2.
Ammanitis A 4 5 3.
Ammanus Loti f. A 1 11 5.
Ammata oppidum A 7 1 3.
Ammaus v. Emmaus.
Ammonius A 13 4 6.
Amnon (Amnus) Davidis f. A 7 1 4, 3 3, 8 1, 9 2.
Amoritis regio A 4 5, 7 3.
Amorrhaei pop. A 1 6 2; 4 5.
Amorrhaeus Chanaani f. A 1 6 2.
Amydalon piscina B 5 11 4.
Amyrus Pharesi f. A 2 7 4.
Anacharis Assyriorum dux A 10 1 1.
Anacharsis Scytha C 2 37.
Ananelus homo ignobilis, pontifex A 15 2 4, 3 1 et 3.
Ananiae duo B 4 4 1.
Ananias Aegyptiorum dux A 13 10 4, 13 1, 13 2.
Ananias ad Darium A 11 4 8.
Ananias Masambali f. pontifex a Simone Giorae interficitur B 5 13 1.
Ananias mercator A 20 2 3.
Ananias Pharisaeus V 39—53, 56, 61, 64. B 2 21 7.
Ananias pontifex A 20 5 2, 6 2, 9 2. B 2 12 6, 17 6 et 9.
Ananias Sedraches A 10 10 1 et 5. M. 16.
Anani monumentum B 5 12 2.
Ananus Agani f. pontifex A 20 9 1.
Ananus Ananiae pontif. f. A 20 6 2. B 2 12 6.
Ananus Bamadi f. B 5 13 1; 6 4 2.
Ananus Jonathae f. B 2 19 5.
Ananus pontifex B 2 20 1 et 3; 4 3 9 et 12 et 14. 4 3, 5 2. V 38.
Ananus Sethi f. pontifex A 18 2 1 et 2; 20 9 1.
Anatkoth opp. A 10 7 3.
Anaxagoras C 2 16 et 37.
Anchus Gittensium rex A 6 12 2, 13 10.
Ancyra urbs A 16 6 2.
Andreas Ptolemaei Philad. satellitum praefectus A 12 2 2; cf. C 2 4.
Andromachus A 16 8 3.

Digitized by Google

Andromedae vincula B 3 9 3.
Andronicus Messalami f. A 13 3 4.
Anilaeus v. Asinaeus.
Anna mater Samuelis A 5 10 2 sq.
Anna urbs A 5 1 15.
Annaeus Taricheata B 2 21 3.
Annibas Peraeus A 20 1 1.
Annitae A 5 1 12—16.
L. Annius tribun. milit. B 4 9 1.
annus jubilaeus A 3 12 3. cf. Jobelus.
annus magnus A 1 3 9.
annus sabbaticus A 3 12 3; 14 16 2; 15 1 1.
Anocha urbs A 1 2 2.
Anochus Cais f. A 1 2 2.
Anochus Jaredis f. A 1 3 4.
Anochus Madianis f. A 1 15.
Anochus Rubeli f. A 2 7 4.
Antaeus A 1 15.
Anthedon urbs A 13 3 4; 14 5 3; 15 7 3. B 1 4 2, 8 4, 21 8; 2 18 1.
Antejus A 19 1 15.
Antejus Anteji f. A 19 1 15.
Antigonus A 12 1 1, 2 10.
Antigonus Aristobuli f. A 14 4 4, 6 1, 8 3, 12 1, 13 3 et 10, 14 6, 15 2 et 10 et 12, 16 1 et 4; 15 1 2. B 1 8 6, 10 3, 12 2, 13 1 et 9, 15 1 et 5, 17 1 et 5, 18 1 et 8.
Antigonus Hyrcani f. A 13 10 2, 11 1—2. B 1 2 7, 3 1—2.
Antiochi vallis A 13 15 3. B 1 4 8.
Antiochia metropolis Syriae C 2 4. A 12 9 7, 10 2; 13 4 3, 4 9, 5 8; 16 5 4; 17 2 1. B 1 21 11. Judaei Antiocheni A 12 3 1; 14 12 6. Antiocheni A 13 4 7, 5 3. B 2 18 5; 7 3 3, 5 2.
Antiochia Mygdonia A 20 3 4.
Antiochus II Deus, Syriae rex A 12 3 2.
Antiochus III Magnus A 12 3 3—4.
Antiochus IV Epiphanes A 12 4 11, 5 1—2 et 4—5, 7 1—3, 9 1. B 1 1 1. C 2 7. M 4.
Antiochus V Eupator A 12 7 2, 9 2 et 4 et 7, 10 1. B 1 1 5.
Antiochus VI Eutheus A 13 5 1 et 3—4, 7 1.
Antiochus VII Soter A 13 7 1—3, 8 2—4. B 1 2 2 et 5.
Antiochus VIII Grypus A 13 9 3, 10 1, 13 4. B 1 2 7.
Antiochus IX Cyzicenus A 13 10 1—2, 13 4, 10 2, 13 4.
Antiochus X Eusebes A 12 13 4.
Antiochus XI A 13 13 4.
Antiochus XII A 13 15 1. B 1 4 7.
Antiochus rex Commagenae A 14 15 9. B 1 16 7.
Antiochus rex Commagenae A 18 2 5.
Antiochus rex Commagenae A 18 5 4; 19 5 1, 8 1, 9 1. B 3 42; 5 11 3; 7 7 1 et 3.
Antiochus Epiphanes Antiochi Commagenae regis f. B 5 11 3; 7 7 1—2. cf. A 19 9 1; 20 7 1.
Antiochus Judaeus Antiochensis B 7 3 3 sq.
Antiochus rerum Sicularum scriptor C 1 3.
Antipas Agrippae regis cognatus B 2 17 4.
Antipas Herodes A 17 1 3, 6 1, 8 1. 9 4, 11 4; 18 2 1 et 3, 4 5, 5 1—2 et 4, 6 2, 7 1. B 1 28 4. 32 7. 33 7; 2 2 3, 6 3, 9 1 et 6.
Antipas Judaeus nobilis B 4 3 4.
Antipater prius Antipas A 14 1 3—4, 3 2, 5 1, 7 3, 8 1—5, 9 1 et 3, 11 1 et 2 et 4. B 1 6 2. 8 1 et 9, 9 3, 10 1 et 3—4 et 6 et 9—10, 11 2 et 4.
Antipater Herodis M. f. A 16 3 3, 4 1 et 5—6, 7 2, 8 1 10 1; 17 1 1—2, 2 4, 3 1, 4 1, 5 1 et 7. B 1 23 1 et 5, 24 1 et 8. 26 2. 28 1, 29 1—2, 30 1, 31 5, 32 5, 33 7.
Antipater Jasonis fil. 13 5 8.

Digitized by Google

Antipater Phasaeli fil. A 18 5 4.
Antipater Salomae Herodis M. sororis f. A 17 9 5; 18 5 4. B 2 2 5.
Antipater Samaritanus A 17 4 2. B 1 30 5.
Antipatris urbs A 16 5 2. B 1 4 7, 21 9; 2 19 1 et 9; 4 8 1. v. Capharsaba et Chabarzaha.
Antiphilus Antipatri Herodis M. f. amicus A 17 4 2, 5 7. B 1 30 5, 32 6.
Antonia arx Hierosolymorum A 13 11 2; 15 9 4, 11 4; 18 4 3. B 1 3 3, 5 4, 21 1; 2 15 6, 165, 177; 5 5 8.
Antonia Claudii Caesaris fil. A 20 8 1.
Antonia Drusi uxor A 18 6 1, 6 4—6.
Antonius Ascaloni praef. B 3 2 1 sqq.
Antonius centurio B 3 7 35.
C. Antonius consul A 14 4 3.
Iulius Antonius procons. A 16 6 7.
L. Antonius propraetor A 14 10 17.
M. Antonius A 14 5 3, 10 9, 12 2—3, 14 3, 15 5 et 8; 15 1 2, 3 5 et 8, 4 1 et 3, 5 1, 6 1. B 1 8 3, 12 4—5, 14 3—4, 16 4 et 7, 18 4—5, 16 1, 20 1.
M. Antonius Julianus B 6, 4 3.
Antonius Primus B 4 11 2—3.
Antonius Silo B 3 10 3.
Anuath Barceos vicus A 3 3 5.
Anubis A 18 2 4.
Apachnas Aegypti rex C 1 14.
Apame Rabezaci Thaumasii f. A 11 3 5.
Apamea urbs A 13 7 2; 14 3 2. Apameni B 2 18 5: cf. A 14 11 1. B 1 10 10.
Apelles Antiochi Epiphanis dux A 12 6 2.
Apheca urbs A 5 11 1; 8 14 4.
Apheci turris B 2 19 1.
Apheras Abrami f. A 1 15.
Apherima urbs A 13 4 9.
Aphra urbs A 1 15.
Aphranades Semae f. A 1 6 4.
Aphtha vicus B 4 3 8.
Apion A 18 8 1; C 2 1 et 3; 2 2—14.
Apobaterion locus Armeniae A 1 3 5.
Apollinis templum A 17 11 1; B 2, 6 1.
Apollodorus C 2 7.
Apollodotus Gazaeorum dux A 13 13 1.
Apollonia urbs A 13 15 4; B 1 8 4.
Apollonius Alexandri f. A 13 3 2; 14 10 22.
Apollonius Daus A 13 4 3 sqq.
Apollonius Molo C 2 2, 7, 14, 33, 36, 37.
Apollonius Samariae praef. A 12 5 5; 7 1. cf. M 4.
Aponius senator A 19 4 5.
Apophis rex Aegypti C 1 14.
Apsanes Judaeorum dux A 5 7 13.
Aquila unus ex Caligulae interfectoribus A 19 1 14.
ara suffitus A 3 6 8.
ara templi Hierosolymitani B 5 5 6; C 1 22.
Arabes A 1 12 3; 5 6 1; 8 15 2; 14 5 1; 17 4 1. B 1 19 1.
Arabia A 14 1 4; Arabia Felix A 1 15.
Aradius Chanaani f. A 1 6 2.
Aradus Benjaminis f. A 2 7 4.
Aradus insula A 6 2; urbs A 13 13 4; Aradii A 14 12 6.
Aramaei Syri A 1 6 4.
Aramatha (Ramatha, Arimanus) urbs A 8 15 3 sqq.; 9 16 1; cf. 4 7 4.
Aramus Semae f. A 1 6 4.
Aranes Tharri f. A 1 6 5.
Arasea templum Assyriorum A 10 1 5.
Arases rex Syriae et Damasci A 9 12 1 et 3.
Arbela vicus A 12 11 1; 14 15 4; B 1 16 2; V 60.

Digitized by Google

Arbelorum spelunca V 37.
arca Noei A 1 3 2 et 5. C 1 19.
arca sacra A 3 6 5; 5 11 2; 6 1 1 et 3—4; 7 4 2. B 5 3 4.
Arcades C 1 4.
Arce urbs Arabiae A 4 4 7.
Arce urbs in Libano sita A 1 6 2.
Arce (Arcaea, Actipus) urbs Phoeniciae A 5 1 22; 8 2 3; B 5 1.
Archelais vicus A 17 13 1; 18 2 2; B 2 9 1.
Archelaus Archelai procurator A 17 13 2.
Archelaus Berenices Aegypti reginae maritus A 14 6 2.
Archelaus Cappadocum rex A 16 1 2, 3 6, 4 6, 8 6, 10 1 et 7. B 1 23 4, 25 1, 26 4, 27 2.
Archelaus (Julius) Chelciae f. A 19 9 1; 20 7 1 et 3. C 1 9.
Archelaus Herodis f. A 17 1 3, 4 3, 8 1—2 et 4, 9 1 et 3 et 4, 11 2 et 4, 13 1—3. B 1 28 4, 31 1, 33 7 et 9; 2 1 1—2, 2 1 et 3, 6 2, 7 3.
Archelaus Magadati f. B 6 4 2.
Ardalas B 7 7 1.
Areceme urbs A 7 7 1.
Aremmantus Babyloniorum dux A 10 8 2.
Aretas rex Arabiae A 13 13 3, 15 2; 14 14. B 1 4 8, 6 2—3, 6 3, 8 1.
Aretas Petraeus A 16 9 4, 10 9; 17 3 2, 10 9; 18 5 1—2. B 1 29 3; 2 5 1.
Arethusa urbs A 14 4 4. B 1 7 7.
Areus rex Lacedaemoniorum A 12 4 10.
Argos, Argivi C 1 16.
Aria (Ariana) regio A 1 6 4.
Aridei (Arithaei) pop. A 5 1 23.
Ariela Gadis f. A 2 7 4.
aries Romanus B 3 7 19.
Arimanus urbs A 4 7 4.
Arion Josephi Tobiae procurator A 12 4 7.
Ariochus Babylonius A 10 10 3.
Aristeas Ptolemaei Philad. satellitum praefectus C 2 4.
Aristeus A 12 2 2 sqq.
Aristeus a Simone Gior. interfectus B 5 13 1.
Aristo A 19 8 3.
Aristobulus Alexandri f. A 15 2 5. 3 1 et 3.
Aristobulus Alexandri Jannaei f. A 13 16 1—4; 14 1 2—3, 2 3, 3 1—4, 4 1 et 5, 7 4. B 1 5 2—3, 6 1—2 et 4—6, 7 1 et 7, 8 6, 9 1.
Aristobulus Amyntae f. A 14 10 22.
Aristobulus Aristobuli f. A 18, 5 4, 6 3, 8 4. B. 2 11 6.
Aristobulus Chalcidicae rex B 7 7 1.
Aristobulus Herodis M. f. A 15. 10 1; 16 1 2, 3 2 3, 4 1, 7 3, 10 5, 11 2 et 6—7; 17 1 2; 18 5 4. B 1 23 1 et 3, 26 4, 27 2 et 6. 28 2.
Aristobulus Herodis Agrippae M. fratris f. A 18 5 4; 20 5 2, 8 4; B 2 11 6.
Aristobulus Hyrcani f. A 13 10 2. 11 1—3. B 1 2 7, 3 1—2 et 6.
aristocratia A 4 8 17.
Aristophanes C 1 23.
Aristoteles C 1 22.
Ariuchus Assyriorum dux A 1 9.
Arius centurio A 17 10 7. B 2 4 3, 5 1.
Armais Sethosis frater C 1 15. cf. Danaus.
Armais Aegypti rex C 1 15.
Armatha (Rhamatha, Ramathe, Armatho) urbs A 5 10 2; 6 4 1, 9 4, 13 5; 8 12 3.
Armeniae regnum condit Ulus Armi f. A 1 3 5, 6 4; 18 2 4, 5 4; 20 8 4. B 2 11 6, 13 2; 7 7 4.
Armesses Aegypti rex C 1 15.
Arno fluv. A 4 5 1.
Arophaeus Maraeothi f. A 8 1 3.

Digitized by Google

.rpha vicus B 3 3 5.
.rphaxades Semae f. Chananaeorum princeps A 1 6 4.
.rruntius (Euaristus) A 19 1 18.
'. Arruntius A 19 1 14.
.rsaces Parthorum rex A 13 5 11, 8 4.
.rsacidae A 18 2 4.
.rsamus castellum A 20 4, 1.
.rsinoe Cleopatrae soror ab hac interficitur A 14 4 1.
.rsinoe Ptolemaei Philad. uxor A 12 2 5.
.rtabanus III rex Mediae A 18 2 4, 4 4 et 5; 18 9 3; 20 2 3, 3 1—4.
.rtabazes rex Armeniae A 15 4 3. B 1 19 5.
.rtaxerxes I rex Persarum A 11 6 1—5 et 9—13.
.rtaxias Parthus A 15 4 3. B 1 19 5.
.rtemon prytanis Ephesiorum B 14 10 12.
.rucaei pop. A 5 1 22.
.rucaeus Chanaani f. A 1 6 2.
.rura locus A 6 12 4.
.rus vicus A 17 10 9. B 2 5 1.
.sabelus Benjaminis f. A 2 7 4.
.saelus Davidis nepos A 8 1 3.
.samon mons B 2 18 11.
.samonaei A 14 16 4.
.sanus A 8 11 3—4, 12 1—2.
.saphi filii A 11 4 2.
.scalon urbs A 5 1 22, 2 4, 3 1; 6 1 2; 12 4 5, 5 5 et 10; 14 18 3; 17 11 5. B 1 21 11; 2 6 3, 18 1 et 5; 3 2 1.
.schanaxi Rhegini A 1 6 1.
.schanaxus Gomari f. A 1 6 1.
.schanes eunuchus A 10 10 2.
.senetha Josephi uxor A 2 6 1.
.sennaeus Chanaani f. A 1 6 2.
.serus Jacobi f. A 1 19 8; 2 7 4. Aseri tribus 5 1 22.
.serymus Tyriorum rex C 1 18.
.sinaeus et Anilaeus Judaei Babylonii A 18 9.
Asinius A 14 8 3.
C. Asinius Pollio consul A 14 14 5.
Asochaeus rex Aegypti B 6 10.
Asochis oppidum A 13 12 4. B 1 4 2; V 41, 68.
Asophos urbs A 13 12 5.
Asor campus A 12 5 7.
Asorus urbs A 5 5 1, 5 4; 8 6 1.
Asprenas senator A 19 1 3, 1 15.
Asphaltites lacus B 1 33 5; 3 10 7; 4 8 4. A 4 5 1; 9 10 1; 17 6 5.
Asphar lacus B 13 1 2.
Assarachoddas Assyriorum rex A 10 1 5.
Assaron Rubeli f. A 2 7 4.
assaron mensura A 3 6 6; 8 3 8.
Assis Aegyptiorum rex C 1 14.
Assuras Semae f. A 1 6 4.
Assuris Dadanis f. A 1 15.
Assyrii A 1 6 4, 9; 9 3 2, 11 1, 12 3, 14 1—2; 10 1, 2 2, 5 1.
Assyriorum castra B 5 7 3, 12 2.
Astabari pop. Arab. A 1 6 2.
Astabora fluv. A 2 10 2.
Astapus fluv. A 2 10 2.
Astartae templum A 8 5 3. C 1 1 18.
Astartus Syriorum rex C 1 18.
Astyages pater Darii A 10 11 4.
asyla a Moyse constituta A 4 6 4.
Athenienses B 1 21 11; 2 16 4. A 14 8 5. C 2 16, 37.
Athenion Cleopatrae dux A 15 5 1. B 1 19 2.
Athenion Ptolemaei Euergetae amicus A 12 4 1 sqq.
Athone urbs A 14 1 4.
Athronges (Athrongaeus) pastor A 17 10 7. B 2 4 3.
Atratinus Romanus A 14 14 4. B 1 14 4.
Atthidum scriptores C 1 3.
Auaris urbs C 1 14 et 26.
auctores ab Josepho laudati: Acusilaus, Agatharchides, Alexander Polyhistor, Anaxagoras, Apion, Apollodorus, Apollonius Molo,

Digitized by Google

Aristophanes, Aristoteles, Asinius, Atthidum scriptores, Berosus, Cadmus, Callias, Castor, Chaeremon, Choerilus, Clearchus, Cleodemus, Conon, Demetrius Phalerensis, Diagoras, Diocles, Dius, Ephorus, Euemerus, Eupolemus, Hecataeus, Hellanicus, Hermippus, Hermogenes, Herodotus, Hesiodus, Hestiaeus, Hieronymus, Homerus, Justus, Livius, Lysimachus, Malchus, Manetho, Megasthenes, Menedemus, Musaeus, Mochus, Nicolaus, Pherecydes, Philistus, Philo, Philostephanus, Philostratus, Plato, Polybius, Polycrates, Posidonius, Protagoras, Pythagoras, Socrates, Stoici, Strabo, Thales, Theodectes, Theodotus, Theophilus, Theophrastus, Theopompus, Thucydides, Timaeus, Timagenes, Tripolitici auctor, Zopyrion.

Angis Gadis f. A 2 7 4.

Auranitis regio A 15 10 1; 17 11 4. B 1 20 4; 2 6 3.

aurea terra A 8 6 4, 7 1.

Auza urbs A 8 13 2.

Axioramus Isi f. A 10 8 6.

Aza mons A 12 11 2.

Azabon Gadis f. A 2 7 4.

Azaelus A 8 13 7; 9 4 6, 8 1 et 4—7.

Azarias (Abdenachus) A 10 10 1 et 5. M 16.

Azarias Achimae f. A 10 8 6.

Azarias Judaeorum dux B 12 8 2 et 6.

Azarias vates A 8 12 2.

Azavus Nachorae f. A 1 6 5.

Azeca urbs A 6 9 1; 8 10 1.

Azermotes Juctae f. A 1 6 4.

Azicus Emesorum rex A 20 7 1 et 2, 8 4.

Azolus urbs A 5 1 22, 2 4; 6 1 1 et 2; 12 7 4, 8 6; 13 4 4; 14 4 4, 5 3; 17 8 1. B 1 7 7, 8 4; 4 3 2.

Azora urbs A 9 11 1.

azymorum festum A 2 15 1; 3 11 5; 9 13 2; 10 4 5. B 4 7 2; 6 9 3.

Baal Tyriorum deus A 9 6 6.

Baal Tyriorum rex C 1 21.

Baalis Ammanitarum rex A 10 9 2, 9 5.

baaras planta B 7 6 3.

Baaras vallis B 7 6 3.

Babae filii A 15 7 10.

babel vox Hebraica A 1 4 3.

Babylon urbs Aegypti A 2 15 1.

Babylon urbs Chaldaeae A 1 4 3; 10 11 1 et 4. C 1 19, 20. turris Babylonia B 1 4 3.

Babylonia, Babylonii C 1 19 sq. A 10 2 2, 3 2, 6 1, 11 2 et 4; 18 9—1 Judaei in Babylonia et Mesopotamia habitantes 18 9 1 et 8—9.

Baca vicus B 3 3 1.

Bachares Benjaminis f. A 2 7 4.

Bacchides ab Antiocho Epiph. Hierosolymis praefectus B 1 1 2—3.

Bacchides a Demetrio contra Judam Maccabaeum missus A 12 10 2, 11; 13 1.

Bactriani A 1 6 4; 20 4 2.

Bachures vicus A 7 9 7.

Badacrus Judaeorum dux A 9 6 3.

Badezorus Tyriorum rex C 1 18.

Baeon rex Aegypti C 1 14.

Bagathous Persa A 11 6 4, 6 10.

Bagoas eunuchus A 17 2 4.

Bagoses Artaxerxis dux A 11 7 1.

Bajae oppidum A 18 7 1.

Balacus Moabitarum rex A 4 6 1 sqq.

Baladas Babyloniorum rex A 10 2 2.

Balamus vates A 4 6 2—3 et 6 6.

Balanea urbs B 1 21 12.

Balatorus Tyriorum rex C 1 21.

Baleni Sodomitarum tribus A 1 9.

Baleth urbs A 8 6 1.

Balla Jacobi concubina A 1 19 8.

Ballas Sodomitarum rex A 1 9.

Baltasarus rex Babyloniae A 10 11 2 et 4.

Digitized by Google

Baltasarus v. Danielus.
Banacates provinciae maritimae praefectus A 8 2 3.
Banajas Achili f. A 8 2 3.
Banajas Joadae f. A 7 5 4, 11 8, 12 4, 14 4; 8 1 3—4.
Banaothas a Davide morte mulctatus A 7 2 1.
Banus eremita V 2.
Barachias A 9 12 2.
Baracus A 5 5.
Bardanes Parthorum rex A 3 4.
Baris arx Hierosolymorum A 15 11 4. cf. Antonia.
Baris Aseri f. A 2 7 4.
Baris mons A 1 3 6.
Barnabazus A 11 6 4.
Barsas Sodomitarum rex A 1 9.
Barsube urbs A 6 3 2.
Baruchus Hieremiae scriba A 10 6 2, 9 1.
Barzapharnes Parthorum satrapa A 14 13 3. B 1 13 1.
Basanes Mâcheli f. A 8 11 4.
Basara urbs V 24.
Basca urbs A 13 6 5.
Baselus torrens A 6 14 6.
Basemmatha Esavi uxor A 1 18 19.
Basima Solomonis fil. A 8 2 3.
Bassus v. Ventidius.
Bassus (Caecilius) A 14 11 1—2. B 1 10 10 et 11 1.
Bassus (Lucilius) B 7 6 1 et 6, 8 1.
Batanaea (Bataneas) A 4 7 5; 9 8 1; 15 10 1; 17 2 1, 8 1, 11 4. B 1 20 4; 2 6 3.
Bathuelus Nachorae f. A 1 6 5.
Bathyllus Antipatri Herodis M. filii libertus A 17 4 3. B 1 31 1.
Bathyra urbs Batanaeae A 17 2 2.
Batus mensura A 8 2 9.
Bauxus Nachorae f. A 1 6 5.
Bebemeses Gazae urbis praef. A 11 8 3.
Bedriacum oppidum B 4 9 7.
Beersabe (Beethsabe) Uriae uxor A 7 7 1 et 2 et 4, 15 4; 8 1 2.
Beethsabe v. Beersabe.
Belaeus (Belus) fluv. B 2 10 2.
Belezarus Tyriorum rex C 1 18.
Belus Tyriorum deus A 8 13 1; 10 11 1. C 1 22.
Belsemus Persa A 11 2 1.
Belsephon urbs Aegypti A 2 15 1.
Belsephon urbs Judaeae A 7 8 2.
Bemeselis urbs B 1 4 6.
Benjamin Jacobi f. A 1 21 3; 2 6 5, 7 4.
Benjaminis tribus A 5 1 22, 2 5 et 10—12.
Berenice Alexandri Cyrenensis uxor B 7 11 2.
Berenice Agrippae M. fil. A 18 5 4; 19 5 1; 20 7 3. B 2 11 6, 15 1, 16 1, 17 6. cf. V 11, 24, 65.
Berenice Julii Archelai ex Mariamne filia A 20 7 1.
Berenice Salomae f., Aristobuli Herodis M. filii uxor A 16 1 2, 7 3; 17 1 1; 18 6 1 et 3. B 1 28 1.
Berenice urbs A 8 6 4.
Berenicianus A 20 5 2. B 2 11 6.
Beroea urbs A 12 9 7; 13 14 3.
Berosus Chaldaeus C 1 19 et 20. A 1 3 6 et 9, 7 2; 10 1 4, 2 2, 11 1.
Berotha oppidum A 5 1 18.
Berşabee (Bersabe, Bersobe) B 2 20 6; 3 3 1; V 37.
Bersubae puteus A 1 12 1.
Bersubee urbs A 8 13 7.
Berytus urbs B 1 21 11, 27 2; 2 5 1; 7 3 1. A 16 11 2; 17 10 9; 19 7 5; 20 9 4.
Berzelaeus Galadita A 7 9 8, 11 4.
Besara (Basara) urbs V 24.
Beseleelus Uſi f. A 3 6 1, 8 4.
Besimoth oppidum B 4 7 6.
Besira urbs A 7 1 5.
Betaris vicus B 4 8 1.
Betchora (Betachora) urbs A 8 6 1.
Bethalage vicus A 13 1 5.

Digitized by Google

Betharamathum urbs B 2 4 2. vide Amathus.
Betharamphta urbs A 18 2 1. B 2 9 1.
Bethel (Bethela, Bethele, Bethella) urbs A 1 19 3, 21 2; 5 2 6, 2 9; 8 8 4, 11 3; 13 1 3. B 4 9 8.
Bethennabris vicus B 4 7 4.
Bethezob vicus B 3 4.
Bethleem (Bethleema, Bethlema, Bethleme) urbs 5 2 8, 7 13, 9 2; 6 8 1; 7 1 3; 8 10 1.
Bethleptephorum toparchia B 4 8 1.
Bethmaus vicus V 12.
Bethoma urbs A 13 14 2.
Bethoron (Bethora) A 5 1 17; 12 7 1, 10 5; 13 1 3. B 2 12 2, 19 1, 19 8.
Bethsaida urbs A 18 2 1.
Bethsame vicus A 6 1 3, 1 4.
Bethsana (Bethsan, Bethsa) urbs A 5 1 22; 6 14 3; 12 8 5; 13 6 1. v. Scythopolis.
Bethsemera (?) locus A 9 9 1.
Bethso locus B 5 4 2.
Bethzetho vicus A 12 11 1.
Bethsura (Bethsur) urbs A 8 10 1; 12 7 5, 8 3, 9 4, 9 5; 13 5 6. B 1 1 5.
Bethzacharia locus A 12 9 4. B 1 1 5.
Bettaea urbs A 7 5 4.
Bezeca urbs A 5 2 2.
Bezedel vicus B 3 2 3.
Bezetha sive Caenopolis B 2 15 5, 19 4; 5 4 2, 5 8.
Bithyni B 2 16 4.
bitumen B 4 8 4.
Boaz A 8 3 4.
Boazus A 5 9 2—3.
Bobelon Darii dux A 11 4 8.
Bocchoris Aegyptiorum rex C 1 34.
Boccias Josephi f. A 8 1 3.
Boccus Abiezerae f. A 5 11 5.
Boeotus archon Deliorum A 14 10 14.
Bolosor Benjaminis f. A 2 7 4.
Borcaeus B 2 19 3.
Borsippus urbs C 1 20.
Boscethi urbs A 10 4 1.
Bosora (Bosor) urbs A 8 3.
Bosporus Thracius A 16 3 2.
Bosporani B 2 16 4.
Botrys urbs A 8 13 2.
bovis aureae templum B 4 1 1.
Britanni B 2 16 4.
Britannicus A 20 8 1 sq.
Brixellum oppidum B 4 9 9.
Brocchus senator A 19 3 4.
Brundusium urbs A 14 14 3. B 1 14 3.
Brutus A 14 11 2. B 1 11 1.
Bubastis A 13 3 1, 3 2.
Bubastita fluv. C 1 14.
buccinae A 3 12 6.
Burrus A 20 8 2 et 9.
Byblus urbs B 1 21 11.
Byzantium urbs A 16 2 2.

Caathus Levi f. A 2 7 4.
Cabrothaba, locus deserti, unde nomen habeat A 3 13 1.
Cadmus Milesius quando vixerit C 1 2.
Caecinna Vitellii dux cum Valente Othonem vincit B 4 9 9. ad Vespasiani partes transit 2 2 sq.
Caena (Nova) locus Palaest. in Ziphenorum terra A 6 13 2.
Caenopolis sive urbs nova, pars Hierosolymorum B 2 19 4; 5 8 1, 12 2. v. Bezetha.
C. Julius Caesar A 14 7 4, 8 1 et 3 et 5, 10 1, 11 1. B 1 8 1, 9 3 et 5, 10 3, 11 1.
Caesar Octavianus A 14 12 2 et 4, 14 4; 15 6 1 et 6—7, 7 3, 9 6, 10 1 et 3; 16 4 4, 9 3, 10 8, 11 1; 17 6 1, 7 1, 8 1, 9 4, 11 2 et 4, 12 2, 13 3 et 5; 18 2 2. B 1 12 4, 14 4, 20 1—4, 21 7, 23 3, 27 1, 33 1 et 8, 32 7; 2 2 2, 6 2—3, 7 2—3, 9 1.

Digitized by Google

Caesarea maritima urbs A 13 11 2; 15 8 5, 9 6. B 1 2 5, 21 5. Caesarienses A 19 9 1; 20 8 7 et 9. B 2 13 7, 14 4—5, 18, 1; 3 9 1; 7 3 1.
Caesarea Philippi urbs A 18 2 1; 20 9 4. B 2 9 1; 3 9 7; 7 2 1.
Caesareum B 1 21 1.
Caesennius Paetus Syriae praefectus A 8 3 4, 7 1 sq.
Caesonia Cai Caesaris uxor A 19 2 4.
Cais Adami f. A 1 2 1—2.
Caiaphas v. Josephus.
Cainas Enosi f. A 1 3 4.
Cajus Agrippae f. A 17 9 3. B 2 2 4.
Cajus trib. milit. Roman. B 2 5 1.
Cajus Caesar Caligula A 18 6 8—8 7, 19 1 1—2 5. B 2 9 5—10 1.
Calani philosophi apud Indos C 1 22.
Callias (?) Salomae gener A 17 1, 1.
Callias rerum Sicularum scriptor C 1 3.
Callistus Caligulae libertus A 19 1 10.
Callimander Syrorum dux A 13 10 2.
Callinicus Antiochi Commagenorum regis f. B 7 7 2.
Calliphon Crotoniates C 1 22.
Callirrhoe fons A 17 6 5. B 1 33 5.
Cambyses Cyri fil. A 2 10 2, 15 1; 9 2 2; 11 2 1 et 2.
Camithus pater Simonis pontificis A 18 2 2.
Camon urbs A 5 7 6.
Campania A 18 7 2; 19 1 1.
Campus Magnus B 4 8 2. A 5 1 22; 12 8 5; 15 8 5; 20 6 1. alius Campus Magnus B 3 4 1; 2 12 3. A 8 2 3.
Campus Regius A 1 10 2.
Cana vicus Galilaeae V 16. B 1 17 5. A 13 15 1.
Cana vicus Judaeae B 1 4 7.
Canatha (Cana) oppidum A 15 5 1. B 1 19 2.
candelabrum sacrum describitur A 3 6 7.
Cantabri B 2 16 4.
Canthera v. Simon.
Capellus (Julius) Tiberiensis, factionis dux V 9, 12, 13, 57.
Capharabis oppidum B 4 9 9.
Capharnaum fons B 3 10 8.
Capharsaba campus A 16 5 2. cf. A 13 15 1.
Capharsalama vicus A 12 10 4.
Caphartoba vicus B 4 8 1.
Capharecco vicus B 2 20 6; V 37.
Caphettra oppidum B 4 9 9.
Capito centurio B 2 14 7.
Capitolium A 19 1 1. B 4 11 4; 7 5 6.
Cappadoces olim Mosocheni A 1 6 1. cf. 16 3 2, 8 6, 10 1. B 2 16 4.
Cappadocia A 16 1 2, 2 2. B 4 11 1; 7 1 3.
Capreae insula A 18 6 4 sq.
Careas pater Joannis A 10 9 2.
Caria A 11 8 1.
Cariathiarima urbs A 6 1 4; 7 4 2.
Carmelum promontorium B 2 10 2.
Carmelus mons B 3 3 1. cf. 5 1 22; 8 13 5.
Carnain A 12 8 4.
Carrae (Chara, Charra) urbs A 1 16 1, 19 4; 20 2 2.
Carthaginienses B 2 16 4; 6 6 2.
Carthago C 1 17, 18; 2 2.
Carus Herodis M. pusio A 17 2 4.
Casius Juppiter B 4 11 5.
Caspiae portae A 18 4 4.
Cassander A 12 1 1.
Cassius A 14 7 3, 11 2 et 6, 12 1 et 2. B 1 8 9, 11 1 et 6, 12 2 et 4.
Cassius Longinus A 15 11 4; 20 1 1.
Castor chronographus C 2 7.
Castor Judaeus B 5 7 4.
Castra dei A 1 20 1.
castra Judaeorum A 3 12 5. Romanorum B 3 5 1 sqq.
Castra (*Παρεμβολαί*) urbs A 8 9 8, 10 1, 11 4, 15 1.

Digitized by Google

castrare homines aut animalia Judaeis vetitum A 4 8 40.
Catullus Libyae Pentapolitanae praefectus B 7 11 1—4.
Cedarus Ismaeli f. A 1 12 4.
Cedasa (Cedesa) urbs A 5 1 24; 13 5 6 et 7. B 2 18 1.
Cedmas Ismaeli f. A 1 12 4.
Cedron torrens A 8 1 5.
Cedron vallis B 5 2 4, 4 2, 6 1; 6 3 2.
Celadus Augusti libertus A 17 12 2. B 2 7 2.
Celenderis urbs A 17 5 1. B 1 31 3.
Celer tribunus militum A 20 6 2 sq. B 2 12 7.
Celtica legio A 19 1 15.
Cendebaeus Antiochi Soteris dux A 13 7 3. B 1 2 2.
Cenedaeus Monobazi propinquus B 2 19 2.
Cenezus Eliphazae f. A 2 1 2.
Cenezus Hothnieli pater A 5 3 3.
Cepharnome vicus V 72.
Cepheritae A 5 1 36.
Cerastes pater Pausaniae A 11 8 1.
S. Cerealis B 3 7 32, 7 34; 4 9 9; 6 2 5, 4 3. cf. V 75.
Cerealis (Petilius) B 7 4 2.
Cesabaeus Ili f. A 7 12 4.
Cestius Gallus Syriae praeses B 2 14 3, 16 1, 18 9 et 11, 19 1—20 1. V 71; cf. 69.
Chabalon s. Chabulon regio A 8 5 3. C 1 17. B 3 3 12.
Chabarzaba urbs Judaeae A 13 15 1. cf. Capharsaba et Antipatris.
Chabolo vicus V 44.
Chabulon v. Chabalon.
Chabrothaba urbs A 3 13.
Chaereas Cassius A 19 1 3 sqq., 1 14, 2 4, 4 4, 4 5.
Chaeremon historiae Aegyptiacae auctor C 1 32 sq.
Chagiras Adiabenus B 5 11 5.
Chalamas Syrorum rex A 7 6 3.
Chalceus Emaonis f. A 8 2 5.
Chalcidica regio B 8 7..
Chalcis urbs Syriae A 14 7 4; cf. 3 2; 19 5 1. B 2 11 5.
Chaldaei A 1 6 4, 7 1; 10 3 2. C 1 6 et 19.
Chalebus A 3 14 4; cf. 5 2 3.
Chamas Noei f. A 1 4 1, 6 3. Chamae filii 6 2.
Chananaus Semae f. A 1 6 2.
Chananaea A 1 6 2, 7 1; 5 1; 9 10 11.
Chananaei A 4 1, 8 44; 5 1 sqq.; 8 6 3.
Chapsaeus Judae pater A 13 5 7.
Chara sive Charra v. Carrae.
Charchamesa urbs A 10 6 1.
Chares Gamalensis B 4 1 4. V 35, 37.
Charmis Rubeli fr. A 2 7 4.
Chasleus mensis A 11 5 4.
Chasphoma urbs A 12 8 3.
Chatura Abrami uxor A 1 15.
Chazadus Nachorae f. A 1 6 5.
Chebron (Chabron) urbs A 1 8 3, 21 3, 22 1; 3 14 2; 5 1 24, 23; 7 1 2; 8 10 1; 12 8 6. B 4 9 7 et 9.
Chelbes Tyrius C 1 21.
Chelcias Judaeus Aegyptiorum dux A 13 10 4, 13 1.
Chellion Elimechi f. A 5 9 1.
Chephthorimus Mestraimi f. A 1 6 2.
Cherubes A 3 6 6; 8 3 3.
Cheslaemus Mestraimi f. A 1 6 2.
chethomene tunica sacerdotalis A 3 7 2.
Chethim insulae A 1 6 1.
Chethima insula A 1 6 1.
Chethimus Jovani f. A 1 6 1.
Chettaeus Chanaani f. A 1 6 2.
Chidonis area A 7 4 2.
Chiramus Uriae f. A 8 3 4.
Chius insula A 16 2 2.
Chodollamorus Assyriorum dux A 1 9.
Chodalus Ismaeli f. A 1 12 4.
Choeritus C 1 22.

Digitized by Google

Chosbia Zambriae uxor A 4 6 10.
Christiani A 18 3 3.
Christus v. Jesus.
Chusaei (Aethiopes) A 1 6 2.
Chusarthes Assyriorum rex A 5 3 2 sq.
Chusi Davidis amicus A 7 9 2 sqq.
Chusus Chamae f. A 1 6 2.
Chutha regio A 9 14 3.
Chuthaei A 9 14 1 et 3; 10 9 5; 11 2 1, 4 3. v. Samaria.
Chuthus fluv. A 9 14 1.
Chuthus locus Persidis A 9 14 1.
Cicero A 14 4 3.
Cicerum domus B 5 12 2.
Cilicia A 1 6 1; 9 10 2; 13 13 4. B 1 7 7.
Cilices Jannaei mercenarii A 13 13 4. B 1 4 3.
Cilicum vallis oppidum A 13 15 4.
Cilla oppidum A 6 13 1.
Cinchares nummus A 3 6 7.
Cinnamus A 20 3 2.
Cinyras A 19 1 13.
Circenses ludi A 19 1 4.
circumcisio ab Abramo instituitur dei jussu A 1 10 5, 12 2; 8 10 3; 13, 11 3. C 1 22. V 23.
Citium urbs A 1 6 1.
Cittaei A 9 14 2.
Classicus Germanorum princeps B 7 4 2.
Claudius A 19 1 2, 2 1—5 2, 7 2, 9 2; 20 1 1—3, 6 3—8 2. B 2 11 et 12.
Cleanthus pictor C 2 12.
Clearchus Peripateticus C 1 22.
Clemens praefectus praetorii A 19 1 6.
Cleodemus Malchus A 1 15.
Cleopatra Antiochi M. filia A 12 4 1.
Cleopatra ab Antonio amata A 14 13 1, 14 2; 15 3 5, 4 1—3, 5 1. B 1 12 5, 14 2, 18 4 5, 19 1; 7 8 4. C 2 5.
Cleopatra Gessii Flori uxor A 20 11 1.
Cleopatra Herodis M. uxor A 17 2 3. B 1 28 4.
Cleopatra Ptolemaei Philomet. f. A 13 4 1 et 7, 7 1, 9 3, 10 1.
Cleopatra Ptolemaei Philometoris uxor C 2 5.
Cleopatra Ptolemaei Physconis uxor A 13 10 2 et 4, 12 4, 13 1—2.
Cleopatra Syriae regina v. Selene.
Climax Tyriorum, mons Phoeniciae B 2 10 2.
Clitus Tiberienses ad seditionem incitat; ab Josepho poena afficitur V 34.
Cluvius senator Roman. A 19 1 13.
Coban hebr. dicuntur qui voto deo se consecrant A 4 4 4.
Cobolitis regio Idumaeae A 2 1 2.
Coelesyria a Nabuchodonosoro occupatur A 10 9 7. Antiocho M. eripitur a Ptolemaeo Epiphane; mox ab Antiocho recuperatur 12 3 3. Ptolemaeus Epiph., quum Cleopatram Antiochi fil. uxorem duceret, Coelesyriam pro dote accipit 4 1.
Colchi, pop. Asiae, pudenda circumcidunt C 1 22. cf. B 2 16 4.
Collega (Gnaeus) Antiochenorum turbas comprimit B 7 3 4.
Collina tribus Romae urbis A 14 8 5, 10 9.
Commagene, regio Syriae, post Antiochi Commagenorum regis mortem contentio oritur inter nobiles et plebejos de regni forma A 18 2 5. cf. 19 5 1.
Compsus Compsi f. Tiberiensis V 9.
de connubio quid Moyses sanciverit A 4 8 23.
Conon Judaeorum in scriptis suis meminit A 1 23.
Copenius Judaeae procurator A 18 1 1, 2 1. B 2 8 1.
Cophene fluv. Indiae A 1 6 4.
Coptus urbs Aegypti B 4 10 5.

Digitized by Google

corban Judaeorum sacramentum C 1 22.
corbanas Judaeorum sacer thesaurus B 2 9 4.
Corcyra insula B 7 2 1.
Cordyaei montes A 1 3 6.
Corduba urbs A 19 1 3.
Coreae, Corea urbs A 14 3 4. B 1 6 5; 4 8 1.
Cores A 4 2 et 3.
Coreus A 2 1 2.
Corinthus Arabs A 17 3 2. B 1 29 3.
Cornelius Faustus A 14 4 4.
Cornelius Longi frater B 6 3 2.
Corraea locus A 6 2 2.
Corus mensura A 15 9 2; 3 15 3.
Cos insula A 14 7 2, 10 15. B 1 21 11. cf. A 16 2 2.
Costobarus A 15 7 8—10.
Costobarus Agrippae jun. cognatus A 20 9 8. B 2 17 4, 21 1.
Cotylas v. Zeno.
Cotys rex Armeniae A 19 8 1.
Coze deus Idumaeorum A 15 7 9.
Crassus A 14 7 1—3. B 1 8 8.
Cratippus prytanis Pergamenorum A 14 10 22.
Cremona urbs B 4 11 3.
Creta, Cretenses C 2 16. A 17 12 1 sq. B 2 7.
Crispus Agrippae satelles V 68 sq.
Crispus Tiberiadis praefectus V 9.
Croesus C 2 11.
Crustumina tribus A 14 10 13, 10 19.
Ctesiphon urbs A 18 2 4, 8 9.
Cumanus Judaeae procurator A 20 5 et 6. B 2 12 1—7.
Cuspius Fadus A 19 9 2; 20 1 1—2, 5 1.
Cyanei scopuli A 16 2 2.
Cydisa urbs A 9 11 1.
Cydyssa vicus B 4 2 3.
cymbala aerea A 7 12 3.
Cypros Alexae filia A 18 5 4.
Cypros Antipatri filia A 18 5 4.
Cypros Antipatri uxor A 15 6 5.
Cypros Herodis M. filia ex Mariamne A 18 5 4.
Cypros Herodis M. filia A 16 7 6. B 1 24 5.
Cypros Phasaeli filia ex Salampsione Herodis M. filia nubit Agrippae Aristobuli filio A 18 5 4. 6 2 sq. ejus liberi ibid. cf. B 2 11 6.
Cypros castellum prope Hierichuntem A 16 5 2. B 1 21 4. Judaei seditiosi, interfecto praesidio, munimenta solo aequant A 2 18 6.
Cyprus insula A 17 12 2. B 2 7 2.
Cyrene urbs A 14 7 2; 16 6 5. B 2 16 4; 7 11 1 sqq.
Cyrus C 1 12 et 20. A 10 11 4; 11 1—2. B 5 9 4.
Cyrus Artaxerxes A 11 6 1. cf. Artaxerxes I.
Cyzicus urbs A 13 10 1.

Dabaritta vicus V 26 et 62. B 2 21 3.
Daci B 2 16 4. cf. A 18 1 5.
Dadanes A 1 15 1.
Daesius mensis B 3 7 33.
Dagon A 6 1 1. B 5 9 4.
Dagon castellum A 13 8 1.
Dahae A 18 4 4 (20 4 2?).
Dalila A 5 8 11.
Dalmatae B 2 16 4.
Damascus urbs A 1 6 4, 5 2; 9 1 3; 11 8 3; 14 2 3; 18 6 3. B 1 4 8, 21 11; 2 20 1; 7 8 7. V 6.
Dan Jacobi fil. A 1 19 8; 2 7 4. — Danitica tribus 5 1 22 et 3 1.
Dan s. Dana urbs A 5 3 1; 8 8 4, 12 4.
Danaus C 1 15, 1 6, 26.
Danielus Davidis f. A 7 1 4.
Danielus propheta A 10 10 et 11; 11 8 5.
Danus Jordanis fons A 1 10 1.
Daphne Antiochiae suburbanum A 14 13 1, 15 11; 17 2 1; B 1 12 5, 17 3.
Daphne regio Palaest. B 4 1 1.
Dardanus Emaonis f. A 8 2 5.
Darius Agrippae dux B 2 17 4.
Darius Artabani f. A 18 4 5.
Darius Astyagis f. A 10 11 2, 11 4, 11 7.

Digitized by Google

)arius Codomannus A 11 8 1 et 3.
)arius Hystaspis f. A 11 3 1 et 7—8, 4 9. cf. C 1 21.
)asia v. Saira.
)assion V 26.
)athamnes A 4 2 2, 3 1 et 3. cf. M 3.
)athema castellum A 12 8 1.
)avides A 6 8—14; 7 1—15.
)ebora A 5 5.
)ecapolis regio B 3 9 7. V 65, 74.
)eclas A 1 6 4.
)elium urbs Syriae A 14 3 3.
)ellius A 14 15 1; 15 2 5. B 1 15 3.
)elos insula A 14 10 11.
)elta Aegypti B 2 18 8.
)emaenetus A 13 12 3.
)emetrius I A 12 10—11; 13 1 5—6, 2 1—4.
)emetrius II Nicator A 13 4 3 et 7—9, 5 3 et 4 et 6 et 10—11, 8 4, 9 3.
)emetrius III Eucaerus A 13 13 4—5, 14 1—3. cf. B 1 4 sq.
)emetrius alabarcha A 20 7 3.
)emetrius Andromachi f. A 16 8 3.
)emetrius Gadarensis A 14 4 4.
)emetrius Phalereus A 12 2 1 et 3. C 1 23; 2 4.
)emoteles A 13 5 8.
)iagoras C 2 37.
)ianae templa A 12 9 4; 13 3 2.
)icaearchia urbs A 17 12 1. B 2 7 1. V 2.
). Didius Syriae praef. A 14 6 7. B 1 20 2.
)ido C 1 18.
)idorus Herculis f. A 1 15.
)iglath (Tigris) fluv. A 1 1 3.
)iluvium A 8 3 1.
)ina A 1 19 8, 21 1.
)ioclerus A 8 2 3.
)iocles A 10, 11 1.
)iodorus Iasonis f. A 13 9 2.
)iodotus Tryphon A 13 5 1, 5 3, 6 1, 7 1—2.
)iogenes A 13 16 2. cf. B 1 5 3.
)ionysia A 14 8 5.
Dionysius Asclepiadis f. Atheniensis A 14 8 5.
Dionysius Dionysii f. Atheniensis A 14 8 5.
Dionysius Tripolis tyrannus A 14 3 2.
Diophantus Herodis M. notarius A 16 10 4. B 1 26 3.
Diospolis urbs A 15 5 2 (B 1 6 4?).
Dium urbs Macedoniae A 11 8 5.
Dium urbs Syriae A 13 15 3; 14 4 2.
Dius historicus A 8 5 3. C 1 17.
Dodias A 7 12 4.
Doecus A 6 12 1, 12 4.
P. Dolabella consul A 14 10 9 et 12.
Dolesus B 4 7 3.
Domitia V 76.
Domitianus B 4 11 4; 7 4 2. V 76.
Domitius Aenobarbus A 20 8 1.
C. Domitius Calvinus A 14 14 5.
Domitius Sabinus B 3 7 34; 5 8 4.
Dora urbs C 2 9. B 1 2 2, 7 7, 21 5. A 5 1 22; 13 7 2, 12 2 et 4; 14 4 4, 5 3; 19 6 3. V 8.
Doris Herodis M. uxor A 14 12 1; 16 3 3, 7 2; 17 4 2. B 1 23 1, 24 2, 30 4.
Dorotheus A 12 2 11.
Dortus A 20 6 2.
Ositheus Aegyptiorum dux C 2 5.
Dositheus ab Herode occisus A 15 6 2, 7 8.
Dothaim urbs A 9 4 3.
Draconis leges C 1 4.
Drusilla A 18 5 4; 19 9 1; 20 7 1—2. B 2 11 6.
Drusus Agrippae M. f. A 18 5 4.
Drusus Caesaris Octaviani privignus A 15 9 6.
Drusus Tiberii Caesaris fil. A 18 6 1, 6 8.
Drusus turris A 15 9 6. B 1 21 6.
Drymi locus A 14 13 3. B 1 13 2.

Ebalus A 1 6 4.
Eban A 7 3 3.
Ebidas A 1 15.
Ebutius decurio B 3 7; 3 4 1 5.

Digitized by Google

Ecbatana urbs Batanaeae V 11.
Ecbatana urbs Mediae A 10 11 6; 11 4 6.
Ecdippa oppidum B 1 13 4.
Echarampsaris A 10 8 2.
Ecnibalus C 1 21.
Ednaeus A 8 15 2.
Egleon A 5 4 1.
Ehudes A 5 4 1—3.
Elraes A 1 6 4.
Elamaei Persae A 1 6 4.
Elamus Persarum princeps A 1 6 4.
Elanus A 8 12 4.
Elca A 9 12 1.
Elcanes A 5 10 2.
Elcias pontifex maximus A 10 8 6.
Eldas A 1 15.
Eleazarus Aaronis f. A 3 8 1; 4 4 7; 5 1 29, 11 5.
Eleazarus Anani f. A 18 2 2.
Eleazarus Ananiae f. B 2 17 2 et 5 et 9, 20 4.
Eleazarus ab Antiocho Epiphane occisus M 5 sqq.
Eleazarus Auran A 13 6 1, 9 4; cf. B 1 4 5.
Eleazarus Dodiae f. A 7 12 4.
Eleazarus gigas A 18 4 5.
Eleazarus Giorae f. B 6 4 1.
Eleazarus Jairi f. B 2 17 9.
Eleazarus Joazari frater A 17 13 1.
Eleazarus Josephi aequalis A 8 2 5.
Eleazarus Izatem circumcidit A 20 2 4.
Eleazarus latro A 20 6 1. B 2 12 4.
Eleazarus Machaeruntis defensor B 7 6 4.
Eleazarus Masadam tenet B 7 7 1, 8 6, 9 1.
Eleazarus Moysis f. A 2 13 1.
Eleazarus Peraeus A 20 1 1.
Eleazarus Pharisaeus A 13 10 5 et 6.
Eleazarus pontifex A 12 12 4, 2 5 et 6 et 14, 4 1. cf. B pr. 3.
Eleazarus Samaeae f. B 3 7 21.
Eleazarus Simonis f. B 2 20 3; 4 4 1; 5 1 2, 3 1, 6 1.
Eleazarus Simonis Gorionis socius B 4 9 5.
Eleazarus thesauri custos A 14 7 1.
Elei A 6 5 4. B 1 21 12. cf. C 2 37.
Eleon A 5 [illegible]14.
Elephantine urbs B 10 5.
Eleusa insula A 16 4 6, 10 7. B 1 23 4.
Eleusinia A 14 8 5.
Eleutheri in Parthorum exercitu A 14 13 5. B 1 13 3.
Eleutherus fluv. A 13 4 5, 5 10; 15 4 1. B 1 18 5.
Eli pontifex A 5 9 1, 10 1, 11 3 et 5.
Elias A 8 13 2—9, 15 6; 9 2 1—2, 5 2.
Eliabus A 3 6 1, 8 4.
Eliacias A 10 4 1 sq.
Eliacimus A 10 1 1.
Eliasibus A 11 5 5.
Elien A 7 3 3.
Elimelechus A 5 9 1.
Elionaeus A 19 8 1.
Eliphale A 7 3 3.
Elipharzes A 2 1 2.
Elis locus Arabiae A 3 1 3.
Elissaeus sacerdos A 12 2 11.
Elissaeus vates A 8 13 7; 9 3 1, 4 1—2 et 6, 6 1, 8 6. B 4 8 3.
Elmodadus A 1 6 4.
Elom urbs A 8 10 1.
Elona A 2 7 4.
Elpis A 17 2 3. B 1 28 4.
Elthemus B 1 19 5.
Elulaeus Tyrius A 9 14 2.
Elymais urbs A 12 9 1.
Elysaei A 1 6 1.
Elysas Aeolum princeps A 1 6 1.
Emalsema A 10 3 2.
Emaonis filii A 8 2 5.
Emesa urbs B 7 7 1. A 18 5 4; 19 8 1; 20 7 1, 8 4.
emian zona sacerdotalis A 3 7 2.
Emma urbs A 6 13 6.
Emmaus urbs B 3 3 3. A 13 1 3; 14 11 2; 17 10 9. B 1 11 2; 2 5 1; 4 8 1; 7 6 6.

Digitized by Google

Emmaus vicus A 18 2 3. B 4 1 3.
Emmorus A 1 21 1.
Emnus A 7 3 3.
Endorus urbs A 6 14 2.
Enemimus A 1 6 2.
Engaddi oppidum A 6 13 1 et 4; 9 1 2. B 3 3 5; 4 7 2.
Eniachim B 4 3 8.
Ennaphen A 7 3 3.
Ennerus A 1 10 2.
Enochus A 9 2 2.
Enosus A 1 3 4.
Ephaphroditus A 1 pr. 2 C 1 1; 2 41. V 76.
Ephas A 1 15.
Ephesus urbs A 14 10 12. Ephesiorum decretum de Judaeis 10 25. Agrippae et Julii Antonii ad eos rescripta de servandis Judaeorum juribus 16 2 2, 6 5, 6 7.
Ephodes A 3 7 5.
Ephorus historicus C 1 2—3. A 1 3 9.
Ephraim urbs B 4 9 9.
Ephraimes Chebronensis A 1 14.
Ephraimes Josephi f. A 2 6 1, 8 1; 8 12 4. Ephraimae tribus 5 1 22, 2 6, 6 6, 7 11.
Ephran urbs A 5 6 5.
Ephratanus ager A 1 21 3.
Ephron urbs A 12 8 5.
Epicrates A 13 10 3.
Epicurei A 13 10 3.
Epiphania urbs A 1 6 2.
Epomis A 8 7 5.
Erebinthorum domus B 5 12 2.
Erica procurator Achazae regis A 9 12 1.
Eroedes Gadis f. A 2 7 4.
Eroge vicus A 9 10 3.
Eron A 3 6 5.
Esaias vates A 9 3 3; 10 1 3, 2 2; 11 1 1. B 7 10 3.
Esavus A 1 18 1—9 et 20; 2 1—2.
Eschol Abrami commilito A 1 10 2.
Escon puteus A 1 18 2.
Esdras A 11 5 1—5.
Esebeo Chananaeus A 1 18 4.
Esermoth locus A 3 13 1.
Esronus A 2 7 4.
Essa urbs A 13 15 3.
Essaei v. Esseni.
Essebon castellum A 15 8 5; 13 15 4; 12 4 11.
essenes A 3 7 5 et 8 9.
Esseni B 2 8; A 13 5 9; 15 10 5; 18 1 5.
Essenorum porta B 5 4.
Esther A 11 6 2—12.
Etame urbs A 8 10 1.
Ethaens A 7 10 1.
Etham locus A 8 7 3.
Ethanus A 8 2 5.
Euaeus A 1 6 2.
Euaratus Cous B 1 26 5; A 16 10 2.
Eucei A 8 5 3.
Eucles A 14 8 5.
Eudaeus A 1 6 2.
Euhemerus C 1 23.
Euodus A 18 6 9.
Eupolemus Graecus C 1 23.
Eupolemus Joannis f. Judaeus A 12 10 6.
Euphrates fluv. A 1 1 3. cf. 10 6 2.
Europa A 1 6 1.
Eurycles Lacedaemonius A 16 10 1. B 1 26 1 sqq.
Eutychus Agrippae M. libertus A 18 6 5 sqq.
Eutychus Caii Caesaris stabulis praefectus A 19 4 4.
Eva A 1 1 2—4.
Evilaei A 1 6 2.
Evilas A 1 6 2.
Evilates A 1 6 4.
Evilmaraduchus C 1 20.
expiationis dies A 3 10 4.
Ezechias Ananiae pontif. frater B 2 17 8.
Ezechias Chobari f. B 5 1 2.
Ezechias latro A 14 9 2; 17 10 5. B 1 10 5; 2 4 1.
Ezecias pontifex C 1 22.

Digitized by Google

Ezecias rex A 9 12 3, 13 1—3; 10 1—3.

Fabatus Arabiae procurator B 1 29 3. A 17 3 2.
Fabius centurio A 14 4 4. B 1 7 4.
Fabius Damasci praefectus A 14 11 7 et 12 1. B 1 12. 1 et 2.
Fadus v. Cuspius.
Fannius consul A 14 10 5.
Fannius praetor A 13 9 2.
Faustus Sullae f. B 1 7 4, 7 6. A 14 4 4.
Felix Judaeae procurator A 20 7 1—2, 8 5 et 7 et 9. B 2 12 8, 13 3 et 7.
Felix superatus a Phasaelo A 14 11 8. B 1 12 1.
fenus exercere Judaeis non licet A 4 8 25.
festa Judaeorum a Moyse constituta A 4 8 7.
Festus Porcius A 20 8 9, 9 1. B 2 14 1.
filiarum jus hereditarium A 4 7 5.
Flaccus Syriae praefectus A 18 6 2 sq.
Flavius Silva Judaeae praefectus B 7 8 1 sqq.
Florus Gessius procurator Judaeae A 18 1 6; 20 11 1. B 2 14 2—7. frustra apud Cestium Gallium accusatur B 2 14 3—7, 15 1, 17 4, 19 4, 20 1.
Fontejus Agrippa B 7 4 3.
Fortunatus libertus A 18 7 2.
Fronto Aeternius B 6 4 3, 9 2.
Fullonis monumentum B 5 4 2.
Fulvia A 18 3 5.
fures A 16 1 1.
Furius centurio A 14 4 4. B 1 7 4.

Gaales A 5 7 3.
Gaamus A 1 6 3.
Gaba urbs Galilaeae B 3 3 1; cf. A 15 8 5. V 24.
Gaba urbs Jud. A 5 2 8; 6 8 1; 8 12 4.
Gabala urbs A 9 9 1; 13 15 4.
Gabaon urbs A 5 1 16; 6 6 2; 7 1 3 et 12 1. B 2 19 1; 19 7.
Gabara urbs V 10, 25, 45, 47.
Gabares A 8 2 3.
Gabatha, Gabathsaula urbs Judaeae, Sauli patria A 6 4 6. B 5 2 1.
Gabatha, Gabatho, Gabathona (?) urbs Philistaeorum 5 1 29; 8 12 4, 12 5; 13 1 4.
Gabinius A 14 4—6. B 1 8 2—7.
Gadara metropolis Peraeae A 12 3 3. 7 4; 13 13 3 et 5; 14 4 4, 5 4; 15 7 3, 10 2; 17 11 4. B 1 4 2, 7 7. 8 5; 2 6 3, 18 5; 3 7 1; 4 7 3—4. cf. B 3 3 1. V 10 et 65.
Gades Jacobi f. A 1 19 8; 2 7 4.
Gades urbs A 1 6 1. B 2 16 4.
Gadias A 15 7 8.
Gadus A 7 13 2.
Gaetuli A 1 6 2.
Galades collis A 1 19 11.
Galaditis regio A 1 19 11; 4 5 3; 6 5 1; 9 8 1, 11 1; 13 13 4. B 1 4 3. cf. A 8 13 2, 15 13. B 2 3 3.
Galatae, Galatia v. Galli, Gallia.
Galba imperator A 18 6 9. B 4 9 2, 9 9.
Galbaath locus A 6 11 5.
Galgala oppidum A 5 1 11, 1 16 sqq. cf. 6 4 2, 5 4, 6 1 et 2, 7 5: 7 11 4 sq.
Galilaea toparchia A 13 2 3; 9 11 1; 17 8 1, 11 4, 20 6. B 2 6 3. 15 5, 20 4; 3. 3 1. V 7, 41, 49.
Galli B 1 33 9; 2 16 4; 7 4 2. A 17 8 3.
Gallia B 2 16 4.
Gallicanus trib. milit. B 3 8 1.
Gallus v. Cestius.
C. Gallus consul A 14 16 4.
Gallus centurio B 4 1 5.
Gallus legionis dux B 2 18 11.
Gamala urbs A 13 15 3; 18 1 1. 1. B 1 4 8; 8 4 1 et 3; 2 20 6. V 11.
Ganges Phison A 1 1 3.
Garesime vicus V 71.

Digitized by Google

aris urbs B 3 6 3..
arizin mons A 4 8 44; 5 1 19; 12 1 1; 13 3 4. B 1 2 6. templum in eo A 11 8 2; 13 9 1.
arsis urbs B 5 11 5.
asiongabel urbs A 8 6 4.
atherus Bactrianorum princeps A 1 6 4.
aulana urbs A 13 15 3. cf. B 1 4 4, 4 8. A 4 7 4.
aulanitis regio A 4 5 3. B 4 1 1.— cf. A 8 2 3; 13 15 4. B 2 20 6; 3 3 1, 3 5, 10 10. V 37.
aza urbs A 5 1 22, 2 4, 8 10; 9 13 3; 11 8 3; 13 2 2, 3 3, 5 5; 14 4 4, 5 3; 15 7 3; 17 11 4. B 1 4 2, 7 7; 2 6 3, 18 1; 6 1 2.
azara urbs A 5 1 22; 7 4 1, 12 1; 8 6 1; 13 1 3, 9 2. B 1 2 2.
edeon A 5 6.
elboe mons A 6 14 2.
elmon urbs A 7 9 8 sq.
eman vicus B 2 12 3.
emellus A 16 8 3.
ennath porta B 5 4 2.
ennesar lacus B 2 20 6; 3 10 7. A 5 1 22; 13 2 3, 5 4; 18 2 1.
ennesar regio B 3 10 8.
eon Nilus A 1 1 3.
erara urbs A 1 12 1, 18 1; 8 12 2.
eras Ehudis pater A 5 4 2.
eras Semei pater A 7 9 4.
erasa urbs B 1 4 8; 2 18 1—5; 4 9 1.
erasenorum montes A 13 15 5.
erastratus C 1 21.
eraus A 2 7 4.
ergesaeus A 1 6 2.
ermani B 1 33 9; 2 16 4; 7 4 2. A 17 8 3; 19 1 15.
ermanicus Drusi f. A 18 2 5, 6 8; 19 1 5.
ersomes A 2 7 4.
ersus A 2 13 1.
essirorum rex Tholomaeus A 7 1 4.
essius v. Florus.
etta v. Gitta.
Gethraamas A 7 1 4.
Gethsura oppidum A 7 8 3.
Gibalus mons A 4 8 44; 5 1 19.
Gigantum vallis A 7 4 1.
Gihon fons A 7 14 5.
Ginaea vicus A 20 6 1. cf. B 2 12 3; 3 3 4.
Ginnabris vicus B 4 8 2.
Gischala urbs V 10. cf. B 2 20 6, 21 2; 4 2 1—2.
Gision A 8 3 8.
Gitta (Getta) urbs A 5 1 22; 6 1 2, 2 3, 9 1 et 5, 12 2; 9 8 4, 10 3, 13 3; 13 14 10.
Gittha castellum A 14 5 10. B 1 17 2.
Glaphyra Herodis nurus A 16 1 2, 7 2, 10 7; 17 1 1—2, 13 1 et 4. B 1 24 2, 28 1—2; 2 7 4.
Gobolitis (Gabalene) regio A 2 1 2; 3 2 1.
Godolias Judaeis a Nabuchodonosoro praefectus A 10 9 1—2 et 4.
Goliathus A 6 9 1 sqq.
Gomarenses Galli A 1 6 1.
Gomarus Japhethae f. A 1 6 1.
Gophna urbs A 14 11 2. B 1 11 2; 5 2 1; 6 2 2. — Gophnitica toparchia B 2 20 4; 3 3 5; 4 9 9.
Gorgias ab Juda Maccabaeo victus A 12 7 4.
Gorion Josephi f. B 4 3 9, 6 1.
Gorion Nicodemi f. B 2 17 10.
Gotarzes Parthus A 20 3 4.
Gothamus Eliphazae f. A 2 1 2.
Gotholia Jorami uxor A 8 15 3; 9 7 1—3.
Graecanicae urbes in Palaestina A 17 11 4.
Graeci A 1 6 1, 4 4, 8 3. C 1 2, 4, 12; 2 11, 15, 16, 33—34, 35.
Granicus fluv. A 11 8 1.
Grapte Adiabena B 4 9 11.
Gratus Judaeorum dux A 17 10 3 et 6 et 9. B 2 3 4, 4 2, 5 2.
Gratus praeterianus A 19 3 1.
Gunis Nephthalis f. A 2 7 4.

Digitized by Google

Gypthaeus Judaeus fortitudine praeclarus B 6 1 8, 2 6.

Halicarnassensium de Judaeis decretum A 14 10 23.
Hannibal B 2 16 4.
Heberus Salae f. A 1 6 4.
Hebron v. Chebron.
Hecataeus Abderita C 1 22 et 23, 2 4. A 1 7 2.
Hecataeus Milesius A 1 3 9.
hecatontomachi A 13 12 5.
Helcias Agrippae regis amicus A 19 8 3.
Helcias Magnus A 18 8 4.
Helcias sacri aerarii custos A 20 8 11.
Helena Adiabena A 20 2 1 et 3 et 5, 4 3.
Helenae monumentum B 5 2 2, 4 2.
Helenae regia B 5 6 1.
Heliopolis urbs Aegypti A 2 7 6. C 2 2. — praefectura Heliopolitana A 12 9 7; 13 3 1—2. B 1 1 1. sacerdotes Heliopolitani A 2 6 1.
Heliopolis urbs Syriae A 14 3 2.
Hellanicus historicus C 1 3. A 1 3 9.
Hellespontus A 11 8 2; 12 1 1.
Helo Chananaeus A 1 18 14.
Heniochi B 2 16 4.
Heracleon A 13 3 4.
Heracleopolis urbs B 4 11 5.
Hercules A 1 15. Herculis templum Tyri A 8 5 3. C 1 18.
Herculis columnae B 2 16 4.
Herennius Capito A 18 6 3, 6 4.
Hermaeus v. Danaus.
Hermippus C 1 22.
Hermogenes C 1 23.
Herodes Antipatri Idumaei f. A 14 7 4—17, 8 1. B 1 8 9—33 8.
Herodes Aristobuli ex Berenice f. B 1 28 1; 2 11 5 et 6. A 18 5 4; 19 5 1, 8 3; 20 1 3, 5 2.
Herodes Aristobuli ex Salome f. A 18 5 4.
Herodes Gamali f. V 9.
Herodes Herodis M. ex Cleopatra f. A 17 1 3. B 1 28 4.
Herodes Herodis M. ex Mariamne f. B 1 28 4, 29 2, 30 7. A 17 1 3, 3 2, 4 3; 18 5 1 et 4.
Herodes Miari f. Tiberiensis V 9.
Herodes Phasaeli f. ex Salampsione Herodis M. filia A 18 5 4.
Herodes v. Antipas.
Herodias Herodis M. neptis A 18 5 1 et 4, 6 2, 7 1 sq. B 1 28 1; 2 9 6.
Herodis monumentum B 5 12 2.
Herodium castellum Arabiae B 1 21 10.
Herodium (Herodia) castellum Judaeae A 14 13 9; 15 9 4. B 1 13 8, 21 10; 3 3 5; 7 6 1.
Herodotus Halicarnassensis C 1 3, 12, 14, 22; 2 13. A 8 6 2, 10 2—3 sq.; 10 1 4.
Heroum urbs A 2 7 5.
Hesiodus C 1 3. A 1 3 9.
Hestiaeus historicus A 1 3 9, 4 3.
Hierasa mater Oziae regis A 9 11 2.
Hieremias propheta A 10 5 1, 6 2, 7 2 et 4—6, 9 1 et 6.
Hieremmon A 7 2 1.
Hierichus urbs A 5 1 5—10; 9 1 2; 14 5 4; 15 4 2. B 1 8 5; 2 20 4; 3 3 5; 4 8 2—3, 9 1.
Hieroboamus I A 8 7 7—9, 11 2 et 4.
Hieroboamus II A 9 8 7, 10 1 et 3.
Hieronymus Aegyptius C 1 3 6 et 9, 23.
Hierosolyma metropolis Palaestinae A 1 10 2; 4 8 5; 5 1 17; 7 1—2; 8 6 1; 10 8 1; 11 2 1; 12 1; 13 6 6; 14 4 2, 5 4. 16 1; 19 7 2; 20 9 7. B 1 7 2, 8 5, 18 1; 2 11 6; 5 4 1—6; 6 10; 7 1 1. C 1 14, 22, 35.
hin mensura A 3 8 3, 9 4; 8 3 8.
Hippene regio B 3 3 1.
Hippicos turris B 5 4 3; 7 1 1.

Digitized by Google

Hippos urbs V 65. A 14 4 4; 15 7 3; 17 11 4. B 2 6 3, 18 1 et 5.
Hiramus A 7 3 2; 8 2 7, 5 3. cf. C 1 17; 2 2.
Hiramus Cyri temporibus C 1 21.
Hispani B 2 16 4. cf. C 2 4.
Holophantes A 4 7 5.
holocaustum A 3 9 1.
Homerus C 1 2; 2 15 et 36.
Homonaea locus V 54.
Horatia tribus A 14 10 13, 10 19.
A. Hortensius consul A 14 1 1.
Hothnielus A 5 3 2—3.
Hycsos A 1 14.
hyoscyamus planta A 3 7 6.
Hypsicrates A 14 8 3.
Hyrcania (Hyrcanium) castellum A 13 16 3; 14 5 4. B 1 8 2 et 5, 19 1.
Hyrcania regio B 7 7 4.
Hyrcanus Maccabaeus A 13 8—10.
Hyrcanus Alexandri Jannaei f. A 13 16 1 et 2. ejus indoles ibid; et 14 1—4, 8—13; 15 2—6. B 1 6—8 et 10—11 et 13 et 22.
Hyrcanus Herodis Agrippae M. fratris f. A 20 5 2. B 2 11 6.
Hyrcanus Flav. Josephi f. V 1, 76.
Hyrcanus Josephi f. A 12 4 6—7, 9, 11.

Jabata urbs A 10 3 2.
Jabesus A 9 11 1.
Jabinus A 5 5.
Jabisus urbs A 6 14 8; 5 2 11.
Jacimus A 17 2 3.
Jacimus v. Alcimus.
Jachinus A 2 7 4.
Jacobus Jesu Christi frater A 20 9 1.
Jacobus Josephi satelles V 18.
Jacobus Isaci fil. ex Rebecca A 1 18—21; 2 1—3 et 6—8.
Jacobus Judae f. A 20 5 2.
Jacobus Sosae f. B 4 4 2, 9 6; 5 6 1; 6 8 2; cf. 6 1 8, 2 6.
Jaddus A 11 7 2, 8 7.
Jadon vates A 8 8 5, 9 1.
Jaires Galadenus A 5 7 6.
Jale Sisarem interficit A 5 5 4.
Jalelus A 2 7 4.
Jalus Moysis nepos A 7 14 10.
Jamblichus Libani dynasta A 14 8 1. B 1 9 3.
Jaminus A 2 7 4.
Jamnia urbs A 5 1 22; 9 10 3; 12 7 4; 13 6 6; 14 4 4; 17 8 1; 18 2 2. B 1 2 2, 7 7, 8 4; 2 9 1; 4 3 2, 8 1.
Jamnith vicus B 2 20 6.
Jamuelus A 2 7 4.
Janias rex Aegypti C 1 14.
Jannaeus v. Alexander.
Jannaeus Taricheata V 26.
Jaodus Symeonis f. A 2 7 4.
Japha oppidum B 2 20 6; 3 7 31. V 37, 52.
Japhethas A 1 4 1 et 5 1.
Japhra A 1 15.
Japygium promontorium B 7 2 1.
Jar mensis A 7 3 1.
Jarda vicus B 3 3 5.
Jardes silva B 7 6 5.
Jaredes Anochi f. A 1 2 2.
Jaredes Malaeli f. A 1 3 4.
Jason Eleazari f. A 12 10 6.
Jason v. Jesus Simonis f.
Jasubus A 2 7 4.
Jaus A 1 1 2.
Jazares A 1 15.
Jazielus A 9 1 2.
Jazorus urbs A 12 8 1.
Iberi Thobeli A 1 6 1; 18 4 4.
Ide liberta A 18 3 4.
Idumaea, Idumaei A 2 1 1; 4 4 4; 7 5 4; 9 3 1, 9 1; 15 7 9; 13 9 1; 16 9 3, 11 4. B 2 6 3, 20 4; 3 3 5; 4 4—9; 5 6 1; 6 8 2; 7 8 1.
Idumas A 1 12 4.
Jebar A 7 3 3.
Jebosthus A 7 1 3—4, 2 1.
Jebusaei A 7 3 1.
Jebusaeus Chanaani f. A 1 5 2.
Jechonias v. Joachimus.

Digitized by Google

Jedis Amosi uxor A 10 4 1.
Jegiomus Esavi f. A 2 1 2.
Jehus Israelitarum rex A 8 13 7; 9 6 1—6, 8 1.
Jehus vates A 8 12 3, 13 7.
Jeldaphas Nachorae f. A 1 6 5.
Jenae Davidis f. A 7 3 3.
Jephthes A 5 7 8 et 10—11.
Jerasa A 9 11 2.
Jeremias v. Hieremias.
Jeremias Galilaeorum dux V 72.
Jericho v. Hierichus.
Jeroboamus v. Hieroboamus.
Jes Benjaminis f. A 2 7 4.
Jeselus Nephthalis f. A 2 7 4.
Jesraela urbs A 8 13 6; 9 6 4.
Jessaemus Achemaei f. A 7 12 4.
Jessaeus Davidis pater A 5 9 4; 6 8 1.
Jesus Anani f. B 6 5 3.
Jesus Christus A 18 3 3; 20 9 1.
Jesus Damnaei f. A 20 9 1 et 4.
Jesus Gamalae f. B 4 3 9. cf. V 38.
Jesus Gamalielis f. A 20 9 4 et 7.
Jesus Gamalita V 37.
Jesus Josedeci f. A 11 3 10, 4 2, 4 7.
Jesus Judae f. A 11 7 1.
Jesus V 22. B 3 9 7, 10 1 et 5.
Jesus Naveni f. A 3 2 3, 14 4; 4 7 3, 8 46; 5 1 1—29 (cf. B 4 83).
Jesus Phabetis f. A 15 9 3.
Jesus pontifex B 4 3.
Jesus pontifex B 6 1 2.
Jesus Sapphiae f. B 2 20 4.
Jesus s. Jason Simonis f. A 12 5 1. cf. V 4.
Jesus Thebuthi f. B 6 8 3.
Jesus Tiberiensis V 12, 27, 53. B 2 21 3.
Jetharsas A 7 10 1.
Jeturus A 1 12 4.
Jezabela A 8 13 1 et 4—8; 9 6 4.
Jezanias A 10 9 3.
Jezechielus propheta A 10 5 1, 6 3, 7 2.
Ilium urbs A 16 2 2.
Ilus A 7 12 4.
Illyrii B 2 16 4.
Indates Parthorum dux A 13 8 4.
India A 1 6 3. oceanus Indicus 1 6 4; cf. 10 11 1.
Joabus, Davidis ex sorore nepos, Jebosthi exercitum vincit A 7 1—14; 8 1 4.
Joachazus rex Judaeorum A 10 5 2.
Joachebeda Moysis mater A 2 9 4—5.
Joachimus (Jechonias) A 10 6 3. 7 1 11 2.
Joachus A 10 1 2.
Joacimus Jesu f. A 11 5 1.
Joacimus Josiae f. A 10 5 2, 6 1—3.
Joadas A 7 5 4.
Joadus (Jodaus) A 9 7 1—4, 8 2—3.
Joaesdrus Nomici f. B 2 21 7.
Joannes Ananiae f. B 2 20 4.
Joannes Baptista A 18 5 2.
Joannes Caesariensis B 2 14 5 sq.
Joannes Careae f. A 10 9 2 et 5—6.
Joannes Damae f. B 4 3 5.
Joannes Eliasibi f. A 10 5 4.
Joannes Essaeus B 2 20 4; 3 2 1.
Joannes Gaddes A 12 6 1; 13 1 2.
Joannes Gischalenus B 2 20 et 21; 4 2—3, 7 et 9; 5 1 2—3 et 5, 3 1, 6 1 et 4, 11 4; 6 1 3, 2 1—3, 6 1—2, 8 4, 9 4; 7 8 1. V 10, 13, 16, 25, 38—66.
Joannes Hyrcanus v. Hyrcanus.
Joannes Judae f. A 11 7 1.
Joannes Judaeorum dux A 8 15 2.
Joannes Sosae f. B 4 4 2; 5 6 5. 8 2.
Joannis monumentum B 5 6 1.
Joasus Gedeonis f. A 5 6 2.
Joasus Joazi f. A 9 8 6 et 7, 9 3.
Joasus Ochoziae f. A 9 7 1 et 2 et 5. 8 2—4.
Joathames A 5 7 1 sqq.
Joathes A 10 4 1.
Joazarus A 17 6 4, 13 1; 18 1 1; cf. 2 1.

Digitized by Google

Joazus A 9 8 1 et 8 5.
Jobabus A 1 6 4.
Jobelus A 1 2 2.
Jobelus annus Jubilaeus A 3 12 13.
Jochabes A 5 11 4.
Jodamus A 7 2 2.
Joelus A 6 3 2.
Jomnes A 2 7 4.
Jonadabus A 9 6 6.
Jonas vates A 10 2.
Jonathas Absalomi f. A 13 6 3.
Jonathas Abiathari f. A 7 9 2.
Jonathas Anani f. A 18 4 3.
Jonathas Apphus A 12 6 1, 8 2; 13 1 1—6, 2 1 et 3, 4 2—4 et 9, 5 3—10, 6 2 et 5. cf. B 1 2 1.
Jonathas Oniae f. A 14 10 10.
Jonathas Pharisaeus V 39—64.
Jonathas pontifex A 20 8 5.
Jonathas Pudentem vincit B 6 2 10.
Jonathas Samae f. A 7 8 3, 12 2.
Jonathas Sauli f. A 6 6 2, 7 4, 11 2 et 8, 14 1.
Jonathas sicarius B 7 11 1—3. cf. V 76.
Jonathas Sisennae f. V 38.
Jonia regio A 1 6 1; 16 2 3 sqq.
Jope (Joppe) urbs A 9 10 1; 11 4 1; 13 4 4, 5 10, 6 3, 8 3, 9 2; 14 4 4, 10 6, 15 1; 17 11 4, 13 5. B 1 2 2, 4 7, 7 3 et 7, 15 4; 2 6 3, 8 1, 18 10; 3 9 2 et 3.
Joramus Achabi f. A 9 3 et 6, 3 1 et 2, 4, 6 3.
Joramus Azariae f. A 10 8 6.
Joramus Josaphati f. A 8 15 3; 9 5 1—3.
Jordanes fluv. A 1 10 1; 5 1—2, 3 1; 8 8 4; 13 1 3 et 5. B 1 21 3; 3 3 1, 10 7; 4 1 1.
Josabetha A 9 7 1.
Josadocus A 10 8 6.
Josaphatus Achili f. A 7 5 4.
Josaphatus Asani f. A 8 12 6, 15 1 et 3—5; 9 1 1—4, 3 1 et 2.
Josephus Antipatri f. A 14 7 4, 13 9. B 1 13 8. in castello Masada ab Antigono oppugnatur A 14 14 6. B 1 15 1. a fratre in Idumaeam mittitur A 15 4. B 16 1. ab Herode ad Antonium proficiscente in Judaea cum Machaera relinquitur; contra fratris jussum proelium cum Antigono committens vincitur et cadit A 15 7, 15 10. B 17 1 sq.
Josephus Cabi A 20 8 11, 9 1.
Josephus Caiaphas A 18 2 2, 4 3.
Josephus Cami f. A 20 1 3, 5 2.
Josephus Dalaei f. B 6 5 1.
Josephus Ellemi f. in unum diem pontifex creatur A 17 6 4.
Josephus Flavii Josephi avus V 1.
Josephus Flavius A 1 (1); 3 5 6, 8 10; 4 8 4; 8 2 8; 10 10 6; 16 7 1; 20 8 3, 11 2. B 2 20 4—6, 21 6; 3 4 1, 6 3, 7 2—35, 8 1 et 8, 9; 4 10 7; 5 9 3, 13 8; 6 2, 7 2 3, 11 3. C 1 1 et 9.
Josephus Gamalensium dux B 4 1 4. cadit 1 9. cf. V 37.
Josephus Gorionis f. B 2 20 3.
Josephus Herodis M. avunculus A 15 1 5 et 9. B 1 22 4.
Josephus Herodis M. quaestor A 11 6 5.
Josephus Jacobi f. A 2 2—8. C 1 32.
Josephus Josephi f. A 17 2 3, 10 9. B 1 28 4; 2 5 2.
Josephus Mennaei f., ab Hyrcano ad M. Antonium mittitur legatus A 14 12 3.
Josephus pontifex B 6 2 2.
Josephus Simonis f. B 2 20 4.
Josephus Tobiae f. A 12 4.
Josephus Zachariae f. A 12 8 2, 8 6.
Josias Amosi f. A 10 4 et 5.
Josua v. Jesus Naveni f.
Josua Siae f. A 18 13 1.
Josubacus A 1 15.
Jotapata urbs B 2 20 6; 3 6 1, 7 4 et 7.
Jotape Antiochi f. A 18 4 5.

Digitized by Google

Jotape f. Aristobuli f. A 18 4 5.
Jotape Sampsigerami A 18 5 4.
Jothamus Bocciae f. A 18 1 3.
Jothamus Jueli f. A 10 8 6.
Jothamus Oziae f. A 9 10 4.
Jothorus Madianita A 5 2 3.
Jovanus Japhethae f. A 1 6 1.
Jozarus Josephi collega V 7.
Jozarus Josepho insidiatur V 39 sqq.
Jozarus pontifex A 17 6 4.
Ipa (?) urbs A 8 10 1.
Iraes Juctae f. A 1 6 4.
Irenaeus Herodis Antipae procurator A 17 9 4. B 2 2 3.
Isaacus Abrami f. A 1 12 2, 13, 16, 18 1 et 2, 18 4, 22.
Isamachus A 3 6 1.
Isana urbs A 8 11 3.
Isanae vicus A 14 15 12.
Isara urbs A 8 15 4.
Isidis sacra A 18 3 4. cf. C 1 32.
Ismaelus Abrami f. A 1 10 4, 12 3—4.
Ismaelus ex stirpe regia A 10 9 2 et 4.
Ismaelus Phabi f. A 18 2 2; 20 8 8 et 11. B 6 2 2.
Israela v. Jesraela.
Israelus v. Jacobus.
Issacharis Jacobi f. A 1 19 8; 2 7 4. Issacharis tribus 5 1 22.
Issares Nephthalis f. A 2 7 4.
Ister fluv. B 2 16 4; 7 4 3.
Istobus A 7 6 1.
Isuis Aseri f. A 2 7 4.
Isus Aseri f. A 2 7 4.
Isus Jorami f. A 10 8 6.
Itabyrium mons B 4 1 8; 2 20 6. V 37 cf. A 5 1 22; 13 15 4.
Ithamarus Aaronis f. A 13 8 1; 8 1 3; cf. 8 14 7.
Ithobalus Tyriorum et Sidoniorum rex A 8 13 1, 13 2; cf. 9 6 6. C 1 18, 21.
Ituraea regio A 13 11 3.
Jubalus Lamechi f. A 1 2 2.
Jubas rex Libyae A 17 13 4. B 2 7 4.
Jubilaeus annus v. Jobelus.
Juctas Heberi f. A 1 6 4.
Jucundus Herodis satelles A 16 10 3.
Judadaei gens Aethiopica A 1 6 2.
Judadas Regmi f. Judadaeorum princeps A 1 6 2.
Judaea B 3 3 1 sqq. A 5 1.
Judaei Hebraei A 1 6 4. Israelitae 20 2; 11 5 7.
Judas Aminadabi f. A 11 4 2.
Judas Ari f. B 6 1 8; 7 6 5.
Judas Chapsaei f. A 13 5 7.
Judas Chelciae f. B 5 1 2.
Judas Essaeus A 13 11 2. B 1 3 5.
Judas Esechiae latronis f. B 2 4 1. A 17 10 5.
Judas Gaulanita A 18 1 1 et 6. B 8 1 et 6.
Judas Jacobi f. A 1 19 8; 2 3 3. 6 5 et 8, 7 4. — Judae tribus 5 1 22; 7 1 2. tribulium numerus sub regno Davidis 7 13 1.
Judas Jonathae f. B 2 21 7.
Judas Josephi collega V 7.
Judas Judae f. B 5 13 2.
Judas Maccabaeus A 12 6—11. cf. B 1 1 4 sqq.
Judas Mertonis f. B 6 1 8, 2 5.
Judas pontifex A 11 7 1.
Judas Sariphaei f. A 17 6 2—4. B 1 33 3—4.
Judices apud Judaeos A 11 4 8; cf. 4 8 14. apud Tyrios C 1 21.
Juelus Sudeae f. A 10 8 6.
Julia (Livia) Caesaris Augusti uxor A 16 5 1; 17 1 1, 6 1, 8 1; 18 2 2. B 1 28 6, 32 7, 33 8; 2 9 1.
Julia Caligulae soror A 19 4 3.
Julianus Bithynus B 6 1 8.
Julias urbs A 18 2 1. B 2 9 1; 3 10 7. V 71.
Julias (Livias) urbs A 18 2 1; 20 8 4. B 2 9 1; 4 7 6.
Julius leg. Romanae dux A 15 3 7.
Juno Argiva B 1 21 7.
Juppiter Casius B 4 11 5. Eyalius A 1 4 3. Hellenius A 12 5 5.

Digitized by Google

Olympius A 19 1 1. B 1 21 7.
Victor et Capitolinus A 19 4 3.
B 7 5 6.
Justus Josephi f. V 1, 76.
Justus Pisti f. V 9, 17, 37, 65, 70, 74, 75.
Iycaei A 8 5 3.
Izarae fons A 15 6.
Izari (?) urbs A 8 13 6.
Izates A 20 2—4. B 6 6 4.

Labanus A 1 6 2, 16 2, 19 7 et 9.
Labatha urbs A 7 5 5.
Labimus Mestraimi f. A 1 6 2.
Labina regio A 9 5 1.
Laborosoarchodus rex Babyloniae C 1 20.
Labosordachus rex Babyloniae A 10 11 2.
Lacedaemonii Judaeorum cognati A 12 4 10 sq.; 13 5 8. B 2 16 4. C 2 10, 31, 36, 37.
Lachis urbs A 8 10 1.
Lachisa urbs A 9 9 3.
Lamechus Mathusalae f. A 1 2 2, 3 4.
Laodice Galadenorum regina A 13 13 4.
Laodicea urbs B 1 21 11.
Laodicenses A 14 10 20.
Larcius Lepidus B 6 4 3.
Lasthenes Cretensis A 13 4 3, 4 9.
Latopolis urbs A 2 15 1.
Latusimus Dadanis f. A 1 15.
Lebana urbs A 10 5 2.
Lemba urbs A 13 15 4.
Lemonia tribus A 14 10 10.
L. Lentulus consul A 14 10 13 et 16.
Leontopolis urbs A 13 3 1.
Lepidus a Caligula occisus A 19 1 3 et 8.
Lesbus insula A 16 2 2.
Leuce castellum A 7 8 5.
Levias B 4 3 4.
Levi Jacobi f. A 1 19 8, 21 1; 2 7 4.
Levitae A 4 4 3; cf. 3 11 1, 12 4; 4 8 8 et 14 et 22; 5 1 24; 7 14 7; cf. 12 2; 8 10 1; 20 9 6.
lex Judaica A 12 2. B 7 5 7. cf. Mosaicae leges.
Lia Libani f. A 1 19 7 et 8.
Libanus mons A 3 14 1; 5 1 22, 3 1; 8 2 3, 6 3; 13 16 5; 19 5 1. B 1 17 3; 3 3 5. V 11.
Liberalis centurio B 6 4 7.
Liberius Maximus Judaeae procurator B 7 6 6.
Libya A 1 6 2, 15. Libya Pentapolitana B 7 11 1.
Libyes Phuti A 1 6 2.
Liternius Fronto B 6 4 3, 9 2.
Livia v. Julia.
Livias urbs A 14 1 4.
T. Livius A 14 4 3.
Lollius Damascum capit A 14 2 3. B 1 6 2.
Longinus trib. mil. B 2 19 7.
Longinus eques Rom. B 5 7 3; 6 3 2.
Lotus Aranae f. A 1 7—11.
Lucius miles Roman. B 6 3 2.
Lucullus A 13 16 4.
Ludas Lydorum auctor A 1 6 4.
Ludi v. Lydi.
ludi quinquennales in honorem Octaviani A 15 8 1. B 1 21 8. Palatini A 19 1 11.
Ludimus Mestraimi f. A 1 6 2.
Lugdunum urbs A 18 7 2. B 2 9 6.
luminum festum A 12 7 7.
Luomes Dadanis f. A 1 15.
Lupus Alexandriae praef. B 7 5 2, 8 4.
Lupus Julius trib. militum A 19 2 4 et 4 5.
lychnuchus sacer A 3 6 7.
Lycii B 1 21 11; cf. 2 16 4.
Lycurgus C 2 15, 31.
Lydda urbs B 1 11 2 et 15 6; 2 12 6; 3 3 5; 4 8 1. A 14 10 6, 11 2, 15 3; 20 6 2.
Lydi A 1 6 4; 12 4 3.
Lydia A 11 8 1.
Lysanias A 14 13 3; 15 4 1, 10 1. B 1 13 1, 20 4.

Digitized by Google

Lysias A 12 7 2—5, 9 3—4 et 7, 10 1; cf. 20 11.
Lysias castellum A 14 3 2.
Lysimachus Apollodoti frater A 13 13 3.
Lysimachus ab Herode M. interfectus A 15 7 8.
Lysimachus historicus C 1 34, 35; 2 2, 14.
Lysimachus Pausaniae f. A 14 10 10, 12 3.
Lysimachus Thraciam obtinet A 12 1 1.
Lyssa urbs A 14 1 4.

Maathas Baalis sacerdos A 9 7 4.
Mabortha v. Neapolis.
Maccabaei Judaeorum principes A 12 6.
Maccabaei septem fratres M 8.
Macceda locus Palaest. A 5 1 17.
Macedones A 11 8. B 2 16 4.
Macedones Epiphanis Commageni B 5 11 3.
Macedonia A 12 1 1.
Machaeras Romanorum dux A 14 15 7. B 1 16 6.
Machaerus castellum A 14 5 4; 18 5 1. B 1 8 1 et 5; 2 18 6; 3 3 3; 7 6 1—3.
Machama Davidis uxor A 7 1 4.
Machana Roboami uxor A 8 10 1.
Machas Nachorae f. A 1 6 5.
Machirus Galadita princeps A 7 9 8, cf. 5 5.
Machma urbs A 6 6 1; 13 1 6.
Machon urbs A 7 5 3.
Macro praetorio praefectus A 18 6 6, 6 7.
Macrones pop. Ponti C 1 22.
Madaei Medi dicuntur A 1 6 1.
Madanes Abrami f. A 1 15.
Mades Medorum auctor A 1 6 1.
Madiana urbs A 2 11 1.
Madianes Abrami f. A 1 15.
Madianitae A 4 6, 7 1; 5 6.
Maecia tribus A 14 10 10.
Maeotis palus B 7 7 4.
Magedo (Mageddo, Megiddo) urbs A 8 6 1; 9 6 3.
Magnus Campus v. Campus.
Magogae Scythae A 1 6 1.
Magoges Japhethae f. A 1 6 1.
Malachias B 6 1 8.
Malaelus Cainae f. A 1 3 4.
Malatha castellum A 18 6 2.
Malchus A 13 5 1.
Malchus (Malichus) A 14 14 1; 15 6 2. B 1 14 1.
Malchus B 3 4 2.
Malchus cf. Cleodemus.
Maliathe (s. Maniathe) urbs A 5 7 10.
Malichus A 14 5 2, 11 2 et 5. B 1 8 3, 11 2—3 et 7.
Malla urbs A 12 8 3.
Mallon Elimelechi f. A 5 9 1.
Malthace Herodis M. uxor A 17 10 1. B 1 28 4.
Mambre ilex Abrami A 1 11 2.
Mambres Abrami commilito A 1 10 1.
manaohase A 3 7 2.
Manaemus Essenus A 15 10 6.
Manaemus Israelitarum rex A 9 11 1.
Manaemus Judae Galilaei f. B 2 17 8 et 9. V 5.
Manalis regia A 7 1 3.
Manasses Ezeciae f. A 10 3 1—2.
Manasses Jaddi frater A 11 7 2, 8 1 et 4.
Manasses Josephi f. A 2 6 1, 8 1; 3 12 4. Manassae tribus 4 7 3; 5 1 22.
Manasses Peraeae praefectus B 2 20 4.
Manasses pontifex A 12 4 1.
Mandra locus Palaest. A 10 9 5.
Manetho C 1 14, 26—33; 2 2. A 1 3 9.
Maniathe v. Maliathe.
L. Manlius A 13 9 2.
manna A 3 1 6.
Mannaeus Lazari f. B 5 13 7.
Manoches Samsonis pater A 5 8 2.

Digitized by Google

Maon regio A 6 13 2.
Mar locus Arabiae A 3 1 1.
Maraeothus A 8 1 3.
Mararius A 2 7 4.
C. Marcellus consul A 14 10 13.
Marcellus procurator Judaeae A 18 4 2.
Marcus Alexandri Lysimachi f. A 19 5 1.
Mardochaeus Judaeorum dux A 11 3 10, 4 8.
Mardochaeus patruus Estheris A 11 6.
Maresa v. Marissa.
Maria B 6 3 4.
Mariamne Agrippae M. f. A 18 5 4; 19 9 1; 20 7 1—3. B 2 11 6.
Mariamne Alexandri f. A 14 12 1, 15 14; 15 2 5 sq., 3 5 et 9, 7 1 et 4. B 1 11 5, 17 8.
Mariamne Archelai ethnarchae uxor A 17 13 4. B 2 7 4.
Mariamne Aristobuli f. B 1 28 1.
Mariamne Josephi f. A 18 5 4.
Mariamne Moysis soror A 3 2 4; 4 4 6; cf. 2 9 4.
Mariamne Simonis f. A 15 9 3; 17 1 3 et 4 2. B 1 28 4, 30 7.
Mariamne turris B 2 17 8; 5 4 3; 7 1 1.
Marion Tyriorum tyrannus A 14 12 1. B 1 12 2.
Marista urbs A 8 12 1; 13 9 1; 14 4 4, 5 3, 13 9. B 1 13 9; cf. A 8 10 1; 12 8 6; 14 1 4. B 1 7 7.
Marmaridae B 2 16 4.
Marsuane mensis A 1 3 3.
Marsus Syriae praefectus A 19 6 4, 7 1, 8 1.
Marsyas Agrippae M. libertus A 18 6 3.
Marueius A 1 2 2.
Marullus A 18 6 10.
Masada castellum B 7 8 3 sq., cf. 13 7, 12 1. B 4 7 2, 9 3; 7 8 1, 8 5, 9 1.
Masmas Ismaeli f. A 1 12 4.
nasnaemphthes A 3 7 3.
Maspha urbs A 8 12 4.
Masphate urbs A 5 7 9; 6 2 1, 4 3; 10 9 2 sqq.
massabazanes A 3 7 1.
Massagetae A 11 2 1.
Massamas Ismaeli f. A 1 12 4.
Masses Ismaeli f. A 1 12 4.
Mastheron angustiae in Judaea A 6 13 4.
Matgenus Tyriorum rex C 1 18.
Mathusalas Anochi f. A 1 3 4.
Mathusalas Marueli f. A 1 2 2.
Mattathias Absalomi f. A 13 5 7.
Mattathias Joannis f. A 12 7 1—3. cf. B 1 1 3.
Matthias Anani f. A 19 6 4, 8 2.
Matthias Josephi abavus V 1.
Matthias Josephi atavus V 1.
Matthias Josephi pater V 1, 2, 40. B 5 13 1.
Matthias Margalothi f. A 17 6 2 et 4. B 1 33 3—4.
Matthias a Simone occisus Giorae B 4 9 11; 5 13 1; 6 2 2.
Matthias Theophili f. A 17 4 2, 6 4.
Matthias Theophili f. A 20 9 7.
Mauri B 2 16 4.
Maxilla locus A 5 8 9.
Mazaca urbs A 1 6 1.
Medaba urbs A 13 1 2, 9 1, 15 4; 14 1 4. B 1 2 6.
Medi s. Medaei A 1 6 1; 10 11 4.
Media B 7 7 4. A 9 12 13.
meeir A 3 7 4.
Megassarus B 5 11 5.
Megasthenes A 10 11 1. C 1 20.
Meirus sacerdos B 6 5 1.
Melamboreas B 3 9 3.
Melas Archelai legatus A 16 10 6.
Melcha Aranis filia A 1 6 5.
Melchisedeces A 1 10 2. B 6 10.
Melchisus Sauli f. A 6 6 6, 14 1.
Melitene regio B 7 1 3.
Melus insula A 17 12. B 2 7.
Memmius Regulus A 19 1 1.
Memnon Halicarn. A 14 10 23.
Memnonis monumentum B 2 10 2.

Digitized by Google

Memphibostus A 7 5 5, cf. 9 3, 11 3, 12 1.
Memphis urbs A 12 4 3, 5 3. B 4 9 7; 7 10 3. C 1 14.
Menander Ephesius C 1 18. A 8 5 3, 13 2; 9 14 2.
Mende urbs 10 5 1.
Mendesius nomos B 4 11 5.
Menedemus philosophus A 12 2 12.
Menenia tribus A 14 10 10.
Menelaus v. Onias.
Menophilus A 14 10 25.
mensa sacra A 3 6 6.
Mephramuthosis rex Aegypti C 1 15.
Mephres rex Aegypti C 1 15.
Merbalus Tyriorum rex C 1 21.
Meroba Sauli filia A 6 6 6.
Meroe metropolis Aethiopiae A 2 10 2.
Meroth vicus Galil. B 2 206; 3 31. V 37.
Mesanaei A 1 6 4.
Mesas Arami f. A 1 6 4.
Mesopotamia regio A 1 7 1; 7 6 1; 13 5 10; 18 9 1 sqq.
Messala A 14 14 4. B 1 14 4.
Messalina A 20 8 1.
Messenes Amenophis f. C 1 32.
Mestraei et Mestre A 1 6 2.
Mestraimus Chamae f. A 1 6 2.
Q. Metellus Creticus A 14 1 2, 2 5. B 1 6 2.
Metilius B 2 17 10.
Mia vicus A 20 1 1.
Micha A 7 5 5.
Michaeas vates A 8 14 5.
Michala Sauli filia A 6 10 2, 10 3, 11 4, 13 8; 7 1 4, 4 3.
Milesii A 14 10 21.
Milesius Damasco praefectus A 13 15 1.
Minaeus rex Aegypti A 8 6 2.
Minos C 2 16.
Minucianus Annius A 19 1 3 sqq., 4 3.
M. Minucianus A 19 4 3.
Minyas locus A 1 3 6.
Misaelus A 10 10 1, 5. M 16.
Misan Moabita A 9 3 1.
Misenum A 19 1 1.
Mithradates Artabani gener A 18 9 6 sqq.
Mithradates Parthus A 14 6 4. B 1 8 7.
Mithradates rex Ponti A 14 3 4.
Mithradates Sinaces A 13 14 3.
Mithridates Pergamenus A 14 8 1 sq. B 1 9 3 sq.
Mitylene urbs A 16 2 2.
Mnaseas historicus A 1 3 6. C 1 23.
Moabitae A 1 11 5; 5 4; 7 5 1; 9 1 2 sqq., 3 1 sqq.
Moabus A 1 11 5.
Moabitis A 4 5 1; 5 9 1. B 4 8 2.
Mochus historicus A 1 3 9.
Modiim (Modein, Modim) vicus A 12 6 1, 11 2; 13 6 5. B 1 1 3.
Modius (Aequicolus) Agrippae jun. procurator V 11, 24, 36.
Moesia B 4 10 6, 11 3; 7 4 3.
Molo v. Apollonius.
Momphis Benjaminis f. A 2 7 4.
Monobazi regia B 5 6 1.
Monobazus Bazaeus A 20 2 1—2.
Monobazus Monobazi regis f. A 20 2 1—2, 4 1—3.
Monobazus Monobazi regis propinquus B 2 19 2.
Mopsuestia urbs A 13 13 4.
Morius mons A 1 13 1.
Mosaicae leges A 3 9 sqq.; 4 8 sqq. cf. C 2 17—31.
Mosocheni Cappadoces A 1 6 1.
Mosoches Cappadocum princeps A 1 6 1.
Mosollamus sagittarius celeberrimus C 1 22.
Moyses A 2 9—4 49. C 1 8, 26, 31, 32; 2 2 et 15 et 16.
Muchaeus Persa A 11 6 1.
Mucianus Syriae praefectus B 4 15, 10 5—6, 11 1. cf. A 12 3 1.
muliebres turres B 5 2 2.
Mundus Decius A 18 3 4.

Digitized by Google

Murcus Syriae praetor A 14 11 1 sqq. B 1 10 10, 11 1 sqq.
Musca dea A 9 2 1.
Mygdonia v. Antiochia.
Myrrha Cinyrae f. A 19 1 13.
Mytgonus Tyriorum judex C 1 21.

Naamas A 1 2 2.
Naamis A 5 9.
Naases A 6 5 1; 7 6 1.
Naba urbs A 6 12 1, 13 6 et 7.
Nabadus A 3 8 1, 8 7.
Nabaeothes A 1 12 4.
Nabalus A 6 13 6—8.
Naballo urbs A 14 1 4.
Nabataei A 12 8 3; 13 1 2, 5 10; 14 2 3, 3 4.
Nabatena regio A 1 12 4.
nabla A 7 12 3; 8 3 8.
Naboandelus A 10 11 2; cf. Baltasarus.
Nabonidus C 1 20.
Nabopalassarus C 1 19.
Nabosaris A 10 8 2.
Nabuchodonosorus A 10 6 1—3, 7 1—3, 8 1—11, 1; cf. C 1 19 sq.
Nabuthus A 8 13 8.
Nabuzardanes A 10 8 5, 9 1 et 2.
Nacebus A 16 9 2.
Nachores Sarugi f. A 1 6 4.
Nachores Tharri f. A 1 6 5, 16 1.
Nadabus A 8 11 4.
Naeemanes A 2 7 4.
Nais vicus B 4 9 4 sq.
Naphaesus A 1 12 4.
Nahumus vates A 9 11 3.
Narbata regio B 2 14 5. Narbatena toparchia 2 18 10.
Nasamones B 2 16 4.
Nathan Davidis f. A 7 3 3.
Nathanaelus Davidis frater A 6 8 1.
Nathanas vates A 7 4 4, 7 3, 14 5.
Nazaraei A 4 4 4; cf. 19 6 1.
Neapolis urbs Samariae B 4 8 1.
Neapolitanus centurio B 2 16 4; cf. V 24.
Neara vicus A 17 13 1.
Nearda urbs A 18 9 1, 9 9.
Nebrodes A 1 4 2—3.
Nechao rex Aegypti A 10 5 1—2, 6 1.
Necropolis C 2 4.
Nedemus A 1 6 2.
Neemias A 11 5 6 et 8.
Nemessus A 9 6 1.
Nephanus A 7 12 2.
Nephthalis A 1 19 8. ejus filii 2 7 4. Nephthalis tribus A 5 1 22.
Nergelearus rex Babyloniae A 10 8 2.
Nerias Uriae f. A 10 8 6.
Neriglissorus rex Babyloniae C 1 20.
Nero imperator A 20 8 2—4 et 9—11. B 2 12 8. 13 2; 3 1 1 sq.; 4 9 2.
Neronias Caesarea Philippi A 20 9 4.
Nerus Baruchi pater A 10 9 1.
Nerus Sauli patruus A 6 6 6.
Netiras Galilaeus B 3 7 21.
Nicanor Antiochi Epiph. procurator A 12 5 5, 7 3.
Nicanor Demetrii regis amicus A 12 10 4—5.
Nicanor Ptolemaei Philad. procurator A 12 2 11.
Nicanor Titi amicus B 5 6 2.
Nicanor trib. milit. B 3 8 2 sqq.
Nicaso Manassae uxor A 11 7 2, 8 2.
Nicaulis Aegypti regina A 8 6 2—5.
Nicolaus Damascenus A 12 3 2; 13 8 4, 12 6; 14 1 2, 4 3, 6 4; 16 2 3, 7 1, 10 8, 11 3; 17 5 4, 9 6, 11 3 sq. B 1 32 3; 2 2 6 sq., 6 2. C 2 7; 1 3 6 et 9, 7 2.
Nicon B 5 7 2.
Nicopolis urbs Aegypti B 4 11 5.
Nicopolis urbs Epiri A 16 5 3. B 1 21 11.
Niger Peraita B 2 19 2, 20 4; 3 2 1; 4 6 1.
Niglissarus rex Babyloniae A 10 11 2.
Nilus fluv. A 1 1 3; 2 10 1. B 4 10 5; cf. 3 10 8.

Digitized by Google

Ninive urbs A 9 10 2.
Ninus rex A 9 10 2.
Ninus urbs A 1 6 4.
Niphates mons A 18 2 4.
Nisan mensis A1 35; 2 14 16; 11 48.
Nisibis urbs A 18 9 1 et 9; 20 3 2.
Noarus V 11. B 2 18 6.
Noema Lamechi filia A 1 2 2.
Noeus Lamechi f. A 1 3—5.
C. Norbanus Flaccus A 16 6 3 et 6.
Norbanus A 19 1 15.
Nosta mater Joachimi A 10 6 3.
Numenius Jonathae legatus A 13 5 8; cf. 14 8 5.
Numidae B 2 16 4.
Nymphidius libertus B 4 9 1.

Oasis urbs C 2 3.
Obedamus A 7 4 2.
Obedas Arabs A 13 13 5; cf. B1 4 4.
Obedas vates A 9 12 2.
Obedes Boazi f. A 5 9 4.
Obedias A 8 13 4.
Obimes A 8 11 1.
Obodas A 16 7 6, 9 4. B 1 24 6.
Ochozias Achabi f. A 8 15 6; 9 2 1 et 2.
Ochozias Jorami f. A 9 5 3, 6 3.
Octavia A 20 8 1—2.
Octaviae porticus B 7 5 4.
Odeas A 10 8 6.
Odolla urbs A 8 10 1.
Oeus Madianita A 4 7 1.
Oges A 4 5 3.
Ogyges quercetum A 1 10 4.
Olda vates A 10 4 2.
olivarum mons A 20 8 6. B 2 13 5; 5 2 3; 6 2 8.
Olsa s. Orsa A 8 12 4.
Olympias Herodis M. A 17 2 3. B1 28 4.
Olympici ludi A 16 5 3; 18 5 4. B 1 21 12.
Olympus Herodis M. amicus A 16 10 9. B 1 27 1.
Omanus A 2 1 2.
Oniae terra A 14 8 1. B 1 9 4.
Onias Aegyptiorum dux C 2 5.
Onias Jaddi f. A 11 8 7; 12 2 2.
Onias Menelaus A 12 5 1, 9 7. cf. B 1 1 1.
Onias Oniae f. A 12 5 1, 9 7; 13 3 1 sqq., 10 4. cf. B 1 1 1; 7 9 2 sq. A 20 11.
Onias Simonis f. A 11 8 7; 12 2 4.
Onias Simonis f. A 12 4 1—2 et 10.
Onias Simonis f., pontifex A 12 4 10.
Onias ab Hierosolymitis lapidibus obrutus A 14 2 1.
Ophellius A 14 13 5. B 1 13 5.
Ophires Juctae f. A 1 5 4.
Ophla locus B 2 17 9; 5 4 2, 6 1; 6 6 3.
Ophnis Eli f. A 5 10 1, 11 2.
Orebus Madianita A 5 6 5.
Orestarum gens A 11 8 1.
Orodes Artabani f. A 18 2 4.
Orodes Phraatis f. A 18 2 4.
Oronna Jebusaeus A 7 3 3, 13 9.
Orononae urbs A 13 15 4; 14 14.
Orpha mulier Moabitica A 5 9 1.
Orsanes Parthus A 14 6 4. B1 8 7.
Orus rex Aegypti C1 15, 26, 28.
Orus Mariamnae maritus A 3 2 4.
Oryba urbs A 14 1 4.
Osarsiphus C 1 26.
Oseas A 9 13 1, 14 1.
Ostracine urbs B 4 11 5.
Otho imperator B 4 9 2, 9 9.
Ozas pontifex A 7 4 2.
Ozias Amasiae f. A 9 9 3, 10 3 et 4.
Ozis Booci f. A 5 11 5.

Pacis templum B 7 5 7.
Pacorus Aradis f. A 14 13 et 15. B 1 13, 16 6.
Pacorus Artabani f. A 20 3 4. B 7 4.
Palaestina A 1 6 2. C 1 22.
Palaestini s. Philistaei A 1 6 2; 2 15 2; 5 1 18, 8 et 11 1; 6 1 2, 2 2, 6 9, 13 1 et 10, 14 1; 7 5, 12 2; 8 15 2; 9 10 3, 13 3.

Digitized by Google

Palaetyrus urbs A 9 14 2.
Pallas Antoniae servus A 18 6 6.
Pallas Felicis frater A 20 7 1, 8 9. B 2 12 8.
Pallas Herodis M. uxor A 17 2 3. B 1 28 4.
Palmyra Thadamora A 8 6 1.
Pamphylia A 11 8 1; 14 14 3.
Pamphylium mare A 2 16 5.
Panathenaea A 14 8 5.
Paneas regio A 17 8 1; cf. 15 10 3.
Paneas urbs A 18 2 1. B 2 9 1.
Panium locus A 15 10 3. B 3 10 7; 1 21 3.
Pannychia Herodis M. concubina B 1 25 6.
Pannonia B 4 10 6; 7 5 3.
Paphlagones, Paphlagonia A 1 6 1; 16 2 2.
Papinius trib. milit. A 19 1 6.
Papiria tribus A 14 10 10.
Pappus A 14 15 12 sq. B 1 17 5 sq.
Papyron urbs A 14 2 3.
Paradisus A 1 1 3.
Paradisus pensilis C 1 19.
Parmenio A 11 8 5.
ad Parios C. Julii rescriptum A 14 10 8.
Parthenius fluv. C 1 22.
Parthi A 13 5 11, 8 4, 13 4; 14 7 3, 13, 15 7; 18 2 4, 4 4. B 1 13, 16 6.
Pascha A 2 14 6; 3 10 5; 17 9 3. B 2 1 3.
Pastophoria B 4 9 12.
Patroclus Hyrcani legatus A 14 10 10.
Paulina Saturnini uxor A 18 3 4.
Paulinus trib. milit. B 3 8 1.
Paulinus Alexandriae praefectus B 7 10 4.
Pausanias Philippum occidit A 11 8 1; 19 1 13.
Pedanius legatus B 1 27 2.
Pedanius miles B 6 2 8.
Pella urbs Palaestinae B 3 3 3 et 5. A 13 15 4; 14 4 4. cf. B 1 4 8, 6 5, 7 6; 2 18 1.
Pella urbs Syriae A 14 3 2.
Pelusium urbs A 10 1 4; 14 8 1. B 1 9 4; cf. B 4 10 5.
Pentapolis Libyae B 7 11 1.
Pentecoste A 3 10 6. B 2 3 1.
Peraea regio B 3 3 3; A 17 8 1, 11 4. B 2 6 3, 20 4; 4 7 3 sqq. cf. A 13 4 9.
Pergamenorum decretum A 14 10 22.
Pergamum urbs B 1 21 11.
Peristereon petra B 5 12 2.
Persia, Persae A 1 6 4; 9 14 1; 10 11 4; 11 2 2, 6 1, 8 1 et 3. C 2 37.
Petephres Aegyptius A 2 4 1—2 et 5, 5 4.
Petephres Heliopolitanus A 2 6 1.
Petina Claudii Caesaris uxor A 20 8 1.
Petra Amalecitarum urbs A 3 2 1.
Petra metropolis Arabiae A 4 7 1, 4 7; 14 1 4. B 1 6 2, 13 8.
Petronius Aegypti praefectus A 15 9 2.
Petronius Syriae praefectus A 18 8 2—8. B 2 10 1—5; A 19 6 3.
Petrus Berenices libertus A 18 6 3.
Phabus pater Ismaeli A 18 2 2.
Phaceas ab Osea occisus A 9 11 1, 12 1, 13 1.
Phaceas a Phacea occisus A 9 11 1.
Phaedra Herodis M. uxor A 17 2 3. B 1 28 4.
Phalaus A 4 2 2.
Phalecus A 1 6 4.
Phallion B 1 6 3. A 14 2 3.
Phallus Rubeli f. A 2 7 4.
Phalna A 7 3 3.
Phanasus pontificum ultimus A 20 10.
Phannias B 4 3 8.
Phanuel locus A 1 20 2; 8 8 4.
Phara vallis B 4 9 4.
Pharanx locus in Chananaea A 3 14 1.
Pharanx locus ad Gerara A 1 18 2.

Digitized by Google

Pharaothes s. Pharao A 8 6 2.
Pharaothes Abrami uxorem concupiscit A 1 8 1.
Pharaothes Josephum rei frumentariae praeficit A 2 5 7, 6 1, 7 6—7.
Pharaothes Israelitas dimissos persequitur A 2 14 et 16.
Pharaothes Solomonis socer A 8 2 1, 6 1 et 2.
Pharathon urbs A 13 1 3; cf. 5 7 15.
Pharesus A 2 7 4. ejus filii duo ibid.
Pharisaei A 13 5 9, 10 6, 16 5; 17 2 4; 18 1 3. B 2 8 14. V 2.
Pharmuthi mensis A 2 14 6.
Pharnaces Mithridatis f. A 14 3 4.
Pharus insula B 4 10 5.
Phasaelis urbs A 16 5 2. B 1 21 9. A 17 8 1; 18 2 2. B 2 9 1.
Phasaelus Antipatri f. A 14 7 4, 9 2 et 5, 11 7, 13 5 et 6, 13 10. B 1 8 9, 10 4 et 9, 12 1, 13 4 et 5.
Phasaelus Herodis M. f. A 17 2 3. B 1 28 4.
Phasaelus Phasaeli Herodis M. fratris f. A 16 7 3; 18 5 4.
Phasaelus Pherorae f. A 17 1 3; cf. 16 7 6. B 1 24 5, 28 6.
Phasaelus turris A 16 5 2; 17 10 2. B 1 21 9; 2 3 2, 17 8; 7 1 1.
Pheldas A 1 6 5.
Pheles Tyriorum rex C 1 18.
Phelias A 6 13 8; 7 1 4.
Phenanna uxor Elcanae A 5 10 2.
Pherecydes Syrius C 1 2.
Pheroras Antipatri fil., Herodis frater natu minimus A 14 7 3, 15 4; 15 10 3; 16 1 2, 3 2, 7 3 et 4, 8 5 et 6; 17 2 4, 3 1 et 3, 4 2. B 1 8 9, 16 3, 24 5, 25 1 et 3, 27 2, 29 1—2 et 4, 30 6.
Pherorae uxor A 16 7 3; 17 2 4—4 2. B 1 29 et 30.
Phethrosimus A 1 6 2.
Phiala lacus B 3 10 7.
Phichola vicus A 12 4 2.
Phicolus Abimelechi dux A 1 18 3.
Phideas pontifex maximus A 10 8 6.
Phidias A 19 1 1.
Philadelphene regio B 3 3 3.
Philadelphia urbs B 2 18 1; 3 3 3. A 13 8 1; 20 1 1.
Philippi urbs A 15 12 3.
Philippio Ptolemaei Mennaei f. A 14 7 4. B 1 9 2.
Philippus Alexandri p. A 11 8 1; 19 1 13.
Philippus Antiochi Grypi f. A 13 13 4, 14 3, 15 1.
Philippus Galilaeus B 3 7 21.
Philippus Herodis M. f. A 17 1 3—4, 4 3, 8 1, 9 3, 11 1 et 4; 18 2 1, 4 6, 5 4. B 1 28 4, 31 1, 33 7; 2 6 1, 6 3, 9 1; 3 10 7.
Philippus Jacimi f. A 17 2 3. B 2 17 4, 20 1. V 11, 36, 74.
Philippus Syriae curator A 12 9 2 et 7.
Philistaei v. Palaestini.
Philistus C 1 3.
Philo Alexandrinus A 18 8 1.
Philo senior C 1 23.
Philostephanus A 12 5.
Philostratus A 10 11 1. C 1 20.
Phineas Idumaeorum dux B 4 4 2.
Phineas sacri thesauri custos B 6 8 3.
Phineeses Eleazari f. A 4 6 12, 7 1; 5 1 26 et 29, 11 5; 8 1 3.
Phineeses Eli f. A 5 10 1, 11 2 et 4.
Phison Ganges A 1 1 3.
Phoebus Agrippae legatus B 2 19 1.
Phoenicia, Phoenices A 9 14 2; 11 8 3; 12 4 1. C 1 2, 6, 12, 13, 19 22.
Phora fluv. A 1 1 3.
Phraataces A 18 2 4.
Phraates IV rex Parthorum A 15 2 2; 18 2 4.
Phritiphas Aegyptius C 1 32.

Digitized by Google

Phrurael dies A 11 6 13.
Phryges A 1 6 1; 12 3 4.
Phullus Assyriorum rex A 9 11 1.
Phutes Phutorum princeps A 1 6 2.
Phutus fluv. A 1 6 2.
Phylistinus Mestraimi f. A 1 6 2.
Phyte regio Africae A 1 6 2.
Pilatus (Pontius) A 18 2—4. B 2 9 2 et 4.
Pisidae A 13 13 5. B 1 4 3.
M. Piso A 14 4 2, cf. 10 14.
Piso Germanicum veneno interficit A 18 2 5.
Piso Romae praefectus A 18 6 5, 6 10.
Pistus Tiberiensis V 9, 37.
Pitholaus A 14 5 2, 6 1, 7 3. B 1 8 3 et 9.
Placidus tribunus militum B 3 4 1, 6 1, 7 3 et 34; 4 1 8, 8 4.
Platana vicus A 16 11 2. B 1 27 2.
Plato C 2 16 et 31, 36.
Plinthine urbs B 4 10 5.
Polemon rex Ciliciae A 20 7 5.
Polemon rex Ponti A 19 8 1.
Pollia tribus A 14 10 10.
Pollio Pharisaeus A 15 1 1, 10 4.
Pollio Romanus, Herodis M. amicus A 10 1.
Pollux Claudii servus A 19 1 2.
Polybius Megalopolitanus A 12 3 3, 9 1. C 2 7.
Polycrates historicus C 1 24.
Pompedius senator A 19 1 5.
Pompejus A 14 3 et 4 et 7. B 1 6 et 7 et 9. A 7 4. B 9 1.
P. Pomponius consul A 19 4 5. B 2 11 1.
Ponti rex Polemon A 19 8 1.
Pontifices maximi Judaeorum A 20 10; cf. 3 7 1, 12 2; 5 11 5; 10 8 6; 15 3 1; 20 1 3, 9 8. B 4 3 6; 5 4 7, 5 7. C 2 23.
Poplas Archelai amicus B 2 2 1.
Poppaea A 20 8 11, 11 1. V 3.
Posidonius C 2 7.
Priscus centurio B 6 2 10.
prophetae C 1 8.
Protagoras C 2 37.
Psephina turris Hierosolymitana B 5 4 3, cf. 2 2, 4 2 sq.
Pseudalexander A 17 12 1. B 2 7 1.
Psothomphanecus A 2 6 1.
Ptolemaeus I Lagi A 12 1 1. C 1 22; 2 4.
Ptolemaeus II Philadelphus A 12 2. C 2 4. A pr. 3.
Ptolemaeus III Euergetes C 2 5. A 12 4 1.
Ptolemaeus IV Philopator A 12 3 3, 4 1.
Ptolemaeus V Epiphanes A 12 3 3, 4 1 et 7.
Ptolemaeus VI Philometor A 12 4 11, 5 2; 13 3 2—3, 4 1 et 6—8. cf. C 2 5.
Ptolemaeus VII Physcon A 12 4 11 13 9 3. C 2 5.
Ptolemaeus VIII Lathyrus A 13 10 2, 12 2 et 6, 13 1—2 et 4. cf. B 1 4 1.
Ptolemaeus XII Auletes A 14 6 2. B 1 8 7.
Ptolemaeus Agrippae regis procurator B 2 21 3. V 26.
Ptolemaeus Dorymenis f. A 12 7 3.
Ptolemaeus Galilaeae praefectus A 14 15 6. B 1 16 5.
Ptolemaeus Herodis procurator A 16 7 2 et 3, 8 3; 17 8 2, 9 3. B 1 24 2, 33 8; 2 2 1.
Ptolemaeus Jamblichi f. A 14 8 1. B 1 9 3.
Ptolemaeus Mennaei A 13 15 2, 16 1; 14 2 2, 7 4, 12 1. B 1 9 2.
Ptolemaeus Nicolai Damasceni frater A 17 9 4. B 2 2 3.
Ptolemaeus Rhodius A 14 14 3. B 1 14 3.
Ptolemaeus Simonis gener A 13 7 4, 8 1. cf. B 1 2 3 sq.
Ptolemais (Ace A 9 14 2) urbs A 14 12 2, 13 1 et 3. B 1 13 1, 21 11; 2 10 2. cf. A 12 8 3;

Digitized by Google

13 2 1, 4 et 9, 6 2. B 1 5 3; 2 18 1.
Pudens Romanus B 6 2 10.
purificatio A 3 11.
putei bituminis A 1 9.
Puteoli (Dicaearchia) urbs A 18 6 4; 19 1 1. V 2.
Pygmalion C 1 18.
pyramides A 20 4 3.
Pythagoras C 1 2 et 22; 2 16.
Pythium A 16 5 3. B 1 21 11.

Quadratus v. Ummidius.
Quintilia A 19 1 5.
Quirina tribus A 14 8 5.
Quirinus A 17 13 5; 18 1 1, 2 1. B 2 8 1.

Raazarus latronum dux A 8 7 6.
Rabatha (Rabath Ammon, Philadelphia) urbs A 7 7 5, cf. 6 2, 6 3; 4 5 3.
Rabezacus Thaumasius A 11 3 5.
C. Rabilius consul A 14 10 20.
Rachaba Hierichuntina A 5 1 2, 1 7.
Rachela Labani f. A 1 19 5—9, 21 3.
Raelus Davidis frater A 6 8 1.
Raespha Sauli concubina A 7 1 4.
Raipta castellum A 16 9 3.
Ragaba castellum A 13 15 5.
Ragavus Phaleci f. A 1 6 4.
Ragmaei A 1 6 2.
Ragmus Chusi f. A 1 6 2.
Raguelus Esavi f. A 2 1 2.
Raguelus Moysis socer A 2 11 2; cf. 3 4.
Ramatha v. Armatha et Aramatha.
Ramatho v. Armatho.
Ramesses rex Aegypti C 1 15, 26, 32.
Rampses rex Aegypti C 1 26.
Raphanae urbs B 7 1 3, 5 1.
Raphia urbs A 13 13 3; 14 5 3. B 1 4 2, 8 4. cf. B 4 11 5.
Raphidin locus A 3 1 7.
Raphon urbs A 12 8 4.
Rapsaces Assyriorum dux A 10 1 1.
Ratholis rex Aegypti C 1 15.
Rathymus Cambysi Persarum regi a commentariis A 11 2 1.
Rebecca Bathueli filia A 1 6 5, 15 2—3, 18 1—4.
Reblatha urbs A 10 8 2, 8 5.
Recemus Madianita A 4 7 1.
Regmus, Regmaei v. Ragmus, Ragmaei.
Regulus v. Memmius, Aemilius.
Renga urbs A 6 14 1.
Ressa v. Thressa.
Rhegini A 1 6 1.
Rhenus fluv. B 2 16 4.
Rhinocorura sive Rhinocolura A 13 15 4; 14 14 2. B 1 14 2; 4 11 5.
Riphataei A 1 6 1.
Riphates Gomari f. A 1 6 1.
Rhoa rupes A 5 2 12.
Rhodus insula A 14 14 3. B 1 14 3, 21 11.
Robees Madianitarum rex A 4 7 1.
Roboamus Solomonis f. A 7 8 5; 8 8 1 et 2 sqq., 10 1—4.
Romae statua A 15 9 6. B 1 21 7.
Romani B 2. 16 4; 3 5 1 et 5 et 7. 11 5. C 12.
Romelias pater Phaceae regis A 9 11 1.
Rooboth puteus A 1 18 2.
Ros Benjaminis f. A 2 7 4.
Roxane Herodis M. f. A 17 2 3. B 28 4.
Rubelus A 1 19 8; 2 7 4. Rubeli tribus 4 7 3.
Rubrius Gallus B 7 4 3.
Rubrum mare A 1 1 3, 12 4; 2 15 3, 16 4.
Rufus (Annius) A 18 2 2.
Rufus Judaeorum dux A 17 10 3, 10 9. B 2 3 4, 5 2.
Rufus miles B 7 6 4.
Ruma Nachorae concubina A 1 6 5.
Ruma vicus B 3 7 21.

Digitized by Google

Rutha A 5 9 1—2 sqq.
Rydda urbs A 14 1 4.

Saab vicus B 3 7 21.
Saba urbs A 2 10 2.
Sabacathas A 1 6 2.
Sabacatheni A 1 6 2.
Sabaei A 1 6 2.
Sabaeus A 7 11 6—7.
Sabas Chusi f. A 1 6 2.
Sabas Regmi f. A 1 6 2.
Sabathanes Sui f. A 1 15.
Sabathas A 1 6 2.
Sabatheni A 1 6 2.
Sabathes A 7 11 8.
Sabatina tribus A 14 10 13, 10 19.
Sabbaeus Samarita A 13 3 4.
Sabbaticus fluv. B 7 5 1.
Sabbatum A 1 1 1; 3 10 1; 13 8 4. B 1 7 3; 4 2 5. V 32. C 2 2.
Sabbion A 15 3 2.
Sabecus Syrorum dux A 7 6 3.
Sabeus Juctae f. A 1 6 4.
Sabinus Gai Caesaris satelles A 19 1 15.
Sabinus Syriae procurator A 17 9 3, 10 1 et 10. B 2 2 2, 3 1, 5 2.
Sabinus Syrus B 6 1 6.
Sabinus trib. militum A 19 1 7 et 14, 4 4 et 6.
Sabinus Vespasiani frater B 4 11 4.
Sabuchades eunuchus A 11 6 11.
Sacae A 18 4 4; 20 4 2.
saccharum planta A 3 7 6.
sacerdotes Judaeorum A 3 7 1; 3 9 4, 12; 4 4 4; 7 14 7; 20 8 8 et 9 2. B 5 5 7. C 1 7, 2 8 et 13.
sacrificia A 3 9 sq. cf. C 2 23.
sacrosanctum templi Hierosolym. B 5 5 4 sqq.
Sadducaei A 13 5 9, 10 6; 18 1 4; 20 9 1. B 2 8 14.
Sadducus Pharisaeus A 18 1 1.
Sadocus pontifex maximus A 7 2 2, 5 4, 9 2 et 7, 11 1 et 4; 8 1 4; cf. 10 8 6.
Sadraces Samarita A 11 4 9.
Saira urbs A 1 20 3; cf. 2 1 4.
Saites nomus C 1 14.
Salampsio Herodis M. filia A 18 5 4; cf. 16 7 4. ejus liberi 18 5 4.
Salamon v. Solomon.
Salas Arphaxadis f. A 1 6 4.
Salas Judae f. A 2 7 4.
Salathielus A 11 3 10.
Salatis C 1 14.
Salephus A 1 6 4.
Sallis oppidum B 3 2 2.
Sallumus maritus Oldae A 10 4 2.
Sallumus pontifex maximus A 10 8 6.
Salmana Madianita A 5 6 5.
Salmanasares A 9 13 1, 14 1—2.
Salome v. Alexandra.
Salome Herodis M. filia ex Elpide A 17 2 3. B 1 28 4.
Salome Herodis filia ex Herodiade A 18 5 4.
Salome Herodis M. soror A 14 7 3; 15 3 9; 16 12. 3 2, 7 3 et 5—6, 10 5; 17 1 1, 2 4, 5 7, 6 5, 8 1, 9 3, 11 5; 18 2 2. B 1 7 9—10, 27, 28 6, 29 1, 32 6, 33 6 et 8; 2 2 2, 6 3, 9 1.
Samacho Isatae uxor A 20 2 1.
Samaea urbs B 1 2 6. A 8 9 1.
Samaeas vates A 8 10 3.
Samalus A 6 8 1.
Samaraeus A 1 6 2.
Samaria regio B 3 3 4. A 9 14 3; 11 4 3, 8 6 et 9; 12 4 1, 5 5; 17 11 4, 13 5; 18 4 1—2; 20 6. B 2 6 3, 8 1, 12 5; 3 7 32. A 13 3 4.
Samaria urbs A 8 12 5, 14 1; 9 4 4; 13 10 3; 14 4 4, 5 3; 15 7 3, 8 5. B 1 8 4, 21 1.
Samaronus Isacharis f. A 2 7 4.
Samas Davidis frater A 7 8 3.
Sambabas praefectus Samariae A 11 4 8.
Sameas Pharisaeus A 14 9 4; 15 1 1 et 10 4. A 14 9 4.
Samega urbs A 8 9 1. cf. Samaea.

Digitized by Google

Samos insula A 16 2 2. B 1 21 11.
Samosata metropolis Commagenae B 1 16 7; 7 7 1. A 14 5 8 sq.
Sampho vicus A 17 10 9. B 2 5 1.
Sampsigeramus Emesorum rex A 18 5 4; 19 8 1.
Samson Manochae f. A 5 8 4—12.
Samuelus Alcanae A 5 10 2 et 3; 6 2 1—4, 7, 8, 13.
Sanaballetes Chutaeus A 11 7 2, 8 2 et 4 et 9.
Sanagarus Anathi f. A 5 4 3.
sanctum sanctorum B 5 5 5. cf. A 3 6 4.
Saphan scriba Josiae regis A 10 4 1.
Saphas locus A 11 8 5.
Saphata vallis A 8 12 2.
Saphates Galilaeae praefectus A 8 2 3.
Saphatias Davidis f. A 7 1 4.
Saphatus pater Elissaei A 8 13 7.
Saphonia Gadis f. A 2 7 4.
Sapphora v. Sepphora.
Sappinas (Sappinius) Herodis M. amicus A 14 4 3. B 1 14 3. cf. A 16 8 3.
Sara Aseri f. A 2 7 4.
Sara urbs A 6 12 4.
Sarabarzanes Persa A 11 4 4.
Saradus Zabulonis f. A 2 7 4.
Saraim urbs A 8 10 1.
Saramalla (Samaralla) Syrus A 14 13 5; 15 2 3. B 1 13 5.
Sarasa urbs A 5 8 12.
Sarasarus Senacheribi f. A 10 1 5.
Sardes urbs A 14 10 17 et 23; 16 6 6.
Sareas dux Judaeorum A 10 9 2.
Sareas pontifex maximus A 10 8 5.
Sarephtha urbs A 8 13 2.
Sariphaeus Judae legum interpretis pater A 17 6 2. B 33 3.
Sarmathae B 7 4 3.
Sarra Abrami uxor A 1 6 5, 8 1, 12 2, 14. cf. B 5 9 4 sqq.
Saruia Davidis soror A 6 13 9.
Saturninus Syriae praefectus A 16 9 1, 11 3; 17 1 1, 2 1, 5 2. B 1 27 2 et 28 1.
Saturninus Tiberii amicus A 18 3 5.
Saturninus (Cn. Sentius) A 19 2 2.
Saulus Agrippae regis cognatus A 20 9 4. B 2 17 4, 20 1.
Saulus Cisi f. A 6 4 1—14 8.
Saulus Scythopolitanus B 2 18 4.
Saulus Symeonis f. A 2 7 4.
Scala Tyriorum, mons A 13 5 4. B 2 10 2.
Scaurus a Pompejo in Syriam mittitur; inde in Judaeam profectus Aristobulo opitulatur contra Hyrcanum A 14 2 3, 4 5, 5 1. B 1 6 3, 7 7, 8 1.
scenae locus A 1 21 1.
Scenopegia festum A 3 10 5; 4 8 12; 8 4 5.
Scipio Alexandrum occidit A 14 7 4. B 1 9 2.
Scopas Ptolemaei Epiphanis dux A 12 3 3.
Scopus locus B 2 19 4, 19 7; 5 2 3.
scriptores ab Josepho laudati v. auctores.
Scythae (Magogae) A 1 6 1; 18 4 4. C 2 37.
Scythopolis urbs B 3 3 1. A 5 1 2 2; 6 14 3; 12 4 5 et 8 5; 13 10 3, 13 2 et 15 4; 14 3 4 et 4 4. B 1 2 7 et 8 4; 2 18 3; 3 9 7. V 6 5.
Sebaste urbs Palaest. A 15 8 5; 17 11 4 et 13 5; 19 9 1. B 1 21 1; 2 6 3, 8 1, 18 1.
Sebastenorum turma A 19 9 1 sq.; 20 6 1. B 2 12 5.
Sebaste insula A 16 4 6. B 1 23 4.
Sebastus Caesareae urbis portus A 17 5 1. B 1 31 3.
Sebee urbs A 5 7 12.
Sebonitis (Essebonitis) regio B 2 18 1.
Secela, Secella v. Sicella.
Sedecias vates A 8 15 4.

Digitized by Google

edezias Joachimi patruus A 10 7—8 7. cf. B 5 9 4.
edraches cf. Ananias.
ejanus A 18 6 6.
elamin vicus B 2 20 6. V 37.
elene Syriae regina A 13 16 4.
eleucia urbs Babyloniae A 18 9 8.
eleucia urbs Gaulanitidis, B 2 20 6; 4 1 1. A 13 15 3. V 37.
eleucia urbs Syriae A 13 7 1.
eleucus I Nicator A 12 1 1 et 3 1; 18 9 8. C 2 4.
eleucus IV Philopator A 12 1 10—11. M 4.
eleucus VI Epiphanes A 13 13 4.
ella Samechi uxor A 1 2 2.
ellimus Nephthalis f. A 2 7 4.
ellumus Israelitarum rex A 9 11 1.
emaron mons A 8 11 2.
emareon urbs A 8 12 5. cf. Samaria.
emarus A 8 12 5.
emas Noei f. A 1 4 1 et 6 4.
emechonitis (Samachonitis) locus B 3 10 7; 4 1 1.
emegarus Babyloniorum dux A 10 8 2.
emei Gerae f. A 7 9 4 et 11 2; 8 1 5.
emeis praefectus tribus Benjam. A 8 23.
emelius scriba Cambysis A 11 2 1.
. Sempronius A 13 9 2.
enahares Sodomitarum rex A 1 9.
enachoribus Assyriorum rex A 10 1 1 sqq.
ennaar campus A 1 4 1 et 3.
ennabris locus B 3 9 7.
eph castellum B 2 20 6.
epphoris (Sapphora, Semphora, Samphora) urbs A 14 5 3 et 15 4; 17 10 9; 18 2 1. B 1 8 5 et 16 2; 2 5 1 et 20 6. V 65.
epphoritae B 3 2 4 et 4 1. V 8, 22, 25, 67, 71.
eptuaginta interpretes A 12 2 5 et 6, 12 et 14.
Serebaeus Judaeorum dux A 11 3 10.
Sergia tribus A 14 10 10.
Seron Antiochi Epiphanis dux A 12 7 1.
Serritae Palaestinis finitimi A 6 13 10.
Sertorius miles B 6 3 2.
Serugus Ragavi f. A 1 6 4.
servi non testes A 4 8 15.
P. Servilius Galba proconsul A 14 10 21.
Servilius Gabinii legatus A 14 6 1. B 1 8 6.
Sesostris C 2 11.
Sethon C 1 26.
Sethosis C 1 15.
Sethus Adami f. A 1 2 3.
Sextus Caesar A 14 9 2 et 4, 11 1. B 1 10 5 et 7 et 10.
Sibas Saulī libertus A 7 5 5, 9 3.
Sicarii A 20 8 10 et 9 2. B 2 13 3; 4 7 2; 7 7 et 9; 8 8 1, 10 1, 11 1.
Sicella (Secella, Secela) vicus A 6 13 10, 14 5; cf. 6 14 6; 7 1 1 et 2.
Sichemes Sicimita A 1 21 1.
Sicho Moabitidis rex A 4 5.
Sicima urbs A 5 1 21 et 24, 7 2 et 4. B 4 8 1. A 6 7 3; 8 8 4; 11 8 6; 12 5 5. cf. A 4 8 44; 5 1 19; 12 5 5; 13 9 1. B 1 4 4.
Siclus nummus A 3 8 2.
Sidon urbs A 1 6 2; 9 14 2; 11 41, 4 6, 8 3; 14 10 2 et 6, 12 6, 13 3; 18 6 3. B 1 13 1, 21 11; 2 18 5.
Sidonius Chanaani f. A 1 6 2.
Sidonius vicus B 2 20 6. V 37.
Silanus Syriae praefectus A 18 2 4.
Silas Agrippae M. amicus A 18 6 7; 19 7 1, 8 3.
Silas Babylonius B 2 19 2 et 9. B 3 2 1.
Silas Lysiadis tyrannus A 14 3 2.
Silas Tiberiadis praefectus V 17.
Silbonitis regio B 3 3 2. (B 2 18 1?).

Digitized by Google

Silo Romanorum dux A 14 14 6; 15 3 et 5. B 1 15 2 et 6, 16 4.
Silo urbs A 5 1 19, 2 9; cf. 5 10 2, 11 3; 8 7 7, 11 1.
Siloa fons B 2 16 2; 5 4 1, 4 2, 6 1, 12 2.
Silva Libani A 8 7 2.
Simon Ananiae f. B 2 17 4.
Simon Ari f. B 5 6 1; 6 1 8, 2 6.
Simon Boethi f. pontifex fit; ejus filiam Herodes M. uxorem ducit A 15 9 3. pontificatu privatur A 17 4 2.
Simon Camithi f. A 18 2 2.
Simon Cantheras A 19 6 2 et 4; cf. 20 1 3.
Simon Cathlae f. B 4 4 2 et 4; 5 6 1; 6 2 6.
Simon Cyprius A 20 7 2.
Simon Dosithei f. A 13 9 2.
Simon Essaeus A 17 13 3. B 2 7 3.
Simon Ezronis f. B 5 1 2.
Simon Gabarenorum princeps V 25.
Simon Giorae f. B 2 19 2, 21 2; 4 9 3—12; 5 1 3, 6 1 et 3—4, 11 5, 13 1—2; 6 6 2, 8 1; 7 2 1, 5 6, 8 1.
Simon Gischalenus V 38.
Simon Herodis M. servus A 17 10 5. B 2 4 2.
Simon Hierosolymitanus A 19 7 5.
Simon Jonathae f. V 39 et 63. cf. B 2 21 7.
Simon Josephi satelles V 28.
Simon Josiae f. B 6 2 6.
Simon Judae Galilaei f. A 20 5 2.
Simon Justus pontifex maximus A 12 2 4.
Simon Matthes A 12 6 1 et 3, 8 2; 13 1, 5 4—7 4. cf. B 1 2 sq.
Simon Psellus Josephi atavus V 1.
Simon Scythopolitanus B 2 18 4.
Simon Simonis Justi nepos, pontifex maximus A 12 4 10.
Simonias vicus V 24.
Simonides Flavii Josephi f. V 76.
Sina mons A 2 12 1; 3 2 5 et 5 1.
Sinaeus Chanaani f. A 1 6 2.
Sinope urbs A 16 2 2.
Siphar Ammanitidis dynasta A 7 98.
Siris (Sirias?) regio A 1 2 3.
Sisa Davidis scriba A 7 5 4.
Sisares Chananaeorum dux A 5 5 4.
Sisenna Gabinii legatus A 14 6 1. B 1 8 6.
Sisines Syriae et Phoeniciae praef. A 11 4 4.
Sitenna puteus A 1 18 2.
Soa Aegypti rex A 9 14 1.
Soarus Symeonis f. A 2 7 4.
Soba in Damascenorum terra A 1 10 1.
Sobacchis Chettaeus A 7 12 2.
Sobnaeus ad Assyrios legatus A 10 1 2.
Socho vicus A 8 10 1; 6 9 1.
Socrates C 2 12 et 37.
Sodoma urbs A 1 11, cf. 8 3.
Sodomitarum quinque civitates A 1 9; 1 11.
Sodomitica regio B 4 8 4.
Sočmus Arabs A 17 3 2. B 1 29 3.
Sočmus Emesenus A 20 8 4. V 11. B 2 18 9; 3 4 2; 7 7 1.
Sočmus Ituraeus A 15 6 5, 7 1 et 4.
Sogane urbs Gaulanitidis superioris B 2 20 6; 4 1 1. V 37, cf. 10.
Sogane vicus V 51.
Solomon A 7 3 3, 7 4, 15 5 et 9, 16 1; 8 1—7.
Selon C 2 15.
Solyma v. Hierosolyma.
Solymi montes C 1 22.
Solymus A 12 4 6.
Somorron B 4 8 2.
Sophaces pop. Africae A 1 15.
Sopharus A 2 1 2.
Sophas B 4 3 4.
Sophene regio A 7 5 1; 8 7 6.
Sophira regio A 8 6 4.
Sophon A 1 15.
Sophonias A 10 8 5.
Sosibius Tarentinus A 12 2 2.

Digitized by Google

Sosipater A 14 10 22.
Sosius A 14 15 9, 16 1. B 1 17 2 sqq., 18 1 sqq.; 5 9 4; 6 10.
Spartani C 1 31. A 13 5 8.
Spasinae Charax urbs A 1 6 4; 20 2 1, 2 3.
Spinarum vallis B 5 2 1.
Stellatina tribus A 15 10 10.
Stephanus Caesaris servus A 20 5 4. B 2 12 2.
Stoecheus Agrippae M. libertus A 18 6 7.
Stoici philosophi C 2 16.
stola pontificalis A 18 4 3, 11 4; 20 1 1 sqq.
Strabo A 13 10 4, 11 3, 12 6; 14 3 1, 4 3, 6 4, 7 2, 8 3; 15 1 2. C 2 7.
Stratonis turris A 15 8 5; 13 12 2 et 4; 14 4 4; 15 7 3; cf. 13 11 2. B 1 3 4 sq.
Strato Beroeae tyrannus A 13 14 3.
Strato ad Romanos legatus A 14 10 22.
Stratonice C 1 22.
Struthia piscina B 5 11 4.
Suba Ammanitis A 7 6 1.
Sudeas pontifex A 10 8 6.
Sumis Gadis f. A 2 7 4.
Suna urbs A 6 14 2.
Sures Madianita A 4 6 10, 7 1.
Suris Abrami f. A 1 15.
Susa Davidis scriba A 7 4 8.
Susa Persiae metropolis A 10 11 7; 11 6 1, 6 2, 6 7.
Susaeus A 8 10 3; cf. 7 5 3.
Suus Abrami f. A 1 15.
Sycaminus oppidum A 13 12 3.
Sychemes v. Sichemes.
Syene urbs B 4 10 5.
Sylla Agrippae jun. dux A 71 sqq.
Syltaeus Arabs A 16 7 6, 9 1 et 3 et 8 sq.; 17 3 2. B 1 24 6, 29 3.
Symeon Gamalielis f. B 4 3 9. V 38.
Symeon Jacobi f. A 1 19 8, 21 1; 2 6 4, 7 4; 5 1 22.
Symoborus A 1 9 1.
synedria quinque in Judaea A 14 5 4. B 1 8 5.
Syria, Syri A 1 6 4; 8 14 1 sqq., 15 5; 9 4 4—6, 6 1, 8 1 et 4 et 7; 2 10 1, 12 1 et 3; 10 6 1. cf. C 1 19. A 11 8 3; 12 1 1, 3 1—4, 4 1 et 10—11, 9 7, 10 1; 13 2, 4 8, 5 3, 7 1—2, 8 4, 9 3, 10 1, 13 4, 16 4; 14 2 3, 7 3. B 2 18. C 1 22.
Syrtes B 2 16 4.
Syrus rex Mesopotamiae A 7 6 1.

Tabaeus A 1 6 5.
tabernaculum a Moyse exstructum A 3 6—8.
tabernaculorum festum v. scenopegia.
Tanais fluv. B 7 7 4.
Tangana praefectus Samariae A 11 4 8.
Tanis urbs B 4 11 5.
Tarentum urbs A 17 5 1.
Taricheae urbs V 27, 32. B 2 20 6, 21 3; 3 10 3—5 et 10; 3 10 1. A 14 7 3; 20 8 4.
Tarsus metropolis Ciliciae A 1 6 1; cf. 9 10 2. B 7 7 3
Taurus mons A 11 8 3. B 2 16 4.
Tavaus Nachorae f. A 1 6 5.
Telithon urbs A 13 5 4.
templum in monte Garizin A 11 8 4; 12 5 5; 13 8 4.
templum Heliopolitanum B 7 9 2—4. cf. A 13 3.
templum Hierosolymitanum A 4 8 5; 8 3; 10 8 5, 11 2 1 et 4 7; 14 4 4; 15 11 1; 17 10 2; 20 9 7. B 1 7 6; 2 19 5; 4 3 11; 5 12, 3 1, 5; 6 2 6—4 8, 7 11. C 1 17, 19, 21, 22; 2 2 et 8.
Tephthaeus Galilaeus B 5 11 5.
Terentina tribus A 14 10 10, 10 13, 10 19.
Terentius Rufus B 7 2 1.

Digitized by Google

Tero miles A 16 11 4 et 6. B 1 27 4 et 6.
Tethmosis C 1 26.
Thabnaeus v. Thamnaeus.
Thadalus Assyrius A 1 9.
Thadamora urbs A 8 6 1.
Thaenus rex Amathae A 7 5 4.
Thales C 1 2.
Thallus Tiberii libertus A 18 6 4.
Thamara Abesalomi f. A 7 10 3.
Thamara Davidis f. A 7 3 3, 8 1.
Thamna urbs A 5 1 29, 8 5; 14 11 12. B 1 11 2; 2 20 4; 3 3 5; 4 8 1.
Thamnaeus A 8 12 5.
Thamnata urbs A 13 1 3.
Thannus A 7 2 1.
Thaphine A 8 7 6.
Thapsa urbs A 9 11 1.
Tharabasa urbs A 14 1 4.
Tharata Assyrius dux A 10 1 1.
Tharbis Aethiopis f. A 2 10 2.
Tharrus A 1 6 5.
Tharsa urbs A 8 12 3; 9 11 1.
Tharsices rex Aethiopiae A 10 1 4.
Tharsus Cilicia A 1 6 1.
Tharsus Jovani f. A 1 6 1.
Thaumastus Gai servus A 18 6 6.
Thebae urbs Aegypti B 7 10 1.
Thebae urbs Palaest. A 5 7 5; 7 7 2.
Thebani paederastiae dediti C 2 37.
Thecoa urbs A 8 10 1; 9 1 3. B 4 9 5. V 75.
Theglaphalassar Assyrius A 9 11 1, 12 3.
Thella vicus B 3 3 1.
Themanus Eliphacae f. A 2 1 2.
Themanus Ismaeli f. A 1 12 4.
Theodectes poeta tragicus A 12 2 13.
Theodestes Persa A 11 6 4, 6 10.
Theodorus Zenonis f. A 13 13 3 et 5. B 1 4 2—3.
Theodosius Samarita A 13 3 4.
Theodosius Suniensis A 14 8 5.
Theophilus C 1 23.
Theophilus Anani f. A 18 5 3; 19 6 2.
Theophilus Matthiae pater A 17 4 2.
Theophrastus C 1 22.
Theopompus historicus A 12 2 13. C 1 24.
Thermodon fluv. C 1 22.
Thermus legatus C 2 5.
Thermusa A 18 2 4.
Thesbona urbs A 8 13 2.
Theudas A 20 5 1.
Theudion A 17 1 1, 4 2. B 1 28 1, 30 5.
Thiras Japhetae f. A 1 6 1.
Thires Thraces A 1 6 1.
Thisri mensis A 8 4 1.
Thmasis rex Aegypti C 1 15.
Thmuis urbs B 4 11 5.
Thobeli Iberi A 1 6 1.
Thobelus Japhethae f. A 1 6 1.
Thobelus Lamechi f. A 1 2 2.
Tholomaeus Gessiroram rex A 7 14.
Tholomaeus latronum dux A 20 1 1.
Thraces A 1 6 1; 17 8 3. B 1 33 9; 2 16 4.
Thraciae emporia A 9 1 4.
Thressa (Ressa, Resa) castellum A 14 13 9, 15 2. B 1 13 8, 15 4.
Thucydides C 1 3 et 12.
Thulas Isacharis f. A 2 7 4.
Thummosis rex Aegypti C 1 14.
Thygrammaei Phryges A 1 6 1.
Thygrammes Gomari f. A 1 6 1.
Tiberias urbs A 18 2 3; 20 8 4. B 2 9 1, 20 6, 21 6—8; 3 9 7. V 9, 12, 17, 32, 53, 63, 65, 68, 70.
Tiberius Alexander A 20 5 2. B 2 11 6; 2 187; 4 10 6; 5 16, 54, 12, 2; 6 4 3.
Tiberius Caesar A 18 2—6. B 2 9 1.
Tiberius Gemellus, Tiberii Caesaris nepos A 18 6 4 et 8—9.
Tigellinus B 4 9 2.
Tigranes Alexandri Herodis filii f. A 18 5 4. B 1 28 1.

Digitized by Google

Tigranes Alexandri Herodis M. nepotis f. A 18 5 4.
Tigranes rex Armeniae A 13 16 4. cf. B 1 5 3.
Tigranes Parthus a Romanis in regno collocatur A 4 4 3. B 1 19 5.
Tigris fluv. A 1 1 3.
Timaeus (Timaus) rex Aegypti C 1 14.
Timaeus historicus C 1 3 et 24.
Timagenes historicus C 2 7. A 13 11 3, 12 5.
Timidius A 19 1 5.
Timius Cyprius A 18 5 4.
Timotheus Ammanitarum dux A 17 8 1.
Tirathana vicus A 18 4 1, 4 2.
Tiridates rex Armeniae B 7 7 4.
Titanum vallis prope Hierosolyma A 7 4 1.
Titius Syriae praefectus A 16 8 6.
Titus Frugi B 6 4 3.
Titus Vespasiani f. B 3 1 2—7 5 4. A 12 3 1. V 70 et 76. C 1 3.
Tityi C 1 18.
Tobiae filii A 12 5 1, cf. 4 2. B 1 1 1.
Tochoa urbs A 1 3.
toparchiae Judaeae B 3 3 5.
Trachonitis regio A 15 10 1 sqq. B 1 20 4. A 16 4 6, 9 1 et 3; 17 2 1 sqq., 8 1; cf. 17 11 4. B 2 6 3.
Trajanus legionis praefectus B 3 7 31, 10 3.
Tralles urbs A 14 10 21.
Trebellius Maximus senator A 19 2 3.
Tripolis urbs A 12 10 1; 13 10 3. B 1 21 11.
Tripolitici auctor C 1 24.
Troglodytica terra A 1 15; cf. 2 11 2.
Tryphon v. Diodotus.
Tryphon Herodis M. tonsor A 16 11 5 sq. B 1 27 5 sq.
Tryphon Ptolemaei Epiph. joculator A 12 4 9.
Tusculanum villa A 18 6 6.
Typhonis urbs C 1 26.
Tyrannius Priscus B 2 19 4.
Tyrannus Herodis satelles A 16 10 3.
Tyropoeorum vallis B 5 4 1.
Tyrrheni C 2 4.
Tyrus castellum A 12 4 11.
Tyrus, Tyrii C 1 13, 17, 18, 21, 22, 67. A 9 14 2; 11 8 3; 14 12 1 et 3, 13 3. B 1 12 2, 13 1, 21 11; 2 18 5. V 10, 74.

Ulatha regio A 15 10 3.
Ulus A 1 6 4.
Ummidius Quadratus A 20 6 2. B 2 12 5 sq.
Ure Chaldaeorum urbs A 1 6 5.
Ures Madianita A 4 7 1.
Ures tribus Ephraimiticae praefectus A 8 2 3.
Urias Beersabes maritus A 7 7.
Urias pontifex maximus A 10 8 6.
Urus A 3 6 1.
Usis A 2 7 4.
Usus A 1 6 4.
Uxus A 1 6 5.

Valatha locus A 17 2 1.
Valens Vitellii dux B 4 9 9.
Valerianus decurio B 3 9 7.
L. Valerius praetor A 14 8 5.
Valerius Asiaticus A 19 1 14, 1 20, 4 3.
Valerius Gratus A 18 2 2.
Vallis gratiarum A 9 1 3.
Varro Syriae praefectus B 1 20 4. A 15 10 1.
Varus (Quintilius) A 17 5 2, 9 3, 10 1 et 9. B 1 31 5; 2 2 2, 5 1 sqq.
Vaste Artaxerxis I uxor A 11 6 1.
Vatinius senator A 19 1 13.
Ventidius A 14 14 6, 15 7. B 1 15 2, 16 6.
Veranius senator A 19 3 4.
Vespasianus B 3 et 4 et 7. V 65 et 76. C 1 9.
Veturia tribus A 14 10 13, 10 19
Vienna urbs A 17 13 2. B 2 7 3.

Digitized by Google

Vindex B 4 8 1.
M. Vinicius A 14 1 14.
Vitellius A 15 11 4; 18 4 3—5.
Imp. Vitellius B 4 9 2, 9, 9, 10 1, 11 2 et 4.
Vitellius B 7 4 2.
Vitellius Proculus A 19 6 3.
Vologeses Parthus A 20 3 4, 4 1—2. B 7 5 2, 7 3.
Volumnius Syriae praefectus A 16 9 1, 10 7 et 9, 11 3. B 27 1 et 3.
Vonones Parthus A 18 2 4.

Xaloth vicus B 3 3 1.
Xerxes A 11 5 1 et 6. B 2 16 4.
xylophoria A 2 17 6.
xystus Hierosolymorum B 5 4 2; 6 3 2, 6 2.

Zabadias A 11 1 1.
Zabelus Arabs A 13 4 8.
Zabidus Idumaeus C 2 9.
Zabuda A 10 5 2.
Zabulon A 1 19 8; 2 7 4. Zabulonis tribus 5 1 22.
Zabulon urbs B 2 18 9.
Zacharis A 9 12 1.
Zacharias Baruchi f. B 4 5 4.
Zacharias Hieroboami f. A 9 10 3, 11 1.
Zacharias Joadi f. A 9 8 3.
Zacharias Phaleci f. B 4 4 1.
Zacharias vates A 11 4 5 et 7.
Zaleucus C 2 15.
Zamares A 8 12 5.
Zamaris A 17 2 1 et 3.
Zambranes A 1 15.
Zambrias A 4 6 10 sqq.
Zara urbs A 13 15 4.
Zaraeus Aethiops A 8 12 1—2.
Zaras A 2 7 4.
Zaraza A 11 6 10.
Zebes Madianita A 5 6 5.
Zebulus A 5 7 4.
Zebus Madianita A 5 6 5.
Zelotae B 4 3—9; 5 1 2, 3 1; 7 8 1.
Zelpha Liae ancilla A 1 19 8.
Zeno philosophus C 2 12.
Zeno tyrannus A 13 8 1. B 1 2 4.
Zenodorus (Zeno B 2 6 3) A 15 10 1—3. cf. B 1 20 4. A 17 11 4.
Zephyrium promontorium B 1 23 4.
Zeugma urbs B 7 6 2.
Zeuxis Antiochi M. amicus A 12 3 4.
Zipha urbs A 8 10 1.
Ziphene A 6 13 2.
Zizus A 13 14 3.
Zoara urbs B 4 8 4. cf. A 1 11 4; 14 1 4.
Zodmielus A 11 4 2.
Zoilus tyrannus A 13 12 2, 12 4.
Zoor v. Zoara.
Zopyrion historicus C 1 23.
Zorobabelus A 11 3 7 et 9, 4 4 et 8. 5 2.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

THIS BOOK IS DUE ON THE L[redacted]
STAMPED BELOW

AN INITIAL FINE OF 25 CENTS
WILL BE ASSESSED FOR FAILURE TO RETURN THIS BOOK ON THE DATE DUE. THE PENALTY WILL INCREASE TO 50 CENTS ON THE FOURTH DAY AND TO $1.00 ON THE SEVENTH DAY OVERDUE.

FEB 12 1937

NOV 1 1938

20Jul'50BZ

17Aug'60DF

RECEIVED

OCT 6 '66 -5 PM

LOAN DEPT.

Digitized by Google

YB 29897

ISNG
J2
1855
v.4-6
1.

Digitized by Google